Ἔνθεν τινὲς ἔδοξαν τὴν τοῦ Κυρίου μητέρα ξίφει θανάτῳ μαρτυρικὸν ἀπενέγκασθαι τέλος, διὰ τὸ εἰπεῖν τὸν Συμεῶνα, *Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία·* ἔχει δὲ οὐχ οὕτως. Ῥομφαία γὰρ χαλκευτικὴ σῶμα διαιρεῖ, οὐ ψυχὴν διχοτομεῖ· ἐξ ὧν καὶ [66] ἡ Παρθένος ἄχρι τῆς δεῦρο ἀθάνατος, τοῦ κατοικήσαντος ἀναληψίμοις αὐτὴν χωρίοις μεταναστεύσαντος [67]. Τί οὖν βούλεται λέγειν ὁ Συμεὼν πρὸς θάνατον (1); *Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν*

Hinc accidit ut nonnulli putarent matrem Domini, gladio interfectam, atque cruenta morte affectam, qualem martyres, vitæ exitum habuisse : propterea quod dixit Symeon : Quin tuam quoque ipsius animam penetrabit gladius : sed non ita se res habet. Ensis enim a fabro excusus, corpus dividit, animam non dissecat : unde etiam supra omnes inculpata et omnibus modis sancta Virgo per illum qui domicilium habuit in ea, qui eam in supera loca assumptam traduxit, usque adhuc

[6] Isa. VII, 14.

VARIÆ LECTIONES.

[49] Ed. Col add. μέν. [50] Δὲ καί. [51] Ed. Col. add. ἔφη. [52] Ed. Col. μέν. [53] Ed. Col. ἀνάστ. δὲ τῶν πιστευόντων. [54] Ed. Col. δέ. [55] Supp. ex ed. Col. εἰς πτῶσιν τῶν βεβήλων. ἀνάστασιν δὲ τῶν δικαίων. Εἰς πτῶσιν καὶ ἀνάστασιν. [56] Ed. Col. add. εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ. [57] Ed. Col. ἀριστερῶν. [58] Ed. Col. κύριος ἐγίνετο. [59] Ed. Col. παρθένον τεκοῦσαν μεῖναι παρθένον. [60] Ed. Col. add. ἀντιλεγόμενον. [61] Ed. Col. add. τοῦ Κυρίου. [62] Ed. Col. ἤ. [63] Ed. Col. οὐ μή. [64] Ed. Col. add. Κύριον. Καὶ εἶπεν Ἡσαΐας· Ἰδοὺ δώσ. ὑμῖν. [65] Ed. Col. προερμήνευσεν. [66] Ed. Col. add. ὑπεράμωμος καὶ παναγία. [67] Ed. Col. διὰ τοῦ κατοικ. ἐν αὐτῇ, ἐν τοῖς ἀναληψ. αὐτ. χωρ. μεταν.

NOTÆ.

(1) Πρὸς θάνατον, id est, ad mortem, est in exemplari quo unico sum usus, et valde corrupto. Malim legere πρὸς παρθένον, id est, ad virginem. DUCÆUS.

immortalis est. Quid igitur vult dicere Symeon ad Virginem : *Quin tuam quoque ipsius animam penetrabit gladius, ut detegantur ex multis cordibus cogitationes?* Gladium hoc loco, qui animam transeat, Symeon dolorem Virginis dixit, quem latura erat : quippe quæ putaret se amisisse eum qui venerat ut quæreret eos qui perierant. Quod autem dolor animam Virginis invaserit, ratæ se amisisse eum, qui ipsius, id est, Virginis filius appellabatur : audiebas modo dicentem evangelistam : *Et cum annos duodecim natus esset Jesus.* Intellectus in intellectu procedit, et quæstio quæstione movetur. *Et cum natus esset annos duodecim.* Quis? Deus Verbum annos natus duodecim : unigenitus Filius Dei, is qui fuit ante principium mundi, antiquus ille visionis temporum factor, non post tempora natus. *Et cum duodecim annos natus esset Jesus.* Quod attinet ad Virginis partum, numeratur tempus duodecim annorum. Paulatim enim atque particulatim corporis ætate et statura proficiebat Jesus, non una vice, unoque temporis articulo Dominus grandis evasit. Unde ne vana imaginatio, ne res ficta atque commentitia putaretur veritas vitæ Christi, quam assumpta carne in mundo transegit, atque ea quæ de se scripta erant, disposuit et administravit : ut modo dicebamus : paulatim proficiebat, omnes humanos carnis assumptæ modos servans. Unde etiam Evangelista hæc de illo dicebat : *Puer autem Jesus proficiebat spiritu et sapientia, et gratia Dei erat in eo.* Vide evangelistæ diligentem cautionem ; non dixit : Deus Verbum proficiebat, ne Ario materiam divinæ majestatis lædendæ præberet, intercessionem Christi œconomiæ. Nam idcirco duodecim (erat) annorum.

A *ἐκ πολλῶν καρδιῶν διαλογισμοί.* Ῥομφαίαν ἐνταῦθα ψυχοδιάβατον ὁ Συμεὼν τὴν ὀδύνην τῆς Παρθένου διελάλησεν, καὶ [68] καθ' ἣν ἤμελλεν [69] ὀδυνᾶσθαι, ὡς δοκοῦσα ἀπολελωκέναι τὸν ἐρχόμενον ζητῆσαι τοὺς ἀπολελωμένους [70]. Ὅτι δὲ ὀδύνη κρατηθεῖσα τὸ τῆς Παρθενικῆς γαστρὸς δόξασα ἀπολελωκέναι τὸν ἑαυτῆς υἱὸν, ἤκουες ἀρτίως τοῦ εὐαγγελιστοῦ Λουκᾶ λέγοντος· *Καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα ὁ Ἰησοῦς.* Τί ἐστιν *Καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα ὁ Ἰησοῦς* [71]; νόημα ἐν τῷ νοήματι προβαίνει, καὶ ζήτημα ζητήματι διακρούεται· *Καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα.* Τίς οὗτος; ὁ Θεὸς Λόγος [72], ὁ μονογενὴς τοῦ Θεοῦ Υἱὸς, ὁ προκόσμιος, ὁ πάλαι τῆς ὀπτασίας χρονοποιητής [73], οὐ χρόνων ὑστερογενής· *Καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα ὁ Ἰησοῦς.* Κατὰ τὴν τῆς B Παρθένου γέννησιν, δωδεκαετὴς ἀριθμεῖται χρόνος. Ἐκ τοῦ κατὰ μέρος γὰρ προέκοπτεν τῇ ἡλικίᾳ τῇ σωματικῇ [74]· οὐχ ὑφ' ἑνὸς ηὐδυνήθη [75], ἵνα μὴ φαντασία ἦν ἡ ἀλήθεια τῆς οἰκονομίας· ἐν τούτῳ κατὰ μέρος προέκοπτεν τῇ ἀνθρωπίνῃ τῆς ἐνανθρωπήσεως τὰ μέτρια φυλάσσων. Ἐξ ὧν ὁ εὐαγγελιστὴς περὶ αὐτοῦ λέγων, *Τὸ δὲ παιδίον Ἰησοῦς προέκοπτεν ἐν πνεύματι καὶ σοφίᾳ, καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτῷ.* Ὁρᾷς [76] τοῦ εὐαγγελιστοῦ τὴν ἀπόκρισιν [77]; οὐκ εἶπεν ὅτι ὁ Θεὸς Λόγος προέκοπτεν, ἵνα μὴ ὕλας αὐτῷ καὶ ταραχὰς παράσχῃ· ἀλλὰ προέκοπτεν κατὰ τὴν μεσιτείαν τῆς οἰκονομίας.

Unde etiam evangelista dicebat : *Et quando natus erat Jesus annos duodecim, duxerunt puerum Jesum pro consuetudine diei festi eorum in templum : et cum illi statos dies peregissent et redirent, remansit puer Jesus, et non animadverterunt parentes ejus. Cum existimarent autem eum esse in comitatu, venerunt iter diei, ac requirebant eum inter cognatos et notos : cumque eum non invenissent, profecti sunt Hierosolymam ut quærerent eum.* Vide ubi impleatur dictum Symeonis ad Virginem. Quinimo tuam ipsius quoque animam penetrabit gladius (nempe) doloris, nempe requisitionis, dum requirebat etiam eum qui venerat quæsitum id quod perierat. Etsi enim virgo erat mater, attamen in utero gestaverat, mammam præbuerat, cum sollicitudine educaverat, et ita affecta fuerat, ut mater erga filium suum affecta esse solet. Itaque cum putaret se amisisse illum dies tres, cum cordis dolore quærens eum,

C Διὰ τοῦτο γὰρ καὶ ὁ εὐαγγελιστὴς λέγει· *Καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα ὁ Ἰησοῦς, ἀνήγαγον οἱ γονεῖς* [78] *τὸ παιδίον Ἰησοῦν, κατὰ τὸ ἔθος τῆς ἑορτῆς αὐτῶν, εἰς τὸ ἱερόν· καὶ πληρωσάντων αὐτῶν τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτοὺς, ἀπέμεινεν τὸ παιδίον Ἰησοῦς, καὶ οὐκ ἔγνωσαν οἱ γονεῖς αὐτοῦ. Νομίσαντες δὲ αὐτὸν εἶναι ἐν τῇ συνοδίᾳ, ἦλθον ἡμέρας ὁδὸν, καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσιν αὐτοῦ* [79] *καὶ ἐν τοῖς γνωστοῖς· καὶ μὴ εὑρόντες αὐτὸν, ἐπορεύθησαν εἰς Ἱερουσαλὴμ ζητοῦντες αὐτόν.* Ἴδε ποῦ πληροῦται τὸ τοῦ Συμεῶνος [80] πρὸς τὴν Παρθένον, καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ἡ τῆς ὀδύνης καὶ [81] τῆς ζητήσεως [82], καθ' ἣν ἐζήτει τοὺς πλανηθέντας δῆλον καὶ τοὺς ἀπολωλότας. Εἰ γὰρ καὶ D Παρθένος καὶ μήτηρ, ἀλλ' ὅμως ἐκυοφόρησεν καὶ ἐσπαργάνωσεν, μαστὸν αὐτῷ ἔδωκεν [83], καὶ φροντίσιν ἐξεθρέψατο [84] ὡς μήτηρ πρὸς υἱὸν καὶ τέκνον.

VARIÆ LECTIONES.

[68] Ad Cod. om. καί. [69] Ed. Col. ἔμελλεν ὀδυνᾶσθαι ἡ Παρθένος. ὡς. [70] Ed. Col. ἀπολωλότας. Ὅτι δὲ ὀδύνη καθήψατο τῆς Παρθένου τὴν ψυχὴν δόξασα [*lr.* δοξάσης] ἀπολ. τὸν αὐτῆς υἱὸν προσαγορευόμενον [71] Τί ἐστιν Ἰησοῦς, des. in ed. Col. [72] Ed. Col. τίς; ὁ Θεὸς Λόγος ἐτῶν δώδεκα. [73] Ed. Col. χρόνων ποιητής. [74] Ed. Col. τῇ σωματικῇ ἡλικ. ὁ Ἰησοῦς. [75] Ed. Col. οὐχ ὑφ' ἓν ὁ Κύρ. ηὐδυν. ὅθεν ἵνα μὴ φαντ. νομισθῇ ἡ ἀλήθ. τ. οἰκ. ὡς προέφημεν, ἐκ τοῦ κατὰ μέρος προέκοπτεν τὰ ἀνθρώπινα πάντα τῆς ἐνανθρωπήσεως μέτρα... περὶ αὐτοῦ ἔλεγε ταῦτα. [76] Ed. Col. ὅρα. [77] Ed Col. ἀκρίβειαν. Οὐκ εἶπεν, Ὁ Θεὸς Λόγος προέκοπ. ἵνα μὴ ὕλας βλασφημιῶν Ἀρείῳ παράσχ. τὸ προέκοπ., τὴν μεσιτείαν τῆς οἰκονομίας. Διὰ τοῦτο γὰρ δωδεκαετής· ὅθεν καὶ ὁ εὐαγγελιστὴς ἔλεγεν. [78] Οἱ γονεῖς des. in ed. Col. [79] Αὐτοῦ deest in ed. Col. [80] Ed. Col. add. ῥητόν. [81] Ed. Col. ἡ. [82] Ed. Col. ἐπιζητήσεως, καθ' ἣν καὶ ἐζήτει τὸν ἐλθόντα ζητῆσαι τὸ ἀπολωλός. Εἰ κ. λ. [83] Καὶ μαζὸν ἐπέδωκεν καὶ φροντίσιν, κ. λ. [84] Ed. Col. add. καὶ σχέσιν ἔχων μητρικὴν, ὡς μήτηρ πρὸς ἴδιον τέκνον.

A Ἐξ ὧν καὶ ἔδοξεν [85] αὐτὸν ἀπολελωκέναι, ζητοῦσα ἐν τρισὶν ἡμέραις ἐν ὀδύνῃ καρδίας ἔκραζεν λέγουσα, Οἴμοι τῆς συμφορᾶς, ὅτε τὴν εὐπορίαν προσεδόκησα, τότε τὴν ζημίαν κατενόησα. Τίς ὁ συλήσας μου τὸ κειμήλιον; Οὐκέτι, *Εὐλογημένη ἐν γυναιξὶν*, ἀκούω, οὐκέτι ἐροῦσιν αἱ λέγουσαι, *Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε*· ἐμαράνθην ὅτι ἐξ ἐμοῦ ἐχωρίσθη. Τίς ἀποσυλήσας με; ἡ Ἐλισάβετ χαίρει, κἀγὼ συγκόπτομαι. Ἐκείνη τὸν στρατιώτην ἔχει, κἀγὼ τὸν βασιλέα ἐζημίωμαι· ὁ δοῦλος φυλάττεται, καὶ ὁ Δεσπότης οὐ φαίνεται· ποῦ τοῦ Γαβριὴλ ὁ ἀσπασμός; ποῦ τῶν μάγων ἡ προσκύνησις; ποῦ τῶν ποιμένων τὰ σκιρτήματα; ὅτε βασιλεύειν προσεδόκησα, τότε πτωχεία κατέσχεν με [86].

clamabat dicens : Heu me calamitosam, cum opes sperarem, tum damnum sensi. Hei mihi, quisnam est ille qui thesaurum abstulit? quisnam mihi adeo rem charam eripuit? quisnam occultavit meam spem? hei mihi, non jam amplius ad me dicetur, *Benedicta tu inter mulieres* : non amplius dicent quæ dicere solebant, *Beatus uterus qui te portavit* : marcida, non beata evasi. Quis me compilavit, quis insidias struxit? quisnam thesaurum meum abscondit? Cognata mea Elisabeth propter filium gaudio fruitur, et ego animæ defectionem patior : illa namque militem habet, et ego regem amisi; servus salvus est et Dominus non comparet. Ubi archangeli Gabrielis ista salutatio? ubi stellæ illius illustratio? ubi magorum adoratio? ubi pastorum saltationes? ubi angelorum gloriam Dei celebrantium vox? Cum me regnaturam esse sperarem, tunc in mendicitate derelicta sum.

Ταύτην τὴν ὀδύνην [87] ὡς ῥομφαίαν δίστομον ψυχῆς ὁ Συμεὼν τὸ μέλλον [88] προεμήνυεν πρὸς τὴν B Παρθένον λέγων· *Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία*. Οὐκ εἶπεν [89], Κρατήσει ῥομφαία, ἤ, Κυριεύσει ῥομφαία [90], τουτέστιν, Πρὸς ὀλίγον ὀδυνηθήσῃ [91], καὶ εὐθὺς τῆς ὀδύνης ἀπαλλαγήσῃ. Ὅτι δὲ ὠδυνήθη ἡ [92] Παρθένος δόξασα ἀπολελωκέναι τὸν ἐπὶ σωτηρίᾳ [93] τῶν ἀπολυμένων ἐληλυθότα [94], ὡς [95] ἤκουες ἀρτίως τοῦ εὐαγγελιστοῦ λέγοντος, *Καὶ ἐγένετο μετὰ τρεῖς ἡμέρας*. Ὅρα πόσην ὀδύνην [96] ἡ Παρθένος μετέσχεν. *Καὶ ἐγένετο μετὰ τρεῖς ἡμέρας* [97] *εὗρον αὐτὸν ἐν τῷ ἱερῷ ἐν μέσῳ τῶν διδασκάλων καθήμενον καὶ ἐρωτῶντα αὐτοὺς, καὶ ἀκούοντα αὐτῶν. Καὶ εἶπεν πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ· Τέκνον, τί ἐποίησας ἡμῖν* [98]; *καὶ γὰρ ἰδοὺ ὁ πατήρ σου καὶ ἐγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε*. C Ἴδε ποῦ ἐπληροῦτο τοῦ Συμεῶνος ἡ προφητεία πρὸς τὴν Παρθένον· *Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία. Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; Ἰδοὺ ὁ πατήρ σου καὶ ἐγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε* [99]. Διὰ τί μὴ συγκατῆλθες ἡμῖν ὡς καὶ ἀνῆλθες [1]; τί ἐκαθέσθης ἐν μέσῳ τῶν διδασκάλων; τί ἐρωτᾷς καὶ διδάσκεις, οὔπω [2] γράμματα μεμαθηκώς; τί σοφιστεύεις; τί βασκανίαν κατὰ σαυτοῦ [3] ἐγείρεις; τί ἀτεκνωθῆναί με θέλεις; Ἴδε, πεπυρακτωμένοις ὀφθαλμοῖς σε περιβλέπονται· ἴδε [4], τοὺς ὀδόντας αὐτῶν τρίζουσιν κατὰ σοῦ [5], ὡς θῆρες [6] κατὰ ἀρνίου [7] κινούμενοι.

Hanc igitur afflictionem, hunc dolorem, tanquam gladium animæ ancipitem, Symeon rem futuram cernens, præsignificabat, dicens ad Virginem : *Quin tuam quoque ipsius animam penetrabit gladius*. Non dixit, Vincet gladius, aut dominabitur gladius; sed, Transibit gladius : hoc est, parumper dolebis et affligeris, ac statim dolore et afflictione liberaberis. Dolorem autem cepisse Virginem supra quam dici potest inculpatam omnibusque modis sanctam, cum putaret se amisisse eum qui ad salutem pereuntium venerat, audiebas modo Evangelistam dicentem : *Et accidit post dies tres*. Vide quantum dolorem et afflictionem Virgo triduum pertulerit. *Et accidit post dies tres, et ecce invenerunt eum in templo sedentem in medio doctorum, et interrogantem et audientem illos. Ac dixit ad illum mater sua : Fili, cur fecisti hoc? ecce pater tuus et ego dolentes quærebamus te*. Cur nobiscum non descendisti, quemadmodum etiam nobiscum una ascenderas? cur consedisti in medio doctorum? cur interrogas et doces, qui nondum litteras didicisti? cur pro sapientiæ doctore te geris? cur invidiam adversus te concitas? cur me liberis orbare vis? Ecce ardentibus oculis te undique aspiciunt, jam dentibus suis strident tanquam feræ bestiæ, quæ adversus agnum tenerum moventur.

Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ γὰρ [8] *ὁ* D

Fili, cur fecisti nobis sic? ecce pater tuus et ego

VARIÆ LECTIONES.

[85] Ed. Col. δόξασα. [86] οἴμοι τῆς συμφορᾶς, κατέσχεν με. [87] Ed. Col. ταύτην τοίνυν τὴν θλίψιν καὶ ὀδύνην. [88] Ed. Col. ὁρῶν προεμήνυσεν λέγων. Ed. Col. Οἴμοι τῆς συμφορᾶς, ὅτε τὴν εὐπορίαν προσεδόκησα, τότε τὴν ζημίαν κατενόησα. Οἴμοι, τίς ὁ συλήσας τὸν θησαυρόν; τίς ὁ ἀποβουκολήσας μου τὸ κειμήλιον; τίς ὁ κατακρύψας μου τὴν ἐλπίδα; οἴμοι, οὐκέτι, *Εὐλογημένη ἐν γυναιξὶν*, ἀκούσω· οὐκέτι ἐροῦσιν αἱ λέγουσαι, *Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε*· ἐμαράνθην, οὐκ ἐμακαρίσθην. Τίς ὁ ἀποσυλήσας με; τίς ὁ ἐπιβουλεύσας; τίς ὁ τὸν θησαυρόν μου ἀποκρύψας; Ἡ συγγενής μου Ἐλισάβετ χαίρει ἐπὶ τῷ υἱῷ, κἀγὼ συγκόπτομαι· ἐκείνη γὰρ τὸν στρατιώτην ἔχει, κἀγὼ τὸν βασιλέα ἐζημίωμαι· ὁ δοῦλος φυλάσσεται, καὶ ὁ δεσπότης οὐ φαίνεται. Ποῦ τοῦ ἀρχαγγέλου Γαβριὴλ ὁ ἀσπασμός; ποῦ τοῦ ἀστέρος ὁ φωτισμός; ποῦ τῶν μάγων ἡ προσκύνησις; ποῦ τῶν ποιμένων τὰ σκιρτήματα; ποῦ ἡ τῶν ἀγγέλων δοξολογία; ὅτε βασιλεύειν προσεδόκησα, τότε ἐν πτωχείᾳ καταλέλειμμαι. [89] Ed. Col. add. ὅτι. [90] Ed. Col. add. ἀλλὰ διελεύσεται ῥομφαία. [91] Ed. Col. καὶ θλιβήσῃ, καὶ εὐθέως τ. ὀ. καὶ τῆς θλίψεως ἀπαλλ. [92] Ed. Col. add. ὑπεράμωμος καὶ παναγία Mac. A. Cl. [93] Ed. Cod. πρὸς σωτηρίαν. [94] Ed. Col. ἐλθόντα. [95] Ed. Col. om. ὡς. [96] Ed. Col. καὶ θλίψιν ἡ Παρθένος τὰς τρεῖς ἡμέρας μετῆλθεν. [97] Ed. Col. add. καὶ ἰδού. [98] Ed. Col. τοῦτο; ἰδοὺ ὁ πατήρ. [99] ἴδε ποῦ ἐζητοῦμέν σε des. in ed. Col. [1] Ed. Col. συνανῆλθες. [2] Ed. Col. μηδέπω. [3] Ed. Cod. σοῦ. [4] Ed. Col. ἤδη. [5] Ed. Col. om. κατὰ σοῦ. [6] Ed. Col. add. ἄγριοι. [7] Ed. Col. add. ἁπαλοῦ. [8] Ed. Col. om. γάρ.

dolentes quærebamus te. At Dominus detegens eis deinceps latentem, in vili assumptæ humanæ naturæ specie deitatis dignitatem, his verbis eis respondit : Quid est quod me quærebatis ? atque etiam ubi quærebatis? in cœlo? non ascendistis (illuc) : in infernum non descendistis : in ceto Jonæ non commorati estis. Quid est quod me quærebatis? an ignorabatis quod in negotiis Patris mei occupatum me esse oportet ? an non audivistis Symeonem? an non Dominum me atque Deum esse confessus est, et vos tanquam puerum me quæritis? *An nesciebatis quia in his quæ Patris mei sunt oportet me esse ?* Unum Patrem habeo in cœlo, vos autem usurarios habeo parentes. Atque hoc loco sermone finito, divinæ ac mysticæ mensæ vacemus et operam demus : per quam et mundus firmatus est, et orbis terræ consistit, et regnum servatur, et Ecclesia augescit, et Deus sanctificatur in Christo Jesu Domino nostro, cui gloria et imperium nunc et semper, et in sæcula sæculorum. Amen.

A *πατήρ σου καὶ ἐγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε.* Ὁ δὲ Κύριος ἀνακαλύπτων αὐτοῖς λοιπὸν τὴν κρυπτομένην τῆς θεότητος ἀξίαν ἐν τῇ πτωχικῇ τῆς ἐνανθρωπήσεως, πρὸς αὐτοὺς ἀποκρίνεται λέγων · Τί ἔτι [9] ἐζητεῖτέ με ; ποῦ δὲ καὶ ἐζητεῖτέ με ; ἐν τῷ οὐρανῷ οὐκ ἀνήλθετε [10] · εἰς τὸ κῆτος τοῦ [11] Ἰωνᾶ οὐ κατῳκήσατε. Τί ὅτι ἐζητεῖτέ με ; οὐκ οἴδατε [12] ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ εἶναί με ; οὐκ ἠκούσατε τοῦ Συμεῶνος τὴν προφητείαν [13] ; Οὐχὶ Κύριον καὶ Θεὸν ὡμολόγησεν ; καὶ ὑμεῖς ὡς παιδίον ζητεῖτέ με ; *Οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ με εἶναι ;* Ἕνα [14] Πατέρα κέκτημαι · ὑμᾶς [15] ἐχρησάμην. Ἀλλ' ἐνταῦθα τὸν λόγον πληρώσαντες, τῇ [16] μυστικῇ τραπέζῃ σχολάσωμεν, δι' ἧς κόσμος [17] ἐστήρικται, καὶ οἰκουμένη συνέστηκεν, καὶ βασι- B λεία φυλάττεται, καὶ Ἐκκλησία πληθύνεται [18], ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος [19] εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

VARIÆ LECTIONES.

[9] Ed. Col. ὅτι. [10] Ed. Col. add. εἰς τὸν ᾅδην οὐ κατήλθετε. [11] Ed. Col. om. τοῦ. [12] Ed. Col. ᾔδειτε. [13] Ed. Col. οὐκ ἠκούσατε τοῦ Σιμεών. [14] Ed. Col. ἵνα πατέρα κέκτ. ἐν τῷ οὐρανῷ. [15] Ed. Col. δέ. [16] Ed. Col. τῇ θείᾳ καὶ μυστικῇ. [17] Ed. Col. add. καί. [18] Ed. Col. add. καὶ Θεὸς ἁγιάζεται. [19] Ed. Col. νῦν καὶ ἀεὶ, καὶ εἰς.

MONITUM IN SEQUENTEM DIALOGUM

(Ang. Mai. *Spicileg. Rom.* t. IX, p. XI.)

Ætatis ambiguitas, qua superius laborare diximus scripta Eusebii, æque nobis videtur urgere opusculum aliud, quod in codice Vaticano pari ferme ætate confectum dicitur. Græcus est prolixus dialogus inter Timotheum Christianum et Aquilam Judæum, isque habitus dicitur Alexandriæ, dum illius Ecclesiæ Cyrillus magnus clavum teneret : stylus tamen operis paulo sequiorem ætatem videtur innuere. Constat dialogus longo vaticiniorum examine, quibus demonstratur Jesum revera Deum esse, et exspectatum illum a Judæis Messiam, suadente Christiano, contradicente Judæo, donec hic postremus victas dat manus; petitoque baptismatis beneficio, ad Cyrillum episcopum abluendus deducitur. Sed enim Cyrillus, ut baptizandi Aquilæ ministerium atque honorem in Timotheum conversionis auctorem transferret, qui laicus cæteroqui erat, ipsum una ut videtur die diaconum simul presbyterumque ordinavit; quo facto Timotheus Judæum baptismate tinxit secumque stabili contubernio deinde habuit. Haud forsan erat inutile hunc religiosum dialogum typis imprimere, nisi me ipsius prolixitas deterruisset. Titulum saltem operisque clausulam hic ascribam.

ΔΙΑΛΟΓΟΣ ΧΡΙΣΤΙΑΝΟΥ ΚΑΙ ΙΟΥΔΑΙΟΥ

ΩΝ ΤΑ ΟΝΟΜΑΤΑ ΤΟΥ ΜΕΝ ΧΡΙΣΤΙΑΝΟΥ ΤΙΜΟΘΕΟΥ, ΤΟΥ ΔΕ ΙΟΥΔΑΙΟΥ ΑΚΥΛΑ, ΓΕΝΟΜΕΝΟΣ ΕΝ ΑΛΕΞΑΝΔΡΕΙΑ ΕΝ ΤΑΙΣ ΗΜΕΡΑΙΣ ΚΥΡΙΛΛΟΥ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΤΗΣ ΑΥΤΗΣ ΠΟΛΕΩΣ.

DIALOGUS CHRISTIANI ET JUDÆI

QUORUM NOMINA, CHRISTIANI QUIDEM TIMOTHEUS, JUDÆI VERO ACYLA, APUD ALEXANDRIAM HABITUS IN DIEBUS CYRILLI SANCTISSIMI ARCHIEPISCOPI EJUSDEM URBIS.

INITIUM.

Manifestationis Salvatoris et Domini nostri Jesu Christi quæ contigit, et per universum orbem propheticarum vocum adimpletarum, etc.

C Τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ γενομένης, καὶ κατὰ πᾶσαν τὴν οἰκουμένην τῶν προφητικῶν φωνῶν πληρουμένων.

CLAUSULA.

Christianus dixit : At quid tibi videtur de his? Judæus dixit : Vere suasisti me omnino illum esse Deum deorum et Dominum dominorum, et Regem regum, et graviter deliquisse patres nostros inferen-

Ὁ Χριστιανὸς εἶπεν · Καὶ τί σοι δοκεῖ περὶ τούτων ; Ὁ Ἰουδαῖος εἶπεν · Ἐπ' ἀληθείας ἔπεισάς με πάντοθεν, ὅτι αὐτός ἐστιν Θεὸς θεῶν, καὶ Κύριος τῶν κυρίων, καὶ Βασιλεὺς βασιλέων, καὶ ὅτι πλημ-

μελείας ἐπλημμέλησαν οἱ πατέρες ἡμῶν ἐπενέγκαντες χεῖρας ἐπ' αὐτόν· νῦν, ὦ ἄνθρωπε τοῦ Θεοῦ, τί ποιήσας σωθῶ, ἀνάγγειλόν μοι. Ὁ Χριστιανὸς εἶπεν· Εἰ πιστεύεις ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς συνέσεώς σου, ἀνάστα, βάπτισαι καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου, ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ· ἵνα ἀκούσῃς καὶ σὺ μετὰ τῶν ἀκουόντων παρὰ τοῦ ἱεροψάλτου Δαβίδ· *Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι.* Ταῦτα εἰπὼν ὁ Χριστιανὸς ἀνέστη, διὰ τὸ τὸν ὄχλον ἐπιφωνεῖν τῶν πιστῶν καὶ λέγειν· *Νικᾷ ἡ πίστις τῶν Χριστιανῶν*, εὐφημεῖν τε τὸν βασιλέα καὶ τὸν ἰσάγγελον ἐπίσκοπον. Ὁ δὲ Ἰουδαῖος ἀναπτὰς καὶ πεσὼν εἰς τοὺς πόδας τοῦ Χριστιανοῦ, καὶ ὑψώσας τὴν φωνὴν αὐτοῦ ἐν κλαυθμῷ ἔλεγεν τῷ Χριστιανῷ· Ἐκζητήσει Κύριος τὴν ψυχήν μου ἐκ τῶν χειρῶν σου, ἐὰν μὴ ποιήσεις με Χριστιανόν. Καὶ ἀνέστησεν αὐτὸν ὁ Χριστιανὸς εἰπὼν μένειν αὐτοῦ· καὶ εἰσελθὼν πρὸς τὸν ἁγιώτατον ἐπίσκοπον ... (1) τέκνον· τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν· σὺ κεκοπίακας, σὺ λάβε πρῶτον τὸν καρπὸν αὐτοῦ· τοῦ δὲ εἰπόντος, ὅτι Οὐκ εἰμὶ ἐν κλήρῳ, δρομέως ὁ ἐπίσκοπος ἦλθεν εἰς τὸ Κυριακὸν, καὶ δοὺς εἰρήνην χειροτονεῖ αὐτὸν διάκονον· καὶ πάλιν δοὺς εἰρήνην ποιεῖ αὐτὸν πρεσβύτερον, καὶ δίδωσιν αὐτῷ λοιποὺς πρεσβυτέρους καὶ διακόνους πρὸς ὑπηρεσίαν τῆς λειτουργίας· καὶ διδοῦσιν αὐτῷ διφθέριον γεγραμμένον τὰς ἐπικλήσεις καὶ εὐχὰς τῆς ἀκολουθίας. Καὶ ἀπελθὼν ὁ ὁσιώτατος λοιπὸν πρεσβύτερος Τιμόθεος μετὰ τῶν λοιπῶν ἱερέων καὶ διακόνων ἐν τῷ τόπῳ ἔνθα ἦν ὁ Ἀκύλας ἀπεκδεχόμενος, καὶ λαβὼν αὐτὸν εἰσήγαγεν ἐν τῇ ἐκκλησίᾳ· καὶ ἐποίησαν τὴν ἀκολουθίαν, καὶ ἐβάπτισαν αὐτὸν εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, μετονομάσαντες αὐτὸν Θεόγνωστον· ὃς μεταλαβὼν τῶν ἀχράντων μυστηρίων ἐγένετο δοχεῖον τοῦ ἁγίου Πνεύματος, ὁ ποτὲ Ἰουδαῖος, νῦν δὲ Χριστιανὸς διὰ τοῦ Θεοῦ, ὁ ποτὲ λύκος, νῦν δὲ πρόβατον Χριστοῦ γενόμενος. Καὶ ἔλαβεν αὐτὸν ὁ πρεσβύτερος Τιμόθεος ἐν τῷ ἰδίῳ οἴκῳ αὐτοῦ, καὶ ἦσαν διαπαντὸς ἅμα δοξάζοντες Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, ᾧ πᾶσα δόξα, τιμὴ, κράτος, καὶ προσκύνησις νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A tes ei manus : nunc, o homo Dei, quid facturus sum ut salvus sim, renuntia mihi. Christianus dixit : Si credis ex toto corde tuo et ex tota mente tua, et ex tota virtitute tua, et ex tota intelligentia tua, surge, baptizare, et ablue peccata tua, invocato nomine Domini Jesu, ut audias et tu, inter audientes, ex sacro psalmista David : *Beati quorum remissæ sunt iniquitates, et quorum tecta sunt peccata* [1]. His dictis surrexit Christianus, dum exclamaret multitudo fidelium et diceret : *Vincit fides Christianorum;* et benediceret tanquam regem et angelis æqualem episcopum. Surgens Judæus et se sternens ad pedes Christiani, et vocem elevans cum lacrymis locutus est Christiano : Requiret Dominus animam meam ex manibus tuis, nisi feceris me B Christianum. Et sublevavit eum Christianus dicens illi manere ibimet : et ingressus ad sanctissimum episcopum : . . . . . Fili, laborantem agricolam oportet primum fructum percipere. Tu laborasti, tu cape primum fructum tuum. Illo tamen dicente, quia non sum de clero, protinus adivit episcopus domum Domini, et dans pacem imposuit ei manus in diaconum, et rursus dans pacem fecit illum presbyterum, et dedit illi cæteros presbyteros et diaconos ad ministerium liturgiæ : qui dans illi membranam scripta habentem nomina et preces ministerii, et exiens venerabilis jam presbyter Timotheus cum cæteris presbyteris et diaconis in loco ubi erat Acula exspectans, et apprehendens illum C introduxit in ecclesiam, et fecerunt liturgiam, atque baptizaverunt eum in nomine Patris et Filii et Spiritus sancti, mutato nomine in Theognostum : qui participans ineffabilibus mysteriis factus est templum Spiritus sancti, ille qui antea Judæus, nunc autem Christianus per gratiam Dei; qui antea lupus, nunc ovis Christi factus. Et recepit illum presbyter Timotheus in propria ipsius domo, et erant ubique simul glorificantes Patrem et Filium et Spiritum sanctum : cui omnis gloria, honor, potestas, et adoratio, nunc et semper et in sæcula sæculorum. Amen.

[1] Psal. XXXI, 1.

(1) Deest hic aliquid in codice; quanquam defectus est in media membranæ ms. pagella, non in transitu unius ad alteram, ita ut de folio amisso in hoc codice suspicari non liceat.

APPENDIX

AD OPERA TIMOTHEI HIEROSOLYMITANI.

MONITUM IN SEQUENTEM HOMILIAM.

(Jac. Gretser, t. II, p. 313.)

Orationem Timothei presbyteri Antiocheni habemus ex Bibliotheca Cryptæ Ferratæ ope et opera Hieronymi Brunelli, Societatis nostræ sacerdotis, qui etiam exemplari ad nos misso non paucas correctiones adjecit, quas in editione secuti sumus, neque speciatim percensere operæ pretium est. Etsi enim quis suspicari posset hanc homiliam esse dictam media Quadragesima : in festo τῆς Σταυροπροσκυνήσεως, eam tamen hoc loco collocare placuit, ne hoc festum omni prorsus encomio careret; præsertim cum illi qui in festo τῆς Σταυροπροσκυνήσεως concionantur, Evangelium sancti Marci sequantur, et explicent; hic S. Lucæ.

ΤΙΜΟΘΕΟΥ ΑΝΤΙΟΧΕΙΑΣ

ΕΙΣ ΤΟΝ ΣΤΑΥΡΟΝ ΚΑΙ ΕΙΣ ΤΗΝ ΜΕΤΑΜΟΡΦΩΣΙΝ

ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.

TIMOTHEI ANTIOCHENI

IN CRUCEM ET IN TRANSFIGURATIONEM

DOMINI NOSTRI JESU CHRISTI.

Multis et variis armis exercitatus miles communitur, quando adversus Barbarorum phalangas prælium suscipit : et ducem suum, Romanum imperatorem sequens, undique armis cingitur, tutumque se ab hostibus præstare studet. Atque hæc quidem externus miles facit. At vero fidelis Christique amans homo cœlestem imperatorem animo sequi paratus, una eademque militari pharetra totum dæmonum agmen valet exstinguere. Quod si dæmonum agmen crucis pharetra exstinguit, perspicuum omnino est eam omni Barbarorum impetu et quasi procella esse superiorem : quemadmodum Propheta dicit : *Paratus sum, et non sum turbatus* [1]. Et rursus : *Posuit me ut sagittam electam, et in pharetra sua abscondit me* [2]. Unde Christus Dominus, expers principii, æternus, perpetuus Rex, tempore incarnationis suæ, invicta crucis arma ostendens iis qui ipsi obtemperare volunt, etiam nunc nos exhortatur, quemadmodum paulo ante audivisti in Evangelio secundum Lucam : *Si quis vult post me venire, abneget semeipsum, et tollat crucem suam, et sequatur me* [3].

Quid ais, amice? non multis opus est armis spirituali militi, qui cœlestem Regem animo sequi velit. *Si quis vult post me venire, abneget semetipsum, et tollat crucem suam et sequatur me.* O rem admirabilem : nondum crux a Judæis fabricabatur, et crucis tropæum fidelibus monstrabatur. O almam crucis vim et efficacitatem, gratiæ quidem tempore, ipso oculorum aspectu firmatam et radicatam; legis vero tempore, experientia auxilii et Mosaicis figuris adumbratam! Esse autem victricem crucis

A Πολλοῖς καὶ διαφόροις ὅπλοις ὁ γεγυμνασμένος ὀχυροῦται στρατιώτης, ἡνίκα κατὰ τῆς βαρβαρικῆς φάλαγγος τὴν πολεμικὴν ἐξεγείρει μάχην· ὃς καὶ τῷ ἰδίῳ κατακολουθῶν Ῥωμαϊκῷ βασιλεῖ πανταχόθεν τοῖς ὅπλοις σφίγγεται, ἀχείρωτον ἑαυτὸν τοῖς ὑπεναντίοις φυλάττειν σπουδάζων. Καὶ ταῦτα μὲν ὁ ὑλικὸς στρατιώτης. Ὁ δὲ πιστὸς καὶ φιλόχριστος ἄνθρωπος κατόπιν τοῦ ἐπουρανίου βασιλέως βαίνειν ἐθέλων τῇ ψυχικῇ διαθέσει, μιᾷ καὶ τῇ αὐτῇ στρατιωτικῇ φαρέτρᾳ ἅπαν τὸ τῶν δαιμόνων ἰσχύει καταργῆσαι στῖφος. Εἰ δὲ τὸ τῶν δαιμόνων στῖφος ἡ σταυρικὴ καταργεῖ φαρέτρα, παντί που δῆλον, ὡς καὶ πάσης τῆς ὑπεναντίας ὑπερέχει βαρβαρικῆς καταιγίδος, κατὰ τὸν προφήτην τὸν λέγοντα· *Ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην.* Καὶ αὖθις· *Ἔθηκέν* B *με ὡς βέλος ἐκλεκτὸν καὶ ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἔκρυψέν με.* Ἔνθεν ὁ Δεσπότης Χριστὸς ὁ ἄναρχος καὶ ἀδιάδοχος, καὶ ἀτελεύτητος βασιλεὺς ἐν τῷ καιρῷ τῆς ἐνανθρωπήσεως αὐτοῦ τὸ σταυρικὸν ὑποδεικνὺς ἀκαταμάχητον ὅπλον τοῖς ἐθέλουσιν αὐτῷ πειθαρχεῖν, ἔτι καὶ νῦν ἔλεγεν προτρεπτικῷ λόγῳ, καθὼς ἀρτίως ἤκουσας ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ· *Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι.*

Τί λέγεις, ὦ φίλε; μὴ πολλῶν ὅπλων τῷ πνευματικῷ στρατιώτῃ, τῷ κατόπιν τοῦ ἐπουρανίου βασιλέως βαίνειν ἐθέλοντι τῇ ψυχικῇ διαθέσει. *Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι.* C Ὢ τῶν παραδόξων πραγμάτων! οὐδέπω ὁ σταυρὸς ὑπὸ τῶν Ἰουδαίων ἐτεκτονεύετο, καὶ τὸ τοῦ σταυροῦ τρόπαιον τοῖς πιστοῖς ἐπεδείκνυτο. Ὢ σταυροῦ παντότροφος ἐνέργεια, ἐν τῇ χάριτι μὲν τῇ ὄψει τῆς ὁράσεως ἐνριζωθεῖσα· ἐν τῷ νόμῳ δὲ τῇ πείρᾳ τῆς

[1] Psal. CXVIII, 60. [2] Isa. XLIX, 2. [3] Luc. IX, 23.

βοηθείας ἐν τῷ Μωσαϊκῷ σχηματισμῷ προαναζωγραφηθεῖσα! Ὅτι δὲ καὶ πρὸ τῆς χάριτος ἐν τῷ νόμῳ ἡ σταυροφόρος νικοποιὸς ἐνέργεια ἐν τῷ Μωσαϊκῷ σχηματισμῷ ἐκ πολλῶν χρόνων προανεζωγράφηθη, ἔστιν ἀρτιζήλῳ παραστῆσαι τὸ σημαινόμενον λόγῳ. Ἰησοῦς ὁ τοῦ Ναυῆ, καθὼς ἴστε σαφῶς, πρὸς τὸν ἀλλόφυλον παρατάξει πολεμικῇ ἀντιπαραταττόμενος, ὡς εἶδεν ἐν τῇ συμβολῇ τῶν ἀλλοφύλων καὶ τῶν Ἰσραηλιτῶν ὑπερέχοντα τὸν ἀλλόφυλον τοῦ Ἰσραὴλ, καὶ ὑπερισχύοντα ἐν ἀγῶσιν γενόμενον, ἐμήνυσε τῷ Μωϋσῇ λέγων· *Πρόσευξαι, θεράπων τοῦ Θεοῦ, Μωϋσῆ, ὅτι ὑπερισχύει ὁ ἐναντίος, ὑπαίρεται ὁ ἀλλόφυλος*, προσκόμισον εὐχήν. Ἰσχυροτέρα γὰρ βελῶν ἡ γνησίμη πρὸς Θεὸν ἱκεσία. Τί οὖν Μωϋσῆς θείου Πνεύματος δεξάμενος ἀποκάλυψιν; ποίῳ τρόπῳ καθῆκε τοὺς ἐναντίους τροπώσασθαι; Ἀνελθὼν ἐν τῷ τείχει οὐκ ἔκλινεν γόνυ, οὐ καθῆκεν τὴν κεφαλὴν, οὐκ ἐβόησεν φωνὴν, ἀλλὰ τὰς χεῖρας ἐξέτεινεν, τὴν κεφαλὴν ὕψωσεν, τοῦ σταυροῦ τὸ σχῆμα κατήρτισεν, ὅθεν τοῦ Μωϋσέως τὰς χεῖρας ἐκτείναντος καὶ τοῦ σταυροῦ τὸ σχῆμα προκαταρτίσαντος, ἐμηνύετο τοῖς παροῦσιν, ὅτιπερ οὐχὶ τῶν χειλέων κρυπτὴ κίνησις, ἀλλ' ὁ τοῦ σταυροῦ σχηματισμὸς τὸ κλέος τῆς νίκης ἐδέχετο. Τί γὰρ τὸ συμβάν; Ἕως οὗ Μωϋσῆς ἐκτεταμένας εἶχεν τὰς χεῖρας, ὑπερίσχυεν Ἰησοῦς τοῦ Ναυῆ. Μόνον δὲ κοπωθεὶς Μωϋσῆς, ὡς ἄνθρωπος καθῆκεν τὰς χεῖρας, ὑπερίσχυεν ὁ ἀλλόφυλος, ὅθεν τοῦτο γνόντες οἱ παρόντες, ὅτιπερ ὁ σχηματισμὸς ἦν ὁ τὴν νίκην λαμβάνων, ὑπεστήριζον δύο ἄνδρας ταῖς Μωσαϊκαῖς χερσὶ, τὸν Ἀαρὼν καὶ τὸν Ὢρ· Ἀαρὼν τῆς Ἰσραηλιτικῆς ἀρχῆς, καὶ Ὢρ τῆς βασιλικῆς. Ἔδει γὰρ τὸν σταυρὸν ὑπὸ ἱερωσύνης καὶ βασιλείας συγκρατεῖσθαι. Ὅθεν μετὰ τὸν σταυρικὸν σχηματισμὸν τροπωθέντων τῶν ἐχθρῶν, νίκης κραταιᾶς γενομένης, ὁ Θεὸς πρὸς τὸν Μωϋσῆν· *Γράψον μοι τοῦτο εἰς μνημόσυνον, εἰς τὰς γενεὰς αὐτῶν*.

A vim et efficacitatem ante gratiam in lege adhuc, jam inde a multis sæculis a Moyse præfiguratam, non longe petita oratione licet confirmare. Jesus filius Nave, ut probe nostis, acie contra alienigenas instructa, ut vidit in conflictu alienigenarum et Israelitarum, alienigenas Israelitis in certamine superiores, id Moysi indicavit dicens : *Ora, serve Dei Moyses, quoniam prævalet adversarius, extollitur alienigena* [a]; adhibe preces. Preces enim puro sinceroque animo ad Deum fusæ, telis fortiores sunt. Quid igitur fecit Moyses divini Spiritus revelatione illustratus? quomodo adversarios pellere instituit? Conscenso muro non flexit genu, non demisit caput, non edidit vocem, sed manus extendit, caput erexit, crucis figuram expressit. Ex quo factum est ut, B Moyse manus extendente, figuramque crucis præsignificante, intelligerent ii qui coram præsentes aderant, victoriæ decus non occultæ labiorum motioni, sed crucis figuræ tribuendum. Quid enim evenit? quandiu Moyses extentas tenuit manus, prævaluit Jesus Nave. At quamprimum Moyses defatigatus, utpote homo, demisit manus, prævaluit alienigena. Itaque cum, qui aderant, cognovissent ex figura illa pendere victoriam, constituerunt duos viros, qui manus Moysis suffulcirent, Aaronem et Hur : Aaronem de Israelitico magistratu, Hur de regio. Sciebat enim crucem sacerdotio et regno conservari. Versis ad extremum hostibus, partaque insigni per crucis figuram C victoria, Deus ad Moysen : *Scribe* mihi hoc, inquit, *in monumentum, in generationes eorum* [b].

Διὸ καὶ ὁ Κύριος ἐν τῇ ἐνανθρωπήσει διὰ τοῦ σταυροῦ τὸν τύραννον ἐτροπώσατο. Ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ διὰ ξύλου ὑγροῦ τὸν θάνατον ἐβλάστησεν. Ὁ Κύριος διὰ ξύλου ξηροῦ τὴν ζωὴν ἀνέθηλεν, ἀκαταμάχητον ὅπλον τοῖς πιστοῖς τὸν Σταυρὸν ἐγχειρήσας, ὅθεν ἀρτίως ἔλεγεν· *Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι*. Ταῦτα δὲ πρὸ πάντων ὁ Κύριος ἔλεγεν τοῖς αὐτοῦ μαθηταῖς. Οἶδε γὰρ αὐτοὺς πρὸ τῆς ἀναστάσεως δειλοὺς, ὀλιγοψύχους, ἀνθρωπίνῳ πάθει κρατηθέντας, καὶ μόνην τὴν παροῦσαν ζωὴν ἀληθινὴν εἶναι λέγοντας, φωτὸς καὶ ἀπολαύσεως πεπληρωμένην, οὐχὶ δὲ παλιγγενεσίαν ἑτέραν ἀμείνω τῆς παρούσης ζωῆς. Ὅθεν ὁ Κύριος δεικνὺς αὐτοῖς τὴν παλιγγενεσίαν ἀξιαγαστοτέραν εἶναι τῆς παρούσης ζωῆς, ἐπ' ὄψεσιν αὐτοὺς πληροφορεῖ. Ἤκουσαν γὰρ αὐτοῦ ἀρτίως λέγοντος· Δεῖ με ἀπελθεῖν εἰς Ἱερουσαλὴμ, καὶ πολλὰ παθεῖν, καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. Ταῦτα οἱ ἀπόστολοι τῇ ἀκοῇ προσδεξάμενοι, ἀντέβαλλον πικρῷ στόματι, πρὸς ἀλλήλους φάσκοντες· Ξένα τὰ τοῦ διδασκάλου παρεγγυήματα, ἀλληγορικὸν λόγον ἡμῖν λέγει, ὅτι Δεῖ με ἀνελθεῖν εἰς Ἱερου-

Quare Dominus quoque in humana natura tyrannum per crucem fugavit. Primus homo Adam mortem per humidum lignum proseminavit : Dominus vitam per lignum aridum progeneravit, invictaque fidelibus arma tradidit. Unde paulo ante dixit : *Si quis vult post me venire, abneget semetipsum, et tollat crucem suam, et sequatur me.* Hæc autem ante omnes suis dixit discipulis. Sciebat enim illos ante resurrectionem timidos, pusillanimes, humana affectione occupatos, præsentem tantummodo vitam prædicare ut veram, lucisque et voluptatis plenam, regenerationis alterius præsente vita melioris ignaros. Ut ergo demonstraret eis regenerationem præsenti vita D mirabiliorem jucundioremque esse, hujusce rei notitiam ipsis eorum oculis subjecit. Audierant enim eum paulo ante dicentem : Oportet me ire in Jerusalem, et multa pati, et occidi, et tertia die resurgere. Hæc illi auribus hausta, acerbo inter se animo conferebant, ac dicebant : Nova sunt hæc magistri mandata; allegorico sermone utitur, quod ait : Oportet me ire in Jerusalem, et occidi. Quibus in rebus sita erit spes nostra?

[a] Exod. XVII, 12. [b] ibid. 14.

frustra, ut videtur, eum sequimur relictis navibus, retibus, curaque familiari. Ut immortales, animati eramus; rebamur nos discipulos esse ejus qui mortuos excitaret; et in contrarium versa est spes nostra. Allegorice ad nos dicit: Oportet me occidi, et tertia die resurgere. Si post tres dies resurget, cur moritur? cur sese inimicis tradit? Si post tres dies resurget a mortuis, vana sunt dicta ejus. Quis unquam a mortuis resurrexit? Elias assumptus est, et non comparuit; Moyses mortuus, in ignoto sepulcro tumulatus, etiamnum manet in eo loco. Quibus nemo potentior, operibusque supra naturæ facultatem editis fuit celebrior. Horum neuter iterum comparuit, et magister noster, ut ait, tradetur, idque ad violentam mortem, et post tres dies resurget? Decipit nos ut idiotas et indoctos; nihil fiet eorum quæ dicit.

Ob hanc igitur acerbam apostolorum cogitationem, multum laboravit ut eos certos securosque redderet, nec discipulos suos fluctibus infidelitatis sineret hauriri. Citius eis dubitationem ademit, cum adhuc in terra inque corpore degerent, demonstrata, ipsisque corporeis oculis subjecta divina resurrectionis potentia, constituitque in conspectu eorum Moysen et Eliam mortuos, quos illi mente revolverant, excellenti gloria præditos, crucisque negotium et passionem Hierosolymis sustinendam sua ipsorum voce commemorantes, ut oculis auribusque impressa manerent. Hæc ita sese habere, audivisti paulo ante Dominum ad eos dicentem: In veritate dico vobis (O Domini bonitatem! jurat dubitantibus), hoc est, jurejurando confirmo vobis ut, quoniam verbis meis fidem non habetis, vel sic persuadeam: *In veritate dico vobis, sunt quidam de hic stantibus, qui non gustabunt mortem, donec videant regnum Dei* [6]. Quodnam regnum? Gloriam fidelibus post hujus vitæ exitum repositam, futuram gloriam.

Quid ergo subjicit evangelista? Factum est post hæc verba, fere dies octo. Celeriter fidem facit Dominus, mox desiderium satiat. Assumit Jesus *Petrum, et Jacobum, et Joannem, et ascendit in montem, ut oraret. Et dum oraret, facta est species vultus ejus altera, et vestitus ejus albus et refulgens.* Et ecce duo viri astiterunt ei, Moyses et Elias, gloria fulgentes, *qui dicebant excessum ejus, quem completurus erat in Jerusalem* [7]. Quem excessum? Crucis passionem, contumeliam illam, a servis inflictas alapas, latronis a dextra crucifixi salutem. Cuinam dicebant? Ambigentibus, Petro, et Jacobo, et Joanni. Quoniam, inquiunt, Domino non obtemperatis, vel nobis servis credite. *Petrus autem, et qui cum eo erant, gravati erant somno. Et evigilantes viderunt majestatem ejus, et duos vi-*

A σαλὴμ, καὶ ἀποκτανθῆναι. Ἐν τίσιν ἔσται ἡ ἡμετέρα ἐλπίς; μάτην, ὡς ἔοικεν, ἀκολουθοῦμεν, καταλελοίπαμεν τὰ πλοῖα, καὶ τὰ δίκτυα, καὶ τὴν ἐπιμέλειαν τῶν οἴκων· ὡς ἀθάνατοι διεκείμεθα, δοκοῦντες μαθητεύειν τῷ νεκροὺς ἐγείροντι, καὶ εἰς τὸ ἐναντίον περιετράπη ἡ ἐλπὶς ἡμῶν. Ἀλληγορῶν ἡμῖν λέγει, ὅτι Δεῖ με ἀποκτανθῆναι, καὶ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. Εἰ μετὰ τρεῖς ἡμέρας ἐγείρεται, τί καὶ ἀποθνήσκει; Τί καὶ τοῖς ἐχθροῖς ἑαυτὸν παραδίδωσιν; Εἰ μετὰ τρεῖς ἡμέρας ἐγείρεται ἐκ νεκρῶν, μάταια τὰ λεγόμενά ἐστιν. Τίς ποτε ἐκ νεκρῶν ἀνέστη; Ἠλίας ἀνελήφθη καὶ οὐκ ἐφάνη· Μωϋσῆς ἀπέθανεν, ἐν ἀγνώστῳ τάφῳ κονιορτωθεὶς, καὶ ἔτι μένει ἐν τῷ τόπῳ. Ὧν οὐδεὶς δραστικώτερος ἐν τῷ βίῳ ηὕρηται. Τούτων οὐδεὶς ἀνεκάλυψεν,
B καὶ ὁ διδάσκαλος ἡμῶν, καθὼς διαγορεύει, μέλλει παραδίδοσθαι, καὶ τοῦτο βιαίῳ θανάτῳ, καὶ μετὰ τρεῖς ἡμέρας ἐγείρεται; Πλανᾷ ἡμᾶς ὡς ἰδιώτας, οὐδὲν ἔσται τῶν παρ' αὐτοῦ λεγομένων.

Διὰ ταύτην οὖν τὴν τῶν ἀποστόλων χαλεπὴν διανόησιν, πολὺς ὢν ἐν πληροφορίᾳ ὁ Κύριος, οὐκ ἐγκαταλιμπάνει τοὺς ἑαυτοῦ μαθητὰς τῇ τρικυμίᾳ τῆς ἀπιστίας νήχεσθαι. Θᾶττον δὲ καὶ πληροφορεῖ, ἐπὶ γῆς ἔτι καὶ ἐν σώματι τῶν ἀποστόλων διαγόντων, ὑποδεικνὺς αὐτοῖς τὴν ἀβάστακτον δύναμιν σωματικοῖς ὀφθαλμοῖς θεοπρεπῆ τῆς ἀναστάσεως δύναμιν· παραστήσας ἐναντίον αὐτῶν Μωϋσῆν καὶ Ἠλίαν τοὺς νεκροὺς, κατὰ διάνοιαν ὑπ' αὐτῶν λογισθέντας, ἐν ἀπροσίτῳ δόξῃ στολισθέντας, καὶ τὰ
C τῆς σταυρικῆς ἐν Ἱεροσολύμοις πραγματείας διηγουμένους πάθη ἐν ἰδιοφώνῳ φθογγῇ, ὅπως ὄψει καὶ ἀκοῇ στοιχειωθέντα προσμένωσιν. Ὅτι δὲ ταῦτα οὕτως, ἤκουσαν ἀρτίως τοῦ Κυρίου λέγοντος πρὸς αὐτούς· *Ἐπ' ἀληθείας λέγω ὑμῖν* (ὢ τῆς Δεσποτικῆς ἀγαθότητος! ἐπόμνυται τοῖς διστάζουσι), τοῦτ' ἔστι, Μεθ' ὅρκου λέγω ὑμῖν, παρ' ὃ τοῖς λόγοις μου οὐ πιστεύετε, νῦν ὑμᾶς πληροφορῶ· *Ἐπ' ἀληθείας λέγω ὑμῖν, εἰσί τινες τῶν ὧδε ἑστώτων, οἵτινες οὐ μὴ γεύσονται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ.* Ποίαν βασιλείαν; Τὴν μετὰ τὴν ἔνθεν ἔξοδον, τοῖς πιστοῖς ἀποκεκληρωμένην δόξαν, τὴν μέλλουσαν δόξαν.

Τί οὖν ὁ εὐαγγελιστής; Ἐγένετο μετὰ τοὺς τούτους ὡς ἡμέραι ὀκτώ. Σύντομος ἡ τοῦ Κυρίου πληροφορία, θᾶττον παρέχει τὴν ἐπιπόθησιν. Παραλαμ-
D βάνει ὁ Ἰησοῦς *Πέτρον, καὶ Ἰάκωβον καὶ Ἰωάννην, καὶ ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι. Ἐν δὲ τῷ προσεύξασθαι αὐτὸν, ἐγένετο τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων.* Καὶ ἰδοὺ ἄνδρες δύο παρεστήκεισαν αὐτῷ, οἵτινες ἦσαν Μωϋσῆς καὶ Ἠλίας, *Οἱ ὀφθέντες ἐν δόξῃ, ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ.* Ποίαν ἔξοδον; τὸ σταυροῦ πάθος, τὴν ἐκεῖ ὕβριν, τὰ τῶν δούλων ῥαπίσματα, τὴν τοῦ ἐκ δεξιῶν λῃστοῦ σωτηρίαν. Τίνι ἔλεγον; Τοῖς ἀμφιβάλλουσι, Πέτρῳ, καὶ Ἰακώβῳ καὶ Ἰωάννῃ, λέγοντες πρὸς αὐτοὺς, πὰρ ὃ τῷ Δεσπότῃ οὐ πειθαρχεῖτε, κἂν ἡμῖν τοῖς δούλοις πι-

[6] Matth. XVI, 28. [7] Luc. IX, 28-31.

στεύσατε. Ὁ δὲ Πέτρος, καὶ οἱ σὺν αὐτῷ, ἦσαν βεβαρημένοι ὕπνῳ. Διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐτοῦ, καὶ τοὺς δύο ἄνδρας συλλαλοῦντας αὐτῷ. Καὶ εἶπεν αὐτῷ ὁ Πέτρος· *Ἐπιστάτα, καλόν ἐστιν ὧδε ἡμᾶς εἶναι· ποιήσωμεν τρεῖς σκηνὰς, σοὶ μίαν, καὶ Μωϋσῇ μίαν, καὶ Ἠλίᾳ μίαν· μὴ εἰδὼς ὃ λέγει. Ταῦτα αὐτοῦ λέγοντος, ἐγένετο νεφέλη, καὶ ἐπεσκίασεν αὐτούς· ἐφοβήθησαν δὲ ἐν τῷ εἰσελθεῖν αὐτοὺς ὑπὸ τὴν νεφέλην. Καὶ ἰδοὺ ἐκ τῆς νεφέλης φωνὴ λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα, αὐτοῦ ἀκούετε.*

A ros, loquentes cum eo. Et dixit ei Petrus: *Domine, bonum est nos hic esse: faciamus hic tria tabernacula, tibi unum, et Moysi unum, et Eliæ unum, nesciens quid diceret. Hæc eo loquente facta est nubes, et obumbravit eos. Timuerunt autem cum intrarent in nubem. Et ecce vox de nube dicens: Hic est Filius meus dilectus, in quo mihi bene complacui, ipsum audite* [8].

Τί λέγεις, ὦ φίλε; Εἶδες πόσην πληροφορίαν ὁ Δεσπότης Χριστὸς τοῖς ἀμφιβάλλουσιν ἐν τῇ γῇ ἔτι διάγουσιν, μετὰ ὀκτὼ ἡμέρας αὐτοπροσώπως παρέσχεν, ἐμφανίσας αὐτοῖς τὸ ἀπρόσιτον αὐτοῦ τῆς θεότητος κάλλος, οὐχ ὅσον ἦν, ἀλλ' ὅσον ἠδύναντο βαστάσαι ἀνθρώπων ἀνύστακτα βλέφαρα, καὶ τὴν ἑαυτοῦ δόξαν ἀνεφάνισεν. Ὁμοίως δὲ Μωϋσῆν, καὶ Ἠλίαν ἀνθηροτέρους τῆς προτέρας ζωῆς παρέστησεν, διηγουμένους τὰ τοῦ σταυροῦ μέλλοντα γίνεσθαι τεκμήρια· πρὸς τὸ συνειδεῖν τοὺς ἀποστόλους, ὅτι κατ' αὐτοὺς οὐδεὶς δεσπόζει τῶν δικαίων θάνατος, καὶ ἵνα μισήσωσι τὴν παροῦσαν ζωὴν κατὰ τὸ φάσκον θεῖον ῥητὸν, ὅτι *Οἱ δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ ἐλπὶς αὐτῶν παρὰ Ὑψίστῳ, ὡς τὸν τῶν ἀντιπάλων ἀγῶνα νικήσαντες.* Ὅθεν ὁ Πέτρος ὄψει πληροφορηθεὶς, λοιπὸν ἀπὸ τῆς λύπης εἰς χαρὰν μετηνέχθη, κατανοήσας τὸν Δεσπότην, καὶ τὴν ἀπρόσιτον αὐτοῦ δόξαν, μεταξὺ Μωϋσέως καὶ Ἠλία δορυφορούμενον. Καὶ πόθεν αὐτοῖς ἡ γνῶσις ὅτι Μωϋσῆς ἦν καὶ Ἠλίας; ἐκ τῶν τεκμηρίων· ὁ γὰρ Ἠλίας σὺν τῷ ἅρματι παρέστη, καὶ ὁ Μωϋσῆς τὰς πλάκας βαστάζων. Τί δὲ ἀναγκαῖον, ὅτι τοὺς τρεῖς τούτους μόνους ἀνήγαγεν, τῶν δὲ προφητῶν οὐδένα, εἰ μὴ Μωϋσῆν, καὶ Ἠλίαν, καὶ διὰ τί τούτους μὲν τοὺς τρεῖς, ἐκείνους δὲ τοὺς δύο; ἵνα πληρωθῇ τὸ Παύλου ῥητόν· *Ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψει ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων.* Ἐκ τῶν καταχθονίων ἀνήγαγεν τὸν Μωϋσῆν, ἐκ τῶν ἐπουρανίων κατήγαγεν τὸν Ἠλίαν, ἐκ τῶν ἐπιγείων παρέστησεν Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην.

Quid ais, amice? Vidistine quam certam fidem Christus Dominus ambigentibus apostolis, et in terra etiamnum degentibus, post octo dies coram præsens ipse fecerit, ostensa eis inaccessa Divinitatis pulchritudine, non quanta erat, sed quan- B tum poterant portare infirmi oculi, et quomodo suam gloriam monstraverit? Similiter autem Moysen et Eliam clariores quam in vivis fuissent, exhibuit, futura crucis signa commemorantes. Ut intelligerent apostoli justis nullam mortem prævalere, et ut odissent præsentem vitam, juxta divinum illud dictum: *Justi in perpetuum vivunt, et apud Dominum est merces eorum, et spes illorum apud Altissimum, quippe hostibus in certamine superiores* [9]. Unde Petrus rei certitudine ipsis oculis perspecta, deinceps dolorem cum gaudio commutavit, considerans Dominum, et inaccessam ejus gloriam, inter Moysen et Eliam stipatum. At unde sciebant Moysen et Eliam esse? e signis. Elias C enim cum curru adfuit, Moyses cum tabulis. Quid vero attinuit tres tantum in montem ducere, et ex prophetis neminem, nisi Moysen et Eliam? et cur illos quidem tres, hos autem duos? ut impleretur dictum Pauli: *In nomine Jesu omne genu flectetur, cœlestium, terrestrium, et infernorum* [10]. Ex infernis subduxit Moysen, ex cœlestibus deduxit Eliam, ex terrestribus Petrum, Jacobum et Joannem.

Ἔνθεν ὁ Πέτρος μεταβληθεὶς ἀπὸ τῆς λύπης εἰς τὴν χαρὰν προσῆλθε τῷ Κυρίῳ, λέγων· *Ἐπιστάτα, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, καὶ ποιήσωμεν ὧδε τρεῖς σκηνὰς, μίαν σοὶ, μίαν Μωϋσῇ, μίαν Ἠλίᾳ.* Ἔγνωμέν σου νῦν ἐκ τῶν παρόντων, τῆς βασιλείας τὴν ἀκαταμάχητον δόξαν. Τί οὖν ἐκφοβῶν ἡμᾶς ἔλεγες· Δεῖ με ἀνελθεῖν ἐν Ἱερουσαλὴμ, καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι; Τί σεαυτὸν πρὸς θάνατον τοῖς ἐχθροῖς προτείνεις; καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι. Οὐδεὶς τολμᾷ οὐδὲ τῶν ἀρχιερέων οὐδὲ τῶν τοῦ παμπόλλου πλήθους ἀνελθεῖν ἐνταῦθα. Εἰ δὲ ἀνέλθωσι, καθ' ἑαυτῶν ἀνέρχονται. Ἔχεις γὰρ ἐνταῦθα τοὺς δραστικοὺς στρατοπεδάρχας Μωϋσῆν καὶ Ἠλίαν. Ὁ Ἠλίας πῦρ αὖθις κατ' αὐτῶν βρέξει, ὁ Μωϋσῆς Φαραωνίῳ τύπῳ πάντας αὐτοὺς πνικτῷ τάφῳ παραπέμψει. *Καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, καὶ ποιήσωμεν τρεῖς σκηνὰς, μίαν σοὶ, μίαν Μωϋσῇ, μίαν Ἠλίᾳ.*

Quamobrem Petrus, tristitia in lætitiam versa, accessit ad Dominum, dicens: *Præceptor, bonum est nos hic esse, et faciamus hic tria tabernacula, tibi unum, Moysi unum, et Eliæ unum.* Cognovimus D ex ista tua transfiguratione ingentem regni tui gloriam. Quid ergo ut perterrefaceres nos, dixisti: Oportet me ascendere in Jerusalem, et occidi, et tertia die resurgere? cur teipsum inimicis ad mortem tradis? bonum est nos hic esse. Nemo audet neque ex pontificibus, neque ex omni multitudine huc ascendere. Quod si etiam ascenderint, cum suo damno ascendent. Habes enim hic potentissimos duces Moysen et Eliam. Elias ignibus eos opprimet, Moyses ad Ægyptium illum modum eos omnes uno sepulcro confertos obruet. *Bonum est nos hic esse, et faciamus hic tria tabernacula, tibi unum, Moysi unum, et Eliæ unum.*

[8] Luc. IX, 32-35. [9] Sap. V, 16 [10] Philipp. II, 10.

Dominus autem ad eum: Quid ais, Petre? Tria tabernacula construere cogitas. Simul me et Dominum, et similem servis facis? Occasionem blasphemiæ Ario et Eunomio præbes, cum creaturas mihi habitationem vis assignare. Hiccine habitabo, et extra paternum inveniar sinum? Assumpsi quidem humanitatem, sed non circumscribitur, neque comprehenditur æterna potestas mea. Quid vero tibi in mentem venit, Petre? Quæ non didicisti, facere aggrederis? retia didicisti contexere; nunc etiam tabernacula exædificare? Tibine parebo, an mundum salvabo? Hiccine maneam? Et quis Adam excitabit? Quis Evam liberabit? Quis mundum redimet? Tuine solius curam geris, ac non totius mundi? Evangelista igitur excusans Petrum, ait: *Nesciens quid diceret.* Ac veniam consecutus est, quoniam nesciens locutus est.

Postquam Dominus Petrum verbis castigaverat, Petrus, ut verisimile est, respondit: Tanta est, Domine, demissio tua, ut in tabernaculo habitare dignatus, eaque modestia etiam ante tempus gratiæ usus fueris. An non in tabernaculum Abrahæ ingressus es? An non suscepit te patriarcha? An non vitulum præbuit? An non quæ tibi placebant, præstitit? An non benedictione merita ejus compensasti? At Dominus ad Petrum: Ita est, Petre. Ingressus sum in tabernaculum Abrahæ, et ingressus mansi. Sed animadverte fidem, et scientiam, et victoriam Abrahæ. Tertium me agnovit cum duobus angelis. Num tria tabernacula fabricatus est? Num me cum servis comparavit? An non unam ad suscipiendum hospitio Dominum mensam paravit? Imitare Abraham, et fac tabernaculum. Quid igitur evangelista? *Et ecce nubes lucida obumbravit eos.* Quosnam? Moysen et Eliam. Quare? ut apostoli quoque pro certo cognoscerent quanta gloria potirentur. Timuerunt autem dum in nubem ingressi sunt, et magnitudinem gloriæ trementes perceperunt apostoli. Ingressis vero illis, desuper paterna vox facta est dicens: *Hic est Filius meus dilectus.* Advertite paternam vocem, et quam clare distincteque rem expresserit. Præsentibus enim Moyse et Elia, non dixit: *Hic est Filius meus dilectus:* ne decepti apostoli existimarent hunc aut illum esse: sed postquam illi evanuerunt, tum verum demonstrans, dixit: *Hic est Filius meus dilectus.*

Veniant Judæi, veniant ex omni hæresi, divinitatis adulteratores, audiant auctoritatem: *Hic est Filius meus dilectus, in quo mihi bene complacui.* Hic solus, non ut Græci decepti, multos putaverunt. Hic quem ego vobis cœlitus ostendo, non quem insipientes Judæi exspectant. Hic per omnia mihi Patri consubstantialis, non ut hæretici quidam eum in servorum ordinem redegerunt. Hic qui mecum ante ævum exsistit. Hic qui mundum spiritu compegit. Hic qui Adamum formavit;

A 'Ο δὲ Κύριος πρὸς αὐτόν· Τί λέγεις, Πέτρε; Τρεῖς σκηνὰς κατασκευάζειν διανενόησαι; Ὁμοιότροπόν με καὶ ὁμοδέσποτον τοῖς δούλοις διατίθης; Ἀφορμὴν βλασφημίας Ἀρείῳ καὶ Εὐνομίῳ καταλιμπάνεις, μετὰ κτισμάτων τὴν κατοίκησίν μου θέλων ποιήσασθαι. Ὧδε κατοικήσω, καὶ ἔξω τῶν πατρικῶν εὑρεθήσομαι κόλπων; Μετέρχομαι μὲν γὰρ τῇ ἀνθρωπότητι, οὐ περιγράφομαι δὲ τῇ ἀνάρχῳ ἐξουσίᾳ μου. Τί δὲ ἐνοήθης, Πέτρε; ἃ μὴ μεμάθηκας μετέρχῃ; δίκτυα μεμάθηκας κατασκευάζειν, μὴ καὶ σκηνὰς περιαυλίζειν; Σοὶ πειθαρχήσω, ἢ τὸν κόσμον σώσω; Ὧδε μείνω; καὶ τίς τὸν Ἀδὰμ διυπνήσει; Τίς τὴν Εὔαν ἐλευθερώσει; Τίς τὸν κόσμον ἐξαγοράσει; σεαυτοῦ μόνον ἐπιμέλειαν ποιεῖς, οὐχὶ δὲ τοῦ σύμπαντος κόσμου; Ὅθεν ὁ εὐαγγελιστής, ἀπο-

B λογούμενος ὑπὲρ Πέτρου, ἔλεγεν· *Μὴ εἰδὼς ὃ λέγει.* Καὶ συγγνώμην ἐδέξατο, ἐπειδὴ οὐκ εἰδὼς ἐλάλησεν.

Ὅθεν τοῦ Κυρίου ἐπισκήψαντος τῷ Πέτρῳ, ὁ Πέτρος, ὡς εἰκὸς, ἔφη· Διότι, Δέσποτα, ἡ συγκατάβασίς σου τοιαύτη, κατεδέξω καὶ ἐν σκηνῇ κατοικῆσαι, καὶ πρὸ τῆς χάριτος μετριάσας, οὐχὶ ἐν τῇ σκηνῇ τοῦ Ἀβραὰμ ἐχώρησας; Οὐχ ὑπεδέξατό σε ὁ πατριάρχης; Οὐχὶ μόσχον παρέσχηκεν; Οὐχὶ τὰ δοκοῦντα διεπράξατο; Οὐχὶ εὐλογίαν αὐτῷ ἀντιμισθίαν ἐβράβευσας; Ὁ δὲ Κύριος πρὸς τὸν Πέτρον· Ἀληθὴς ὁ λόγος, εἰσῆλθον εἰς τὴν σκηνὴν τοῦ Ἀβραὰμ, καὶ εἰσελθὼν κατεσκήνωσα. Ἀλλ' ὅρα τὴν πίστιν καὶ τὴν γνῶσιν, καὶ τὴν νίκην τοῦ

C Ἀβραάμ. Τρίτον με κατενόησεν σὺν δυσὶν ἀγγέλοις. Μὴ τρεῖς σκηνὰς ἐπετέλεσεν; Μὴ συνέκρινέ με τοῖς δούλοις; Οὐχὶ μίαν πρὸς τὴν Δεσποτικὴν δεξίωσιν ἡτοίμασε τράπεζαν; Μίμησαι τὸν Ἀβραὰμ, καὶ ποίει τὴν σκηνήν. Τί οὖν ὁ εὐαγγελιστής; *Καὶ ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς.* Τίνας; Μωϋσῆν, καὶ Ἠλίαν. Διὰ τί; Πρὸς τὸ πληροφορηθῆναι καὶ τοὺς ἀποστόλους, ἐν ποίᾳ δόξῃ καθεστήκασιν. Ἐφοβήθησαν δὲ ἐν τῷ εἰσελθεῖν ἐκείνους ὑπὸ τὴν νεφέλην, τὴν ὑπερβολὴν τῆς δόξης τρέμοντες ἐδέξαντο οἱ ἀπόστολοι. Μετὰ δὲ τὸ εἰσελθεῖν ἐκείνους, ἄνωθεν πατρῴα φωνὴ ἐγένετο λέγουσα· *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός.* Ὁρᾶτε τὴν πατρῴαν φωνὴν, καὶ πῶς ἀσύγχυτον αὐτὴν ἐφύλαξεν. Παρόντων γὰρ Μωϋσῆ καὶ Ἠλία, οὐκ εἶπεν· *Οὗτός ἐστιν*

D *ὁ Υἱός μου ὁ ἀγαπητὸς*, ἵνα μὴ φαντασθέντες οἱ ἀπόστολοι δόξωσιν ἐκεῖνον εἶναι ἢ ἐκεῖνον· ἀλλὰ μετὰ τὸ ἐκείνους ἀφανεῖς εἶναι, τότε τὸν ἀληθῆ ἀποδεικνὺς ἔλεγεν· *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός.*

Παρέστωσαν Ἰουδαῖοι, παρέστωσαν ἐκ πάσης αἱρέσεως, οἱ τῆς θεότητος παραχαράκται, ἀκουσάτωσαν τῆς αὐθεντίας· *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα.* Οὗτος μόνος οὐχ ὡς οἱ Ἕλληνες ἀπατηθέντες πολλοὺς ἐνόμισαν. Οὗτος, ὃν ἐγὼ οὐρανόθεν ὑμῖν ἀποδείκνυμι· οὐχ ὃν οἱ ματαιοφρονοῦντες Ἰουδαῖοι προσδέχονται. Οὗτος ὁ κατὰ πάντα ἐμοὶ τῷ Πατρὶ ὁμοούσιος, οὐχ ὡς οἱ αἱρετικοί τινες εἰς δοῦλον ἐμείωσαν. Οὗτος σὺν ἐμοὶ πρὸ τῶν αἰώνων προϋπάρχων. Οὗτος ὁ τὸν κόσμον

πνεύματι συμπηξάμενος. Οὗτος ὁ τὸν Ἀδὰμ διαπλάττων, ᾧ συνεβουλευόμην ποιῆσαι ἄνθρωπον. Οὗτος ὁ λαβὼν χοῦν ἀπὸ τῆς γῆς καὶ πλάσας τὸν ἄνθρωπον. Οὗτος ὁ τὸν Ἐνὼχ παραδόξως μεταθεὶς ἐξ ἀνθρώπων. Οὗτος ὁ ὁρώμενός τε καὶ νοούμενος. Οὗτος ὁ σὺν ἐμοὶ ὢν, καὶ ἐπὶ τὸ ὄρος ἑστώς. Οὗτος ὁ μεθ' ὑμῶν συναναστρεφόμενος, καὶ ἐκ τοῦ Γεννήτορος μὴ χωριζόμενος. Οὗτος ὁ ἄχρονος, ὁ ἄναρχος, ὁ ἀδιάδοχος, ὁ ἀΐδιος, ὁ ἀναλλοίωτος, ὁ ἀκατάληπτος, ὁ ἄφραστος, ὁ ἀπερινόητος. Οὗτος ἔστιν, οὐκ ἐγένετο, οὐκ ἐκτίσθη. Ἔστι κατὰ φύσιν, οὐ κατὰ χάριν. Ἔστιν οὐ τῷ χρόνῳ τὸ εἶναι λαβών. Ἔστιν, ἦν γὰρ καὶ πρώην, καὶ ὑπῆρχεν. Οὐδὲ γὰρ ἐγὼ τῷ χρόνῳ ἐγενόμην Πατὴρ, ἀλλὰ πάντοτε ὑπάρχω Πατήρ. Εἰ δὲ πάντοτε ἐγὼ Πατὴρ, πάντοτε καὶ οὗτος Υἱὸς, πάντοτε καὶ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ σὺν ἐμοὶ, καὶ τῷ Υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον, καὶ ἀεὶ, καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A cum quo consilium de faciendo homine communicavi. Hic qui e limo terræ hominem finxit. Hic qui Enoch mirabiliter transtulit ex hominibus. Hic qui et visu et intellectu percipitur. Hic qui mecum est, et in monte stetit. Hic qui vobiscum versatur, et a Genitore non separatur. Hic sine tempore, sine principio, æternus, immutabilis, incomprehensibilis, ineffabilis, incogitabilis. Hic est, non factus est, non creatus est. Est natura, non gratia. Est, non tempore cœpit esse. Est; erat enim etiam ante, et exsistebat. Neque enim ego in tempore factus sum Pater, sed semper sum Pater. Quod si semper ego Pater, semper et hic Filius, semper et Spiritus sanctus, qui mecum, et cum Filio una adoratur et conglorificatur nunc et B semper, et in sempiterna sæcula sæculorum. Amen.

TIMOTHEI III ALEXANDRINI

FRAGMENTA DOGMATICA.

MONITUM.

(Ang. Mai, *Spicileg. Rom.* t. III, p. 708.)

δὲ μὴ ἔχῃ, οὐδὲν ὠφελεῖται. Εἰ δὲ ἐμοῦ οὐ πείθῃ, ἄκουσον Παύλου τοῦ ἀποστόλου λέγοντος, ὅτι *Ἐὰν πωλήσω μου πάντα τὰ ὑπάρχοντα, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθῇ, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι.* Καὶ πάλιν· *Διὰ τὴν ἀγάπην τοῦ πνεύματος δουλεύετε ἀλλήλοις· ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λόγῳ πληροῦται, ἐν τῷ, Ἀγαπήσεις τὸν Θεόν σου, καὶ τὸν πλησίον σου ὡς ἑαυτόν.* Καὶ πάλιν· *Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει.* Τί ἐστιν ἔφισον Θεοῦ; Οὐδέν. Εἰ οὖν ὁ μέγας Ἀπόστολος τὸν Θεὸν ἀγάπην ἐκάλεσεν, λέγων, *Ὁ Θεὸς ἀγάπη ἐστίν*· ὁ ἀγαπῶν τὸν Θεὸν, καθ' ἑκάστην ὁρᾷ αὐτόν. Ὁ μὴ ἔχων ἀγάπην τί ἐστιν; χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον. Τοῦτον ναὸν ἄτοιχον ὠνόμασεν ἐκεῖνος θείας ὁράσεως ἐπόπτης· οὐδὲν ἄλλο ἰσχύει κατόρθωμα, ἀγάπης μὴ παρούσης.

Καὶ πάλιν λέγει αὐτῷ ὁ Ἀλέξανδρος· Πάτερ, ποία ἁμαρτία ἀνωτέρα ἐστίν; Λέγει αὐτῷ ὁ Εὐσέβιος (2)· Πᾶσα ἁμαρτία δεινή ἐστιν· ἀφ' οὗ γὰρ λέγεται ἁμαρτία, τί ἐρωτᾷς περὶ τῆς ἁμαρτίας; Πλὴν ἐπειδὴ καὶ ἐν τοῖς ἁμαρτήμασιν διαφοραί εἰσιν, εἴπω σοι τὴν ἀλήθειαν. Χεῖρον τῆς πλεονεξίας καὶ τῆς μνησικακίας οὐδέν ἐστιν. Ἄκουε Παύλου τοῦ εὐλογημένου ἀποστόλου λέγοντος· *Πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία.* Οὐδὲ μοιχεία, οὐδὲ λῃστεία, οὐδὲ ἕτερόν τι ἁμάρτημα χεῖρον, ἀλλ' ἡ πλεονεξία, ἥτις ἐστὶν εἰδωλολατρεία· δεινὰ μὲν οὖν ὅλα τὰ ἁμαρτήματα, ἀλλὰ λέγω δεινοτέρα ἐστὶν ἡ πλεονεξία. Καὶ γινωσκέτω ὁ πλεονέκτης, ὅτι καθ' ἡμέραν εἰδώλοις προσκυνεῖ, καὶ οὐδὲν ἕτερον.

Ἀδελφὴ δὲ τῆς πλεονεξίας ἐστὶν ἡ μνησικακία· δεινὴ μέν ἐστιν καὶ αὕτη ἡ ἁμαρτία καὶ παράνομος. Τὰ γὰρ ἄλλα ἁμαρτήματα πονηρὰ μέν ἐστιν, ὀλιγοχρόνια δὲ τυγχάνουσιν, μιᾷ ὥρᾳ ἀποτελούμενα. Οἷόν τι λέγωμεν· ἐπόρνευσέν τις; κακῶς μὲν ποιῶν, πλὴν ἐν μιᾷ ὥρᾳ ἐπετέλεσεν τὸ κακὸν, καὶ τὰς λοιπὰς ὥρας ἡσυχάζων δύναται μετανοῆσαι. Ἔκλεψέν τις; Καὶ τοῦτο κακὸν καὶ πολλάκις ποτὲ ποιεῖ, ποτὲ οὐ ποιεῖ· ἔχει οὖν καιρὸν μετανοίας. Ὁ δὲ μνησίκακος καθ' ἑκάστην ἡμέραν ἁμαρτάνει, καὶ τὴν κακίαν ἐν τῇ καρδίᾳ περιφέρων, κἂν εἰς ἐκκλησίαν ἀπέλθῃ, οὐ δύναται καθαρὰν εὐχὴν τῷ Θεῷ ἀναπέμψαι, τὴν κακίαν ἔχων κατὰ τοῦ πλησίον· οὐδέ ποτε καθιερεύει ἡ μνησίκακος ψυχή. Οὐδὲ ποιεῖ ἐλεημοσύνην· ὁ γὰρ μὴ ἔχων ἀγάπην, οὐδὲ ἐλεημοσύνην δύναται ποιῆσαι· ὃν γὰρ οὐκ ἀγαπᾷ τις, οὐδὲ ἐλεεῖ. Ὁ ἄκακος ἐχθρὸν οὐκ ἔχει· ὁ μνησίκακος οὐκ ἀπαλλάσσεται ἐχθροῦ, ἐχθρὸν ἔχων τὸ ἴδιον συνειδός. Πολλὴ ἀγαθότης ἀκάκου καρδίας. Διὰ τοῦτο καὶ ὁ Προφήτης ἔλεγεν· *Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε, Κύριε.* Καὶ πάλιν· *Ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με, Κύριε, καὶ ἐλέησόν με.*

A nullum capit emolumentum. Quod si mihi non credis, Paulum apostolum audi dicentem : *Si bona mea cuncta vendidero, corpusque meum comburendum tradidero, nisi simul charitate sim præditus, nullam percipiam utilitatem* [17]. Et rursus : *Per charitatem spiritus invicem subservite : universa enim lex uno verbo completur, nempe ut Deum tuum ames, et simul proximum tanquam teipsum* [18]. Et denuo : *Charitas nunquam excidit* [19]. Num quid est Deo par? Enimvero nihil. Si ergo magnus Apostolus Deum charitatem appellat dicens : *Deus charitas est* [20]; qui Deum amat, quotidie ipsum conspicit. Contra vero qui charitatem non habet quidnam est? æs resonans, et cymbalum tinniens. Hunc ille divinæ visionis spectator templum absque parietibus vo-
B cat. Nullum prorsus recte factum valet charitate destitutum.

Tunc iterum Alexander ait : Quodnam, Pater, peccatum maximum est? Respondit Eusebius : Omne peccatum dirum quid est : cum enim peccatum dicis, cur amplius interrogas de peccato? Sed tamen quia peccatorum differentiæ sunt, veritatem te non celabo. Avaritia et injuriarum recordatione nil deterius est. Audi benedictum apostolum Paulum qui ait (mortificate) : *Avaritiam, quæ est idolorum servitus* [21]. Neque adulterium, neque latrocinium, neque aliud quodlibet pejus peccatum, idololatriæ nomine vocitatur, sed avaritia. Dira igitur sunt omnia peccata, sed omnium gravissimum avaritia. Sciat enim avarus se quotidie nihil
C aliud nisi idola colere.

Avaritiæ autem soror est injuriarum recordatio, quæ sane et ipsa grave peccatum est et flagitiosum. Cætera enim peccata, etsi mala sunt, exiguo tamen tempore durant, quippe quæ brevi hora peraguntur. Exempli causa, fornicatur aliquis? male quidem facit, sed brevi hora malum id perpetrat, reliquis horis cessat, et pœnitere potest. Furatur aliquis? Male id quoque; sed sæpenumero id agit, sæpe etiam abstinet, ideoque tempus pœnitendi habet. Verum ille qui injuriarum recordatur seu odit, quotidie peccat, suamque improbitatem corde gerens, etiamsi ad ecclesiam pergat, puras preces coram Deo peragere nequit, quia odium contra
D proximum fovet : neque ullum sacrificium is qui infesto animo est offerre potest. Neque idem eleemosynam facit; etenim qui charitate caret non est eleemosynæ dandæ idoneus : nam quem non amat, ejusdem ne miseretur quidem. Vir bonus inimicum non habet, sed injuriarum memor seu osor nunquam hoste caret, quippe qui inimicam habet conscientiam suam. Multa est innocui cordis bonitas. Propterea dixit Propheta : *Innocentes et recti adhæserunt mihi, quia te, Domine, sustinui* [22]. Et rursus : *Ego in innocentia mea ambulavi; libera me, Domine, et miserere mei* [23].

[17] I Cor. XIII, 3. [18] Galat. V, 13, 14. [19] I Cor. XIII, 8. [20] I Joan. IV, 8. [21] Ephes. V, 5. [22] Psal. XXIV, 21. [23] Psal. XXV, 1.

(2) Item ab his verbis usque ad illa ἐχθρὸν ἔχων τὸ ἴδιον συνειδός, recitat universum factum sub nomine nostri Eusebii Damascenus in *Parallelis*, p. 331, cum notabili tamen varietate.

Præclarus igitur est innocuus animus. Idcirco benedictus Paulus ait: *Sol non occumbat super iracundiam vestram* [24]. Rursusque David: *Irascimini et nolite peccare* [25]. Nam qui irascitur, neque tamen iram retinet, sed cito fratri suo reconciliatur, omissa malivolentia, ipse est qui irascitur et non peccat, Pauli nimirum nec non Davidis præceptum secutus: *Irascimini et nolite peccare; quæ dicitis in cordibus vestris, in cubilibus vestris compungimini* [26]. Audiquoque verborum horum interpretationem. Quia Salvator dixit: *Quisquis mulierem aspexerit ad eam concupiscendam, jam mœchatus est ipsam in corde suo* [27]; idcirco David hortatur dicens: *Quæ dicitis in cordibus vestris, in cubilibus vestris compungimini.* Hoc est, si quempiam lædere in corde tuo cogitaveris, aut aliud quid nocuum meditatus fueris, cum in cubile veneris, pravarum tuarum fac memineris cogitationum, age compunctionem de cogitato peccato, luge, gemitus ede in cubili dolens, et dic cum Davide: *Lavabo per singulas noctes lectum meum, lacrymis meis stratum meum rigabo* [28]. Id si in lecto egeris, purus inde consurges, eluto lacrymis peccato, in Christo Jesu Domino nostro, cui honor et potentia per sæcula sæculorum. Amen.

A Καλὴ οὖν ἡ ἀκακία. Διὰ τοῦτο καὶ ὁ εὐλογημένος Παῦλος εἶπεν· *Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν*. Καὶ πάλιν ὁ Δαβίδ· *Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε*. Ὁ γὰρ ὀργιζόμενος, καὶ μὴ φυλάσσων τὴν ὀργὴν, ἀλλ' εὐθέως διαλλασσόμενος τῷ ἀδελφῷ αὐτοῦ, λιπὼν τὴν κακίαν, ὠργίσθη καὶ οὐχ ἥμαρτεν, καὶ ἐπλήρωσεν τὴν τοῦ Παύλου παραγγελίαν, καὶ τοῦ Δαβίδ· *Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε· ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε*. Ἄκουε καὶ τούτου τὴν ἑρμηνείαν. Ἐπειδὴ εἶπεν ὁ Σωτὴρ, *Ὅστις ἐμβλέψῃ γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ*· τούτου χάριν καὶ Δαβὶδ παραινεῖ λέγων· *Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύ-* B *γητε*. Τουτέστιν, ἐὰν εἴπῃς ἐν τῇ καρδίᾳ σου ἀδικῆσαί τινα, ἢ ἕτερόν τι ἐνθυμηθῇ πονηρὸν, ὅταν ἔλθῃς ἐν τῇ κοίτῃ σου, μνήσθητι τοὺς διαλογισμοὺς τοὺς πονηροὺς, καὶ κατανύγηθι ἐν τῇ ἁμαρτίᾳ τοῦ ἐνθυμήματος, κλαῦσον, στέναξον ἐν τῇ κοίτῃ λυπούμενος, καὶ εἰπὲ καὶ σὺ ὡς ὁ Δαβίδ· *Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσιν μου τὴν στρωμνήν μου βρέξω*. Τοῦτο ποιῶν ἐπὶ τῆς κλίνης, ἀνέστης καθαρὸς, λούσας διὰ τῶν δακρύων τὴν ἁμαρτίαν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

III.

De incarnatione Domini, et quam ob causam incarnatus sit.

Adventus Domini nostri Jesu Christi hæc causa fuit. Cum Deus ab initio humanum genus magnopere dilexisset, multamque ejus curam gessisset, neque tamen quisquam legem ejus custodisset, prophetas misit, quibus patres nostri haud auscultarunt, sed alios lapidibus appetiverunt, alios interfecerunt, nemini denique dociles aures præbuerunt. Igitur cum prophetæ dirum peccati vulnus viderent, atque humanum genus funditus periturum, cœperunt Dominum deprecari, ut ad sanandos homines ipse adveniret. Primus David propheta precabatur sic: *Inclina, Domine, cœlos, et descende* [29]. Nisi tu descenderis, atque hominum morbo medelam feceris, nemo salvabitur. Veni, Domine, ad salvandum nos. Cuncti pariter prophetæ Dominum ut de cœlo adveniret rogabant. Prophetarum ergo precibus ad misericordiam commotus, in terrarum orbem descendit. Hæc, inquam, causa fuit cur Dominus in mundum venerit.

Cur autem proprie factus sit homo, ac diabolum vicerit, audi quæ dicam. Quia diabolus dolosis per mulierem verbis deceperat primum hominem Adamum in paradiso degentem, idcirco sibi habitaculum Dominus in Virgine delegit, et in ipsa incarnatus, atque ea quo voluit modo natus est, ut in primis Evam maledictione liberaret, cunctumque mulierum genus crimine illo expediret. Nisi enim ipse de

Γ'.

III. *Εἰς τὴν ἐνανθρώπησιν τοῦ Κυρίου, καὶ τίνος ἕνεκεν ἐνανθρώπησεν.*

C Τοῦ κατελθεῖν τὸν Κύριον Ἰησοῦν Χριστὸν τοῦτο γέγονε τὸ αἴτιον. Ἐπειδὴ ἐξ ἀρχῆς πολλὰ ἠγάπησεν τὸ γένος τῶν ἀνθρώπων, πολλὴν πρόνοιαν ἐποιήσατο ἡμῶν, καὶ οὐδεὶς ἐφύλαττεν τὰ τοῦ νόμου, ἔπεμψεν προφήτας καὶ οὐκ ἤκουσαν οἱ πατέρες ἡμῶν τῶν προφητῶν, ἀλλὰ τοὺς μὲν ἐλίθασαν, ἄλλους ἐφόνευσαν, οὔτε ἑνὸς ἤκουσαν· εἰδότες οὖν οἱ προφῆται ὅτι δεινὴ ἡ πληγὴ τῆς ἁμαρτίας, καὶ ὅτι μέλλει ἀπολεῖσθαι τὸ γένος τῶν ἀνθρώπων, ἤρξαντο παρακαλεῖν κατελθεῖν αὐτὸν τὸν Κύριον, καὶ ἰάσασθαι τὸ γένος τῶν ἀνθρώπων. Πρῶτος ὁ προφήτης Δαβὶδ ἔλεγεν δεόμενος· *Κύριε, κλῖνον οὐρανοὺς, καὶ κατάβηθι*· ἐὰν μὴ καταβῇς καὶ ἰάσῃ τὴν τῶν ἀνθρώπων ἀλγηδόνα, οὐδεὶς δυνήσεται διασωθῆναι· D ἐλθὲ, Κύριε, εἰς τὸ σῶσαι ἡμᾶς. Ὁμοίως δὲ καὶ πάντες οἱ προφῆται ἐδέοντο τοῦ καταβῆναι τὸν Κύριον· καὶ σπλαγχνισθεὶς ὑπήκουσεν τῆς δεήσεως τῶν προφητῶν, καὶ κατῆλθεν ἐπὶ τὸ τῆς γῆς χωρίον. Αὕτη ἐστὶν ἡ αἰτία, δι' ἣν κατῆλθεν ὁ Κύριος ἐπὶ τὴν γῆν.

Διὰ τί δὲ γέγονεν ἄνθρωπος καὶ ἐνίκησεν τὸν διάβολον, ἄκουσον καὶ ἐρῶ σοι. Ἐπειδὴ τὸν πρῶτον ἄνθρωπον τὸν Ἀδὰμ δολεροῖς ῥήμασιν ἠπάτησεν ὁ διάβολος, ὄντα ἐν τῷ παραδείσῳ, διὰ τῆς γυναικὸς, διὰ τοῦτο ὁ Κύριος πρῶτον ἐνῴκισεν ἐν τῇ Παρθένῳ, καὶ ἐσαρκώθη ἐξ αὐτῆς καὶ προῆλθεν ὡς ἠθέλησεν, ἵνα πρῶτον τὴν Εὔαν ἐκ τῆς κατάρας ἐλευθερώσῃ, καὶ πᾶν τῶν γυναικῶν γένος λύσῃ τοῦ ἐγκλή-

[24] Ephes. IV, 26. [25] Psal. IV, 5. [26] ibid. [27] Matth. V, 28. [28] Psal. VI, 7. [29] Psal. CXLIII, 5.

A ματος. Εἰ μὴ γὰρ οὗτος ἐκ τῆς Παρθένου ἐγεννήθη, ἀπεγνωσμένον ἦν τὸ τῶν γυναικῶν γένος· ὅτε δὲ ἐγεννήθη ὁ Κύριος ἐκ τῆς Παρθένου, λοιπὸν καὶ Πέρσαι οἱ τὸ πρὶν μητέρας γαμοῦντες, νῦν παρθενίαν φυλάττουσιν· κόραι εὐτελεῖς καὶ παῖδες νέοι, ἐν θερμῇ ἡλικίᾳ ὑπάρχοντες, τὸν καύσονα τῆς ἐπιθυμίας καταπατοῦσιν· καὶ τότε γὰρ ἰσχυρὰ γέγονεν ἡ παρθενία, ἐξ ὅτε τὸ ἀμάραντον ῥόδον Ἰησοῦς Χριστὸς ἐκ τῆς Παρθένου προῆλθεν.

Ἔστιν δὲ καὶ ἡ δευτέρα. Εἰ μὴ ἐσαρκώθη ἐκ τῆς Παρθένου, καὶ ἐκάλυψεν τὴν θεότησα σαρκὶ, οὐχ ὑφίστατο οἰκουμένη φέρειν τὴν θέαν τὴν ἐξαστράπτουσαν τῆς θεότητος. Καὶ εἰ μὴ ἐνηνθρώπησεν, πῶς προσήγγιζον αὐτῷ οἱ μάγοι καὶ προσέφερον αὐτῷ δῶρα; Εἰ μὴ ἀνέλαβε σάρκα, πῶς ἐτόλμα ἡ πόρνη προσεγγίσαι αὐτῷ καὶ τοὺς πόδας καταφι- B λῆσαι, ὃν οἱ οὐρανοὶ οὐ χωροῦσιν; Ἢ πῶς Ζακχαῖος ἠδύνατο ἐν τῇ οἰκίᾳ αὐτοῦ ὑποδέξασθαι, τὸ πάθος τῆς τελωνείας καὶ τῆς ἁρπαγῆς καταπαῦσαι, καὶ ὑπόδειγμα γενέσθαι τοῖς ἁμαρτωλοῖς, ὅτι ἔστιν σωτηρίας καὶ μετανοίας ἐλπίς; Διὰ τοῦτο ἐνηνθρώπησεν, καὶ ἐκάλεσεν μάγους πρῶτον, ἔπειτα τελώνας, ἔπειτα πόρνας· ἔδωκεν αὐτοῖς ἄφεσιν ἁμαρτιῶν· ἐξέβαλεν τὸν νόμον, καὶ εἰσήγαγεν τὴν χάριν τοῦ Εὐαγγελίου, καὶ πᾶσαν τὴν κτίσιν ἠλευθέρωσεν.

Ἀλλ' ἐπειδὴ εἶπας· Τί γάρ; πρὸ τοῦ κατελθεῖν καὶ ἐνανθρωπῆσαι, οὐκ ἠδύνατο νικῆσαι τὸν Σατανᾶν; Ναὶ, ἠδύνατο· ἀλλ' ἄκουσον, καὶ ἐρῶ σοι καὶ ταύτην τὴν αἰτίαν. Καὶ πρὶν τοῦ κατελθεῖν τὸν C Κύριον καὶ ἐνανθρωπῆσαι, ἐνίκα τὸν διάβολον· ἀλλ' ἔμελλεν καυχᾶσθαι καὶ λέγειν, Τὸν ἄνθρωπον ἐνίκησα, καὶ ὑπὸ Θεοῦ ἐνικήθην· οὐ γέγονέν μοι μέγα τὸ πτῶμα· τέως τὸν ἄνθρωπον ἠπάτησα, τοῦ παραδείσου ξένον πεποίηκα καὶ τῆς θεϊκῆς διαθέσεως, αἰχμάλωτον (ὑπὸ) τὴν ἁμαρτίαν ἐπήγαγον, τὸν θάνατον διὰ τῆς ἁμαρτίας ἐπεισήνεγκα, τὴν παρακοὴν ἐδίδαξα, πορνεύειν ἐπέβαλον· ταῦτα πάντα ποιήσας αὐτοῖς, ὑπὸ Θεοῦ ἐνικήθην. Ἵνα μὴ οὖν ταύτην εὕρῃ τὴν καύχησιν ὁ πονηρὸς, καὶ εἴπῃ, ὑπὸ Θεοῦ ἐνικήθην, διὰ τοῦτο ὁ Θεὸς ἄνθρωπος γέγονεν· διὰ τοῦτο δεύτερος Ἀδὰμ ὁ Κύριος ἐξ οὐρανοῦ, ἵνα ὡς ἐνίκησε τὸν ἄνθρωπον αὐτὸς ἐκεῖνος, καὐτὴ σὰρξ τοῦ αὐτοῦ σῶμα, νικήσει τὸν διάβολον, ἵνα μὴ ἔχῃς λόγον εἰπεῖν, ὅτι τὸν ἄνθρωπον ἐνίκησα, καὶ ὑπὸ D Θεοῦ ἐνικήθην.

Δι' οὗ ὅπλου (3) ἐθανάτωσεν ὁ διάβολος τοὺς πρωτοπλάστους ἐν τῷ παραδείσῳ· διὰ τοῦτο ὁ Κύριος ἐνίκησεν τὸν διάβολον. Ἐπειδὴ γὰρ ἐκεῖνος διὰ τῆς γεύσεως τοῦ ξύλου τὸν Ἀδὰμ καὶ τὴν Εὔαν ἠπάτησεν, διὰ τοῦτο ὁ Κύριος διὰ τοῦ σταυροῦ τὸν διάβολον καταπάτημα τῶν ἀνθρώπων ἐποίησεν· ὅσον γὰρ ἔχουσιν τὸ σημεῖον τοῦ σταυροῦ ἐπὶ τοῦ μετώπου, καταπατοῦσιν τοῦ διαβόλου τὴν δύναμιν, καθὼς εἶπεν ὁ Σωτήρ· *Ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν*

Virgine natus fuisset, actum erat de sexu muliebri. Postquam autem de Virgine Dominus ortus est, jam Persæ quoque, qui antea matribus miscebantur, nunc servant virginitatem : puellæ humiles, puerique adolescentes, in ætatis fervore, concupiscentiæ vim domant. Tunc enim valida evasit virginitas, cum intemerata rosa Christus Jesus processit de Virgine.

Verumtamen aliam quoque causam in medium afferam. Nisi Deus ex Virgine prodiisset incarnatus, deitatemque corpore velavisset, mundus quidem conspectum ejus deitate fulgentem non sustinuisset. Certe nisi homo factus esset, quomodo Magi advenissent, eique dona obtulissent? Nisi carnem assumpsisset, quomodo meretrix accessisset, ejusque pedes osculata esset quem cœli non capiunt? Vel quomodo Zacchæus eum domi suæ excipere potuisset, publicani raptorisque noxam deponere, et pœnitentiæ exemplum peccatoribus consequendæque salutis spem exhibere? Idcirco igitur homo factus est, vocavitque Magos primum, deinde publicanos, postremo meretrices : his peccatorum remissionem concessit, legem antiquavit, Evangelii gratiam induxit, universamque creaturam in libertatem vindicavit.

Sed dices : Quid? nonne Deus ante adventum et incarnationem Satanam debellare poterat? Vero, inquam, poterat. Attamen hujus quoque rei causam audi. Ante adventum etiam et incarnationem Dominus diabolum utique devicisset; verumtamen hic deinceps gloriaturus erat atque dicturus : Ego quidem hominem vici, nec nisi a Deo victus sum : haud magni æstimandum est quod ego succubuerim : certe olim hominem decepi, paradiso divinaque gratia spoliavi, captivum peccato subdidi, mortem per peccatum adduxi, rebellem præcepto feci, apostasiam docui : at postquam hæc omnia homini feceram, a Deo devictus sum. Ne ergo improbus hac gloriatione uteretur, neve se a Deo victum dictitaret, ideo Deus hominem se fecit, ideo secundus Adam Dominus de cœlo venit, ut sicut ille hominem vicerat, sic ipse caro factus proprio in corpore diabolum superaret : ne tibi scilicet, diabole, copia dicendi foret, quod cum hominem vicisses, tu quidem nonnisi a Deo victus fuisses.

Sic igitur quibus armis diabolus primos homines in paradiso morte affecit, iisdem Dominus diabolum profligavit. Etenim quia is ligni gustu Adamum Evamque deceperat, ideo Dominus virtute crucis diabolum conculcandum homini exhibuit Revera quotquot crucis signaculum in fronte gerunt, vim diaboli prosternunt, ut ait Salvator : *Ecce dedi vobis potestatem calcandi serpentes et scorpios atque omnes hostis vires* [30]. Viden' ut hu-

[30] Luc. x, 19.

NOTÆ.

(3) Ab his verbis usque ad illa τοῦ διαβόλου τὴν δύναμιν, citat Eusebium nostrum Damascenus in *Parallelis*, p. 697, non sine aliqua varietate.

manis pedibus calcandus ille evaserit, qui archangelicæ gloriæ habuit dignitatem? Cur autem hæc isti acciderunt? Videlicet ob inobedientiam. Dixerat enim secum ipse : *Thronum meum sub cœlo statuam*, id est supra nubes, *eroque Altissimo similis* [31]. Idcirco conculcandus decidit. De ipso enim propheta dixerat : *Vidi Satanam tanquam fulgur de cœlo ruentem in terram* [32], ut sit sanctorum ludibrium. Porro animadverte rem miram : nam et cum viverent, calcabant diabolum sancti homines; et post obitum luteis ipsorum corporibus dissolutis, sicubi reliquiæ eorumdem supersunt, ipsam quoque sanctorum invocationem dæmones horrent.

Hæc omnia, fili, dixi ut quam grave malum inobedientia sit discas, et in quale barathrum diabolus inobsequentem hominem impulerit. Fac igitur odio habeas inobedientiam, o fili, quæ tibi infesta est, teque pessumdat. Contra vero obedientiam dilige, quæ sui studiosis affert salutem. Obedientia enim vitam, inobedientia mortem continet. Quod si mihi non credis, ex rebus gestis tuis cognosce veritatem. Tu enim ipse quo tempore iis qui te ad pœnitentiam hortabantur non obtemperabas, Satanæ mancipium eras, nihilque aliud nisi sepulcrum dealbatum, et cadaver spirans. Postquam autem meæ voci obtemperans ad pœnitentiam venisti, jam ille diabolus qui te captivum tenebat, vel umbram tuam perhorrescit. Viden' quantæ virtutis ministra sit obedientia? Viden' quanti gaudii? Ideo divina Scriptura ait : Obedientia, vita est. Item benedictus Paulus lætitiæ magister, regni donator, universi mundi portus, prædicat dicens : *Obedite præpositis vestris, atque illis subditi estote* [33]. Et rursus : *Filii, obtemperate parentibus vestris in Domino* [34]. Igitur quoniam mihi obsequens, fili mi, fuisti, scias te regali throno dignum fore, æque ac apostoli thronis æternis dignanter donati fuerunt a Domino nostro Jesu Christo, cui simul cum Patre et sancto Spiritu gloria sit, potestas, honor, atque adoratio nunc et per sæcula sæculorum Amen.

A πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Ἴδε πῶς καταπάτημα γέγονε τῶν ἀνθρώπων ὁ τῆς ἀρχαγγελικῆς δόξης ἔχων τὸ ἀξίωμα· διὰ τί δὲ γέγονεν οὕτως; Διὰ τὴν παράβασιν. Εἶπε γὰρ ἐν αὐτῷ· *Στήσω τὸν θρόνον μου ὑποκάτω τοῦ οὐρανοῦ*, τουτέστιν ἐπάνω τῶν νεφελῶν, *καὶ ἔσομαι ὅμοιος τοῦ Ὑψίστου*. Διὰ τοῦτο γέγονε καταπάτημα· περὶ αὐτοῦ γὰρ ὁ προφήτης εἰρήκει· *Ἴδον τὸν Σατανᾶν πεσόντα ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ* εἰς τὴν γῆν τοῦ εἶναι ἐξουθένημα τῶν ὁσίων Χριστοῦ. Καὶ πρόσεχε τὸ θαυμάσιον· ὅτε ἔζων οἱ ἅγιοι κατεπάτησαν αὐτὸν, καὶ ὅτε ἀπέθανον καὶ διελύθη τὸ πήλινον αὐτῶν σῶμα, εἴ που λείψανον αὐτῶν, ὅπου γε αὐτὴν τὴν προσωνυμίαν τῶν ἁγίων ἀκούοντες φρίσσουσιν.

B Ταῦτα πάντα σοι εἶπον, τέκνον, ἵνα μάθῃς πηλίκον κακὸν ἡ παρακοὴ, καὶ δι' αὐτῆς εἰς ποῖα βάραθρα καταφέρει ὁ διάβολος τὸν ἄνθρωπον τὸν μὴ ἔχοντα ὑπακοήν. Μίσησον τὴν παρακοὴν, τέκνον, τὴν μισοῦσάν σε καὶ ἀπολέσαι σε σπεύδουσαν, καὶ ἀγάπησον τὴν ὑπακοὴν τὴν σώζουσαν τοὺς ἀγαπῶντας αὐτήν. Ὑπακοὴ γὰρ ζωὴ, παρακοὴ θάνατος. Εἰ δὲ οὐ πείθῃ ἐμοὶ, ἐκ τῶν σῶν πραγμάτων κατάμαθε τὰ λεγόμενα· σὺ ὅτε παρήκουσας τῶν προσκαλουμένων εἰς μετάνοιαν, ἐκυριεύου ὑπὸ τοῦ Σατανᾶ· καὶ οὐδὲν ἄλλο ὑπῆρχες εἰ μὴ τάφος κεκονιαμένος καὶ νεκρὸς ἔμψυχος. Ὅτε δὲ ἤκουσάς μου τῆς φωνῆς, καὶ προῆλθες τῇ μετανοίᾳ (4), ὁπότε σε εἶχεν δοῦλον διάβολος, νῦν τὴν σκιάν σου τρέμει. Εἶδες πηλίκης ἀρετῆς πρόξενός ἐστιν ὑπακοή; εἶδες C πόσην εὐφροσύνην ἔχει; Διὰ τοῦτο καὶ ἡ θεία Γραφὴ λέγει· Ὑπακοὴ, ζωή· καὶ ὁ εὐλογημένος Παῦλος ὁ διδάσκαλος τῆς χαρᾶς, ὁ πρόξενος τῆς βασιλείας, ὁ λιμὴν πάσης τῆς οἰκουμένης, παραγγέλλει λέγων· *Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπακούετε αὐτοῖς*. Καὶ πάλιν· *Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν Κυρίῳ*. Ὅτε οὖν ὑπήκουσάς μου, τέκνον μου, μνημόνευέ μου ὅτι βασιλείας θρόνου μέλλεις ἀξιοῦσθαι, καθὼς καὶ οἱ ἀπόστολοι κατηξιώθησαν θρόνων αἰωνίων παρὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, καὶ προσκύνησις νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰνῶνας τῶν αἰώνων. Ἀμήν (5).

IV.

Quod qui infirmatur Deo gratias agere debeat, et in Job.

D

Δ'.

Περὶ εὐχαριστεῖν τῷ Θεῷ τὸν ἀῤῥωστοῦντα, καὶ εἰς τὸν Ἰώβ.

(Angel. Mai. *Spicileg. Rom.* XI 652.)

Multo posthæc elapso tempore, silentium servavit Alexander, nullam inveniens interrogandi occasio-

[Cod. f. 346 b.] Χρόνου πολλοῦ διελθόντος, ἐπαύσατο Ἀλέξανδρος μὴ εὑρὼν πρόφασιν ἐρωτήσεως. Καὶ μιᾷ

[31] Isa. xiv, 14. [32] Luc. x, 18. [33] Hebr. xiii, 17. [34] Ephes. vi, 1.

NOTÆ.

(4) Videsis apud nos Græcam narrationem de Alexandri conversione, auctore Eusebio.

(5) Si cui forte paulo humilior videtur Eusebii elocutio, rei explicator adest magnus Athanasius, qui in homilia sua de semente, ff. 4, ait, apud Alexandrinos conciones sacras simplices omnino fuisse atque pedestres; et quidem episcoporum, quibus solis in ea urbe post Arium concionari licebat, vel certe mos erat, auctore Sozomeno *Hist.* lib. vii, cap. 9, cui accedunt testes alii apud Ferrarium *De ritu sacr. concion.* lib. ii, cap. 9. Paulo rudiorem fuisse Ægyptiorum Græcitatem, observat etiam Theodorus Metochita apud nos *Script. vet.*, t. II, p. 684 seqq. Imo vero Diodorus Siculus lib. i, ff. 76, diserte narrat artificiosam eloquentiam a foro quoque civili Ægyptiorum fuisse extorrem. Denique de Eusebio episcopo Alexandrino quid sit existimandum, abunde nos diximus in Præfatione.

τῶν ἡμερῶν ἐξελθὼν ἐκ τῆς Ἐκκλησίας, εἶδεν ἐν δοματίῳ τινὰ ἄνθρωπον ἐπὶ κλίνης κατακείμενον, καὶ ἀπελθὼν ἐπισκέψασθαι αὐτὸν, ἠρώτησε τοὺς παρεστῶτας λέγων· Πόσον χρόνον ἔχει ἀφ' οὗ ἀσθενεῖ; Οἱ δὲ λέγουσιν αὐτῷ τρία ἔτη, καὶ μῆνας ἕξ· καὶ στενάξας ἐπ' αὐτῷ ἀνεχώρησεν· καὶ ἐλθὼν πρὸς τὸν μακάριον Εὐσέβιον τὸν ἐπίσκοπον λέγει αὐτῷ· Δέομαί σου, Πάτερ, οἱ ἀσθενοῦντες ἐν πολλῷ χρόνῳ μέχρι ἐνιαυτοῦ ἢ καὶ δύο, ἐν τίνι εἰσὶν ἐν ἐκείνῳ τῷ κόσμῳ; Ὁ δὲ ἀποκριθεὶς λέγει αὐτῷ· Πρὸς τὴν προαίρεσιν τοῦ ἀνθρώπου ἐστὶν τὸ πρᾶγμα τοῦτο· ἐὰν ἐπελθόντος τοῦ πάθους μετὰ εὐχαριστίας δέξηται, ὡς ὁ γενναῖος Ἰὼβ, τῆς τιμωρίας τῆς ἐκεῖ κουφίζεται. Καὶ γὰρ ὁ μακάριος οὗτος ἐν τοσούτοις ἔτεσιν ἀσθενήσας, καὶ ἐπὶ κοπρίας καθήμενος, οὐκ ἐγόγγυσεν, οὐκ ἐβλασφήμησεν, οὐκ εἶπεν ῥῆμα πονηρὸν, οὐκ ἐκάλεσεν ἰατροὺς, οὐκ ἐπέθηκεν τοῖς τραύμασιν αὐτοῦ ἔμπλαστρον οὐδὲ βοτάνας, οὐκ ἐμισθώσατο γόητας εἰς τὸ ἀποδιῶξαι τοὺς σκώληκας, οὐ περίαπτα κατέδησεν· ἀλλὰ γυμνὸς ἐπὶ τῆς κοπρίας καθεζόμενος, καὶ ὡς ὑπὸ πυρὸς κατεσθιόμενος ὑπὸ τῶν σκωλήκων, καὶ πικρῶς δρυμυσσόμενος ὑπὸ τῶν διαρρηγμένων φλυκτίδων, καὶ μὴ ῥάκος ἔχων εἰς τὸ ἀποσμήχειν τὸν ἰχῶρα τὸν ἀποῤῥυέντα ἀπὸ τῶν τραυμάτων, ἀλλὰ τῷ ὀστράκῳ ἀποξέων, δεινότερον τὸ ἄλγος ἀπειργάσατο· καὶ οὕτως ὅλῳ τῷ σώματι ἑλισσόμενος, ὑπέμενεν εὐχαριστῶν τῷ Θεῷ.

Ἐκεῖνος τοσαῦτα ὑπομένων οὐδένα ἐκάλεσεν εἰς βοήθειαν τοῦ πάθους· οἱ δὲ νῦν ἄνθρωποι μόνον ἐπέλθῃ αὐτοῖς εἷς πόνος, καταλείποντες τὸν Θεὸν, ἄρχονται τρέχειν πρὸς ἐπαοιδοὺς, συνάγοντες περίαπτα, φυλακτήρια, βοτάνας, καὶ ἕτερά τινα, καὶ οὐδὲν ἰσχύουσιν· τί κάμνεις, ταλαίπωρε, τρέχων εἰς ἀνθρώπους μὴ δυναμένους βοηθῆσαί σοι; Ἔχεις τὸν Θεὸν ἐν τῇ οἰκίᾳ σου, καὶ τὸ δεδωρημένον φυλακτήριον τὸν σταυρόν· πρόσπεσον αὐτῷ· εἷς ἐστίν σοι συμφέρων εἰς τὴν ἀσθένειάν σου, καὶ τῶν ἐκεῖ κακῶν κουφισθῆναι· καὶ μὴ βλασφήμει, ἀλλὰ παιδείαν ὑπόδεξαι τὸ πάθος· *Ὃν γὰρ ἀγαπᾷ ὁ Θεὸς παιδεύει, καὶ μαστιγοῖ πάντα υἱὸν ὃν παραδέχεται.* Καὶ Παῦλος ὁ εὐλογημένος λέγει· *Κρινόμενοι ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν*· φανερῶς εἶπεν ὅτι ἐνταῦθα κρινόμενοι, καὶ παιδευόμενοι, ἐν ἐκείνῳ τῷ αἰῶνι ἀκατάκριτοι διαμένομεν· ὅθεν καὶ ἐκαυχᾶτο οὗτος ὁ μακάριος λέγων· *Ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι*· Καὶ πάλιν· *Ἡ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται.* καὶ πάλιν παρακαλῶν τοὺς ἀσθενοῦντας ἔλεγεν· *Εἰ παιδείαν ὑπεμείνατε, ὡς υἱοὺς ὑμᾶς προσδέχεται ὁ Θεός· εἰ δὲ χωρίς ἐστε παιδείας, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί.* Τοὺς δεχομένους τὴν παιδείαν, τούτους καὶ εὐχαριστοῦντας τῷ Θεῷ, υἱοὺς Θεοῦ ἐκάλεσεν· τοὺς δὲ μὴ εὐχαριστοῦντας ἐν ταῖς ἀσθενείαις, νόθους καὶ οὐχ υἱούς. Μεγάλως γὰρ κουφίζονται τῆς ἐκεῖ κρίσεως οἱ ἐνταῦθα μακρονοσοῦντες· ἀεὶ δὲ τοῖς δικαίοις τοῦτο συμβαίνει καὶ τοῖς βουλομένοις σωθῆναι· τοῖς δὲ

A nem. Quadam vero die, vidit in domuncula hominem quemdam decumbentem, et illum visitandi causa progressus, circumstantes interrogavit, dicens: Ex quanto tempore infirmatur? Illi autem respondent: ex tribus annis; et gemens super illum, abiit; beatumque Eusebium episcopum conveniens, dicit illi: Obsecro te, dic mihi, Pater, qui diuturna infirmitate tenentur, v. c. per annum vel biennium, cui bono in hoc mundo fiant? Ille autem respondens: Hoc, inquit, ex voluntate hominis pendet: Si enim, morbo superveniente, cum gratiarum actione eum accipit, juxta fortissimum Job, futuram sibi pœnam allevat. Etenim beatus ille, tam diuturna infirmitate vexatus, et in sterquilinio sedens, non murmuravit, non blasphemavit, non dixit verbum malum, non vocavit medicos, non vul- B neribus suis emplastrum aut plantas imposuit, non circulatores conduxit ut vermes abigerent, non ligaturas sibi applicuit; sed nudus in sterquilinio sedens, a vermibus quasi ab igne devoratus, a ruptis pustulis acriter vexatus, ne pannum quidem habens, quo saniem ab ulceribus affluentem extergeret, sed illa testa corradens, ipse dolores suos exacerbavit, et sic totum corpus, præ dolore, circumagens, omnia sustinuit Deo gratias agens.

Ille, inquam, tantis malis oppressus, neminem in auxilium vocavit; nostri autem temporis homines, C si modo una illis acciderit infirmitas, Deo derelicto ad præstigiatores properant, ligaturasque, phylacteria, herbas aliaque id genus, colligentes, nihil efficiunt. Quid satagis, o miser, ad homines currens, qui te juvare non possunt? Habes Deum in domo tua; habes efficax phylacterium, crucem: illi procumbe; sola enim illa valet non modo præsentem infirmitatem, sed etiam futura mala tibi levare. Noli blasphemare, sed potius magisterii loco infirmitatem suscipe: *Deus enim quem diligit, erudit, et flagellat omnem filium quem recipit* [35]; et Paulus, vas electionis, dicit: *A Domino judicati erudimur, ne cum mundo condemnemur* [36]: aperte significans quod, hic judicati et eruditi, indemnati in futuro sæculo remanemus; unde et beatus ille D gloriabatur, dicens: *Cum infirmor, tunc potens sum* [37] et rursum: *Virtus mea in infirmitate perficitur* [38]; et alibi, infirmos exhortans, dicit: *Si disciplinam sustinueritis, ut filios suscipiet vos Deus; si autem sine disciplina fueritis, nothi estis, et non filii* [39]. Suscipientes disciplinam, sive Deo gratias agentes, filios Dei vocat; gratias vero non agentes in infirmitatibus, nothos et non filios. Etenim qui hic diuturnis infirmitatibus laborant, maximum futuri judicii lucrantur levamen; et hoc semper justis evenire solet, et iis qui salvari cupiunt; peccatoribus autem, sicut fur in nocte, ita mors supervenit, hominisque animam abripit, cui misero nec donandi nec

[35] Prov. III, 21; Hebr. XII, 6. [36] I Cor. XI, 32. [37] II Cor. XII, 10. [38] ibid. 9. [39] Hebr. XII, 8.

testandi, nec de peccatis gemendi conceditur tempus, siquidem subito eum corripuit mors; imo vero flagellatus recessit et ejulans: hæc est peccatorum mors, quam amaram vocavit Propheta. Mors enim eorum qui morbo succumbunt, nedum sit amara, a recte sentientibus levis esse judicatur.

A ἁμαρτωλοῖς ὡς κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται ὁ θάνατος, καὶ ἁρπάζει τὴν ψυχὴν τοῦ ἀνθρώπου, καὶ οὐ συγχωρεῖται διαδοῦναι, οὔτε διαθέσθαι, οὔτε στενάξαι περὶ τῶν ἁμαρτιῶν, ἀλλ' ἀνήρπασεν αὐτὸν ὁ θάνατος αἰφνιδίως. Ἀλλὰ ἀπῆλθεν μαστιζόμενος καὶ κλάγγων· οὗτος ὁ θάνατος τῶν ἁμαρτωλῶν· οὗτος λέγεται ὑπὸ τοῦ Προφήτου *Θάνατος ἁμαρτωλῶν πονηρός*. Τῶν γὰρ νοσούντων ὁ θάνατος οὐκ ἔστιν πονηρὸς, ἀλλὰ παρὰ τοῖς εὐφρονοῦσι καὶ πολὺ ἐλαφρός ἐστι.

Hujus porro sententiæ veritatem ex ipsis rebus videre est; considera quid dicam, si quis infirmetur, gravemque sibi supervenientem morbum ægre ferat, sentiatque exhaustas corporis sui vires, pulchritudinis florem deformatum, appetituum vim hebetatam, evidens est illum nihil aliud in animo agitare præter mortem suam; mortem vero prævidens, quidquid peccavit aut male egit in memoriam revocat, ploratque et resipiscit de peccatis suis gemens, bona sua ecclesiis, martyriis et pauperibus relinquit, peccata confitetur sacerdotibus, communione dignatur, iniquitatesque suas solvens justificatur. Qui autem absque infirmitate moritur, nullam peccatorum suscipit memoriam; imo vero dum secure vivens, fenus supputare parat, sæpe etiam dum rapinam, furtum, fornicationem, vel alias pravas actiones meditatur, mors illum præoccupat omnino imparatum, nec illi est resipiscendi facultas: illa est *mors peccatorum pessima* [40]. Magnum igitur bonum est in lecto erudiri et sic mori; beatus est qui vel una die pœnitentiam agere potuit, et sic vita decedere: potest enim vel una dies in pœnitentia transacta multitudinem peccatorum solvere, si modo ex toto corde Domino peccator supplicet.

Καὶ ὅτι οὐ ψεύδομαι, μαρτυρεῖ μοι τὰ πράγματα· καὶ ὅρα τί λέγω· Ὅταν ἀῤῥωστήσῃ τις καὶ τὸν πόνον αὐτοῦ δυσβαρέως ἐπερχόμενον, καὶ δαπανώμενα τὰ πάθη τοῦ σώματος, καὶ τῆς εὐμορφότητος τὸ κάλλος καταλυόμενον, καὶ τῶν ἐπιθυμιῶν ἁπάντων ἀπεχομένων, δῆλον ὅτι οὐδὲν ἄλλο μεριμνᾷ εἰ μὴ τοῦ θανάτου αὐτοῦ, καὶ προβλέπων τὸν θάνατον μνη-
B μονεύει τὰ κακὰ καὶ τὰς ἁμαρτίας ἃς ἐποίησεν, καὶ κλαίει καὶ μετανοεῖ ἐπὶ ταῖς ἁμαρτίαις αὐτοῦ στενάζων, καὶ καταλιμπάνει τὰ ἴδια αὐτοῦ τῇ Ἐκκλησίᾳ, καὶ τοῖς μαρτυρίοις, καὶ τοῖς πένησιν, καὶ ἐξομολογεῖται τὰς ἁμαρτίας αὐτοῦ τοῖς πρεσβυτέροις (1), καὶ κοινωνίας ἀξιοῦται, καὶ λύει τὰς ἁμαρτίας αὐτοῦ καὶ δικαιοῦται. Ἀποθνήσκει δὲ μὴ ἄῤῥωστος, μηδὲν τῶν κακῶν εἰς μνήμην λαμβάνων, ἀλλὰ καὶ ἀμέριμνος διάγων, μέλλει ψηφίζειν τόκους πραγματείας, ἔνεστι δὲ καὶ μέλλει σκέπτεσθαι, ἁρπάζειν, κλέπτειν, πορνεύειν, ἢ ἕτερα κακὰ ἐννοεῖσθαι· καὶ ἁρπάζει αὐτὸν ὁ θάνατος ἀνέτοιμον ὑπάρχοντα, καὶ οὐκ ἔστιν αὐτῷ ἀνάκλησις· οὗτός ἐστιν *θάνατος ἁμαρτωλῶν πονηρός*. Μέγα καλόν ἐστιν ἐπὶ κλίνης παιδευθῆναι, καὶ ἀποθανεῖν· μακάριός ἐστιν ὁ φθάσας
C μίαν ἡμέραν μετανοῆσαι καὶ ἀποθανεῖν· δύναται γὰρ μία ἡμέρα ἐν μετανοίᾳ λῦσαι ἁμαρτιῶν πλῆθος, ἐὰν μόνον ἐξ ὅλης τῆς καρδίας προσπέσῃ τῷ Δεσπότῃ.

Eorum autem quæ dico veritatem testatur multitudo salvatorum, et imprimis latro ille qui, tot tantisque admissis sceleribus, cum vitæ termino jam esset proximus, unius horæ spem habens, in medio supplicio, unam hanc vocem cum fide fervida emisit: « Memento mei, Domine, in regno tuo, » statimque paradisi civis evasit, peccata sua confessus his verbis: *Nos quidem digna factis recipimus* [41]. Nihil, inquit, a me admissis indignum patior; utinam hoc sæculo supplicium meum terminetur! Imo gratanter supplicium illud sustineo, siquidem pœnitentia causa mihi exstitit: nisi enim in illud incidissem, operum meorum non meminissem; nunc autem scio me justa pati. Sic et tu debes, o homo, gratias agere, et in lecto recumbens dicere: Gratias ago tibi, Domine, quod per hanc infirmitatem peccatorum meorum memor factus, debitam iniquitatibus pœnam patiar, tu autem illam mihi condonaveris. Ezechias rex, in lecto, propter infirmitatem, jacens, cum prophetam audiisset dicentem: *Provide domui tuæ; morieris enim tu et non vives* [42], mini-

Ὅτι οὐ ψεύδομαι, μαρτυρεῖ μοι τὸ πλῆθος τῶν σωζομένων· ὁ λῃστὴς ἐκεῖνος ὁ τοσαῦτα πράξας ἀναρίθμητα κακὰ, καὶ πρὸς αὐτὸν τὸν ὅρον τοῦ θανάτου φθάσας, μιᾶς ὥρας λοιπὸν ἔχων τὴν ἐλπίδα, ἐν κολάσει ὑπάρχων, μίαν φωνὴν ἀφῆκε μετὰ πίστεως θερμῆς λέγων· « Μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου· » καὶ εὐθέως παραδείσου πολίτης ἐγένετο, ἐξομολογήσας τὰ ἁμαρτήματα, εἰπών· *Ἡμεῖς μὲν ἄξια ὧν ἐπράξαμεν ἀπολαμβάνομεν*. Οὐδὲν ἀνάξιον, φησὶν, ὑπομένω· στήτω μοι ἡ κό-
D λασις ἐκείνῳ τῷ αἰῶνι· εὐχαριστῶ τῇ κολάσει ταύτῃ, πρόξενος γάρ μοι ἐγένετο μετανοίας. Εἰ μὴ γὰρ ἔφθασα εἰς τὴν κόλασιν ταύτην, οὐκ ἐμνημόνευον τῶν ἔργων μου· νῦν ἔγνων ὅτι ἀξίως τιμωροῦμαι. Οὕτως ὀφείλεις καὶ σὺ, ἄνθρωπε, εὐχαριστεῖν, καὶ ἐπὶ κλίνης κατακείμενος λέγειν· Εὐχαριστῶ σοι, Κύριε, ὅτι διὰ τοῦ πάθους τούτου ἐμνήσθην μου τὰς ἁμαρτίας, καὶ ἀξίως κολάζομαι, καὶ ἔλυσας τὴν ἁμαρτίαν. Ἐζεκίας ὁ βασιλεὺς ἐπὶ κλίνης ὑπάρχων ἐν μαλακίᾳ κατακείμενος, καὶ ἀκούσας παρὰ τοῦ προφήτου Ἡσαΐου λέγοντος· *Ἀπόταξαι περὶ τοῦ*

[40] Psal. XXXIII, 22. [41] Luc. XXIII, 41. [42] IV Reg. XX, 1; Isa. XXXVIII, 1.

NOTÆ.

(1) Animadverte testimonium de peccatorum confessione quæ fit sacerdotibus; atque illi adde quod ex codice Latino sæculi septimi extulimus Spicil. t. IV, p. 314.

οἴκου σου· ἀποθνήσκεις γὰρ σὺ, καὶ οὐ ζήσῃ· A ὁ δὲ οὐκ ἀπέγνω ἑαυτοῦ, οὐδὲ ἀπήλπισε τὴν σωτηρίαν ἑαυτοῦ, ἀλλὰ στραφεὶς πρὸς τὸν τοῖχον ἔκλαυσε· καὶ δεκαπέντε ἐτῶν χάρισμα ζωῆς ἐδέξατο παρὰ τοῦ Δεσπότου.

Εἰ οὖν θανάτου ὅρους καὶ προστάγματα λύει μετάνοια, πολλῷ μᾶλλον εὐκοπωτέρως χειρόγραφον ἁμαρτιῶν διαλύει. Οὐ ζητεῖ χρόνου μῆκος μετάνοια, ἀλλὰ πίστιν καὶ καρδίαν εὐπρόσδεκτον· πολλοὶ γὰρ διὰ μιᾶς ὥρας κλαυθμοῦ καὶ μετανοίας βασιλείας κατηξιώθησαν, καὶ πολλοὶ ὅλον τὸν χρόνον μετανοοῦντες οὐδὲν ἤνυσαν· ἐπειδὴ οὐ προσῆλθον ἐξ ὅλης καρδίας, ἀλλὰ διστάζοντες· καὶ ὁ ἐν δισταγμῷ προσερχόμενος, δυσκόλως σώζεται· ὁ δὲ μετὰ πίστεως ἐρχόμενος, παραυτίκα δέχεται τὴν συγχώρησιν (1)· καὶ ὁ τελώνης ἐκεῖνος μίαν φωνὴν προσήνεγκε τῷ B Δεσπότῃ λέγων· *Κύριε, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ*, καὶ ἐπειδὴ ἐξ ὅλης καρδίας προσήνεγκε τὴν αἴτησιν, εὐθέως καὶ τὸν καρπὸν τῆς δικαιοσύνης ἐκομίσατο· πᾶσα οὖν ἁμαρτία ἀφεθήσεται τοῖς ἀνθρώποις διὰ μετανοίας, ἐὰν μόνον τὴν πίστιν ἀκέραιον διαφυλάξωσι· *Πᾶσα γὰρ ἁμαρτία ἀφεθήσεται τοῖς ἀνθρώποις, ἡ δὲ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου βλασφημία οὐκ ἀφεθήσεται, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.* Τοῦτο γὰρ εἴρηκε τοῖς μαθηταῖς ὁ Κύριος λέγων· *Γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.*

Ἄκουσον τὴν τοῦ ὄφεως φρονιμότητα, καὶ τίνος ἕνεκεν εἶπέ σοι μιμήσασθαι τὸν ὄφιν. Διὰ τὴν παράβασιν C τοῦ Ἀδὰμ μετὰ πάσης κατάρας εἶπε καὶ τοῦτο· *Ἔχθραν θήσομαι ἀνὰ μέσον σου, καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῶν· σὺ τηρήσεις αὐτοῦ πτέρναν, κἀκεῖνος τηρήσει σου κεφαλήν.* Φρόνιμος δὲ ὢν ὁ ὄφις οἶδε ὅτι κατὰ τῆς κεφαλῆς ἔχει τὸν θάνατον. Καὶ ὅταν συναντήσῃ αὐτῷ ὁ βουλόμενος αὐτὸν θανατῶσαι, ἄρχεται τὴν κεφαλὴν περικαλύπτειν, καὶ εἴτε τρώγλην εὕρῃ εἴτε λίθον, ἐκεῖ τὴν κεφαλὴν ὑποτίθησιν· καὶ τὸ μὲν ὅλον σῶμα ἐκδίδωσιν εἰς πληγὰς, ἵνα μόνον τὴν κεφαλὴν αὐτοῦ διασώσῃ· τὰ δὲ ἄλλα τραύματα θεραπεύονται, εἰ δ' ἂν λάβῃ κατὰ τῆς κεφαλῆς, οὐκ ἔστιν ἔτι ζωὴ αὐτῷ, ἀλλὰ θάνατος ἀπαραίτητος. Τούτου ἕνεκεν εἶπεν· *Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις*, ἵνα ὥσπερ ἐκεῖνος σπουδάζει τὴν κεφαλὴν αὐτοῦ διασῶσαι, οὕτως καὶ D σὺ τὴν πίστιν διατήρησον ἄσπιλον. Καὶ ὥσπερ ἐκεῖνος ἐὰν λάβῃ μυρίας πληγὰς ἐν τῷ λοιπῷ σώματι θεραπεύεται, κατὰ τῆς κεφαλῆς δὲ ἐὰν λάβῃ, οὐκ ἔχει θεραπείαν, οὕτως καὶ σὺ ἐὰν μυρίας ἁμαρτίας ἔχῃς, δύνασαι διὰ τῆς μετανοίας σωθῆναι· ἐὰν δὲ κατὰ τοῦ ἁγίου Πνεύματος βλασφημήσῃς, οὐκ ἀφεθήσεταί σοι οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι· ἀλλὰ κἂν ἐγείρῃ ὁ Σατανᾶς κατὰ σοῦ ἢ κατὰ τοῦ σοῦ σώματος, γενναίως ὑπόμεινον, μὴ βλασφημήσῃς.

me desperavit, neque omnem abjecit spem salutis, sed conversus ad parietem flevit, et quindecim annorum vitæ donum accepit a Domino.

Si igitur mortis leges solvit pœnitentia, multo magis et multo facilius peccatorum chirographum dissolvere valet. Non multum tempus requirit pœnitentia, sed fidem et cor acceptabile: multi enim per fletum et pœnitentiam unius horæ regno cœlorum digni effecti sunt; multi vero, per totum vitæ tempus pœnitentiam agentes, nihil consecuti sunt, siquidem non ex toto corde, sed hæsitabundi pœnitentiam amplexi sunt: porro qui accedit (ad Deum) cum hæsitatione, vix salvari potest, accedenti vero cum fide remissa statim conceditur. Etenim Publicanus ille evangelicus unam vocem Domino protulit, nempe, *Domine, propitius esto mihi peccatori* [43]; et quoniam ex toto corde orationem protulit, statim fructum justitiæ obtinuit. Omne igitur peccatum hominibus remittetur per pœnitentiam, si modo fidem intactam servaverint: *Omne siquidem peccatum remittetur hominibus, blasphemia autem contra Spiritum sanctum non remittetur, neque in hoc sæculo, neque in futuro* [44]. Sic enim discipulis suis locutus est Dominus qui illis dixit: *Estote ergo prudentes sicut serpentes, et simplices sicut columbæ* [45].

Audi prudentiam serpentis tibi præscriptam, et intellige quamobrem imitandum serpentem tibi proposuit. Propter transgressionem Adæ olim etiam cum omni maledictione dixerat: *Inimicitiam ponam inter te et semen eorum; tu observabis calcaneum ejus, et ille caput tuum* [46]. Porro serpens, cum prudens sit, novit in caput suum mortem intentari; unde, si quis illi occurrat ipsum occidere volens, de occultando capite primum satagit, antrumque nactus, sive petram, ibi caput abscondit, reliquum corpus plagis obvium tradens, modo vel solum caput salvum habeat: cætera enim, quacunque corporis parte accipiantur, vulnera sanatu facilia sunt; si vero caput illi feriatur, jam omnis vitæ spes evasit, morsque imminet ineluctabilis. Propterea dicit Salvator: *Estote prudentes sicut serpentes*, ut, videlicet, sicut ille de salvando capite satagit, sic et tu fidem intemeratam servare contendas. Præterea quomodo serpens, vel innumeris in reliquo corpore acceptis vulneribus, sanatur, capite autem vulnerato sanari nullo modo potest; eodem modo et tu, et si innumera admiseris peccata, per pœnitentiam salvari potes; si vero in Spiritum sanctum blasphemaveris, non remittetur tibi neque in hoc sæculo neque in futuro. At vero etiamsi tibi vel corpori tuo insidietur Satanas, viriliter sustine, cave ne blasphemes.

[43] Luc. XVIII, 13. [44] Matth. XII, 31, 32. [45] Matth. X, 16. [46] Gen. III, 15.

NOTÆ.

(1) Adnotemus præclaram de pœnitentia doctrinam.

A divitiis enim ansam quærit Satanas hominem in perditionis barathrum dejiciendi. Hanc primam contra beatum Job pugnandi rationem expertus, per divitias illum dejicere destinabat; quem videlicet inimicus, non minus quam cæteros homines ad blasphemiam promptum esse rebatur. Vide autem pessimi illius machinationem: non omnia combussit, omniumque simul destructionem significavit; sic enim secum consiliatus est: Si omnes simul possessiones una vice eripuero, unumque omnium perditionis attulero nuntium, unum etiam de omnibus dolorem accipiet: si vero singula sigillatim rapiam, dolorem illi super dolorem afferam. Hæc animo versatus ovium gregem combussit, et cucurrit et nuntiavit illi dicens: *Ignis descendit de cælo et gregem ovium combussit; et ego relictus sum solus, et veni ut nuntiarem tibi* [47]. Vir autem ille patientissimus gratias egit dicens: *Dominus dedit, Dominus abstulit; sicut Domino placuit, ita factum est: sit nomen Domini benedictum ex hoc nunc et usque in sæculum* [48]. Malignus autem, his auditis, abiit, et uno momento occidit gregem camelorum et currens nuntiavit similiter dicens *. Nobilis autem athleta, hæc audiens, eodem modo respondit. Deinde juga boum, et, ut summatim dicam, omnem regiam substantiam abstulit, quin fortem virum a fide deterreret.

Nostri vero temporis homines ob unius jumenti mortem sexcentas evomunt in Creatorem blasphemias: ille autem tot jumentorum perditionem passus, minime blasphemavit. Non dixit: Tot victimas tibi obtuli, tot pauperes enutrivi; quare tanta mihi inflixisti mala? Nihil horum dixit; sed uno verbo diaboli os obstruxit, dicens: *Dominus dedit, Dominus abstulit; sicut Domino placuit, ita factum est;* dedit, communicavit, abstulit; sollicitudine liberavit me et ærumnis. Non contristor, siquidem non erant mea, sed Dei qui illa dederat. Illorum ego eram dispensator; quandiu bonorum illorum administratio penes me fuit, bene administravi: hospites collegi, pater orphanorum fui, esurientium provisor, nudorum vestimentum, labore confectorum protector, afflictorum consolatio; ego eram oculus cæcorum, claudorum pes; quando ipsi placuit, dedit mihi possessiones; quando ipsi visum est, dispensatione me privavit; sua non mea recepit. Unde mihi substantia, nisi Dominus dedisset? dedit, gavisus sum; abstulit, non ægre tuli, illius siquidem erant omnia: boves, cameli et quæcunque pascebantur animalia ipsorum domini erant. Cæterum hoc in cælum diabolus responsum tulit, dicens: Greges ovium et camelorum, et omnem substantiam quam commisisti Job, devoravit ignis; vide autem quid responderit; nullam enim in te vocem blasphemam exprimere potui.

A Διὰ γὰρ τῶν χρημάτων καταβάλλει τὸν ἄνθρωπον ὁ Σατανᾶς εἰς τὸν βόθρον τῆς ἀπωλείας· διὰ τοῦτο κατὰ τοῦ γενναίου Ἰὼβ πρῶτον διὰ τῶν χρημάτων ἠβουλήθη καταβαλεῖν. Ἐνόμισεν γὰρ ὁ ἐχθρὸς ὥσει λοιποὺς ἀνθρώπους εὑρὼν κἀκεῖνον εἰς βλασφημίαν. Καὶ βλέπε τοῦ πονηροῦ τὴν κατότεχνον ἐπίνοιαν· οὐκ εἶπεν, ἅπαντα ἐνεπύρισεν, καὶ τῶν πάντων ἐφάπαξ τὴν ἀναστροφὴν ἐμήνυσεν. Ἐστοχάσατο γὰρ ἐν ἑαυτῷ ὁ πονηρὸς, ὅτι εἰ ὑφ' ἓν λάβω τὰ κτήματα, καὐτῷ ἐφάπαξ ἀπενέγκω τὴν ἀγγελίαν, μία λύπη γίνεται αὐτῷ περὶ πάντων· ἐὰν δὲ ἓν καθ' ἓν λαβὼν, προσθήσομαι αὐτῷ λύπην ἐπὶ λύπην· καὶ τοῦτο στοχασάμενος ἐνεπύρισεν τὴν ἀγέλην τῶν προβάτων, καὶ ἔδραμεν καὶ ἀπήγγειλεν αὐτῷ λέγων· *Πῦρ ἐκ τοῦ οὐρανοῦ, καὶ κατέκαυσεν τὴν ἀγέλην τῶν* B *προβάτων· κἀγὼ ὑπελείφθην μόνος, καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι.* Ὁ δὲ πολύαθλος εὐχαρίστησε λέγων· *Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.* Ὁ δὲ πονηρὸς ἀκούσας ταῦτα, ἀπελθὼν ἐν μιᾷ ῥοπῇ ἀπέκτεινεν ἀγέλην τῶν καμήλων, καὶ δραμὼν ἀπήγγειλεν ὁμοίως λέγων· ὁ δὲ γενναῖος ἀκούσας, τῷ αὐτῷ λόγῳ ἀπεκρίθη. Εἶτα ἔλαβε τὰ ζεύγη τῶν βοῶν, ἵνα συντόμως εἴπω, πᾶσαν τὴν βασιλικὴν ὕπαρξιν ἔλαβε, καὶ τὸν γενναῖον οὐκ ἐσάλευσεν ἐκ τῆς πίστεως.

Οἱ δὲ νῦν ἄνθρωποι ἐπὶ ἑνὸς ζώου θανόντος, μυρίας βλασφημίας κατὰ τοῦ Δημιουργοῦ φέρουσιν· C ἐκεῖνος ἐπὶ τοσούτῳ πλήθει τῆς ἀπωλείας οὐκ ἐβλασφήμησεν. Οὐκ εἶπε· Τοσαύτας σοι θυσίας προσήνεγκα, τοσούτους πτωχοὺς ἔθρεψα· διὰ τί τοσαῦτα κακὰ ἐπήγαγες; Οὐδὲν τούτων εἶπεν, ἀλλὰ τῷ ἑνὶ ῥήματι τὸν διάβολον ἐφίμωσεν εἰπών· *Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο·* ἔδωκεν, μετέδωκεν, ἔλαβεν, ἀπήλλαξέ με τῶν φροντίδων, καὶ τῆς μερίμνης. Οὐ λυποῦμαι, οὐ γὰρ ἦσαν ἐμὰ, ἀλλὰ τοῦ δεδωκότος Θεοῦ. Ἐγὼ οἰκονόμος τούτων ἐτύγχανον· ἕως ὅτε εἶχον τῶν χρημάτων τὴν οἰκονομίαν, καλῶς ᾠκονόμησα· ξένους συνήγαγον, ὀρφανῶν πατὴρ ἐγενόμην, χηρῶν προστάτης, πεινώντων προνοητὴς, γυμνητευόντων ἀμφιασμὸς, καταπονουμένων ὑπέρμαχος, θλιβομένων παραμυθία· ἐγὼ ἤμην ὀφθαλμὸς τυφλῶν, D ποὺς χωλῶν· ὅτε ἠθέλησεν ὁ Κύριός μοι ἔδωκεν, ὅτε ἔδοξεν αὐτῷ ἔλαβεν, τῆς οἰκονομίας με ἀφείλατο, τὰ ἴδια ἔλαβεν, οὐχὶ τὰ ἐμά. Πόθεν μοι ὕπαρξις εἰ μὴ ὁ Κύριος παρέσχεν; ἔδωκεν, ἐχάρην· ἔλαβεν, οὐκ ἐλυπήθην· ἐκείνου γὰρ ἦσαν ὅλα πάντα, καὶ οἱ βόες, καὶ οἱ κάμηλοι, καὶ αἱ νομάδες τῷ δεσπότῃ αὐτῶν· λοιπὸν ἐν τῷ οὐρανῷ ἀπήνεγκεν τὴν ἀπόκρισιν ταύτην ὁ διάβολος λέγων, ὅτι τὰς ἀγέλας τῶν προβάτων, καὶ τῶν βοῶν, καὶ τῆς λοιπῆς ὑπάρξεως, ἅπερ ἐπίστευσας τῷ Ἰὼβ πῦρ κατέφαγεν, καὶ βλέπε τὴν παρ' ἐκείνου ἀπόκρισιν· παρ' ἐμοῦ γὰρ οὐκ ἔχεις ῥῆμα βλασφημίας.

[47] Job I, 16. [48] Ibid. 21.

NOTÆ.

(*) Verba diaboli desiderantur.

Ἐκεῖνος τοσαῦτα ἀπολέσας οὐκ ἐβλασφήμησεν τὸν Θεόν· ἀλλὰ καὶ ὅτε ἔλαβεν εὐχαρίστησεν, καὶ ὅτε ἀπώλεσεν οὐκ ἐλυπήθη· οἱ δὲ νῦν ἄνθρωποι ὅτε λαμβάνουσιν, τοῦ δεδωκότος οὐ μνημονεύουσι, καὶ ὅτε ἀπολέσωσιν ἄρχονται τὸν Δημιουργὸν βλασφημεῖν, καὶ ἐξαριθμεῖν τὰ κατορθώματα αὐτῶν· εἴ που ἕνα μόδιον ἢ ἕνα ἄρτον ἔδωκε πεινῶντι, ἢ ἕνα λύχνον εἰς ἐκκλησίαν ἧψεν, ἢ ἕνα ἔριφον εἰς καρποφορίαν προσήνεγκεν, ἐκεῖνα μνημονεύουσιν λέγοντες· Τοσαῦτα καλὰ ἐποιήσαμεν, καὶ ἵνα τί ἐπῆλθεν ἡμῖν ἡ κακία αὕτη; ἀλλὰ μὴ μόνον τὰς βραχείας σου ἐντολὰς μνημονεύσῃς, ἀλλὰ καὶ ὅσα ἥμαρτες μνημόνευσον. Ἧψες λύχνον εἰς ἐκκλησίαν; καλῶς· ἀλλὰ εἰσῆλθεν ὁ πένης, ὃν ἠδίκησας, καὶ ἐστέναξεν κατὰ σοῦ, καὶ διὰ τῶν δακρύων ἀπέσβεσε τὸν λύχνον σου. Ἔδωκας πεινῶντι ἄρτον; κἀγὼ μαρτυρῶ σοι, ὅτι ἔδωκας, ἀλλὰ μνήσθητι ὅτι αἱ ἀγέλαι τῶν προβάτων σου καὶ τῶν βοῶν, ὁλόκληρον τὸ θέρος τοῦ πένητος κατέπιον. Μὴ ἀδικήσῃς πολλὰ, καὶ εὐποιήσῃς ὀλίγα· μὴ ἁρπάσῃς πολλὰ, καὶ μεταδώσῃς ὀλίγα· οὐ θέλεις ἀδικηθῆναι; μὴ ἀδικήσῃς τὸν πλησίον σου, τὸν ὀρφανὸν μὴ κονδυλίσῃς, τὴν χεῖρα μὴ κατὰ δεῖνα ὀπεύσῃς [σπεύσῃς], τὸν πένητα μὴ παρίδῃς, τῷ γείτονί σου μὴ φθονήσῃς, τοὺς εὐγενεῖς μάλα βλέπου, τοῖς φίλοις μὴ δολιεύου, γέροντας μὴ ἀτιμάσῃς, πρεσβυτέρους μὴ ὑβρίσῃς, τοὺς νεωτέρους μὴ παροργίσῃς, ἀλλὰ κἂν ἀπολείπωσι συνέσεως, συγγνώμην ἔχε· τῆς ἐκκλησίας μὴ χωρισθῇς, τοῖς θεάτροις μὴ πλησιάσῃς, τῆς πορνείας ἀπόστα, τῆς φλυαρίας ἀπέχου, τῆς φιλαδελφίας μὴ ἐπιλανθάνου, τῆς κακίας τὸν ἰὸν ἐκ τῆς καρδίας σου ἀποδίωξον, καὶ τὴν ἀγάπην ἐν τῇ ψυχῇ σου ἐμφύτευσον, τὴν φιλοξενίαν μὴ ἀπαρνοῦ, τῆς ἀληθείας μὴ ἀποστῇς, τῆς κακηγορίας φεῦγε μακράν· τὴν εἰρήνην φίλησον, τὴν μάχην βδελύσσου· ταῦτα πάντα φύλαξον, καὶ οὐ μὴ σοὶ εἰσέλθῃ κακόν. Μὴ βλασφημήσῃς κἂν ἐπέλθοι σοι κακόν· ταῦτα ἐποίησεν Ἰὼβ ὁ θεράπων Κυρίου. Κἂν ἐπῆλθεν αὐτῷ τὰ κακὰ ἐκεῖνα, οὐκ ἐβλασφήμησεν, ἀλλὰ καὶ εὐχαρίστησε τῷ Κυρίῳ εἰπών· *Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας.* Εἴ τις οὖν ἀσθενῇ, ἢ πλούτου ἐκπίπτῃ, τὴν τούτου καρτερίαν λαμβάνῃ, ἵνα καὶ τῶν στεφάνων καταξιωθῇ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν (1).

A Ille igitur tot et tantis spoliatus, non blasphemavit; imo vero, cum accepit, gratias egit; cum amisit, non est contristatus. Hujus vero temporis homines, cum accipiunt, largitoris obliviscuntur; cum amittunt, in Creatorem blasphemare incipiunt, et quæ recte fecerunt enumerare: si, v. c. unum modium vel unum panem esurienti dederint vel unam accenderint in ecclesia lampadem, vel unum hædum in sacrificium obtulerint, illa memorant dicentes: Tot bona egimus: quomodo hæc nobis supervenit calamitas? At vero noli bonorum aliquot operum tuorum mentionem facere, sed illa etiam memora quæcunque admisisti peccata. Accendisti lucernam in ecclesia? bene fecisti; sed supervenit pauper a te inique habitus, et contra
B te gemens lucernam tuam exstinxit. Panem esurienti dedisti? et ego te laudo quod dederis; verum memento quod greges ovium tuarum et camelorum totam messem pauperis depasti sunt. Noli in multis nocere, in paucis benefacere; noli multa diripere, pauca largiri; non vis injuriam pati? noli injuriam inferre proximo tuo: ne orphanum colaphizes, ne dextram in quemlibet erigas, ne pauperem contemnas, ne vicino tuo invideas; virtute nobiles suspice; cum amicis tuis ne fraudulenter agas, seniores debito honore ne defrauderis, prebyteros ne injuriose habeas; juniores ne ad iracundiam provoces; imo, si prudentia careant, indulgentia utere; ne ab Ecclesia recedas, ne theatris accedas; fornicationem devita, nugis abstine;
C ne fraternæ sis charitatis immemor, inimicitiæ venenum a corde tuo exclude, et charitatem animæ tuæ insere; ne hospitalitatem detrecteris, a veritate ne recedas; detractionem fugias, pacem dilige, dissensiones odi: hæc omnia observa, et non superveniet tibi malum. Noli blasphemare etiam si quid tibi mali acciderit: ita enim se gessit Job servus Domini. Quamvis enim tanta illa mala ipsi acciderint, non blasphemavit, imo et gratias egit Domino dicens: *Sit nomen Domini benedictum in sæcula.* Si quis igitur infirmetur, vel a divitiis excidat, hæc patienter sustineat, ut et coronari mereatur in Christo Jesu Domino nostro, cui gloria in sæcula sæculorum. Amen.
D

Ε'.

Περὶ τοῦ ἔχοντος χάριν μεταδοῦναι τῷ μὴ ἔχοντι, καὶ περὶ πρεσβυτέρων.

[Cod. f. 348.] Φιλάνθρωπος Σωτὴρ ἡμῶν, οἰκτείρων τὸ γένος ἡμῶν, οὐκ ἀφίησι πάντα ἄνθρωπον ἄμοιρον τῆς αὐτοῦ χάριτος· οὐ γὰρ μόνον δικαίοις δίδοται χάρις, ἀλλὰ καὶ ἁμαρτωλοῖς· ἐπειδὴ ἄφθονός ἐστιν, καὶ ἀπροσωπόληπτος, καὶ ἀνατέλλει τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ

V.

De eo qui gratiam communicare possit non habenti, et de presbyteris.

Hominum amans Salvator noster, nostri misertus generis, nullum sinit hominem gratiæ suæ esse expertem: non solis enim justis impertitur gratia, sed etiam peccatoribus: siquidem [48] nulli dona sua invidet Dominus, personasque non accipit: solem enim suum oriri facit super bonos et malos, pluit-

[48] Rom. II, 11; Matth. V, 45; I Tim. II, 4.

que super justos et injustos, et omnes homines vult salvos fieri. Etenim non despicit peccatorem, sed ipsi etiam parvam concedit gratiam, ut videlicet largitorem honoret, gratias illi agat, et conversus agat pœnitentiam. Quod si, hac etiam accepta gratia, in peccatis suis maneat, tunc ipsa, quam habet, gratia auferetur ab eo, et ad gehennam ignis condemnabitur, quia nec honorem sibi concessum nec honorificantem digne suscepit, impleturque in illo quod scriptum est : *Homo, cum in honore esset, non intellexit, comparatus est jumentis insipientibus et assimilatus est eis* [49].

Ego novi sacerdotes quosdam, qui erant peccatores, manus infirmis imposuisse, sanitatemque contulisse; illud vero ut fieri possit, duo requiruntur, quæ non dantem modo, sed etiam accipientem respiciunt. Si enim fide careat qui accipere debet, ne a justo quidem accipiet; qui vero fidem habet, statim a peccatore etiam sanationis gratiam consequitur. Qui fidem non habet, neque a justo neque a peccatore sanitatem accipit : utrique enim, propter fidem recipientis, sanandi potestas conceditur. Dicebat enim Dominus ad se, ut aliquid peterent, accedentibus : *Fiat vobis secundum fidem vestram* [50]. Crede in nomine Domini omnem vanam disquisitionem omittens, et sanationis donum accipies : Deus enim est qui operatur. Multi e sacerdotibus peccatores offerunt dona, neque aversatur Deus, sed per Spiritum sanctum illa sanctificat, *Et panis fit corpus, calixque fit sanguis Domini nostri Jesu Christi*. Et quidem multi sunt qui, recte se agere existimantes, sacerdoti communicare recusant eo quod peccati alicujus ab ipso admissi conscii sint, neque sentiunt se ipsos graviter peccare, dum virtutem exercere volunt.

D Ministrum operis sui non pigeat, sed omnia sine murmuratione exsequatur. Laicus, auditum accommoda, et ad divinarum Scripturarum auditionem te præpara. Mulieres, garrulitates ab ore vestro tollite, susurrationes reprimite, recordamini quod anguis susurro Evam e paradiso detraxit: linguas vestras comprimite, audiendorumque sermonum studiosæ fiatis, ut quasi perfectum vos ipsas operarium reddentes, perfecta mercede in regno cœlorum dignæ evadatis a clementissimo Domino nostro Jesu Christo, cum quo Patri et Spiritui sancto gloria, honor, et adoratio, nunc, et semper, et in sæcula sæculorum. Amen.

[65] II Tim. II, 5. [66] Matth. XXVI, 41. [67] Psal. XLVI, 7.

IX.

De epulatione.

Dicam nunc tibi de epulatione, quomodo ad cœnam accedendum. Noli debita repetere, nec quæ hospes non habuerit desiderare, sed quæcunque ille præbuerit, comede cum gratiarum actione, nihil interrogans, uti benedictus habet Paulus: *Omne quod vobis apponitur, manducate, nihil interrogantes propter conscientiam* [18]. Non enim venisti debita repetere, sed vota Deo offerre. Non potandi causa, ventrem impleturus, sed precationis ergo venisti. Num hanc ille tibi invitationem debebat? Imo propter Deum te vocavit; ne igitur debita repetas.

At multos non pudet dicere: Cum debito me honore colere nequis, cur me vocasti, meque ita illudis? Inter principes enim annumeror. Princeps tu? Fateor quidem te principem esse. Princeps erat quoque, virtute et pietate sublimis Elias, quo nec universus mundus est dignus. Qui tamen domum viduæ ingressus, cum in mensa subcinericium unius fere pugilli inveniret, grato animo accepit, et offerenti benedixit, nec quæsivit a vidua quod non habebat. Principem te dicis et exigis præstantia? Ille non dictitavit: Ego sum propheta, et Dei nomine loquor; ista nil mihi præter subcinericium præbuit, nec me pro meritis excoluit. Non talia profatus est Elias, non mensam viduæ fastidivit; imo laudavit eam et benedixit ei. Subcinericium Elias in foco assavit et comedit: tu vero, dum panem manducas et vinum bibis, audes queri quod hoc non offeratur, aut illud non adsit? Honorans te vocavit hospes: noli debita exigere; noli exquirere quod cupieris, sed quod præbuerit hospes gratiose accipe, et danti benedic. Hic enim non avide cupiendum, sed gratiæ retribuendæ.

Convivio assidens, ne socios offendas; magna enim culpa convivas offendere: qua de causa beatus Paulus præcepit: *Ad manducandum invicem exspectate; si quis esurit, domi manducet* [19]. Quod si quis igitur esurierit, domi manducet, et proximum non lædat; et si quis exquisitos cibos cupierit, domi maneat, nec quærat ab hospite quæ hic non habet, neque ei insultet. Sæpe enim pauper homo et bono proposito, commemorationes sanctorum celebrare studet, et eulogiæ ratione offert quæcunque habuerit. Tu autem dives cum accedis, magna et præstantia invenire speras, et oblata contemnis,

A

Θ'.

Περὶ ἐσθιάσεως.

[Cod. f. 245 b.] Δεῦρο λοιπὸν διδάξω σε καὶ περὶ τῆς ἐσθιάσεως πῶς ὀφείλεις προσέρχεσθαι τῇ ἐσθιάσει. Μὴ ἀπαίτει ὀφειλὰς, μηδὲ ἃ οὐκ ἔχει ὁ καλέσας σε ἐπιζήτει, ἀλλὰ ἅπερ παρέχει, ταῦτα μετ' εὐχαριστίας μεταλάμβανε, μηδὲν διακρινόμενος· καθὼς καὶ ὁ εὐλογημένος Παῦλος εἶπε, *Πάντα τὰ παρατιθέμενά σοι ἔσθιε, μηδὲν διακρινόμενος.* Οὐκ ἦλθες ὀφειλὰς ἀπαιτῶν, ἀλλὰ εὐχὴν ἀποδοῦναι τῷ Θεῷ· οὐκ ἦλθες τὴν κοιλίαν πληρῶσαι διὰ μέθην, ἀλλὰ διὰ εὐχήν· ἐχρεώστει σε καλέσαι; Ναὶ διὰ τὸν Θεόν σε ἐκάλεσε· μὴ ἀπαίτει ὀφειλάς.

B ᾿Αλλὰ πολλοὶ ἀναισχυντοῦντες λέγουσι· Μὴ ἀξίως ἔχων τὴν τιμὴν ἀποδοῦναι, ἵνα τί με ἐκάλεσας, καὶ πανύβρισας ἐμαυτόν; ὅτι εἷς τῶν μεγάλων εἰμί. Μέγας εἶ; κἀγώ σοι μαρτυρῶ ὅτι μέγας εἶ. Οὕτω μέγας ἐν ἀρετῇ, καὶ ὑψηλὸς ἐν προσευχῇ ὁ Ἡλίας ἦν, οὗ οὐκ ἔστιν ἄξιος ὅλος ὁ κόσμος. Οὗτος τοίνυν εἰσελθὼν εἰς τὴν οἰκίαν τῆς χήρας, καὶ εὑρὼν ἐγκρυφίαν ὡς μίαν δράκα ἐπὶ τῆς τραπέζης, μετὰ εὐχαριστίας μετέλαβε, καὶ τὴν παρασχοῦσαν εὐλόγησεν, καὶ οὐκ ἐπεζήτησε παρὰ τῆς χήρας ἃ οὐκ εἶχε. Λέγεις σεαυτὸν μέγαν, καὶ ἐπιζητεῖς ὑψηλά; Ἐκεῖνος οὐκ εἶπεν, ὅτι Προφήτης εἰμὶ, καὶ μετὰ Θεοῦ λαλῶ, καὶ παρέθηκέ μοι ἐγκρυφίαν τοῦτον, καὶ οὐδὲ κατὰ τὴν ἀξίαν με ἐτίμησεν. Οὐδὲν τούτων εἶπεν, οὐδὲ τὴν τράπεζαν τῆς χήρας ἐξουδένωσεν, ἀλλὰ C μᾶλλον ὑπερηπαίνησε καὶ εὐλόγησεν αὐτήν. Ἡλίας ἐγκρυφίαν ἐπὶ τῆς ἑστίας ὤπτησε καὶ ἔφαγε, καὶ σὺ τρώγων ἄρτον καὶ πίνων οἶνον τολμᾷς ἐγκαλεῖν ὅτι τόδε οὐκ ἐνήχθη, καὶ τάδε οὐ παρῆσαν; τιμήσας ἐκάλεσέ σε, μὴ καὶ ὀφειλὰς ἀπαιτεῖν· μὴ ἐπιζητήσῃς ἅπερ σὺ ἐπιθυμεῖς, ἀλλὰ ἅπερ παρέχει ὁ καλέσας, ταῦτα μετὰ εὐχαριστίας μεταλάμβανε, καὶ εὐλόγησον τὸν δεδωκότα. Οὐκ ἔστιν ἐνταῦθα πλεονεξίας ἀπαίτησις, ἀλλὰ εὐλογίας μετάδοσις.

Καθεζόμενος ἐπὶ τῆς τραπέζης, μὴ βλάψῃς τὸν συνεσθίοντά σοι· μεγάλη γὰρ ἁμαρτία τὸ βλάπτειν τὸν πλησίον ἐν τῇ τραπέζῃ. Διὰ τοῦτο καὶ ὁ εὐλογημένος Παῦλος παρήγγειλε λέγων, *Εἰς τὸ φαγεῖν ἐκδέχεσθε ἀλλήλους· εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω.* Εἴ τις οὖν πεινᾷ, εἰς τὸν ἴδιον οἶκον ἐσθιέ- D τω, καὶ μὴ βλάψῃ τὸν πλησίον· καὶ εἴ τις ἐπιθυμεῖ τρυφερὰ σιτηρέσια, εἰς τὴν ἰδίαν οἰκίαν, καὶ μὴ ζητήσῃ παρὰ τοῦ καλέσαντος ἅπερ οὐκ ἔχει, καὶ καταισχύνῃ εἰς αὐτόν. Πολλάκις γὰρ πένης ὑπάρχει τις, καὶ ἔχει πρόθεσιν ἀγαθὴν, καὶ διὰ πόθον θέλει ἐπιτελεῖν μνείας ἁγίων, καὶ δίδωσιν ἕνεκεν εὐλογίας

18 I Cor. x, 25. 19 I Cor. xi, 33, 34.

NOTÆ.

(1) In sanctorum commemorationibus, de quibus sermo præcedens scriptus fuit, patet consuetudinem adhuc fuisse, Eusebii Alexandrini ætate, sacra convivia celebrandi, quæ exhibebantur ab eo qui festi auctor erat. Ad hæc convivia cum vulgo Christiani invitarentur ut εὐλογίας sumerent, non deerant quandoque optimates aliqui seu lautiores homines, qui vilitatem illorum conviviorum, siquando a tenuioribus appararentur, contemnebant. Contra hujusmodi pauperculorum conviviorum querulos contemptores Eusebius piam hanc orationem habuit.

ἅπερ ἔχει· καὶ εἰσέρχῃ σὺ ὁ πλούσιος, καὶ ἐλπίζεις A μεγάλα εὑρεῖν ἢ βαθέα, καὶ ψέγεις τὰ παρατιθέμενα, καὶ καταισχύνεις τὸν πένητα, τὸν μετὰ πολλοῦ καμάτου ἀγωνιῶντα, καὶ κατακρίνεις σου τὴν ψυχήν.

Εἰ δὲ θέλεις, ἄκουσον τὴν ἀλήθειαν· ὅτι οὐκ ἔστι τοῦτο ἄριστον θεϊκὸν τοῦ καταισχύνειν τὸν πένητα. Ἄκουε τοῦ Ἀποστόλου λέγοντος· *Οὐκ ἔστι Κυριακὸν δεῖπνον φαγεῖν*, ἀλλ' ὡς εὐλογίαν, καὶ οὐχὶ ὡς πλεονεξίαν. *Κυριακὸν* γὰρ λέγεται τὸ τῶν ἁγίων ἄριστον· καὶ παρήγγειλεν ὁ εὐλογημένος Παῦλος μὴ μετὰ γογγυσμοῦ φαγεῖν αὐτό. Διὰ τοῦτο εὐθὺς φησιν ὁ αὐτός, *Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν, ἀλλὰ καταισχύνετε τοὺς πένητας;* Πλούσιος εἶ; ἔχεις ἀγαθὰ πολλὰ καὶ λαμπρά; Ἀπόλαυσον εἰς τὰ οἰκεῖά σου καθ' ἡμέραν· καὶ εἰς B τὴν εὐημερίαν τοῦ Κυριακοῦ δείπνου, εὐλογίαν μετάλαβε τὰ διδόμενα, καὶ μὴ καταισχύνῃς τὸν πένητα. Ταῦτα φυλάττων ἀπέρχῃ εἰς μνείαν ἁγίων· δόκησον λαβεῖν μισθὸν παρὰ τῶν ἁγίων. Εἰ δὲ οὐ ποιεῖς ταῦτα, συμφέρει μᾶλλον μὴ παραγενέσθαι· εἰ διὰ Θεὸν παραγίνῃ, ταῦτα ἃ παρήγγειλέ σοι ὁ Θεὸς φύλαττε, καὶ οὐ μὴ ἐκπέσῃς ποτέ· καὶ ὁ Κύριος ἔσται μετὰ σοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· αὐτοῦ γάρ ἐστιν ἡ ἀντίληψις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A et conviciaris pauperem tot laboribus oppressum, et condemnas animam tuam.

At, si libet, audi veritatem. Non Deo accepta est cœna qua indigum conviciaris. Audi enim Apostolum dicentem : *Non est Dominicam cœnam manducare :* benedictionis, non cupiditatis gratia comedendum. *Dominica* vocatur sanctorum cœna, et hortatur benedictus Paulus ne illam cum murmure manducemus. Inde statim addit idem : *Numquid domos non habetis ad manducandum et bibendum, aut pauperes contemnitis* [70]? Dives tu? Multa tibi et splendida præsto sunt? fruere eis quotidie domi; B sed ad excolendam Dominicam cœnam, quæ apponuntur cum gratiarum actione accipias, et pauperem reverearis. Sanctorum memoriam adeas, hæc observans, et mercedem a sanctis accipere confidas; tibi autem aliter agenti potius abstinendum. Si enim propter Deum ad cœnam convenis, Dei mandata observa, et nunquam laberis, et Deus erit tecum omnibus diebus vitæ tuæ; illius enim est protectio et gloria, Patris ac Filii ac Spiritus sancti, nunc et semper et in sæcula sæculorum. Amen.

Γ'.

Περὶ τὴν Χριστοῦ Γέννησιν.

[Cod. f. 329] Παραγενομένης τῆς τοῦ Χριστοῦ C Γεννήσεως ἑορτῆς, προσελθὼν ὁ Ἀλέξανδρος λέγει τῷ μακαρίῳ Εὐσεβίῳ τῷ ἐπισκόπῳ· Δέομαί σου, Πάτερ, ἱστόρησόν με περὶ τῆς Χριστοῦ Γεννήσεως, καὶ περὶ πάσης τῆς οἰκονομίας αὐτοῦ τῆς πρὸς τὸν κόσμον. Τότε ὁ μακάριος ἤρξατο λέγειν· Ἄκουσον, τέκνον, καὶ ἐρῶ σοι πᾶσαν τὴν οἰκονομίαν, ἣν ὁ Κύριος δι' ἡμᾶς ἐποίησεν, τῶν προφητῶν προειπόντων περὶ πάσης τῆς οἰκονομίας αὐτοῦ ἧς ἐποίησεν εἰς ἡμᾶς. Ἐκ Παρθένου ἐγεννήθη ἵνα ἡ ἀνθρωπότης εἰς τελείαν γένηται· ἐν φάτνῃ κατεδέξατο σπαργανωθεὶς τεθῆναι, ἵνα προσελθόντες τῇ φάτνῃ ὥσπερ τραπέζῃ, ἀντὶ τῆς κτηνώδους τροφῆς, λογικῆς μεταλάβωμεν τροφῆς· *Λογικὴ* γὰρ *τροφὴ ὁ Χριστός*· *ἄρτος γάρ ἐστιν ἀπὸ οὐρανοῦ καταβάς*. Ἐν τούτῳ ἐπληρώθη καὶ ἡ προφητεία Ἡσαΐου τοῦ D προφήτου λέγοντος· *Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην κυρίου αὐτοῦ*. Βοῦν ἐκάλεσεν τὸν ἐξ Ἰουδαίων πεπιστευκότα τῷ Κυρίῳ, *ὄνον* δὲ τὸν ἐξ ἐθνῶν. Ἐν πολλῇ ἀλογίᾳ κατεκείμεθα, νῦν δὲ ἔγνωμεν τὴν ἀλήθειαν· ἡμῖν οὖν παρεδόθη τοῖς ἔθνεσιν τὸ μυστήριον τοῦ γεννηθέντος Κυρίου. Δι' ἡμᾶς γὰρ ἐγεννήθη ἐκ Παρθένου, καὶ ἐδόθη ἡμῖν καθὼς εἶπεν ὁ προφήτης, *Ὅτι παιδίον ἐγεννήθη ἡμῖν*. Καὶ τοῦτο ἀκούσαντες Ἰουδαῖοι οὐκ ἔγνωσαν τὸν γεννηθέντα Κύριον· ἀλλ' οὐδὲ αὐτὸς Ἰωσὴφ παραλαβὼν τὴν Παρθένον ἔγνω τὸν ἐν αὐτῇ Κύριον. Λέγει γὰρ τὸ Εὐαγγέλιον· *Ἰδοὺ ἡ*

X.

De Christi Nativitate.

C Occurrente die Nativitatis Christi, adiit Alexander beatum Eusebium episcopum : Oro te, Pater, inquit, erudi me de Nativitate Christi, et de omni dispensatione ejus in universum mundum. Tunc beatus cœpit dicere : Audi, fili, et tibi exponam omnem œconomiam quam propter nos fecit Dominus, prælocutis prophetis de omni œconomia quam fecit propter nos. Ex Virgine natus est, ut humanitas perficeretur; in præsepi pannis involutus apparuit, ut ad præsepe velut ad mensam convenientes pro pecuaria esca, spiritualem acciperemus. Nam *spiritualium esca Christus*: est enim *panis de cœlo descendens*. Qua ratione impleta est prophetia Isaiæ prophetæ dicentis : *Cognovit bos possessorem, et asinus præsepe domini sui* [71]. *Bovem* vocat qui de Judæis D Domino credit, *asinum* qui de gentibus. Prius enim ratione omnino destituebamur, nunc autem veritatem agnoscimus. Nobis igitur gentibus datum est mysterium incarnati Domini. Nam propter nos natus est ex Virgine, et nobis concessus est juxta illud prophetæ : *Quia parvulus natus est nobis* [72]. Quod cum audivissent Judæi, natum tamen Dominum non agnoverunt; neque ipse Joseph, suscepta Virgine, cognovit Dominum in ejus utero gestatum. Ait enim Evangelium : *Ecce Virgo in utero habebit de Spiritu sancto* [73]; *Joseph autem vir ejus non cognoscebat eam donec peperit filium suum primogenitum* [73*]. Nam illud, *non cognoscebat eam*, non de carnali

[70] I Cor. XI, 20, 22. [71] Isa. I, 3. [72] Isa. IX, 6. [73] Matth. I, 23, ex Isa. VII, 14. [73*] Matth. I, 25.

conjunctione intelligendum; sic enim nec ante partum, nec post partum cognovit eam, cum virgo remanserit Mater Domini; illud autem *non cognoscebat* idem significat ac si diceret: Non cognoscebat unde erat ingenua proles quam utero gerebat. Virginem enim acceperat tanquam depositum fideliter custodiendum, nec quam custodiebat noverat quæ et qualis esset. Non cognoscebat Deum ejus in utero contineri; non cognoscebat quem neque cœlum nec terra capit, eum in ventre Virginis portari. Non cognoscebat quæ perficienda erant, donec stellam vidisset solem splendore vincentem, et virginem illæsa virginitate parientem, et pastores una cum angelis incarnatum Dominum celebrantes, et Magos dona offerentes, et Patrem olim per Prophetam clamantem: *Filius meus es tu, ego hodie genui te* [74]. Quibus aliisque hujusce generis prodigiis conspectis, tunc agnovit quæ esset ipsi demandata virgo, et quam præstans ex ea orta proles. Ac cognito mysterio, deinceps cum tremore et veneratione divinis consiliis inservivit. *Primogenitus* autem dicitur, non quod fratrem habuerit alium, sed quod solus de Virgine natus sit, et ex mortuis exstiterit primogenitus, et principium salutis, testante Apostolo: *Ut sit in omnibus ipse primatum tenens* [75]. Quod autem ex Virgine oriundus ille fuerit, declarat propheta Isaias dicens: *Ecce Virgo in utero concipiet, et pariet filium, et vocabitur nomen ejus Emmanuel* [76]. Quod de genere Davidis nasciturus sit, docet idem propheta clamans: *Egredietur virga de radice Jesse, et flos de radice ejus ascendet* [76*]: *radicem* vero vocat Davidem, ac *virgam de radice egredientem* Virginem Mariam, et *florem* de virga ascendentem Dominum nostrum Jesum Christum regem gentium. Quem florem conatus est Herodes de virgine decerpere, at non potuit.

A *Παρθένος ἐν γαστρὶ εἴληφεν ἐκ Πνεύματος ἁγίου· Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς οὐκ ἔγνω αὐτὴν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον.* Ἀλλὰ τὸ, *οὐκ ἔγνω αὐτὴν*, οὐκ εἶπεν ἕνεκεν κοινωνίας σαρκικῆς· οὔτε γὰρ πρὸ τοῦ τόκου ἔγνω αὐτὴν, οὔτε μετὰ τόκον, δηλονότι παρθένου διαμενούσης τῆς Μητρὸς τοῦ Κυρίου· ἀλλὰ τὸ, *οὐκ ἔγνω αὐτὴν*, τουτέστιν, Οὐκ ἔγνω, φησὶν, τὸ ἐν τῇ γαστρὶ πόθεν ἐστὶν τὸ ἀγαθὸν γέννημα (1)· παραθήκην γὰρ εἰς τήρησιν ἔλαβεν παρθένον, καὶ ἣν ἐφύλαττεν οὐκ ἐγίνωσκεν τίς καὶ πῆ (2) ὑπῆρχεν. Οὐκ ἐγίνωσκεν ὅτι Θεὸς ἐν τῇ μήτρᾳ κατοικεῖ· οὐκ ἐγίνωσκεν, ὅτι ὃν ὁ οὐρανὸς καὶ γῆ οὐκ ἐχώρει, τοῦτον ἐν τῇ κοιλίᾳ ἐβάσταζεν· οὐκ ἐγίνωσκεν τὴν οἰκονομίαν τὴν γινομένην, ἕως ὅτε εἶδεν τὸν ἀστέρα λάμποντα ὑπὲρ τὸν ἥλιον, καὶ B τὴν Παρθένον γεννήσασαν καὶ πάλιν μείνασαν παρθένον ἄφθαρτον, τοὺς ποιμένας σὺν ἀγγέλοις ὑμνοῦντας τὸν γεννηθέντα Κύριον, καὶ τοὺς Μάγους δῶρα προσφέροντας, ἄνωθεν τὸν Πατέρα διὰ τοῦ προφήτου λέγοντος, *Υἱός μου σὺ εἶ, ἐγὼ σήμερον γεγέννηκά σε.* Ταῦτα ἰδὼν καὶ παραπλήσιον τούτων σημεῖα, τότε ἔγνω τίς ἐστιν ἡ παρθένος ἣν ἐφύλαττεν, καὶ τίς ὁ θησαυρὸς ἐξ αὐτῆς γεννηθείς. Καὶ γνοὺς τὸ μυστήριον, τὸ λοιπὸν μετὰ φόβου καὶ τρόμου ὑπηρέτει τῷ θαύματι. *Πρωτότοκον* δὲ αὐτὸν ὠνόμασεν οὐχ ὅτι ἕτερον ἔσχεν ἀδελφὸν, ἀλλ' ὅτι ἐκ παρθένου μόνος προῆλθεν καὶ ἐκ τῶν νεκρῶν πρωτότοκος ἀνέστη, καὶ ἐν πᾶσιν γέγονεν αὐτὸς πρῶτος, καὶ ἀρχὴ σωτηρίας, καθὼς καὶ ὁ Ἀπόστολος εἶπεν, *Ἵνα γένηται ἐν πᾶσιν πρωτεύων*· ὅτι δὲ ἐκ τῆς C Παρθένου ἔμελλεν προέρχεσθαι, εἶπεν ὁ προφήτης Ἡσαΐας λέγων· *Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσιν τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ.* Καὶ ὅτι ἐκ τοῦ σπέρματος Δαβὶδ γεννᾶται, καὶ τοῦτο ὁ προφήτης εἶπεν λέγων· *Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσὲ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται.* Ῥίζαν δὲ εἶπεν τὸν Δαβίδ· *ῥάβδον ἀναβαίνουσαν ἐκ τῆς ῥίζης* τὴν Παρθένον Μαρίαν· *ἄνθος* ἀναβαῖνον ἐκ τῆς ῥάβδου, Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν βασιλέα τῶν ἐθνῶν· τοῦτο τὸ ἄνθος ζητεῖ Ἡρώδης ἐκτέμνειν ἐκ τῆς Παρθένου, ἀλλ' οὐκ ἴσχυσεν.

Surge, ait angelus Domini, *et accipe puerum, et matrem ejus, et fuge in Ægyptum* [77], ut ibi idolorum cultus destruatur; vigebat enim illic idolorum veneratio et impietas. In Ægyptum se recepisse narratur, non ut Herodem fugeret, longe absit! sed ut idololatriæ peccatum fugaret, et impleret prophetias. Dixerat enim Isaias propheta: *Aperientur oculi cæcorum* [78]. Nam cæci erant Ægyptii, tenebris obcæcati; et intelliges, dilectissime, quanta eorum cæcitas, si quæ dicam attendas: Videbant sculptile lignum et adorabant illud velut Deum, videbant serpentes ac feras, et pro diis habebant. Quid autem de serpentibus et feris loquor, quæ per se moventur, cum plerique vel cepas deorum loco venerati sint? Quid tibi videtur, amice? Nonne oculos habe-

Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ πορεύου εἰς Αἴγυπτον· ἵνα καταπαύσῃ τὴν εἰδωλολατρείαν. Μεγάλη γὰρ κνίσσα εἰδωλολατρείας καὶ ἀνομίας ἐπετελεῖτο· εἰς Αἴγυπτον, φη- D σὶν, φεύγων Ἡρώδην; Μὴ γένοιτο! ἀλλὰ φυγαδεύων τὴν ἐκεῖ ἁμαρτίαν τῆς εἰδωλολατρείας, καὶ τὰ προφητευθέντα εἰς ἔκβασιν ἄγων· φησὶν γὰρ Ἡσαΐας ὁ προφήτης· *Ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν*· τυφλοὶ γὰρ ἐτύγχανον οἱ Αἰγύπτιοι ἐν σκότει ὑπάρχοντες. Καὶ ἵνα μάθῃς, ἀγαπητὲ, ὅτι τυφλοὶ ἦσαν, πρόσεχε ἀκριβῶς ὃ λέγω· Ἔβλεπον ξύλον γλυπτὸν, καὶ προσεκύνουν αὐτῷ ὡς Θεῷ· ἔβλεπον θηρία ἑρπετὰ, καὶ θεοὺς ὠνόμαζον. Τί δὲ λέγω περὶ θηρίων καὶ ἑρπετῶν κινουμένων, ὅπου γε κρόμμυα προσεκυνήθησαν παρά τισιν εἰς θεούς;

[74] Psal. II, 7. [75] Coloss. I, 18 [76] Isa. VII, 14. [76*] Isa. XI, 1. [77] Matth. II, 13. [78] Isa. XXXV, 5.

NOTÆ.

(1) Animadverte pulchram piamque interpretationem locutionis *non cognoscebat eam*
(2) Notemus πῆ ab inusitato πός.

Τί οὖν δοκεῖ σοι, ἀγαπητέ; Μὴ εἶχον ὀφθαλμούς; Τούτου χάριν θεασάμενος ὁ Κύριος τὴν τύφλωσιν αὐτῶν κατέβη εἰς Αἴγυπτον. Ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῶν ἵνα ἴδωσι τὸ ξύλον ὡς ξύλον καὶ τὸν λίθον ὡς λίθον, καὶ ἴδωσι φῶς τὸ ἀληθινὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Ἀναγκαῖον γὰρ ἦν γεννηθέντα τὸν Κύριον πρῶτον τὴν εἰδωλολατρείαν καταργῆσαι· ὅτι δὲ πάλιν ἔμελλεν ἀναχάμπτειν Ἱερουσαλὴμ, προεῖπεν ὁ προφήτης λέγων, *Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου.*

Ταῦτα πεποίηκεν ὁ Κύριος διὰ τὴν ἡμετέραν οἰκονομίαν· ἐγεννήθη ἐκ Παρθένου, ἵνα ἡμᾶς ἐκ γεέννης λυτρώσηται· τὸ σῶμα τὸ ἡμέτερον ἐνεδύσατο θνητὸν, ἵνα αὐτὸ ποιήσῃ ἀθάνατον· τοῖς λεγομένοις γονεῦσιν ὑπεταγήθη, ἵνα ποιήσῃ τὸ τραχὺ τὸ πρὸς τοὺς γονεῖς ἀποθέσθαι· κατὰ μέρος ηὔξησεν, ἵνα πιστευθῇ ἐνανθρώπησις αὐτοῦ· περιετμήθη κατὰ τὸν νόμον, ἵνα μὴ εἴπωσιν οἱ Ἰουδαῖοι ὅτι μὴ δυνάμενος ποιῆσαι τὰ τοῦ νόμου, διὰ τοῦτο κατήργησεν αὐτόν. Πρῶτον οὖν πάντα τὰ τοῦ νόμου πληροῖ, καὶ τότε αὐτὸν παύει· ἐπειδὴ οὐκ ἦλθεν καταργῆσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι. Καὶ παύει αὐτὸν, καὶ εἰσφέρει τὴν χάριν τοῦ Εὐαγγελίου, ἵνα μηκέτι ὦμεν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν· *Οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος· ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος γέγονεν, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ*, ὡς εἶπεν Παῦλος εὐλογημένος ἀπόστολος.

Πάντα ἐγένετο κατὰ τὸν νόμον. Ὅθεν εἰς τὸ ἱερὸν αὐτὸν ἀγαγόντες τῷ προφήτῃ καὶ ἱερεῖ Συμεὼν, προσήνεγκαν τοῦ εὐλογῆσαι αὐτόν. Ἀλλὰ Συμεὼν ὁ δίκαιος δεξάμενος ἐν ἀγκάλαις, καὶ διὰ τοῦ Πνεύματος τοῦ ἁγίου ἐγνωκὼς τὸ κατὰ αὐτὸν, προεῖπεν τῇ Παρθένῳ· *Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον· καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία.* Εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν εἶπε κεῖσθαι τὸν Κύριον· ἐπειδὴ οἱ πιστεύσαντες αὐτῷ ἀνέστησαν, διαλλαξάμενοι τὸν βόθυνον τῆς ἁμαρτίας, καὶ ζωὴν αἰώνιον κληρονομήσαντες, ἀναστάντες ἐκ τῶν τῆς ἁμαρτίας τάφων· *εἰς πτῶσιν* δὲ τῶν μὴ πιστευσάντων αὐτῷ, καὶ καταπεσόντων εἰς βόθυνον τῆς ἀνομίας. *Καὶ εἰς σημεῖον ἀντιλεγόμενον.* Σημεῖον δὲ ἀντιλεγόμενον εἶπεν τὸν τίμιον σταυρὸν, ὑπὸ Ἰουδαίων μὲν ἀντιλεγόμενον, ὑπὸ δὲ τοῦ κόσμου πιστοποιούμενον· τοῦτο τὸ σημεῖον ἀντιλεγόμενον ὑπὸ τῶν ἀπίστων Ἰουδαίων· σὺ οὖν ὁ πιστὸς ἔχε ἐν τῇ καρδίᾳ σου τὴν μνήμην αὐτοῦ, καὶ ἐν τῇ ψυχῇ σου ἔχων τὸν τύπον ὑπὸ τοῦ προσώπου σου, μηδέποτε δειλιάσῃς. Τοῦτο τὸ σημεῖον σώζει τοὺς πιστεύοντας εἰς τὸν σταυρωθέντα ἐπ' αὐτῷ, ἀπόλλυσιν δὲ τοὺς ἀπιστοῦντας καὶ ἀντιλέγοντας· τοῦτο τὸ σημεῖον ἀντιλεγόμενον Χριστιανῶν ἐστιν ἐλπὶς καὶ σωτηρία, Ἰουδαίων δὲ σκάνδαλον καὶ μωρία. Τοῦτο τὸ σημεῖον χωλῶν ἐστιν βακτηρία, πενήτων παραμυθία, ὑπερηφάνων δὲ καὶ ἀσεβῶν κάθαρσις. Τοῦτο τὸ σημεῖον ἀπηλπισμένων ἐστὶν ἐλπὶς καὶ πλεόντων κυβερνήτης, πολεμουμένων τεῖχος, ἀβοηθήτων βοηθὸς, πατὴρ ὀρφανῶν,

A bant? Hac de causa, perspecta eorum cæcitate, descendit Deus in Ægyptum. Aperuit eorum oculos, ut lignum pro ligno, lapidem pro lapide haberent, et veram cernerent lucem Dominum nostrum Jesum Christum. Necesse enim erat ut natus Dominus idolorum cultum ante omnia everteret. Quod autem ipsi Jerusalem repetendum, prænuntiaverat propheta dicens: *Ex Ægypto vocavi Filium meum* [79].

Quæ omnia perfecit Deus ut nobis consuleret. Natus est de Virgine, ut nos a gehenna liberaret: corpus nostrum mortale suscepit, ut illud immortale redderet; fuit iis qui parentes dicebantur subditus, ut ostenderet quam turpe in parentes insurgere; paulatim crevit, ut verus homo appareret; B circumcisus est juxta legem, ne dicerent Judæi eum legem non potuisse perficere atque ideo eam abolevisse. Primum igitur per omnia legi inserviit, atque tum eam abrogavit. Non venerat enim legem abolere, sed implere. Ac cessare fecit eam, et gratiam instituit Evangelii, ne amplius simus sub lege, sed sub gratia. *Nihil enim ad perfectum adduxit lex; introductio vero melioris spei, per quam proximamus ad Deum*, uti ait benedictus apostolus Paulus [80].

Omnia perfecta sunt de lege. Quapropter delatum ad templum prophetæ ac sacerdoti Simeoni obtulerunt ut puero benediceret. Simeon vero accipiens puerum in ulnas, et per Spiritum sanctum C edoctus quis ille esset, prædixit Virgini: *Ecce positus est hic in ruinam et in resurrectionem multorum in Israel et in signum cui contradicetur: et tuam ipsius animam pertransibit gladius* [81-82]. *In ruinam et in resurrectionem* multorum dicit poni Dominum, quod illi quidem qui ipsi credituri erant, e fovea peccati erepti resurgerent, et vitam æternam sortiti et e sepulcro peccati egressi; *in ruinam* autem eorum qui non credituri erant, et in foveam iniquitatis lapsuri. *Et in signum cui contradicetur.* Signum cui contradicetur vocat venerabilem crucem, cui Judæi contradicunt, reliquus autem terrarum orbis assentit. Huic signo ab infidelibus Judæis contradicitur. Tu vero fidelis retine in animo tuo ejus me- D moriam, et cor tuum, signo hoc vultui tuo impresso, nunquam deficiat. Quod signum servat eos qui in Dominum cruci affixum crediderint, respuentes vero et contradicentes perdit. Quod signum, cui contradicitur, Christianis est spes et salus, Judæis scandalum et stultitia. Quod signum claudis baculum, pauperibus consolatio, superbis et impiis purgatio. Quod signum spes perditis, dux navigantibus, vallum bellantibus, auxilium indigentibus, pater orphanis, defensor viduis, levamen oppressis. Quod signum regibus decus, servis libertas, ignaris sapientia. Adeo valet signum cui a Judæis contradicitur, quod vero omnis terrarum orbis profitetur,

[79] Osee XI, 1. [80] Hebr. VII, 19. [81] Luc. II, 34.

et a quo tota custoditur Christianorum mens. Tale est signum cui contradicitur.

A προστάτης χηρῶν, ἄνεσις θλιβομένων· τοῦτο τὸ σημεῖον βασιλέων ἐστὶν μεγαλοπρέπεια, δούλων ἐλευθερία, ἀπαιδεύτων σοφία. Τοῦτό ἐστιν τὸ ἀντιλεγόμενον σημεῖον ὑπὸ τῶν Ἰουδαίων, καὶ ὁμολογούμενον ὑπὸ πάσης τῆς οἰκουμένης, καὶ φυλάσσον πᾶσαν πνοὴν Χριστιανῶν· τοῦτό ἐστιν τὸ σημεῖον ἀντιλεγόμενον (1).

Et tuam ipsius animam pertransibit gladius. Gladium vocat dolorem Virginis, prænuntians dolorem de crucifixo. Noli enim putare, dilecte, matris viscera nihil perpessa esse, dum natum videret cruci affixum, aceto et felle refectum, et lancea perforatum. Hunc dolorem qui prope crucem Virginem manebat, prænuntiavit Simeon dicendo: *Et tuam ipsius animam pertransibit gladius.* Vox *pertransibit* indicabat non diu duraturum fore doloris gladium, sed mox superventuram resurrectionis lætitiam. Cuncta igitur hæc disposuit Dominus propter nos, ut omnibus ab exsecratione legis et circumcisionis redemptis, gratia Evangelii per baptismum creaturam renovaret. Ideo circumcisus est, ut circumcisionem tolleret. Instituit baptismum, pro carnali circumcisione spiritualem redemptionem, ut veterem hominem deponentes carnali generatione conditum, et novum induentes qui secundum Deum creatus est, jam non amplius de carnis circumcisione cogitemus, sed de gratia baptismi, quam dedit nobis natus de Virgine Dominus noster Jesus Christus. Ipsi gloria in sæcula. Amen.

Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία. Ῥομφαίαν εἶπε τὴν λύπην τῆς Παρθένου, προμηνύσας τὴν ἐπὶ τοῦ σταυροῦ λύπην. Μὴ γὰρ νομίσῃς, ἀγαπητέ, ὅτι οὐκ ἔπαθεν τὰ σπλάγχνα τὰ μητρικὰ θεωροῦντα τὸν Κύριον ἐν τῷ σταυρῷ πεπηγμένον, καὶ ὄξος καὶ χολὴν ποτιζόμενον, καὶ λόγχῃ τὴν πλευρὰν νυττόμενον. Ταύτην τὴν λύπην ἣν ἔμελλεν ὑπομένειν ἡ Παρθένος ἐπὶ τῷ σταυρῷ, προεμήνυσεν ὁ Συμεὼν, πρὸς τὴν Παρθένον εἰπών· *Καὶ σοῦ* B *δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία.* Τὸ δὲ, *διελεύσεται*, ἐσήμανεν ὅτι πρὸς ὀλίγον ἡ τῆς λύπης ῥομφαία, καὶ εὐθέως τῆς ἀναστάσεως ἡ χαρά. Πᾶσαν οὖν οἰκονομίαν ἐποίησεν ὁ Κύριος δι' ἡμᾶς, ἵνα ἡμᾶς ἐξαγοράσῃ ἐκ τῆς κατάρας τοῦ νόμου καὶ τῆς περιτομῆς, καὶ τῇ χάριτι τοῦ Εὐαγγελίου διὰ τοῦ βαπτίσματος ἀνακαινοποιήσει τὴν κτίσιν. Διὰ τοῦτο περιετμήθη παύσων τὴν περιτομήν· καὶ εἰσάγει τὸ βάπτισμα, ἀντὶ τῆς σαρκικῆς περιτομῆς τὴν πνευματικὴν ἀπολύτρωσιν, ἵνα ἀποτιθέντες τὸν παλαιὸν ἄνθρωπον ἐν τῇ ἀπογεύσει (2) τοῦ σώματος τῆς σαρκὸς, καὶ ἐνδυσάμενοι τὸν νέον τὸν κατὰ Θεὸν κτισθέντα, μηκέτι φροντίζωμεν περὶ τὴν τῆς σαρκὸς περιτομὴν, ἀλλὰ περὶ τὴν χάριν τοῦ βαπτίσματος, ἣν παρέδωκεν ἡμῖν ὁ ἐκ τῆς Παρθένου γεννηθεὶς Κύριος ἡμῶν Ἰησοῦς Χριστός· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

C

XI.

De Baptismo.

Quandoquidem die hesterna de Nativitate Domini verba facientem libentius audistis, de baptismo nunc loqui incipiam oportet. Consideremus igitur hodie quomodo Verbum ad baptismum accesserit, et quotum annum agens baptizatus est in Jordane natus de Virgine Dominus, et aquarum naturam sanctificavit, et universo mundo purgationem et redemptionem largitus est, et peccatorum remissionem. Tunc quoque hominibus seipsum declaravit. Ante enim quam baptizatus fuisset, nec signa fecerat, nec mundo apparuerat. Quatuor scilicet evangelistæ referunt ipsum, accepto baptismo, tunc primum signa et prodigia apud plebem fecisse. Baptizatus est autem, non quod lavacro indiguerit, nam nec peccatum admiserat, nec inventus erat dolus in ore ejus; sed propter nos baptizatus est, ut nobis figuram baptismi largiretur, et in aqua diabolum conculcaremus. Quod si enim immaculatum servemus, potestatem habemus istum calcandi, uti docet ipse Dominus: *Ecce dedi vobis potestatem calcandi supra serpentes et scorpiones, et super omnem virtutem inimici* [83]. Considera quoque illud, dilecte, quemadmodum nobis potestatem contra omnem

ΙΑʹ.

Περὶ τοῦ Βαπτίσματος.

[Cod. f. 330. b.] Ἐπειδὴ χθὲς περὶ τῆς Γεννήσεως τοῦ Κυρίου τὸν λόγον ἱστοροῦντες ἠγάσθητε, λοιπὸν καὶ περὶ τοῦ βαπτίσματος ἀρξώμεθα λέγειν. Δεῦρο οὖν σήμερον κατείδωμεν τὸν Λόγον πῶς ἦλθεν ἐπὶ τὸ βάπτισμα καὶ μετὰ πόσα ἔτη τῆς γεννήσεως αὐτοῦ τῆς ἐκ Παρθένου ἐβαπτίσθη ὁ Κύριος ἐπὶ τὸν Ἰορδάνην, καὶ τὴν τῶν ὑδάτων ἡγίασεν φύσιν, καὶ τῇ οἰκουμένῃ πάσῃ καθαρισμὸν καὶ ἀπολύτρωσιν ἐδωρήσατο, καὶ συγχώρησιν ἁμαρτιῶν. Καὶ τότε ἑαυτὸν ἐφανέρωσεν τῷ κόσμῳ· πρὸ τοῦ γὰρ βαπτισθῆναι αὐτὸν, οὔτε σημεῖα ἐποίησεν, οὔτε τῷ κόσμῳ ἐφανερώθη· οἱ τέσσαρες γὰρ εὐαγγελισταὶ D διηγόρευσαν, ὅτι μετὰ τὸ βαπτισθῆναι αὐτὸν τότε ἤρξατο ποιεῖν σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ. Ἐβαπτίσθη δὲ οὐχ ὅτι αὐτὸς ἐχρῄζεν λουτροῦ (ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδ' εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ), ἀλλὰ δι' ἡμᾶς ἐβαπτίσθη ἵνα ἡμῖν τύπον δώσῃ τοῦ βαπτίσματος δωρεὰν, καὶ ἐν τῷ ὕδατι πατήσωμεν τὸν διάβολον· ἐὰν γὰρ τὸ βάπτισμα τηροῦμεν ἄσπιλον, ἐξουσίαν ἔχομεν πατῆσαι αὐτὸν, καθὼς εἶπεν ὁ Κύριος· *Ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.* Βλέπε δὲ καὶ τοῦ-

[83] Luc. x, 19.

NOTÆ.

(1) Addatur hæc Crucis laudatio tot aliis a pio doctoque Gretsero coacervatis.
(2) Zab. ἀπογεννήσει.

το, ἀγαπητὲ, πῶς ἐσήμανεν ὅτι κατὰ πάσης τῆς δυνάμεως τοῦ ἐχθροῦ δέδωκεν ἡμῖν τὴν ἐξουσίαν, εἰπὼν *ἐπάνω ὄφεων καὶ σκορπίων πατεῖν*. Ὁ ὄφις ἐν τῇ γλώττῃ ἔχει τὸ κέντρον, καὶ ὁ σκορπίος ἐν τῇ οὐρᾷ, τουτέστιν ἀπὸ κεφαλῆς ἕως οὐρᾶς. Ἐξουσίαν οὖν δέδωκεν ἡμῖν καταπατεῖν πάσας τὰς ἀρχὰς αὐτοῦ, καὶ τὰς ἐξουσίας καὶ τὰς δυνάμεις.

Τούτου ἕνεκεν ἦλθεν ἐπὶ τὸ βάπτισμα καταργῆσαι τὴν τοῦ ἐχθροῦ δύναμιν, καὶ φανερωθῆναι ὅτι αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ ἐπὶ τοῦ βαπτίσματος γνωσθῆναι τῷ κόσμῳ· οὐχ αὐτὸς περὶ αὐτοῦ ἐμαρτύρησεν ὅτι Υἱός εἰμι τοῦ Θεοῦ, ἀλλὰ Ἰωάννης ἐμαρτύρησεν, ἐν δακτύλῳ δεικνύων καὶ λέγων· *Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου*. Καὶ ὅτε ἦλθεν λοιπὸν τοῦ βαπτισθῆναι, διεκώλυεν αὐτὸν Ἰωάννης λέγων· *Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με*; Οὐ δύναμαι, φησὶν, οὐ τολμῶ πηλίνην χεῖρα ὑψῶσαι ἐπάνω κορυφῆς ἀθανάτου· τὰ Χερουβὶμ σε τρέμουσιν, τὰ Σεραφὶμ ὑμνοῦσιν, οὐρανοὶ κλονοῦνται, ἡ γῆ ἐν τῷ βλέπειν σε τρέμει, καὶ σείεται ὄρη, καὶ ταῦτα πάντα τρέμουσιν τὴν σὴν δύναμιν. Καὶ πῶς ἐγὼ ὁ θνητὸς τῆς ἀθανάτου σου κορυφῆς τολμήσω ἅψασθαι; Ὁ πηλὸς χρείαν ἔχει τοῦ κεραμέως τῆς ἐπισκέψεως, ὁ δοῦλος χρείαν ἔχει τοῦ Δεσπότου τῆς βοηθείας. Διὸ, Κύριε, οὐ τολμῶ τῇ ἀθανάτῳ σου κορυφῇ ἐπιχέειν ὕδωρ. Ὁ δὲ Κύριος πρὸς αὐτὸν, *Ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἡμῖν ἐστιν πληρῶσαι πᾶσαν δικαιοσύνην*. Τὸ *Ἄφες ἄρτι*, οὕτως ἐστίν· Οὐ θέλω, φησὶν, γνωσθῆναι ὅστις εἰμί· διὰ τοῦτο σῶμα ἐφόρεσα, διὰ τοῦτο ἄνθρωπος ἐγενόμην, ἵνα πληρώσω πᾶσαν δικαιοσύνην· ἐπειδὴ πρὸ τῆς ἐνσάρκου παρουσίας, θάλασσα ἰδοῦσα ἔφυγεν, καὶ Ἰορδάνης οὗτος ἐστράφη εἰς τὰ ὀπίσω, τὰ ὄρη καὶ οἱ βουνοὶ ἐσκίρτησαν. Διὰ τοῦτο ἄνθρωπος ἐγενόμην, ἵνα καὶ ὁ Ἰορδάνης ἀφόβως με ὑποδέξηται· καὶ εἴσω εἰμὶ, μὴ ἀμελήσῃς, κατάστησόν με· οὐ δεῖ γάρ σε μόνον μαρτυρῆσαι περὶ ἐμοῦ· ἐπεὶ νομίζει ὁ κόσμος ὅτι χαριζόμενός μοι ταῦτα λέγεις· ἀλλὰ δεῖ καὶ τὸν Πατέρα μου μαρτυρῆσαι ἄνωθεν περὶ ἐμοῦ, καὶ τὸν Παράκλητον ἐλθεῖν· τότε γνωσθήσομαι τῷ κόσμῳ ὅστις εἰμὶ, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Τότε λαβὼν ὁ Ἰωάννης ἐβάπτισεν αὐτὸν ἐν τῷ Ἰορδάνῃ· καὶ ἰδοὺ τὸ Πνεῦμα τὸ ἅγιον ὡς περιστερὰ κατέβαινεν καὶ ἔμενεν ἐπ' αὐτῷ καὶ φωνὴ οὐρανόθεν λέγουσα· *Οὗτός ἐστιν ὁ Υἱός μου ἀγαπητὸς ἐν ᾧ ηὐδόκησα*.

A inimici virtutem confirmet, dicendo *potestatem supra serpentes et scorpiones calcandi*. Serpenti acumen in lingua, scorpioni in cauda; quasi dicat, a capite usque ad caudam. Concessit itaque facultatem omnes diaboli vires, et virtutes et potestates calcandi.

Ideo baptismum subiit ut inimici potestatem destrueret et ipse manifestaretur tanquam Dei Filius per baptismum agnoscendus. Non ipse quidem de se testatus est: Ego sum Filius Dei; sed rem Joannes declarat digito ostendens et clamans: *Ecce Agnus Dei, qui tollit peccatum mundi* [84]. Ac cum baptizari ille cuperet, prohibebat eum Joannes, dicens: *Ego a te debeo baptizari, et tu venis ad me* [85]? Non B possum, ait, non audeo luteam manum immortali capiti imponere. Cherubim te metuunt, celebrant te Seraphim, reverentur cœli, terra te videndo contremiscit, agitantur montes, omnia hæc virtutem tuam horrent. Quo igitur pacto mortalis ego immortale caput contrectabo? Luto opus est figuli cura, servo domini auxilio. Quapropter, Domine, non ausim aquam in immortale caput diffundere. Respondit autem Dominus: *Sine modo: sic enim decet nos implere omnem justitiam* [86]. Illud *sine modo* sic interpretandum: Nolo, inquit, sciri qualis sim. Ideo corpus suscepi, ideo homo factus sum, ut implerem omnem justitiam. Prius enim quam incarnatus apparerem, in conspectu meo fugit mare, et Jordanis ipse conversus est retrorsum, montes et C colles exsultaverunt. Hac de causa homo factus sum, ut me Jordanis impune conspiceret. Jam præsto sum; noli hæsitare: perhibe testimonium de me. Tu non solus es qui de me feras testimonium: siquidem homines opinari possent te hæc dicere partium studio abreptum; sed Pater quoque cœlitus de me testabitur, atque Paracletus adveniet. Tunc apparebo quis sim, et a meis agnoscar. Quibus permotus Joannes baptizavit eum, et ecce Spiritus sanctus descendit sicut columba, et remansit super eum et vox de cœlo audita est dicens. *Hic est Filius meus dilectus, in quo mihi complacui* [87].

Τότε ἀκούσας ὁ διάβολος τὴν τοῦ Ἰωάννου φωνὴν καὶ μαρτυρίαν λέγοντος, *Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου*, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἄνωθεν κατερχόμενον, καὶ τὸν Πατέρα ἄνωθεν λέγοντα, *Οὗτός ἐστιν ὁ Υἱός μου ἀγαπητὸς*, ἐξίστη καὶ οὐκ ἠδύνατο ἡσυχάσαι· ἕως γὰρ ὅτε ἐπὶ τὸ βάπτισμα ἦλθεν ὁ Σωτὴρ, οὐκ ἔγνω αὐτὸν ὁ διάβολος τίς ἐστιν. Ἀλλ' ἐνόμιζεν αὐτὸν ὡς ἕνα τῶν ἀνθρώπων εἶναι· εἶδεν γὰρ αὐτὸν ὅτι ἐκ γυναικὸς ἐγεννήθη, ἀλλ' οὐκ ἐνόησεν τὸ μυστήριον ὅτι διὰ τὴν παράβασιν τῆς Εὔας ἐκ τῆς Παρθένου προῆλθεν, ἵνα τὸ τῶν γυναικῶν γένος ἐλευθερώσῃ ἐκ τῆς κατάρας· εἶδεν αὐτὸν μαστοὺς θηλάσαντα, καὶ ἐνόμισεν

D Diabolus autem audiens Joannis vocem et testimonium dicentis: *Ecce Agnus Dei, qui tollit peccatum mundi*, et Spiritum sanctum descendentem in terras, et Patrem de cœlo clamantem: *Hic est Filius meus dilectus*, obstupuit, nec potuit sese continere. Antequam enim baptizaretur Salvator, non agnoverat eum diabolus. Putabat eum unum esse de hominibus. Noverat enim eum de muliere natum, nec perspexerat consilium, quo propter Evæ errorem ille de Virgine nasciturus erat, ut mulierum genus a damnatione liberaret. Viderat eum ubere delactatum, nec suspicabatur eum cæteris præstantiorem pueris, de viro et muliere natis. Fugiebat miserum diabolum

[84] Joan. I, 29. [85] Matth. III, 14. [86] ibid. 15. [87] ibid. 17.

quod Verbum Dei caro factum sit, et habitaverit inter homines, et propter nos lacte enutritus sit largitor mannæ. Viderat eum pane sustentatum, nec agnoverat escam omni carni tribuentem. Ignorabat quemadmodum Pharao exercitusque ejus fluctibus maris obruti fuerant, ita se cum dæmonibus per baptismum in gehennam ignis ab isto dejiciendum fore. Viderat eum in sinu matris cubantem, nec agnoverat quem Isaias propheta prænuntiavit *super thronum excelsum et elevatum* sessurum : *Vidi Dominum sedentem*, ait; *et Seraphim stabant in circuitu ejus* canentes et dicentes : *Sanctus, sanctus, sanctus Dominus Sabaoth, plenum est cœlum, plena est terra gloria ejus* [88]. Viderat eum diabolus baptismum adeuntem, et putabat eum unum esse de hominibus. Viderat quod solus et velut gregarius homo ad baptismum processerat, nec suspicabatur eumdem omnes baptizaturum in Spiritu sancto et igne.

A ὅτι παιδίον ἐστὶν ψιλὸν ἐξ ἀνδρὸς καὶ γυναικὸς γεννηθέν· καὶ οὐκ ἐνόμισεν ὁ ἄθλιος διάβολος ὅτι ὁ Λόγος τοῦ Θεοῦ σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ δι' ἡμᾶς ἐγαλακτοτροφήθη ὁ τοῦ μάννα χορηγός. Εἶδεν αὐτὸν ἐν ἄρτῳ τρεφόμενον, καὶ οὐκ ἐνόησεν ὅτι αὐτός ἐστιν ὁ διδοὺς τροφὴν πάσῃ σαρκί. Οὐκ ἐνόησεν ὅτι ὥσπερ τὸν Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν κατεπόντισεν, οὕτως καὶ τοῦτον μετὰ τῶν δαιμόνων αὐτοῦ διὰ τοῦ βαπτίσματος εἰς τὴν γέενναν τοῦ πυρὸς καταγάγῃ. Εἶδεν αὐτὸν ἐν τοῖς κόλποις τῆς μητρὸς καθεζόμενον, καὶ οὐκ ἐνόησεν ὅτι αὐτός ἐστιν ὁ ὑπὸ Ἡσαΐου τοῦ προφήτου μηνυθεὶς ἡμῖν ὅτι *ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου μέλλει καθῆσθαι. Εἶδον αὐτὸν καθήμενον, καὶ τὰ Σεραφὶμ κύκλῳ αὐτοῦ ᾄδοντα καὶ λέγοντα,* Ἅγιος, B ἅγιος, ἅγιος, *Κύριος Σαββαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ.* Εἶδεν αὐτὸν ἐρχόμενον ἐπὶ τὸ βάπτισμα ὁ διάβολος, καὶ ἐνόμισεν αὐτὸν ἄνθρωπον εἶναι· εἶδεν αὐτὸν μόνον ἐπὶ τὸ βάπτισμα ὡς ἕνα τῶν ἀνθρώπων, καὶ οὐκ ἐνόησεν ὅτι αὐτός ἐστιν ὁ τὴν οἰκουμένην μέλλων βαπτίζειν ἐν Πνεύματι ἁγίῳ καὶ πυρί..

Quibus aliisque hujusce generis conspectis, Domino ad baptismum veniente non comperit sub hominis specie latere Deum; antequam enim Dominus baptizaretur, nihil de eo curavit diabolus. Non tentavit, non interrogavit quis esset, sed sperabat hunc haud secus ac cæteros inferni retibus capiendum. Auditis autem prope Jordanem, uti dixi, Joannis testimonio, et voce Patris de cœlo clamantis, et Spiritus sancti adventu, obstupuit diabolus et secum reputavit : Quis est hic? Nonne natus ex Maria, de patre artifice? Quomodo nuper de eodem tanta audivi? Nonne hic fortasse Christus, nonne idem qui totum orbem terrarum redempturus est? Nonne hic idem ac Verbum quod a principio est, quod ego fastidivi, et a quo in terram dejectus sum? Nolo autem credere, qui hominem manibus suis finxit, eumdem hominis carnem induisse. Quid agam? qua ratione accuratius noverim an ille reipsa Verbum, atque, si revera est, an me venerit debellaturus? Væ misero mihi! actum est de potestate mea, hebetata est mea acies, defecit mea virtus. Hæc et alia secum agitans et deplorans, nesciebat diabolus quid faceret. Tunc consilium iniit istud : Jam, inquit, accedam, tentabo eum. Quod si Filius Dei fuerit, dicet, nec patietur a me tentari, et verbo me fugabit. Quod si autem ex tentatione agnoscam eum non Filium Dei esse, et nequidquam Joannem de ipso tanta testatum meque contristatum esse, docebo hunc jam non amplius talia profari. De suis fortasse hæc verba protulit Joannes. Mentem nonnihil solatur hæc suspicatio. At vocem de cœlo timeo, vereor ne verax fuerit.

Ταῦτα ἰδὼν καὶ τὰ τούτων ὅμοια, τὸν Κύριον κατερχόμενον ἐπὶ τὸ βάπτισμα, οὐκ ἐνόησεν ὅτι ἐν τῷ ἀνθρώπῳ Θεὸς κατοικεῖ, καὶ ἕως ὅτε ἐβαπτίσθη ὁ Κύριος, οὐδὲν αὐτῷ ἔμελλεν. Οὐδέποτε γὰρ αὐτῷ προσῆλθε πειρᾶσαι αὐτὸν καὶ μαθεῖν τίς ἐστιν· ἀλλὰ προσεδόκει καὶ αὐτὸν ὡς καὶ τοὺς λοιποὺς κατακλεῖσαι ἐν τῷ ᾅδῃ. Ὅτε δὲ ἤκουσεν ἐπὶ τοῦ Ἰορδάνου, καθὼς προεῖπον, τὴν τοῦ Ἰωάννου μαρτυρίαν, καὶ τὴν τοῦ Πατρὸς ἄνωθεν φωνὴν, καὶ τὴν τοῦ ἁγίου C Πνεύματος παρουσίαν, ἐξέστη ὁ διάβολος καὶ ἔλεγεν ἐν ἑαυτῷ· Τίς ἐστιν οὗτος; τοῦτον οἶδα ἐκ Μαρίας γεννηθέντα, καὶ τὸν Πατέρα αὐτοῦ τέκτονα οἶδα. Πῶς ἄρτι τοιαῦτα ἀκούω περὶ αὐτοῦ; Μὴ ἄρα οὗτός ἐστιν ὁ Χριστός; μὴ ἄρα οὗτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὴν οἰκουμένην; μὴ ἄρα οὗτός ἐστιν ὁ ἐν ἀρχῇ Λόγος, οὗ ἐγὼ παρήκουσα, καὶ ἔπεσα κάτω ἐπὶ τὴν γῆν; Οὐ πιστεύω ὅτι ὁ τὸν ἄνθρωπον πλάσας χερσὶν ἰδίαις, τὴν τοῦ ἀνθρώπου σάρκα ἐνεδύσατο. Τί ποιήσω; πῶς μάθω τὸ ἀκριβὲς ὅτι ἐκεῖνός ἐστιν; καὶ εἰ ἀκριβῶς ἐκεῖνός ἐστιν, κατ' ἐμοῦ ἦλθεν. Καὶ οὐαί μοι τῷ ἀθλίῳ, ὅτι καταπέπαυταί μοι ἡ δύναμις· ἐσμικρύνθησάν μου τὰ κέντρα, ἠσθένησέν μου τὸ κράτος. Ταῦτα καὶ τοιαῦτα λογιζόμενος, καὶ ἀποδυρόμενος, οὐκ οἶδε τί ἔπραττεν· τότε D ταύτην ἐλογίσατο τὴν ἐπίνοιαν, λέγων ἐν ἑαυτῷ· Τέως προ[σ]έρχομαι, πειράζω αὐτὸν, καὶ εἰ αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ μανθάνει με, καὶ οὐ καταδέχεται παρ' ἐμοῦ πειρασθῆναι, ἀλλὰ ῥήματι φυγαδεύει με. Ἐὰν δὲ ἐκ τοῦ πειρασμοῦ γνῶ ὅτι οὐκ ἔστιν ἐκεῖνος, καὶ ἐτόλμησεν Ἰωάννης τοιαῦτα μαρτυρῆσαι περὶ αὐτοῦ, καὶ οὕτως με ἐλύπησεν, καὶ δυνήσομαι ἐγκλεῖσαι αὐτὸν εἰς τὴν ἀποθήκην μου, διδάξω αὐτὸν μηκέτι τοιαῦτα φθέγγεσθαι, ἀλλὰ πάλιν ἐρῶ ὅτι ἀφ' ἑαυτοῦ τὰ ῥήματα ταῦτα Ἰωάννης ἐχαρίσατο, καὶ παραμυθοῦμαι ὀλίγον ἐμαυτόν. Τὴν δὲ ἄνωθεν φωνὴν δέδοικα, καὶ τρέμω ὅτι ἀληθινός ἐστιν.

Cum igitur videret Dominus diabolum prorsus territum, et prope fugam capientem, nec ipsum

Τότε ἰδὼν ὁ Κύριος ὅτι πάνυ ἐφοβήθη ὁ διάβολος, καὶ μέλλει φεύγειν, καὶ οὐ τολμᾷ προσεγγίσαι αὐτῷ,

[88] Isa. VI, 1, 2, 3.

ἤρξατο ἀνθρώπινα ἐπιδείκνυσθαι· καὶ ἐπεδίδου ἑαυτὸν εἰς τὸ πειρασθῆναι ὑπ' αὐτοῦ, καὶ ἔκρυπτε τὴν θεότητα τῆς δόξης αὐτοῦ. Ὁ δὲ διάβολος ἰδὼν τὰ ἀνθρώπινα μετερχόμενον τὸν Κύριον, μικρὸν προθυμίαν λαβὼν, ἤρξατο χλευάζειν αὐτόν. Ὁ δὲ Κύριος [ita cod.] ἀπέδωκεν ἑαυτὸν εἰς ὄρος ὑψηλόν· *Καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κόσμου, καὶ λέγει αὐτῷ· Ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι.* Τί λέγεις, ἄθλιε ὦ διάβολε; τῷ Ποιητῇ τῶν ἁπάντων τὰ ποιήματα χαρίζεσθαι ἐπαγγέλλεις; τῷ Βασιλεῖ τῶν βασιλευόντων, τῷ τὴν σωτηρίαν παρέχοντι τοῖς βασιλεῦσιν σὺ ἐπαγγέλλεις βασιλείαν; *Ταῦτα πάντα σοὶ δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι.* Καὶ βλέπε, ἀγαπητὲ, τὴν πονηρὰν ἐπίνοιαν τοῦ κακοτέχνου δαίμονος, ποταπὸν πειρασμὸν ἐπενόησεν. Ἐπειδὴ οἶδεν ἐξ ἀρχῆς τὸ τῶν ἀνθρώπων γένος ἐπιῤῥεπὲς καὶ πρόθυμον εἰς πλεονεξίαν, διὰ τοῦτο προσέβαλεν τὸν πειρασμὸν, λέγων ὅτι Ἐὰν ἄνθρωπός ἐστιν, εὐθέως διὰ τῆς τῶν χρημάτων ὑποσχέσεως καταφέρω αὐτὸν ὑπὸ τοὺς πόδας μου· εἰ δὲ οὐκ ἔστιν ἄνθρωπος μόνον, ἀλλὰ καὶ Θεὸς Λόγος, γνώσομαι τί ποιήσω. Τὸν οὖν σκοπὸν τοῦ ἐχθροῦ νοήσας ὁ Κύριος, οὔτε τὴν θεότητα ἐπεδείξατο, οὔτε τὴν ἀνθρωπότητα μετῆλθεν, ἀλλὰ μέσῃ φωνῇ ἀπεκρίνατο, καὶ ἐφίμωσεν αὐτὸν, εἰπών· *Γέγραπται, Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.* Ἀπὸ μιᾶς φωνῆς ἐνίκησεν αὐτοῦ τὴν ἐπίνοιαν, καὶ οὔτε ἐδίωξεν αὐτὸν, οὔτε εἰς ὁδὸν αὐτὸν ἔδωκεν, ἀλλ' ἀφῆκεν αὐτὸν οὕτω σχολάζεσθαι.

Ὁ δὲ διάβολος μὴ λαβὼν τὴν ἀπόκρισιν, ἐφ' ἕτερον εἶδος τοῦ πειρασμοῦ μετῆλθεν. Καὶ διὰ τῆς ἐρήμου διελθόντων αὐτῶν, ἤρξατο πάλιν λέγειν πρὸς τὸν Κύριον· *Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται.* Τεσσαράκοντα γὰρ ἡμέρας νηστεύσας, ὕστερον ἐπείνασεν, οὐχ ἡ θεότης, ἀλλ' ἡ τοῦ δούλου μορφή. Ἀλλ' ὁ διάβολος τοῦτο οὐκ ἔγνω· ἀλλὰ τοῦτο ἔλεγεν, *Εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται.* Ἀναίσχυντε διάβολε, οἱ ὀφθαλμοὶ πάντων εἰς αὐτὸν ἐμπήξουσιν, καὶ πᾶσιν δίδωσιν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ, καὶ τοὺς λίθους ποιῆσαι ἄρτους οὐκ ἠδύνατο; Ὁ τὸ μάννα ἐπομβρήσας ἐν τῇ ἐρήμῳ τῷ Ἰσραὴλ, τοὺς λίθους ἄρτους ποιῆσαι οὐκ ἠδύνατο, ὦ ἄθλιε διάβολε; Εἶπεν, καὶ οἱ οὐρανοὶ, καὶ ἡ γῆ, καὶ πᾶσα ἡ κτίσις ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παρήχθησαν, οἱ δὲ λίθοι οὔπω ἐγίνοντο ἄρτοι τῷ λόγῳ αὐτοῦ; Ναὶ, ἐγίνοντο· ἀλλ' ἵνα σε δελεάσας χειρώσηται, οὐ λέγει ἵνα οἱ λίθοι ἄρτοι γίνωνται. Τί οὖν ὁ Κύριος πρὸς αὐτόν φησιν; *Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι Θεοῦ.* Ὅτε οὖν εἶδεν ὁ διάβολος ὅτι οὔτε μία ἀπόκρισις φανερὰ ἐγένετο αὐτῷ, οὐκέτι ἔμενε τοῦ πειράσαι αὐτόν. Καὶ εὐθέως λαμβάνει αὐτὸν, καὶ ἔρχονται εἰς τὴν ἁγίαν πόλιν, καὶ ἀνάγει αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ καὶ λέγει αὐτῷ· *Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω ἐντεῦθεν.* Τότε λοιπὸν ἰδὼν ὁ Κύριος ὅτι πολλὰ ἐχρόνισεν, παρήνοιξεν μικρὰν θυρίδα τῆς θεότητος· ἐπετίμησεν αὐτῷ λέγων, *Ὕπαγε ὀπίσω μου, Σατανᾶ· οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου.* Τότε ἀναχωρήσας

A adire audentem, cœpit humana demonstrare: permisit se tentari ab eo, divinitatemque gloriæ suæ celavit. Diabolus Dominum conspiciens humana agentem, se recepit paululum ipsique irridere aggressus est. Contulit se Dominus in montem excelsum, et *Ostendit illi diabolus omnia regna mundi, et dixit ei : Hæc omnia tibi dabo, si cadens adoraveris me* [88]. Quid dicis, impudens diabole? Creatori omnium creata largiturum te profiteris? Regi regum, regibus salutem præstanti, tu regnum offers? *Hæc omnia tibi dabo, si cadens adoraveris me.* Aspice, dilectissime, miserum versuti diaboli consilium, astutumque inventum. Ab initio pernoscebat quam avidum sit hominum genus, quamque potentiæ cupidum; qua de causa eum sic tentavit secum cogi-
B tans : Si homo ille, divitias proponendo statim eum ad pedes meos adducam; si vero non homo tantum, sed Verbum Deus, videbo quid agam. Quo diaboli consilio perspecto, Dominus nec divinitatem declaravit, neque humana professus est, sed ancipiti sermone respondit, osque ei occludit dicens : *Scriptum est, Dominum Deum tuum adorabis, et illi soli servies* [89]. Ita uno verbo consilium diaboli illusit, et, dissimulata natura, incertum reliquit, ac quid ageret dubium.

Diabolus igitur, spe delusus, ad aliam tentationis speciem confugit. Cum desertum perlustrarent
C una, rursus ad Dominum dixit : *Si Filius Dei es, dic ut lapides isti panes fiant* [90]. Nam cum jejunasset quadraginta diebus, postea esuriebat, non divinitas sane, sed servi forma. Cujus quidem rei minime conscius, dixit diabolus : *Dic ut lapides isti panes fiant.* Impudens diabole, ille in quem omnium intendentur oculi, qui omnes tempore suo cibis suis pascit, non poterit ex lapidibus panes facere? Qui Israelis gratia in deserto mannam largitus est, non poterit ex lapidibus panes facere, miser diabole? Dixit, et cœli, et terra, et omnis creatura ex nihilo facta est, lapides vero ejus verbo non fient panes? Sane fierent. Sed ut mentem tuam fallat, non jubebit eos panes fieri. Quid autem respondit ei Dominus? *Non in solo pane vivit homo, sed in omni verbo*
D *Dei* [91]. Diabolus, licet definitam responsionem non acciperet, a tentatione tamen nondum abstinuit. At statim assumpsit eum, et adita sancta civitate, statuit eum super pinnaculum templi, et dixit ei : *Si Filius Dei es, mitte te deorsum* [92]. Tunc Christus sentiens eum diutius instare, ex parva quidem parte divinitatem revelavit. Sic enim increpavit eum : *Vade retro, Satanas, non tentabis Dominum Deum tuum* [93], ac statim effugit ille, reprehensione Verbi territus. Has tentationes subiit Dominus propter nos, cum diabolum repellere potuisset; sed divinitatem celavit, ut inimicum alliceret, et resurrectionis participes efficeremur. Hac de causa tentatus est, scilicet ut

[88] Matth. IV, 8, 9. [89] ibid. 10. [90] ibid. 3. [91] ibid. 4. [92] ibid. 6. [93] ibid. 7.

diabolum vinceret, nosque de ejus manibus eriperet ipse : cui gloria in sæcula. Amen.

A ἔφυγε, μὴ ἐπενεγκὼν τὴν ἐπιτιμίαν τοῦ λόγου· ταῦτα δὲ πειρατήρια ὑπέμεινεν ὁ Κύριος ὑπὸ τοῦ διαβόλου δι' ἡμᾶς, οὐχ ὅτι οὐκ ἠδύνατο ἀπώσασθαι αὐτὸν, ἀλλ' ἔκρυψεν τὴν θεότητα, ἵνα μὴ φυγαδεύσῃ τὸν ἐχθρὸν, καὶ ἀλλότριοι γενώμεθα τῆς ἀναστάσεως, ἀλλὰ διὰ τοῦτο ἐπειράσθη. Καὶ γὰρ ἐσιώπησεν, ἵνα αὐτὸν χειρώσηται, καὶ ἡμᾶς ἀναχαλέσηται ἀπὸ τοῦ πειρασμοῦ αὐτοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

XII.

In illud : « Tu es qui venturus es, an alium exspectamus [93]*? »*

Interroganti me, et doceri cupienti cur Joannes Baptista, Domini præcursor, discipulos suos miserit ad Dominum, dicens : *Tu es qui venturus es, an alium exspectamus*, rem hic clarius exponam, dilectissime. Non enim te solum fugit verbi altitudo, sed multos etiam interpretes doctosque viros. Contendunt enim hunc ideo discipulos misisse ut miracula viderent Domini eique, probata fide, adhærerent. Alii Joannem dubium fuisse innuunt, alii aliud excogitant; nemo autem mysterium verbi agnovit. Res igitur per Dei gratiam, clarius explicanda.

Tu es qui venturus es, an alium exspectamus? Non quasi ipse non agnosceret, misit eos interrogare quis esset. Qui enim illum non agnosceret? Quippe qui antequam ille natus fuerit, Dominum in matris Elisabeth utero fuerat confessus; exsultavit enim in gaudio matrem Domini adesse declarans. Qui post nativitatem eum ignoraret? Quando mundus universus Dominum confitebatur, et beneficiis ejus abundabat, tunc eum ignoraret? Longe absit! Omnibus manifesta apparebat Domini præsentia, solum præcursorem Joannem lateret? Pastoribus nuntiaverat adventum Domini angelorum exercitus, et Joannes illum ignoraret? Interrogantibus eum Pharisæis et dicentibus : Quis es tu, dic, nescimus. Propheta es tu? respondit : Non sum. Christus es tu? Negavit iterum. At : *Ego*, ait, *vox clamantis in deserto : Parate viam Domini, rectas facite semitas ejus* [95]. Viam se ipsi dirigere dicit, et venturum non novisset? Baptizatis prædicabat dicens : *Ego vos baptizo in aqua; post me autem venturus est qui vos baptizabit in Spiritu sancto et igne, cujus non sum dignus ut solvam ejus corrigiam calceamenti* [96]. Altera die venientem ad baptismum digito indicans dicebat : *Ecce Agnus Dei qui tollit peccatum mundi* [97]. Si eum ignorabat, quomodo talia protulit? Ast eumdem baptizaverat; viderat descendentem Spiritum sanctum et Christo imminentem, audierat veracem Patris vocem de cœlo

ΙΒ'.

Εἰς τὸ, « *Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν;* »

[Cod. f. 332 b.] Ἐπειδὴ παραιτεῖς παρ' ἐμοὶ λόγον, ὦ ἀγαπητὲ, θέλων μαθεῖν τίνος ἕνεκεν ὁ Βαπτιστὴς καὶ Πρόδρομος τοῦ Κυρίου Ἰωάννης ἀπέστειλε τοὺς μαθητὰς αὐτοῦ πρὸς τὸν Κύριον λέγων· *Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν*· δεῦρο τοῦτο σαφῶς σοι καταστήσω. Οὐ μόνον γὰρ σὺ ἠγνόησας B τοῦ ῥήματος τὸ μυστήριον, ἀλλὰ πολλοὶ τῶν ἑρμηνευόντων καὶ πολλὰ εἰδόντων, ἠγνόησαν τὸ μυστήριον· καὶ ἡμῖν ταύτην τὴν ἑρμηνείαν παρεισήνεγκαν λέγοντες, ὅτι διὰ τοὺς ἰδίους μαθητὰς πιστοποιήσας ἀπέστειλεν αὐτοὺς αὐταῖς ὄψεσιν παραλαβεῖν τὰ θαύματα, καὶ πιστεύειν ἐπ' αὐτῷ. Ἄλλοι ὡς ἀγνοοῦντα αὐτὸν διαγράφουσιν, ἄλλοι ἕτερά τινα ἐννοοῦνται, καὶ οὐδεὶς ἔγνω τὸ μυστήριον τοῦ ῥήματος· δεῦρο οὖν ἡμεῖς τοῦτο σαφῶς καταστήσωμεν πᾶσι τῇ τοῦ Κυρίου χάριτι (1).

Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν; Οὐκ ἀγνοῶν αὐτὸν ἀπέστειλεν μαθεῖν τίς ἐστιν. Πῶς γὰρ ἠγνόησεν αὐτόν; Πρὸ τοῦ γεννηθῆναι αὐτὸν ἐγνώρισεν Δεσπότην ἐν τῇ κοιλίᾳ ὑπάρχων τῆς αὐτοῦ μητρὸς Ἐλισάβετ· σημαίνων καὶ σκιρτήσας ἠγαλλιάσατο· σημαίνων τὴν παρουσίαν τῆς μητρὸς τοῦ C Κυρίου· καὶ μετὰ τὸ γεννηθῆναι αὐτὸν ἠγνόει; ἔστιν ὅτε ὁ κόσμος αὐτὸν ἔγνω τίς ἐστιν, καὶ τὰς εὐεργεσίας παρ' αὐτοῦ ἐλάμβανεν· τότε αὐτὸν ἠγνόει; μὴ γένοιτο· τῇ οἰκουμένῃ πάσῃ κατάδηλος αὐτοῦ ἡ παρουσία ἐγένετο, καὶ Ἰωάννῃ τῷ προδρόμῳ ἀπεκρύπτετο; τοῖς ποιμέσιν στρατιὰ τῶν ἀγγέλων φανεῖσα εὐηγγελίσατο τὴν παρουσίαν τοῦ Δεσπότου, καὶ Ἰωάννης αὐτὸν ἠγνόει; εἶτα ὅτε ἀπέστειλαν οἱ Φαρισαῖοι πρὸς αὐτὸν λέγοντες· Τίς εἶ σὺ εἰπὲ ἡμῖν· ἀγνοοῦμεν· προφήτης εἶ σύ; Καὶ εἶπεν· Οὐ. Ὁ Χριστὸς εἶ σύ; καὶ εἶπεν οὐκ εἰμί· Ἐγὼ, φησὶν, *φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιήσατε τὰς τρίβους αὐτοῦ*. Τὰς ὁδοὺς αὐτοῦ εὐτρεπίζειν λέγει, καὶ τὸν D ἐρχόμενον οὐκ οἶδε; Τοῖς βαπτιζομένοις ὑπ' αὐτοῦ εὐαγγελίζεται λέγων· *Ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι, ὁ δὲ ὀπίσω μου ἐρχόμενος αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρὶ, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ*. Καὶ πάλιν ὅτε εἶδεν αὐτὸν ἐρχόμενον ἐπὶ τὸ βάπτισμα, δακτύλῳ δεικνύων ἔλεγεν· *Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου*. Ἐ'

[94] Matth. xi, 3. [95] Joan. i, 19-23. [96] ibid. 26, 27; Matth. iii, 11. [97] Joan. i, 29.

NOTÆ.

(1) In subsequente verborum evangelicorum explicatione, et in asserenda Joannis apud inferos prædicatione, sequitur Eusebius presse Origenem, qui in homilia de Engastrimytho edit. Maurin. tom. II, p. 495, prorsus ita sentit et interpretatur. Quin et S. Hippolytus in libro *De Antichristo*, edit. Fabricii tom. I, p. 22, in eadem sententia se fuisse demonstrat. Æquum certe erat id a Præcursore fieri, quoniam ipse postea Christus iisdem inferis prædicaturus erat, ut fecit, teste Petro I Epist. iii, 19. Longi tamen et varii qui in hac oratione seruntur sermones, rhetorico prorsus more fiunt.

ἠγνόει αὐτὸν, πῶς ἔλεγεν τοιαῦτα ῥήματα; ἐβάπτισεν αὐτὸν, καὶ εἶδεν τὸ Πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτὸν, τὴν ἀψευδῆ φωνὴν τοῦ Πατρὸς ἄνωθεν μαρτυροῦσαν καὶ λέγουσαν· *Οὗτος* [*ἐστιν*] *ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα.*

A testantem et confirmantem : *Hic est Filius meus dilectus in quo bene complacui* [98].

Ταῦτα πάντα, φησὶν, τότε διὰ τοὺς μαθητὰς πιστοποιῆσαι ἀπέστειλεν ὡς ἐν προφάσει τοῦ ῥήματος· ἀλλ' ἐν τῷ τὸν Ἰωάννην μαρτυρεῖν καὶ λέγειν, *Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου*, καὶ οἱ μαθηταὶ συμπαρῆσαν τῷ Ἰωάννῃ καὶ ἤκουσαν πᾶσαν τὴν ἀλήθειαν, καὶ οὐκ ἦν αὐτοῖς ἀμφιβολία οὐδεμία. Καὶ οὐχ ἕνεκεν τούτου ἀπέστειλεν αὐτοὺς πρὸς τὸν Κύριον· ἀλλὰ δεῦρο, τέκνον, καὶ εἴπω σοι τὸ φοβερὸν μυστήριον τοῦ ῥήματος· ἐπειδὴ ἐν ἅπασιν Πρόδρομος τοῦ Κυρίου ἐγένετο, τοῖς πᾶσιν εὐηγγελίσατο αὐτοῦ τὴν παρουσίαν εἰς τὴν τοῦ κόσμου σωτηρίαν, παραγγέλλων τοῖς πᾶσιν καὶ λέγων· *Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ*, τουτέστι, Τὰς καρδίας ὑμῶν, ἵνα ἐνοικήσῃ ἐν ὑμῖν ὁ Κύριος. Ποιήσατε καρπὸν ἄξιον τῆς μετανοίας, ἑτοιμάσατε ἑαυτούς· ἰδοὺ ἔρχεται πάντων ὁ Λυτρωτής· ὥσπερ οὖν ἐντεῦθεν ταῦτα εὐηγγελίσατο τοῖς ἐπερωτῶσιν αὐτὸν, ἤμελλεν λοιπὸν καὶ ἐν ἐκείνῳ τῷ κόσμῳ προστρέχειν καὶ μηνύειν τὸν Δεσπότην κατέρχεσθαι ἐν τῷ ᾅδῃ (1). Καὶ ἔμελλον οἱ ἐν τῷ ᾅδῃ ἐγκεκλεισμένοι ἐπερωτᾷν αὐτὸν λέγοντες· Τίς ἡμᾶς ἐξάξει ἐντεῦθεν; ἆρα ἄγγελον πέμπει; ἆρα ἀρχάγγελον; Εἰπὲ ἡμῖν τίς ἔρχεται, καὶ ἐκβάλλει ἡμᾶς; Ὁ δὲ Ἰωάννης οὐκ οἶδε τί μέλλει ἀποκρίνεσθαι αὐτοῖς. Οὐκ ἐπίστευσεν γὰρ ὅτι ἀληθῶς ἐκεῖνος καταδέχεται εἰς τὸν ᾅδην κατελθεῖν· οὐκ ἐπίστευσεν ὅτι ὁ τῆς ἀθανασίας ποιητὴς θάνατον ὑπομείνῃ. Ἄπιστον γὰρ ἦν ἀληθῶς τὸ γινόμενον, ὅτι Θεὸς Λόγος ἀληθινὸς, Θεοῦ ἀληθινοῦ Υἱὸς, φῶς ἐκ φωτὸς, ζωὴ ἐκ ζωῆς, θάνατον δι' ἡμᾶς γνωρίσαι καταδέχεται. Ἀπιστήσας οὖν τοῦτο, ἀπέστειλεν πρὸς αὐτὸν λέγων· *Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν;*

Discipulos, aiunt, sub interrogandi specie, ideo misit ut fidem eorum comprobaret. At Joanne prædicante et clamante: *Ecce Agnus Dei qui tollit peccatum mundi*, discipuli quoque aderant, audierantque veritatem; nec ullum erat eis dubium. Non hanc ob rem misit eos ad Dominum. Sed attende, fili, et declarabo tibi terribile hujus verbi mysterium. Ipse per omnia Domini Præcursor, omnibus prænuntiabat in salutem mundi venientem, ubique dictitans : *Parate viam Domini*, *rectas facite semitas ejus*, hoc est, corda vestra, ut in vobis inhabitet Dominus. *Facite fructus dignos pœnitentiæ*, parate vosmetipsos; ecce venit Redemptor omnium. Quemadmodum igitur hæc interrogantibus eum demonstrabat, eadem quoque in inferos nuntiaturus erat monendo Dominum illuc etiam venturum. Interrogantibus autem qui in inferis detinebantur: Quis nos hinc educet? Mittetne angelum? an archangelum? Responde nobis quis veniet et liberabit nos? nesciebat quid sibi respondendum Joannes. Non credebat enim Dominum reipsa in inferos descensurum; non credebat immortalitatis largitori mortem esse subeundam. Nam incredibile videbatur Deum verum Verbum, Dei veri Filium, lumen de lumine, vitam de vita, mortem propter nos aditurum esse. Qua igitur incredulitate anceps, misit ad eum dicens : *Tu es qui venturus es, an alium exspectamus?*

Καὶ ἵνα μὴ νομίσῃς μὴ λέγειν με τὴν ἀλήθειαν περὶ τούτου, ἄκουσον τῆς τοῦ Εὐαγγελίου φωνῆς, ὅτε ἀπέθετο τὸν Ἰωάννην ὁ Ἡρώδης εἰς τὸ δεσμωτήριον διὰ Ἡρωδιάδα τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ Φιλίππου τὴν κακῶς αὐτῷ συνοικοῦσαν. Καὶ ἰδὼν λοιπὸν Ἰωάννης, καὶ νοήσας ὅτι μέλλει κατέρχεσθαι εἰς τὸν ᾅδην, τότε ἀπέστειλε πρὸς τὸν Κύριον λέγων· *Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν*; Ἰδοὺ, φησὶν, Κύριε, ἡ ὥρα τοῦ θανάτου πάρεστίν μοι· ἰδοὺ προβλέπω τὸ πικρὸν συμπόσιον τῶν γενεθλίων Ἡρώδου κατ' ἐμοῦ γινόμενον· ἰδοὺ προβλέπω τὴν Ἡρωδιάδα κατ' ἐμοῦ τὸ ἐργαστήριον τῆς ὀρχήσεως σκευάζουσαν· ἤδη προβλέπω ὅτι μέθη καὶ κόρη τὴν κεφαλήν μου ἀφαιροῦνται· ἤδη τὸ πέρας τοῦ βίου πάρεστίν μοι, τὸ τέλος τῆς ζωῆς ἐμῆς πεπλήρωται, πορεύομαι πρὸς τοὺς πατέρας μου, ὑπάγω πρὸς τὸν κόσμον τὸν ἐκεῖ ἐγκεκλεισμένον ὑπὸ τοῦ Σατανᾶ εἰς τὸν ᾅδην. Καὶ ἐὰν ἐπερωτήσωσίν με λέγοντες, Τίς ἔρχεται καὶ ἐκβάλλει ἡμᾶς; τί αὐτοῖς ἐρῶ; Εἰπέ μοι τὴν ἀλήθειαν, *Δέσποτα· Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;*

Quod si autem dubites me hac de re vera loqui, attende quid Evangelium narraverit, quando Joannem Herodes in vincula conjecisset propter Herodiadem uxorem fratris Philippi adulteram. Suæ sortis conscius Joannes et se ad inferos mox accessurum intelligens, misit tunc ad Dominum interrogans : *Tu es qui venturus es, an alium exspectamus ?* Ecce, ait, Domine, hora mortis mihi instat ; ecce sentio quam funesta mihi cœna natalitia Herodis; nec non prævideo quomodo Herodiades artes saltationis præparat; non me fallit ebrietate et muliere caput meum auferendum ; jam consecutus sum vitæ meæ terminum ; jam defunctus sum vitæ officio ; feror ad patres, ad eos vado quos Satanas in inferis inclusos detinet. Qui si a me petierint : Quis veniet et liberabit nos ? quid respondebo ? Dic mihi veritatem, Domine, *Tu es qui venturus es, an alium exspectamus ?*

[98] Matth. III, 17.

NOTÆ.

(1) Confer S. Gregorium Nazianzenum in oratione XXXIX, edit. Maurin. tom. I, p. 687.

Ac accedentes Joannis discipuli detulerunt hæc Domino; qui respondit eis dicens : *Renuntiate Joanni quæ auditis et videtis. Cæci vident, leprosi mundantur, pauperes evangelizantur, et mortui resurgunt*[99]. Tu pauper cum sis, annuntia iis, qui in inferis, resurrectionem, et resurgent. Hoc significat illud : *Tu es qui venturus es, an alium exspectamus?* Quo ex responso agnovit Domini præcursor Salvatorem, eorum gratia qui in inferis, mortem ipsam aditurum. Decebat enim vel istos misericordia ejus frui; nam ante adventum Domini detinebantur omnes in inferis. Illic aderat Isaias tam præstanti voce præditus; illic erat David qui juxta cor Dei inventus est; illic Samuel, Daniel, Ezechiel, cæterique prophetæ. Domino igitur in inferos descendendum, istosque liberandum, ut omnes et in terra et in cœlis et in inferis salutem ab ipso consequerentur, eumque adorarent, atque ita impleretur illud benedicti apostoli Pauli effatum : *In nomine Jesu Christi omne genu flectetur cœlestium, terrestrium et infernorum, et omnis lingua confitebitur quia Dominus Jesus Christus in gloria est Dei Patris*[1] in sæcula. Amen.

A Καὶ ἀπελθόντες οἱ μαθηταὶ Ἰωάννου εἶπον αὐτῷ ταῦτα· καὶ ἀποκριθεὶς ὁ Κύριος εἶπεν αὐτοῖς· *Εἴπατε Ἰωάννῃ ἃ ἀκούετε καὶ βλέπετε. Τυφλοὶ ἀναβλέπουσιν, λεπροὶ καθαρίζονται, πτωχοὶ εὐαγγελίζονται, καὶ νεκροὶ ἐγείρονται.* Σὺ πτωχὸς ὤν, σὺ εὐαγγελίζου τοῖς ἐν τῷ ᾅδῃ τὴν ἀνάστασιν, καὶ ἐγείρονται· τοῦτο δέ ἐστιν ὃ ἔλεγεν· *Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν;* Ἐκ τῆς ἀποκρίσεως τοῦ Κυρίου ἔγνω ὁ Πρόδρομος ὅτι καὶ τοὺς ἐν τῷ ᾅδῃ οἰκτείρων ὁ Σωτὴρ καταδέχεται θάνατον ὑπομεῖναι. Ἔπρεπεν γὰρ ἀληθῶς καὶ τοὺς ἐν τῷ ᾅδῃ ἀπολαῦσαι τῆς εὐσπλαγχνίας αὐτοῦ. Ἕως γὰρ τῆς ἐπιδημίας τοῦ Κυρίου πάντες κατέκειντο ἐν τῷ ᾅδῃ· ἐκεῖ ἦν Ἡσαΐας ὁ μεγαλοφωνότατος· ἐκεῖ ἦν Δαβὶδ ὁ εὑρεθεὶς κατὰ τὴν καρδίαν τοῦ Θεοῦ· B ἐκεῖ ἦν Σαμουήλ, Δανιήλ, Ἐζεκιήλ, καὶ οἱ καθ' ἑξῆς προφῆται. Ἔδει οὖν αὐτὸν κατελθεῖν καὶ ἐλευθερῶσαι αὐτούς, ἵνα καὶ οἱ ἐπὶ γῆς καὶ οἱ ἐν οὐρανοῖς καὶ οἱ ἐν τῷ ᾅδῃ τύχωσιν τῆς παρ' αὐτοῦ σωτηρίας, καὶ αὐτοὶ προσκυνήσωσιν αὐτόν· καὶ ἵνα πληρωθῇ τοῦ εὐλογημένου Παύλου τοῦ ἀποστόλου τὸ ῥητόν· *Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρὸς* εἰς τοὺς αἰῶνας. Ἀμήν.

XIII.

De adventu Joannis in infernum, et de iis qui ibi degunt.

ΙΓ'.

Περὶ τῆς παρουσίας Ἰωάννου εἰς ᾅδην, καὶ περὶ τῶν ἐκεῖ ὄντων.

Hanc homiliam videsis infra inter Opera Eusebii Emeseni, col. 509.

XIV.

In proditionem Judæ.

ΙΔ.

Εἰς τὴν προδοσίαν τοῦ Ἰούδα.

Exstat inter homilias ejusdem Eusebii Emeseni, vide infra col. 525.

XV.

In Diabolum et Orcum.

C

Æquum est, amici, nos ad hesternam orationem redire, ac videre quid Diabolus et Orcus Judæis adversus Dominum persuaserint. Audito, *Tristis est anima mea usque ad mortem*[2], credidit Diabolus Dominum

ΙΕ'.

Εἰς τὸν Διάβολον καὶ εἰς τὸν Ἅδην (1).

[Cod. f. 336.] Δίκαιον ἡμῖν σήμερον, ἀγαπητοί, τοῦ χθὲς εἰρημένου λόγου ἐπισκέψασθαι, καὶ ἰδεῖν τὴν τοῦ Διαβόλου καὶ τοῦ Ἅδου συμβολὴν πρὸς τοὺς Ἰουδαίους κατὰ τοῦ Κυρίου. Ἀκούσας ὁ Διάβολος

EDITIO ALTERA (2).

Τῇ μεγάλῃ παρασκευῇ τοῦ μακαρίου Εὐσεβίου λόγος εἰς τὸν Διάβολον καὶ εἰς τὸν Ἅδην μετὰ τὸ παραδοῦναι ὁ Ἰούδας τὸν Κύριον, Εὐλόγησον, Δέσποτα.

Δίκαιον ἡμῖν σήμερον, ἀγαπητοὶ [σήμερον], τὰ ἀκόλουθα τοῦ χθὲς εἰρημένου λόγου ἐπισκέψασθαι, καὶ ἰδεῖν τὴν τοῦ διαβόλου ὑπουργίαν τὴν πρὸς τὸν ᾅδην κατὰ τοῦ Κυρίου. Ἀκούσας οὖν ὁ Διάβολος τοῦ Κυρίου

EDITIO TERTIA (3).

Τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐσεβίου ἐπισκόπου πρὸς τοὺς Ἰουδαίους κατασυλλογισμός. Εὐλόγησον, ὦ Δέσποτα.

Δίκαιον ἡμῖν σήμερον, ἀγαπητοί, τοῦ χθὲς εἰρημένου λόγου ἐπισκέψασθαι καὶ ἰδεῖν τὴν τοῦ Διαβόλου καὶ τοῦ Ἅδου συμβολὴν πρὸς τοὺς Ἰουδαίους κατὰ τοῦ Κυριοῦ [τὸν Κύριον]. Ἀκούσας γὰρ ὁ Διάβολος τοῦ Κυ-

[99] Matth. xi, 4, 5. [1] Philipp. ii, 10, 11. [2] Matth. xxvi, 38.

NOTÆ.

(1) Sermo hic in tribus bibliothecæ Vat. codicibus sub Eusebii nomine legitur, cum varietate lectionum, quarum nos meliores delegimus. Ex indiculo Homiliarum Chrysostomi agnoscitur (voc. ἀκούσας, unde in uno cod. exorditur) hunc sermonem illi falso attribui in codd. aliquot, prout de aliis nonnullis nos diximus in præfatione. Est tamen hic ineditus.

(2) Multo auctius atque emendatius, quam antea, ad fidem codicum Vindobonensium edita a Josepho Christiano Guilelmo Augusti. Vide ejus notas infra col. 403 et 463. Edit.

(3) Ab eodem novis curis recognita.

τοῦ Κυρίου εἰπόντος· *Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου*, ἐνόμισεν ὅτι τὸν θάνατον ἐφοβήθη, καὶ τὸν σταυρὸν ἐδειλίασεν· καὶ δραμὼν πρὸς τὸν Ἅδην, Ἀδελφὲ Ἅδη, λέγει αὐτῷ (2), ἕτοιμος γενοῦ εἰς τὴν κακὴν ἡμέραν ἐγώ τε καὶ σύ· εὐτρέπισόν μοι τόπον ἀσφαλῆ, ὅπου κατακλείσωμεν τὸν λεγόμενον Ἰησοῦν, ὃν Ἰωάννης καὶ οἱ προφῆται λέγουσιν ὅτι ἔρχεται καὶ ἐκβάλλει ἡμᾶς. Ἰδοὺ κατεσκεύασα κατ' αὐτοῦ θάνατον· εὐτρέπισα ἥλους, ἠκόνησα λόγχην, ἐκέρασα ὄξος καὶ χολήν, τοὺς Ἰουδαίους παρώξυνα ὡς βέλη κατ' αὐτοῦ, τὸν μαθητὴν αὐτοῦ εἰς προδοσίαν ἡτοίμασα· μόνος σὺ ἕτοιμος γενοῦ εἰς τὴν ὑποδοχὴν αὐτοῦ, ὅτι δύο ἡμέραι λείπουσιν αὐτῷ καὶ παραστήσω αὐτόν σοι. Πολλὰ γὰρ κακά μοι ἐπεδείξατο οὗτος ἐπὶ τῆς γῆς, καὶ παρεπίκρανέν με· πολλά μου σκεύη διήρπασεν· οὓς ἐγὼ B φόνῳ ἠφάνισα, οὗτος ῥήματι ἰᾶτο· ὧν ἐγὼ παρέλυον τὰ μέλη, οὗτος λόγῳ ἐσφίγγετο καὶ τὴν κλίνην ἐπὶ τῶν ὤμων αἴρειν ἐπέταττεν. Ἄλλους ἐτύφλωσα κλείσας τὸ φῶς, καὶ ἐτερπόμην εἰς αὐτούς, ὅταν εἰς τοὺς τοίχους περιέκρουον, εἰς ὕδωρ περιέπιπτον, ἐπὶ

A morte terreri, crucemque horrere. Currens igitur ad Orcum : Orce frater, ait, accingere; in summo discrimine ego tuque sumus; para locum certum quo Jesum, uti vocatur, includamus, de quo Joannes et prophetæ prædicant ipsum venturum, nosque eversurum. Ego clavos paravi, lanceam exacui, acetum miscui et fel, Judæos velut tela in eum emisi, discipulum ejus ad proditionem adduxi ; modo accingere ad eum recipiendum, nam duobus elapsis diebus, tibi eum adducam. Multis enim malis me afflixit inter homines, et mire me offendit, et consilia mea sæpius elusit. Quos cæde abstuleram, verbo hic suscitavit. Quorum membra solveram, restituit hic et jussit eos lectum super humeros deferre. Alios obcæcaveram, clausis luminibus, et gaudebam videndo eos muris impactos, in aquam præcipites, in cœnosa dejectos ; at venit hic, nescio unde, et contraria agens, verbo eis lucem largitus est. Quinimo ex nativitate cæcos aqua Siloam et luto lavari jussit, et extemplo aperti sunt eorum oculi. Denique nescius quo me reci-

EDITIO ALTERA.

λέγοντος· *Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου* (Matth. XXVI, 38.)[1]· ἐνόμισεν ὅτι τὸν θάνατον ἐφοβήθη, ἐνόμισεν ὅτι τὸν σταυρὸν ἐδειλίασε, καὶ ἤρξατο ἄθυμος[2] γίνεσθαι· καὶ δραμὼν πρὸς τὸν Ἅδην λέγει· Ἕτοιμος γενοῦ, εὐτρέπισον τόπον ἀσφαλῆ, ὅπου[3] κατακλείσωμεν τὸν λεγόμενον Ἰησοῦν, ὃν Ἰωάννης καὶ οἱ προφῆται ἔλεγον ἔρχεσθαι καὶ ἐκβάλλειν αὐτούς[4]. Ἰδοὺ κατεσκεύασα κατ' αὐτοῦ [non κατ' αὐτὸν] θάνατον, εὐτρέπισα ἥλους, ἠκόνησα λόγχην, ἐκέρασα ὄξος καὶ χολήν[5]. Πάντα πεποίηκα πρὸς τὴν προδοσίαν αὐτοῦ καὶ τὸν θάνατον. Μόνον σὺ ἕτοιμος γενοῦ εἰς τὴν ὑποδοχὴν αὐτοῦ. Ἔτι δύο ἡμέραι λείπουσιν αὐτῷ[6], καὶ παραστήσω αὐτόν. Πολλὰ γάρ μοι ἐνεδείξατο αὐτοῦ ἐπὶ τῆς γῆς ἐναντία, πολλά με παρεπίκρανεν [non παρεπίκρασεν], πολλά μου σκεύη ἥρπασεν. Οὓς ἐγὼ φθόνῳ ἠφάνιζον, οὗτος μόνῳ ῥήματι ἰᾶτο· ὧν ἐγὼ παρέλυσα[7] τὰ μέλη, οὗτος ῥήματι σφίγγων, τὴν κλίνην ἐπὶ τῶν ὤμων φέρειν ἐπέταττεν.

Ἄλλους ἐτύφλωσα κομίσας[8] τὸ φῶς, καὶ ἐτερπόμην εἰς αὐτούς, ὅταν εἰς τοίχους προσέκρουον, εἰς ὕδωρ ἔπιπτον, καὶ ἐπὶ βοθύνων[9] κατεστρέφοντο· καὶ ἐλθὼν ἐκεῖνος, πόθεν οὐκ οἶδα, τὰ ἐναντία μοι πράττων

EDITIO TERTIA.

ρίου εἰπόντος· *Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου*· ἐνόμισεν ὅτι τὸν θάνατον ἐφοβήθη, καὶ τὸν σταυρὸν ἐδειλίασε· καὶ δραμὼν πρὸς τὸν Ἅδην εἶπεν· Ἀδελφὲ Ἅδη, γενοῦ ἕτοιμος, εὐτρέπισόν μοι τόπον ὅπως κατακλείσωμεν τὸν Ἰησοῦν τὸν λεγόμενον Χριστόν, ὃν Ἰωάννης καὶ οἱ προφῆται λέγουσιν, ὅτι ἔρχεται ἵνα ἐκβάλῃ ἡμᾶς. — Ἰδού, κατεσκεύασα ἥλους, ἠκόνησα λόγχην, ἐκέρασα ὄξος καὶ χολήν· τοὺς Ἰουδαίους παρώξυνα ὡς βέλη κατ' αὐτοῦ· τὸν μαθητὴν αὐτοῦ εἰς προδοσίαν ἡτοίμασα. Μόνον σὺ γενοῦ ἕτοιμος πρὸς ὑποδοχὴν αὐτοῦ. Ἔτι γὰρ δύο ἡμέραι, καὶ παραστήσω σοι αὐτόν· πολλὰ γὰρ κακά μοι ἐνεδείξατο, πολλά με παρεπίκρανεν, πολλά μου σκεύη διήρπασεν. Ἐγὼ παρέλυον [non παρέλυσα] μέλη, καὶ αὐτὸς σφίγγειν τὴν κλίνην ἐπὶ τῶν ὤμων φέρων ἐκέλευσεν.

Ἄλλους ἐτύφλωσα καὶ ἐχαιρόμην εἰς αὐτούς, ὅταν εἰς τοὺς τοίχους προσέκρουον· καὶ αὐτὸς φῶς αὐτοῖς

NOTÆ.

(2) Notabilis est hæc distinctio, ᾅδης et διάβολος, *orcus* princeps et *diabolus* primarius administer. Principis quidem dæmoniorum manifestam habemus mentionem apud Matth. IX, 34; XII, 24; XXV, 41; Marc. III, 22; Luc. XI, 15. Ne autem ego dæmonologiam quamdam meo marte scribam, utar doctissimi Calmeti verbis ad Matth. XII, 24: *non unus Evangeliorum locus docet, ejus ætatis Judæos quoddam imperii et reip. genus inter dæmones agnovisse. Passim innuunt apostoli, principem quemdam esse dæmonum, cæteros moderantem. Hunc vero nuncupant principem tenebrarum, principem hujus* C *mundi vel sæculi, principem potestatum aeris.* (Confer etiam quæ dicuntur in Criticis sacris ad eumdem Matthæi locum.) Pergit Calmetus: *Tobiæ ætate Asmodæus dæmonum princeps habebatur. Luciferum vocant Patres, vel dæmonum archangelum. Apud Ethnicos Serapis. Pluto, Ades, Vis.* Hæc necessariæ eruditionis gratia dicta sint. Cæteroqui hoc Orci cum diabolo colloquium nemo non videt totum ab Eusebio componi, quem ego ut in præteritis moralis theologicive argumenti sermonibus valde laudo, ita in his postremis phantasiæ suæ nimis indulsisse judico.

VARIÆ LECTIONES.

[1] In apographo primo ἕως θάνατον, tanquam constans codicis lectio expressum erat, sed vitio scribæ.

[2] Sic, non ἄθετος, legendum.

[3] Ita pro vitioso ἀσφάλειον ὅπως.

[4] Hæc cod. lectio præferenda est conjecturæ ἡμᾶς.

[5] Expressum erat χολόν, sed χολήν vel ideo præ- D ferendum, quia usui loquendi N. T. proprium.

[6] Male καὶ λιποῦσιν αὐτόν.

[7] Ita legendum, cum cod. lectio παρέλια sano destituta sit sensu.

[8] Sic, vel κοιμίσας, ex apographi κοιμίσθη restituendum.

[9] Cod. habet ἐπιβωθύνων· Juxta loquendi usum biblicum εἰς βοθύνους esset scribendum.

perem, assumpsi mecum socios meos, et procul ab eo aufugi, et reperto pulchro juvene, intravi in eum, illicque habitavi. Qui hoc cognoverit, nescio. At venit, et jussit me egredi. Egressus vero, et quo irem inscius, rogavi eum ut mihi potestatem daret in porcos, et porcos occupatos suffocavi.

A βορβόρους κατέστρεφον· καὶ ἐλθὼν ἐκεῖνος πόθεν οὐκ οἶδα, καὶ τὰ ἐναντία μοι πράττων, ῥήματι αὐτοῖς ἐχαρίζετο τὸ φῶς. Ἀλλὰ καὶ ἐκ γενετῆς τυφλὸν διὰ πηλοῦ καὶ ὕδατος τοῦ Σιλωὰμ κελεύσας νίψασθαι, εὐθέως ἀνέβλεψεν. Καὶ λοιπὸν μὴ εὑρὼν τόπον ποῦ ἀπελθεῖν, παρέλαβον μετ' ἐμοῦ τοὺς ὑπουργούς μου, καὶ ἀνεχώρησα μακρὰν ἀπ' αὐτοῦ, καὶ εὑρὼν νεανίσκον καλὸν, εἰσῆλθον εἰς αὐτὸν, καὶ ᾤκησα ἐν αὐτῷ· πῶς ἔγνω, οὐκ οἶδα· ἦλθεν ἐκεῖ καὶ ἐπετίμησέν με ἐξελθεῖν· καὶ ἐξελθὼν καὶ μὴ εὑρὼν τόπον ποῦ ἀπέλθω, παρεκάλεσα αὐτὸν ἵνα κατὰ τῶν χοίρων λάβω τὴν ἐξουσίαν· καὶ ἐλθὼν εἰς τοὺς χοίρους ἔπνιξα τούτους.

Haud aliter cum principis cujusdam unigenita filia mortua esset, et casu desideratæ puellæ multum dolerent parentes, et gauderem videndo eos flentes, et afflictos, cæterosque gementes, et perturbata omnia, venit ille nescio unde, et suscitavit eam verbo et matri restituit integram. Rursus mulierem aggressus eram, et jam duodecim annis manabat de corpore ejus sanguinis fluxus; quæ cum conspexisset illum, statim advolans, tetigit modo fimbriam vestimenti ejus, ac continuo cessavit fluxus sanguinis. Illuc quidem accessi, et pugnam non sum ausus inire. Recessi igitur, finesque dereliqui quos ille perambulabat, et recepi me in partes Syriæ, aut potius fines Chananæorum, et inventam puellam formosam possedi, ibique habitavi, et mira in ea peregi. Nunc dejiciebam illam in

Ἀλλ' ὅτε πάλιν ἄρχοντός τινος θυγάτηρ ἀπέθανε μονογενὴς, καὶ ἐπειδὴ πολυπόθητον τὸ κοράσιον τοῖς γονεῦσιν μέγα πένθος γέγονεν, καὶ ἐτερπ[όμ]ην τῶν γονέων κλαιόντων καὶ κοπτομένων, καὶ τοῦ B λοιποῦ ὄχλου ὀδυρομένου, καὶ θορύβου μεγάλου ὄντος, οὐκ οἶδα πόθεν καὶ ἀνέστησεν αὐτὴν λόγῳ, καὶ παρέδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς. Πάλιν γυνὴ ὑπ' ἐμοῦ ἀφανισθεῖσα, ἐπεὶ δώδεκα ἔτη ὀχετοὶ αἱμάτων ἐκ τῆς σαρκὸς αὐτῆς κατήρχοντο, καὶ εὐθέως ἰδοῦσα τοῦτον προσέδραμεν πρὸς αὐτὸν καὶ μόνον τοῦ κρασπέδου αὐτοῦ ἥψατο, καὶ εὐθέως ἐστάθη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς. Καὶ ἐγενόμην κατ' αὐτοῦ, καὶ οὐκ ἐτόλμων αὐτῷ προσβάλλειν μάχην, ἀλλ' ἀνέστην καὶ ἀνεχώρησα ἀπὸ τῶν ὁρίων ἐκείνων, ὧν ἐκεῖνος διέτριβεν. Καὶ ἦλθον εἰς τὰ μέρη τῆς Συρίας, μᾶλλον δὲ εἰς τὰ ὅρια τῶν Χαναναίων, καὶ εὗρον ἐκεῖ

EDITIO ALTERA.

ῥήματι ἰᾶτο. Ἄλλον ἐν αὐτῇ [male αὐτοῖς ἐν] τῇ κοιλίᾳ τῆς μητρὸς ὑπάρχοντα, ἐνέπλασα τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὥστε μήτ' ἴχνος ὀμμάτων [male ἔχων ὄμματα] φαίνεσθαι. Ἐκεῖνος οὖν εὑρὼν αὐτὸν καὶ πηλὸν διὰ πτυέλου ποιήσας [non ἐποίησε] καὶ ἐπιχρίσας τοῖς ὀφθαλμοῖς [τοὺς ὀφθαλμοὺς] αὐτοῦ, ἐκέλευσεν αὐτὸν ἐπὶ τὸν [τὴν] Σιλωὰμ νίψασθαι καὶ εὐθέως ἀνέβλεψεν. Καὶ μὴ εὑρὼν τόπον ἵνα ἀπέλθω, παρέλαβον ἐξ δαίμονας ὑπουργούς μου, καὶ ἀνεχώρησα μακρὰν ἀπ' αὐτοῦ.

Καὶ εὑρὼν νεανίσκον καλὸν εἰσῆλθον εἰς αὐτὸν μετὰ τῶν ὑπουργῶν μου καὶ χαίρων ᾤκησα ἐν αὐτῷ. Πῶς οὖν ἐκεῖνος, οὐκ οἶδα, ἔγνω, ηλθεν ἐκεῖ καὶ ἐπιτίμησέν μοι ἐξελθεῖν· καὶ ἐξελθὼν ἐγὼ μετὰ τῶν ἐξ ὑπουργῶν [τοὺς ἐξ ὑπουργοὺς] μου, καὶ μὴ εὑρὼν τόπον, ὅπου ἀπελθεῖν[10], παρεκάλεσα αὐτὸν, ἵνα κἂν κατὰ τῶν χοίρων λάβω [perperam λαβεῖν] τὴν ἐξουσίαν.

Ἄλλοτε πάλιν εἰσελθόντος αὐτοῦ εἰς τὸ πλοῖον, καὶ ἀφυπνώσαντος, ἐξαίφνης ἤγειρα ἀνέμους σφοδροὺς, καὶ ἐτάραξα τὴν θάλασσαν, καὶ συνέκρουσα τὰ κύματα, καὶ μεγάλην ὀργὴν κινήσας, ἐβουλόμην καταποντίσαι τὸ πλοῖον, ὅπου ἦν μετὰ τῶν μαθητῶν αὐτοῦ· ἤδη τοῦ πλοίου ἐγγίζοντος συντριβῆναι, εὐθέως διύπνισαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, καὶ ἀναστὰς ἐπετίμησεν τῇ θαλάσσῃ καὶ τοῖς ἀνέμοις, καὶ ὑπήκουσαν αὐτῷ· ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα τρόμῳ ὑπακούουσιν αὐτῷ· καὶ ἐγένετο γαλήνη μεγάλη[11].

Ἄλλοτε πάλιν γυνὴ ὑπ' ἐμοῦ ἀφανισθεῖσα ἐπὶ δώδεκα ἔτη ὀχετοῖς αἱμάτων ἐκ τῶν σαρκῶν αὐτῆς κατείχετο[12]. Εὐθέως οὖν ἰδοῦσα τοῦτον ἔδραμεν πρὸς αὐτὸν, καὶ μόνον τοῦ κρασπέδου τῶν ἱματίων αὐτοῦ ἥψατο, καὶ εὐθέως ἔστη[13] ἡ ῥύσις τοῦ αἵματος αὐτῆς· καὶ ἰδὼν ἐγὼ ἐμάνην κατ' αὐτοῦ, καὶ οὐκ ἐτόλμησα προσβαλλεῖν αὐτῷ μάχην[14].

EDITIO TERTIA.

ἐδωρήσατο. Ἀλλὰ καὶ τὸν ἐκ γενετῆς τυφλὸν διὰ πηλοῦ καὶ ὕδατος τοῦ Σιλωὰμ κελεύσας ἀνέβλεψε νιψάμενος. Καὶ μὴ εὑρὼν τόπον ποῦ ἀπέλθω, παρέλαβον ὑπουργοὺς, καὶ ἀνεχώρησα μακρὰν ἀπ' αὐτοῦ.

Καὶ εὑρὼν νεανίσκον καλὸν καὶ εὔμορφον, εἰσῆλθον εἰς αὐτὸν, μετὰ τοὺς ὑπουργούς μου. Καὶ οὐκ οἶδα πόθεν ἔγνω καὶ ἦλθεν ἐκεῖ, καὶ ἐπετίμησέ με ἐξελθεῖν. Κἀγὼ παρεκάλεσα αὐτὸν, ἵνα κἂν εἰς τὴν ἀγέλην τῶν χοίρων ἐλθεῖν. Καὶ ἐλθὼν εἰς τοὺς χοίρους ἔπνιξα τούτους. Ἀλλὰ ἄρχοντός τινος θυγάτηρ ἀπέθανε μονογενής. Καὶ θρηνοῦντες αὐτὴν καὶ κλαίοντες, οὐκ οἶδα πόθεν, ἦλθεν καὶ ἀνέστησεν αὐτὴν λόγῳ.

Ἀλλὰ καὶ αἱμοῤῥοοῦσα γυνὴ χρόνους δώδεκα μόνον τῶν ἱματίων αὐτοῦ ἀψαμένη [cod. ἀψαμένου] ἰάθη. Ὀργίζομαι οὖν αὐτῷ, ἀλλ' οὐ τολμῶ ἐγγίσαι αὐτῷ.

Ἀναστὰς οὖν ἦλθον εἰς τὴν Συρίαν καὶ εὑρὼν ἐκεῖσε κόρην καλὴν, ᾤκησα ἐν αὐτῇ, καὶ εἰργαζόμην εν

VARIÆ LECTIONES.

[10] Cod. τὸ ποῦ ἀπῆλθον (vel ἀπελθεῖν), pro quo ὅπου ἀπέλθω (abeam), vel ἀπελθεῖν (quæ constructio non est infrequens) legendum.

[11] Totus locus : Ἄλλοτε πάλιν εἰσελθόντος αὐτοῦ —·— γαλήνη μεγάλη in prima editione omissus erat, non nostra culpa, sed scribæ negligentia.

[12] Non bene lectum et exaratum erat, Ὀχετοὶ αἵματος ἐκ τῆς σαρκὸς αὐτῆς κατήρχοντο. Verbum κατέχειν et κατέχεσθαι, verbum proprium et solemne, Latino *morbo teneri* respondet.

[13] Expressum erat : ἰάθη (sanata), sed præferenda est lectio ἔστη (stetit) ab ἵστημι, quia metaphoræ τῆς ῥύσεως melius convenit.

[14] Perperam lectum erat : ἐγὼ ἐμὴν δύναμιν κ. α. κ. οὐ. ἐ. προσβαλών. Si ἐμάνην non placeret, ἐμαινόμην non incommodum præberet sensum.

κόρην καλὴν, καὶ εἰσελθὼν ἐνῴκησα εἰς αὐτὴν, καὶ εἰργαζόμην ἐν αὐτῇ δεινά· ποτὲ γὰρ αὐτὴν εἰς πῦρ ἐνέῤῥιπτον, ποτὲ ἐν ὄρει ἀπέῤῥιψα, ποτὲ εἰς ποταμοὺς ἐνέῤῥιψα, καὶ ἐτερπόμην εἰς αὐτὴν μεγάλως, μάλιστα ὅταν ἡ μήτηρ αὐτῆς ἔμελλεν ὀδυνᾶσθαι καὶ κόπτεσθαι δι' αὐτήν. Πῶς ἔγνω, οὐκ οἶδα, εἰσῆλθεν εἰς τὰ ὅρια ἐκεῖνα, καὶ διέτριβεν ἐκεῖ· καὶ εὐθέως ἀκούσασα ἡ μήτηρ κόρης περὶ αὐτοῦ, ἔδραμεν, καὶ ἀπήγγειλεν αὐτῷ περὶ τῆς θυγατρὸς αὐτῆς λέγουσα· *Ἐλέησόν με, Κύριε, υἱὲ Δαβὶδ, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται.* Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον· καὶ ἐνόμισα ὅτι πάντως τῶν Χαναναίων οὐκ ἀντέχεται, καὶ μέλλω κἀκείνους ὑπ' ἐμαυτοῦ ἔχειν. Εἶτα πάλιν προσελθοῦσα ἡ γυνὴ, παρεκάλει αὐτὸν λέγουσα· *Ἐλέησόν με, Κύριε, υἱὲ Δαβὶδ, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται.* Ὁ δὲ ἐπινεύσας τῇ γυναικὶ λέγει αὐτῇ· *Ὦ γύναι, μεγάλη σου ἡ πίστις, γενηθήτω σοι ὡς θέλεις.* Καὶ οὔτε παραγίνεσθαι κατεδέξατο ἐλθεῖν ἐπὶ τὴν κόρην, ἀλλὰ τῇ γυναικὶ δέδωκεν τὴν ἐξουσίαν τοῦ φυγαδεῦσαί με.

Ἐξελθὼν οὖν ἐγὼ ἐκ τῆς κόρης, καὶ ἰδὼν ὅτι ἐκεῖνος ἐκεῖ διατρίβει, ἦλθον εἰς τὴν Βηθανίαν· εὑρὼν ἐκεῖ τὸν φίλον αὐτοῦ τὸν Λάζαρον καὶ ἰδὼν ὅτι μακρά ἐστιν ἡ ὁδὸς, καὶ θέλων αὐτὸν κοπιάσαι, ἥρπασα αὐτὸν καὶ ἤγαγόν σοι αὐτὸν, ἀδελφέ μου Ἅδη· καὶ ἀμέριμνος ἐγενόμην, νομίζων ὅτι οὐκ ἔτι δύναται ἐκ σοῦ ἐξαρπάσαι. Καὶ μετὰ τὰς δ' ἡμέρας ἐλθὼν, οὐκ οἶδα πῶς, ἢ ὅτι ἐν ὕπνῳ κατέχεισο, ἢ εἰς ἄλλους τόπους ἠσχολοῦ, ἥρπασεν αὐτὸν ἀπὸ σοῦ. Λέγει αὐτῷ ὁ Ἅδης· Ἐκεῖνός ἐστιν ὅστις τότε τὸν Λάζαρον ἥρπασεν; ἐὰν ἐκεῖνός ἐστιν, ἐλέησόν με, μὴ ἀγάγῃς αὐτὸν ἐνταῦθα· ἐκεῖνος μέγας ἐστὶν, ἐκείνου τότε ἡ

A ignem, nunc in montana pellebam, nunc rapiebam in fluctus, et delectabar multum in ea, præsertim cum mater ejus propter eam mœrore et dolore affligeretur. Rem audivit ille, nescio quo pacto, ac regionem istam ingressus, ibi permansit. Quo audito, volavit illico ad eum mater puellæ et narravit filiæ miserias, dicens: *Miserere mei, Domine, fili David, filia mea male a dæmonio vexatur* [3]. Ille autem nihil respondit, et cogitabam illum de Chananæis minime curare, eosque imperio meo concessurum. At rursus eum adivit mulier, rogavitque eum clamans: *Miserere mei, Domine, fili David, filia mea male a dæmonio vexatur.* Tunc assentiens ei: *Mulier,* ait, *magna est fides tua; fiat tibi sicut vis.* Nec puellam ipse invisit, sed tradidit matri potestatem me ejiB ciendi.

Puellam igitur deserui, et videns illum ibi adesse, contuli me in Bethaniam. Illic inveni amicum ejus Lazarum, et viæ longitudine confisus, eumque fatigare volens, tibi adduxi, frater Orce. Nec ulla cura mihi persuasum habenti hunc jam non posse de manu tua eripi. Ille vero post quatuor dies venit, et nescio quomodo, sive somno vacares, sive alios inviseres locos, tibi eum abstulit. Respondit ei Orcus: Idemne est ille qui Lazarum eripuit? Si idem, miserere mei, ne illum, oro, huc adducas. Nam potens ille; exterruit tunc me vox ejus, et solvit virtutem meam. Vocem illius

[3] Matth. xv, 22. [4] ibid. 28.

EDITIO ALTERA.

Ἦλθον οὖν εἰς Βηθανίαν καὶ εὑρὼν ἐκεῖ τὸν φίλον αὐτοῦ Λάζαρον, καὶ ἰδὼν ὅτι μακράν ἐστιν, θέλων αὐτὸν λυπῆσαι, ἥρπασα αὐτὸν, καὶ ἤγαγόν σοι αὐτὸν, ἀδελφέ μου Ἅδη· καὶ ἀμέριμνος ἐγενόμην, νομίζων [γὰρ], ὅτι οὐκέτι ἐκ σοῦ δύναται ἐκσπάσαι αὐτόν. Καὶ μετὰ τέσσαρας ἡμέρας ἐλθὼν, πῶς οὐκ οἶδα, ἢ ὅτι ἐν ὕπνῳ κατέχεισο, ἢ εἰς ἄλλους ἠσχολοῦ [non ἀσχολοῦς], ἥρπασεν αὐτὸν ἀπὸ σοῦ.

Λέγει αὐτῷ ὁ Ἅδης· Ἐκεῖνός ἐστι καὶ νῦν, ὃς τότε [15] τὸν Λάζαρον ἥρπασεν; Ἐὰν ἐκεῖνός ἐστιν, ἐλέησόν με, μὴ ἀγάγῃς [non ἀγάγεις] αὐτὸν ἐνταῦθα. Ἐκεῖνος μέγας ἐστίν· ἐκείνου τότε ἡ φωνὴ μόνον κατ-

EDITIO TERTIA.

αὐτῇ πᾶν κακόν. Καὶ εἰς πῦρ καὶ εἰς ὕδωρ καὶ εἰς κρημνοὺς περιέβαλον αὐτήν· καὶ ἔτριζε τοὺς ὀδόντας καὶ ἀφροὺς περιπέμπον [non περιέπεμπεν]. Καὶ ἐχαιρόμην μεγάλως εἰς αὐτήν, μάλιστα ὅταν ἡ μήτηρ αὐτῆς περιεκόπτετο ὑπὸ τῶν θρήνων δι' αὐτῆς. Καὶ, οὐκ οἶδα πῶς, εἰσῆλθεν εἰς τὰ ὅρια ἐκεῖνα καὶ διατρίβων ἐκεῖσε· ἀκούσασα ἡ μήτηρ αὐτῆς περὶ αὐτοῦ ἔδραμεν καὶ ἀπήγγειλεν αὐτῷ λέγουσα· *Ἐλέησόν με, Κύριε, υἱὲ Δαβὶδ, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. Ὁ δὲ ἀκούσας οὐκ ἀπεκρίθη αὐτῇ οὐδὲ ἓν ῥῆμα.* Ἐνόμισά γ' οὖν ἐγὼ, ὅτι τῶν Χαναναίων οὐκ ἀντέχεται, καὶ μέλλω κἂν ἐκείνους ἔχειν παραμυθίαν. Ἡ δὲ γυνὴ ἀπελθοῦσα εἶπεν· *Ἐλέησόν με, Κύριε, υἱὲ Δαβὶδ, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. Ὁ δὲ ἀπεκρίθη αὐτῇ· Ὦ γύναι, μεγάλη σου ἡ πίστις, γενηθήτω σοι ὡς θέλεις·* [non λέγεις] *καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς* [15*].

Ἐξελθὼν οὖν ἐκ τῆς κόρης, καὶ ἰδὼν, ὅτι ἐκεῖνος ἐκεῖ διατρίβει, ἦλθον εἰς Βηθανίαν, καὶ εὑρὼν αὐτοῦ τὸν φίλον, τὸν λεγόμενον Λάζαρον, εἰδὼς, ὅτι μακρά ἐστιν ἡ ὁδὸς, καὶ θέλων αὐτὸν κοπιάσαι, ἥρπασα τὸν Λάζαρον καὶ ἤγαγόν σοι αὐτὸν, ἀδελφέ μου Ἅδη· καὶ ἀμέριμνος ἐγενόμην, νομίζων, ὅτι οὐ δυνήσῃ αὐτὸν ἁρπάσαι ἐκ τῶν χειρῶν σου. Καὶ μετὰ τέσσαρας ἡμέρας ἐλθὼν, οὐκ οἶδα πῶς, [ἢ] ἐν ὕπνῳ κατέχεισο, ἢ εἰς ἄλλους ἠσχολοῦ, ἥρπασεν αὐτὸν ἀπὸ σοῦ.

Λέγει αὐτῷ ὁ Ἅδης· Ἐκεῖνός ἐστιν, ὅστις τὸν Λάζαρον ἤγειρεν; ἐὰν ἐκεῖνός ἐστιν, μὴ ἀγάγῃς αὐτὸν ἐνταῦθα. Ἐκεῖνος γὰρ μέγας ἐστὶν, ὅτι μόνον ἡ φωνὴ αὐτοῦ κατέπληξέ με, καὶ παρέλυσέ μου τὴν δύ-

VARIÆ LECTIONES.

[15] In cod. ὅτε τὸν; sed sensus sanitas postulat lectionem nostram.

[15*] Ex Matth. xv, 22, 23. Ultima verba, ut fieri solet ab Homiletis, e memoria citata sunt, in textu enim leguntur: Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. Idem valet de v. 25 et 28, ubi sensus textualis paulo liberius exprimitur.

sustinere nequivi, et tu eum hic includere cogitas? Noli hoc facere, miserere mei, non possum eum ego huc accipere. Si ille venerit, quoscunque detineo eripiet. Corpus Lazari putrefieri ego summopere curavi, per quatuor dies illud custodia defendens. Jam cœperat olere, cœperant dissolvi articuli membrorum, omnino dominabar ei. Ast ubi venit ille ad ostium meum, et clamavit: Exi huc, continuo evasit putridus ille Lazarus e sinu meo, veluti leo de spelunca in prædam elatus, velut aquila evolavit, deposita imbecillitate in oculorum ictu. Illum hic includere non possum.

A φωνὴ κατεπτόησέν με, καὶ παρέλυσέν μου τὴν δύναμιν· τὴν φωνὴν αὐτοῦ ἐνέγκαι οὐκ ἠδυνήθην, καὶ αὐτὸν ἐπαγγέλλεις μοι ἐνταῦθα κλεῖσαι; Μὴ γένοιτο, ἐλέησόν με, ἐγὼ οὐ δύναμαι ἐνταῦθα αὐτὸν ὑποδέξασθαι· ἐὰν ἐκεῖνος ἔλθῃ ὧδε, καὶ οὓς ἔχω ἐνταῦθα ἐκβάλλει. Ἐγὼ, ἀδελφὲ, τότε λοιπὸν κατέσηψα τὸ σῶμα τοῦ Λαζάρου, ἐν τέσσαρσιν ἡμέραις ἔχων αὐτὸν ἐν ἀσφαλείᾳ. Ἤδη ἤρξατο ὄζειν, ἤρξατο παραλύεσθαι τὰ ἄρθρα τῶν μελῶν αὐτοῦ, κατεκυρίευσα αὐτοῦ παντελῶς· καὶ ὅταν ἦλθεν ἐκεῖνος εἰς τὴν θύραν μου, καὶ ἐφώνησεν αὐτὸν, Δεῦρο ἔξω, καὶ οὗτος διασαπεὶς Λάζαρος, οὕτως ἐξεπήδησεν ἐκ τοῦ κόλπου μου, ὡς λέων ἐκ σπηλαίου εἰς θήραν ἐπειγόμενος, ὡς ἀετὸς ἐξήλατο, πᾶσαν ἀσθένειαν ἀποθέμενος ἐν ῥοπῇ ὀφθαλμοῦ· ἐκεῖνον ἐνταῦθα κατακλεῖσαι οὐ δύναμαι.

Cui diabolus: Timide et ignave et pusillanimis; tantis me malis affecit, nec recessi de mundo, nec cessavi homines impugnare, et tu, accepta una clade tantum, animum dejicis? Tantas ego calamitates perpessus, non cessavi hominibus invidere. At videns eum externas corporum infirmitates cu-

B Λέγει αὐτῷ ὁ Διάβολος· Δειλὲ καὶ ἄνανδρε καὶ ὀλιγόψυχε, ἐμοὶ τοσαῦτα κακὰ εἰργάσατο, καὶ οὐκ ἀνεχώρησα ἐκ τοῦ κόσμου, οὐδὲ ἐπαυσάμην πολεμεῖν τοὺς ἀνθρώπους, καὶ σὺ ἓν κακὸν παθὼν παρ' αὐτοῦ οὕτως ἐδειλίασας; Ἐγὼ τοσαῦτα παθὼν παρ' αὐτοῦ, οὐκ ἐπαυσάμην φιλονικεῖν τοῖς ἀνθρώποις.

EDITIO ALTERA.

ἐπληξέν [non κατέπηξέν] με, καὶ παρέλυσέ μου τὴν δύναμιν· τὴν φωνὴν αὐτοῦ ἐνέγκαι οὐκ ἠδυνήθην. Καὶ αὐτὸν ἐπαγγέλλεις μοι [16] ἐνταῦθα ἐγκλεῖσαι; μὴ γένοιτο· ἐκεῖνος, ἐὰν ἔλθῃ ὧδε, καὶ οὓς ἔχω ἐγκεκλεισμένους [non ἐγκατακλεισμένους] ἐκβαλεῖ. Ἐγὼ τότε [τὸ] λοιπὸν κατέσηψα τὸ σῶμα τοῦ Λαζάρου ἐν τέσσαρσιν ἡμέραις, ἔχων αὐτὸν ἐν ἀσφαλείᾳ· ἤδη ἤρξατο ὄζειν, ἤρξατο παραλύεσθαι τὰ ἄρθρα τῶν μελῶν αὐτοῦ [17], κατεκυρίευσα αὐτοῦ παντελῶς, καὶ ὅτε ἦλθεν ἐκεῖνος εἰς τὴν θύραν μου καὶ ἐφώνησεν αὐτὸν ἔξω, ἐγένετο ἡ φωνὴ αὐτοῦ φοβερὰ, καὶ ἡ ἄβυσσος ἐσείσθη, καὶ ἡ γῆ ἐτρόμαξεν [non ἐτρόμισεν], καὶ ἐγὼ αὐτὸς παρελύθην ἐκ τοῦ φόβου, ἐξέστησάν μου αἱ φρένες, ἀναστῆναι καὶ τὰς θύρας κλεῖσαι οὐκ ἴσχυσα [18], οὔτε ἐκεῖνον κρατῆσαι ἐδυνήθην· ἐν ᾗ γὰρ ὥρᾳ ἐγένετο ἡ φωνὴ αὐτοῦ [19], καὶ οὗτος ὁ διασαπεὶς Λάζαρος καὶ διαλυθεὶς καὶ ὀζέσας [male ὀξέσας], οὗτος ἐξεπήδησεν ἐκ τοῦ κόλπου μου, ὡς λέων ἐκ σπηλαίου, ἐπὶ θήραν ἐπειγόμενος [20], ὡς ἀετὸς ἐξήλατο, πᾶσαν ἀσθένειαν ἀποθέμενος ἐν ῥοπῇ ὀφθαλμοῦ [21]. Ἐκεῖνον ἐνταῦθα κατακλεῖσαι οὐ δύναμαι.

Λέγει αὐτῷ ὁ Διάβολος· Δειλὲ καὶ ἄνανδρε, καὶ ὀλιγόψυχε· ἐμοὶ τοσαῦτα κακὰ ἐποίησεν καὶ οὐκ ἀνεχώρησα τοῦ κόσμου, οὐδὲ ἐπαυσάμην φιλονεικῶν [φιλονικεῖν] αὐτόν· καὶ σὺ ἓν κακὸν παρ' αὐτοῦ παθὼν, τοσοῦτο ἐδειλίασας [non ἐδειλειάσας]. Ἐγὼ τοσαῦτα παρ' αὐτοῦ ἔπαθον, καὶ οὐκ ἐπαυσάμην ἀδικεῖν τοὺς ἀνθρώπους.

EDITIO TERTIA.

ναμιν. Διὰ τοῦτο ὑπενεγκεῖν τὴν φωνὴν αὐτοῦ οὐ δύναμαι· καὶ αὐτὸν ἀπαγγέλλεις με ἐνταῦθα κατακλίνειν; Μὴ γένοιτό μοι ἐγὼ [21'] ὑποδέξασθαι αὐτὸν ἐνταῦθα, ἵνα μὴ καὶ τοὺς κάτω [non κράτει] ὧδε ἁρπάσει. Τοῦτον, ὃν λέγεις, Λάζαρον, τὸ σῶμα αὐτοῦ κατεσάπησα ἐν ἡμέραις τέσσαρσι, καὶ δυσωδίαν ἐκπέμπων [ἔπεμπεν]· κατεκυρίευσα αὐτὸν παντελῶς· καὶ ὅταν ἦλθεν ἐκεῖνος εἰς τὴν θύραν μου καὶ ἐφώνησεν αὐτὸν, καὶ ὥσπερ λέων ἐκ τοῦ σπηλαίου, καὶ ὡς ἀετὸς ἀνεπήδησεν ἐκ τοῦ μνήματος· καὶ σὺ λέγεις, ἵνα ὑποδεχθῶ αὐτὸν ἐνταῦθα; Οὐ δύναμαι, λέγω σοι, ὦ Διάβολε, δέξασθαι αὐτὸν ἐνταῦθα· ὕπαγε καὶ ὡς θέλεις, ποίησον [21''].

Λέγει αὐτῷ ὁ Διάβολος· Δειλὲ, καὶ ἄνανδρε καὶ ὀλιγόπιστε [21''']· τοσαῦτά μοι κακὰ ἐνεδείξατο, καὶ οὐκ ἀνεχώρησα τοῦ κόσμου, οὐδὲ ἐπαυσάμην φιλονεικῶν [φιλονικεῖν] τοὺς ἀνθρώπους· καὶ σὺ δειλιᾷς καὶ τρέμεις; Ἄκουσόν μοι [μου] καὶ τὰς ἄλλας μου ἀριστείας.

VARIÆ LECTIONES.

[16] Cum scriptum sit in nostro codice: ἐπαγγέλημη et in altera editione ἀπαγγέλλεις με, nil scio, quod præferam lectioni, quam dedi. Ut in verbis annuntiandi sæpius significatio jubendi inest, ita in specie in ἐπαγγέλλειν, ubi tamen et significatio promissionis jam sufficit.

[17] Verba post ἀσφαλείᾳ sequentia: Ἤδη ἤρξατο ο. η. π. τ. α. τ. μ. αὐτοῦ incuria librarii primi erant omissa.

[18] Idem valet de verbis post φόβου sequentibus: ἐξέστησάν μοι α. φ. α. κ. τ. θ. κ. οὐκ ἴσχυσα.

[19] Pariter verba, ἐν ᾗ γὰρ ὥρᾳ ἐγένετο ἡ φωνὴ αὐτοῦ, omissa erant.

[20] Ex eadem oscitantia deerant verba: ἐπὶ θήραν ἐπειγόμενος.

C [21] Post ἐξήλατο nunc ad fidem codicis adjectum: Πᾶσαν ἀσθένειαν α. ε. ῥοπῇ [male ῥυπῇ in cod. expressum] ὀφθαλμοῦ.

[21'] Locus mutilatus, in quo tamen, quid sibi velit auctor, comparata altera editione, facile intelligitur. Post λέγεις in codice aliquid erasum est.

[21''] Totus locus: Καὶ σὺ λέγεις — — — ποίησον incuria scribæ prætermissus.

[21'''] Ita reposui, cum codex ὀλιγόπιτε exhibeat. Cæterum, si ad subtilitatem revocare velis, ὀλιγόψυχε, quod conjeceram, præferendum esset, cum ob δειλὲ et ἄνανδρε, tum ideo, quod tali collocutori ἀπιστοτάτῳ ne minima quidem fides tribuenda videatur. Discipulos suos, quando ὀλιγοπίστους increpat Christus, tamen non omni, omnino fide destitutos supponit.

Ἀλλ' ὅτε ἴδον ὅτι τὰς ἔξωθεν ἀσθενείας σωματικὰς θεραπεύει, ἐγὼ ἠρξάμην τὰς ψυχὰς τῶν ἀνθρώπων ἀφανίζειν διὰ τῶν ἐμῶν ἔργων· εὑρὼν γάρ τινα νεανίσκον ὀνόματι Ματθαῖον, καὶ ἐμβαλὼν εἰς τὴν καρδίαν αὐτοῦ ἐπιθυμίαν χρημάτων, καὶ παραλαβὼν αὐτὸν, ἔστησα αὐτὸν τελώνην ἐπὶ ἀμφόδῳ· καὶ ἐπὶ τοσοῦτον ἐπήκουσέν μου ὁ νεανίσκος, ὥστε τοὺς πάντας ἔτυπτεν, ἐσύλει, αἰχμαλωτεύων αὐτῶν τὰς ἐλπίδας, τύπτων καὶ κολαφίζων, κατατρώγων καὶ καταπίνων τὰ ἀλλότρια. Γέγονε σκεῦος ἐμὸν, καὶ ἔχαιρον ἀπ' αὐτῶν, ὅτι οὕτως καλῶς τὰ ἐμὰ ἔργα ποιεῖ· καὶ συνήγαγεν πολλὰ χρήματα· καὶ ὅτε λοιπὸν κατέστησα αὐτὸν ἐργάτην δόκιμον ποιοῦντα τὰ θελήματά μου καλῶς ἐπὶ τὸ τελώνιον, πόθεν ἦλθεν ἐκεῖνος οὐκ οἶδα, καὶ παριὼν λέγει τῷ νεανίσκῳ, *Δεῦρο ὀπίσω μου*. Καὶ ἐκ τοῦ ῥήματος εὐθέως ὁ Ματθαῖος μετεκλήθη, καὶ ἀναστὰς ἀφῆκε τὸ τελώνιον, καὶ τὰ χρήματα, ἃ μετὰ πολλοῦ κόπου ἐποίησα αὐτὸν συνάγειν· καὶ οὔτε τοῖς γονεῦσιν συνετάξατο, ἀλλὰ μόνον ἤκουσεν τῆς φωνῆς αὐτοῦ, καὶ εὐθέως ἠκολούθησεν αὐτῷ, καὶ γέγονεν αὐτοῦ μαθητής. Καὶ τοῦτο λοιπὸν εἰδὼς ἐγὼ ἐλυπήθην δεινῶς, ὅτι τηλικοῦτον σκεῦος ἐξέκοψεν ἐξ ἐμοῦ. Πλὴν οὐκ ἐπαυσάμην φιλονεικῶν μετ' αὐτοῦ· ἐνόμισα γὰρ ὅτι τῆς ἡλικίας τοῦ νεανίσκου ἐρασθεὶς ἥρπασεν αὐτὸν ἀπ' ἐμοῦ.

Καὶ ἀναστὰς πάλιν ἐπορεύθην εἰς τὰ μέρη Ἱεριχώ· καὶ εὑρίσκων ἐκεῖ ἀνθρωπάριον μικρὸν πάνυ εὐτελὲς, ὄνομα αὐτοῦ Ζακχαῖος, καὶ εἰσελθὼν εἰς αὐτὸν, ἔστησα αὐτὸν ἐπὶ τελώνιον, καὶ αὐτὸς παρ-

A rantem, cœpi animas hominum operibus meis inficere. Nam inveniens juvenem nomine Matthæum, cor ejus amore divitiarum incendere, et telonium ei in bivio credere, non dubitavi. Qui juvenis libidini meæ adeo assentivit, ut omnes spoliaret, omnium raperet spes, cæderet et colaphizaret, et comederet et ebiberet aliena. Minister meus factus est, et gaudebam perficiente eo tam egregie opus meum. Multas hic opes sibi paraverat. Dum autem in telonio sederet, et optime cupiditati meæ inserviret, venit ille, nescio unde, et coram juvenem affatus: *Sequere me*, ait[5]. Ac Matthæus hoc verbo accersitus, confestim surrexit et telonium dimisit, unaque divitias quas, nutu meo, tanto labore comparare studuerat. Imo omissis parentum precibus, B hujus voci unice paruit, et secutus est eum, et inter discipulos receptus est. Quo cognito, vehementius dolui tanti ministri defectionem. Non cessavi tamen illi invidere, ratus illum ætatis gratia mihi hunc juvenem eripuisse.

Ergo illinc recedens me contuli in partes Jericho. Erat ibi homunculus vilissimus, cui nomen Zacchæus; in eum ingressus sum, et præfeci eum telonio, et hic solabatur dolorem de Matthæo con-

EDITIO ALTERA.

Ὅτε γὰρ [male omissum] ἴδον, ὅτι τὰς ἔξωθεν ἀσθενείας τὰς σωματικὰς[22] ἰᾶται, ἐγὼ εἰργαζόμην τὰς ψυχὰς τῶν ἀνθρώπων ἀφανίζειν διὰ τῶν ἐμῶν ἔργων. Εὑρὼν οὖν τινα νεανίσκον ὀνόματι Ματθαῖον, ἐνέβαλον εἰς τὴν καρδίαν αὐτοῦ ἐπιθυμίαν χρημάτων, καὶ παραλαβὼν ἔστησα[23] αὐτὸν τελώνην. Ὑπήκουσεν δέ μου ὁ νεανίσκος, ὥστε [non ὅτε] πάντα τὰ θελήματά μου ποιεῖν [non recte ἐποίησεν]· τοὺς πάντας γὰρ ἔτυπτεν, ἐσύλει, αἰχμαλώτευεν αὐτῶν τὰς ἐλπίδας, τύπτων πάντας, κολαφίζων, κατατρώγων τὰ ἀλλότρια· γέγονεν γὰρ σκεῦος ἐμόν[24]. Ἔχαιρον [non ἐχαιρόμην] οὖν ἐπ' αὐτὸν, ὅτι οὕτως καλῶς τὰ ἐμὰ ἔργα ἐποίει καὶ συνήγαγεν πάμπολλα χρήματα, καὶ ὅτε λοιπὸν κατέστησα αὐτὸν ἐργάτην δόκιμον ποιοῦντα τὰ θελήματά μου καλῶς ἐπὶ τὸ τελώνιον, οὐκ οἶδα πόθεν, ἦλθεν ἐκεῖνος καὶ παριὼν λέγει [non ἔλεγε] τῷ νεανίσκῳ· *Δεῦρο ὀπίσω μου*[25]· καὶ εὐθέως μετακληθεὶς καὶ ἀναστὰς ἀφῆκεν τὸ τελώνιον καὶ τὰ χρήματα, ἃ μετὰ πολλοῦ κόπου ἐποίησα αὐτὸν συναγαγεῖν [non συνάγειν], καὶ οὔτε τοῖς γονεῦσιν συνετάξατο, ἀλλὰ, μόνον ἀκούσας τῆς φωνῆς αὐτοῦ, εὐθέως ἠκολούθησεν αὐτῷ καὶ γέγονεν αὐτοῦ μαθητής. Εἶτα ἐλυπήθην δεινῶς, ὅτι τηλικοῦτο σκεῦος ἐξέκοψεν ἀπ' ἐμοῦ. Πλὴν οὐκ ἐπαυσάμην φιλονεικεῖν μετ' αὐτοῦ· ἀλλὰ, νομίσας[26] ὅτι τῆς ἡλικίας αὐτοῦ ἐρασθεὶς ἥρπασεν αὐτὸν ἀπ' ἐμοῦ, ἀναστὰς οὖν ἐγὼ ἐπορεύθην εἰς τὰ μέρη Ἱεριχώ· καὶ εὑρίσκω [non εὕρισκον] ἐκεῖ ἄνθρωπον μιαρὸν καὶ εὐτελῆ, ὀνόματι Ζακχαῖον [non Ζαχαῖον]· καὶ εἰσελθὼν εἰς αὐτὸν[27], ἔστησα αὐτὸν τελώνην, καὶ οὕτως παρεμυ-

EDITIO TERTIA.

Ὅτε ἴδον, ὅτι τὰς ἔξωθεν ἀσθενείας τοῦ σώματος θεραπεύει, ἠρξάμην τὰς ψυχὰς τῶν ἀνθρώπων ἀφανίζειν. Εὑρὼν γὰρ νεανίσκον ὀνόματι Ματθαῖον, ἔδωκα αὐτῷ ἐπιθυμίαν τοῦ πλουτῆσαι, καὶ κατέστησα αὐτὸν τελώνην. Καὶ πάντας ἠδίκει καὶ ἐπλεονέκτει. Ἐχαιρόμην δὲ ἐπ' αὐτὸν σφόδρα, ὅτι τὰ ἐμὰ ἔργα καλῶς ἐπετέλει καὶ συνήγαγε χρήματα πολλά. Καὶ ὅτε λοιπὸν κατέστησα αὐτὸν ἐργάτην δόκιμον καὶ ποιοῦντα τὰ θελήματά μου, οὐκ οἶδα πόθεν, ἐκεῖνος παριὼν λέγει τῷ νεανίσκῳ· *Δεῦρο ὀπίσω μου, Ματθαῖε*· καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ, ἀφεὶς τὰ χρήματα καὶ τὴν περιουσίαν, καὶ γέγονεν αὐτοῦ μαθητής. Νομίσας οὖν ἐγὼ, ὅτι τῆς ἡλικίας τοῦ νεανίσκου ἠράσθη καὶ ἥρπασεν αὐτὸν ἀπ' ἐμοῦ, [καὶ] ἀναστὰς ἐπορευόμην εἰς τὰ ὅρια τῆς Ἱεριχώ· καὶ εὑρίσκω ἀνθρωπάριον μικρὸν, πάνυ εὐτελὲς, ὀνόματι Ζακχαῖον. Καὶ εἰσελθὼν εἰς αὐτὸν κατέστησα αὐτὸν τελώνην· καὶ παρηγορίαν εἶχον μεγάλην εἰς αὐτὸν,

[5] Matth. IX, 9.

VARIÆ LECTIONES.

[22] In cod. τὰς σωματικάς, non τοῦ σώματος.
[23] Cum codex ἔστησα distincte habeat, ἐποίησα non erat fingendum.
[24] Totus locus, Τοὺς πάντας γὰρ ..... σκεῦος ἐμόν, negligenter omissus.
[25] In locis parallelis Matth. IX, 9, Marc. II, 14, et Luc. V, 27, constanter ἀκολούθει μοι. In aliis tamen, C δεῦτε ὀπίσω μου. Cf. Matth. IV, 19, Marc. I, 17.
[26] Omisso loco integro, Εἶτα ἐλυπήθην ......, μετ' αὐτοῦ, male junxerat scriba νομίσας οὖν, ita ut nullus adesse videret defectus.
[27] Ita correxi codicis lectionem ἐν αὐτῷ, quæ, licet defendi aliquatenus possit, tamen est contra usum N. T. loquendi.

ceptum. Nec ulla jam cura mihi erat, persuasum habenti talem mihi non raptum iri: erat enim deformis et pusillus. At venit ille nescio unde, et accessit comitante turba; Zachæus autem cum pusillus esset, nec conspicere posset quis accederet, ascendit in sycomorum. Quem ille suspiciens, statim: *Zacchæe*, inquit, *festinans descende*[6]. Atque hic gaudens, illum excepit, et continuo quemcunque defraudaverat, ipsi quadruplum reddidit, et dimidium bonorum suorum pauperibus dedit: sic ipsi factus est amicus, mihi vero infensus. Non jam erat quo confugerem; nam mei omnes illi adhærebant. Peccatorum animos obcæcavi, et callide eis dicebam: Pergite peccare, nec a voluptate, dum vita manet, abstineatis, nec bona hujusce mundi fastidiatis. Quæ et similia prædicans, suasi eis ut animas suas negligerent, et in malis voluptatibus implicarentur. At cœpit ille contraria docere: peccatores exhortatus est, præmisit pœnitentiam agentibus cœlorum regnum, remissionem peccatorum, pœnarum remissionem, et cunctis dicebat: *Venite, omnes qui laboratis et onerati estis, et ego reficiam vos*[7]. Ac omnes seduci, et illi adhærere. Propterea undique pulsus, pristinam amicitiam recordatus sum, et amicos meos Judæos adivi, quos olim ad adorandum vitulum deduxeram. Memini antiqui in me

A εμυθήσατό μου τὴν λύπην τὴν κατὰ τὸν Ματθαῖον. Καὶ λοιπὸν ἀμέριμνος γέγονα, νομίζων ὅτι κἂν τοῦτο οὐκ ἔχει ἁρπάσαι μοι, ὅτι πάνυ ἀειδὴς ὑπάρχει καὶ μικρός. Πόθεν οὐκ οἶδα ἦλθεν ἐκεῖ, καὶ παρῆν μετὰ ὄχλου· ὁ δὲ Ζακχαῖος μικρὸς ὤν, καὶ μὴ δυνάμενος ἰδεῖν τίς ἦν ὁ παριών, ἀνέβη ἐπὶ συκομωραίαν, καὶ εὐθέως ἐκεῖνος ἀναβλέψας, καὶ ἰδὼν αὐτὸν λέγει· *Ζακχαῖε, σπεύσας κατάβηθι·* καὶ ὑπεδέξατο αὐτὸν χαίρων, καὶ ἐξελθὼν εὐθέως παρέδωκεν ἑκάστῳ παρ' ὧν ἐσυκοφάντησε τετραπλοῦν, καὶ ἐκ τῶν ἰδίων τὸ ἥμισυ τοῖς πτωχοῖς διέδωκε. Γέγονε αὐτοῦ φίλος, ἐμοῦ δὲ ἐχθρός. Οὐχ εὑρίσκων λοιπὸν ποῦ πορευθῶ (πάντες γὰρ οἱ ἐμοὶ ἐκείνῳ προσέτρεχον), ἐγὼ τοὺς ἁμαρτάνοντας εἰς ἀπόγνωσιν φέρων ἔλεγον, καὶ ὑποτιθέμενος αὐτοῖς· Φθάσατε ἁμαρτῆσαι, καὶ ἕως
B τέλος τῆς ἡδονῆς μὴ ἀφίστασθε, καὶ τῶν ἐνταῦθα ἀγαθῶν μὴ ὑστερεῖσθε. Ταῦτα λέγων καὶ τὰ τούτοις ὅμοια, ἔπειθον καταφρονεῖν τῶν ἰδίων ψυχῶν καὶ ἐν ταῖς ἡδοναῖς τῶν κακῶν ἐγκυλίεσθαι· καὶ ἤρχετο ἐκεῖνος καὶ τὰ ἐναντία ἔλεγεν· τοὺς ἁμαρτάνοντας παρεμυθεῖτο, ἐπηγγείλατο αὐτοῖς μετανοοῦσι βασιλείαν τῶν οὐρανῶν, ἄφεσιν ἁμαρτιῶν, συγχώρησιν ὀφλημάτων, καὶ ἔλεγε τοῖς πᾶσιν· *Δεῦτε, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς*. Καὶ πάντας πρὸς ἑαυτὸν εἵλκυσεν, οἱ πάντες ἐκείνῳ προσέτρεχον. Ὅτε λοιπὸν οὐχ εὗρον τόπον ποῦ

EDITIO ALTERA.

θησάμην τὴν[28] τηλικαύτην λύπην τὴν κατὰ τὸν Ματθαῖον· καὶ ἀμέριμνος λοιπὸν [male λύπης] ἐγενόμην, νομίζων [non νομίσας], ὅτι κἂν τούτου [male τοῦτον] τῆς ἡλικίας οὐκ ἔχει ἐρασθῆναι, ὅτι ἦν πάνυ μικρός. Ἐκεῖνος δὲ, πῶς, οὐκ οἶδα, ἦλθεν ἐκεῖ, καὶ παρῆει μετὰ ὄχλου πολλοῦ[29]. Ὁ δὲ Ζακχαῖος μὴ δυνάμενος ἰδεῖν, τίς ἐστιν [ὁ]παριών, ἀνέβη ἐπὶ συκομωρέαν. Καὶ εὐθέως ἐκεῖνος ἀναβλέψας καὶ ἰδὼν αὐτὸν λέγει· ***Ζακχαῖε, σπεύσας κατάβηθι· σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι. Καὶ εὐθέως*** [σπεύσας] ***κατέβη καὶ ὑπεδέξατο αὐτὸν χαίρων*** (Luc. XIX, 5. 6). Καὶ ἐξελθὼν εὐθέως ἀπέδωκεν ἑκάστῳ παρ' οἷς[30] ἐσυκοφάντησεν τετραπλοῦν, καὶ τὸ [τὰ] ἥμισυ τοῖς πένησι διέδωκεν, καὶ γέγονεν αὐτοῦ φίλος καὶ ἐμὸς [ἐμοῦ] ἐχθρός. Οὐκ εὕρισκα [non εὑρίσκω] οὖν ποῦ πορευθῶ· πάντες γὰρ οἱ ἐμοὶ εἰς ἐκεῖνον προσέτρεχον. Ἐγὼ τοὺς ἁμαρτάνοντας [non ἁμαρτόντα] εἰς ἀπόγνωσιν ἔφερον, λέγων καὶ ὑποτιθέμενος αὐτοῖς ἔλεγον· Ἐφθάσατε ἁμαρτῆσαι κἂν τῆς ἐντεῦθεν τρυφῆς ἕως τέλους· ἀπολαύσατε, εἰ [cod. ἢ] ὅλως τῶν ἐκεῖ ἀγαθῶν ξένοι γεγόνατε ἁμαρτήσαντες κἂν ἕως τέλους τῆς ἡδονῆς μὴ ἀνθίστασθε. Ταῦτα λέγων καὶ τὰ τούτοις ὅμοια ἔπειθα, καταφρονεῖν[31] τῶν ἰδίων ψυχῶν καὶ ἐν ταῖς ἡδοναῖς τῶν κακῶν ἐγκυλίεσθαι. Ἤρχετο ἐκεῖνος καὶ τὰ [non κατὰ] ἐναντία ἔλεγεν, παρεκάλει τοὺς ἁμαρτάνοντας [male ἁμαρτόντας], παρεμυθεῖτο τοὺς ὀλιγοψύχους, ἐπήγγειλε αὐτοῖς μετάνοιαν καὶ διὰ τῆς μετανοίας βασιλείαν οὐρανῶν ὑπισχόμενος, καὶ ἔλεγε[32] πᾶσιν τοῖς ἁμαρτωλοῖς· *Δεῦτε, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς* (**Matth. XI, 28**). Πάντας πρὸς ἑαυτὸν εἵλκυσεν, οἱ πάντες αὐτῷ προσέτρεχον.

Ὅτε λοιπὸν οὐχ εὗρον [non εὑρὼν] τόπον ποῦ ἀπελθεῖν [ἀπῆλθον], καὶ ἐγενόμην ἐκτὸς πάντη[33], ἐμ-

EDITIO TERTIA.

διὰ τὴν λύπην [τοῦ] Ματθαίου. Καὶ ἀμέριμνος ἐγενόμην, νομίσας οὖν ἐγὼ, ὅτι κἂν τοῦτον οὐκ ἔχει ἁρπάσαι μοι· ὅτι πάνυ ἀειδὴς ὑπάρχει καὶ μικρός. Πάλιν, οὐκ οἶδα πῶς, ἦλθεν ἐκεῖ [male ἐκεῖνος], καὶ παριὼν μετὰ ὄχλου πολλοῦ, ὁ Ζακχαῖος μικρὸς ὢν καὶ μὴ δυνάμενος ἰδεῖν αὐτὸν, τίς ἐστιν ὁ Ἰησοῦς, ἀνέβη ἐπὶ συκομωρέαν. Εὐθέως οὖν ἐκεῖνος ἀναβλέψας καὶ ἰδὼν αὐτὸν, λέγει αὐτῷ· ***Ζακχαῖε, σπεύσας κατάβηθι· σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι. Εὐθέως οὖν κατέβη καὶ ὑπεδέξατο αὐτὸν χαίρων.*** (Luc. XIX, 5, 6.) Καὶ εὐθέως ἐξελθὼν παρέδωκεν ἑκάστῳ παρ' ὃ ἐσυκοφάντησέ τινι [τετραπλοῦν· καὶ γέγονεν αὐτοῦ φίλος, ἐμοῦ δὲ ἐχθρός. Καὶ οὐχ εὑρίσκω τόπον, ποῦ πορευθῶ. Πάντες γὰρ οἱ ἐμοῦ ἐκείνῳ προστρέχουσι. Ἐγὼ τοὺς ἁμαρτάνοντας εἰς ἐπίγνωσιν ἔφερον, λέγων καὶ ὑποτασσόμενος αὐτοῖς· Ἐφ' ὅσον ἐφθάσατε ἁμαρτάνειν ἕως τέλους τῆς ἡδονῆς μὴ ἀφίστασθε· καὶ ἔπειθον καταφρονεῖν τῶν ἰδίων ψυχῶν, καὶ ἐν ταῖς ἡδοναῖς ἐγκυλίεσθαι [cod. ἐσκυλίεσθαι]. Καὶ ἤρχετο ἐκεῖνος καὶ παρεκάλει τοὺς ἁμαρτάνοντας παραμυθούμενος καὶ ἐπαγγειλάμενος μετάνοιαν. Καὶ ὅτε λοιπὸν οὐχ εὕρισκον τόπον, ποῦ ἀπέλθω, ἐνεθυ-

[6] Luc. XIX, 5. [7] Matth. XI, 28.

VARIÆ LECTIONES.

[28] In edit. pr., post παρεμυθησάμην ad κατὰ τ. Μ., erat lacuna quæ nunc fide codicis restituitur.

[29] Melius nunc locus restitutus, male antea exhibitus: Ἐκεῖνος δὲ, πάλιν οὐκ οἶδα πῶς, ἦλθεν ἐκεῖνος παριὼν μετὰ ὄ. π.

[30] Codicis scriptio παρ' ἧς vel, παρ' οἷς, vel παρὰ τίνων (ex Lucæ, capite XIX, versu 8) fieri debet.

[31] Totus locus a verbis, Ἀπόγνωσιν ἔφερον usque ad ἔπειθα καταφρονεῖν, prætermissus.

[32] Quæ post μετάνοιαν usque ad καὶ ἔλεγε nunc leguntur, codicis fide sunt restituta.

[33] Codex habet, quæ omissa erant, καὶ ἐγενόμην ἐκτὸς πάντη, et verba sequentia rectius, quam le-

ἀπελθεῖν, τότε λοιπὸν ἐμνήσθην τῆς ἀρχαίας μου A φιλίας, καὶ ἀναστὰς ἐπορεύθην πρὸς τοὺς φίλους μου τοὺς Ἰουδαίους, οὓς ἐξ ἀρχῆς μόσχον λατρεύειν ἐδίδαξα. Ἐμνήσθην τῆς διαθέσεως αὐτῶν τῆς πρὸς ἐμέ· καὶ πορευθεὶς πρὸς αὐτούς, παρώξυνα αὐτοὺς καὶ τοὺς πρεσβυτέρους αὐτῶν κατ' αὐτοῦ, καὶ πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων ὥπλισα κατ' αὐτοῦ. Σὺ μὴ δειλιάσης ὅλως, μόνον ἑτοίμασον τόπον ἀσφαλῆ ποῦ κατακλείσωμεν αὐτόν.

Ἀποκριθεὶς δὲ ὁ Ἅδης λέγει τῷ Διαβόλῳ· Ἐγὼ οὐκ ἤκουσά σου τὰ κακὰ ῥήματα, ἅπερ διηγήσω μοι περὶ αὐτοῦ· ἀπόστα ἀπ' αὐτοῦ, μὴ σπουδάσης αὐτὸν ἀγαγεῖν ἐνταῦθα, οὐ δύναμαι ὑποδέξασθαι αὐτόν. Τί κοινὸν ἔχεις μετ' ἐκείνου; τί κοινωνήσει χύτρα πρὸς λέβητα; αὕτη συγκρούσει καὶ συντριβήσεται. Τοσαῦτα κακά σοι ἐποίησεν, τοσαῦτά σοι σκεύη ἥρπασεν, ὡς λέγεις, τελώνας, πόρνας, πλεονέκτας, καὶ οὐκ ἐτόλμησας εἰς πρόσωπον αὐτοῦ B στῆναι, οὔτε ῥῆμα εἰπεῖν, καὶ νῦν ἀγαγεῖς αὐτὸν ὧδε, ἵνα καὶ τὰς ἐμὰς ἐλπίδας λάβῃ, καὶ ἀνέλπιστόν με ποιήσῃ ὅμοιόν σου; Ἐκεῖνος εἰ μὴ ἦν Υἱὸς τοῦ Θεοῦ, οὐκ ἐποίει ταῦτα θαύματα· εἶτα εἰ ἄνθρωπος ἦν μόνον, ἠδύνατο τὰ σωματικὰ πάθη θεραπεῦσαι, μὴ καὶ τὰς καρδίας τῶν τελωνῶν καὶ ἁμαρτωλῶν μεταβαλεῖν εἰς μετάνοιαν καὶ ἐπιστροφήν. Σὺ ἐμοὶ εἶπας ὅτι ἐνὶ ῥήματι τὸν τελώνην μετεποίησεν

Judæorum sensus, intendi in eos, eosque una cum presbyteris in illum excitavi. Noli autem pavere, locum para idoneum, includemus illum.

Respondens autem Orcus dixit diabolo: Non probo malos sermones quos de illo fecisti. Noli illum tangere, ne festines illum huc adducere, non possum illum excipere. Quid tibi cum illo? Quid fictili cum lebete? Confringet et conteret te. Tantis te malis affecit, tantos tibi eripuit ministros, ut fateris, publicanos, meretrices, avaros, nec ausus es ei coram resistere, nec verbum proferre, et nunc adduces eum huc, ut meas quoque spes evertat, et me pariter omnibus despoliet? Nisi fuisset ille Dei Filius, non tanta fecisset miracula. Si nil præter hominem, non potuisset sanare corporum infirmitates, multo minus corda publicanorum et peccatorum ad pœnitentiam et conversionem perducere. Confiteris illum uno verbo publicanum a telonio divitiisque avertisse, sibique effecisse discipulum; tu in conspectu ejus non ausus

EDITIO ALTERA.

νήσθην τῆς ἀρχαίας μου φιλίας, καὶ ἀναστὰς ἐπορεύθην πρὸς τοὺς φίλους μου τοὺς Ἰουδαίους, οὓς ἐξ ἀρχῆς μοσχολατρεῖν ἐδίδαξα. Ἐμνήσθην τῆς ὑπακοῆς αὐτῶν, πῶς ἐνὶ ῥήματι ὑπήκουσάν μοι, καὶ χωνεύσαντες τὰ ἐνώτια καὶ τοὺς δακτυλίους [cod. habet δακτύλους] τῶν γυναικῶν αὐτῶν ἐποίησαν μόσχον χωνευτόν· καὶ ἐγκαταλιπόντες τὸν Θεὸν προσεκύνησαν τῷ μόσχῳ λέγοντες· *Οὗτοι οἱ θεοί σου, Ἰσραήλ, οἱ ἀναγαγόντες σε ἐκ γῆς Αἰγύπτου* (Exod. XXXII, 4). Ἐμνήσθην ἧς πρὸς ἐμὲ εἶχον διαθέσεως, καὶ ἐπορεύθην πρὸς αὐτούς [34], καὶ παρώξυνα τοὺς πρεσβυτέρους αὐτῶν κατ' αὐτοῦ [non κατὰ αὐτὸν], καὶ πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων ὥπλισα κατ' αὐτοῦ [male κατ' αὐτόν]. Ἕτοιμοι δὲ γεγόνασι τοῦ ἀποκτεῖναι αὐτόν, οὐκ ἀντεῖπάν μοι ῥῆμα, ἀλλὰ μόνον ἐγὼ ἐλάλησα, καὶ εὐθέως ἐκεῖνοι ἀναζητήσαντες τέκτονα, τὸν σταυρὸν ἐτεκτόνευσαν· ἕτοιμοι γεγόνασιν τοῦ ἀποκτεῖναι αὐτόν [35]. Σὺ δὲ μηδὲν δειλιάσης [non δειλάσεις] αὐτόν· μόνον [cod. μόνος] ἕτοιμος γενοῦ πρὸς ὑποδοχήν, ἄνανδρος μὴ φανῇς, ἰσχυρὰς ποίησον τὰς πύλας τῆς εἰσόδου· θέλεις γὰρ νικητὴς καὶ νῦν ὀφθῆναι· ἑτοίμασόν μοι τόπον ἀσφαλῆ, ὅπου κατακλείσωμεν αὐτόν [36].

Ἀποκριθεὶς δὲ ὁ Ἅδης λέγει πρὸς τὸν Διάβολον· Ἐγὼ ἤκουσά σου καλὰ ῥήματα, ἅπερ διηγήσω [διηγήσεις] μοι περὶ ἐκείνου· ἐγὼ δὲ συμβουλεύω σοι, ἀπόστα [ἀποστατεῖν] ἀπ' αὐτοῦ. Οὐδέν σοι πρὸς ἐκεῖνον φιλονεικεῖν, μὴ σπουδάσῃς αὐτὸν ἀγαγεῖν [ἐνεγκεῖν] ἐνταῦθα. Οὐδὲν κοινὸν ἔχεις μετ' ἐκείνου· τί κοινωνήσει χύτρα πρὸς λέβητα; αὕτη συγκρούσει καὶ αὐτὴ συντριβήσεται. Τοσαῦτά σου σκεύη ἥρπασεν, ὡς σὺ [cod. ὁ σὺ] λέγεις, τελώνας, πόρνας, πλεονέκτας, καὶ οὐκ ἐτόλμησας εἰς πρόσωπον αὐτοῦ στῆναι, οὔτε ῥῆμα εἰπεῖν· καὶ νῦν ἄγεις [ἀγάγεις] αὐτὸν ὧδε, ἵνα καὶ τὰς ἐμὰς ἐλπίδας λάβῃ καὶ ἀνέλπιστόν με ποιήσῃ; Εἰ μὴ ἐκεῖνος ἦν Υἱὸς τοῦ Θεοῦ, οὐκ ἂν ἐποίει τοιαῦτα σημεῖα [37]. Εἶτα εἰ ἄνθρωπος ἦν, μόνον ἠδύνατο τὰ σωματικὰ πάθη θεραπεύειν, μὴ καὶ τὰς καρδίας τῶν τελωνιῶν μεταβάλλειν [38] πρὸς μετάνοιαν καὶ ἐπιστροφὴν κακῶν. Σύ μοι [cod. μὴ, non μὲν habet] εἶπας, ὅτι ἐνὶ ῥήματι μόνον τὸν τελώνην μετεποίησεν κατα-

EDITIO TERTIA.

μήθην τῶν ἀρχαίων μου φίλων τῶν Ἰουδαίων· καὶ πορευθεὶς πρὸς αὐτοὺς παρώξυνα αὐτοὺς πρεσβυτέρους, καὶ ὅλον τὸ πλῆθος τῶν Ἰουδαίων παρώργισα κατ' αὐτοῦ [κατ' αὐτόν]. Σὺ, ὦ φίλε μου ᾅδη, μὴ δειλιάσῃς [δειλιάσῃ], ἀλλ' εὐτρέπισον τόπον ἀσφαλῆ, ὅπως αὐτὸν κατακλείσωμεν.

Ἀποκριθεὶς δὲ ὁ Ἅδης λέγει αὐτῷ· Ἐγὼ οὐκ ἤκουσά σου ῥήματα κακὰ ἅπερ διηγήσω [διηγήσεις] μοι περὶ ἐκείνου. Ἀπόστα ἀπ' αὐτοῦ μετὰ σπουδῆς· μὴ εἰσενέγκῃς [εἰσενέγκεις] αὐτὸν ἐνταῦθα. Οὐδὲν κοινὸν ἔχεις μετ' ἐκείνου· τί χύτρα πρὸς λέβητα; αὕτη συγκρούσει καὶ συντριβήσεται. [38*] Τοσαῦτά σοι κακὰ ἐποίησεν, τοσαῦτά σοι σκεύη ἥρπασεν, ὡς λέγεις, τελώνας, πόρνους, πλεονέκτας, καὶ οὐκ ἐτόλμησας αὐτοῦ εἰς πρόσωπον στῆναι, οὔτε ῥῆμα αὐτῷ [cod. αὐτοῦ] εἰπεῖν. Καὶ νῦν ὧδέ μοι αὐτὸν βούλεσαι ἀγαγεῖν, ἵνα καὶ τὰς ἐμὰς ἐλπίδας λάβῃ καὶ ἀνέλπιστον ποιήσῃ [ποιήσει], ὡς σέ; Ἐκεῖνος εἰ μὴ ἦν Υἱὸς τοῦ Θεοῦ, τοιαῦτα οὐκ ἐποίει. Εἰ δὲ ἦν ἄνθρωπος μόνον, ἐθεράπευεν σώματα μόνον, οὐχὶ ψυχὰς τελωνῶν καὶ ἁμαρτωλῶν μεταβάλλων [μεταβάλλειν] εἰς μετάνοιαν. Σὺ μὲν εἶπας, ὅτι ἥρπασέ σου τὸν τελώνην, καὶ οὐκ ἐτόλμησας

VARIÆ LECTIONES.

cta erant: τοὺς ἀρχαίους μου φίλους, τοὺς Ἰουδαίους, καὶ ἐπορεύθην, etc. C

[34] Omnis hæc narratio ab ἐπορεύθην πρὸς τοὺς φίλους usque ad καὶ παρώξυνα mala fide omissa.

[35] Verba, οὐκ ἀντεῖπάν μοι..... ἀποκτεῖναι αὐτόν, fide codicis restituta.

[36] Idem valet de commate a verbis, μόνον ἕτοιμος..... κατακλείσωμεν αὐτόν.

[37] Male σημεῖα neglecta.

[38] Codex habet μεταθάλειν, quod μεταλλάττειν esse posset.

[38*] Comma, τί χύτρα π. λ. α. σ. κ. συντριβήσεται, e codice restitutum.

es stare, et me hortaris ut illum includam? Non A me fugit quid de eo prophetæ dixerint, quo studio eum captivi mei exspectent; non me fugit quid veniens de eodem prædicaverit Joannes; hunc ego suscipere vereor.

Diabolus autem: Mentiuntur illi omnes ut te terreant. — At non sunt mentiti quod de te nuntiaverunt, respondit Orcus; in te enim perfecit Jesus quæ prædixerunt prophetæ. Rem ipse confiteris, præsto sunt verba eorum, et tu eos de me mentiri asseris? — Cui diabolus: Tibi summa virtus, et insatiabilis venter quem nemo implere poterit, et tu dubitas hominem excipere unum? — B Orcus vero: Ne plura garrias. Omnes a te deficientes, illi adhærent. Absque ullo dubio tu me deserere, illique nomen dare cogitas. — Respondit diabolus: Totum mundum exhausisti, nec dixisti: Jam sat mihi. Abraham, Isaac, Jacob, prophetas omnes excepisti forti animo; nunc autem unus homo, inimicus meus, tanto te afficit metu, ut eum admittere nolis? Certum habeo hominem illum esse, morte territum; nam dum sentit nunc mortis sibi adesse horam, trepidus et contristatus ait: *Tristis est anima mea usque ad mortem.*

A Εὐσεβίου, τοῦ ἐπισκόπου, προσελθὼν ὁ Ἀλέξανδρος λέγει αὐτῷ· Δέομαί σου, κύριέ μου, τίνος ἕνεκεν ἡμῖν ἐστιν ἀναγκαῖον φυλάττειν τὴν Κυριακὴν, καὶ μὴ ἐργάζεσθαι, καὶ ποῖον κέρδος ἔχομεν μὴ ἐργαζόμενοι; Ὁ δὲ μακάριος ἤρξατο λέγειν· Ἄκουσον, τέκνον, καὶ ἐρῶ σοι, τίνος χάριν παραδέδοται τὸ φυλάσσειν ἡμᾶς τὴν Κυριακὴν, καὶ μὴ ἐργάζεσθαι. Ὅτε παρέδωκεν ὁ Κύριος τὸ μυστήριον τοῖς μαθηταῖς, λαβὼν τὸν ἄρτον, εὐλόγησεν, καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ, λέγων· *Λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον, εἰς ἄφεσιν ἁμαρτιῶν. Ὁμοίως καὶ τὸ ποτήριον δέδωκεν αὐτοῖς λέγων· Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον,*
B *εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν*, φησί. Ἀνάμνησις τοίνυν τοῦ Κυρίου ἐστὶν ἡ τῆς Κυριακῆς ἁγία ἡμέρα. Διὰ γὰρ τοῦτο καὶ Κυριακὴ ἐκλήθη, ὡς κυρία τῶν ἡμερῶν. Πρὸ γὰρ τοῦ Δεσποτικοῦ πάθους, οὐκ ἐλέγετο Κυριακὴ, ἀλλὰ πρώτη ἡμέρα. Ἐν ταύτῃ τῇ ἡμέρᾳ τὴν ἀπαρχὴν τῆς ἀναστάσεως, ἤγουν τῆς κοσμοποιίας, ἤρξατο ὁ Κύριος· καὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ τὴν ἀπαρχὴν τῆς ἀναστάσεως ἐδωρήσατο τῷ κόσμῳ· ἐν ταύτῃ τῇ ἡμέρᾳ, ὡς ἔφημεν, καὶ τῶν ἁγίων μυστηρίων ἐκέλευσεν ἐπιτελεῖσθαι. Ἀρχὴ οὖν πάσης ἀγαθοσύνης γέγονεν ἡμῖν ἡ τοιαύτη ἡμέρα, ἀρχὴ κτίσεως κόσμου, ἀρχὴ ἀναστάσεως, ἀρχὴ ἑβδομάδος. Τρεῖς ἀρχὰς ἔχουσα ἡ ἡμέρα αὐτη, Τριάδος τῆς ὑπεραγίας τὴν ἀρχὴν ὑποφαίνει.

II. Cum igitur septem dies hebdomas habeat, eorum sex Deus nobis dedit ad labores, unum vero nobis dedit ad preces et requiem, et expiationem malorum, ut, si sex diebus peccata commiserimus, super his, die Dominico, Deo reconciliemur. Mane igitur in ecclesia Dei compare, accede ad Dominum, confitere ipsi peccata tua, pœnitentiam age precibus et corde contrito, permane in divina et sacra liturgia, absolve preces tuas, et nequaquam ante dimissam concionem egredere : contemplare Dominum tuum in partes distributum et traditum, neque tamen consumptum. Quod si puræ mentis tibi conscius sis, accede ad communionem corporis et sanguinis Domini. Sin conscientia te condemnet, ut male et inconsulte factorum reum, communionem quidem deprecare, donec illam sanaris pœnitentia, precibus vero assiste, neque egredere ecclesia, nisi dimissus. Memento Judæ proditoris. Interitus enim illius principium erat, quod non cum cæteris omnibus in oratione perstiterat ad preces. Cum accepisset panem, inquit Joannes, primus omnium egressus est, et continuo in illum ingressus est Satanas, et properavit ad prodendum Dominum [3]. Si ergo ante missam egrederis, Judam imitaris. Num vero propter brevem horæ moram cum Juda vis condemnari? Nihil tibi nocet illa permansio; nec nives intus habet ecclesia, nec ignem, nec aliud incommodum; sed exigui tantum mo-

C Β'. Ἑπτὰ τοίνυν ἡμέρας ἡ ἑβδομὰς ἔχουσα, τὰς ἓξ δέδωκεν ἡμῖν ὁ Θεὸς, ἐργάζεσθαι, καὶ τὴν μίαν δέδωκεν ἡμῖν, εἰς εὐχὴν καὶ ἀνάπαυσιν, καὶ λύσιν κακῶν, καὶ ἵνα, εἴτε ἐν ταῖς ἓξ ἡμέραις ἁμαρτήματα πεποιήκαμεν, ὑπὲρ τούτων ἐν τῇ τῆς Κυριακῆς ἡμέρᾳ τῷ Θεῷ ἐξιλασκώμεθα. Ὄρθρισον οὖν ἐν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ, πρόσελθε τῷ Δεσπότῃ, ἐξομολόγησαι αὐτῷ τὰ ἁμαρτήματά σου, μετανόησον ἐν εὐχῇ καὶ καρδίᾳ συντετριμμένῃ, παράμεινον ἐν τῇ θείᾳ καὶ ἱερᾷ λειτουργίᾳ, πλήρωσόν σου τὴν εὐχὴν, μηδαμῶς πρὸ τῆς ἀπολύσεως ἐξερχόμενος. Ἴδε σου τὸν Δεσπότην μελιζόμενον, καὶ διαδιδόμενον, καὶ μὴ δαπανώμενον, καὶ εἰ μὲν ἔχεις καθαρόν σου τὸ συνειδὸς, πρόσελθε, καὶ κοινώνησον τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου. Εἰ δὲ κατακρίνει σε τὸ
D συνειδὸς, ἐν πονηροῖς καὶ ἀτόποις ἔργοις, τὴν μὲν κοινωνίαν παραίτησαι, μέχρις ἂν διορθώσῃ ἑαυτὴν διὰ μετανοίας, τὴν δὲ εὐχὴν παράμεινον, καὶ μὴ ἐξέλθῃς τῆς ἐκκλησίας, ἐὰν μὴ ἀπολυθῇς. Μνήσθητι Ἰούδα τοῦ προδότου. Ἐκείνου γὰρ ἀρχὴ τῆς ἀπωλείας, τὸ μὴ παραμεῖναι μετὰ πάντων ἐν τῇ εὐχῇ γέγονε. Λαβὼν δὲ, φησὶν, τὸν ἄρτον, πρῶτος πάντων ἐξῆλθεν, καὶ εὐθέως εἰσῆλθεν εἰς αὐτὸν ὁ Σατανᾶς, καὶ ἐσπούδασεν εἰς τὸ προδοῦναι τὸν Κύριον. Ἐὰν οὖν πρὸ τῆς ἀπολύσεως ἐξέλθῃς, μιμητὴς γέγονας τοῦ Ἰούδα. Μὴ τοίνυν διὰ βραχεῖαν ὥραν μέλλεις μετὰ τοῦ Ἰούδα κατακρίνεσθαι; Οὐδέν σε βλάπτει ἡ παραμονή· οὐ χιόνας ἔχει ἡ ἐκκλησία ἔνδον, οὐ

[1] *Matth.* XXVI, 26. [2] Luc. XXII, 20. [3] Joan. XIII, 27-30.

πῦρ, οὐχ ἕτερον κολαστήριον οὐδὲν, ἀλλ' ἢ μόνον ὑπομονῆς ἐστι χρεία ῥοπῆς μιᾶς, καὶ ἀπήρτισταί σου ἡ εὐχή.

Γ'. Δι' οὐδὲν δ' ἕτερον φυλάττομεν τὴν ἡμέραν τῆς Κυριακῆς, ἀλλ' ἵνα τοῦ ἔργου ἀπεχώμεθα, καὶ τῇ εὐχῇ σχολάσωμεν. Εἰ δὲ τοῦ ἔργου ἀπέχεις, εἰς τὴν ἐκκλησίαν δὲ οὐκ εἰσέρχῃ, οὐδὲν ἐκέρδανας. Τοὐναντίον μὲν οὖν οὐ μικρῶς ἑαυτὸν κατέβλαψας. Πολλοὶ δὲ ἐκδέχονται τὴν Κυριακὴν, ἀλλ' οὐχ ἑνὶ σκοπῷ πάντες. Οἱ δὲ φοβούμενοι τὸν Θεὸν ἐκδέχονται τὴν Κυριακὴν, ἵνα τὴν εὐχὴν τῷ Θεῷ ἀναπέμψωσι, καὶ τοῦ τιμίου σώματος καὶ αἵματος ἀπολαύσωσιν· οἱ δὲ ῥάθυμοι καὶ ἀμελεῖς ἐκδέχονται τὴν Κυριακὴν, ἵνα τοῦ ἔργου ἀπεχόμενοι, τοῖς κακοῖς σχολάσωσι. Καὶ ὅτι οὐ ψεύδομαι, μαρτυρεῖ τὰ πράγματα. Ἔξελθε ἐν τῇ μέσῃ ἐν ἄλλῃ ἡμέρᾳ, καὶ οὐδὲν εὑρήσεις. Ἔξελθε ἐν τῇ ἡμέρᾳ τῆς Κυριακῆς, καὶ εὑρήσεις τοὺς μὲν κιθαρίζοντας, ἄλλους ἐπικροτοῦντας καὶ ὀρχουμένους, ἄλλους καθεζομένους, καὶ σκώπτοντας τὸν πλησίον, καὶ λοιδοροῦντας, ἄλλους παλαίοντας, ἑτέρους διαπληκτιζομένους πρὸς ἀλλήλους, ἄλλους ἐπὶ κακῷ διανεύοντας, καὶ εἴπου κιθάρα καὶ ὄρχησις, ἐκεῖ πάντες τρέχουσι. Καλεῖ εἰς τὴν ἐκκλησίαν ὁ κήρυξ, καὶ πάντες ὄκνον προβάλλονται καὶ ἀδυναμίαν. Γέγονε κιθάρας ἦχος, ἢ αὐλοῦ, ἢ κρότος ὀρχήσεως, καὶ πάντες, ὡς ὑπόπτεροι, ἐκεῖ προφθάνουσι. Τί θεωροῦσιν οἱ ἐρχόμενοι εἰς τὴν ἐκκλησίαν; Ἐγώ σοι λέγω, τὸν Δεσπότην Χριστὸν ἐπὶ τῆς ἱερᾶς τραπέζης ἀνακείμενον, τῶν Σεραφὶμ τὸν Τρισάγιον ὕμνον ᾀδόμενον, Πνεύματος ἁγίου παρουσίαν καὶ ἐπιφοίτησιν, τὸν προφήτην καὶ βασιλέα Δαβὶδ κελαδούμενον, τὸν εὐλογημένον ἀπόστολον Παῦλον τὴν οἰκείαν ἐνηχοῦντα διδασκαλίαν ταῖς τῶν ἁπάντων ἀκοαῖς, τὸν τῶν ἀγγέλων ὕμνον, τὸ ἀκατάπαυστον ἀλληλούϊα, εὐαγγελικὰς φωνὰς, Δεσποτικὰ παραγγέλματα, τὴν τῶν ὁσίων ἐπισκόπων καὶ πρεσβυτέρων νουθεσίαν τε καὶ παραίνεσιν, ὅλα πνευματικὰ, ὅλα οὐράνια, ὅλα σωτηρίας καὶ βασιλείας πρόξενα. Ταῦτα ἀκούει, ταῦτα ὁρᾷ, ὁ εἰς τὴν ἐκκλησίαν ἐρχόμενος. Τί θεωροῦσιν οἱ εἰς τὰ θέατρα τρέχοντες; γυναῖκας πορνευομένας, ᾄσματα διαβολικὰ, φωνὰς αἰσχρότητος πλήρεις καὶ ἀταξίας, γυναῖκας ὀρχουμένας, μᾶλλον δὲ δαιμονιζομένας. Τί γὰρ καὶ ποιεῖ ἡ ὀρχουμένη; οὐδὲν ἕτερον, ἀλλ' ἢ αὐθαιρέτως δαιμονίζεται. Ὁμοίως δὲ καὶ ὁ κιθαρῳδὸς, ὥσπερ τις δαίμων, τῷ ξύλῳ προσμάχεται. Ταῦτα τὰ θεάματα τῶν θεάτρων, ὅλα δαιμονικὰ, ὅλα ἀπωλείας πρόξενα, ὅλα δαιμονίων ἐπιτηδεύματα. Διὰ τοῦτο καὶ ὁ μισθὸς αὐτῶν πονηρός. Τοιοῦτον ἦν τὸ συμπόσιον τοῦ Ἡρώδου, καὶ εἰσελθοῦσα ἡ Ἡρωδιὰς, ὠρχήσατο, καὶ τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ ἀπέτεμε, καὶ τὰ καταχθόνια τοῦ ᾅδου ἐκληρονόμησεν. Οἱ οὖν τὴν ἐκείνης ἀγαπῶντες κακότεχνον ὄρχησιν, μετ' αὐτῆς ἔχουσι τὴν μερίδα, καὶ τὴν κατάκρισιν.

Δ'. Ἀρκέσθητι οὖν, ἀγαπητὲ, ἐν ταῖς ἓξ ἡμέραις εἰς τὰ βιωτικὰ πράγματα ἀσχολούμενος, καὶ παῦσαι κακοπραγίας ἐν τῇ ἡμέρᾳ τῆς Κυριακῆς. Οἶδα πολλοὺς, πρὸς ἀλλήλους πράγματα ἔχοντας, καὶ φιλονεικοῦντας, λέγοντας· Ἔρχεται ἡ Κυριακὴ, καὶ τὴν

A menti patientia opus est, ut preces tuæ absolvantur.

III. Nullam aliam ob causam observamus diem Dominicam, quam ut laborem intermittamus, et orationi vacemus. Si vero, intermisso labore, ecclesiam non adeas, nihil lucratus es, imo potius tibi ipsi non parum nocuisti. Multi exspectant diem Dominicam, sed non uno omnes scopo. Qui Deum timent, diem Dominicam exspectant, ut preces ad Deum fundant, et ut pretioso corpore ac sanguine recreentur : inertes vero et socordes diem Dominicam exspectant ut intermisso labore, malis operibus vacent. Me nihil falsi dicere, facta ipsa testantur. Egredere medio quodam alio die, et B nihil invenies : egredere die Dominico, et invenies alios citharizantes, alios perstrepentes et saltantes, alios sedentes et cavillantes, convicianlesque proximum, alios luctantes, alios inter se pugnantes, alios nutu se invicem ad mala vocantes, et sicubi cithara est et saltatio, eo omnes concurrunt. Vocat ad ecclesiam præco; omnes somnum obtendunt et infirmitatem. Oritur sonus citharæ, vel tibiæ, vel strepitus saltationis; omnes, quasi alis vecti, eo properant. Quid spectant venientes in ecclesiam? ego dicam tibi, Dominum Christum super mensa sacra jacentem, Seraphim ter sanctum hymnum decantatum, Spiritus sancti præsentiam et adventum, prophetam et regem David personantem, C benedictum apostolum Paulum omnium auribus doctrinam suam inculcantem, hymnum angelorum, et assiduum alleluia, voces evangelicas, admonitiones Dominicas, venerabilium episcoporum et presbyterorum institutionem et cohortationem, omnia spiritualia, omnia cœlestia, omnia salutem et regnum cœlorum nobis conciliantia. Hæc audit, hæc spectat, quicunque in ecclesiam venit. Quid vero spectant qui in theatra currunt? mulieres scortantes, cantiones diabolicas, voces turpitudinis et perversitatis plenas, mulieres saltantes, imo potius a malo genio correptas. Quid enim agit saltatrix? nihil aliud quam ut sponte se dæmoni regendam præbeat. Similiter et citharœdus, quasi dæmon aliquis, cum ligno conflictatur. Hæc theaD trorum spectacula prorsus diabolica, prorsus perniciosa, prorsus a diabolis instituta sunt. Propterea et merces illorum mala est. Tale erat convivium Herodis, ad quod ingressa Herodiadis filia saltavit, et caput Joannis Baptistæ amputavit, et infima orci sortita est. Qui igitur maleficam illius saltationem adamant, ejusdem quoque condemnationis participes sunt.

IV. Satis ego habeas, dilecte, sex diebus hujus vitæ negotiis occupari, et die Dominica ex infelici illo labore quiescas. Novi multos, aliquid negotii cum aliis habentes, litiumque amantes, qui dicunt : Adventat dies Dominica; causa nobis dicenda est.

Homo miser et infortunate! orare jussus es die Dominica, num vero et judicio experiri? Imminet dies Dominica, et qui lite implicitus est totam noctem id meditatur contra proximum suum, et cum primum illuxit, armatur adversus illum. Mos autem apud multos invaluit, ut ex ecclesia egressi, ante eam considenant, et primus sæpe hoc facit presbyter. Tum ordiuntur inter se causas suas, dimicationes, contumelias, convicia et horum similia, imo etiam pejora: postea in ecclesiam redeunt, infestis oculis se invicem intuentur, et ferarum more dentibus strident. Væ autem presbytero talia promoventi aut judicanti die Dominico, et preces Domino stata hora non persolventi! Si quis laicorum ante missam cibum ceperit, gravis judicii ac pœnæ reus est; si vero, post sumptum cibum, mysteriorum quoque communione utatur, pars ejus erit cum Juda proditore. Multos novi sacro Paschatis die cibum capientes, et communicantes. At væ animæ illorum, maxime si confirmatæ jam ætatis sint! Nam tantum abest ut peccata sua expient, ut potius aggravent illa. Sed et malefactorum sibi conscius, et antequam ea per pœnitentiam eluerit, communicans, in pari condemnatione est. Quanto enim major hæc dies, tanto majus etiam peccatum est. Sed et qui culpa vacant, usque ad missam jejunare debent, et ita communicare. Væ illis qui die Dominica citharizant, aut saltant, aut judicia obeunt vel exercent, aut opus faciunt, aut jusjurandum dant vel exigunt, quia igni inexstinguibili addicentur, et pars eorum erit cum hypocritis [a]! Nam dies hæc ad preces et expiationem peccatorum data est nobis, ad pœnitentiam et salutem, ad requiem mercenariorum et servorum.

V. *Hæc est dies quam fecit Dominus, exsultemus et lætemur in illa* [b]. **Lætemur autem non crapula et ebrietate caligantes, sed in meditatione divinarum Litterarum delicias quærentes. Dedit nobis Deus hunc diem, quo mundum condere cœpit, quo mortis potentiam fregit, eumque cognominavit Dominicum, ut vel nominis ipsius reverentia commoti præcepta Domini custodiamus. Intrat mercenarius domum tuam, subit labores sibi a te impositos, et sex diebus vix oculos tollere audet et videre unde sol oriatur aut ubi occidat; sed defatigatus operibus tuis atteritur, et collacrymat miser, in sudore et pulvere, nec respiciendi nec respirandi copiam nactus, quemadmodum diximus, nisi quod tantum diem Dominicum exspectat, ut pulverem saltem a corpore suo abstergat, et sæpe ne hoc quidem illi concedis. Qualem, quæso, excusationem habebis? Sunt qui, beneficentiæ scilicet causa, die Dominica inquiunt: Age, pauperibus hodie in operibus suis succurremus; et nesciunt,**

A δίκην λέγομεν. Ἄθλιε καὶ ταλαίπωρε, εὔξασθαι προσετάγης τῇ Κυριακῇ, οὐχὶ δὲ καὶ δικαστήρια συνιστᾷν. Ἔρχεται οὖν ἡ Κυριακὴ, καὶ ὁ ἔχων τὴν δίκην, ὅλην τὴν νύκτα ἐκεῖνο σκέπτεται κατὰ τοῦ πλησίον αὐτοῦ, καὶ ὅτε ὁ ὄρθρος ἀνατείλῃ, ὁπλίζεται κατ' αὐτοῦ. Συνήθεια δὲ αὕτη κεκράτηκε παρὰ τοῖς πολλοῖς, ἵνα, ὅτε ἀπὸ τῆς ἐκκλησίας ἐξέλθωσι, προκάθηνται ἔξω, καὶ πρῶτος πολλάκις ὁ πρεσβύτερος τοῦτο ποιεῖ, καὶ προβάλλουσι πρὸς ἀλλήλους πράγματα, διαπληκτισμοὺς, ὕβρεις, λοιδορίας, καὶ ὅσα τοιαῦτα, καὶ τὰ τούτων χείρονα. Εἶτα πάλιν εἰσέρχονται εἰς τὴν ἐκκλησίαν, καὶ ἀλλήλους ὑποβλέπονται, ὥσπερ θηρία τρίζοντες τοὺς ὀδόντας αὐτῶν. Οὐαὶ δὲ τῷ πρεσβυτέρῳ τῷ τὰ τοιαῦτα κινοῦντι, ἢ δικάζοντι ἐν ἡμέρᾳ Κυριακῆς, καὶ μὴ ἀποδιδόντι τῷ
B Κυρίῳ τὰς εὐχὰς ἐν τῇ τεταγμένῃ ὥρᾳ. Ἐὰν δὲ καὶ πρὸ τῆς ἀπολύσεως γεύσηταί τις τῶν λαϊκῶν, μεγάλης κρίσεως καὶ τιμωρίας ἔνοχός ἐστιν. Ἐὰν δὲ καὶ γευσάμενος κοινωνήσῃ τοῖς μυστηρίοις, μετὰ τοῦ προδότου Ἰούδα ἡ μερὶς αὐτοῦ ἐστιν. Πολλοὺς οἶδα ἐν τῇ τοῦ ἁγίου Πάσχα ἡμέρᾳ γευσαμένους καὶ κοινωνήσαντας, καὶ οὐαὶ τῇ ψυχῇ αὐτῶν, καὶ μάλιστα, εἰ ἐν ἡλικίᾳ τελείᾳ ὦσι, ὅτι ἀντὶ τοῦ λύειν τὰ ἁμαρτήματα, μᾶλλον ἐπιφορτίζουσι ταῦτα. Ἀλλὰ καὶ ὁ πονηρὰ ἔργα ἑαυτῷ συνειδὼς, καὶ πρὶν ἢ ταῦτα διὰ τῆς μετανοίας ἀπονίψασθαι, κοινωνῶν, τῆς αὐτῆς ἐστι κατακρίσεως. Ὅσῳ γὰρ μείζων ἐστὶν ἡ ἡμέρα, μείζων ἐστὶ καὶ ἡ ἁμαρτία. Ὅσοι δὲ καὶ ἀνέγκλητοι ὑπάρχουσιν, ὀφείλουσι καρτερεῖν μέχρι τῆς ἀπο-
C λύσεως, καὶ οὕτω κοινωνεῖν. Οὐαὶ τοῖς ἐν τῇ Κυριακῇ κιθαρίζουσιν, ἢ ὀρχουμένοις, ἢ δικαζομένοις, ἢ δικάζουσιν, ἢ ἐργαζομένοις, ἢ ὀμνύουσιν, ἢ ὁρκίζουσιν, ὅτι ἐν πυρὶ ἀσβέστῳ κατακριθήσονται, καὶ τὸ μέρος αὐτῶν μετὰ τῶν ὑποκριτῶν ἐστιν. Αὕτη γὰρ ἡ ἡμέρα εἰς εὐχὴν καὶ λύσιν κακῶν ἐδόθη ἡμῖν, εἰς μετάνοιαν καὶ σωτηρίαν, εἰς ἀνάπαυσιν μισθίων καὶ δούλων.

Ε'. *Αὕτη γὰρ ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.* Εὐφρανθῶμεν δὲ οὐ κραιπάλῃ καὶ μέθῃ σκοτούμενοι, ἀλλ' ἐν τῇ μελέτῃ τῶν θείων Γραφῶν ἐντρυφῶντες. Ἔδωκεν ἡμῖν ὁ Θεὸς ταύτην τὴν ἡμέραν, ἐν ᾗ ἤρξατο ποιῆσαι τὸν κόσμον· ἐν ᾗ τὸ τοῦ θανάτου κράτος κατέλυσε, καὶ ἐπωνόμασε ταύτην Κυριακὴν, ἵνα
D καὶ ἐξ αὐτοῦ τοῦ ὀνόματος τῆς ἡμέρας αἰδεσθέντες φυλάξωμεν τὰς ἐντολὰς τοῦ Κυρίου. Εἰσέρχεται μίσθιος εἰς τὸν οἶκόν σου, καὶ ὑποτίθησιν ἑαυτὸν τοῖς ἔργοις σου, καὶ ἐν ταῖς ἓξ ἡμέραις οὐ τολμᾷ ἀνανεῦσαι καὶ ἰδεῖν τὸν ἥλιον, πόθεν ἦλθεν, καὶ ποῦ ὑπάγει, ἀλλὰ κατακοπτόμενος ἐν τοῖς ἔργοις σου συντρίβεται καὶ συγκλαίεται ὁ οἴκτιστος, ἐν ἱδρῶτί τε καὶ καμάτῳ, καὶ οὐδαμῶς συγχωρεῖται οὔτε ἀναπνεῦσαι, οὔτε ἀναπαύεσθαι, καθάπερ ἔφημεν, ἀλλ' ἢ μόνον ἐκδέχεται τὴν Κυριακὴν, ἵνα κἂν τὸν κονιορτὸν ἀπὸ τοῦ σώματος αὐτοῦ ἀποτινάξηται, καὶ οὐ συγχωρεῖς αὐτῷ πολλάκις. Καὶ ποίαν ἀπολογίαν ἕξεις, εἰπέ μοι· Εἰσί τινες οἱ χάριν εὐποιΐας ἔχθεν,

[a] Matth. xxiv, 51. [b] Psal. cxvii, 24.

ἐν τῇ ἡμέρᾳ τῆς Κυριακῆς λέγοντες· Δεῦτε, σήμερον βοηθήσωμεν τοῖς πένησιν ἐν τοῖς ἔργοις αὐτῶν, καὶ οὐκ οἴδασιν, ὅτι ἐξ ὧν βούλονται ἀγαθοποιῆσαι, πλέον ἐξαμαρτάνουσι. Θέλεις βοηθῆσαι τοῖς πένησι; μὴ κλέψῃς τοῦ Θεοῦ τὴν ἡμέραν, ἀλλὰ τὴν σὴν παράσχου τοῖς πένησιν ἐργασίαν, ἐξ ὧν ἔλαβες τοῦ ἐργάζεσθαι. Ὅτε τὰ σὰ ἔργα ὀφείλουσι γενέσθαι, τότε μετάδος βοηθείας τοῖς πένησιν. Ὅτε δὲ οἱ δοῦλοί σου, καὶ οἱ μίσθιοι, καὶ οἱ βόες ἀναπαύεσθαι ὀφείλουσιν, ἀποστερεῖς αὐτῶν τὴν ἀνάπαυσιν, καὶ τοῖς πένησι δίδως. Οἶδεν ὁ Θεὸς, τίνος ὁ κάματος. Μὴ παρέλθῃς τὴν ἐντολὴν τοῦ Κυρίου, μὴ κλέψῃς τὴν ἡμέραν αὐτοῦ, μὴ ἀποστερήσῃς τοῖς δούλοις καὶ τοῖς μισθίοις σου τὴν ἀνάπαυσιν, μὴ χωρισθῇς τῆς εὐχῆς, μὴ ἀποστῇς τῆς Ἐκκλησίας. Οὐδὲν γὰρ τῆς Ἐκκλησίας ἀνώτερον, τοῦ οὐρανοῦ ὑψηλοτέρα ἐστὶν, τοῦ ἡλίου λαμπροτέρα, τῆς σελήνης καὶ τῶν ἄστρων φωτεινοτέρα, τοῦ κόσμου ὅλου εντιμοτέρα. Οἶδα πολλοὺς, ὅτι παρέρχεται ἡ ἑβδομὰς ὁλόκληρος, καὶ οὐκ εἰσέρχονται εἰς τὴν ἐκκλησίαν, πολλάκις δὲ καὶ μὴ ὅλως. Ἐὰν δὲ ἐπέλθῃ αὐτοῖς κακόν τι, διὰ τὴν κακοπραγίαν αὐτῶν, ἐπαιτιῶνται τὸν Θεὸν, καὶ οὐχ ἑαυτοὺς, λέγοντες· Διὰ τί συνεχώρησεν ὁ Θεὸς τοῦτο γενέσθαι; καὶ οὐκ οἴδασιν, ὅτι ὅσον ἀπὸ τῆς ἐκκλησίας αὐτοὶ μακρύνονται, καὶ ὁ Θεὸς ἐξ αὐτῶν, καθὼς καὶ ὁ Προφήτης φησίν· *Οἱ μακρύνοντες ἀπὸ σοῦ, ἀπολοῦνται.*

A quod dum ita benefacere student, plus peccent. Si vis opitulari pauperibus, diem Deo consecratum ne suffurare, sed operam tuam pauperibus vicissim impende, quibus illam accepisti diebus; quo tempore tua opera fieri debent, illo opem fer pauperibus. Cum vero servi et mercenarii tui, et boves quiescere debent, quietem illis eripis, et pauperibus commodas. Novit Deus cujus sit labor ille. Noli transgredi præceptum Domini, noli subripere diem ejus, noli adimere servis et mercenariis tuis requiem; noli te segregare a precibus, aut alios avocare ab ecclesia. Nihil enim est supra Ecclesiam, ipso cœlo sublimiorem, sole splendidiorem, luna et astris lucidiorem, toto mundo pretiosiorem. B Novi multos qui per universam hebdomada ecclesiam non adeunt, imo sæpe prorsus illam negligunt: si quid vero mali ipsis, ob malignitatem suam, accidat, ejus causam in Deum, non in se ipsos conferunt, dicendo: Cur Deus hoc fieri permisit? et non intelligunt quod, dum ab Ecclesia se disjungunt, Deus illos vicissim deserat, sicut et Propheta inquit: *Qui elongant se a te, peribunt* [a].

Ζ'. Ἀρκεῖ τάχα ταῦτα, ἀγαπητοὶ, πρὸς νουθεσίαν καὶ φόβον πολλῶν. Εἰ γὰρ ταῦτα οὐκ ἀρκεῖ, καὶ πείθει τοὺς ἀκούοντας, οὐδὲ τὰ πλείονα τούτων ἀκούσονται. Φρονίμῳ γὰρ, φησὶν, ἀνδρὶ εἷς λόγος αὐτάρκης, μωρῷ δὲ ἐξηγούμενος οὐ πείσεις τὴν καρδίαν αὐτοῦ ἕως θανάτου. Θέλεις μὴ ἐπελθεῖν σοι κακόν; τὴν Κυριακὴν μὴ ὑβρίσῃς, τῶν πονηρῶν ἔργων ἀπόστηθι, τῇ εὐχῇ σχόλασον, τὸ στόμα σου ἀπὸ αἰσχρολογίας κατάπαυσον, μετὰ ἀνδρῶν εὐλαβῶν συναθροίσθητι, καὶ σὺν αὐτοῖς τῷ Θεῷ εὐχαρίστησον, δοξολογίαν ἀνάπεμψον. Αὕτη γὰρ ἡ ἡμέρα, πολλαχῶς εἴρηται, εἰς τὴν εὐχὴν καὶ ἀνάπαυσιν ἐδόθη σοι· *Αὕτη οὖν ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ*, καὶ τῷ ἐν αὐτῇ ἀναστάντι δόξαν ἀναπέμψωμεν, σὺν τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

VI. Hæc fortasse sufficiunt, charissimi, ad multorum institutionem et timorem. Si qui enim his C non moventur, illi nec pluribus morem gerent. Prudenti viro, inquit ille, vel verbum satis est; sed cor stulti omni institutione non movebis usque ad mortem. Vis nihil mali tibi accidere? diem Dominicum ne profana, malis operibus abstine, precibus vaca, pravos sermones omitte, cum viris religiosis congregare, et cum iis Deo gratias age, laudesque ejus prædica. Hæc enim dies, ut sæpe diximus, ad preces et requiem tibi data est: *Hæc igitur illa est, quam fecit Dominus, gaudeamus et exsultemus in illa;* et ei qui hoc die resurrexit, gloriam tribuamus cum Patre et Spiritu sancto, nunc, semper et in sæcula sæculorum. Amen.

D

ΙΖ'. — XVII.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ εἰς τὸ ἅγιον Πάθος τοῦ Κυρίου.

In sancta et magna Parasceve, et in sanctam Passionem Domini.

Exstat inter Opera sancti Chrysostomi. Vide hujusce Patrologiæ t. LXII, col. 721. Cf. etiam infra Orationem Eusebii Emeseni in sacrum Parasceves diem.

ΙΗ'. — XVIII.

Εἰς τὴν τριήμερον Ἀνάστασιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

In triduanam Resurrectionem Domini nostri Jesu Christi.

Hanc homiliam, quam Eusebio Alexandrino tribuit Fabricius, t. X, 249, legere est inter Opera sancti Chrysostomi, hujusce Patrologiæ t. XLI, col. 733.

ΙΘ'. — XIX.

Λόγος εἰς τὴν ἁγίαν Ἀνάληψιν τοῦ Σωτῆρος ἡμῶν.

Sermo in sanctam Assumptionem Servatoris nostri.

Hanc homiliam Eusebio Alexandrino tribuit Fabricius, Biblioth. Græc. t. X, 251. Exstat inter Opera sancti Chrysostomi, hujusce Patrologiæ t. LXIV, col. 45.

[a] Psal. LXXII, 27.

A

XX.

In secundum adventum Domini nostri Jesu Christi et de futuro judicio. (Ang. Mai, *Class. Auct.*, t. X, 595.

Κ'.

Εἰς τὴν δευτέραν παρουσίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ περὶ τῆς μελλούσης κρίσεως.

Hanc leges inter Opera sancti Chrysostomi, hujusce Patrologiæ t. LXI, col. 775.

XXI.

Sermo de eleemosyna et in divitem atque Lazarum.

ΚΑ'.

Λόγος περὶ ἐλεημοσύνης, εἰς τὸν πλούσιον καὶ εἰς τὸν Λάζαρον.

(Ang. Mai, *Biblioth. nova*, t. II, p. 501.)

I. Age sermonem hodie, charissime, de eleemosyna instituamus, et quid nobis apostolus et evangelista Matthæus de Domini nostri adventu narraverit. Dic nobis, oculate testis et Verbi minister, quandonam et B quomodo quidve dicet nobis Dominus Deus, cum mundum judicaturus adveniet? Quid nunc velit, quidve agere imperet populo suo? Dixit, inquit, Dominus: *Cum venerit Filius hominis cum majestate sua, et omnes sancti angeli cum eo, tunc sedebit in throno majestatis suæ, et congregabuntur ante eum omnes populi: et separabit eos ab invicem, sicut pastor ab hædis oves segregat: et statuet oves quidem a dextris suis* [1]. Nam pastor, ceu benigniorem partem tenens mollitudinis mansuetudinisque, indolem scilicet ovium, harum quoque stationem melioribus assignat. Deinde a sinistris hædi, ceu pastori contumaces, collocantur.

Α'. Φέρε εἰς μέσον τὸν λόγον σήμερον, ἀγαπητὲ, προθήσωμεν περὶ ἐλεημοσύνης· καὶ τί διηγήσατο ἡμῖν ὁ ἀπόστολος καὶ εὐαγγελιστὴς Ματθαῖος περὶ τῆς ἐλεύσεως τοῦ Δεσπότου ἡμῶν. Εἰπὲ ἡμῖν, αὐτόπτα καὶ ὑπηρέτα τοῦ Λόγου, πότε, καὶ πῶς, καὶ τί λαλήσει ἡμῖν Κύριος ὁ Θεὸς, ὅτε μέλλει παραγενέσθαι κρῖναι τὴν οἰκουμένην; Τί βούλεται, καὶ τί κελεύει ποιῆσαι τὸν λαὸν αὐτοῦ; Εἶπεν ὁ Κύριος, φησίν· *Ὅτ' ἂν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε καθήσει ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη· καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων· καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ.* Καὶ γὰρ ὁ ποιμὴν ὡς χρηστοτέραν ἔχων τὰ τῆς ἁπαλότητος καὶ ἡμερωσύνης τὸ ἦθος τῶν προβάτων, καὶ τῆς στάσεως τῶν τοιούτων ποιεῖται τοὺς κρείττονας. Εἶτα δὲ τὰ ἐρίφια ἐξ εὐωνύμων, ὡς ἄτακτα τῷ ποιμένι διάκεινται.

C II. Audiamus etiam quid Rex regum et Dominus dominantium dicturus sit bonis et misericordibus, qui mandata ejus observaverint, quatenus hi cuncta ab eo imperata in rem contulerint. Idcirco enim merito audient a Domino et clemente Deo nostro sanctam illam ac beatam ad ejus dexteram invitantem vocem: *Venite, benedicti Patris mei, possidete paratum vobis regnum a mundi constitutione* [2]. O bonam præparationem sortemque justitiæ illorum qui jure benignitatem ejus promeruerunt! Quid porro his dicit? *Esurivi enim, et dedistis mihi manducare*; *sitivi, et dedistis mihi bibere*. Specta, charissime, Domini providentiam, quomodo sub ipso sermonis initio proponit eleemosynæ largitionem: *esurivi, et dedistis mihi manducare*. Etenim commune neces- D sariumque corporis nutrimentum statim memorat, quod nimirum alit et exsuscitat fame tabentes; quemadmodum David ait: *Et panis cor hominis confirmat* [3]. Sic etiam potionis memorat refrigerium: deinde hospitum susceptionem nominat, postea nudorum indumentum, infirmorum visitationem, benignum ad vinctos alloquium. Hæc et alia hujusmodi beneficia dator bonorum commemorans apud eos qui a dextris suis sunt, retributionem quoque promittit, illud nempe quod a mundi constitutione regnum paravit misericordibus et eleemosynæ largitoribus, fide recta ornatis et operibus et chari-

Β'. Ἀκούσωμεν δὲ τί ἐρεῖ ὁ Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων τοῖς ἀγαθοῖς καὶ ἐλεήμοσι τοῖς τὰς ἐντολὰς αὐτοῦ φυλάξασι, διὸ καὶ ἐτήρησαν πάντα ὅσα ἐνετείλατο. Ἐπὶ τοῦτο γὰρ καὶ δικαίως μέλλουσιν ἀκοῦσαι παρὰ τοῦ Δεσπότου καὶ φιλανθρώπου Θεοῦ ἡμῶν τὴν προσκαλουμένην αὐτοὺς ἐκ δεξιῶν αὐτοῦ ἁγίαν καὶ μακαρίαν ἐκείνην φωνήν· *Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.* Ὢ ἑτοιμασίας ἀγαθῆς καὶ πλῆρος [ita cod.] δικαιοσύνης τῶν ἀξίως εὐαρεστησάντων τὴν αὐτοῦ ἀγαθότητα! Καὶ τί φησι πρὸς τούτοις; *Ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με.* Ὅρα, ἀγαπητὲ, τὴν τοῦ Δεσπότου κηδεμονίαν, πῶς ἐκ πρώτου λόγου τὴν τῆς ἐλεημοσύνης εἰσάγει μετάδοσιν! *Ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν.* Καὶ γὰρ τὴν εὐπερίστατον καὶ ἀναγκαίαν τοῦ σώματος τροφὴν ἐξ ἀρχῆς ἄγει, οἷον ὡς θρεπτικὴν καὶ ἀναζωπυροῦσαν τοὺς ἐν λιμῷ τακέντας· καθὼς καὶ ὁ Δαβὶδ λέγει· *Καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.* Ὡσαύτως τὴν τῆς πόσεως διαλέγεται ἀνάψυξιν· εἶτα τῆς ξενοδοχίας τὴν εἰσαγωγήν· ἔπειτα τῆς γυμνότητος περιβολήν· τῆς ἀσθενείας τὴν ἐπίσκεψιν· τῆς φυλακῆς τὴν παρηγορίαν. Ταύτας δὲ καὶ τοιαύτας εὐποιίας ὁ παροχεὺς τῶν ἀγαθῶν ἀναμιμνήσκων τοὺς ἐκ δεξιῶν αὐτοῦ ἱσταμένους, καὶ τὴν

[1] Matth. xxv, 31 seqq. [2] ibid. 34. [3] Psal. ciii, 15.

ἀντάμειψιν ὑπισχνεῖται, ἣν πρὸ καταβολῆς κόσμου A βασιλείαν ἡτοίμασε τοῖς εὐσπλάγχνοις καὶ ἐλεήμοσι, τοῖς ὀρθοῖς τῇ πίστει καὶ πράξει καὶ ἀγάπῃ. Τούτους προσκαλεῖται ὡς ἠγαπημένους φίλους καθὼς εἶπεν· *Ὑμεῖς φίλοι μού ἐστε*, ὅτι τοὺς ἐμοὺς λόγους ἐτηρήσατε, τὰ ἐμὰ ἐντάλματα ἐφυλάξατε· καὶ γὰρ πεινῶντά με ἐθρέψατε, διψῶντα ἐποτίσατε, ξένον ὄντα με εἰς στέγην εἰσηγάγετε· γυμνὸν θεωρήσαντες, περιβόλαιον ἐχαρίσασθε, ἐν ἀσθενείᾳ με γενόμενον ἐπεσκέψασθε, ἐν φυλακῇ δέ με κατακλεισθέντα πρός με παρεγένεσθε, καὶ τὸν τῆς παρακλήσεως λόγον ἐχαρίσασθε. Λοιπὸν τί ἀντάξιον ὑπὲρ ὧν εὐεργετήσατέ με; ἀντιπαρέχω ὑμῖν τὴν ἀντιχάριτα [ita cod.]· ἀλλ' ἐπεὶ ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ γνησίως ἠγαπήσατε, τὸν Πατέρα μου ᾐτησάμην δι' ὑμᾶς, ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ αὐτοὶ σὺν ἐμοὶ ἦτε, καὶ τῆς ἐμῆς βασιλείας συγκληρονόμοι γένησθε.

tate. Hos ad se ceu dilectos amicos vocat, sicut jam dixerat : *Vos amici mei estis* [4], quia sermones meos servavistis præceptaque mea custodistis : nam me esurientem pavistis, sitientem potastis, hospitem sub tecto recepistis, infirmum visitastis, carcere clausum adivistis et solatii verba obtulistis. De reliquo quid pro benefactis in me collatis retribuam? En jam vobis gratiam referam : quia vos me dilexistis, et sincero amore complexi estis, Patrem meum rogavi propter vos, ut ubi ego sum, vos quoque mecum sitis, meique regni cohæredes fiatis.

Γ'. Τί πρὸς ταῦτα φασὶν οὗτοι πρὸς τὸν Κύριον B καὶ βασιλέα τῆς δόξης; Κύριε, πότε σε ἴδομεν πεινῶντα, καὶ ἐθρέψαμεν; ἢ διψῶντα, καὶ ἐποτίσαμεν; ἢ ξένον, καὶ συνηγάγομεν; ἢ ἀσθενῆ, καὶ ἐπεσκεψάμεθα; ἢ ἐν φυλακῇ, καὶ ἤλθομεν πρός σε; Ἄκουσον δὲ καὶ τοῦ Δεσπότου. Τί πρὸς αὐτοὺς ἐρεῖ· Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Ἤκουσας Δεσπότου ἀγαθοῦ φιλανθρωπίαν καὶ ἀγαθότητα, πῶς τοῖς πένησι καὶ πτωχοῖς, ἀδελφοὺς [ita cod.] ἀποκαλεῖται· καὶ εἴ τις δ' ἂν ἐν αὐτοῖς εὐεργεσίαν ποιήσει, οἷον τροφὴν παρέχῃ τοῖς πεινῶσιν, ἢ ξενοδοχίαν ἐνδείκνυται, καὶ γυμνὸν σκέπῃ, αὐτὸς δέχεται ὁ τὴν ἡμῶν σαρκοφορέσας. Ὁ εἰπὼν, *Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν* καὶ ἐπιστροφήν, εἰς αὐτὸν τὸν ποιητὴν καὶ C δημιουργὸν τὸν διδόντα τροφὴν πάσῃ σαρκὶ, τὴν εὐποιΐαν τῆς ἐλεημοσύνης ποιεῖται· *Ὁ γὰρ ἐλεῶν πτωχὸν, Θεῷ δανείζει· κατὰ δὲ τὸ δόμα αὐτοῦ, λαμβάνει*. Ἀλλ' οὖν καὶ ὁ θεῖος Δαβὶδ λέγει· *Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα· ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος*. Καὶ γὰρ ὡς ἀληθῶς ἡ ἡμέρα ἐκείνη, ἡμέρα πονηρὰ γίνεται τοῖς ἀσπλάγχνοις καὶ ἀνελεήμοσιν· οἵ περ ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς τὸ πῦρ τὸ ἐξώτερον ἀποπέμπονται· τοῖς δὲ εὐσπλάγχνοις καὶ ἐλεήμοσι, χαρᾶς καὶ εὐφροσύνης αἰωνίου πρόξενος, καὶ τῆς μετὰ ἁγίων ἀγγέλων διαγωγῆς. Ὡσαύτως καὶ ὁ Κύριος μακαρίζει αὐτοὺς ἐλεήμονας λέγων· *Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται*. Πότε δὲ ἐλεηθήσονται; D Ὅτε καθίσει ὁ βασιλεὺς ἐπὶ θρόνου δόξης, τότε ἐλεηθήσονται οἱ ἐλεήμονες, οἱ φιλόπτωχοι, οἱ εὔσπλαγχνοι, οἱ εὐμετάδοτοι, οἱ ξενοδόχοι, οἱ ὀρφανοτρόφοι, χηρῶν καὶ ἀδυνάτων οἱ ἐπισκέπται, οἱ τῶν καταπονουμένων ἀντιλήπτορες, οἱ τῶν θλιβομένων προστάται, οἱ τῶν δεομένων ἔμφοροι, οἱ τῶν νοσούντων διάκονοι, οἱ τῶν ἐν πικραῖς δουλείαις ἐλευθερωταί, οἱ τῶν πεπλανημένων ὁδηγοί, οἱ τῶν γυμνῶν σκεπασταί, οἱ τῶν χρεωστούντων πληρωταί· καὶ ἵνα συντόμως εἴπω, οἱ πάντων τῶν δεομένων καὶ τούτων οἰκονόμοι, αὐτοῖς ἡτοίμασται ἡ βασιλεία τῶν οὐρανῶν. Τοῖς αὐτοῖς ἐστιν οἰκητήριον ἡ ἄνω

III. Quid ad hæc autem illi dicent Domino regique gloriæ? Domine, quandonam te vidimus esurientem, et pavimus? sitientem, et potum dedimus? vel peregrinum, et collegimus te? infirmum, et visitavimus? in carcere, et venimus ad te? Audi jam quid iis Dominus respondebit : Quæcunque uni ex his fratribus meis minimis fecistis, mihi fecistis. Audisti boni Domini charitatem ac benignitatem, quomodo egenos ac pauperes appellat fratres; et quod si quis bene illis fecerit, escam puta esurientibus suppeditaverit, aut hospitium præbuerit, aut nudum texerit, ipse sibi factum reputat, postquam carnem nostram gestavit. Qui dixit : *Non veni vocare justos, sed peccatores ad pœnitentiam* [5] et conversionem, sibi factori et creatori qui universæ carni escam suppeditat, beneficium atque eleemosynam collatam edicit. Nam *qui miseretur pauperis, feneratur Deo; secundum datum suum, recipiet* [6]. Sed et David dicit : *Beatus qui intelligit super egenum et pauperem ! in die mala liberabit eum Dominus* [7]. Reapse enim dies illa, dies mala fiet inclementibus et immisericordibus, qui ea die in exteriorem ignem mittentur; attamen benignis et misericordibus lætitiam gaudiumque æternum conferet, et sanctorum angelorum consortium. Similiter et Dominus beatos misericordes dicit : *Beati misericordes, quoniam ipsi misericordiam consequentur* [8]. Quandonam vero misericordiam potientur? Videlicet cum rex sedebit in throno gloriæ, tunc misericordiam consequentur eleemosynarum largitores, pauperum amantes, benigni, liberales, hospitales, orphanorum altores, viduarum et invalidorum curatores, ærumnosorum patroni, egentium saturatores, ægrotantium ministri, ii qui ex acerbis servitiis liberant, qui errantibus viam demonstrant, qui nudos vestiunt, qui ære alieno nexos expediunt : atque ut summatim dicam, qui omnium ope egentium œconomi fiunt : his, inquam, cœlorum regnum paratum est. His habitaculum erit superna civitas : iidem ceu regis familiares, coram illo astabunt, splendidissimæ deitatis lumine illustrati.

[4] Joan. xv, 14. [5] Matth. ix, 13. [6] Prov. xix, 17. [7] Psal. xl, 2. [8] Matth. v, 7.

πόλις· οἱ αὐτοὶ ὡς οἰκειότεροι τοῦ βασιλέως πρὸ προσώπου αὐτοῦ παρίστανται, κατοπτριζόμενοι τῇ αἴγλῃ τῆς τρισηλίου θεότητος.

IV. Quid autem et iis qui a sinistris erunt dicet A Dominus? *Discedite a me, maledicti, in ignem æternum, qui paratus est diabolo et angelis ejus*[9]. Non enim vobis paratus fuerat, sed diabolo et angelis ejus : nunc quia diaboli opera imitati estis, avaritiam et immitem animum atque omne improbitatis genus sectati, lata est de vobis sententia, ut cum illo abeatis in ignem, cum Satanæ ministri fueritis. Et quidem sponte me neglectum spretumque deseruistis, sanctas meas Scripturas contempsistis, hominesque illos qui vos erudiebant, atque a contaminationibus pravisque operibus deterrebant, et charitatem atque eleemosynam suadebant, non audistis; sed vecordia et amentia abducti, prædicantium verba flocci fecistis, et contumeliis impositis inhoneste eos abegistis. Secus autem fabulones, et B otiosos, divinos, incantatores, veneficos, præstigiatores, astronomos, somniorum interpretes, et quotquot sunt pravorum operum socii et auctores, familiares habuistis, statutis meis præceptisque derelictis, qui tamen vos de terra plasmavi ad imaginem meam, et vitali flatu terrenam hanc formam vobis largitus sum ; et nihilominus me negastis ac repulistis : nempe ut rebellem mihi diabolum, cui ignis paratus erat, sectaremini. Atque ego quidem propter hominem, quem impolluta manu mea formavi, paradisum requiemque feceram, gaudiumque et vitam perpetuam destinaveram : vos vero, ut dixi, obedientiam negastis, me præceptisque meis derelictis, et diaboli facti estis C operarii : ministris ejus, sodalibus atque amicis adhæsistis, et omne nequitiæ ac malitiæ genus, fraudem, mendacium atque avaritiam condidicistis : cumque ejusmodi pravis operibus vindictæ quoque studium et inclementem animum tanquam vestimentum induistis. Quid autem vobis dicam? Num vos decet audire, venite? Minime. Dictionem enim hanc, *Venite, benedicti Patris mei*, aliis indulsimus : nam qui ut in dextera mea collocarentur decertarunt, hi prædicta verba audire digni fuerunt. Vos vero inimicos meos sermonumque meorum contemptores expello, extrudo, proterreo a conspectu meo; quandoquidem indignos vos gloria mea, ob lævam sententiam, vesaniam, inclementiamque vestram effecistis. Propterea vobis dico : *Discedite a* D *me, maledicti, in ignem æternum*, qui diabolo cæteroqui et angelis ejus tantummodo paratus fuerat. Nunc vos pariter ad eamdem inexstinguibilis ignis stationem pergite, quoniam hanc ignis pœnam cum diabolo angelisque ejus subire sategistis. Revera enim toto orbe maledicti exstitistis, quia justitiæ laude caruistis ; imo maledictionem vestimm instar vobis ob animi inclementiam induistis. Ceu maledicti igitur et immisericordes igni trademini. *Esurivi, et non dedistis mihi manducare;* nec aliud

Δ'. Τί δὲ καὶ πρὸς τοὺς ἐξ εὐωνύμων ἐρεῖ ὁ Κύριος; *Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ*. Οὐ γὰρ δι' ὑμᾶς ἡτοίμασται, ἀλλὰ τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· ἀλλ' ἐπεὶ τὰ τοῦ διαβόλου ἔργα παρηκολουθήσατε, καὶ τῇ πλεονεξίᾳ καὶ ἀσπλαγχνίᾳ, καὶ πᾶν εἶδος κακοῦ ἐπιφερόμενοι, κατεδικάσθητε σὺν αὐτῷ ἀπελθεῖν εἰς τὸ πῦρ ὡς ὑπουργοὶ τοῦ Σατανᾶ γεγονότες. Καὶ ὡς ἐθελοντὶ ἐμὲ κατελίπατε, ἀλλὰ παρίδετε καὶ ἐβδελύξασθε, καὶ τὰς ἁγίας μου Γραφὰς ἐξουθενήσατε, τοὺς διδάσκοντας καὶ νουθετοῦντας ὑμᾶς τοῦ ἀπέχεσθαι τῶν μιασμάτων καὶ πονηρῶν ἔργων, καὶ ἀγάπης καὶ ἐλεημοσύνης ἀντέχεσθαι, οὐκ ἠκούσατε, ἀλλὰ ἀσύνετοι τῇ καρδίᾳ καὶ τῷ λογισμῷ διακείμενοι ἐματαιώθητε, τούτων τοὺς λόγους ὡς λῆρον ἡγήσασθε, καὶ ὡς ἀτίμους ἀπεπέμψατε, ὕβριν ἐπάγοντες αὐτοῖς· τοὺς δὲ μυθολόγους καὶ περιέργους καὶ μαντικοὺς καὶ ἐπαοιδοὺς, καὶ φαρμάκους, καὶ γόητας, καὶ ἀστρονόμους, καὶ ὀνειρολύτας, καὶ ὅσους πάντας τοὺς τῶν κακῶν ἔργων συνίστορας καὶ ἐπινοητὰς, πρὸς ἑαυτοὺς ἐποιήσατε, καταλιπόντες τὰ ἐμὰ προστάγματα καὶ ἐντολὰς, τοῦ ἀπὸ γῆς ὑμᾶς πλαστουργήσαντος κατ' εἰκόνα ἐμὴν, καὶ τῷ ζωηφόρῳ ἐμφυσήματί μου δοὺς ὑμῖν καὶ τὴν περίγειον κατασκευὴν δωρησάμενος, ἠθετήσατε καὶ ἀπεστράφητε· καὶ τὸν τραχηλιάσαντα κατ' ἐμοῦ διάβολον, ὃν [ita cod.] τὸ πῦρ κατ' αὐτοῦ ἡτοίμασται, συνηκολουθήσατε. Καὶ ἐγὼ μὲν διὰ τὸν ἄνθρωπον, ὃν ἔπλασα τῇ ἀχράντῳ μου χειρὶ, παράδεισον ἐποίησα καὶ ἀνάπαυσιν· καὶ χαρὰν καὶ ζωὴν διηνεκῆ ἡτοιμασάμην· καὶ καθὼς εἶπον, ἠθετήσατε καταλιπόντες καὶ ἐμὲ καὶ τὰς ἐντολάς μου, καὶ τοῦ διαβόλου ἐργάται γεγόνατε· καὶ τοὺς συνηγόρους αὐτοῦ καὶ μύστας καὶ φίλους ἐκτήσασθε· καὶ ἐμάθετε πᾶσαν κακίαν καὶ πονηρίαν καὶ ἀπάτην καὶ ψεῦδος καὶ πλεονεξίαν· σὺν τούτοις τοῖς κακοῖς ἔργοις, καὶ τὴν μνησικακίαν καὶ τὴν ἀσπλαγχνίαν κατέχοντες ὡς ἱμάτιον ἐνδεδυμένοι. Τί δὲ εἴπω πρὸς ὑμᾶς; Ἆρα ἁρμόζει τὸ, δεῦτε, ὑμῖν ἀκοῦσαι; Οὐχί. Ἡ γὰρ τοιαύτη φωνὴ, τὸ *Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου*, ἄλλοις ἐδόθη· οἱ γὰρ ἀγωνισάμενοι ἐκ δεξιῶν μου σταθῆναι, ταύτης τῆς φωνῆς ἠξιώθησαν ἀκοῦσαι. Ὑμᾶς δὲ τοὺς ἐμὲ μισήσαντας καὶ τοὺς λόγους μου καταπτύσαντας ἐξωθοῦμαι καὶ διώκω καὶ ἀποπέμπω ἀπὸ προσώπου μου· ἐπεὶ ἀναξίους ἐποιήσατε ἑαυτοὺς τῆς ἐμῆς δόξης διὰ τὴν κακὴν γνώμην καὶ ἀπόνοιαν καὶ ἀσπλαγχνίαν, ἣν ἐκτήσασθε. Διὰ τοῦτο λέγω ὑμῖν· *Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ* μόνοις. Πορεύεσθε καὶ ὑμεῖς σὺν αὐτοῖς εἰς τὴν αὐτὴν διαγωγὴν τοῦ πυρὸς τοῦ ἀσβέστου, καθὼς αὐτοὶ ἑαυτοὺς συνωθήσατε εἰς τὸ πῦρ πορευθῆναι σὺν τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· καὶ γὰρ κατηρα-

[9] Matth. xxv, 41.

μένοι γεγόνατε πάσης τῆς γῆς, μὴ ἔχοντες δικαιοσύνης εὐλογίαν, ἀλλὰ κατάραν ὡς ἱμάτιον ἐνδυσάμενοι διὰ τὴν ἀσπλαγχνίαν ὑμῶν· καὶ ὡς κατηραμένοι καὶ ἀνελεήμονες, τῷ πυρὶ παραπέμπεσθε. *Ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν*, οὐδὲ ἄλλο τι εἰς ἐμὲ ἀγαθὸν ἐποιήσατε, ἵνα ὡς ἐμὸν πλάσμα γνωρίσω, καὶ τὴν χάριν ἀνταμείψωμαι ὑμῖν.

Ε'. Τί δὲ καὶ αὐτοὶ ἀπολογοῦνται τὸν ἀπροσωπόληπτον δικαστήν; Κύριε, πότε σε ἴδομεν πεινῶντα ἢ διψῶντα, ἢ ξένον ἢ γυμνόν, ἢ ἐν φυλακῇ, καὶ οὐ διηκονήσαμέν σοι; Λέγει δὲ πρὸς αὐτοὺς ὁ φιλάγαθος Δεσπότης· Ναί, ὡς λέγετε, ἐμὲ οὐκ οἴδατε, ἀλλὰ τοὺς ἀδελφοὺς καθ' ὥραν ἐθεωρεῖτε τὰ ἐμὰ μέλη, ὧν τῷ λιμῷ καὶ τῷ δίψει καὶ τῷ παγετῷ πιεζομένων ἐβδελύσσεσθε, καὶ τὰς ὄψεις ἀπεστρέφεσθε, καὶ τὰς θύρας ἐκλείσατε καὶ ἀπεπέμψασθε ἀτίμους, καὶ οὐδὲ κἂν ὡς ἕνα τῶν κυναρίων κλάσματος ἠξιώσατε. Εἰ γὰρ ἑνὶ τῶν ἐλαχίστων μου ἀδελφῶν ἐδιηκονήσατε, ἐμοὶ ἐποιήσατε· καὶ οὐ μόνον ὅτι οὐ διηκονήσατε αὐτοῖς, ἀλλὰ καὶ ὥς τις ἀγαθοποιὸς εὑρέθη, διὰ τὸ ἐμὲ γνωρίζειν, καὶ αὐτὸν ὡς ἀδελφόν μου ὄντα χάριν ἀγάπης παρέχειν αὐτόν, ἢ ὀβολόν, ἢ ἱμάτιον, ἢ ἄρτον· ἐξ αὐτοῦ ὑμεῖς ἡρπάξατε καὶ ἐτύψατε, καὶ οὐκ ᾐδέσθητε ὅτι ποτὲ ἰδεῖν με ἠθέλετε καὶ ἐντραπεῖν προσονειδίζοντας ὑμᾶς. Ὦ ἀπηνεῖς καὶ ἄσπλαγχνοι! Ἐγὼ ὑμᾶς ἐκ τῶν ἐμῶν δωρεῶν ἐνέπλησα ἀφθόνως· καὶ τοῦ ἀδελφοῦ μου ἐλθόντος ἅπαξ πρὸς ὑμᾶς ζητῶντος ἐκ τῶν ἐμῶν λαβεῖν τι παρ' ὑμῶν, ἐπλεονεκτήσατε· καὶ πορευόμενος ἐν λύπῃ πεινῶν καὶ διψῶν καὶ τοῦ κρύους συνεχόμενος, τὴν ἑαυτοῦ ζωὴν ἀπελέγετο, καὶ στενάζων ἐκατηρᾶτο, καὶ τὸ ὄμμα πρός με ἠτένιζεν τοῦ ἀκοῦσαι τῆς φωνῆς αὐτοῦ· οἱ γὰρ τῶν ἀδικουμένων στεναγμοί, κολάσεις γίνονται τοῖς ἀδικοῦσι. Διὰ τοῦτο καὶ κατηραμένοι ὠνομάσθητε διὰ τὴν ἀσπλαγχνίαν ὑμῶν, καὶ τὴν ὀδυνηρὰν ἀπόφασιν διαγγέλλομαι· καθὼς ἐκατηράθητε παρὰ τῶν πενήτων καὶ πτωχῶν καὶ ξένων καὶ ὀρφανῶν καὶ χηρῶν καὶ ἀδυνάτων καὶ πάντων τῶν ἀδικηθέντων ὑφ' ὑμῶν, τὸ *Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον*· οὓς ἡ ἀσπλαγχνία καὶ ἡ ἀνελεημοσύνη οἰκήτορας τῆς γεέννης ἐποίησεν ὑμᾶς.

Ϛ'. Ἠκούσατε, ἀγαπητοί, τὴν ὀδυνηρὰν ἀπόφασιν τοῖς ἐξ εὐωνύμων ἱσταμένοις παρὰ τοῦ Δεσπότου διαλεχθεῖσαν· καὶ τὸ ποῦ ἀπεπέμφθησαν, οἶδα οὐκ ἀγνοεῖτε· ἀλλὰ παρακαλῶ τὴν ἐν Χριστῷ ὑμῶν ἀγάπην, ὡς ἔχοντες καιρὸν μετανοίας προκαταλάβωμεν τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ, καὶ ἐξ ὅλης ψυχῆς ἡμῶν ἐξιλεωσώμεθα τὴν αὐτοῦ ἀγαθότητα, καὶ ἕκαστος τῷ ἰδίῳ σφάλματι διορθωθήτω, πρὶν ἢ τὸ τῆς ζωῆς αὐτοῦ πέρας διαλυθῇ. Ὁ ῥάθυμος μηκέτι ἔστω ῥάθυμος, ἵνα μὴ χαυνωθῇ, καὶ ὃ ἔχει ἀπολέσῃ, καὶ ἀκούσῃ ὥσπερ ἐκεῖνος ὁ ὀκνηρὸς δοῦλος. Ὁ κλέπτης, μηδὲ αὐτὸς κλεπτέτω, ἀλλὰ παυσάσθω καὶ ἐργαζέσθω ταῖς ἰδίαις αὐτοῦ χερσίν, ἵνα ἐκ τοῦ ἔργου αὐτοῦ καὶ τὸν μὴ ἐργαζόμενον χορηγῇ. Τί γὰρ ὠφελεῖται ὁ κλέπτης ἐν τῷ κλέπτειν; Οὐδέν, εἰ μὴ κατάραν καὶ ἀνάθεμα ἀπὸ πάντων ἐπισπᾶται· οἱ πόρνοι καὶ οἱ μοιχοὶ ἀπὸ τοῦ νῦν διορθώσασθε ἑαυτούς· ὡσαύτως καὶ οἱ ἐν ἀσελγείαις καταμιάναντες τὰ σώματα ὑμῶν, παύσασθε καὶ μὴ καθυβρίζετε τὰ

A quidquam in me beneficii exprompsistis; ita ut meam in vobis creaturam agnoscerem, gratiamque referrem.

V. Jam vero quid isti apud incorruptum judicem pro se dicent? Domine, quandonam te vidimus esurientem, aut sitientem, aut peregrinum, aut nudum, aut in carcere, et non ministravimus tibi? Verumtamen respondebit his virtutum amator Dominus: Utique me, ut dicitis, non vidistis; attamen fratres, membra mea, singulis horis coram vobis erant, quos fame, siti, frigore vexatos despexistis, vestros ab his oculos avertistis, januas occlusistis, cum ignominia demisistis, B neque saltem ut catulos buccellæ fragmento donastis. Certe si quid uni ex minimis fratribus meis præstitum a vobis fuisset, mihi utique præstitum reputassem. Neque beneficia tantummodo his denegastis, verum etiam si quis eorum virtuti operam dabat, et propter indolis meæ notitiam, ipse quoque fraterno more charitatem exhibebat, aut obolum scilicet, aut vestem, aut panem; vos, inquam, hunc diripuistis et pugnis contudistis; minime veriti fore ut me aliquando videretis, meamque objurgationem perferretis. O crudeles et sine misericordia homines! Ego vos donis meis affluenter cumulavi; nihilominus veniente ad vos fratre meo semel, et opem aliquam petente, tenaci animo fuistis. Ille autem tristis abiit, famelicus, sitiens, frigore rigens, C vitæ suæ desperans, cum gemitu maledicens, sublatoque ad me oculo ut voci ejus auscultarem. Nam injuste afflictorum gemitus, ad injuriæ auctorum pœnam redundant. Idcirco maledicti appellamini, tristemque vobis sententiam denuntio: quemadmodum ab egenis, pauperibus, peregrinis, orphanis, viduis, invalidis, cunctisque a vobis injuria affectis, maledicti fuistis; sic aio vobis: *Discedite a me maledicti in ignem æternum.* Vestra enim vos inclementia et illiberalitas gehennæ incolas effecit.

VI. Audistis, charissimi, luctuosam adversus sinistræ partis homines a Domino dictam sententiam. Sed et quem in locum sint amandati, vos minime ignorare scio. Superest ut vestram in Christo cha- D ritatem deprecer, ut, dum tempus pœnitendi habemus, misericordiam Dei præoccupemus, totaque anima nostra illius propitiemus bonitatem, unusquisque peccata sua corrigat, antequam vitæ exitus instet. Piger jam non sit piger, ne inertia luxetur, et quod habet amittat, datamque adversus pigrum famulum sententiam audiat. Fur jam non furetur, sed crimine omisso manibus suis operetur, ut ex proprio opere illum etiam qui operari nequit juvet. Quid enim confert homini furtum? Nil profecto, nisi maledictionem ab omnibus et anathema. Fornicatores et adulteri, abhinc vos corrigite; item quotquot flagitiis corpora vestra contaminatis, desinite, nec membra vestra diutius ignominiosa luxuria lædite. *Nescitis, quia templum Dei estis, et*

Spiritus Dei habitat in vobis[10], ut ait Apostolus? *Nam qui templum violant, iidem animam quoque violant.* Dicit insuper Apostolus: *Fornicatores et adulteri regnum Dei non hæreditabunt, propterea quod adversus corpus suum peccant*[11]. Idcirco hortor vos, charissimi, ut abstineatis a carnalibus desideriis vestris, ut sancti inveniamini in carnis exspoliatione. Tu vero luxuriaris et crapularis quotidie, corporique tuo, imo animæ potius, nocere non gravaris; tum etiam oculos obtenebrare ac madefacere nimio potu. Jamdiu gulæ et ebrietati indulsisti: noli aliud quidquam ulterius præter officium agere, ne et tu in illorum numero computeris, de quibus dixit Isaias propheta: *Væ potentibus vestris qui bibunt vinum*[12]! Item Apostolus ait: *Nolite inebriari vino, in quo est luxuria*[13]. Deinceps jam ab exitioso hujusmodi detrimento desinite. Invidi, ultores, superbi, emendemini; et cum omnibus tam plebeiis quam optimatibus vinculum charitatis, pacis et humilitatis constringite, sicut Dominus monuit, ne æque ac scribæ, vel jactabundus ille pharisæus, condemnemini. Raptores et avidi, expavescite, et aliena diripere omittite. Etenim nihil aliud avarus in hac vita lucratur, quam consentaneum peccato suo maledictum: ejus autem rapina in hoc mundo manet. Omnino quotquot præteritum tempus male turpiterque insumpsistis, satis detrimenti cepistis. Superest ut reliquum vitæ vestræ tempus studiose exigatis, antequam veniat insperato translatio vestra, et vos puniamini; egenique ac derelicti longum in exsilium abducamini, ex quo nemo revocari potest. Haud ergo diutius malum propositum retineamus, sed malitia omni et avaritia, quæ diabolo placet, omissa, peccata sua unusquisque emendet, propriæque saluti consulat, antequam nundinæ hæ dissolvantur, quibus intersunt et qui oleum vendunt et qui emunt. Verumtamen post absolutas nundinas, neque vendendi neque emendi copia erit. Quod ergo vere bonum est et probabile ac Deo gratum, id agite, ut ejus dextera statione digni habeamini.

μέλη ὑμῶν τῇ ἀσωτείᾳ. *Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν*, καθὼς εἶπεν ὁ Ἀπόστολος[10]· *Οἱ γὰρ φθείροντες τὸν ναὸν, καὶ τὴν ψυχὴν φθείρουσι.* Λέγει δὲ τοῦτο ὁ Ἀπόστολος[11]· *Πόρνοι καὶ μοιχοὶ βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι, διὰ τὸ εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνειν.* Διὰ τοῦτο παραινῶ ὑμᾶς, ἀγαπητοὶ, ἀπέχεσθαι τῶν σαρκικῶν ὑμῶν ἐπιθυμιῶν, ἵνα ἁγνοὶ εὑρεθῆτε ἐν τῇ ἀπεκδύσει τῆς σαρκός. Ὁ δὲ σπαταλῶν καὶ μεθύων καθ' ἑκάστην, οὐκ ἐβαρύνθης τοῦ βλάπτειν τὸ σῶμά σου, μᾶλλον τὴν ψυχὴν, καὶ τοὺς ὀφθαλμοὺς σκοτίζειν καὶ ὑγραίνειν ἐκ πολυποσίας. Καιρὸν ἤδη πολὺν ἔχεις οὕτως γαστριμαργῶν καὶ μεθύων· καὶ μηκέτι ἄλλο παρὰ τὸ εἰκὸς θελήσεις ποιῆσαι, ἵνα μὴ καὶ σὺ συναρίθμιος γένῃ, καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης[12]· *Οὐαὶ οἱ ἰσχύοντες ὑμῶν, οἱ τὸν οἶνον πεινῶντες.* Καὶ ὁ Ἀπόστολος λέγει[13]· *Μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτεία.* Λοιπὸν παύσασθε τῆς τοιαύτης ἐπολέθρου βλάβης. Οἱ φθονεροὶ καὶ μνησίκακοι καὶ ὑπερήφανοι διορθώσασθε ἑαυτοὺς, καὶ πρὸς πάντας μικρούς τε καὶ μεγάλους τὸν σύνδεσμον τῆς ἀγάπης καὶ εἰρήνης καὶ ταπεινοφροσύνης ἔχετε, καθὼς ὁ Κύριος εἶπεν, ἵνα μὴ κατακριθῆτε ὥσπερ οἱ γραμματεῖς, καὶ ὡς φαρισαῖος ὁ μεγάλαυχος. Οἱ ἅρπαγες καὶ πλεονέκται, φρίξατε, καταλιπόντες τὰ ἀλλότρια ἐφαρπάζειν· οὐ γάρ τι κερδάνῃ ὁ πλεονεκτῶν ἐν τῷδε τῷ βίῳ, ἀλλ' ἢ μόνον κατάραν συνακολουθοῦσαν αὐτῷ ἐκεῖθεν· τὸ δὲ ἁρπαχθὲν παρ' αὐτοῦ, ὧδε μένει. Καὶ ἁπλῶς ὅσοι κακῶς καὶ αἰσχρῶς τὸν παρελθόντα ὑμῖν καιρὸν διεπράξασθε, ἐζημιώθητε. Κἂν τὸν παραλειφθέντα ὑμῖν χρόνον τῆς ζωῆς ἀγωνίσασθε· καὶ πρὶν ἐπέλθῃ ἡ διαδοχὴ ὑμῶν, ὅτε οὐ προσδοκᾶτε, καὶ ζημιωθῆτε· καὶ αὐτοὶ πτωχοὶ καὶ ἀπερίστατοι ἐν ἐξορίᾳ μακρᾷ ἀπηνέχθητε, ὅπου οὐκ ἔστιν ἀνάῤῥυσις· καὶ μηκέτι τοῦ κακοῦ φρονήματος ἐγκρατεῖς γενόμεθα, ἀλλὰ πᾶσαν κακίαν καὶ πλεονεξίαν τὴν ἀρέσκουσαν τῷ διαβόλῳ καταλιπόντες, καὶ ὃ ἔχει σφάλμα ὁ καθεὶς διορθωσάτω, καὶ τὴν σωτηρίαν αὐτοῦ πραγματευσάτω, πρὶν τῆς πανηγύρεως διαλυθείσης· ἐν ταύτῃ γάρ εἰσι καὶ οἱ πωλοῦντες τὸ ἔλαιον, ὡσαύτως καὶ οἱ ἀγοράζοντες τοῦτο. Ἐπ' ἂν δὲ λυθῇ ἡ πανήγυρις, οὔτε πρᾶσις γίνεται οὔτε ἀγορά. Καὶ τῷ ὄντι καλὸν καὶ εὐάρεστον τὸ ἀρέσκον Θεῷ, τὸ αὐτὸ καὶ ποιεῖτε, ἵνα καὶ τῆς ἐκ δεξιῶν αὐτοῦ στάσεως ἀξιωθῆτε.

VII. Si homo propriæ mortis memoriam corde suo semper versaverit, jam non peccabit. Nam timor cupiditatem expellit, si certe reputemus quali gaudio ac lætitia fruentur justi, quali pœna peccatores. Ideo, charissimi, rogo vos ut illius sæculi tum jucunda tum molesta semper mente agitetis. Vel omnino quomodo quinque illæ prudentes virgines, propter abundans in suis lampadibus oleum, luce illustratæ non dormitaverint, sed nuptiale conclave statim ac patuit sint ingressæ, regio thalamo, non exclusæ fuerint, quia splendidum olei circa ipsas lumen radiabat. At reliquæ quinque virgines, quia lampades oleo destitutas habuerunt, his ex-

Ζ'. Εἰ μὲν ὁ ἄνθρωπος πάντοτε ἐπὶ μνήμης ἔχει τὸν θάνατον ἐν τῇ καρδίᾳ αὐτοῦ, οὐκέτι ἁμαρτάνει. Ὁ γὰρ φόβος διώκει τὴν ἐπιθυμίαν, λογιζόμενος ἐν ἑαυτῷ ποίαν εὐφροσύνην καὶ χαρὰν μέλλουσιν ἀπολαύειν οἱ δίκαιοι, καὶ ποίαν κόλασιν οἱ ἁμαρτωλοί. Διὸ, ἀγαπητοὶ, παρακαλῶ ὑμᾶς, πάντοτε ἐπὶ μνήμης ἔχετε τοῦ ἐκείνου αἰῶνος τά τε χαροποιὰ καὶ τὰ λυπηρά. Ἢ ὄντως πῶς αἱ πέντε φρόνιμοι παρθένοι διὰ τὸ ἐκ περισσοῦ ἔχειν αὐτὰς τὸ ἔλαιον ἐν ταῖς λαμπάδαις αὐτῶν, καὶ τῷ φωτὶ περιλαμπόμεναι, οὐχ ὕπνωσαν, ἀλλὰ τοῦ νυμφῶνος ἀνοιγέντος εἰσῆλθον, μὴ παρεμποδιζόμεναι εἰς τὸν βασιλικὸν παστὸν, διὰ τὸ φῶς περιαυγάζον αὐταῖς ἐλαίου. Αἱ δὲ λοιπαὶ

[10] I Cor. III, 16. [11] I Cor. VI, 9. [12] Isa. V, 22. [13] Ephes. V, 18.

πέντε παρθένοι διὰ τὸ μὴ ἔχειν καὶ αὐτὰς ἔλαιον ἐν ταῖς λαμπάδαις αὐτῶν ἐσβέσθησαν καὶ ἐκάθευδον· τοῦ δὲ νυμφῶνος ἀνοιγέντος, οὐκ ἔχουσαι φῶς ἐλαίου τοῦ ἰδεῖν καὶ αὐτὰς τὴν εἴσοδον· ὁ γὰρ ἐν τῇ σκοτίᾳ περιπατῶν, οὐκ οἶδε ποῦ ὑπάγει· ὁ δὲ ἐν φωτὶ περιπατῶν εἶδε τὴν ὁδόν. Τὸ αὐτὸ συνέβη καὶ εἰς τὰς πέντε μωρὰς παρθένους, σβεννυμένων τῶν λαμπάδων· καὶ μὴ ὀρθοποδοῦσαι εὑρεῖν [ita cod.] τὴν εἴσοδον, ἐκλείσθη ὁ νυμφὼν, ἔξω καταλειφθεῖσαι.

Η'. Ὡσαύτως εἴπω καὶ περὶ τοὺς εὐσπλάγχνους καὶ ἐλεήμονας τὸ οἵας φωνῆς ἠξιώθησαν ἀκοῦσαι, τὸ *Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός*. Ἔτι δὲ καὶ πρὸς τοὺς ἀσπλάγχνους καὶ ἀνελεήμονας καὶ αὐτὴν ἀκοῦσαι τὴν ὀδυνηρὰν ἀπόφασιν, τὸ *Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι*. Ἠκούσαμεν δὲ παρά τινος ἐκατηράθησαν· πρόσεχε τὸ, δι' ἣν αἰτίαν κατηραμένοι ὠνομάσθησαν. Πολλάκις ἐν τῇ πλατείᾳ τῆς καθ' ἡμῶν πόλεως κατέτυχον, καὶ ἴδιον συνηγμένους πτωχοὺς καὶ ἀδυνάτους καὶ ξένους, καὶ ἤκουσα διηγουμένους πρὸς ἀλλήλους, λέγων ὁ ἕτερος πρὸς τὸν ἕτερον· Ὄντως, ἀδελφὲ, ὁ Θεὸς καλὰ νὰ (1) ποιήσει μετὰ τοῦ δεῖνος· αὐτός μου ὑπάρχει ὁ τροφεὺς τῆς ἐμῆς πτωχείας. Λέγει δὲ, Καλῶς εἶπας· καὶ ἐμὲ χειραγωγεῖ διὰ παντὸς, καὶ οὐ μὴ παύσομαι τοῦ ὑπερεύχεσθαι αὐτόν. Καὶ ἄλλος εἶπε· Κἀμὲ ὁ δεῖνα ἠλέησε γυμνὸν ὄντα με· καὶ ἰδοὺ ὅπερ ἱμάτιον φορῶ, αὐτός μοι ἐσκέπασε· καί οἱ Θεὸς ἴδοι, καὶ αὐτὸν ἐλεήσει. Ἕτερος δὲ λέγει· Ἐγὼ, ὡς ὁρᾶτε, ξένος εἰμὶ, καὶ ὡδήγησέ με λέγω ὁ δεῖνα, καὶ ἀντελάβετό μου ὑπὸ τὴν στέγην αὐτοῦ, καὶ πᾶσαν θεραπείαν ἐνδείκνυται εἰς ἐμέ· ὅπερ τὴν ἀντιμισθίαν εὔχομαι λαβεῖν αὐτὸν παρὰ τοῦ Δεσπότου· καὶ ἀποκριθεὶς πάλιν ἄλλος εἶπεν· Ἐγὼ ἀδύνατος γέρων εἰμὶ, καὶ ἐτύπωσεν [ita cod.] ὁ δεῖνα ἐμέ τε καὶ ἄλλους ἀδυνάτους, καὶ καθ' ἡμέραν σὺν αὐτῷ ἀριστοῦμαι ἐπὶ τῆς τραπέζης αὐτοῦ. Οὕτως οἱ αὐτοὶ εἰς αὐτοὺς ὁμιλοῦντες ηὔχοντο ἐμπόνως τοὺς ἀγαθοὺς καὶ ἐλεήμονας, κληρονόμους γενέσθαι τῆς βασιλείας τοῦ Χριστοῦ.

Θ'. Καὶ ὡς ταῦτα διηγοῦντο, ἐξ αὐτῶν τις εἶπεν· Ἐπεὶ ἀνεφέραμεν τοῦ λέγειν διὰ τοὺς ἐλεήμονας, εἴπωμεν καὶ διὰ τοὺς ἀνελεήμονας, τὸ τίς καὶ τίς ἦν. Οἶδα γὰρ ἐγὼ τὸν δεῖνα, καὶ ἔστιν ἀνελεήμων καὶ ἀπάνθρωπος, ὅτι κρίσιν οὐκ ἐνθυμεῖται. Ποτὲ γὰρ ἐξ αὐτοῦ τις ἐλεημοσύνην οὐκ ἔλαβε, ἀλλὰ μᾶλλον οἷον καὶ πιάσει ἐξ ἡμῶν τῶν πενήτων, ἐκδύει ψηλαφῶν τούτων, λέγων· Ὑμεῖς τραχοταὶ (2) νομισμάτων ὑπάρχετε· καὶ εἴ τι διακονηθῇ παρὰ ἄλλου φιλοχρίστου, ἁρπάζει· καὶ ὁ πτωχὸς ἀναχωρεῖ καταρώμενος. Ἄλλος εἶπεν· Ἐγὼ ἀπῆλθον εἰς τὸν δεῖνα μὴ πολλάκις λάβω μικροῦ κλάσματος ἄρτου· καὶ ὡς προσῆλθον τῆς αὐλῆς αὐτοῦ, ἐπέταξε τοῖς κυσὶ, καὶ τὰ μέλη μου ἐσπάραξαν, καὶ ὑπεχώρησα καταρώμενος. Ἕτερος εἶπεν· Ἐγὼ δὲ παρὰ τὸν δεῖνα, ἀντὶ τοῦ λαβεῖν με πάρ' αὐτοῦ ἐλεημοσύνην, τέτυμμαι παρὰ τῶν ὑπουργῶν ἐκείνου, καὶ ἀπεδιώχθην καταρώμενος τοῦτον. Ταῦτα κατὰ τῶν ἀνε-

stinctis ad somnum conversæ sunt: moxque aperto conclavi, luce olei caruerunt, cujus ope introitum cernerent. Nam qui in tenebris ambulat, quo deducatur ignorat: qui autem in luce graditur, viam pervidet. Eadem calamitas accidit stultis virginibus, quibus lampades exstinctæ fuerunt; et circa introitum deerrantibus, conclave obseratum fuit; hæque idcirco extra manserunt.

VIII. Idem aio de misericordibus, et eleemosynam facientibus, qui verba illa audire digni erunt: *Venite, benedicti Patris mei.* Nec non de immitibus et illiberalibus, qui luctuosum vicissim decretum audient: *Discedite a me, maledicti.* Audivimus etiam a quo maledicti sint: nunc causam cognosce quamobrem maledicti sunt nominati. Sæpe in urbis nostræ dum foro versarer, congregatos vidi pauperes et invalidos ac peregrinos, eosque alternis fabulationibus audivi colloquentes sic: Utique, frater, Deus sine dubio bene faciet homini illi; est enim paupertatis meæ nutritor. Cui alter respondebat: Recte ais; nam mihi quoque in omnibus opem fert, neque unquam pro eo orare desinam. Alius quoque aiebat: Mei quoque nudi misertus est ille; en quippe quod gero vestimentum ipse mihi induit. Deus utinam respiciat, et illius misereatur! Alius item sic: Ego, ut cernitis, peregrinus sum; ille autem dux mihi fuit, et tecto suo recepit, mihique omne curæ genus impendit. Quamobrem mercedem illi a Domino imprecor. Denique alius dicebat: Ego impotens senex sum; hic autem tesseram mihi aliisque impotentibus dedit, ut cum eo quotidie conviver in mensa ipsius. Ita illi colloquentes enixe precabantur ut boni et misericordes regni Christi hæredes fierent.

IX. Dum hæc illi dicerent, alius quidam interfatus est: Quoniam de misericordibus sermo fuit, dicamus aliquid etiam de immisericordibus, quid ille vel alter fecerit. Namque ego novi hominem illum immisericordem atque inhumanum, qui de futuro judicio non cogitat. Non enim ab eo quisquam eleemosynam unquam recepit, verum etiam nos pauperes vexat, et palpando pecunia spoliat, dicens: Vos quidem asperos nummos habetis. Et si quid a pio Christiano datum fuerit, eripit: atque ita pauper maledicens discedit. Alius aiebat: Ego ad illum abii, ut exiguum aliquando panis frustum acciperem: sed cum ad ejus aulam accederem, ille canibus suis imperavit qui membra mea discerpserunt, atque ita maledicens recessi. Alius denique dixit: Ego hominem illum conveni, sed eleemosynæ loco ab ejus famulis verberatus fui, et fuga maledicens me proripui. Hæc adversus immi-

NOTÆ.

(1) Ita cod. pro ναί, etiam inferius, n. 16.

(2) Ita cod. τραχοταί, de quo vocabulo, seu sincero, seu mendoso, judicent eruditi. Mihi arridebat derivare a τραχύς. Nam qui sit *asper nummus*, scimus.

sericordes dum dicerent, una voce iis maledicebant cum anathemate. Et videsis, charissime, amborum diversam vicem, quomodo pauperum preces faciant hæredes et incolas paradisi misericordes homines, qui etiam propter eam quam præ se tulerunt misericordiam, benedicti appellantur a benigno et misericorde Christo Deo nostro. Vicissim pauperum maledictiones repellunt immisericordes atque immites a clementia Dei, hæredesque et incolas faciunt æterni ignis. Propterea maledicti appellantur et diaboli contubernales.

X. Nos autem quotquot in Christo baptizati sumus, Christum induamus [14], hilaritatem, mansuetudinem, bonaque viscera conservis nostris exhibeamus, ne et nos iram illam promereamur, quam ille improbus servus expertus est, qui dominum suum misericordem nactus, noluit vicissim conservi sui misereri : ideoque ligatis manibus et pedibus in exteriores tenebras [15] amandemur. Sed bonam potius voluntatem, et animabus nostris utilem foveamus, fratres; et imitatores simus illius, qui pro nobis sponte fuit pauper, Christi Dei nostri, ut nos gratia ejus ditescamus. Ergo prout habet unusquisque, non habenti largiatur eleemosynam : nam qui misericors fuerit, misericordiam prorsus experietur ; qui secus non miserebitur, misericordiæ beneficio carebit. Non enim gratis accipiunt eleemosynam pauperes, sed quantas retribuant preces considera. Audi dicentem nosque exhortantem Isaiam prophetam : *Frange esurienti panem tuum, et pauperes sine tecto induc in domum tuam. Si videris nudum, operi ; et domesticos seminis tui ne despexeris. Tunc erumpet matutinum lumen tuum, et vestimenta tua cito orientur : et præibit ante te justitia tua, et gloria Dei circumdabit te. Tunc clamabis, et Deus exaudiet te ; adhuc loquente te, dicet : Ecce adsum. Si abstuleris a te vinculum* (*iniquitatis*), *et manus extensionem* (*deridendi causa*), *et verbum murmurationis, et dederis esurienti panem tuum, et animam afflictam repleveris; tunc orietur in tenebris lux tua, et tenebræ tuæ erunt sicut meridies, semperque tecum Deus erit* [16].

A λεημόνων λέγοντες ὡς ἐν μιᾷ τῇ φωνῇ ἐκαταρῶντο αὐτοῖς καὶ ἀναθεμάτιζον. Καὶ ὅρα, ἀγαπητὲ, τῶν ἀμφοτέρων τὸ διάφορον, πῶς αἱ εὐχαὶ τῶν πενήτων κληρονόμους καὶ οἰκήτορας τοῦ παραδείσου ποιοῦσι τοὺς ἐλεήμονας, καὶ εὐλογημένους ὀνομασθέντας διὰ τῆς εὐσπλαγχνίας ἧς ἐπεδείξαντο, παρὰ τοῦ εὐσπλάγχνου καὶ ἐλεήμονος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Ὡσαύτως καὶ αἱ κατάραι τῶν πενήτων ἐκδιώκουσι τοὺς ἀνελεήμονας καὶ ἀσπλάγχνους ἐκ τῆς φιλανθρωπίας τοῦ Θεοῦ, καὶ κληρονόμους καὶ οἰκήτορας αὐτοὺς τοῦ αἰωνίου πυρὸς ποιοῦσι. Διὰ τοῦτο καὶ κατηραμένοι ἐκλήθησαν καὶ τοῦ διαβόλου σύνοικοι.

Ι'. Ἡμεῖς δὲ, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, Χριστὸν ἐνδυσώμεθα, τὸ γαληνὸν, καὶ ἥμερον, καὶ χρηστὰ σπλάγχνα ἐνδειξώμεθα πρὸς τοὺς ὁμοδού-B λους ἡμῶν, ἵνα μὴ καὶ ἡμεῖς τὴν ὀργὴν ἐκείνην ἐπισπασώμεθα, ὡς ὁ πονηρὸς δοῦλος ἐκεῖνος, ὁ συμπαθηθεὶς παρὰ τοῦ δεσπότου, καὶ μὴ θελήσας καὶ αὐτὸς τὸν σύνδουλον αὐτοῦ ἐλεῆσαι· καὶ δεθῶμεν χεῖρας καὶ πόδας, καὶ εἰς τὸ σκότος τὸ ἐξώτερον ἀποπεμφθῶμεν. Ἀλλὰ βουλὴν ἀγαθὴν καὶ ὠφέλιμον τῶν ἡμετέρων ψυχῶν συμβουλευσώμεθα, ἀδελφοὶ, καὶ μιμηταὶ γενώμεθα τοῦ ὑπὲρ ἡμῶν πτωχεύσαντος ἑκουσίως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἵνα ἡμεῖς πλουτήσωμεν τῇ αὐτοῦ χάριτι· καὶ ὃ ἔχει ἕκαστος ποιήσει ἐλεημοσύνην εἰς τὸν μὴ ἔχοντα· καὶ ὁ ἐλεῶν ἐλεηθήσεται πάντως· ὁ δὲ μὴ ἐλεῶν, οὐδὲ αὐτὸς ἐλεηθήσεται. Οὐ γὰρ δωρεὰν λαμβάνουσιν οἱ πένητες τὴν ἐλεημοσύνην, ἀλλὰ σκόπησον πόσας εὐχὰς C ἀντιπαρέχουσιν. Ἄκουσον δὲ καὶ τοῦ προφήτου Ἠσαΐου λέγοντος καὶ παραινοῦντος ἡμῖν· *Διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου. Ἐὰν εἴδῃς γυμνὸν, περίβαλε· καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει. Τότε ἐῤῥαγήσεται πρώϊμον τὸ φῶς σου, καὶ τὰ ἱμάτιά* (3) *σου ταχὺ ἀνατελεῖ· καὶ προπορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε. Τότε βοήσεις, καὶ ὁ Θεὸς εἰσακούσεταί σου· ἔτι λαλοῦντός σου ἐρεῖ, Ἰδοὺ πάρειμι. Ἐὰν δὲ ἀφέλῃς ἀπὸ σοῦ σύνδεσμον* (4) *καὶ χειροτονίαν* (5) *καὶ ῥῆμα γογγυσμοῦ, καὶ δῷς πεινῶντι τὸν ἄρτον σου, καὶ ψυχὴν τεταπεινωμένην ἐμπλήσῃς, τότε ἀνατελεῖ ἐν τῷ σκότει τὸ φῶς σου, καὶ τὸ* D *σκότος σου ὡς μεσημβρία· καὶ ἔσται ὁ Θεὸς μετὰ σοῦ διαπαντός.*

[14] Galat. III, 27. [15] Matth. XXII, 13. [16] Isa. LVIII, 7 seqq.

NOTÆ.

(3) Ita cod. ἱμάτια *vestimenta*, non ἰάματα *sanationes* aut *sanitates*. Revera ἱμάτια legebant Tertullianus, Cyprianus et Valerianus, antiqui patres, a Sabaterio laudati, qui transtulerunt *vestimenta*. Ei lectioni accedit nunc alius suffragator Eusebius noster. Hieronymus quidem comment. ad Is. LVIII, 8, putat Latinos inconsideranter legisse ἱμάτια pro ἰάματα, nominis similitudine ductos; nunc tamen apparet etiam ex Eusebio revera exstitisse in aliquo saltem Græci textus codice ἱμάτια; quanquam ego quoque anteponendum ei puto ἰάματα. En verba Hieronymi : *Latini interpretes ducti nominis similitudine*, ἱμάτια, *id est vestimenta, posuerunt. Unde multi translationis falsitate decepti ad resurrectionem corporis comprobandam, hoc utuntur testimonio, quo scilicet vestimentum animæ corpus accipi velint, quod in die resurrectionis oriatur*. De *vestimento* pro *corpore*, Cyrillus apud nos ad ps. LVIII, 12, ibique Diodorus Tarsensis in nostro scholio.

(4) Lucifer Calaritanus apud Sabaterium legit diserte *vinculum iniquitatis*.

(5) S. Hieronymus hoc loco : *pro* χειροτονίαν *tres alii interpretes* (Aq. Sym. Theod.) *voce consona extentum digitum transtulerunt : ne detrahas proximo tuo, et singulos quasi digito notes*.

ΙΑ. Ἤκουσας, ἀγαπητὲ, παραίνεσιν θαυμαστὴν A τοῦ προφήτου συνωθοῦντός σε εἰς ἐλεημοσύνην, καὶ τὸν Θεὸν ἀπὸ σοῦ μὴ διαλιμπάνειν. Ἄκουσον καὶ τοῦ παροιμιαστοῦ λέγοντος· *Ἐλεημοσύναι καὶ πίστεις ἀποκαθαίρουσιν ἁμαρτίας*. Καὶ ὁ Δαβὶδ λέγει· *Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος*. Καὶ πάλιν· *Ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησι, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος*. Τοιοῦτον γὰρ δῶρον δωρεῖται ἡ ἐλεημοσύνη· διὸ παρακαλῶ ὑμᾶς, τὴν ἀγάπην καὶ ἐλεημοσύνην ἐν παντὶ καιρῷ ἐργάζεσθαι. Καὶ μὴ εἴπῃς· Σήμερον ἀσχολῶ, ἀλλὰ αὔριον ἢ τὴν δεῖνα ἡμέραν πάντως ποτὲ ἐν εὐκαιρίᾳ εἰμὶ καὶ τὴν ἐλεημοσύνην ποιοῦμαι. Τί λέγεις, ἄνθρωπε; Οὐκ ἤκουσας τοῦ Σολομῶντο; λέγοντός σοι; *Μὴ εἴπῃς ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω, δυνατοῦ σου ὄντος εὖ* B *ποιεῖν· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα*. Μόνον ἤδη ἂν ὥρα· ἐὰν θέλῃς, ἐργάζου τὴν ἐλεημοσύνην· καὶ μὴ περιφέρῃς τὸν νοῦν σου εἰς λογισμοὺς ἀνωφελεῖς καὶ προφασίζεσθαι προφάσεις ματαίας, λέγων ἐν ἑαυτῷ· Καλόν ἐστι τὸ ποιεῖν ἐλεημοσύνην τις [ita cod.]· ἀλλ' ἴσως συμβαίνει μοι μακρὸν γῆρας· πῶς ἔχω ποιῆσαι; Ἐὰν ἔτι διανέμω τὰ ὑπάρχοντά μου, τίς ὁ ἐμὲ διοικῶν; Τὸ παρὸν κρατήσω· οἶδα ὅτι τοῦ πάππου μου παρόμοιός εἰμι, καὶ μακροχρονίσω ὡς ἐκεῖνος. Ἀλλ' οὖν πολλάκις καὶ ἐν ἀῤῥωστίᾳ δεινῇ γένωμαι, τότε διατυποῦμαι διανεμηθῆναι τὸν πλοῦτόν μου, καὶ μετὰ χεῖρας ἐλεημοσύνην ποιοῦμαι. Φιλάνθρωπός ἐστιν ὁ Θεὸς, καὶ τὸ συμφέρον οἰκονομῆσαι ἔχει. C

ΙΒ'. Ὢ πρόφασις ἡ μηδὲν ὠφελοῦσα, ἀλλὰ μᾶλλον βλάπτουσα τοὺς εἰς τοιαύτας ἐνθυμήσεις λογιζομένους! Οὐκ ἤκουσας τοῦ Εὐαγγελίου τὸ τί λέγει περὶ τοῦ πλουσίου τοῦ χαλάσαντος τὰς ἀποθήκας αὐτοῦ καὶ μείζονας οἰκοδομήσαντος εἰς ἀπόθεσιν τῶν πολυσυνάκτων αὐτοῦ σιτίων, προσδοκῶντος χρόνους πολλοὺς ζῆσαι, καὶ εἰς ἄκρον γήρως καταστῆσαι αὐτόν; Τί πρὸς ταῦτα τούτῳ συνέβη τῷ λογισαμένῳ μακροχρονίσαι, καὶ ἐν εὐθηνίᾳ θέλοντι σπαταλᾷν; Οὗτος διενοεῖτο ἐν τῷ παρόντι αἰῶνι διάγειν, καὶ ἐν τῷ διαλογίζεσθαι αὐτὸν ταῦτα, ἦλθεν ἀπόφασις τοῦ ἆραι τοῦτον ἐντεῦθεν, καὶ εἰς ἐξορίαν παραπεμφθῆναι, μὴ συγχωροῦντες αὐτὸν τί λαβεῖν ὧν ἐνταῦθα ἐσύναξεν [ita cod.] ἐξ ἀδικίας. Ἀλλὰ θρίαμβος ὁρᾶται τοῖς πᾶσι, καὶ γυμνὸς ἑλκόμενος ὡς αἰχμάλωτος· ἀλλ' ἢ μόνον οἱ αἴροντες αὐτὸν μικροῦ τινος D χιτῶνος κατέλιπον, καὶ αὐτὸν διὰ τὴν αἰσχύνην τοῦ σώματος αὐτοῦ καλύπτειν· καὶ ὁ προσδοκῶν πολυχρόνιος εἶναι, ὀλιγοχρόνιος γέγονε· καὶ ἃ ἐσύναξεν ἐκ τόκου καὶ ἀδικίας, κατέλιπε, κἂν μὴ θέλοντος αὐτοῦ· καὶ ἄλλοι τὰ αὐτοῦ διεμερίσθησαν. Αὐτὸς δὲ εἰς μάτην ἦν κοπιῶν, μηδὲν ἐξ αὐτῶν κερδήσας. Εἶδες, ἀγαπητὲ, τὴν ζημίαν ἣν ἔπαθεν ὁ αὐτὸς πλούσιος· ἐξωρίσθη, μὴ συμφθάσας ἆραί τι πρὸς βραχὺ ἔχον ἐφόδιον ἐν τῇ ὁδῷ αὐτοῦ πρὸς ἀνάψυξιν· ἀλλὰ τὸ οὐδαμινὸν ἱμάτιον αὐτοῦ μόνον συνεπαθήθη ἆραι, ὅπερ δι' ὀλίγου διαῤῥήγνυται, καὶ οὐδεμία ὠφέλειά τις αὐτοῦ γένηται.

XI. Audisti, charissime, miram adhortationem prophetæ, qui ad eleemosynam conferendam impellit; quo facto, a Deo non destitueris. Audi etiam Proverbiorum auctorem : *Eleemosynæ et fidelitates purgant a peccatis* [17]. David quoque ait : *Tota die miseretur et commodat justus* [18]. Et rursus : *Dispersit, dedit pauperibus, justitia ejus manet in sæculum sæculi* [19]. Etenim donum hujusmodi retribuit eleemosyna. Rogo itaque vos, ut charitatem et eleemosynam omni tempore operemini. Neque dicas : Hodie non vaco, sed cras vel alia certa die tempus mihi commodum erit largiendi eleemosynam. Quid ais, homo? Nonne audisti Salomonem tibi dicentem : *Ne dicas : revertens, redi et cras dabo, cum possis statim benefacere. Nescis enim, quid pariet postera dies* [20]. Nunc tantum hora est; si vis, largire eleemosynam, nec mente tua infructuosas cogitationes versa, neque vanas excusationes excusa, tecum ipse dicens : Præclarum est facere eleemosynam; sed fortasse mihi continget longa senectus. Quid faciam ? Si jam facultates meas distribuero, quis mei curam geret ? Quod nunc habeo retinebo. Scio me prope similem esse avo meo, itaque ut ille diu superstes ero. Porro facile eveniet ut longa infirmitate decumbam; tunc utique opes meas distribuere statuam, meaque manu eleemosynam faciam. Benignus est Deus; interim œconomia utilis est.

XII. O plane inutilis excusatio, imo vero noxia iis qui hujusmodi cogitationes animo volvunt! Nonne audisti quid dicat Evangelium de divite horrea sua destruente ac majora ædificante ob suæ cumulatæ segetis repositionem, multos vitæ annos sibi spondente, atque ad summam senectutem se venturum sperante [21]? Quid mox huic accidit de longa vita cogitanti, atque in rerum affluentia pergræcari volenti? Dum hic quidem præsente in sæculo demoraturum se putat, atque id animo agitat, decretum divinum prodiit, ut hinc sublatus in exsilium mitteretur, interdicto etiam ne quid secum auferret ex his quæ in terra injuste cumulaverat. Erat itaque spectaculum omnibus, cum nudus captivi instar efferretur, vix ei parva tunica ab his qui ferebant relicta, quæ corporis ejus pudenda tegeret. Sic ille qui se longævum fore putabat, brevis ævi fuit : et quæ usuris variaque iniquitate congesserat, invitus dimisit, ejusque opes alieni inter se diviserunt. Ergo ille frustra laboravit, nihil inde sibi lucri capiens. Nosti, charissime, pœnam quam idem dives perpessus est; pulsus in exsilium antequam aliquod vel pusillum viaticum sumeret, quo se in via solaretur : sed vilissimam tantum vestem ei tollere permissum fuit, quæ brevi fit lacera, nec ei vel hilum prodest.

[17] Prov. xv, 27. [18] Psal. xxxvi, 26. [19] Psal. cxi, 9. [20] Prov. iii, 28; Prov. xxvii, 1. [21] Luc. xii, 13.

A XIII. Audi Scripturam dicentem : *Sicut mercedis diurnæ tempus, ita vita hominis in terra* [22]. Sic prorsus, o homo, vita nostra se habet. Quamobrem nihil nobis prodest, imo nocet, si opes congeramus et aurum ex iniquitate, et labore pauperum sine mercede. Hæc nos brevi relinquemus inviti, tristesque abibimus, aliique interim divitias nostras inter se partientur, nullam nominis nostri mentionem facientes, vel potius maledicentes. Ausculta mihi, charissime ; opes tuas tibi præmitte. Nam si mihi obtemperare volueris, laborem non perpetieris, mercedem non perdes. Ecce te domi tuæ sedente, venit postulans pauper de divitiis tuis. Tu ergo has transfer in illud sæculum ; da quod petit, si certe mihi vis auscultare : cum tu illuc abiturus eris, grande solatium invenies et lætitiam. B Idsi noles, nec meo consilio acquiesces, nihilominus illuc profectus, angustias famemque perpetuam experieris : quippe qui alios videbis deliciis et gaudio cum angelis gestientes, quia illuc divitias suas præ se miserunt. Propterea audient : Venite, pauperes, benedicti Patris mei : recte judicastis, atque ut sensati ac prudentes opes vestras manu pauperum præmisistis, quas ego excepi, nunc autem vobis restituo ; neque id eatenus, verum etiam bonorum meorum vos hæredes scribo. Talem scilicet remunerationem a Deo referent eleemosynarum datores.

ΙΓ'. Καὶ ἄκουσον τῆς Γραφῆς λεγούσης, *Ὅτι ὡς μισθίου αὐθημερινοῦ, οὕτως ἡ ζωὴ τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς.* Οὕτως, ἄνθρωπε, διάκειται ὁ βίος ἡμῶν. Ὥσπερ οὐδὲν ὠφελούμεθα, ἀλλὰ μᾶλλον βλαπτόμεθα, ἐπισυνάγοντες χρήματα καὶ χρυσὸν ἐξ ἀδικίας, καὶ κόπου πενήτων ἀμισθεί. Ἃ μετ' ὀλίγον καταλιμπάνομεν μὴ θέλοντες, καὶ πορευόμεθα λυπούμενοι, καὶ ἐνταῦθα καταμερίζονται ἄλλοι τὸν πλοῦτον ἡμῶν, καὶ οὐδὲ κἂν μνείαν τοῦ ὀνόματος ἡμῶν ποιοῦντες, ἀλλὰ καὶ καταρῶντες. Ἄκουσόν μου, ἀγαπητὲ, καὶ πρόπεμψόν σου τὸν πλοῦτον. Ἐὰν γὰρ θέλῃς καὶ εἰσακούσῃς μου, κόπον οὐχ ὑπομένεις, οὐ μισθοὺς ἀναλίσκεις, ἀλλὰ καθεζομένου σου εἰς τὴν οἰκίαν σου, ἔρχεται ὁ πένης ζητῶν τὸν πλοῦτόν σου. Μετένεγκε εἰς τὸν ἐκεῖ αἰῶνα· πάρεχε τοῦτον· μόνον ἄκουσόν μου· καὶ ὅτε καὶ σὺ μέλλεις ἀπελθεῖν, πολλὴν ἀνάπαυσιν καὶ εὐφροσύνην εὑρήσεις. Εἰ δὲ μὴ θελήσεις, καὶ παρακούσεις μου τῆς συμβουλίας, πορευόμενος ἐκεῖθεν, στενοχωρίαν καὶ λιμὸν ὑποστῇς διηνεκῆ· ὃς ὁρῶν, ἑτέρους ὄψει ἐν τρυφῇ καὶ χαρᾷ εὐφραινομένους μετὰ ἀγγέλων, διὰ τὸ προπέμψαι τὸν ἑαυτῶν πλοῦτον ἐκεῖ. Διὰ τούτων καὶ ἀκούουσι· Δεῦτε, οἱ ταπεινοὶ, εὐλογημένοι τοῦ Πατρός μου· καλῶς ἐφρονεύσατε, καὶ ὡς νουνεχεῖς καὶ φρόνιμοι τὰ ὑμῶν προεπέμψατε μετὰ τῶν πενήτων· κἀγὼ ἐδεξάμην, καὶ ἰδοὺ παρέχω ὑμῖν· καὶ οὐκ αὐτὰ μόνον, ἀλλὰ καὶ τῶν ἐμῶν κληρονόμους ποιῶ. Τοιαύτας γὰρ ἀμοιβὰς οἱ ἐλεήμονες τεύξονται ἐκ τοῦ Θεοῦ.

C XIV. Neque exspectes eos fortasse audituros : Venite, qui domos splendidas ædificastis, marmorumque splendoribus exornastis, qui balnea struxistis, agros virgultis purgastis, vineas et arbores plantastis, et alia quælibet terrenarum rerum operatores cogitant, cum aiunt : Faciamus aliquid quo memoria nostra in posterum propagetur ; ut qui viderint, beatos nos dicant. Quæcunque id genus homines faciunt, eorum Deus non meminit, neque probat, imo potius aversatur dicens : *Discedite a me.* Nam *venite*, misericordibus dicitur. *Discedite* autem, in eos qui me non noverunt, intorquetur. Non novi vos, nescio undenam sitis ; qui possum in regnum meum advocare ? Discedite a me, ignoro vos. Illi autem quid aiunt expostulantes ? D Domine, cur nos dimittis a te ? Nonne sigillum corporis tui habemus ? Nonne æstum diei propter te tulimus ? nonne virginitatem servavimus ? Utique, dicet, hæc non ignoro : virginitatem custodistis, balnea vitastis, duro lecto et jejunio utentes. Hæc facientes, non tamen pauperum miserti estis. Nempe cum aliquis ad tuas fores accedens et pulsans pavidus orabat miserabili voce dicens : Miserere mei, fame consumor, cor meum anhelat ad olera, anima mea panis desiderio

ΙΔ'. Καὶ μὴ προσδοκῆς ἴσως ἀκούσωσι τὸ, Δεῦτε οἱ οἰκίας λαμπρὰς οἰκοδομοῦντες, καὶ μαρμάρων στιλβότητας διακοσμοῦντες, καὶ λουτρὰ κτίζοντες, καὶ ἀγροὺς ἀνακαθαίροντες, καὶ ἀμπελῶνας καὶ δένδρα φυτεύοντες, ἢ ἕτερα ὅσα ἐπινοηθῶσι γήϊνα ἐργάζοντες· λέγοντες, Ποιήσωμεν εἰς διαδοχὴν ἡμῶν μνημόσυνον, ἵνα οἱ θεωροῦντες μακαρίζωσιν ἡμᾶς. Ταῦτα μὲν ὅσα ἂν ποιήσωσιν οἱ ἄνθρωποι, ὁ Θεὸς ἐπὶ μνήμης οὐκ ἔχει, οὐδὲ ἀποδέχεται, ἀλλὰ μᾶλλον ἐκδιώκει λέγων· *Πορεύεσθε ἀπ' ἐμοῦ.* Τὸ γὰρ *δεῦτε*, τῶν ἐλεημόνων ἐστί· τὸ δὲ *πορεύεσθε*, τῶν μὴ γνωριζόντων με. Οὐ γὰρ εἶδον ὑμᾶς ἢ γνωρίζω τὸ πόθεν ἐστὲ, ἵνα καὶ ὑμᾶς καλέσω ἐν τῇ βασιλείᾳ μου· ἀπέλθετε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς. Τί δέ φασιν ἐγκαλοῦντες; Κύριε, διὰ τί ἀποπέμπεις ἡμᾶς ἀπὸ σοῦ; Οὐ τὴν σφραγῖδα τοῦ σώματός σου ἔχομεν (6), καὶ τὸν καύσωνα τῆς ἡμέρας διήλθομεν διὰ σοῦ, καὶ τὴν παρθενίαν ἐτηρήσαμεν; Ναὶ, φησὶν, οἶδα κἀγώ· παρθενίαν ἐφυλάξατε, ἀλουσίαν, ξηροκοιτίαν (7), καὶ νηστείαν. Ταῦτα ποιήσαντες, ἀλλὰ τὸν πένητα οὐκ ἐλεήσατε, ὅτε εἰς τὴν θύραν σου ἐλθὼν παρακρούων μετὰ φόβου παρεκάλει λέγων ἐλεεινῇ τῇ φωνῇ· Ἐλέησόν με, λιμῷ διαφθείρομαι· ἡ καρδία μου ἐκταράττεται ἐκ τῶν λαχάνων, ἡ ψυχή μου πενθεῖ ἐκ τῆς ἐπιθυμίας τοῦ ἄρτου· αἱ σάρκες

[22] Job VII, 1.

NOTÆ.

(6) Videtur hic intelligenda ss. Eucharistia et status sacerdotalis.

(7) Ita cod. Emendassem autem ξηροσιτίαν *aridum victum*, nisi paulo post sequeretur synonymum χαμευνίαν inter virginitatem et jejunium.

μου τρέμουσιν ἀπὸ ψυχροῦ, τὰ ὀστᾶ μου συντρίβονται, οἱ ὀδόντες μου συγκρούουσιν, οἱ ὄνυχές μου καίονται, καὶ ὅλον μου τὸ σῶμα συνθλαύεται ἐκ ἀθυμίας καὶ γυμνότητος· ἐλέησόν με καὶ δεῖξον ἐν ἐμοὶ προαίρεσιν ἐλεημοσύνης διὰ τὸν Θεόν.

ΙΕ'. Ταῦτα ἀκούων, τὸν πένητα οὐκ ἠλέησας. Καὶ τί σοι τὸ ὄφελος ὅτι παρθενίαν καὶ χαμευνίαν καὶ νηστείαν ἐφύλαξας, τὸ δὲ ὁμόφυλόν σου μὴ ἠλέησας, καὶ τὴν θύραν αὐτῷ μὴ ἀνοίξας, μηδὲ ἄρτου ἀξιώσας; Διὰ τοῦτο ἀγνώριστος εἶ, καὶ ἡ θύρα τοῦ νυμφῶνος ἐκλείσθη σοι. Καὶ ὥσπερ ἄν τις ἅψῃ λύχνον, καὶ μὴ ἐπιβάλῃ αὐτῷ ἔλαιον, σβέννυται, οὕτως καὶ ἐγκράτειαν ἔχων, εἰ ἐλεημοσύνην οὐκ ἔχει, σκοτεινὸς ὅλος ἐστὶ, καὶ εἰς κρημνὸν ἐμπίπτει ἀπωλείας. Φυτεύει δέ τις δένδρον καλὸν, καὶ εἰ μὴ αὐτῷ εἰς τὴν ἀνάγκην τοῦ καύσωνος ἀρδεύσει, μαραίνεται καὶ καρπὸν οὐ φέρει. Οὕτως καὶ ἡ παρθενία καὶ ἡ ἐγκράτεια, ἐὰν μὴ τῷ ἐλαίῳ τῆς εὐποιΐας ἀρδευθῇ. Μεγάλαι οὖν τῆς ἐλεημοσύνης αἱ ἀμοιβαί. Πολλάκις ἐπιθυμεῖς ἀπελθεῖν εἰς πανήγυριν, καὶ ἀγοράσαι τινὰ, καὶ βαλὼν ἀναλώματα, κοπωθεὶς ἀπέρχῃ. Καὶ ἀρχομένου σου πραγματεύεσθαι, μετὰ σοῦ αὐτοῦ καὶ τοῦ πράτου συγκρούουσιν ὅρκοι, φιλονεικίαι. Καὶ μετὰ τὸ γενέσθαι τὴν ἁμαρτίαν, τότε καὶ ἡ πραγμάτιος [ita cod.], κατὰ τὸν σοφὸν Σολομῶντα (8), ὅτι *ἀνὰ μέσον πράσεως καὶ ἀγορᾶς συντριβήσεται ἁμαρτία*. Καὶ ἐπανιὼν εἰς τὸν οἶκόν σου, ὃ μετὰ κόπου καὶ θλίψεων ἐκτήσω, ἐκεῖνο τὸ οἱονοῦν εἶδος τὸ ἀνωφελές.

ΙϚ'. Ἐὰν δὲ καὶ σὺ θέλῃς, πραγμάτευσον ἄνευ ὁδοιπορίας καὶ κόπου καὶ χειμῶνος. Ἔσω καθεζομένου εἰς τὴν οἰκίαν σου, ἔρχεται ὁ πωλῶν σοι τὸν παράδεισον, καὶ ἀγόρασον. Μόνον μὴ διασταλῇς, καὶ παρέλθῃ σοι ἡ τοιαύτη πραγμάτιος [πραγματεία], καὶ ἐν ὑστέροις μεταγνώσεις πολλά. Μίμησαι τὴν χήραν ἐκείνην ἥτις τὸν παράδεισον ἠγόρασε διὰ δύο λεπτά. Λοιπὸν, ἀγαπητὲ, μὴ ἐγκαταλείπῃς ἐνταῦθα τὸν πλοῦτόν σου, καὶ ἀπέλθῃς ἐκεῖ κενὸς, καὶ εὑρεθῇς ὡς μηδὲν ἔχων, λυπούμενος καὶ ἀδαιμονῶν. Ἀλλὰ τοῦτον πρόπεμψον, καὶ ὅτε ἀπέλθῃς εὑρήσεις αὐτὸν ἐκεῖ, καὶ πολλή σοι εὐθηνία γένηται; Καὶ μὴ διακριθῇς καὶ εἴπῃς· ἀκμὴν νέος εἰμὶ, παῖδας ἔχω· πῶς αὐτοὺς καταλείψω πτωχούς; Καὶ νά με καταροῦνται· ὅταν δὲ ἐκπροικήσω τὰ παιδία μου, καὶ φθάσω εἰς γῆρας, πρόνοιαν τότε ποιοῦμαι καὶ τῆς ψυχῆς μου. Μὴ οὕτως λογίζου· ἄδηλος ὁ παρὼν βίος, καὶ ὡς κλέπτης ἐπέρχεται ὁ θάνατος, μονώτατον καὶ γυμνὸν αἴρων σε, καὶ ἐν οἰκίσκῳ μικρῷ τριῶν πηχῶν κατακλείει, ἕως τῆς ἐνδόξου παρουσίας τοῦ Δεσπότου. Καὶ τότε ὁ ἔπαινος ἑκάστου φανῇ· οὐ παῖδες, οὐ γυνὴ, οὐ φίλων ἢ συγγενῶν προσπάθεια, ἀλλ' ἡ τῶν ἀγαθῶν ἔργων ἰσχὺς, καὶ ἡ πρὸς Θεὸν ἀγάπη καὶ ἐλεημοσύνη. Διὰ τοῦτο καὶ ὁ Σολομῶν εἶπε· *Λύτρον ψυχῆς ἀνδρὸς ὁ ἴδιος πλοῦτος*. Καὶ οὐκ εἶπεν ὅτι διὰ παίδων ἢ συγγενῶν ἢ γυναι-

A luget, membra mea frigore tremunt, ossa mea confringuntur, dentes quatiuntur, ungulæ uruntur, totum corpus meum consternatione et nuditate quassatur: miserere mei, et tuum largiendi propositum erga me propter Deum demonstra.

XV. Hæc audiens, non tamen pauperis misertus es. Quid ergo tibi prodest virginitas, chameunia, jejunium, si quidem contribulem tuum non es miseratus, neque fores ei patefecisti, neque pane eumdem dignatus es? Idcirco non agnosceris, et nuptialis aulæ janua tibi præclusa fuit. Et quemadmodum si quis lucernam incendat, oleo non immisso, ea exstinguitur, ita quisquis est continens, nisi eleemosynam quoque largiatur, tenebrosus est totus, et in perditionis præcipitium decidit. B Serat aliquis præclaram arborem, nisi eam in æstus instantia irriget, flaccescit, neque fructum effert. Ita se habent virginitas quoque et continentia, nisi oleo beneficentiæ irrigentur. Magna sunt igitur eleemosynæ præmia. Sæpe studio teneris eundi ad nundinas, et aliquid emere; unde factis impensis, fessus recedis. Nempe incipiente te negotium gerere, inter te et emptorem versantur jurationes, et contentiones. Nec nisi post peccatum, res demum conficitur, ut ait sapiens Salomon: nempe quod *inter venditionem et emptionem angustiabitur peccatum* [23]. Postquam autem domum redieris, quod laboriose et ægre acquisivisti, inutile propemodum tibi evadit.

C XVI. Age vero si libet, sine ullo itinere vel labore aut tempestatis discrimine negotiari potes. Esto domi tuæ sedens: venit qui tibi paradisum venditurus est; tu vero eme. Tantum ne titubes, neque hæc tibi negotiatio elabatur; secus, magnopere te pœnitebit in posterum. Viduam illam imitare, quæ paradisum duobus quadrantibus emit [24]. In summa, cave, dilectissime, ne hic opes tuas derelinquas, tu vero illuc proficiscaris vacuus, et nihil habere comperiaris, tristis et mœrens. Illas, inquam, præmitte illuc, ut quando eodem tu veneris, eas invenias, ibique magnopere affluas. Neque deliberes dicendo: Florida inventa sum, liberos habeo; quomodo illos deseram egenos? Profecto hi mihi maledicerent. Postquam autem filios meos D dotavero, et ad senectutem devenero, tunc animæ quoque meæ curam geram. Atqui ne ita, quæso, deliberes: incerta est præsens vita, mors supervenit tanquam fur, te omnino solum nudumque corripiet, exiguo trium cubitorum loculo claudet, usque ad gloriosum Domini adventum. Tunc uniuscujusque meritum patescet: non filii, non uxor, non amicorum aut cognatorum affectus, sed bona opera vi pollebunt, charitas erga Deum et eleemosyna. Idcirco et Salomon ait: *Redemptio animæ viri, divitiæ suæ* [25]. Neque dixit: A filiis aut a

[23] Eccli. XXVII, 2. [24] Luc. XXI, 2. [25] Prov. XIII, 8.

NOTÆ.

(8) Tribuitur ab Eusebio Salomoni hoc dictum, quod est reapse Siracidæ.

cognatis aut ab uxore eum redimi, sed divitias loco esse redemptionis a peccatis multis. Quod si tu abieris, opesque tuas, ut dixi, hic reliqueris, alii eas partientur quos tu non speras. Neque vero exspectes aquæ guttulas quæ labia tua humectent. Tunc enimvero quid tibi divitiæ proderunt, ærumna ac labore, iniquitate raptuque acquisitæ? Modo velis, potes opibus tuis paradisum coemere: et quod tibi est inutile, fructuosum fiet, requiemque in discessu tuo nancisceris. Sin contra, hic relinques, vindicabunt sibi luxuriosi homines, non sine pugna ac lite quis plura ferat. Tu interim flammis abureris, nec quisquam bonorum tuorum hæres (qui eorum animus ingratus est! refrigeraturus, tibi linguam accedet. O stultorum divitum jacturam! Congregaverunt multa, nihil lucrati sunt, ne aqualis quidem guttulæ adjutorium experientur.

XVII. Sic etiam dives ille aquæ guttulam optavit in igne positus, orabatque Abrahamum dicens: *Miserere mei, et mitte Lazarum ut labia mea refrigeret, quia ignis æstum non fero* [26]. Dives hic dum inter vivos ageret, purpura induebatur ac bysso, erantque ei equi plurimi frenis aureis ornatissimi, quorum sellæ auro puro fulgebant: pueri præcedentes et subsequentes, collaria habentes, armillas, atque monilia: prorsus magna cum pompa dives ille incedebat. In ejus autem prandio ministrabat lancibus aureis atque argenteis vini pretiosi fragrantiam servorum multorum sedulitas, cum candidi panis varietate. Coquorum item fervebat opus phasianos elixantium, anates, pavones, porphyriones, perdices, columbas, gallinas, lepores, et quadrupedum magnum numerum, structoribus mensarum multis discurrentibus. Erant et lecti, strata, sindones auro illusæ, cubilia auro intexta, margaritarum sparsa coloribus, varioque rutilantia fulgore. Diviti autem multi aderant reverentissimi famuli, alii pecuniarum thesauris præpositi, alii agris inspiciendis, alii ædificiis exstruendis, alii rei cibariæ mensæque curam gerentes. Eo convivante, cum flabellis astabant mancipia; dormiente autem, silentio invigilabant, ne quis omnino vocem tolleret. Talis erat superbia divitis atque pompa.

XVIII. Erat autem mendicus quidam nomine Lazarus, qui ad divitis illius januam jacebat ulceribus plenus, cupiens saturari micis quæ de divitis mensa cadebant. Hic tamen nulla benignitate commotus, haud misertus est hominis tali cum necessitate ad ejus fores projecti. Canes interim ventitabant, qui illum adeo ulcerosum cernentes, cruoremque membris ejus manantem, misericordiam præ se ferentes, linguis suis quasi spongia membrorum ejus saniem lingebant, et tanquam benigni medici abstergebant, atque ita ulceribus medici-

A χὸς λυτροῦται, ἀλλὰ τὸν πλοῦτον αὐτοῦ εἴρηκε λυτρωτὴν ἐκ πολλῶν ἁμαρτιῶν. Καὶ ἐὰν σὺ πορευθῇς, καὶ τὰ χρήματά σου ὧδε καταλείψῃς, ἄλλοι διαμερισθῶσιν οὓς οὐ προσδοκᾷς. Καὶ σὺ οὐ προσδοκῇς ῥανίδας ὕδατος, ἵνα βρέξῃ σου τὰ χείλη· καὶ τότε τί σοι τὸ ὄφελος τοῦ πλούτου, ὃν μετὰ μόχθου καὶ κόπου καὶ ἐξ ἀδικίας καὶ ἁρπαγῆς ἐκτήσω; Εἰ γὰρ θέλεις, μετὰ τοῦ πλούτου τὸν παράδεισον ἀγοράζεις· καὶ ὁ ἀνωφελὴς, ὠφέλιμός σοι γενήσεται, καὶ ἀνάπαυσιν εὕρῃς ἀποδημῶν. Ἐὰν δὲ καταλείψῃς, ἐπιμοιράσουσιν ἄλλοι τοῦτον ὧδε σπαταλισταὶ, μαχόμενοι καὶ ἐρισάμενοι τὸ τίς πλεῖον ἄρῃ. Σὺ δὲ φλογιζόμενος, καὶ ἐξ αὐτῶν τις τῶν διαμερισθέντων σου τὰ χρήματα, ἀχαριστῶν σοι οὐκ ἔρχεται δροσίζων σου τὴν
B γλῶτταν. Ὢ ζημίας τῆς γενομένης τῶν ἀφρόνων πλουσίων! Συνῆγον πολλὰ, καὶ ἐκέρδαινον οὐδέν· καὶ οὐδὲ κἂν ῥανίδα ὕδατος ὠφελῶνται.

ΙΖʹ. Οὕτως καὶ ὁ πλούσιος ἐκεῖνος ἐπεθύμησε σταλαγμοῦ ὕδατος ἐν τῷ πυρὶ ὑπάρχων, καὶ παρεκάλει τὸν Ἀβραὰμ λέγων· *Ἐλέησόν με, καὶ πέμψον Λάζαρον ἵνα καταψυχῇ μου τὰ χείλη, ὅτι οὐχ ὑποφέρω τοῦ πυρὸς τὸν καύσωνα.* Οὗτος δὲ ὁ πλούσιος διάγων ἔνθεν, πορφύραν ἐνεδιδύσκετο καὶ βύσσον· καὶ ἦσαν αὐτῷ ἵπποι πλεῖστοι κεχαλκωπισμένοι χρυσοχάλινοι· αἱ σέλλαι αὐτῶν περιαστράπτουσαι χρυσίου καθαροῦ· παῖδες προτρέχοντες καὶ ἀκολουθοῦντες, μανιάκια περιέχοντες ψέλια καὶ ὁρμίσκους· καὶ ἁπαξαπλῶς ἐν μεγάλῃ φαντασίᾳ περιών. Ἐν δὲ τῷ ἀρίστῳ αὐτοῦ διηκόνει δίσκον
C χρυσοῦν καὶ ἀργυροῦν οἴνου εὐοσμίαν πολυτίμου, πολλῶν μαγγίπων περισπασμὸς, ἐν ποικιλίᾳ λευκότητος ἄρτων. Μάγειροι θορυβαζόμενοι ἑψοῦντες φασιανοὺς, χῆνας, ταῶνας, πορφυρίωνας, πέρδικας, περιστερὰς, ὄρνεις, λαγωοὺς, καὶ τετραπόδων πλῆθος, καὶ στρουκτώρων πολλῶν διατρεχομένων. Κλῖναι στρωμναὶ καὶ σινδόναι χρυσόραντοι, κοιτῶνες χρυσόρραφοι, κατεστρωμένοι μαργάρων χρόας, αὐγαζόμενοι τῇ στιλβότητι. Τῷ δὲ πλουσίῳ παρισταμένων πολλῶν ἐν φόβῳ καὶ ὑπηρετούντων, οἱ μὲν ἐπὶ πλονεξίᾳ στελλόμενοι, οἱ δὲ εἰς ἀγροὺς ἐπισκέπτειν, ἄλλοι εἰς κτίσματα οἰκημάτων, ἕτεροι τῶν βρωμάτων καὶ τῆς τραπέζης ἐπιμέλειαν ποιοῦντες. Τούτου δὲ τρυφῶντος, ῥιπίζουσιν αὐτὸν οἱ ἀργυρώνητοι αὐτοῦ· καὶ ὑπνοῦντος αὐτοῦ, τῆς ἡσυχίας φροντίζουσι, τοῦ μη-
D δένα φθέγγεσθαι ὅλως. Τοιαύτη ἦν τοῦ πλουσίου ἡ ἔπαρσις καὶ ἡ φαντασία.

ΙΗʹ. Ἦν δέ τις πτωχὸς ὀνόματι Λάζαρος, καὶ ἐβέβλητο εἰς τὸν πυλῶνα τοῦ πλουσίου ἐκείνου ἑλκόμενος, καὶ ἐπιθυμῶν χορτασθῆναι τῶν ψιχίων τῶν πιπτόντων ἐκ τῆς τραπέζης τοῦ πλουσίου. Καὶ πρὸς εὐσπλαγχνίαν οὐκ ἐκαύθη, οὐκ ᾤκτείρησεν τὸν ἐν τοσαύτῃ ἀνάγκῃ βεβλημένον εἰς τὸν πυλῶνα αὐτοῦ. Οἱ δὲ κύνες ἐρχόμενοι καὶ βλέποντες αὐτὸν οὕτως ἑλκόμενον, καὶ τὸν ἰχῶρα τὸν ἀπορρέοντα ἀπὸ τῶν μελῶν αὐτοῦ, εὐσπλαγχνίαν ἐπιδεικνύμενοι, ὥσπερ γλώττῃ τινὶ καὶ σπόγγῳ ἀπέλειχον τὸν ἰχῶρα ἀπὸ τῶν μελῶν αὐτοῦ, καθὼς εὐάρεστοί τινες ἰατροὶ σπογγίζοντες,

[26] Luc. xvi, 24.

καὶ τοὺς μώλωπας θεραπεύοντες (9). Καὶ ἐκεῖνος οὐδὲ κλάσματος ἄρτου ἠξίωσεν αὐτῷ δοῦναι. Ὢ τῆς ἀνοίας τοῦ πλουσίου! Οἱ κύνες οἱ μὴ εἰδότες Θεὸν, μήτε ἀνάστασιν προσδοκῶντες, πρὸς θεραπείαν τοῦ πένητος ἐπήγοντο· καὶ ὁ πλούσιος ὁ προσδοκῶν παραστῆναι τὸ φοβερὸν κριτήριον, τὸν πένητα οὐκ ἠλέησεν. Ἔγνως τοῦ πλουσίου τὴν ἐνταῦθα δόξαν καὶ τιμὴν καὶ τρυφὴν, τοῦ δὲ πένητος τὴν κόλασιν καὶ τὸν λιμόν· καὶ πῶς μὲν ὧδε ὁ πλούσιος ἦν ἀδικῶν καὶ πλεονεκτῶν καὶ ἐν τρυφῇ σπαταλῶν, ὁ δὲ πτωχὸς κακοχούμενος. Τί δὲ καὶ ἔβλαπτε τὸν πλούσιον ἐκ τοῦ περισσεύματος αὐτοῦ, τοῦ οἰκτειρῆσαι τὸν πτωχόν; Εἰ γὰρ καὶ ἀθάνατος ἔμελλες, ἄνθρωπε, ὑπάρχειν τε εἰς τὸν αἰῶνα, οὐκ ἂν τὴν ἀσπλαγχνίαν εἶχες· πόσῳ γε μᾶλλον ὅτι θνητὸς εἶ, καὶ οὐδὲ τὴν ἡμέραν ἢ τὴν ὥραν τῆς τελευτῆς σου ἐπίστασαι;

ΙΘ'. Οὕτως διάγων ἀσπλάγχνως καὶ ἀνελεημόνως, ἐγένετο, φησὶν, ἀποθανεῖν τὸν πλούσιον καὶ ἀπενεχθῆναι εἰς κόλασιν αἰώνιον. Ἀπέθανε δὲ καὶ ὁ Λάζαρος, καὶ ἀπηνέχθη ὑπὸ ἀγγέλων εἰς τὸν κόλπον Ἀβραάμ· ὑπάρχων δὲ ἐν τῷ πυρὶ ὁ πλούσιος, εἶδε Λάζαρον ἀναπαυόμενον ἐν τοῖς κόλποις Ἀβραάμ· καὶ ὃν ἀπεστρέφετο τὰς ὄψεις αὐτοῦ, καὶ ἀγνώριστον εἶχεν, ἐγνώρισεν αὐτὸν, καὶ κράξας ἔλεγεν· Ἐλέησόν με, πάτερ Ἀβραάμ, καὶ πέμψον Λάζαρον ἵνα βρέξῃ μου τὰ χείλη τῷ δακτύλῳ αὐτοῦ, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. Ὢ πλούσιε, ὃς σεαυτὸν πλούσιον καὶ φρόνιμον ἐκράτεις, ἄφρων ὑπῆρχες τῶν ἀφρονεστέρων. Ἔγνως ἄρτι τὸ τί σοι προεξένησεν ἡ ἀσπλαγχνία. Ποῦ ὁ πλοῦτος; ποῦ ὁ ἄργυρος καὶ ὁ χρυσός; ποῦ ἡ φαντασία τῶν ἡδονῶν; ποῦ ὁ θόρυβος τῶν οἰκετῶν; ποῦ ὁ πολὺς καὶ ἄκαιρος δρόμος; Καὶ ἄρτι ὡς εἷς τῶν ἀπόρων κράζεις, ἐλέησόν με. Εἰ καὶ μὴ εἰς πῦρ ἐβλήθης, τότε γὰρ οὐκ ἠλέη-

A nam faciebant. Dives contra, ne panis quidem frustum misero largiebatur. O vecordia divitis! Canes Deum ignorantes, neque resurrectionem sperantes, pauperis curationi instabant : dives autem qui tremendo judicio sisti se exspectabat, pauperi misericordiam negabat! Nosti ergo divitis in hoc mundo gloriam, honorem atque delicias, simulque pauperis molestias famemque : item quomodo dives injustus fuerit, avarus, et luxu diffluens; pauper autem calamitosus. Quodnam alioqui dives detrimentum cepisset, si de superfluitate sua misericordiam pauperi foret impertitus? Certe etiamsi immortalis futurus esses, o homo, inclementer te gerere non deberes; quanto autem minus, cum sis mortalis, neque diem neque horam obitus tui scias?

B

XIX. Dum hic ita inclementer se gereret, contigit, ait Scriptura, ut moreretur dives, et ad sempiternam pœnam deferretur. Obiit item Lazarus, atque ab angelis in Abrahæ sinum deportatus est. Cumque esset in igne dives, Lazarum vidit in sinu Abrahæ requiescentem : eum scilicet a quo antea oculos avertebat, et quem pro incognito habebat, nunc cognovit, et cum clamore ait : Miserere mei, pater Abraham, et mitte Lazarum ut labia mea digito humectet, quia crucior in hac flamma. O dives, qui te divitem prudentemque reputabas, stultus reapse eras et insipientissimus. Vides nunc quid tibi inclementia profuerit. Ubi divitiæ? ubi
C argentum et aurum? ubi voluptatum apparatus? ubi famulorum turba? ubi multus intempestivusque discursus? Nunc tu tanquam unus de miseris clamas : Miserere mei. Nisi certe in ignem conjectus esses, uti tunc non es misertus, ne nunc quidem

NOTÆ.

(9) In catena ad Lucæ Evangelium cod. pal. Vat. XX, f. 160, verba legebam Eulogii patriarchæ Alexandrini, catholici ac laudatissimi auctoris, quæ a me prætermittenda hic non sunt : Τοῦ ἐν ἁγίοις Εὐλογίου Ἀλεξανδρείας. Ὅτι καὶ διὰ τῶν κυνῶν τὴν ὑπερβολὴν τῆς τοῦ πλουσίου ἀπηνείας ἐλέγχει ἡ παραβολή· οἱ μὲν γὰρ κύνες οἰκτείροντες αὐτοῦ τὴν πολλὴν ταλαιπωρίαν, ὅπερ ἐδύναντο ποιεῖν ἔπραττον περιλείχοντες καὶ οἷον ἀποσμήχοντες αὐτοῦ τὸ ἕλκος ταῖς γλώσσαις· ὁ δὲ καὶ τῶν κυνῶν περὶ τὸν ὁμόφυλον ἀπηνέστερος, καὶ δι' αὐτῶν ἠλέγχετο τῶν κυνῶν· διὰ τοῦτο κἀκεῖνον τὸ πῦρ ἀδυσωπήτως μετέρχεται. *Sancti Eulogii patriarchæ Alexandrini. Canum mentione summam divitis crudelitatem coarguit parabola. Nam canes misericordia erga gravem Lazari calamitatem commoti, quod poterant gratificabantur, illius ulcera lingentes ac veluti linguis suis abstergentes. At dives canibus erga contribulem suum durior ab his ipsis convincebatur. Merito igitur igni dives damnatus fuit.*

Aliud quoque in eodem codice f. 154, comperi egregium Eulogii Alexandrini fragmentum ad Lucæ Evang. cap. XVI, 9-12, quod est hujusmodi : Εὐλογίου Ἀλεξανδρείας. Δέχεται καὶ ταῦτα διὰ τῶν πενήτων ὁ Θεός· ἂν μόνον τοῦ λοιποῦ φυλαξώμεθα μὴ ἁμαρτάνειν. Καλὸν γὰρ κἂν διὰ τῶν τῆς πλεονεξίας χρημάτων φίλους κτᾶσθαι τοὺς ἐν τῷ κόσμῳ τούτῳ πενομένους, πλουσίους δὲ κατὰ Θεόν· ἵνα ὅταν ἐκλίπωμεν, μηδὲν ἔχοντες ζωτικὸν δικαίωμα, δι' ὧν αὐτοὺς εὖ ἐποιήσαμεν, εἰς τὰς ἑαυτῶν ἡμᾶς σκηνὰς οἱ ἠλεημένοι ὑποδέξωνται. Εἰ δὲ μηδὲ ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἤτοι τῆς πλεονεξίας, εὖ ποιεῖν θελήσαιμεν, πῶς ἂν πιστευθείημεν ὅτι εἰ προσῆσαν ἡμῖν ἐξ οἰκείων κόπων χρήματα, τούτοις ἂν τοὺς ἐνδεεῖς ἠλεήσαμεν; Εἰ γὰρ ἐκ τῶν ἀλλοτρίων καὶ ἃ χωρὶς κόπων πλεονεκτικῶς ἐκτησάμεθα, οὐ μεταδώκαμεν, ἃ καὶ οἰκεῖα δοκεῖ εἶναι, καὶ πόνων ἰδίων καρποὺς, πῶς ἂν τινι τούτων μεταδοῦναι πιστευθείημεν; *Hæc quoque propter pauperes recipit Deus, modo deinceps a peccato caveamus. Pulchre enim fit, si etiam avaritia collectis opibus amicos nobis in hoc*
D *mundo comparemus, qui illis quidem egent, sed Deo sunt divites : ut cum defecerimus, nullam habentes vitæ justitiam, saltem ob collata in eos beneficia, recipiant nos in tabernacula sua, qui nostram misericordiam experti fuere. Sed si ne de mammona quidem iniquitatis, id est avaritiæ, bene facere voluerimus; quis nobis credet, fore ut si partæ propriis laboribus opes adessent, ex his egenos misericorditer solaremur? Nam si ne aliena quidem, et quæ absque labore avare possidemus, nolumus communicare, quomodo ea quæ propria videntur, nostrorumque laborum fructus, impertituri cuiquam credemur?* — Fragmentis his cumulare mihi placuit alias quas edidi Eulogii reliquias, nempe nobile de Trinitate segmentum Script. vet. t. VII, p. 177; et AA. class. t. X, p. 483, de Petro ap.; nec non de turturum oblatione p. 493; denique aliud brevius de pœnitenti et baptismo in scholiis meis p. 104, ad Commentarium Cyrilli in Epistolas Pauli.

misereris. Cur autem Lazari adjutorium imploras, Abrahamo dicens, ut tui miserens mittat hunc quo tibi aquæ guttulam præbeat? Vana est jam deprecatio tua, misericordiæ tempus præteriit : nunc inexorabile judicium de immisericordibus exercetur. Ne jam dicas : Miserere mei, pater Abraham, et Lazarum mitte : non est hinc transitus ad vos. Cur autem sic loqueris, dure dives? Quem oculis respicere non ferebas, cujus verba audire nolebas, quem cupientem micis de mensa tua cadentibus satiari non es miseratus; nunc petis ab Abrahamo, ut ad labia tua irriganda mittatur? Cur item patrem vocas Abrahamum? Is enim in luce viventium, qui eum hospitalitate et eleemosynis imitati sunt, pater est. Nulla, inquam, societas est luci cum tenebris : non es dignus qui hunc patrem appelles; sed ob immisericordem morem tuum, tenebrarum atque gehennæ filius es.

XX. Nec vero quisquam putet Abrahamum divitem non fuisse. Nonne habuit vernaculos CCCXVIII, et substantiam plurimam magnumque armentorum numerum [27]? Attamen nihil ei divitiæ nocuerunt : imo his paradisum sibi emit. Et videsis patriarchæ Abrahami solertiam. In via erat, fixo tabernaculo, ibique morabatur, ne quis se inscio transiens hospitio ejus fraudaretur. Miror autem venerandam hujus canitiem, qui non tulit commendare famulorum alicui hospitalitatis officium, ne forte si, ut pigri servi solent, obdormiret, peregrini interim præterirent, paratoque apud eum hospitio carerent. Hoc in damni loco computat senex. Itaque ipse herus et CCCXVIII famulorum dominus, in via vigilat ne quis prætereat; cunctos enim benigne curans prandio prope regali adhibebat. Neque is solus hospitii benignitatem præbebat, sed consentientem præclaro suo proposito habebat uxorem Sarram. Angelos itaque hospitio exceperunt, et ventris sui fructum Isaacum promissum nacti sunt, et paradisum emerunt. Jamque vides, quod Abrahamo divitiæ haud nocuerint. Nonne Jobus quoque dives erat? Is tamen petentibus opem non negabat, sed cunctis necessaria largiebatur, contubernales habens eleemosynam æque et divitias [28]. Joacim pariter dives fuit, sed eleemosynam secum sociam habebat, cujus causa pater fieri dignus fuit semper virginis Mariæ Deiparæ.

XXI. Neque soli qui ante legem vel in lege vixerunt, misericordes fuerunt, verum etiam nostro

A σας, οὐδὲ νῦν ἄρτι ἐλεηθεὶς. Τί δὲ καὶ ἐπιζητεῖς τὸν Λάζαρον εἰς σωτηρίαν, λέγων πρὸς τὸν Ἀβραὰμ ἐλεῆσαί σοι καὶ πέμψαι τοῦτον τοῦ παρέχειν σοι σταλαγμὸν ὕδατος; ἀνωφελὴς λοιπὸν ἡ ἱκεσία σου· παρῆλθεν ὁ καιρὸς τοῦ ἐλέους· καὶ γὰρ ὧδε ἀνήλεος κρίσις ἐστὶ τοῖς μὴ ποιήσασιν ἔλεος. Μηκέτι προσθήσεις τοῦ λέγειν, Ἐλέησόν με, πάτερ Ἀβραὰμ, καὶ πέμψον Λάζαρον· οὐκ ἔστιν ὁδὸς αὐτόθι περᾶσαι. Πῶς οὖν οὕτως ἔλεγες, ἀναίσθητε πλούσιε; Ὃν κατανοῆσαι ὄμμασιν οὐ κατεδέχου, οὔτε ῥήματος αὐτοῦ ἀκοῦσαι, καὶ ἄρτι τὸν ἐπιθυμοῦντα χορτάζεσθαι ἀπὸ τῶν πιπτόντων ψιχίων τῆς τραπέζης, οὐκ ἠλέησας, τὸν Ἀβραὰμ αἰτεῖς ἀποστεῖλαι τοῦτον βρέξαι σου τὰ χείλη; Πῶς δὲ καὶ πατέρα ἐκάλεσας τὸν Ἀβραάμ; τῶν γὰρ ἐν φωτὶ διαγόντων οἵτινες μιμηταὶ αὐτοῦ B ἐγένοντο τῆς φιλοξενίας καὶ ἐλεημοσύνης, αὐτῶν ἐστι πατήρ. Οὐδεμία οὖν κοινωνία φωτὶ σκότους· οὐ γὰρ εἶ ἄξιος τοῦτον καλέσαι πατέρα, ἀλλὰ κατὰ τὴν ἀνελεήμονά σου τρόπον υἱὸς εἶ σκότους καὶ γεέννης.

Κ'. Καὶ μὴ νομισάτω τις τὸν Ἀβραὰμ μὴ εἶναι πλούσιον· οὐκ ἂν εἶχε τιη' οἰκογενεῖς [27], καὶ ὕπαρξιν, καὶ κτήνη πολλὰ ἔχων; Καὶ οὐδὲν ἔβλαψεν αὐτὸν ὁ πλοῦτος· ἀλλὰ μετὰ τούτου τοῦ πλούτου ἠγόρασε τὸν παράδεισον. Καὶ ὅρα τοῦ πατριάρχου Ἀβραὰμ τὸ συνετόν. Ἐν τῇ ὁδῷ ἦν, πήξας σκηνὴν, κἀκεῖσε παραμένων, ἵνα μή τις διαλάθῃ τοῦτον ἄμοιρος τῆς αὐτοῦ ξενοδοχίας γένηται. Θαυμάσαι δὲ καὶ τούτου τὸ αἰδέσιμον ἔχω τῆς πολιᾶς· οὐκ ἐπέτρεψέ τινι ἀπὸ C τῶν αὐτοῦ δούλων τὴν διακονίαν τῆς ξενοδοχίας καταπιστεῦσαι, μήπως ὡς δοῦλος ὡς ῥᾴθυμος καθυπνεῖ, οἱ ξένοι παρέρχονται, καὶ τῆς πρὸς αὐτὸν ἑτοιμασθείσης ξενοδοχίας ἀποστεροῦνται. Ζημίαν ἡγεῖται ὁ γέρων. Ἀλλ' αὐτὸς ὁ κύριος καὶ δεσπότης τῶν τριακοσίων δεκαοκτὼ δούλων ἐκαθέζετο ἐπὶ τῆς ὁδοῦ γρηγορῶν μὴ παρελθεῖν τινα, καὶ πάντας καλῶς ἀποθεραπεύων ηὐφραίνετο ὡς ἐπὶ βασιλικῷ ἀρίστῳ κληθέντας. Καὶ οὐ μόνος ἦν ὁ ἐπιμελούμενος τῆς ξενοδοχίας τὴν ἐλεημοσύνην, ἀλλὰ καὶ τὴν Σάῤῥα τὴν ἑαυτοῦ γυναῖκα συγγνώμονα καλῆς (10) αὐτοῦ προαιρέσεως ἔσχεν· καὶ ἀγγέλους ἐξένησαν, καὶ καρπὸν κοιλίας τὸν ἐξ ἐπαγγελίας Ἰσαὰκ εὗρον, καὶ τὸν παράδεισον ἠγόρασαν. Καὶ ἰδὲ πῶς αὐτὸν οὐκ ἔβλαψεν ὁ πλοῦτος· οὐκ ἦν καὶ ὁ Ἰὼβ πλούσιος; D Ἀλλὰ τοῖς δεομένοις ἐκ τούτου οὐ καθυστέρει [28], ἀλλὰ τοῖς πᾶσιν ἐχορήγει τὰ δέοντα, σύνοικον ἔχων τὴν ἐλεημοσύνην μετὰ τοῦ πλούτου. Ὡσαύτως καὶ ὁ Ἰωακεὶμ πλούσιος ἦν (11), ἀλλὰ καὶ τὴν ἐλεημοσύνην ἐπεσπᾶτο, καὶ δι' αὐτῆς ἠξιώθη γενέσθαι τῆς ἀειπαρθένου πατὴρ καὶ Θεοτόκου Μαρίας.

ΚΑ'. Καὶ οὐ μόνον εἰσὶν οἱ πρὸ νόμου, καὶ οἱ ἐν νόμῳ γεγονότες ἐλεήμονες, ἀλλὰ καὶ ἐκ τῆς καθ'

[27] Gen. XIV, 14. [28] Job XXIX, 12 seq.

NOTÆ.

(10) Cod. tantum συγκαλῆς, quod mendum putavi ex suppressis in medio syllabis natum.

(11) Opinio hæc quod Deiparæ pater sanctus Joacim dives fuerit, de Protevangelio Jacobi manat apud Fabric. cod. apocryph. N. T. tom. I, cap. I et IV Et quidem cap. I, diserte : Ἦν Ἰωακεὶμ πλούσιος σφόδρα, *Joacim valde dives erat;* quæ traditio, quanquam ex apocrypho libro deducta, multorum Græcorum scripta occupavit. Cæteroqui pseudo-evangelium Jacobi noverunt patres antiqui Origenes, Epiphanius, Eustathius Antiochenus, Andreas Cretensis, aliique.

ἡμᾶς γενεᾶς πολλοὶ τὴν ἐλεημοσύνην ἠγάπησαν· οἱ μάρτυρες οὖν ἦσαν πλούσιοι, ἀλλὰ τὸν πλοῦτον αὐτῶν διένεμον (12), καὶ γυμνοὶ πρὸς τὴν ἄθλησιν ἔδραμον. Ἀλλ' οὖν καὶ οἱ ἀσκηταὶ τὸ αὐτὸ ἐποίησαν (13), καὶ ἀντήλλαξαν τὸν πλοῦτον αὐτῶν μετὰ τῶν πενήτων, καὶ ἠγόρασαν τὸν παράδεισον. Οὐ μόνον ἄνδρες, ἀλλὰ καὶ γυναῖκες, ἐκ τῶν πλουσίων τὴν ἐλεημοσύνην ποιήσαντες [cod. ποθήσαντες]. Ἡ Ταβιθὰ, ἣν ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων [29] ἀκούομεν, πόσας ἐλεημοσύνας ἐποιεῖτο ταῖς χήραις. Ὡσαύτως καὶ ἡ Εὐβούλα (14) πλουσία ἦν, ἀλλὰ καὶ ἐλεημοσύνην πολλὴν εἶχε, καὶ τῷ κορυφαίῳ Πέτρῳ διακονοῦσα. Οὐκ ἦν καὶ ἡ ὁσία Μελάνη (15) πλουσία σφόδρα; ναὶ λέγω πλουσία· ἀλλὰ καὶ τὴν μετάδοσιν τῆς ἐλεημοσύνης πλουσιωτέραν εἶχε. Καὶ γὰρ καθεξῆς τῶν ἐν πλούτῳ γενομένων ἐφ' ἡμᾶς μαρτύρων καὶ δικαίων τὰ κατορθώματα τῆς ἐλεημοσύνης αὐτῶν διηγήσασθαι, μακρόν ἐστι τοῦ λέγειν. Καὶ γὰρ μέχρι τοῦ παρόντος εἰσί τινες οἱ ἀγαπῶντες ποιεῖν τὴν ἐλεημοσύνην διαπαντός· ὡσαύτως εἰσὶν οἱ πλείους, οἱ ποθοῦντες πλουτεῖν ἐκ τόκου καὶ ἀδικίας, οἱ καὶ τὴν ἐλεημοσύνην μὴ ποιοῦντες καὶ μισοῦντες, καθὼς ὃν ἀνωτέρω εἰρήκαμεν πλούσιον. Διὰ τοῦτο ἤκουσεν, *Ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου.* Ἀπήλαυσας τὸν πλοῦτόν σου μόνος· οὐ γάρ τινι τῶν μὴ ἐχόντων παρεῖχές τι, ἀλλὰ μόνος ἧς τρυφῶν καὶ σπαταλῶν· καὶ ὁ πένης καὶ τῶν πιπτόντων ψιχίων ἐκ τῆς τραπέζης σου ἐστερεῖτο ἐπιθυμῶν. Λοιπὸν οὐκέτι σου μερίς ἐστιν ἐν τοῖς σωζομένοις· τῶν γὰρ ἐλεημόνων ἐκληρώθη ὁ παράδεισος.

ΚΒ'. Καὶ οὐκ ἦν ὁ πατριάρχης Ἀβραὰμ μαλάξαι αὐτοῦ τὴν ὀδύνην· οὐ προσέθηκε πόνον, οὐκ ἐπλήξεν αὐτὸν λόγοις, οὐκ ἠρνήσατο τὴν φύσιν τὴν ἀνθρωπίνην, ἀλλὰ πραείᾳ τῇ φωνῇ καὶ ἐλεεινῷ τῷ προσώπῳ ἀπόκρισιν ἐδίδου αὐτῷ τοιάνδε· *Τέκνον, μνήσθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ ὁ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. Καὶ ἐπὶ πᾶσι τούτοις μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἐντεῦθεν πρὸς ὑμᾶς μὴ δύνωνται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσι.* Ταύτην δὲ τὴν ἀπόκρισιν ὁ πλούσιος παρὰ τοῦ πατριάρχου ἤκουσε· καὶ οὐδὲ κἂν τοῦ μικροῦ σταλάγματος ἐδέξατο. Διὸ καὶ ὀδυνώμενος ἐν τῇ φλογὶ ἔλεγε· Εἰ δυνατόν ἐστιν, πάτερ, ἀπελθεῖν καὶ διαμαρτυρεῖν τοὺς ἀδελφούς μου, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον βασάνων; Ἔμαθον ὃ ἔπαθον. Τί μοι τὸ ὄφελος τοῦ πλούτου ἐγένετο; οὐδέν· ἀλλὰ πρόξενος πυρὸς αἰωνίου. Εἰ

[29] Act. ix, 36.

A sæculo multi eleemosynæ dandæ studiosi fuerant. Martyres itaque fuerunt divites, sed divitias suas distribuerunt, nudique ad certamen cucurrerunt. Idem præstitere ascetæ, qui opes suas cum pauperibus negotiati sunt, et paradisum sibi compararunt. Neque viri tantummodo, verum etiam feminæ, eleemosynam de suis opibus fecerunt. Tabitha quantas eleemosynas viduis largiretur, ex apostolorum Actibus audimus [29]. Eubula pariter dives erat, sed eleemosynis simul faciendis dedita, et coryphæo Petro ministrans. Nonne et sancta Melania dives admodum erat? utique, aio, dives, sed tribuendis eleemosynis ditior erat. Sed longum esset martyrum atque justorum singillatim usque ad nos eleemosynarias virtutes narrare. Namque et hodierno B tempore nonnulli sunt qui perpetuas eleemosynas largiri gestiunt: quanquam majore numero sunt qui ditescere cupiunt ex usuris et iniquitate, quorum animus ab eleemosynis faciendis abhorret, haud secus quam ille a nobis supra memoratus dives. Idcirco audiit: *Recepisti bona in vita tua.* Divitiis tuis solus es fruitus, nemini egenti dedisti, sed solus luxui deliciisque indulsisti: pauper interim micis etiam de mensa tua cadentibus privabatur, quas discupiebat. Superest igitur, ut portio tibi cum salvis nulla sit: namque hominum eleemosynæ faciendæ studiosorum hæreditas paradisus est.

C XXII. Neque vero patriarcha Abrahamus divitis dolorem lenire potuit; quanquam calamitatem non gravavit, neque verbis illum vulneravit, neque humanæ naturæ oblitus est; sed miti voce et clemente vultu hoc ei responsum reddidit: *Fili, recordare quod tu bona tua receperis in vita tua, et Lazarus similiter mala: nunc autem hic recreatur, tu vero cruciaris. Et præter hæc omnia, inter vos et nos vorago magna constituta est; ut hi qui volunt hinc transire ad vos, non possint, neque isthinc ad nos commeare.* Hoc audiit dives a patriarcha responsum: neque tamen vel unam guttulam impetravit. Quamobrem cruciatus in flamma aiebat: An fieri potest, o pater, ut aliquis abeat ad rem testandam D fratribus meis, ne et ipsi veniant in hunc locum tormentorum? Scio quid patiar. Quid mihi divitiæ profuerunt? nihil; imo ignem æternum promeruerunt. Profecto si ipsi quoque aures obstruent, quominus evangelicos sermones audiant Domini et

NOTÆ.

(12) Puta SS. MM. Joannem et Paulum in Juliani imp. tyrannide.

(13) Antonius videlicet, Arsenius, aliique innumeri.

(14) Respicit ad I Cor. ix, 5, ubi sorores, id est piæ mulieres, dicuntur apostolis, et quidem ipsi Petro, in ipsorum per orbem itineribus ministrasse. Cum autem de hac nominatim Eubula sedulo quæsierim apud varios auctores patresque, qui de illo Pauli ad Corinthios loco verba fecerunt, nec non in sanctorum Historiis, nomen hoc piæ mulieris Petro singulariter devotæ ac munificæ, nondum mihi occurrit. Quo fit pretiosior hæc ab Eusebio nostro tradita notitia. Profecto Eubula, cujus Petrum alimentarium fuisse apparet, Romanorum præsertim benevolentia et obsequio, cum Pudentiana et Praxede, digna censebitur.

(15) Videsis quæ de Melania diximus in prævio Monito (*supra col.* 313.)

prophetarum ejus atque apostolorum, sine dubio flammis mecum addicentur.

XXIII. His hactenus dictis, charissimi, præsentem sermonem peroravi, ut saluti nostræ consulentes, studeamus singuli placere Deo, partim oratione ac jejunio, partim eleemosyna et charitate. Neque tamen divitias reas agamus; non enim divitiæ ducunt hominem, sed homo divitias quo vult perducit; hæque fiunt ei fructuosæ, uti scriptum est [30]. Bonæ sunt divitiæ recte administrantibus eas : sicut etiam paupertas bona est recte tolerantibus eam. Nam si bona sit voluntas hominis, divitiæ recte ab eo administrantur : sin prava sit ejus voluntas, fit homo immisericors, atque ita divitiæ in malum cedunt. Hoc enim in divitiis interest, quod bene dispergentibus inter egenos, paradisum comparant; male autem utentibus et cumulantibus atque in hoc mundo relinquentibus, causa fiunt ignis æterni. « *Et si justus vix salvatur, impius et peccator ubi parebunt* [31] ? » Rogo itaque, vos, fratres, quandiu pœnitentiæ tempus habemus, pro salute nostra certemus. Etiamsi enim ego indignus sum qui salutem consequar, vos tamen amittere nolim promissa vobis bona, quæ scilicet paravit Dominus noster diligentibus eum! Quæ utinam nos omnes consequi digni simus precibus immaculatæ dominæ nostræ Deiparæ semperque virginis Mariæ, splendidorumque angelorum, et sanctorum omnium. Quoniam ipsum decet gloria, honor, et adoratio, cum Patre et sancto Spiritu, nunc et semper et in sæcula sæculorum. Amen.

A γὰρ καὶ αὐτοὶ τὰ ὦτα βύσουσι τοῦ μὴ ἀκοῦσαι τὰς εὐαγγελικὰς ἐξηγήσεις τοῦ Δεσπότου καὶ τῶν προφητῶν αὐτοῦ καὶ ἀποστόλων, πάντως οὗτοι ἐνθάδε καταδικασθήσονται σὺν ἐμοὶ φλογίζεσθαι.

ΚΓ'. Τούτων οὕτως ῥηθέντων, ἀγαπητοί, διῆλθον τὸν παρόντα λόγον· ἵνα τῆς σωτηρίας ἡμῶν πρόνοιαν ποιησώμεθα, καὶ ἕκαστος σπουδάσῃ ἀρέσαι Θεῷ, ὁ μὲν διὰ προσευχῆς καὶ νηστείας, ὁ δὲ διὰ ἐλεημοσύνης (16) καὶ ἀγάπης. Καὶ μὴ αἰτιάσθω τις τὸν πλοῦτον, οὐ γὰρ ἄγει ὁ πλοῦτος τὸν ἄνθρωπον, ἀλλ' ἄνθρωπος τὸν πλοῦτον ὅπου θέλει ἄγει, καὶ ὠφέλιμος αὐτῷ γίνεται καθὼς γέγραπται [30]. Καλὸς ὁ πλοῦτος τοῖς καλῶς αὐτὸν διοικοῦσιν· ὥσπερ γὰρ καὶ καλὴ πενία τοῖς καλῶς αὐτὴν ὑπομένουσιν. Ἐκ γὰρ προαιρέσεως ἀγαθῆς τοῦ ἀνθρώπου, καὶ ὁ B πλοῦτος καλῶς παρ' αὐτοῦ διοικεῖται· ἐκ δὲ τῆς κακῆς προαιρέσεως ἔρχεται καὶ εἰς ἀσπλαγχνίαν ὁ ἄνθρωπος, καὶ ὁ πλοῦτος αὐτῷ κακὸς γίνεται. Δύο γὰρ διαφορὰς ἔχει ὁ πλοῦτος, τοῖς μὲν σκορπίζουσι τοῦτον καλῶς τοῖς ἐνδεέσι, πρόξενος παραδείσου ὑπάρχει· τοῖς δὲ κακῶς χρωμένοις, καὶ ἐπαξοῦσι τοῦτον, καὶ ὧδε καταλιμπάνουσι, πρόξενος πυρὸς αἰωνίου ἐστίν. Καὶ εἰ ὁ μὲν δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; *Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, ἀδελφοί, ἕως ὅτε ἔχομεν καιρὸν μετανοίας, ἀγωνισόμεθα τοῦ σωθῆναι.* Εἰ γὰρ καὶ ἐγὼ ἀνάξιός εἰμι τοῦ σωθῆναι, κἂν ὑμεῖς μὴ ἀποτύχητε τῶν ἐπηγγελμένων ὑμῖν ἀγαθῶν, ὧν προητοίμασεν ὁ Δεσπότης ἡμῶν τοῖς ἀγαπῶσιν αὐτόν. Οἷς γένοιτο C πάντας ἡμᾶς ἀξιωθῆναι πρεσβείαις τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν φωτοειδῶν ἀγγέλων καὶ πάντων τῶν ἁγίων. Ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις μετὰ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

XXII.

De astronomis.

I. Diebus haud paucis transactis, accedens ad

ΚΒ'.

Περὶ ἀστρονόμων (17).

Α'. Ἡμερῶν διελθουσῶν οὐκ ὀλίγων, προσελθὼν

[30] Prov. XIII, 8. [31] I Petr. IV, 18.

NOTÆ.

Præconium autem Joannis vocatur εὐαγγελισμός, vocabulum idem significans quod διδασκαλία in Evangelio Nicodemi, secundum textum Græcum, c. XIX. Neque differt ab Εὐαγγέλιον (e. gr. Galat. I, 6, 7, 8), nisi in eo quod scriptores ecclesiastici rarius eo utantur, illudque tanquam exquisitius et sanctius quoddam vocabulum apostolis Christi quasi reservent. Quamvis igitur, p. 7, et infra, p. 23; coll., p. 29, de Joanne dictum sit: Περὶ οὗ νῦν εὐηγγελίσατο αὐτοῖς, lætissima tamen jamjam instantis liberationis annuntiatio non Εὐαγγέλιον (ut in N. T.), sed εὐαγγελισμὸς dicitur (24).

In Evangelio Nicodemi, ut supra allatum, ipse Joannis εὐαγγελισμὸς exhibetur. Hunc vero Noster omittit; nam verba p. 4: Καὶ ἐμήνυσεν τοῖς ἐκεῖσε, ὅτι ἔρχεται ὁ Ἥλιος τῆς δικαιοσύνης καὶ ἐξάξει αὐτοὺς (vel ὑμᾶς), summam quidem et materiam præconii indicat, sed non ipsam formam, qua loquendo usus fuerit, exprimunt. Examen potius instituit cum prophetis singulosque provocat, ut sua de Jesu Christi persona et fatis proferant et repetant vaticinia. Hoc non ita intelligendum, ac si Joannes rerum futurarum ignarus τὴν προφητείαν καὶ οἰκονομίαν non intellexerit; sed sistitur tanquam doctor quasi Socraticus, qui quæstionibus propositis discipulis vel auditoribus occasionem præbet proferendi id, quod in animo et pectore habent. Prophetæ a Nostro excitati ex concessis et confessis loquuntur, eorumque vaticinia nullo alio allegantur consilio, quam ut confirmetur sententia apostolica: Προφητεία γραφῆς ἰδίας οὐ γίνεται ἐπιλύσεως (*II Petr.* I, 20).

Testimonia autem prophetarum V. T. (Davidis, Isaiæ, Jeremiæ, Oseæ, Michææ et Zachariæ) simpliciter et nulla addita interpretatione excitantur. Ex quo videmus auctorem non singulis locis et phrasibus tenaciter inhæsisse, sed universalem λόγον προφητικὸν spectasse. Confirmatur eo judicium Hieronymi a nobis jam supra laudatum, quo Eusebium *magis historiam secutum* dicit. Fingit quidem, ut p. 6 dictum est, quemlibet prophetam λεγόντα περὶ ἑκάστης οἰκονομίας, ἧς ἔμελλεν ποιεῖν ὁ Κύριος· sed omnia singulorum effata, non ordine chronologico, sed reali adducta, unum et commune, efficiunt vaticinium, quo duplex Jesu Christi status depingitur. Docet itaque hoc νέφος μαρτύρων (*Hebr.* XII, 1), cum quo testium excitatio apud Epiphanium Opp., t. II, p. 268 seqq. comparanda, quam verum sit illud Apostoli effatum: Πνεῦμα Χριστοῦ ἐν αὐτοῖς, προμαρτυρόμενον τὰ εἰς Χριστὸν παθήματα, καὶ τὰς μετὰ ταῦτα δόξας (*I Petr.* I, 11, 12). Discimus præterea, quænam V. T. dicta tunc temporis pro vaticiniis Messianis sint habita; indeque historia interpretationis S. S. ex hac oratione non incommode potest illustrari.

Interrumpitur prophetarum concentus dialogo inter Ἅδην (inferorum dominum) et diabolum. Cum enim prophetæ ob lætum nuntium de liberatione ex captivitate et restitutione ad meliorem sortem lætitiam suam proderent et jubila extollerent (ἀγαλλιωμένων αὐτῶν ἐπὶ τῇ προτροπῇ, μεγαλόφρονες φλυαροῦσιν)· Hades causam et occasionem hujus lætitiæ et exsultationis quærit. Respondens diabolus paucis hanc causam historiamque Joannis Baptistæ exponit. Egregie autem pingit Noster diaboli et πανουργίαν simul et δειλίαν. Dissimulat quidem timorem; rem ita narrat, ac si parvi esset momenti; dicit enim: Μικρά τινα καὶ ἐμὲ ἐλύπησεν, cum tamen multa et magna sint mala quibus eum uterque adversarius affecit; fatetur se ab initio non sine timore fuisse (μεγάλως ἐλυπήθην ἐν τῇ ἀρχῇ καὶ ἐφοβήθην)· sed dum se impavidum jactat et Haden propter animi pusillitatem increpat, pavorem, quo ipse captus tenetur, ægre potest celare. Hadi et sibimetipsi persuadet, se contemnere ἐκεῖνον τὸν ἄνθρωπον, i. e. Jesum, sed nihilominus timet et curat eum, de quo gloriatur: Οὐκέτι ἐφρόντισα περὶ τούτου, et mox: Οὐ φοβοῦμαι αὐτόν.

Hades diaboli fictionibus et fallaciis neutiquam inducitur, sed recte quid sit futurum auguratur, et πένθος, λύπην et καταγελασμὸν timet. Exsultatio prophetarum et spes victoriæ ipsi est lamentatio et cladis exspectatio. Diabolus vero inhæret suæ fictioni et sibi socioque suo persuadere pergit Jesum non esse Filium Dei, sed purum putum hominem, Filium Mariæ et Josephi, cujus natales et fata breviter recenset. Confirmatus fuit in suo errore in primis facto quodam, quod ad suum libitum interpretatus erat. Narrat nimirum Matthæus in Evangelio suo c. XIV, v. 13 (coll. Matth. IV, 12; Marc. I, 14), de Jesu, postquam mors Joannis ei esset annuntiata: Καὶ ἀκούσας ὁ Ἰησοῦς ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ' ἰδίαν. Hoc factum igitur ita sibi effinxit, ut p. 7 expressum est: Ἀλλ' ἀκούσας περὶ τοῦ θανάτου Ἰωάννου, καὶ φοβηθεὶς, μὴ καὶ τοῦτον (vel αὐτὸν) ἀνέλῃ ὁ Ἡρώδης, ἔφυγεν εἰς τὴν Γαλιλαίαν· τότε ἔγνων, ὅτι ἄνθρωπός ἐστι λοιπὸν (i. e. nihil aliud quam homo; vel λυπῶν, i. e. tristitia et pavore affectus homo), καὶ φοβεῖται τὸν θάνατον. Ita igitur ratiocinatur: Cum Jesus homo sit, humani nihil a se alienum reputans, mortemque extimescens, Filius Dei non esse potest.

Habemus hic argumentum, quo omnis hujus dramatis homiletici (25) œconomia nititur, quodque universam Christianam personat antiquitatem. Ex utraque Ecclesia plures fuerunt doctores, qui hoc argumentum tractarunt. Exempla plura invenies collecta in Guil. Münscheri, Handbuch der chr. Dogmengeschichte. th. IV, p. 277 seqq.

Nec absone nec contra analogiam biblicam ita judicarunt veteres. Nam si ipsis angelis bonis mysteria incarnationis Filii Dei nonnisi revelatione divina speciali innotuerunt (de qua Petrus, *I Ep.* I, 12, scribit: Εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι)· quo modo resciverint diaboli ejusque angeli, μὴ τηρήσαντες τὴν ἑαυτῶν ἀρχὴν (*Ep. Jud.* v. 6), tam splendidum et salutare mysterium? Nam incarnatio Filii Dei res est, de qua id valet, quod Apostolus pronuntiat: Ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν, itemque: ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν (*I Cor.* II, 8, 9). Tales autem non sunt πνεύματα ἀκάθαρτα nam peccati Adamitici luunt. Res igitur prorsus eadem est, quam Paulus, *Rom.* V, 12 seqq. pluribus exponit.

NOTÆ.

(24) In Leonis Allatii Diatr. de Symeonum scriptis, Paris. 1664, 4, plures orationes in decollationem Prodromi laudantur. Inter has quoque, p. 83: Michaelis Pselli λόγος εἰς τὸν Εὐαγγελισμόν. Sed dubium, an non sit festum Annuntiationis, quod Græci εὐαγγελισμόν vocare solent.

(25) Ne aliquem hoc dictum offendat, sciendum est, jam apud Clement. Alex. Cohort. ad gent. 10, p. 172 (ed. Oberth.) legi: Οὗθ' ὅτε τὸ ἀνθρώπου προσωπεῖον ἀναλαβὼν, καὶ σαρκὶ ἀναπλασάμενος, τὸ σωτήριον δρᾶμα τῆς ἀνθρωπότητος ὑπεκρίνετο.

καὶ πονηρά, quibus, tanquam hostibus, abscondit Deus æterna sua consilia et decreta de promovenda hominum salute per Christum.

Ex historia evangelica luculenter apparet diabolum (qui in S. S. et doctrina ecclesiastica non Deo, sed Christo opponitur) incertum et dubium fuisse, an Christus sit Filius Dei, necne, et quid ejus nativitas et conditio humilis in hac vita sibi velit? Testatur hoc narratio de tentatione Christi, ut traditur Matth. IV, 1, 11; Marc. I, 12, 13; Luc. IV, 1, 14. Aggreditur Jesum ὁ πειράζων tanquam personam dubiam atque suspectam; vult explorare utrum Jesus sit ὁ Χριστὸς, Filius Dei, qualem se prædicabat, varioque modo eum tentat, dicendo: Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ. Supponit quidem, sed non pro certo scit, rectene supponat, vel non? Ita inter veteres plurimi historiam tentationis explicant, ut Hugo Grotius ad Matth. IV, 3, adnotavit.

Patres (ut inter multos ex Athenagor. Legat. p. 27, et Epiphan. hæres. 47 patet) semper Gnosticos et Manichæos graviter vituperarunt, quod non Christum et Belial, ut œconomia Christiana postulat, sed Deum et diabolum, ut dualismi patroni statuebant, tanquam sibi opposita considerarent. Diabolum non deum, aut dominum, sed angelum malum malique ministrum esse docent. Superant quidem diabolus ejusque angeli homines et scientia et potestate, longe tamen inferiores Deo ejusque subditi et servi; nec omniscii, nec omnipotentes, nil possunt scire atque efficere, nisi quod ipsis a Deo permittitur. Multa hujus rei Patrum habemus testimonia. Inter multa præ cæteris laudamus: Hermæ Pastor. mandat. VII, XVII, § 5; Iren. Adv. hæres. lib. V, c. 26; Orig. De princip. lib. III, c. 2; lib. I, Procem. § 5; Tertull. Apol., c. 22 seqq.; Cyprian. De zelo et liv. serm. 2 De idol. van., p. 8; Lactant. De opific. Dei c. 19, 20; Augustin. De Eccl. dogm. c. 81, adnotat. c. Faustin. XXI. c. 2; De vera rel. c. 13; De civit. Dei, lib. VIII, c. 22; Gregor. M. Moral. in Job. II, c. 6; XIV, c. 14, 16, 23; Jo. Cassian. Collat. VII, c. 21, rel.

Talem et Noster pingit diabolum. Observat homines, ad eorum indolem moresque attendit, eorumque factis et verbis invigilat. Sed idem spiritui vaferrimo contingit, quod hominibus; falso supponit, male interpretatur, et perverse ratiocinatur.

I.

ORATIO DE ADVENTU ET ANNUNTIATIONE JOANNIS (BAPTISTÆ) APUD INFEROS.

—

Τοῦ μακαρίου Εὐσεβίου λόγος περὶ τῆς παρουσίας Ἰωάννου ἐν τῷ ᾅδῃ καὶ τῶν ἐκεῖσε ἐγκεκλεισμένων (26).

Δέσποτα, εὐλόγησον (27).

Ἀναγκαῖον ἡμῖν ἐστι (28) πάλιν (29) σήμερον

A *Beati Eusebii Emeseni de adventu Joannis in infernum, et de ibi inclusis, sermo.*

Domine, benedic.

Necesse habemus hodie denuo inquirere quæ

EDITIO ALTERA.

Περὶ τῆς παρουσίας Ἰωάννου εἰς ᾅδην, καὶ περὶ τῶν ἐκεῖ ὄντων.

[Cod. f. 333 b.] Ἀναγκαῖόν ἐστιν πάλιν σήμερον τοῦ πρωῒ λόγου τὰ ἀκόλουθα διασαφῆσαι ἡμᾶς, καὶ

NOTÆ.

(26) Post ἐγκεκλεισμένων in codice ab eadem manu additum: Καὶ εἰς τὴν προδοσίαν τοῦ Ἰούδα, quod ad sequentem Orat. II, spectat probatque, librarium utramque orationem conjungere voluisse. — Eamdem homiliam sub nomine Eusebii Alexandrini edidit Ang. Mai, *Spicileg. Rom.* tom. IX, col. 688.

(27) Post titulum p. 3, addita formula: Δέσποτα, εὐλόγησον, quæ etiam p. 15, repetita et p. 29: Εὐλόγησον, ὦ δέσποτα, expressa est. Hæc formula doxologica in Homiliis Græcis admodum frequens e. B gr. Epiphan. Opp. t. II, p. 251, p. 276, etc. Juxta Ferrarium (De concionibus vet. lib. I, c. 8, p. 42), omnes ejusmodi formulæ non ab auctoribus ipsis, sed a monachis sunt additæ; quæ tamen sententia non satis probata videtur. Nam nulla adest justa causa, cur hanc formulam, etsi non in S. S. κατὰ ῥητὸν, tamen κατὰ διάνοιαν, non præmiserint sacri oratores. Plane eadem est cum formula e S. S. desumpta et a nostris Homiletis sæpius adhibita: *O Herr hilf, o Herr, lass' alles wohlgelingen!* Alii hæc verba, pro quibus sæpius: Εὐλόγησον, κύριε, ponitur, non doxologiam, sed allocutionem oratoris ad episcopum, qua ejus benedictionem et quasi consecrationem expetat, habent. Non negamus quidem contra Ferrarium, hancbenedicendi consuetudinem, cujus etiam apud nos exstant vestigia, obtinuisse in Ecclesia antiqua (Cf. librum nostrum: *Denkwurdigkeiten aus der chr. Archæologie* t. VI, p. 357-362); sed negamus, vocabulum δέσποτα et κύριε hunc habere sensum. Pugnaret hoc cum perpetuo usu loquendi Ecclesiæ antiquæ, quo utrumque vocabulum non nisi de Deo vel Christo adhibetur. Si de episcopo accipiendum, non κύριε, sed πάτερ (addito etiam ἅγιε, vel μακάριε) fuisset ponendum. Nostrum: Δέσποτα, εὐλόγησον, idem sibi vult quam doxologia: εὐλογητὸς ὁ Θεός, de cujus usu videndus Chrysostom. Hom. post redit. t. V, p. 912, ed. Francof.

(28) Formula alloquendi auditores in nostra oratione deest; in aliis autem est simplex illa et biblica: ἀγαπητοί, vel υἱέ μου ἀγαπητέ, collective pro υἱοὶ ἀγαπητοί, non minus biblica, qua etiam Latini utuntur: *Dilectissimi, filii mei dilecti*, etc. Doctor Christianus est πατὴρ, omnes suos auditores tanquam υἱούς, i. e. discipulos filiosque, habens. In eo differunt concionatores sacri ab oratoribus profanis, qui sermones suos ad *auditores* dirigunt, et haud raro epitheta ornantia, *spectatissimi, splendidissimi*, et his similia addere solent. Rarissime doctores Christiani ab hac simplicitate et dignitate ecclesiastica et pastorali recesserunt.

(29) *Πάλιν σήμερον ἐρευνῆσαι.* Illud πάλιν vel anniversariam solemnitatem recurrentem, vel commemorationem combinatam et copulatam indicat. Ejusmodi combinationes pluribus diebus, in primis Septimanæ magnæ, fuisse in usu, multa testantur exempla, de quibus exposuimus in libro: *Denkwur-*

Præcursor in inferno nuntiaverit et quid ibi eum interrogaverint.

Cum suos ad Dominum misisset discipulos ut ab eo expressius quærerent : *Tu es qui venturus est, an alium exspectamus* [1] ? illique reversi responsum retulissent, ecce mittens Herodes decollavit Joannem in carcere. Impleto igitur Præcursor suo cursu venit ad inclusos in inferno : qui lucernæ viso splendore, eum inde agnoverunt, ac de Sole justitiæ cœperunt interrogare; quique Joannem viderunt mundi lucernam, ipsis magna fuit inde consolatio : Solem namque justitiæ appropinquare cognoverunt; sicut enim, peracta jam nocte primumque diei albescente luce, præit lucifer solis adventum indicans; ita quoque Joannes, quippe

ἐρευνῆσαι (30) καὶ γνῶναι, ποταπὸς ὁ εὐαγγελισμὸς τοῦ Προδρόμου ἐν τῷ ᾅδῃ, καὶ τί ἐν τῷ ᾅδῃ ἐπερώτησαν αὐτόν.

Ἀποστείλαντος αὐτοῦ τοὺς μαθητὰς πρὸς τὸν Κύριον μαθεῖν τὴν ἀκρίβειαν τὸ, *Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;* καὶ ἐλθόντων αὐτῶν καὶ κομισάντων τὴν ἀπόκρισιν, ἰδοὺ Ἡρώδης πέμψας ἀπεκεφάλισεν τὸν Ἰωάννην ἐν τῷ δεσμωτηρίῳ. Καὶ πληρώσας τὸν δρόμον ὁ Πρόδρομος, παρεγένετο πρὸς τοὺς κατακλείστους ἐν τῷ ᾅδῃ. Καὶ θεασάμενοι αὐτοῦ τὴν αὐγὴν τοῦ λύχνου ἐγνώρισαν αὐτόν· καὶ ἤρξαντο περὶ τοῦ Ἡλίου τῆς δικαιοσύνης (31) ἐρωτᾷν αὐτὸν, εἰ δ' ἂν εἶδεν (32) τὸν λύχνον τοῦ κόσμου Ἰωάννην, καὶ παραμυθία αὐτοῖς γέγονεν. Ἔγνωσαν γὰρ, ὅτι καὶ ἡ τοῦ Ἡλίου τῆς δικαιοσύνης παρουσία ἐγγύς ἐστι. Ὥσπερ γὰρ τῆς νυκτός

[1] Matth. xi, 3.

EDITIO ALTERA.

ἰδεῖν ποταπὸς ὁ εὐαγγελισμὸς τοῦ Προδρόμου ἐν τῷ ᾅδῃ, καὶ τί ἐπερώτησαν αὐτόν. Ἀποστείλαντος αὐτοῦ πρὸς τὸν Κύριον τοὺς μαθητὰς αὐτοῦ μαθεῖν τὴν ἀκρίβειαν τοῦ. *Σὺ εἶ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;* καὶ ἐλθόντων αὐτῶν καὶ τὴν ἀπόκρισιν ἐνεγκάντων, ὁ Ἡρώδης πέμψας ἐν τῷ δεσμοτηρίῳ ἀπεκεφάλισε τὸν Ἰωάννην. Καὶ πληρώσας τὸν δρόμον ὁ Πρόδρομος τοῦ Κυρίου παρεγένετο πρὸς τοὺς κατακλεισμένους ἐν τῷ ᾅδῃ· καὶ ἰδόντες τὴν αὐγὴν τοῦ λύχνου ἐγνώρισαν αὐτὸν, καὶ ἤρξαντο ἐπερωτᾷν αὐτὸν περὶ τοῦ Ἡλίου τῆς δικαιοσύνης· ἴδον γὰρ τὸν λύχνον τοῦ κόσμου Ἰωάννην, καὶ παραμυθία αὐτοῖς ἐγένετο τοῦ λύχνου τὸ φέγγος· ἴδον τὸν λύχνον, καὶ εὔθυμοι ἐγένοντο πάντες· ἔγνωσαν γὰρ ὅτι καὶ ἡ τοῦ Ἡλίου τῆς δικαιοσύνης παρουσία ἐγγύς ἐστιν. Ὥσπερ γὰρ τῆς νυκτὸς παρελθούσης, καὶ τῆς ἡμέρας ἐπιγινομέ-

NOTÆ.

digkeiten aus der chr. Archæologie, t. II, p. 34 seqq. p. 302 seqq. Solemnitates et commemorationes feriæ v, ut supra dictum est, erant propriæ : 1. Proditio Judæ. 2. Pediluvium. 3. Eucharistia. In Ecclesia antiquissima rarius de sacra cœna, quam de proditione Judæ actum est (*a*).

Nostrum σήμερον igitur sine dubio feriam v, sive ut nunc vocatur : *diem viridium* significat. Quod si hoc admittere nolis, in feria iv (die Mercurii) subsistendum erit. Tunc vero oratio, quæ sequitur, de proditione, pertinet ad feriam v, in cujus fine p. 14, dictum est : Αὔριον ἀκούσωμεν καὶ περὶ ἐκείνης τῆς ὑποθέσεως. Illa vero continuatio, quæ in postero die promittitur et oratione p. 15 seqq. exhibetur habita est τῇ μεγάλῃ παρασκευῇ, i. e. feria vi Septimanæ magnæ.

Si fides habenda testimonio jam supra ex Leonis Allatii Diatr. de Symeonum scriptis p. 82, allato, verba : Ἀναγκαῖόν ἐστι πάλιν σήμερον τῷ πρωῒ τοῦ λόγου, etc., indicant diei tempus quo habita fuerit oratio; nimirum in *conventu matutino*. Tunc oratio de proditione Judæ habita est in *conventu pomeridiano* vel *vespertino*, eamque excepit altero die (αὔριον), i. e. die Parasceves tertia : λόγος εἰς τὸν Διάβολον καὶ εἰς τὸν Ἅδην, etc. Ut in Ecclesia antiqua nulla oratio sacra absque textu S. S. habita est, ita quoque nostra lectionem biblicam, textus loco, supponit. Hæc autem lectio est vel Matth. xi, 1 seqq. vel Matth. xiv, 1-13. Verbum quoque ἐρευνᾷν, quod adhibet Eusebius, non solum in loco biblico Joan. v, 39, sed etiam a scriptoribus ecclesiasticis semper de interpretatione et accommodatione S. S. dicitur. Habet autem, secundum Athanasium et Theophylactum, hanc emphasin : ἐρευνᾷν εἰπὼν τὴν ἐπιμελῆ καὶ νηφάλιον τῶν κεκρυμμένων ἐξέτασιν. Cum quo consentit Chrysost. Hom. XII. in Joan. : Οὐκ ἀγνοίας, ἀλλ' ἀκριβοῦς γνώσεως τὸ ἐρευνᾷν ἐνδεικτικόν.

(30) Male ἐρευνᾶσαι apud Lambecium.

(31) *Περὶ τοῦ ἡλίου τῆς δικαιοσύνης.* Totus locus referendus ad Joan. i, 7-9, et I Petr. i, 19. Comparatur Joannes ὁ Πρόδρομος cum aurora, vel potius cum Lucifero (ἑωσφόρος ἀστήρ), solis nuntio. Metaphora autem ὁ Ἥλιος τῆς δικαιοσύνης desumpta est ex Malach. iv, 2, (text. Hebr. iii, 20) : Καὶ ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου Ἥλιος δικαιοσύνης, quem locum veteres pro vaticinio de Christo ejusque præcursore Elia (sub quo Joannes Baptista latuit, cf. Matth. xi, 14) habuerunt. De creberrimo hujus metaphoræ usu apud Patres Græcos et Latinos vid. Suiceri Thes. eccles. t. II, pag. 1319-21. Addimus locum ex Clement. Alex. Cohort. ad gent. Opp. t. I, p. 178, ed. Oberth. a Suicero quidem laudatum, sed non integre appositum. Dicit autem de Christo : Χαῖρε, φῶς, ὅτι φῶς ἡμῖν ἐξ οὐρανοῦ, τοῖς ἐν σκότει κατορωρυγμένοις, καὶ ἐν σκιᾷ θανάτου κατακεκλεισμένοις ἐξέλαμψεν, ἡλίου καθαρώτερον, ζωῆς τῆς ἐνταῦθα γλυκύτερον· τὸ φῶς ἐκεῖνο, ζωή ἐστιν ἀΐδιος· καὶ ὅσα μετείληφεν αὐτοῦ, ζῇ· ἡ νὺξ δὲ, εὐλαβεῖται τὸ φῶς· καὶ δύνουσα διὰ τὸν φόβον, παραχωρεῖ τῇ ἡμέρᾳ Κυρίου. Τὰ πάντα φῶς ἀκοίμητον γέγονεν, καὶ ἡ δύσις ἀνατολὴ πεπίστευκεν. Τοῦτο ἡ κτίσις ἡ καινὴ βεβούληται· ὁ γὰρ τὰ πάντα καθιππεύων δικαιοσύνης Ἥλιος, ἐπίσης περιπολεῖ τὴν ἀνθρωπότητα, τὸν Πατέρα μιμούμενος, ὃς ἐπὶ πάντας ἀνθρώπους ἀνατέλλει τὸν ἥλιον αὐτοῦ, καὶ καταψεκάζει τὴν δρόσον τῆς ἀληθείας· οὗτος τὴν δύσιν εἰς ἀνατολὴν μετήγαγεν, καὶ τὸν θάνατον εἰς ζωὴν ἀνεσταύρωσεν.

(32) Ita legendum putavi, cum scriptio codicis, οἶδαν nullum præbeat sensum.

(*a*) Tempore adhuc Chrysostomi ἡ προδοσία τοῦ Ἰούδα thema hujus diei erat principale. Cf Chrysost Opp. t II, p. 376, p. 720, ed. Montf. In Leonis Allatii Dissert. de Domin. et hebdomad. Græc. edit. Colon. 1648, 4, p. 1417 ; ex Isidoro Pelusiota relatum est : Τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ οἱ τὰ πάντα καλῶς διαταξάμενοι θεῖοι Πατέρες ἀλληλοδιαδόχως ἔκ τε τῶν θείων ἀποστόλων, καὶ τῶν ἱερῶν καὶ θείων Εὐαγγελίων παραδεδώκασιν ἡμῖν τέσσαρά τινα ἑορτάζειν· τὸν ἱερὸν νιπτῆρα, τὸ μυστικὸν δεῖπνον, τὴν παράδοσιν δηλαδὴ τῶν καθ' ἡμᾶς φρικτῶν μυστηρίων, τὴν ὑπερφυᾶ προσευχὴν, καὶ τὴν παραδοσίαν αὐτήν.

A πληρωθείσης καὶ τῆς ἡμέρας αὐγῆς (33) ὀρχομένης, προτρέχει ἑωσφόρος ἀστὴρ μηνύων τὴν τοῦ ἡλίου παρουσίαν· οὕτως καὶ Ἰωάννης ὡς πρόεδρος ἔδραμεν εἰς τὸν ᾅδην λύχνος ὑπάρχων· καὶ ἐμήνυσεν τοῖς ἐκεῖσε, ὅτι ἔρχεται ὁ Ἥλιος τῆς δικαιοσύνης καὶ ἐξάξει ὑμᾶς [vel αὐτοὺς] ἐκεῖθεν. Τότε ἀκούσαντες οἱ ἐν τῷ ᾅδῃ προέδραμον τῷ Ἰωάννῃ λέγοντες· Παραγίνεται ὁ Κύριος ἐνταῦθα· πολὺς γὰρ ἀπελπισμὸς κατέχει ἡμᾶς. Εἰ ἄρα ἔρχεται λοιπὸν καὶ ἀπαλλάττει ἡμᾶς τῆς θλίψεως ταύτης, ἐπληρώθησαν τὰ προφητευθέντα εἰς αὐτόν.

lucerna, prior descendit in infernum, ibi prænuntiaturus quia venit Sol justitiæ et vos hinc educet: Quibus auditis, ad Joannem concurrere omnes et dicere : Ecce adest Dominus, magna quidem tenet nos desperatio; sed si tandem venit et nos ex hac tribulatione expedit, jam impleta sunt de eo prænuntiata.

Ἀποκριθεὶς ὁ Ἰωάννης ἐπηρώτα τοὺς προφήτας λέγων· Παρακαλῶ ὑμᾶς, ἀπαγγείλατε, τί ἕκαστος ὑμῶν προεφήτευσεν περὶ τοῦ Κυρίου, ἵνα καὶ οἱ ἐν τῷ ᾅδῃ ἀκούσαντες εὔθυμοι γίνωνται.

Respondens Joannes interrogavit prophetas: Renuntiate, quæso, mihi quæ vestrum unusquisque de Domino prophetaverit, quod audientes qui sunt in inferno bona spe erigantur.

B Καὶ ἀποκριθεὶς ὁ προφήτης Δαβὶδ εἶπεν· Ἐγὼ ἔγνων ὅτι ἐκ τῶν οὐρανῶν ἔρχεται, καὶ εἶπον· *Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡς ἡ σταγὼν ἡ στάζουσα ἐπὶ τῆς γῆς* (34), ἐπειδὴ ὑετὸς καταβαίνων ἐπὶ ἐρίῳ οὐκ ἀποτελεῖ ψόφον.

Et respondens David propheta dixit : Ego cognovi eum de cœlis esse venturum, et dixi : *Descendit sicut pluvia in vellus et sicut stillicidium stillans super terram* [2], eo quod sine strepitu pluvia in lanam descendit.

Καὶ ἀποκριθεὶς Ἡσαΐας εἶπεν· Ἐγὼ ἔγνων, ὅτι μέλλει ἐκ Παρθένου γεννᾶσθαι, καὶ εἶπον· *Ἰδοὺ, ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται Υἱόν· καὶ καλέσουσιν τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ* (35).

Et respondens Isaias dixit : Ego cognovi eum e Virgine nasciturum, et dixi : *Ecce Virgo in utero habebit, et pariet Filium et vocabunt nomen ejus Emmanuel* [3].

Ἄλλος προφήτης εἶπεν· Ἐγὼ ἔγνων ὅτι μέλλει ἐν Βηθλεὲμ γεννᾶσθαι, καὶ εἶπον· *Καὶ σὺ, Βηθλεέμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ* (36).

Alius propheta dixit : Ego cognovi eum in Bethleem nasciturum, et dixi : *Et tu, Bethleem, terra Juda, nequaquam minima es in principibus Juda : ex te enim mihi exiet dux qui pascat populum meum Israel* [4].

C Καὶ ἄλλος προφήτης εἶπεν· Ἐγὼ ἔγνων ὅτι εἰς Αἴγυπτον κατέρχεται, καὶ εἶπον ὡς ἐκ προσώπου τοῦ Πατρὸς αὐτοῦ· *Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου.*

Et alius propheta dixit : Ego cognovi eum in Ægyptum esse descensurum, et dixi, quasi in persona Patris ejus : *Ex Ægypto vocavi Filium meum* [5].

Ἄλλος προφήτης εἶπεν· Ἐγὼ ἔγνων ὅτι, ἀντὶ τῶν δώδεκα πατριαρχῶν μαθηταὶ μέλλουσιν διακονεῖν αὐτὸν, καὶ εἶπον· *Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν οἱ υἱοί σου* (37).

Alius quoque propheta dixit : Ego cognovi ei, pro duodecim patriarchis, duodecim esse famulaturos discipulos, et dixi : *Pro patribus tuis nati sunt filii tui* [6].

EDITIO ALTERA.

νης, προτρέχει ἑωσφόρος ἀστὴρ μηνύων τὴν τοῦ ἡλίου παρουσίαν, οὕτως καὶ Ἰωάννης προέδραμεν εἰς τὸν ᾅδην, καὶ λύχνος ὑπάρχων ἐμήνυεν αὐτοῖς ἐκεῖ ὅτι ἔρχεται ὁ τῆς δικαιοσύνης Ἥλιος καὶ οὐ βραδύνει. Πολλοὺς γὰρ ἀπελπισμὸς τοὺς ἐκεῖσε κατεῖχεν· ἔλεγον γὰρ, Ἆρα ἔρχεται λοιπὸν καὶ ἐλευθεροῖ τὸν κόσμον τῆς θλίψεως ταύτης; ἢ οὐκ ἐπλήρωσε τὰ προφητευθέντα περὶ αὐτοῦ; Ἄλλοι ἔλεγον· Μή πως οὐκ ἔρχεται; μή πως οὐ καταδέχεται ὑπομεῖναι θάνατον; Οἱ δὲ προφῆται διισχυρίζοντο λέγοντες, ὅτι Δεῖ αὐτὸν θάνατον ὑπομεῖναι δι' ἡμᾶς· ἔγνωμεν γὰρ ἡμεῖς τὰ μέλλοντα γίνεσθαι, καὶ οὕτως μὲν προεφητεύσαμεν ἐν τῷ κόσμῳ τὴν τοῦ Κυρίου παρουσίαν (37*).

Καὶ ἀποκριθεὶς Ἰωάννης εἶπεν τοῖς προφήταις· Δεῦτε, παρακαλῶ, καὶ ἀπαγγείλατέ μοι τί προεφητεύσατε περὶ τοῦ Κυρίου, καὶ εἰ μέλλει ἔρχεσθαι, ἵνα καὶ οἱ ὧδε ἀκούσαντες εὔθυμοι γίνωνται. Ἀποκριθεὶς δὲ ὁ προφήτης καὶ βασιλεὺς ὁ ἅγιος Δαβὶδ λέγει· Πρῶτος ἐγὼ λέγω· καὶ εἶπον, *Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκῳ* [7]. Ἀποκριθεὶς καὶ Ἡσαΐας εἶπεν, Ἔγνων, ἔγνων ὅτι ἐκ Παρθένου μέλλει γεννᾶσθαι κατὰ σάρκα, καὶ εἶπον· *Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται Υἱὸν, καὶ καλέσουσιν τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ* [7*]. Καὶ ἄλλος προφήτης ἀποκριθεὶς εἶπεν· Ἐγὼ ἔγνων ὅτι τῶν δώδεκα πατριαρχῶν, δώδεκα μαθηταὶ μέλλουσιν διακονῆσαι αὐτῷ, καὶ εἶπον· *Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν υἱοί σου* [8]. Καὶ

[2] Psal. LXXI, 6. [3] Isa. VII, 14. [4] Mich. V, 2. [5] Osee XI, 1. [6] Psal. XLIV, 17. [7] Psal. LXXI, 6. [7*] Psal. XVI, 14. [8] Psal. XLIV, 17.

NOTÆ.

(33) Ita reposui pro λύπην.

(34) Ex psalmo LXXII, 6, [al. LXXI, 6.], ubi tamen textus receptus habet : Ὡσεὶ σταγόνες στάζουσαι ἐπὶ τὴν γῆν.

(35) Ex Isa. VII, 14, nostro textu exhibente : *Ἐν γαστρὶ λήψεται κ. τ. υ. καλέσεις τ. ὄ. α. Ἐ.*

(36) Noster Micheæ (c. V, v. 2), quidem sensum exprimit, in verbis tamen multum a textu prophetæ recedit.

(37) Psal. XLV, (al. XLIV.), 17, ubi tamen, ἐγεννήθησάν σοι υἱοί.

(37*) Sequuntur heic longi illi et varii, quos dixi supra in adnot., sermones apud inferos, in Joannis adventu.

Et alius respondens dixit : Ego cognovi quæ signa esset facturus, et dixi : *Tunc aperientur oculi cæcorum et aures surdorum audient, tunc saliet claudus ut cervus et lingua impedita erit aperta* [8*]. Et insuper cognovi eum Sabbata eorum esse soluturum, et dixi : *Neomenia vestra et Sabbata vestra odit anima mea* [9].

Et respondens alius dixit : Ego cognovi Judam triginta argenteos esse accepturum ut eum traderet, et dixi : *Posuerunt pretium meum triginta argenteos* [9*].

Et respondens Jeremias dixit : Ego cognovi eum in ligno crucifigendum esse, et dixi ut in persona Judæorum : *Venite, mittamus lignum in panem ejus et vitam ejus eradamus* [10].

Respondens alius dixit : Ego cognovi eum in monte esse exaltandum, et dixi : *Dum anxiaretur cor meum, in petra exaltasti me* [11].

Et respondens alius ex prophetis dixit : Ego cognovi eum cum latronibus crucifigendum esse, et dixi : *Et cum sceleratis reputatus sum* [12].

Et repondens alius dixit : Ego cognovi eum felle et aceto esse potandum, et dixi : *Et dederunt in escam meam fel et in siti mea potaverunt me aceto* [13]. Et insuper cognovi eum in monumento esse ponendum, et dixi : *Posuerunt me in loco infimo, in tenebrosis et in umbra mortis* [14].

Et respondens alius : Ego cognovi, inquit, portas inferno ab eo conterendas esse et confringendas, et dixi : *Conteret portas æreas et vectes ferreos confringet* [15].

Et alius respondens dixit : Ego cognovi ab eo resuscitandos esse mortuos qui sunt in inferno, et dixi : *Resurgent mortui, evigilabunt qui in monumentis sunt* [16].

A Καὶ ἄλλος ἀποκριθεὶς εἶπεν· Ἐγὼ καὶ τὰ θαύματα ἃ ἔμελλε ποιεῖν, ἔγνων, καὶ εἶπον· *Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. Τότε ἁλεῖται χωλὸς ὡς ἔλαφος, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων*. Καὶ πάλιν, ὅτι τὰ Σάββατα αὐτῶν ἔμελλεν καταλύειν, ἔγνων, καὶ εἶπον· *Τὰς Νεομηνίας ὑμῶν καὶ τὰ Σάββατα ἐμίσησεν ἡ ψυχή μου* (38).

Καὶ ἄλλος ἀποκριθεὶς εἶπεν· Ἐγὼ ἔγνων ὅτι τριάκοντα ἀργύρια μέλλει λαμβάνειν Ἰούδας, καὶ προδιδόναι αὐτὸν, καὶ εἶπον· *Ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργύρια* [ἀργυροῦς].

Καὶ ἀποκριθεὶς Ἱερεμίας εἶπεν· Ἐγὼ ἔγνων ὅτι ἐπὶ ξύλου μέλλουσιν σταυροῦν [σταυρῶσαι] αὐτὸν, καὶ εἶπον ὡς ἐκ προσώπου τῶν Ἰουδαίων· *Δεῦτε,*
B *καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ· καὶ ἐκτρίψωμεν τὴν ζωὴν αὐτοῦ* (39).

Ἀποκριθεὶς ἄλλος εἶπε· Ἐγὼ ἔγνων ὅτι μέλλουσιν ἐπὶ πέτραν ὑψοῦν αὐτὸν, καὶ εἶπον· *Ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου, ἐν πέτρᾳ ὕψωσάς με.*

Καὶ ἀποκριθεὶς ἄλλος τῶν προφητῶν εἶπεν· Ἐγὼ ἔγνων ὅτι μέλλουσιν αὐτὸν μετὰ λῃστῶν σταυροῦν, καὶ εἶπον· *Καὶ μετὰ ἀνόμων ἐλογίσθην.*

Καὶ ἀποκριθεὶς ἄλλος εἶπεν· Ἐγὼ ἔγνων ὅτι μέλλουσιν αὐτὸν χολὴν καὶ ὄξος ποτίζειν καὶ εἶπον· *Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος*. Καὶ πάλιν, ὅτι εἰς μνημεῖον μέλλουσιν τιθέναι αὐτὸν ἔγνων, καὶ εἶπον· *Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.*

C Καὶ ἄλλος ἀποκριθείς· Ἐγὼ ἔγνων ὅτι τὰς πύλας ᾅδου συνθλάσει καὶ συντρίψει, καὶ εἶπον· *Πύλας χαλκᾶς συντρίψει, καὶ μοχλοὺς σιδηροῦς συνθλάσει* (40).

Καὶ ἄλλος ἀποκριθεὶς εἶπεν· Ἐγὼ ἔγνων ὅτι ἀναστήσει τοὺς νεκροὺς τοὺς ἐν ᾅδῃ, καὶ εἶπον· *Ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις.*

EDITIO ALTERA.

ἄλλος προφήτης ἀποκριθεὶς εἶπεν· Ἐγὼ καὶ ὅτι θαύματα ἔμελλε ποιεῖν ἔγνων, καὶ εἶπον· *Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται· τότε ἁλεῖται ὡσεὶ ἔλαφος ὁ χωλὸς, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων* [17]. Καὶ ἄλλος εἶπεν· Ἐγὼ ἔγνων ὅτι μαθητὴς αὐτοῦ αὐτὸν προδιδῶσιν, καὶ εἶπον· *Ὁ ἐσθίων ἄρτον μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν* [18]. Καὶ ἄλλος ἀποκριθεὶς εἶπεν· Ἐγὼ ἔγνων ὅτι τριάκοντα ἀργύρια μέλλει λαμβάνειν καὶ παραδιδόναι αὐτὸν, καὶ εἶπον· *Καὶ ἔθηκαν τὸν μισθόν μου τριάκοντα ἀργύρια* [19]. Καὶ ἀποκριθεὶς ἄλλος εἶπεν· Ἐγὼ ἔγνων ὅτι μέλλει ἐπὶ κριτήρια ἄγεσθαι, καὶ εἶπον· *Αὐτὸς ὁ Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ αὐτοῦ* [20]. Καὶ ἀποκριθεὶς Ἱερεμίας εἶπεν· Ἐγὼ ἔγνων ὅτι ἐπὶ ξύλον μέλλουσιν αὐτὸν αἴρειν, καὶ εἶπον· *Δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς ἄρτον αὐτοῦ, καὶ συντρίψωμεν αὐτοῦ τὴν ζωήν* [21]. Καὶ ἄλλος ἀποκριθεὶς εἶπεν· Ἐγὼ ἔγνων ὅτι μετὰ λῃστῶν μέλλουσι σταυροῦν αὐτὸν, καὶ εἶπον· *Καὶ μετὰ ἀνόμων λογισθήσεται*. Καὶ ἄλλος ἀποκριθεὶς εἶπεν· Ἔγνων ὅτι ὄξος καὶ χολὴν [ποτίσουσιν αὐτὸν, καὶ εἶπον·] *Καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος* [22]. Καὶ ἄλλος ἀποκριθεὶς εἶπεν· Ἐγὼ ἔγνων ὅτι μέλλει πατεῖν τὸν θάνατον καὶ τὸν ᾅδην, καὶ εἶπον· *Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος;*

NOTÆ.

(38) Ex Isa. I, 14, sed paulo liberius et contractius.

(39) Ex Jerem. XI, 19, ubi tamen in fine : Ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων.

(40) In Isa. XLV, 2, ita legitur : Θύρας χαλκᾶς συντρίψω, καὶ μοχλοὺς σιδηροῦς συγκλάσω.

[8*] Isa. XXXV, 5. [9] ibid. I, 14. [9*] Zachar. XI, 12. [10] Jerem. XI, 19. [11] Psal. LX, 3. [12] Isa. LIII, 12. [13] Psal. LXVIII, 22. [14] Psal. LXXXVII, 87. [15] Isa. XLV, 2. [16] Isa. XXVI, 19. [17] Isa. XXXV, 6, 7. [18] Psal. XL, 10. [19] Zach. XI, 12. [20] Isa. III, 14. [21] Isa. XI, 19. [22] Isa. LIII, 12.

A Ταῦτα αὐτῶν λεγόντων περὶ ἑκάστης οἰκονομίας (41) ἧς ἔμελλεν ποιεῖν ὁ Κύριος, καὶ ἀγαλλιωμένων αὐτῶν ἐπὶ τῇ προτροπῇ, εἶπεν ὁ Ἅδης πρὸς τὸν Διάβολον· Περὶ τίνος λέγουσιν οὗτοι οἱ μεγαλόφρονες; Τίνος ἕνεκεν φλυαροῦσιν; Τίς δέ ἐστι οὗτος ὁ παραγενόμενος, ὅτι οὕτως αὐτοὺς ἐχαροποίησεν;

Dum autem loquerentur de prophetiis singulis quas Dominus esset impleturus, omnesque præ spe exsultarent, percontatus est a diabolo Infernus: De quo loquuntur isti superbientes? quare ebulliunt? Quisnam est is advena qui eos sic exhilarare possit?

Ὁ δὲ Διάβολος ἀποκριθεὶς εἶπεν πρὸς τὸν Ἅδην· Ὅλως μὴ θροηθῇς μηδὲ δειλιάσῃς ἀπὸ τῶν ῥημάτων αὐτῶν· οὗτος οὖν ὁ παραγενόμενος Ἰωάννης ἐστὶν ὁ Βαπτιστὴς, καὶ μεγαλοθύμων ἐστί. Καὶ γὰρ ὅτε ἦν ἐπὶ τῆς γῆς, μεγάλα αὐτοὺς εὐεργέτησεν καὶ ἐμαρτύρησεν περὶ ἐκείνου τοῦ ἀνθρώπου, περὶ οὗ νῦν εὐηγγελίσατο αὐτοῖς, πολὺ μέγαν αὐτοῖς διηγόρευσεν, καὶ μικρά τινα καὶ ἐμὲ ἐλύπησεν. Καὶ ἔλεγεν τῷ κόσμῳ, ὅτι Οὗτός ἐστι ὁ μέλλων λυτρῶσαι τὸν Ἰσραήλ. Καὶ εἰσῆλθον ἐγὼ εἰς τὴν Ἡρωδιάδα, γυναῖκα καλὴν καὶ ὑπουργόν μου καὶ συγκληρονόμον τῶν ἔργων μου, καὶ δι' ἐκείνης παρώξυνα βασιλέα· καὶ τοῦτον ἐν ἀρίστῳ ἀπέτεμον, καὶ τὴν κεφαλὴν αὐτοῦ δέδωκα τῷ κορασίῳ ἐπὶ πίνακι, καὶ ὡς μήλῳ προσέπαιξεν. Καὶ περὶ οὗ εἶπεν τῇ οἰκουμένῃ λυτροῦσθαι, οὐδὲ τοῦτον ἠδυνήθη λυτρώσασθαι, ἀλλ' ἀκούσας περὶ τοῦ θανάτου Ἰωάννου, καὶ φοβηθεὶς μὴ καὶ τοῦτον ἀνέλῃ ὁ Ἡρώδης, ἔφυγεν εἰς τὴν Γαλιλαίαν. Τότε ἔγνων ὅτι ἄνθρωπός ἐστι, λυπὸν (42) καὶ φοβεῖται τὸν θάνατον, καὶ οὐκέτι ἐφρόντισα περὶ τούτου· ἵνα δέ σοι τὴν ἀλήθειαν εἴπω, μεγάλως ἐλυπήθην ἐν τῇ ἀρχῇ καὶ ἐφοβήθην, ὅτι μὴ καὶ ἡμᾶς αἰχμαλώτους ποιήσῃ.

Diabolus autem: Noli turbari neve timeas ob istorum sermones: hic advena Joannes est Baptista; magnanimus quidem est: dum enim in terris ageret, magna in homines contulit beneficia, et testimonium de illo viro perhibuit de quo istis modo nuntiabat, quem magnum valde esse affirmavit; me quoque aliquo dolore affecit, siquidem mundo dicebat quia hic est qui salvum faciet Israel. B Ego idcirco intravi in Herodiadem, mulierem formosam mihi deditam et in meis gestis consortem; per quam regem exacerbavi istumque inter epulandum obtruncavi; caput quoque puellæ in disco dedi, et id puellæ, pomi instar, lusui fuit. Ille autem mundi dictus Salvator, nedum Joannem salvum facere potuerit, audita ejus morte, timuit ne ipse ab Herode interficeretur, et in Galilæam fugit. Ex quo cum nonnisi hominem esse sensi, quippe qui mortem timet; jamque omnis mea levata est sollicitudo; sed tamen, si sincere loqui velim, initio multus mihi dolor, et formido ne nosmetipsos in captivitatem redigeret.

C Ἀποκριθεὶς δὲ ὁ Ἅδης εἶπεν τῷ Διαβόλῳ· Βλέπε, ἀδελφὲ, μήπως θέλοντες (43) ἄγαν κερδῆσαι ἀπάν-

Respondens autem Hades diabolo dixit: Vide, frater, ne cum nimium lucrari voluerimus, uni-

EDITIO ALTERA.

Καὶ ταῦτα τῶν προφητῶν εἰπόντων καὶ πλείονα τούτων περὶ ἑκάστης οἰκονομίας ἧς ἐποίησεν ὁ Κύριος, καὶ ἀγαλλομένων πάντων ἐπὶ τῶν προφητῶν καὶ τοῦ εὐαγγελισμοῦ τοῦ Προδρόμου, ἰδὼν ὁ ᾅδης τὴν διαλογὴν τῶν προφητῶν, καὶ τὴν εὐφροσύνην, εἶπεν πρὸς τὸν διάβολον· Περὶ τίνος λέγουσιν αὐτοὶ ὑψηλόφρονες; τίνος ἕνεκεν φλυαροῦσιν; τίς δέ ἐστιν ὁ νῦν παραγενόμενος, ὅτι οὕτως αὐτοὺς ἐχαροποίησεν, καὶ θάρσος αὐτοῖς προσέθηκεν; Περὶ τίνος αὐτοῖς εὐηγγελίσατο οὐκ οἶδα, πλὴν βλέπω ἐν αὐτοῖς μεγάλην χαράν. Ὁ δὲ διάβολος ἀποκριθεὶς εἶπεν· Ὅλως σὺ μὴ θροηθῇς, ἄφες αὐτοὺς τέρπειν ἑαυτούς· οὗτος ὁ νῦν παραγενόμενος καὶ θαρσοποιήσας αὐτοὺς, Ἰωάννης ἐστὶν ὁ Βαπτιστής· μεγαλορρήμων γάρ ἐστιν· καὶ γὰρ καὶ ὅταν ἦν ἐν τῷ κόσμῳ, μεγάλα ἐμαρτύρησεν περὶ τοῦ ἀνθρώπου ἐκείνου, περὶ οὗ νῦν τούτοις εὐαγγελίζεται. Πολλοὶ μὲν γὰρ αὐτὸν διηγόρευσαν, καὶ ἐμὲ ἐθρόησεν· ἔλεγεν γὰρ πᾶσιν ἐν τῷ κόσμῳ ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὴν οἰκουμένην. Εἰσῆλθον οὖν ἐγὼ εἰς Ἡρωδιάδα γυναῖκα καλὴν σύμβουλόν μου, καὶ συγκληρονόμον μου τῶν ἔργων, καὶ δι' ἐκείνης παρώξυνα βασιλεῖς, καὶ τοῦτον ἐν ἀρίστῳ ἀπέτεμα [ita cod.], καὶ τὴν κεφαλὴν ἔδωκα κορασίῳ, καὶ ὃν οὗτος ἔλεγεν ὅτι τὴν οἰκουμένην λυτροῦται, οὔτε τοῦτον αὐτὸν αὐτὸς ἐλυτρώσατο· ἀλλὰ καὶ ἀκούσας περὶ τοῦ αὐτοῦ, καὶ φοβηθεὶς μὴ καὶ ἐκεῖνον ἀφαιρῇ ὁ Ἡρώδης, ἔφυγεν εἰς τὴν Γαλιλαίαν· καὶ τότε λοιπὸν ἐγὼ ἔγνων ὅτι ἄνθρωπός ἐστιν, καὶ φοβεῖται τὸν θάνατον, καὶ οὐκ ἔτι λοιπὸν ἐφρόντισα περὶ αὐτοῦ. Ἀποκριθεὶς δὲ ὁ ᾅδης πρὸς τὸν διάβολον εἶπεν· Βλέπε, ἀδελφὲ, καὶ περιέργασαι ἀκριβῶς τίς ἐστιν, καὶ πόθεν ἐγένετο, καὶ τίνος υἱός ἐστιν, ἵνα μὴ χλευασθῶμεν·

NOTÆ.

(41) *Περὶ ἑκάστης οἰκονομίας*. Plenior dicendi forma fuisset: Ἕκαστος τῶν προφητῶν ἔλεγε περὶ τῆς ἰδίας ἑκάστου οἰκονομίας, facitque huc quod in *Zonaræ* Lex. t. I, p. 651 dicitur: Ἐπιμερίζοντες τὸ πλῆθός φασιν ἑκάτερος ἕκαστος. Vocabulum autem οἰκονομία, ut apud Patres sæpius, significat eam Dei sive Spiritus sancti curam, quam prophetis V. T. Christus, futurus hominum σωτήρ, annuntiabatur, quaque idonei reddebantur, πολυμερῶς καὶ πολυτρόπως utrumque Jesu Christi statum (I *Petr*. I 11, 12) futuris sæculis delineare et prædicare.

(42) Ita codicis scriptio, dubiusque hæreo, utrum λοιπὸν, an λυπῶν sit reponendum.

(43) *Βλέπε, ἀδελφὲ, μήπως θέλοντες*, etc. Hades communicative loquitur et diabolum fratrem suum et socium vocat. Intelligit quoque, ὅτι πάντες ἐχθροὶ ἡμῶν γεγόνασιν, et quod ipsis sit causa communis contra hostem communem. Et recte id quidem ex analogia atque œconomia biblica, qua docetur Christum venisse, ut mortem et diabolum vincat et infernum destruat. Jure autem ἀδελφοὶ et gemelli dicuntur; nam conjuncti et conjurati contra pios omnesque adeo homines, τὴν βασιλείαν τῶν οὐρανῶν impugnant et peccatum promovent. Nam ante peccatum, ut docet auctor Sap. I, 14, οὐκ

versa perdamus : non est enim qui nobis sit amicus ; quin contra omnibus sumus odiosi ; quod si quid nobis mali accidat, absque consolatione ulla erit dolor noster, inenarrabilisque nostra afflictio. Nonne arbitraris prophetas istos sua corpora hic jucunde recepturos ? Hoc enim dicunt : sed si hinc abierint, quam merito nos irridebunt ! non autem loquor nisi de istis quos nulla manet pœna ; nam si exiret condemnatorum et peccatorum multitudo, ipsi sane nostram infirmitatem riderent, sed et orbis universus imbecillitatis nobis notam inurere haberet. Vide ergo diligenter ne ludibrio simus : isti enim ex his quæ de illo audiunt mirum in modum exsultant.

Quibus auditis, diabolus dicit ad Haden : Te jam monui nihil esse metuendum ex istorum verbis ; scio enim ego quis sit ille, nec eum timeo : homo est Jesus, manducans et bibens et dormiens ; mater ejus nomen habet Maria, pater autem Joseph est faber suæ artis peritus ; ex Nazareth sunt oriundi ; cumque natus ipse est, quærebat illum Herodes ad perdendum ; sed accipientes parentes in Ægyptum fugerunt. Nunc autem meas in manus incidit, quas tunc effugit, et illum tibi in manibus jam dabo (nam in manibus tibi dabo), siquidem Judæis in manibus tradam, concitaboque gentem eorum et illum in judicium tradent crucifigentque, atque e terra ejus auferetur memoria : post hæc vero illum huc ad te adducam, et tunc plangent isti. Tu interdum portas quam firmissime munito, nihilque timeas omnino ex istorum dictis quibus te terrere pertentant.

A των ζημιωθῶμεν. Οὐδεὶς γὰρ ἡμῶν τῶν δύο φίλος τυγχάνει, ἀλλὰ πάντες ἐχθροὶ ἡμῶν γεγόνασιν, καὶ ἐὰν ἀποτύχωμεν, ἀπαραμύθητον ἡμῶν τὸ πένθος γενήσεται, ἀνεκδιήγητος ἡ λύπη. Τί γὰρ νομίζεις τοὺς προφήτας τούτους ἡδέως τὰ σώματα αὐτῶν ἔσω τῶν πυλῶν τυγχάνει ; Καὶ τοιαῦτα φθέγγονται· ἐὰν ἐξέλθωσιν ἐντεῦθεν, πῶς ἔχουσιν ἡμῶν καταγελᾷν ! καὶ λέγω περὶ τούτων τῶν μὴ προσδοκώντων κόλασιν· ἐὰν ἐξέλθῃ τὸ πλῆθος τῶν καταδίκων καὶ ἁμαρτωλῶν, καὶ οὗτοι καταγελάσαι ἡμῶν ἔχουσι τῆς ἀδρανείας, καὶ ὁ κόσμος ὅλος ὡς ἀδρανείας ἡμᾶς διαγράψει (44). Βλέπε οὖν ἀκριβῶς, ἵνα μὴ χλευασθῶμεν· οὗτοι γὰρ μεγάλως εὐφραίνονται ἀκούοντες τὰ περὶ ἐκείνου.

Ὁ δὲ Διάβολος, ἀκούσας ταῦτα, λέγει πρὸς τὸν
B Ἅδην· Εἶπόν σοι, ὅτι Μὴ φοβηθῇς ἀπὸ τῶν ῥημάτων αὐτῶν. Ἐγὼ γὰρ οἶδα τίς ἐστι, καὶ οὐ φοβοῦμαι αὐτόν· ἄνθρωπός ἐστιν Ἰησοῦς, τρώγων καὶ πίνων καὶ κοιμώμενος· καὶ ἡ μήτηρ αὐτοῦ λέγεται Μαρία, ὁ δὲ πατὴρ αὐτοῦ Ἰωσὴφ ἐπιστάμενος τεκτονικὴν ἐπιστήμην. Ὑπάρχουσιν δὲ ἐκ τῆς πόλεως Ναζαρὲτ, καὶ ὅτε ἐγεννήθη, ἐζήτει αὐτὸν ὁ Ἡρώδης ἀποκτεῖναι· καὶ λαβόντες αὐτὸν οἱ γονεῖς ἔφυγον εἰς Αἴγυπτον. Ἀλλ' εἰ καὶ τότε ἐξέφυγεν τὰς χεῖράς μου, νῦν ἐμπεσεῖται, κἀγὼ αὐτὸν φέρω εἰς τὰς χεῖράς σου [εἰσελεύσομαι γὰρ εἰς τὰς χεῖράς σου]· εἰσελεύσομαι γὰρ εἰς τοὺς Ἰουδαίους, καὶ ἐπεγερῶ τὸ ἔθνος αὐτῶν, καὶ παραδώσουσιν αὐτὸν εἰς κριτήριον, καὶ σταυρώσουσιν αὐτὸν, καὶ ἀροῦσιν αὐτοῦ τὸ
C μνημόσυνον ἐκ τῆς γῆς· καὶ ἄξω αὐτὸν εἰς τὰς χεῖράς σου (46)· καὶ τότε πενθήσουσιν αὐτοί. Πλὴν ἀσφάλισαι τὰς θύρας ἐν πολλῇ ἀσφαλείᾳ, καὶ μὴ δειλιάσῃς ἀπὸ τῶν ῥημάτων· ἐκφοβεῖν γάρ σε θέλουσιν.

EDITIO ALTERA.

οὗτοι γὰρ μεγάλως χαίρονται καὶ εὐφραίνονται ἀκούοντες περὶ αὐτοῦ. Βλέπε οὖν ἀκριβῶς τίς ἐστιν ἵνα μὴ ὡς θέλομεν ἕνα κερδῆσαι, ὅλον τὸν κόσμον ζημιωθῶμεν· καὶ οὕτως οὐ μέλει μοι περὶ τῆς ζημίας, ὅσον ὅτι κατάγελως καὶ ἐπίχαρμα γινόμεθα· οὐ γὰρ εἷς καταγελάσει ἡμῶν ἢ δύο, ἀλλ' ὁ κόσμος ὅλος. Οὐδεὶς γὰρ ἡμῶν φίλος ἐστὶν, ἀλλὰ πάντες ἐχθροί. Ἀποκριθεὶς ὁ διάβολος λέγει πρὸς τὸν ᾅδην· Εἶπόν σοι, μὴ φοβηθῇς ἀπὸ τῶν ῥημάτων τῶν λεγομένων ὑπ' αὐτῶν. Οἶδα τίς ἐστιν, καὶ οὐ φοβοῦμαι αὐτόν· ἄνθρωπός ἐστιν τρώγων καὶ πίνων, καὶ κοιμώμενος καὶ κοπιῶν, καὶ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριὰμ, καὶ ὁ πατὴρ αὐτοῦ Ἰωσὴφ, ἐπιστάμενος τὴν τεκτονικὴν ἐπιστήμην· ὑπάρχουσιν δὲ ἐκ τῆς πονηρᾶς πόλεως ἡ Ναζαρέθ.

NOTÆ.

τὴν ᾅδου βασίλειον ἐπὶ γῆς· sed, ut idem docet. c. II, 24 : Φθόνῳ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. Nunc vero in utroque φάρμακον ὀλέθρου— συνθήκην ἔθεντο πρὸς αὐτὸν, ὅτι ἄξιοί εἰσι τῆς ἐκείνου μερίδος εἶναι (*Sap.* I, 14, 15). Semper quoque Ἅδης et Διάβολος tanquam socii et fratres, quorum unus adjuvat alterum, describuntur. Diabolus ψυχοπομποῦ habet partes, de quo verissime dici potest Homericum illud. Iliad. I, 3 :

Πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν.

(44) *Ἀδρανείας ἡμᾶς διαγράψει*· Nos inertes judicabit. Habet verbum διαγράφειν et hic significationem forensem, qua διαγράφειν δίκην apud Demosthenem et Lysiam, et διαγραφὴ de legali et judiciali condemnatione usurpatur.

(45) Uncinis inclusa mendose repetuntur.

(46) *Ἄξω αὐτὸν εἰς τὰς χεῖράς σου—πολλῇ ἀσφαλείᾳ.* Repugnare hæc sibi videntur. Nam *tradere in manus* idem est quod subjicere potestati ; hoc autem fit, dum animæ mortuorum intrant in regnum Hadis, cui præter Orcum nullum territorium, potestas nulla, διὰ τὰς πύλας τοῦ ᾅδου (*Psal.* IX, 14 ; *Isa.* XXXVIII, 10 ; *Sap.* XVI, 13).

Si igitur Hades novos subditos est recepturus, portas suas aperit, ut possint intrare. Hic vero hortatur diabolus, ἀσφάλισαι τὰς θύρας πολλῇ ἀσφαλείᾳ, quod consilium de non recipienda Christi anima indicare videtur. Pingit Noster diabolum, magistrum contradictionis, incertum, perturbatum, nec sibi constantem. Nunc animam Christi tanquam paratissimam exspectat prædam, Hadenque excitat : Σὺ ἕτοιμος γενοῦ εἰς τὴν ὑποδοχὴν αὐτοῦ (p. 16, 22) ; nunc vero timorem atque horrorem sentiens, tam terribilem personam conatur arcere atque excludere. Cum Tertulliano igitur dicendum : Excidit sibi coluber (Adv. Prax. c. 1) !

D Sed quamvis hæc verissima, in nostro loco non opus est ad ea recurrere. Jubet diabolus *claudere portas*, jam non Christi, sed prophetarum causa. Timet eorum omniumque ἐκεῖσε ἐγκεκλεισμένων eruptionem atque egressum, quem Hades in antecedentibus verbis : ἐὰν ἐξέλθωσιν ἐντεῦθεν, et : ἐὰν ἐξέλθῃ τὸ πλῆθος, τ. κ. κ. ἁ., innuerat. Si igitur non de *ingressu*, sed de *egressu* intelligimus, omnia bene cohærent.

Καὶ εἰπὼν ταῦτα ὁ διάβολος ἐπορεύθη πρὸς τοὺς A Ἰουδαίους. Καὶ ἤρξατο ἔνεδρα κατασκευάζειν κατὰ τοῦ Κυρίου, βουλόμενος αὐτὸν θανατῶσαι. Προείρηκεν γὰρ καὶ τοῦτο ὁ Προφήτης· *Ἐγκάθηται ἐν ἐνέδρᾳ μετὰ πλουσίων ἐν ἀποκρύφοις τοῦ ἀποκτεῖναι ἀθῶον*. Ἤρξαντο οὖν συμβούλιον ποιεῖν μετὰ τῶν Ἰουδαίων κατὰ τοῦ Κυρίου· καθὼς εἴρηκεν ἐν τῷ Εὐαγγελίῳ, ὅτι *Συναχθέντες οἱ Ἰουδαῖοι* [οἱ Φαρισαῖοι] *συμβούλιον ἔλαβον κατὰ τοῦ Κυρίου, ὅπως αὐτὸν ἀπολέσουσιν*. Καὶ βλέπε τοῦ εὐαγγελιστοῦ τὴν ἀκρίβειαν. Οὐκ εἶπεν, ὅτι Οἱ Ἰουδαῖοι συμβούλιον ἐποίησαν, ἀλλὰ *Συμβούλιον ἔλαβον*· καὶ οὐκ ἔγνωσαν οἱ ἄφρονες οἱ Ἰουδαῖοι, ὅτι οὐ δύνανται ἀπολέσαι τὸν ἐλθόντα σῶσαι τοὺς ἀπολλυμένους, καθὼς εἶπεν ὁ προφήτης *Ἐτύφλωσεν αὐτῶν ὀφθαλμοὺς τοῦ μὴ βλέπειν· καὶ τὰς καρδίας* B *αὐτῶν ἐκάμμυσαν, ἔδυσαν τὰ ὦτα αὐτῶν ὡσεὶ ἀσπίδας, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν*.

Quæ cum dixisset diabolus venit ad Judæos et adversus Dominum insidias cœpit parare, illum volens occidere. Prædixit enim et hæc Propheta: *Sedet in insidiis cum divitibus in occulto ut interficiat innocentem* [17]. Cœperunt ergo Judæi adversus Dominum facere consilium, sicut in Evangelio dicitur: *Congregati Judæi consilium sumpserunt adversus Dominum ut eum perderent* [18]. Vide autem accuratam evangelistæ diligentiam. Non enim dixit: Consilium fecerunt, sed: *Consilium sumpserunt*; nesciebant namque insipientes Judæi sibi non fas esse eum perdere qui ad hoc veniebat ut perditos salvaret: sed, prout dicit propheta, *Cæcos fecit oculos eorum ne viderent, clauserunt corda sua induratione, aures suas, ut aspides, obturaverunt, auribus suis graviter audierunt* [19].

Ἀλλ' εἰ καὶ ἐκεῖνοι τὴν ἴασιν παρῃτήσαντο, ἡμεῖς τὰ ἔθνη τὴν ἐκείνην ἴασιν ἐδεξάμεθα οἱ προσκυνήσαντες τὸν σταυρὸν (47), καθὼς εἶπεν Ἡσαΐας, ὅτι *Τῷ μώλωπι αὐτοῦ ἡμεῖς πάντες ἰάθημεν, καὶ ἀνεβλέψαμεν*· ἐκεῖνοι ἔδυσαν τὰ ὦτα αὐτῶν, ἵνα μὴ Γραφῆς ἀκούσωσιν, ἡμεῖς ὑπηκούσαμεν τῆς φωνῆς τοῦ Κυρίου λέγοντος· *Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς*. Μηδεὶς παραιτήσηται προσελθεῖν τῇ μετανοίᾳ, μηδεὶς φοβηθῇ, εἴτε μάγος, εἴτε τελώνης, εἴτε βλάσφημος· *Οὐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον* (48).

Si autem illi sanitatem respuerunt, nos, gentes, eam accepimus, nos qui crucem adoramus sicut dicit Isaias: *Livore ejus omnes nos sanati sumus visumque recepimus* [20]: illi obturaverunt aures suas ne Scripturas audirent, nos autem audivimus vocem Domini dicentis: *Venite ad me qui laboratis et onerati estis, et ego reficiam vos* [21]. Nemo ad pœnitentiam venire dedignetur, nemo formidet, nec magus, nec publicanus, nec blasphemus: *Non veni ut mundum judicem, sed ut mundum salvum faciam.*

Ταῦτα τοῦ Κυρίου λέγοντος, καὶ προπεμπομένου εἰς σωτηρίαν τοὺς ἀπολλυμένους, καὶ θεραπεύοντος πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ· ὁ C

Dum hæc diceret Dominus, dum omnes ad salutem vocaret, et omnem morbum omnemque infirmitatem in populo sanaret, diabolus in corda Judæo-

EDITIO ALTERA.

Ταῦτα εἰπὼν ὁ διάβολος ἐπορεύθη πρὸς τοὺς Ἰουδαίους, καὶ ἤρξατο ἐνέδρας κατασκευάζειν κατὰ τοῦ Κυρίου, βουλόμενος αὐτὸν ἀποκτεῖναι. Προεῖπε γὰρ καὶ τοῦτο ὁ Προφήτης λέγων· *Ἐγκάθηται ἐν ἐνέδρᾳ μετὰ πλουσίων ἀποκτεῖναι ἀθῶον* [22]. Ἤρξατο συμβούλιον ποιεῖν μετὰ τῶν Ἰουδαίων κατὰ τοῦ Κυρίου, καθὼς εἶπε τὸ Εὐαγγέλιον, ὅτι *Συμβούλιον ἔλαβον ὅπως αὐτὸν ἀπολέσωσιν* [23]. Τὸ, *ἔλαβον*, δηλοῖ ὅτι οὐ παρ' οὐδενὸς ἄλλου, εἰ μὴ παρὰ τοῦ διαβόλου· καὶ οὐκ ἔγνωσαν οἱ ἄφρονες Ἰουδαῖοι ὅτι οὐ δύνανται ἀπολέσαι τὸν ἐλθόντα ζητῆσαι τοὺς ἀπολωλότας· ἀλλὰ καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης, ὅτι *Τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, καὶ τοῖς ὠσὶν βραδέως ἤκουσαν* [24], ἵνα μὴ σωθῶσιν. Ἐκεῖνοι μὲν τὴν ἴασιν ἐδέξαντο οἱ προσκυνοῦντες τὸν σταυρὸν, καθὼς εἶπεν ὁ προφήτης, ὅτι *Τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν* [25]. Ἐκεῖνοι ἐτυφλώθησαν, καὶ ἡμεῖς ἀνεβλέψαμεν· ἐκεῖνοι ἔκλεισαν τὰ ὦτα ἵνα μὴ ἀκούσωσιν, ἡμεῖς δὲ ἀνοίξαντες ὑπηκούσαμεν τῆς φωνῆς τοῦ Χριστοῦ λέγοντος· *Δεῦτε, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς* [26]. Δεῦτε, πάντες, μηδεὶς παραιτήσηται, ἐγὼ τὸ φορτίον ὑμῶν τῶν ἁμαρτιῶν ἐλαφρύνω. Οἶδα γὰρ ὅτι βαρὺ τὸ τοῦ νόμου φορτίον, ὅτι οὐ δύνασθε βαστάσαι τὰ τοῦ νόμου· οἶδα ὅτι πολὺν κόπον ἔχει ὁ τοῦ νόμου ζυγός. διὰ τοῦτο ἄνθρωπος ἐγενόμην ἵνα ἐλαφρύνω ὑμῶν τὸ φορτίον· *Τὸ γὰρ φορτίον μου ἐλαφρόν ἐστιν, καὶ ὁ ζυγός μου χρηστός. Δεῦτε, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς* [27]. Μηδεὶς φοβηθῇ προσελθεῖν τῇ μετανοίᾳ· *Οὐκ ἦλθον γὰρ ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τοὺς πάντας* [28].

Ταῦτα τοῦ Κυρίου λέγοντος, καὶ προσκαλουμένου τοὺς ἀπολωλότας εἰς σωτηρίαν, καὶ θεραπεύοντος πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ, καὶ ἰδὼν ὁ διάβολος καὶ ἐλθὼν πρὸς τοὺς Ἰουδαίους, ὥπλι-

[17] Psal. IX, 29. [18] Matth. XII, 14. [19] Isa. VI, 10. [20] Isa. LIII, 5. [21] Matth. XI, 28. [22] Psal. IX, 29. [23] Marc. III, 6. [24] Isa. VI, 10. [25] Isa. LIII, 5. [26] Matth. XI, 28. [27] Matth. XI, 30. [28] Joan. XII, 47.

NOTÆ.

(47) *Ἡμεῖς τὰ ἔθνη—τὸν σταυρόν*. Mirum videri posset, discriminis inter Christianos ex Judæis et gentilibus, quod tempore apostolico et postea ad sæc. II obtinuit, Eusebii adhuc ævo fieri mentionem. Sed hoc discrimen hic non deprehenditur; sed opponuntur, quod etiam apud Chrysostomum, Basilium aliosque fit, Judæi infideles et gratiam salutarem (τὴν ἴασιν) respuentes Christianis, ubicunque gentium et terrarum viventibus (sive ex gentilibus in unam ecclesiam conflatis) et cruciicolis. Ad hos fideles simul et infideles accommodat Noster locos ex Isaia et ex Evangeliis allatos. Ex more igitur accommodationis, non ex lege interpretationis, illi loci ex memoria, ut videtur, citati, sunt considerandi.

(48) De singulari totius hujus et antecedentis loci allegatione vide Commentarium nostrum.

rum ingressus, eos concitavit eis amentiam injiciens. Cæci namque erant, qui, cum in Sabbato eum benefacientem viderent, non crediderunt, sed furore agebantur, dissecabantur et dicebant : *Hic homo non est ex Deo quia Sabbatum non custodit* [20, 21] : nesciebant enim eum esse Dominum et hominis et Sabbati.

O quantum malum inobedientia ! in quantam perniciem homines detrudit ! Inobedientiam habeas odio, quæ te odit et vult perdere ; obedientiam ama quæ te amat et vult salvare ; obedientia quippe vita, inobedientia autem mors. Disce etiam ex teipso, qui, cum eum dedignatus es qui te ad salutem vocabat, te Satanæ subjecisti, nec aliud amplius fuisti quam sepulcrum dealbatum et animatum cadaver : nam quilibet Deo inobediens est et Satanæ se subjiciens, ille vivens et ambulans mortuus est : quod eras ipse tu cum inobediens fuisti ; cum autem meam vocem audisti et ad pœnitentiam venisti, a te abscessit diabolus tuamque modo umbram timet. Plurima bona affert secum obedientia , omnemque gratiam possidet, omnem quoque lætitiam.

Sed ut ad anteacta redeamus , dicit Scriptura : *Filii, obedite parentibus vestris in Domino* [22] : obedientiam igitur adipiscere, fili ; memento per eam sede apostolica te dignandum, apostolorum choro annumerandum , in Christo Jesu Domino no-

διάβολος εἰσελθὼν εἰς τὴν καρδίαν τῶν Ἰουδαίων ὥπλισεν αὐτοὺς, μανικοὺς ποιῶν αὐτούς (49). Σκότος γὰρ αὐτοῖς περιετίθη ὅτι ἔβλεπον καὶ ἐν Σαββάτῳ εὐεργεσίαν γινομένην καὶ οὐκ ἐπίστευον, ἀλλ' ἐμαίνοντο, διεπρίοντο, καὶ ἔλεγον· *Οὗτος ὁ ἄνθρωπος οὐκ ἔστιν ἀπὸ τοῦ Θεοῦ, ὅτι τὸ Σάββατον οὐ φυλάττει*· καὶ οὐκ ἔγνωσαν, ὅτι Κύριός ἐστι καὶ τοῦ ἀνθρώπου καὶ τοῦ Σαββάτου.

Ὢ ποῖον κακόν ἐστιν ἡ παρακοή ! καὶ εἰς τίνα βάραθρον ἀπωλείας κατάγει τὸν ἄνθρωπον ! Μίσησον τὴν παρακοὴν τὴν μισοῦσάν σε καὶ ἀπολέσαι σε ζητοῦσαν· ἀγάπησον οὖν τὴν ὑπακοὴν τὴν ἀγαπῶσάν σε καὶ σῶσαι βουλομένην· ὑπακοὴ γὰρ ζωὴ, παρακοὴ θάνατος. Μάθε δὲ καὶ ἐκ σεαυτοῦ, ὅτι παρήκουσας τὸν προσκαλούμενόν σε εἰς σωτηρίαν, ἐκυριεύου ὑπὸ τοῦ Σατανᾶ, καὶ οὐδὲν ἄλλο ὑπῆρχες, εἰ μὴ τάφος κεκονιαμένος καὶ νεκρὸς ἔμψυχος. Ὁ γὰρ τοῦ Θεοῦ παρακούων καὶ τῷ Σατανᾷ ὑπακούων, οὗτος ζῶν καὶ περιπατῶν τέθνηκεν. Τοιοῦτος ἦς καὶ σὺ, ὅτε παρήκουες, ὅτε δὲ ὑπήκουσάς μου τῆς φωνῆς καὶ προσῆλθες τῇ μετανοίᾳ, ἀπέστη ὁ διάβολος (50) ἀπὸ σοῦ, φοβεῖται νῦν καὶ τὴν σκιάν σου. Πολλῶν ἀγαθῶν πρόξενός ἐστιν ἡ ὑπακοή· πᾶσαν χάριν κέκτηται, πᾶσαν εὐφροσύνην.

Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. Διὰ γὰρ τούτου ἡ θεία Γραφὴ λέγει· *Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν Κυρίῳ*. Κτῆσαι οὖν ὑπακοὴν, ὦ τέκνον, μνήσθητι, ὅτι διὰ τῆς ὑπακοῆς τοῦ ἀποστολικοῦ θρόνου (51) μέλλεις καταξιοῦσθαι, καὶ

EDITIO ALTERA.

ζεν αὐτοὺς κατὰ τοῦ Κυρίου, μανικοὺς αὐτοὺς ἐπειργάζετο, σκότος αὐτοῖς περιετίθη· ἔβλεπον εὐεργεσίαν γενομένην ἐν Σαββάτῳ καὶ οὐκ ηὐχαρίστουν, ἀλλ' ἐμαίνοντο, ἐπρίοντο, καὶ ἔλεγον· *Οὗτος ὁ ἄνθρωπος οὐκ ἔστιν παρὰ Θεοῦ, ὅτι τὸ Σάββατον* βεβηλοῖ καὶ *οὐ φυλάττει*, καὶ οὐκ ἔγνωσαν ὅτι Κύριός ἐστιν ὁ Θεὸς τοῦ ἀνθρώπου καὶ τοῦ Σαββάτου. Ἀλλὰ καθ' ἑκάστην ὥραν εἶχον τὸν φθόνον καὶ τὸν ζῆλον, ὅτι τὸ Σάββατον οὐκ ἐφύλαττεν. Εἶτα, εἰπέ μοι, ὦ Ἰουδαῖε, διότι τὸ Σάββατον οὐ φυλάττει, ζηλοῖς αὐτὸν, καὶ οὐ πιστεύεις αὐτῷ ὅταν τὸ μάννα σοι ἐδίδω ἐν τῇ ἐρήμῳ, καὶ τὸ ὕδωρ ἐξ ἀκροτόμου πέτρας ἐπήγασεν, καὶ τὴν ὀρτυγόμητρα ὡς χοῦν ἐν τῇ παρεμβολῇ παρέθηκεν; Διὰ τί μόσχον ἀντὶ Θεοῦ προσεκύνησας; τίνα τῶν προφητῶν οὐκ ἐδιώξατε παράνομοι Ἰουδαῖοι; Τίνα οὐκ ἀπεκτείνατε; Ἡσαΐαν ἐπρίσατε, Ἱερεμίαν ἐν λάκκῳ βορβόρου κατεκλείσατε, καὶ τοῖς λοιποῖς πᾶσιν τὰ ὅμοια ἐπενέγκατε. Τί λοιπὸν ὑπολείπεται ὑμῖν ποιῆσαι κακὸν, εἰ μὴ κατὰ τοῦ Κυρίου τὰς χεῖρας ἐκτεῖναι καὶ τελείως κληρονομῆσαι τὸ πῦρ τὸ αἰώνιον; Ἀλλ' ἡμᾶς ὁ Κύριος τούτου τοῦ πυρὸς ἀνεκαλέσατο διὰ τοῦ ἰδίου πάθους καὶ τῆς χάριτος τοῦ

[20, 21] Joan. IX, 16. [22] Ephes. VI, 1.

NOTÆ.

(49) *Μανικοὺς ποιῶν αὐτοὺς — ἀλλ' ἐμαίνοντο.* Respiciunt hæc ad illos locos N. T. ubi narratur, Judæos Jesum declarasse hominem insanientem, ut Joan. X, 20 : Ἔλεγον δὲ πολλοὶ ἐξ αὐτῶν· Δαιμόνιον ἔχει, καὶ μαίνεται· vel Marc. III, 21 : Ἐξῆλθον κρατῆσαι αὐτόν· ἔλεγον γὰρ ὅτι ἐξέστη. Eadem nunc sententia, et majori quidem jure, de Judæis insanientibus et a diabolo obsessis pronuntiatur.

(50) *Ἀπέστη ὁ διάβολος ἀπὸ σοῦ*, etc. Comparandus est locus Matth. IV, 11 : Τότε ἀφίησιν αὐτὸν ὁ διάβολος, καὶ ἰδοὺ ἄγγελοι προσῆλθον, καὶ διηκόνουν αὐτῷ. Propius adhuc accedit in sententiæ et verborum conformitate locus Ep. Jacob. IV, 7, 8 : Ἀντίστητε τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ' ὑμῶν. Ἐγγίσατε τῷ Θεῷ, καὶ ἐγγιεῖ ὑμῖν. Ipso verbo ἀφίστημι utitur Ap. Paulus II Cor. XII. 8, eodem sensu : Τρὶς τὸν Κύριον παρεκάλεσα, ἵνα ἀποστῇ (ἄγγελος Σατᾶν, v. 7) ἀπ' ἐμοῦ. Bene autem docetur, diabolum in Christianos fideles ac pios potestatem habere nullam, ita ut illi hunc hostem contemnere et ridere possint. Non nisi ἐν υἱοῖς τῆς ἀπιστίας rem suam et negotia habet.

(51) *Θρόνου ἀποστολικοῦ.* Promissio a Christo Apostolis facta erat, teste Luc. XXII, 30 et Matth. XIX, 28 : Ὅταν καθίσῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ, quem locum ipse Noster orat. 2, p. 12, allegat. Cum quo comparandum est dictum Apocal. III, 21 : Ὁ νικῶν, δώσω αὐτῷ καθίσαι μετ' ἐμοῦ ἐν τῷ θρόνῳ μου, etc. Sensum hujus metaphoræ Chrysostomus homil. 64 in Matth. ita explicat : Δηλῶν, ὅτι καὶ συμβασιλεύσουσι καὶ κοινωνήσουσι τῆς δόξης ἐκείνης· οὐδὲ γὰρ καθέδραν οἱ θρόνοι δηλοῦσι· μόνος γὰρ αὐτός ἐστιν ὁ καθεζόμενος, καὶ κρίνων, ἀλλὰ τιμὴν καὶ δόξαν ἄφατον παρεδήλωσε διὰ τῶν θρόνων· cum quo et alii Patres consentiunt; cf. Suiceri Thesaur. eccl. t. II, p. 1408—09.

τῷ χορῷ (52) τῶν ἀποστόλων συγκαταριθμεῖσθαι · ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν (53).

A stro, cui gloria in sæcula sæculorum. Amen.

EDITIO ALTERA.

τιμίου σταυροῦ· μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

II.

ORATIO DE PRODITIONE JUDÆ.

—

Λόγος (54) *τοῦ αὐτοῦ εἰς τὴν προδοσίαν* (55).

Δεῦρο λοιπὸν, υἱέ μου ἀγαπητὲ (56), καὶ περὶ τῆς προδοσίας τοῦ Ἰούδα ἀνιστορήσω σοι τὸν λόγον.

Ejusdem in proditionem sermo.

B Veni modo, fili mi charissime, et ad te sermonem de proditione contexam.

EDITIO ALTERA.

Εἰς τὴν προδοσίαν τοῦ Ἰούδα (56*).

(Cod. f. 335.) Δεῦρο λοιπὸν, υἱέ μου, καὶ περὶ τῆς προδοσίας τοῦ Ἰούδα ἱστορήσω σοι τὸν λόγον. Παρ-

NOTÆ.

(52) *Καὶ τῷ χορῷ τῶν ἀποστόλων συγκαταριθμεῖσθαι.* Item p. 14, ex opposito: χωρισθῆναι τοῦ ἀποστολικοῦ. Ipsa sententia ex oratione Petri Ap. Act. I, 17: Ὅτι κατηριθμημένος (sc. Judas) ἦν σὺν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης, desumpta est et ita expressa, ut de sensu dubium esse non possit. Judas culpa et perfidia sua numero apostolorum ejectus exemplo nobis esse debet, ut nobis ab incredulitate et inobedientia caveamus, ne a cœtu sanctorum segregemur. Phrasis autem *Apostolorum chorus* apud Chrysostomum, Fulgentium aliosque scriptores ecclesiasticos, nec non in hymnis eccles. admodum frequens.

(53) *Ἐν Χριστῷ Ἰησοῦ—Ἀμήν.* Formula doxologica, qua Homiletæ utriusque ecclesiæ constanter et verbis non multum diversis orationes suas sacras, sicut omnes ac singulas actiones et solemnitates sacras, solent finire. Apud Nostrum doxologia orat. 2, p. 14, ita expressa: Τῷ δὲ Χριστῷ δόξα καὶ τιμὴ καὶ κράτος· νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας. Similiter, sed brevius finitur orat. 3, ed. II, p. 35. Plenior autem et solemnior est doxologiæ formula in fine orat. 3. edit. I, p. 28. Falsissimum autem esset, si quis ad ejusmodi formulas non attendere, easque meram φρασεολογίαν et λεπτολογίαν habere velit. Neminem, qui historiam dogmatum recte tenet, et quid termini technici et formulæ solemnes sibi velint, fugit, doxologias ecclesiasticas sæpissime esse κριτήριον τῆς ὀρθοδοξίας. In controversia cum *Sabellianis* et *Arianis* prima patribus data fuit occasio vindicandi in hac parte doctrinam rectam. Probatur id multis e sæculo IV et V testimoniis, inter quæ Basil. M. De spir. S. ad Amphiloch. c. 25-29; Theodoret. Hist. eccl. lib. II, c. 19; et Sozomen. H. E. lib. IV, c. 28, præ cæteris laudamus. Cf. Suiceri Thesaur. eccles. t. I, p. 941-52, et librum nostrum: *Denkwürdigkeiten aus der chr. Archæologie*, th. V, p. 23 seqq.

Plenior illa formula, quam Noster p. 28 ponit: Χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν—ea est, quam Basilius M. de spir. s. c. 25. reliquis (καὶ, ἐν, διά) præfert, cum illud σύν (quod contra Sabellianos introductum putat) veram et perpetuam conjunctionem plenamque trium personarum divinitatem involvat. In hac igitur parte neutiquam faciebat neque cum Sabellianis, neque cum Arianis, qui, teste Philostorgio Hist. eccl. III, 12, formulam: δόξα Πατρὶ διὰ Υἱοῦ, ἐν Πνεύματι ἁγίῳ amabant, utpote doctrinæ de inæqualitate faventem. Eusebius igitur, etsi cæterum Semi-Arianus, in usu tamen Doxologiæ jam antea satisfecit decreto concil. Constantinopol. a. 381, quod τὸ Πνεῦμα ἅγιον jubet τῷ Πατρὶ καὶ τῷ Υἱῷ συμπροσκυνεῖσθαι καὶ συνδοξολογεῖσθαι. Ab hac igitur parte nulla μέμψις in eum cadere poterat.

(54) Titulus plenior est: Εἰς τὴν προδοσίαν τοῦ Ἰούδα, καὶ εἰς τὸ Πάσχα, καὶ εἰς τὴν παράδοσιν τῶν μυστηρίων, καὶ περὶ τοῦ μὴ μνησικακεῖν (meminisse C injuriarum). Τῇ ἁγίᾳ καὶ μεγάλῃ πεντάδι. Ex quo simul argumentum hujus diei homileticum cognoscimus. Brevissima hæc oratio non est nova, sed mera antecedentis orationis continuatio ejusque quasi pars media. Titulum: Λόγος τοῦ αὐτοῦ εἰς τὴν προδοσίαν, non ab auctore, sed a librario vel collectore tulit. Non temere autem electus est, cum ipse auctor ab initio dicat: Περὶ τῆς προδοσίας τοῦ Ἰούδα ἀνιστορήσω σοι τὸν λόγον, cumque ipsum argumentum maxime in eo versetur, ut malitiam, perversitatem et miseriam proditoris vividissimis coloribus depictam nobis ante oculos ponat.

Contextus quoque verbalis in eo cernitur, quod in fine orationis primæ apostrophe ad auditorem, sive lectorem: Κτῆσαι οὖν ὑπακοὴν, ὦ τέκνον, μνήσθητι, etc., in fronte statim nostri sermonis repetatur: Δεῦρο λοιπὸν, υἱέ μου ἀγαπητέ (de quo v. supra.)

Prosequitur quidem auctor historiam eamque ad D tenorem.

(55) Hæc in margine charactere minutissimo et valde abbreviato.— Hanc homiliam sub nomine Eusebii Alexandrini edidit Ang. Mai *Spicileg. Rom.* t. IX, 694.

(56) Juxta Lambecium οἱ ἐμοῦ ἀγαπητοί legendum, non male quidem, si sequens σοί (vel potius σή) in ὑμῖν mutaveris.

(56*) Fundamentum hujus sermonis sunt illa Lucæ verba XXII, 3: *Intravit autem Satanas in Judam, qui cognominabatur Iscariotes, unum de duodecim. Et abiit, et locutus est cum principibus sacerdotum et magistratibus, quemadmodum illum traderet eis.*

Judæis diabolus insidebat, nec recedebat, eis suadens ut Dominum crucifigerent : hoc enim nesciebat miser quod, si crucifigitur Dominus, eum omnino perdet; hoc nesciebat quod Domini mors orbis resurrectio erit ; hoc nesciebat quod, cui cruci Dominum affigere in mente habet, crux illa mundi propugnaculum constituitur.

Sed quoniam eum Judæi comprehendere non ausi sunt, cito aditum in cor Judæ nactus cupiditatem, per eum proditionem instruit eumque pecuniæ amore incendere incipit.

Cum ergo venisset Dominus in Bethaniam, ibique in domo cujusdam Pharisæi discumberet, ingressa mulier, habens alabastrum unguenti pretiosi effudit in pedes Domini ; tunc videns Judas, qui eum erat traditurus, dixit : *Utquid perditio istius unguenti ? poterat enim unguentum istud venumdari trecentis denariis et dari pauperibus* [24].

Minime, Juda, tibi cura de pauperibus ; sed trecentorum istorum denariorum desiderio mœror, nec absone, siquidem prope erat ut Factorem et Dominum unguenti pro triginta argenteis occideres.

Sic igitur in eum aditu per insatiabilem avaritiam reperto, Satanas Judam ad proditionem accingit, qui Judæos conveniens dixit : *Quid vultis mihi dare, et ego eum vobis tradam* [25] ? Quis non fleret præ is-

Παρέμενεν ὁ διάβολος τοῖς Ἰουδαίοις, οὐκ ἀναχωρῶν, ἀλλ' ἐπιτίθεται αὐτοῖς ὥστε σταυρῶσαι τὸν Κύριον· καὶ οὐκ ᾔδει ὁ ἄθλιος, ὅτι ἐὰν σταυρωθῇ, πάντως ἀπολέσαι αὐτὸν ἔχει· οὐκ ᾔδει, ὅτι ὁ τοῦ Κυρίου θάνατος τοῦ κόσμου ἀνάστασις γίνεται· οὐκ ᾔδει, ὅτι ὁ σταυρὸς, εἰς ὃν αὐτὸν νομίζει σταυρῶσαι, τοῦ κόσμου φυλακτήριον ἵσταται.

Ἐπειδὴ οὐκ ἐτόλμων οἱ Ἰουδαῖοι κρατῆσαι αὐτὸν, εὐθέως εὑρὼν εἴσοδον ἀπληστίας εἰς τὸν Ἰούδαν, ἤρξατο δι' ἐκείνου κατασκευάζειν τὴν προδοσίαν, ἤρξατο τοῦτον ἐπιθυμητὴν [τὴν] τοῦ ἀργυρίου ποιεῖν.

Ὅτε δὲ παρῆλθεν εἰς Βηθανίαν ὁ Κύριος, καὶ εἰσῆλθε εἰς τὴν οἰκίαν τινὸς Φαρισαίου καὶ ἀνέκειτο· καὶ γυνὴ ἔχουσα ἀλάβαστρον μύρου πολυτίμου εἰσελθοῦσα κατέχεεν ἐπὶ τοὺς πόδας τοῦ Δεσπότου· ἰδὼν δὲ Ἰούδας, ὁ μέλλων αὐτὸν παραδιδόναι, λέγει· *Εἰς τί ἡ ἀπώλεια τοῦ μύρου τούτου; ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι τριακοσίων δηναρίων πτωχοῖς.*

Οὐ πάντως, Ἰούδα, περὶ τῶν πτωχῶν σοι ἔμελεν· ἀλλὰ δικαίως λυπεῖ σε ἐπὶ τριακοσίοις δηναρίοις· ἐπειδὴ ἔμελλες τὸν Ποιητὴν τοῦ μύρου καὶ Δεσπότην (57) τριάκοντα ἀργυρίων συμφωνῆσαι [συνεφώνης cod.].

Καὶ τότε οὖν εὗρεν εἰς αὐτὸν εἴσοδον ὁ Σατανᾶς διὰ τῆς ἀπληστίας πλεονεξίας· καὶ παρεσκεύασεν αὐτὸν εἰς τὴν προδοσίαν· ὅθεν πορευθεὶς πρὸς τοὺς Ἰουδαίους λέγει αὐτοῖς· *Τί θέλετέ μοι δοῦναι,*

EDITIO ALTERA.

έμενεν ὁ διάβολος τοῖς Ἰουδαίοις, καὶ οὐκ ἀπαναχωρῶν, ἀλλ' ἐπετίθετο αὐτοῖς σταυρῶσαι τὸν Κύριον· καὶ οὐκ οἶδεν ὁ ἄθλιος ὅτι ἐὰν ἐκεῖνος σταυρωθῇ, οὗτος ἀπόλλυται· οὐκ οἶδεν ὅτι ὁ τοῦ Κυρίου θάνατος τοῦ κόσμου φυλακτήριον ἵσταται· οὐκ ἐνόησεν ὅτι [εἰ] ἐκεῖνος ἀποθάνει, οὗτος ἀπόλλυται. Καὶ ἐπειδὴ οὐκ ἠδύναντο οἱ Ἰουδαῖοι κρατῆσαι αὐτὸν, εἰ μὴ ἕως εὑρὼν εἴσοδον ἀπληστίας ὁ Σατανᾶς εἰς τὸ δι' ἐκείνου σκευάζειν τὴν προδοσίαν, εἰς τὴν πλεονεξίαν ἤρξατο ἐπιθυμητὴν τοῦ ἀργυρίου ποιεῖν αὐτόν. Ὅτε γὰρ ἦλθεν, φησὶν, εἰς τὴν Χαναναίαν ὁ Κύριος, καὶ εἰσῆλθεν εἰς οἰκίαν τινὸς Φαρισαίου, ἐκεῖ ἀνέκειτο· καὶ ἰδοὺ γυνὴ ἔχουσα ἀλάβαστρον μύρου πολυτίμου εἰσελθοῦσα κατέχεεν εἰς τοὺς πόδας τοῦ Δεσπότου· ἰδὼν δὲ αὐτὴν Ἰούδας, ὁ μέλλων αὐτὸν παραδιδόναι, λέγει· *Εἰς τί ἀπώλεια αὕτη; ἠδύνατο γὰρ τοῦτο πραθῆναι πτωχοῖς.* Οὐχὶ, Ἰούδα, οὐχὶ περὶ τῶν πτωχῶν σοι ἔμελλεν, ἀλλὰ περὶ τῆς πλεονεξίας· δικαίως δὲ λυπῆσαι ἐπὶ τοῖς τριακοσίοις δηναρίοις, ὅπου γε αὐτὸν τὸν Κύριον τριάκοντα δηναρίων συνεφώνησας.

Ἔκτοτε εὗρεν εἰς αὐτὸν Σατανᾶς εἴσοδον διὰ τῆς πλεονεξίας, καὶ παρεσκεύασεν αὐτὸν εἰς τὴν προδοσίαν· ὅθεν πορευθεὶς πρὸς τοὺς Ἰουδαίους, λέγει αὐτοῖς· *Τί θέλετέ μοι δοῦναι, κἀγὼ παραδώσω ὑμῖν*

[24] Marc. xiv, 4, 5. [25] Matth. xxvi, 15.

NOTÆ.

tenorem evangelistarum, et ad Mythologiam non respiciens, continuat; sed in oratione ipsa non tam historicum, quam potius Rhetorem et Παραινέτην agit. In Juda proditore subsistit, ejusque corruptionem atque miseriam deplorat. Sententiis communibus Κυρίου θάνατος τοῦ κόσμου ἀνάστασις· et : Ὁ σταυρὸς τοῦ κόσμου φυλακτήριον ἵσταται (p. 11) allatis, duobus Judæ effatis Marc. xiv, 4, 5, et Matth. xxvi, 15, diutius inhæret, et quanta ipsis et malitia et dementia insit, ostendit. Omnis horum locorum interpretatio est psychologica et pragmatica, sed ea, quam verissimam dixeris. Sub examen rigorosum vocatur Judas, ut ipsi ex confessis et concessis fiat jus suum. Hoc autem, p. 13, hisce verbis : Καλὸς θάνατος ὁ ἐκ τοῦ σχοινίου πάρεστί σοι, cum historiæ consensu est pronuntiatum.

Non sine utilitate erit, comparare hanc orationem cum ea, quam Chrysostomus de eodem argumento habuit, quæque in Chrysostomi Sermon. de diversis t. V, edit. Francof. serm. 32, p. 406-418 legitur. Docebit hæc comparatio, Chrysostomum nostrum Eusebium ante oculos habuisse ejusque imitatorem recte dici. Certe locum de proditore simillimo modo tractat, et Nostrum non nisi, ut veteres rhetores dicunt, κοσμήματι, ἐπιχρωματισμῷ, ἐπαυξήσει et πλατυσμῷ superat. Si jam Noster verbis Judæ : Τί θέλετέ μοι δοῦναι nimium inhæret iisque ad exclamandum abutitur : quid de Chrysostomo dicemus, qui ad nauseam usque hæc verba urget, omnesque quasi figuras rhetoricas in illa profundit? Quo comparato Emeseni modestiam et parcimoniam in declamando et exaggerando mirabimur.

(57) *Τὸν ποιητὴν τοῦ μύρου καὶ Δεσπότην.* Adhibet in sua demonstratione κατ' ἄνθρωπον gradationem a minori ad majus. Christum, quem nunc unguenti creatorem ac Dominum vocat, mox tanquam Δεσπότην τοῦ κόσμου, τὸν ποιήσαντα ὅλον τὸν κόσμον, ὃς πᾶσαν τὴν δημιουργίαν ἐποίησεν ἐν ἓξ ἡμέραις, laudat. Ejusmodi κλίμαξ apud Patres, in primis apud Epiphanium, Ephræmum Syrum, Gregorium Naz. aliosque admodum frequens.

κἀγὼ ὑμῖν παραδώσω αὐτόν; Τίς μὴ δακρύσῃ ἐπὶ τῇ ὑπερβολῇ τοῦ ῥήματος; Τρέμουσίν μου τὰ ἄρθρα τῶν μελῶν· ἐξέστη μου ἡ διάνοια ἐπὶ τῷ ῥήματι τούτῳ· *Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν;* Τί θέλεις λαβεῖν, εἰπέ μοι; Ἐκεῖνοι γὰρ οὐδὲν ἀντάξιον ἔχουσιν τοῦ Δεσπότου· ἑνὸς ἀνθρώπου τὸ ἄξιον ὁ κόσμος οὐκ ἔστιν, κατὰ τὴν Γραφήν· τοῦ Δεσπότου τοῦ ποιήσαντος τὸν κόσμον τί ἀντάξιον ἔχουσιν δοῦναι; Δεῦρο ἐρωτήσω σε, ὦ Ἰούδα, εἰπέ μοι, διὰ τί παραδίδως αὐτόν; μὴ ὑστέρησέν σε τῶν ἄλλων μαθητῶν; μή τι περισσότερον ἐκείνοις παρέσχεν; μὴ τῆς χάριτος τῆς ἐκείνων καὶ σὲ συνόμιλον οὐκ ἐποίησεν, ὅτι παραδίδως αὐτόν; οὐ παρῆς καὶ σὺ, ὅτε εἶπεν· *Τί ὠφεληθήσεται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, καὶ τὴν ψυχὴν αὐτοῦ ζημιωθῇ;* Ἧς οὐδὲν ἀνώτερον ἢ τιμιώτερον· ἀλλά ἐστιν κρείττων πάντων, εἰ τὸν κόσμον ὅλον κερδήσει· οὔτε μίαν ἔχει ὠφέλειαν ἐπὶ τῇ ἀπωλείᾳ τῆς ψυχῆς αὐτοῦ. Σὺ τριάκοντα ἀργύρια προείλω λαβεῖν, ταλαίπωρε, καὶ τὴν ψυχήν σου ζημιωθῆναι; Οὐχ οὖν ἅμα τοῖς πᾶσιν παρήγγειλεν λέγων· *Μὴ κτήσησθε δύο χιτῶνας, μηδὲ πήρας, μηδὲ ῥάβδον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν* (58); Καὶ οἱ μὲν ἄλλοι πάντες οὐ παρῆλθον τὰ τοῦ Δεσπότου ῥήματα· σὺ δὲ παρῆλθες, ὦ ταλαίπωρε, καὶ ἀργυρίου ἐπιθυμητὴς γέγονας.

Εἶτα εἰπέ μοι· Τί ἐκεῖνος περισσότερον ἐπηγγείλατο; οὐχὶ ἅμα πᾶσιν εἶπεν, ὅτι *Καθίσεσθε ἐπὶ δώδεκα θρόνων* [θρόνους], *κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ;* Οὐκ εἶπεν τοῖς πᾶσιν, ὅτι *Ἰδοὺ δέδωκα* [δίδωμι] *ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ;* Πατῆσαι ἐπάνω ὄφεων καὶ σκορπίων ἐξουσίαν ἔδωκεν ὑμῖν· μὴ γὰρ ἐξουσίαν θεῖναι ὑπ' αὐτοῦ· οὐκ ἐστέρησεν οὔτε μιᾶς χάριτος αὐτοῦ· καὶ σὺ πρὸς τὴν προδοσίαν ὡπλίσθης; καὶ ἐπὶ τοσοῦτον οὐκ ἐχώρισέν σε τῆς κοινω-

tius dicti portento? Trepidant mihi artus, fugit me mens mea; audito: *Quid vultis mihi dare, et ego vobis eum tradam?* Dic mihi, Juda, quid velis accipere? Nihil enim Domino dignum eis est; unius hominis, ut ait Scriptura, pretium non est universus orbis. Quid ego mundi Creatore dignum dare possint? Interrogabo te, Juda; dic mihi, quare eum tradidisti? Num te cæteris discipulis posthabuit? num eis quod non tibi tribuit? num te participem omnis gratiæ non fecit, quod eum prodidisti? num tu quoque non aderas cum dixit: *Quid prodest homini si mundum universum lucretur, animæ vero suæ detrimentum patiatur* [26]? Qua nihil præstantius, nihil pretiosius, quæ omnibus melior est etiamsi mundum universum aliquis lucretur, ut nullum ei possit esse bonum qui animam suam perdiderit. Tu triginta argenteos maluisti accipere, infelix, et animæ tuæ jacturam facere! Num ergo te simul cum cæteris omnibus non monuit dicens: *Ne possideatis duas tunicas, neque peram, neque virgam, neque pecuniam in zonis vestris* [27]? Domini verba cæteri non sunt prætergressi, tu vero, miser, en prætergressus es et pecuniæ factus es cupidus.

Dic mihi: quid istis amplius quam tibi promisit? nonne omnibus una dixit: *Sedebitis super sedes duodecim, judicantes duodecim tribus Israel* [28]? Nonne omnibus una dixit: *Ecce dedi vobis potestatem conculcandi serpentes et scorpiones omnemque virtutem inimici* [29]? Serpentes et scorpiones conculcandi potestatem tibi largitus est, et a fortiori potestatem tibi ea subjiciendi, neque ulla te gratia privavit; tu vero ad prodendum eum animatus es! nec tamen, ob tantum facinus te e consortio panis et calicis amovit, et cum linteo se cinxit et disci-

EDITIO ALTERA.

αὐτόν [30]; Τίς μὴ δακρύσει ἐπὶ τῇ ὑπερβολῇ τοῦ ῥήματος, ἀγαπητέ; Τρέμουσίν μου τὰ ἄρθρα τῶν μελῶν· ἐξέστη μου ἡ διάνοια ἐπὶ τῷ ῥήματι τούτῳ· *Τί θέλετέ μοι δοῦναι;* Πῶς οὐκ ἐπάγη τὴν γλῶτταν; πῶς οὐκ ἐνάρκησεν τὰ χείλη; πῶς οὐκ ἐμαράνθη ὅλον τὸ ὄργανον τοῦ σώματος αὐτοῦ; πῶς οὐκ ἔψυγη τὸ στόμα τοῦτο ῥῆμα φθεγξάμενον, *Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν;* Σὺ ταλαίπωρε, τί θέλεις λαβεῖν; εἰπέ μοι. Ἐκεῖνοι γὰρ οὐδὲν ἀντάξιον ἔχουσιν τοῦ Δεσπότου· ἑνὸς δικαίου ἀντάξιος ὁ κόσμος οὐκ ἔστιν, κατὰ τὴν Γραφὴν τοῦ Δεσπότου τοῦ ποιήσαντος τὸν κόσμον ὅλον. *Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν;* Μή τι ὑστέρησέν σε τῶν ἄλλων μαθητῶν, ἢ περισσότερον ἐκείνοις παρέσχεν; μὴ τῆς χάριτος ἐκείνων συνόμιλόν σε οὐκ ἐποίησεν, καὶ παραδίδως αὐτόν; Οὐ παρῆς καὶ σὺ ὅτε εἶπεν, *Τί ὠφεληθήσεται ἄνθρωπος ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ αὐτοῦ ψυχὴν ζημιωθῇ* [31]; Εἰ τὸν κόσμον ὅλον κερδήσας, οὐδεμίαν ἔχεις ὠφέλειαν ἐπὶ τὴν ἀπώλειαν τῆς ψυχῆς σου· σὺ τριάκοντα δηναρίων λαβεῖν προείλου, ταλαίπωρε, καὶ τὴν ψυχὴν ζημιωθῆναι; Ἅμα τοῖς πᾶσιν ὑμῖν παρήγγειλεν λέγων, μὴ κτήσασθαι δύο χιτῶνας, μὴ πήραν, μὴ ῥάβδον ἐν τῇ χειρὶ, μήτε χαλκὸν εἰς τὰς ζώνας ὑμῶν [32], καὶ οἱ πολλοὶ πάντες οὐ παρῆλθον τὰ τοῦ Δεσπότου ῥήματα.

Εἰπέ μοι, μή τι ἐκείνοις περισσότερον ἐπηγγείλατο; Οὐχὶ ἅμα τοῖς πᾶσιν εἶπεν, ὅτι *Καθήσεσθε ἐπὶ ιβ' θρόνους κρίνοντες τὰς φυλὰς τοῦ Ἰσραήλ* [33]; Οὐχ ὑστέρησέν σε οὐδεμιᾶς χάριτος, καὶ σὺ πρὸς τὴν προδοσίαν ὡπλίσθης! Καὶ ἐπὶ τοιοῦτον οὐκ ἐχώρησεν εἰς τῶν ἄλλων μαθητῶν, ὅτι καὶ ἐγνωκὼς σου τὸν δόλον τῆς προδοσίας, τὸν ἄρτον καὶ τὸ ποτήριον ἐπὶ τραπέζης εὐλογήσας καὶ δεδωκὼς τοῖς πᾶσιν, καὶ

[26] Matth. XVI, 26. [27] Matth. X, 9, 10. [28] Matth. XIX, 28. [29] Luc. X, 19. [30] Matth. XXVI, 15. [31] Matth. XVI, 26. [32] Matth. X, 9, 10. [33] Matth. XIX, 28.

NOTÆ.

(58) Ex Matth. X, 9, 10, verbis tamen permutatis ac transpositis.

pulorum pedes lavit, num et tuos non lavit? Non est quo te orbaverit: cur ergo eum prodidisti? Verbo acerbo te nunquam contristavit, et hæc meditabaris! Ejus mensæ assidebas, ejus pani manus tua communicavit, et gloriam ejus perdere in mente habuisti! O Juda! quare hoc fecisti, et Domino infensus fuisti? Diabolo amicus effectus es et Dominum tradidisti! Quamvis male egisses, te tamen, sicut seipsum diligebat et mensæ admittebat: qui tam immane flagitium es agressus? Propterea in ejus persona dicit David: *Si inimicus meus odisset me, sustinuissem utique; et si is qui oderat me maledixisset mihi, abscondissem me forsitan ab eo*; [29.30] et: *Qui edebat panes meos, magnificavit supplantationem* [31]. Væ tibi, Juda, quia, cum Domini amicitia fruereris, insipienter pecuniæ amore captus es, infelix et proditor fieri cogitasti! nesciebas ex hac, quam tantopere exoptabas, pecunia multorum te malorum fore hæredem.

A νίας τοῦ ἄρτου καὶ τοῦ ποτηρίου (59)· καὶ ὅτε περιεζώσατο λέντιον, καὶ ἔνιψεν τοὺς πόδας τῶν μαθητῶν, ὁμοίως καὶ τοὺς σοὺς πόδας οὐκ ἔνιψεν; οὐδενός σε τῶν ἄλλων ἐστέρησεν· διὰ τί παραδίδως αὐτόν; Εἰπέ μοι· οὐκ εἰπέν σοι ῥῆμα πονηρὸν, καὶ τοιαῦτα ἐσκέψω; Ἐπὶ τῆς τραπέζης ὑπῆρχες, καὶ ἡ χείρ σου τῷ ἄρτῳ αὐτοῦ ἐκοινώνησεν· καὶ ἡ ψυχή σου τὴν τιμὴν [fortasse ζωὴν?] αὐτοῦ συνεφώνει! ὦ Ἰούδα! τί πεποίηκας τοῦτο, καὶ ἐχθρὸς τοῦ Κυρίου ἧς; καὶ τοῦ διαβόλου φίλος ἐγεγόνεις καὶ παρεδίδους αὐτόν! Οὐκ ἦν σοι καλὸν τὸ πραττόμενον· σὲ δὲ ἴσον αὐτῷ ἠγάπα καὶ ὁμοδίαιτόν σε εἶχεν συγκάθεδρον. Τοιοῦτόν τι κακὸν ἐπεχείρησας ποιῆσαι; Διὰ τοῦτο καὶ Δαβὶδ προανεφώνησεν ὡς ἐκ προσώπου λέγων, ὅτι· *Εἰ ὁ ἐχθρὸς ὠνείδισέν* [με], B *ὑπήνεγκα ἄν· εἰ ὁ μισῶν ἐπ' ἐμὲ ἐμεγαλοῤῥημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ*· καὶ, *Ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν πτερνισμόν.* Οὐαί σοι, Ἰούδα, ὅτι φίλος ὑπάρχων τοῦ Κυρίου καὶ ἀργυρίου ἐραστὴς γέγονας; ἀλογίστως, ταλαίπωρε! καὶ τούτου προδότης προήμελλες γενέσθαι· καὶ οὐκ ᾔδεις, ὧν ἐπεθυμήσας ἀργυρίων, κληρονόμος γενέσθαι πολλῶν σου.

Misera enim laquei mors te absumpsit, nec tibi licuit ad dimidium annorum tuorum devenire: *Viri siquidem sanguinum et dolosi non dimidiabunt dies*

Ἐπειδὴ οὖν κακὸς θάνατος ὁ ἐκ τοῦ σχοινίου πάρεστί σοι· καὶ οὐδὲ τὸ ἥμισυ τῶν ἐτῶν σου συγχωρεῖ σοι ζῆν (60)· *Ἄνδρες γὰρ αἱμάτων καὶ δολιότητος*

EDITIO ALTERA.

σὲ κοινωνὸν ἐποίησεν. Καὶ ὅτε ἐπεριεζώσατο τὸ λέντιον, καὶ ἔνιψεν τοὺς πόδας τῶν μαθητῶν, καὶ τοὺς σοὺς πόδας ὁμοίως τῶν ἐκείνων ἔνιψεν· οὐδενός σε τῶν ἀγαθῶν ὑστέρησεν, καὶ διὰ τί ἄρτι παραδίδως αὐτόν; εἰπέ μοι· οὐχὶ ὅτε ἔγνωσαν πάντες οἱ ἀπόστολοι λοιπὸν ὅτι σὺ παρεδίδους αὐτὸν, ἐπετίμων σοι λέγοντες, Ἄπελθε ἀφ' ἡμῶν, παράνομε; Ὁ δὲ Κύριος σπλαγχνιζόμενος ἐπὶ σοὶ εἶπεν· Ἄφετε αὐτὸν ἔτι τὸ σήμερον μεθ' ἡμῶν εἶναι; Οὐκ ἀπώλεσέν σε, οὐκ εἶπεν, Ἄπελθε ἀπ' ἐμοῦ, προδότα δόλιε, πλεονέκτα, ὅτι οὐκ εἶ ἄξιος φαγεῖν καὶ πιεῖν μετ' ἐμοῦ, καὶ ἵνα μὴ νομίσῃς ὅτι οὐκ οἶδέ σου τὸν δόλον καὶ ἐποίησέν σε δειπνῆσαι μεθ' ἑαυτοῦ. Καὶ πάλιν ἐπ' αὐτῆς τῆς τραπέζης φησὶν, *Ὁ ἐμβάψας μετ' ἐμοῦ τὴν χεῖρα εἰς τὸ τρυβλίον, ἐκεῖνός με παραδώσει* [31*]. Καὶ οὐκ εἶπέν σοι· Ἔγειραι ἐκ τῆς τραπέζης μου, προδότα· οὐδέν σοι κακὸν ἀνταπέδωκεν· ἀλλὰ σὺ ἐκ τῆς προαιρέσεως τοῦτο ἐσκέψω, ἐπὶ τῆς τραπέζης ὑπῆρχες, καὶ ἡ χείρ σου τοῦ ἄρτου ἐκοινώνει, καὶ ἡ ψυχή σου τῇ τιμῇ αὐτοῦ συνεφώνει. Ὦ Ἰούδα, πεποίηκας τοῦτο, καὶ νῦν ἐχθρὸς τοῦ Κυρίου εἶ, καὶ προδίδως αὐτόν. Οὐκ ἦν σοι καλὸν τὸ πραττόμενον· σὺ δὲ, ὃν ὡς ἑαυτὸν ἠγάπα, καὶ ὁμοδίαιτον εἶχεν, καὶ συγκάθεδρον, τοιοῦτον κακὸν ἐπεχείρησας ποιῆσαι;

Οὐαί σοι, Ἰούδα, ὅτι φίλος ὑπάρχων τοῦ Κυρίου, ἀργυρίου ἐραστὴς γέγονας μᾶλλον, ταλαίπωρε, καὶ τούτου προδότης προείλου γενέσθαι. Καὶ οὐκ οἶδας ὧν ἐπεθύμησας· ἀργυρίων κληρονόμος οὐ γίνῃ διὰ τὸν δόλον σου· ἐπειδὴ ὁ κακὸς θάνατος ἐκ τοῦ σχοινίου πάρεστιν, καὶ οὐδέποτε οἶμαί σε τῶν ἐτῶν σου συγχωρίζειν· *Ἄνδρες γὰρ αἱμάτων καὶ δολιότητος οὐ μὴ μεσεύσουσιν τὰς ἡμέρας αὐτῶν* [31**]. Καὶ οὐκ

[29.30] Psal. LIV, 13. [31] Psal. XL, 10.

NOTÆ.

(59) *Καὶ ἐπὶ τοσοῦτον οὐκ ἐχώρισέν σε τῆς κοινωνίας τοῦ ἄρτου καὶ τοῦ ποτηρίου.* Ex sententia igitur Eusebii Judas, cum Christus sacram institueret cœnam, præsens et δείπνου Κυριακοῦ conviva fuit. Habemus igitur novum hujus interpretationis testem, quam etiam Chrysostomus defendit. Is enim l. c. p. 414, disertis et cum Nostro consentientibus dicit verbis: Καὶ παρῆν Ἰούδας, καὶ μετεῖχε τῆς ἱερᾶς τραπέζης· ὥσπερ γὰρ τοὺς πόδας αὐτοῦ μετὰ τῶν ἄλλων ἔνιψε μαθητῶν, οὕτω καὶ ἱερᾶς μετέσχε τραπέζης, ἵνα μηδεμίαν ἀπολογίας ἔχῃ πρόφασιν, ἐὰν ἐπιμένῃ τῇ πονηρίᾳ. Constat autem, multos jam Patres præeunte auctore Constitut. Apostol. lib. v, c. 14, Hilario aliisque auctoribus, ex Joan. XIII, 30, hoc negasse, multumque omni tempore in utramque partem de hac re disputatum esse. Cf. Hoornbeckii Miscell. sacr. lib. I, c. 19; Jo. Fr. Hebenstreit, Dissertat. de Juda Ἰσκαριώτῃ p. 18 seqq.; J. A. Stark, Geschichte der christlichen Kirche im ersten Jahrhundert. Th. II, pag. 205-211. Singularis præterea est hypothesis, quæ legitur apud Theophylactum in Pass. Domin. in Combefisii Bibl. Patr. concionator. t. III, p. 566, ubi dicitur: « Judas enim *panem* accepit, et non comedit, sed occultavit, ut monstraret Judæis, quod C panem corpus suum vocaret Jesus; *poculum* autem invitus bibit, cum non posset occultare. » Ab ejusmodi conjecturis Noster est immunis.

(60) *Οὐδὲ τὸ ἥμισυ τῶν ἐτῶν σου συγχωρεῖ σοι ζῆν.* Non urgenda sunt hæc verba, quibus, ut videtur, hoc solummodo dicere voluit auctor: Judam, vitæ termino nondum expleto, præmatura, voluntaria et violenta morte periisse. Nam etsi veteres multum disputaverint de Judæ Iscariotis vita fatisque, de quo videndi sunt libri singulares a J. F. Gronovio, Jac. Perizonio, G. H. Gœtzio, Jo. Fr. Hebenstreitio aliisque conscripti, nullam tamen disquisitionem de ejus ætate et anno vitæ, quo perierit, invenimus. Fortasse τὸ ἥμισυ τῶν ἐτῶν, ortum esse poterit ex sinistra interpretatione verborum Act. I, 18: Πρηνὴς γενόμενος ἐλάκησε (vel, ut Zonaras in Lexic. t. I, p. 691, placet: Ἐλά-

οὐ μὴ ἡμισεύσωσιν τὰς ἡμέρας αὐτῶν. Καὶ οὐκ A ἔγνως, ὅτι δι' ἐκεῖνα τὰ ἀργύρια τὰ βραχέα, ἀνομία τῶν πατέρων σου οὐκ ἐξαλειφθήσεται· καὶ ἡ ἁμαρτία τῆς μητρός σου οὐκ ἐξαλειφθήσεται. Δι' ἐκεῖνα τὰ ἀργύρια, ἃ συνεφώνησας λαβεῖν, τὴν ἐπισκοπήν σου λάβοι ἕτερος, καὶ ἐν τοῖς σκηνώμασίν σου οὐκ ἔσται ὁ κατοικῶν. Δι' ἐκεῖνα τὰ ἀργύρια ἐνεδύσω κατάραν ὡς ἱμάτιον. Δι' ἐκεῖνα τὰ ἀργύρια πολλῶν ἀγαθῶν ξένος ἐγένου, καὶ πολλῶν κακῶν κληρονόμος· παραδείσου αἰχμάλωτος, καὶ γεέννης κληρονόμος (61). Δι' ἐκεῖνα τὰ ἀργύρια μυρίων μυριάδων καὶ χιλίων χιλιάδων στρατιῶν ἀγγέλων γέγονας ἐχθρός· καὶ ἑνὸς μόνου, τοῦ διαβόλου, φίλος γέγονας. Δι' ἐκεῖνα τὰ ἀργύρια τὰ τριάκοντα τοῦ ἁγίου χοροῦ τῶν ἀποστόλων ἐχωρίσθης· B καὶ τοῖς δαίμοσιν συγκατηριθμήθης· καὶ τοῦ θρόνου τοῦ Δεσποτικοῦ ἀπέστης, καὶ τῷ Ταρτάρῳ παρέστης· τὴν δόξαν ἀπεδύσω, καὶ τῷ σχοινίῳ τῆς ἀγχόνης περιεβάλου. Δι' ἐκεῖνα τὰ ἀργύρια τὸ φῶς τῆς ζωῆς ἀπηρνήσω, καὶ τὸ αἰώνιον σκότος ἐπόθησας. Ὦ Ἰούδα! τί πεποίηκας τοῦτο; Ἀργύριον ἔλαβες, καὶ τὸν Κύριον παρέδωκας. Ὦ Ἰούδα! τριάκοντα ἀργυρίων ἐπώλεις τὸν οὐρανοῦ καὶ γῆς Ποιητήν; Τί ποιεῖς, Ἰούδα; πῶς αὐτὸν πωλεῖς; Εἶτα πωλεῖς κἂν γνῶθι, πῶς πωλεῖς. Εἰ ἔσχες δοῦλον τεχνίτην, πῶς οὖν αὐτὸν ἐπώλεις; Οὐκ ἐπώλεις διὰ τὴν τέχνην αὐτοῦ πλεῖον τριάκοντα χρυσίων; Καὶ τὸν ποιήσαντα τὴν ἰδίαν τέχνην ὅλον τὸν κόσμον ἐν ἓξ ἡμέραις, τριάκοντα ἀργυρίων πωλεῖς, ταλαίπωρε! πᾶσαν τὴν δημιουργίαν, ἣν ὁρᾷς, αὐτὸς ἐποίησεν C ἐν ἓξ ἡμέραις.

Μετὰ δὲ τὸ ἐξελθεῖν ἐκεῖνον καὶ χωρισθῆναι τοῦ

suos [32]. Nec hoc sciebas quod propter hos argenteos tam cito perituros, *injustitia patrum tuorum non delebitur et iniquitas matris tuæ non auferetur* [33]. Propter hos argenteos quos accipere non dubitasti *episcopatum tuum accipiet alter* [34], *et in tabernaculis tuis non erit qui inhabitet* [35]. Propter hos argenteos induisti maledictionem sicut vestimentum [35*]. Propter hos argenteos, multorum bonorum jacturam fecisti, multorum autem malorum sarcina te obruisti, paradisi exsul factus, gehennæ autem hæres. Propter hos argenteos, myriadum myriadibus et millium millibus angelicarum legionum factus es inimicus, unius autem, scilicet diaboli, amicus. Propter hos argenteos ex apostolorum choro es ejectus et cum dæmoniis communeratus: longe a throno Domini tui es in Tartara detrusus; gloriam tuam exuisti, et laqueum suffocationis tibi circumdedisti. Propter hos argenteos lumen vitæ repulisti et æternas tenebras exoptasti. O Juda! quare hoc fecisti? Pecunia accepta Dominum tradidisti! O Juda! triginta argenteis cœli et terræ Factorem vendidisti? Quid agis, Juda? Quo pacto eum vendis? Sed si vendis, saltem cognosce quo pacto vendas! Si tibi esset servus cujusvis artis peritus, quanti eum venderes? puto, non nisi plus quam triginta aureis, scilicet ob peritiam: et qui sua arte cœlum et terram intra sex dies fecit, eum triginta argenteis vendis, infelix! omnem tamen quam vides creaturam intra sex dies ipse fecit.

Postquam egressus fuerat et se ex apostolorum

EDITIO ALTERA.

οἶδας, ἄθλιε, ὅτι δι' ἐκεῖνα τὰ ἀργύρια ἐπισκοπήν σου λαμβάνει ἕτερος, καὶ ἐν τοῖς σκηνώμασίν σου οὐκ ἔσται ὁ κατοικῶν; Δι' ἐκεῖνα *Τὰ ἀργύρια ἐνεδύσω κατάραν ὡς ἱμάτιον, καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατά σου* [35*]. Δι' ἐκεῖνα τὰ ἀργύρια πολλῶν ἀγαθῶν ἔξενος [ab ἐξέννυμι. Vel ἄξενος] ἐγένου, καὶ πολλῶν κακῶν κληρονόμος· δι' ἐκεῖνα τὰ ἀργύρια μυρίων μυριάδων στρατιῶν ἀγγέλων γέγονας ἐχθρὸς, καὶ ἑνὸς μόνου τοῦ διαβόλου φίλος. Δι' ἐκεῖνα τὰ ἀργύρια τοῦ ἁγίου χοροῦ τῶν ἀποστόλων ἐχωρίσθης, καὶ τοῖς δαίμοσι συγκατηριθμήθης· τοῦ θρόνου τοῦ Δεσποτικοῦ ἀπέστης, καὶ τῷ Ταρτάρῳ παρέστης· τὴν δόξαν ἀπεδύσω, καὶ σχοινίον τῆς ἀγχόνης περιεβάλου· δι' ἐκεῖνα τὰ ἀργύρια τὸ φῶς τῆς ζωῆς ἀπηρνήσω, καὶ τὸ αἰώνιον σκότος ἐπόθησας· *Τί θέλετέ μοι δοῦναι, κἀγὼ ἡμῖν παραδώσω αὐτόν; καὶ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια.* Ὦ Ἰούδα, τί ἐποίησας τοῦτο; ἀργύριον ἔλαβες, καὶ τὸν Κύριον παρέδωκας; Ὦ Ἰούδα, τριάκοντα ἀργυρίων πωλεῖς τὸν οὐρανοῦ καὶ γῆς ποιητήν; Ἀνάστρεπτα τὰ πράγματα. Ὁ δοῦλος Δεσπότην πωλεῖ, τὸ πλάσμα κατὰ τοῦ πλάσαντος δόλον μελετᾷ· ὁ δοῦλος κατὰ τοῦ Δεσπότου σφαγὴν ἐπινοήσας, προδίδωσιν. *Τί θέλετέ μοι δοῦναι, κἀγὼ ἡμῖν παραδώσω αὐτόν; καὶ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια.*

Μετὰ δὲ τὸ ἐξελθεῖν ἐκεῖνον καὶ χωρισθῆναι τοῦ ἀποστολικοῦ χοροῦ καὶ τῆς δόξης τῆς Δεσποτικῆς τῆς

[32] Psal. LIV, 24. [33] Psal. CVIII, 14. [34] Ibid. 8. [35] Psal. LXVIII, 26. [35*] Psal. CVIII, 18.

NOTÆ.

κισε μέσος· ἀντὶ τοῦ ἐσχίσθη· ἐλάκησε δὲ ἀντὶ τοῦ ἐβόησε καὶ ἐφώνησεν) μέσος. Cæterum verba ex psal. LV (al. LIV), 24, allegata non stricte sunt accipienda, sed eumdem habent sensum, ut dictum Prov. X, 7.

(61) *Παραδείσου αἰχμάλωτος, καὶ γεέννης κληρονόμος*. De sententia nullum dubium. Eamdem profert Chrysostomus Comment. in Matth. hom. 27, Commentar. ed. Francof. t. I, p. 326 dicendo: Καὶ γὰρ ὁ Ἰούδας υἱὸς βασιλείας ἦν· καὶ ἤκουσε μετὰ τῶν μαθητῶν Ἐπὶ δώδεκα θρόνους καθιεῖσθε, ἀλλὰ γέγονεν υἱὸς γεέννης. Sed vox αἰχμάλωτος D offendit, cum sensu malo de privatione libertatis dici soleat, quod hic locum habere non potest. Agnoscunt tamen Chrysostomus in psal. CXXVI, et Œcumenius in Epist. ad Ephes. p. 633: Τὴν καλὴν καὶ συμφέρουσαν αἰχμαλωσίαν, et de ea Paulum Ap. II Cor. X, 5, locutum esse putant. Hoc quoque sensu exponit *Zonaras* in Lexic. t. I, p. 95: Αἰχμαλωτίζοντες· ἀντὶ τοῦ αἰχμαλώτους ἐκ τῆς τοῦ πονηροῦ τυραννίδος λαμβάνοντες, ἀπὸ δουλείας εἰς ἐλευθερίαν. Et hæc *bona* est in paradiso *captivitas*, ad quam destinatus erat et Judas, nisi sua propria culpa factus esset socius et filius gehennæ.

choro sejunxerat, et gloria cœlesti se abdicaverat, tunc cœpit Jesus contristari et mœstus esse, et dixit: *Tristis est anima mea usque ad mortem* [36]; non quod mortem timeret, sed quod de Judæ ruina contristaretur; namque super miseram ejus animam flebat, et mœstus erat quia periret. Arbitratus est autem Diabolus eum ideo tristem esse quia mortem timeret, et exinde crucem sistere festinavit. O viscera Domini! super proditorem flebat; mortem enim timere non poterat, ut pote immortalis; non autem Christus perditionis ejus causa fuit, sed sua inexplebilis avaritia.

Nobis nunc esset dicendum de diaboli cum inferno consultatione; sed, inclinata jam die, hoc hodie omittimus, et si dignetur Deus nos adjuvare, cras de illo proposito audiemus: Christo autem gloria, honor et imperium nunc et semper et in sæcula.

A χοροῦ τοῦ ἀποστολικοῦ, καὶ τῆς δόξης τῆς Δεσποτικῆς τῆς ἐπουρανίου, ἤρξατο ὁ Ἰησοῦς λυπεῖσθαι καὶ ἀδημονεῖν (62), καὶ λέγει· *Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου*· τοῦτο δὲ ἔλεγεν, οὐχ ὅτι τὸν θάνατον ἐφοβεῖτο, ἀλλὰ περὶ τῆς ἀπωλείας τοῦ Ἰούδα ἐλυπεῖτο· περὶ τῆς ἐκείνου ψυχῆς τοῦ ἀθλίου ἐλυπεῖτο καὶ ἠδημόνει, ὅτι ἀπόλλυται. Ὁ δὲ ἄθλιος διάβολος ἐνόμισεν, ὅτι τὸν θάνατον φοβούμενος λυπεῖται· καὶ ἔσπευδεν στῆσαι τὸν σταυρόν. Ὦ σπλάγχνα Δεσπότου! ὑπὲρ τοῦ προδότου ἐλυπεῖτο· θάνατον γὰρ οὐκ ἐφοβεῖτο ὁ ἀθάνατος· ὅτι οὐχ ὁ Χριστὸς ἐγένετο αἴτιος τῆς ἀπωλείας αὐτοῦ, ἀλλὰ ἰδία ἄπληστος γνώμη.

Ἔδει δὲ ἡμᾶς καὶ περὶ τῆς συμβουλίας τοῦ διαβόλου τῆς πρὸς τὸν ᾅδην εἰπεῖν *· ἀλλὰ διὰ τὸ τῆς B ἡμέρας ὀλίγον παραλιμπάνομεν σήμερον, καὶ εἰ ὁ Θεὸς ἀξιώσει ἡμᾶς, αὔριον ἀκούσωμεν καὶ περὶ ἐκείνης τῆς ὑποθέσεως· τῷ δὲ Χριστῷ δόξα καὶ τιμὴ καὶ κράτος· νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας.

EDITIO ALTERA.

ἐπουρανίου, ἤρξατο Ἰησοῦς λυπεῖσθαι καὶ ἀδημονεῖν, καὶ λέγειν· *Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου.* Τοῦτο δὲ ἔλεγεν οὐχ ὅτι τὸν θάνατον ἐφοβεῖτο, ἀλλὰ περὶ ἀπωλείας τοῦ Ἰούδα ἐλυπεῖτο· περὶ τῆς ἐκείνου ψυχῆς ἐλυπεῖτο, ὅτι ἀπώλλυτο. Ὁ δὲ ἄθλιος διάβολος ἐνόμισεν ὅτι τὸν θάνατον φοβούμενος ἐλυπεῖτο, καὶ ἔσπευδεν στῆσαι τὸν σταυρόν. Ὦ σπλάγχνα Δεσπότου ὑπὲρ προδότου ἐλυπεῖτο· θάνατον γὰρ οὐκ ἐφοβεῖτο ἀθάνατος ὤν. Δόξα Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι εἰς πάντας τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[36] Matth. XXVI, 38.

NOTÆ.

(62) *Ἤρξατο ὁ Ἰησοῦς λυπεῖσθαι καὶ ἀδημονεῖν—ἰδία ἄπληστος γνώμη.* Ex hoc loco omnis illa traditio de diaboli succusione, cui, ut jam monuimus, universa orationum nostrarum œconomia innititur, optime intelligitur. — Chrysostomus Homilia de proditione Judæ, editionis novæ tom. II, p. 373, non locum Matth. XXVI, 38, sed Joan. XIII, 21, allegat similiterque ad Jesum accommodat. Addit enim: Ὦ πόση εὐσπλαγχνία τοῦ Δεσπότου, ὁ προδοθεὶς ὑπὲρ τοῦ προδόντος ἀλγεῖ, etc. EDIT.

* Ex fine hujus orationis et initio sequentis (*de Diabolo et Orco*) constat duas has homilias nempe de *Proditione Judæ* et de *Diabolo et Orco* eumdem sibi vindicare auctorem vel etiam unam ac eamdem efficere homiliam. Has Eusebio Alexandrino tribuit Ang. Mai. (*Spicileg. Rom.* t. IX); Guillelmus Augusti Eusebio Emeseno eas adscribit. Homiliam vero *de Diabolo et Orco*, quam hic ponendam clamant ultima præcedentis orationis verba, jam incaute edidimus inter opera Eusebii Alexandrini, supra, col. 883. Eam ergo ibi legere est, benevole lector. EDIT.

EUSEBII EMESENI
FRAGMENTA.

(J. Christ. Guillelmus Augusti, *lib. cit.*, pag. 36 sqq.)

I.
FRAGMENTA DUO DE JESU CHRISTI PERSONA (63).

FRAGMENTUM PRIMUM.

Qua de causa mortem timet? an ne quid a morte patiatur? Quid enim illi erat mors? an non sece-

C Τίνος ἕνεκα φοβεῖται τὸν θάνατον (64); μή τι πάθῃ ἀπὸ τοῦ θανάτου; Τί γὰρ ἦν αὐτῷ θάνατος; οὐχὶ τὸ

NOTÆ.

(63) Theodoretus, qui dialog. 3, Opp. ed. Hal. t. IV, p. 258 seqq. hæc Emeseni fragmenta asservavit, titu-

(64) Cohæret aliquatenus hæc disputatio cum argumento in tribus antecedentibus orationibus exposito, ejusque antecedens (cujus consequens in orationibus tractatur) haberi potest. Ibi sermo est de illusione diaboli, qua Christum meram hominem præsumens, et conjunctionem humanæ naturæ cum divina non præsagiens, pati et mori posse sibi persuaderet. Christus moritur, sed moritur humana natura; Christus Deus (mortem nec timens, nec passus) vivit et tanquam victor ad inferos descendit. En igitur idem argumentum de Deo impatibili!

ἀναχωρῆσαι τὴν δύναμιν ἀπὸ τῆς σαρκός; Μὴ γὰρ ἧλον (65) ἐδέξατο ἡ δύναμις, ἵνα φοβηθῇ; Εἰ γὰρ ἡ ψυχὴ ἡμῶν οὐ πάσχει τὰ τοῦ σώματος συνοῦσα, ἀλλὰ τυφλοῦται ὀφθαλμὸς, καὶ ἡ διάνοια ἔῤῥωται, καὶ κό-

dere potentiam a carne? Non enim clavum excepit potentia, ut timeret. Si enim anima nostra non sustinet corporis passiones, licet cum eo sit, sed excæcatur oculus, et mens manet incolumis, pes

NOTÆ.

titulum libri, cujus pars fuerant, non indicat, tanquam opus autem satis notum supponit. Conjecturæ a nobis propositæ p. 97, fuisse librum De fide, qui in Assemani Bibl. Or. t. II, p. 28, citatur, non obstinate inhæremus; hoc solummodo affirmandum censemus, fuisse tractatum dogmaticum et polemicum. Suadent id verba Theodoreti p. 257, ubi de Eusebio Emeseno dicit: Μαχροὺς δὲ ἀγῶνας ὑπὲρ ταύτης (i. e. doctrinam de impatibili divinitate) καὶ μάλα γε θαυμαστοὺς ἀνεδέξατο· quod certe librum ea de causa scriptum, si non postulat, neutiquam tamen excludit. Vocat quidem Theodoretus librum Eusebii, ex quo duos affert locos, λόγον, quod orationem s. homiliam indicare solet; sed etiam Actor I, et apud scriptores ecclesiasticos et profanos sæpissime *librum* significat. Si oratio fuerit, ad genus dogmaticum et polemicum erit referenda.

Judicium Theodoreti de Emeseno jam supra exposuimus. Taxat eum tanquam Arianismi patronum; nihilominus tamen in causa, ubi rectam doctrinam assecutus sit, ejus testimonium, sicuti etiam Apollinaris (s. Apollinarii), in medium proferre nullo modo dubitat.

Expressis dixerat verbis: Πρὸς ἡμᾶς αὐτὸν ἡγοῦ κεχρῆσθαι τοῖς λόγοις, quibus ejus consensum testatur. Qualis autem sit ille consensus cum Theodoreto, paucis erit docendum.

Post mortem Cyrilli Alexandrini a. 440, scripserat Theodoretus, amicus et sectator Nestorii, tunc temporis episcopus Cyri (in Syria), opus polemicum sub titulo Ἐρανιστής sive Πολύμορφος. In hoc opere, quod tribus Dialogis: I) Ἄτρεπτος, immutabilis, II.) Ἀσύγχυτος, inconfusus, III.) Ἀπαθής, impatibilis, consistit (*c*), impugnat sententiam de persona Christi eam, quæ hoc tempore in primis a doctoribus Ægyptiacis acriter defendebatur, et postea post concilium Chalcedonense doctrina *Monophysitica* dicta est. Ipse in Præfatione ad hoc opus Opp. t. IV, ed. Schulz. p. 2, dicit: Τὸ δέ γε μίαν φύσιν ἀποκαλεῖν τὴν θεότητα τοῦ Δεσπότου Χριστοῦ καὶ τὴν ἀνθρωπότητα, ἐκ τῶν Ἀπολιναρίου φληνάφων (nugis) ὑφείλοντο. Πάλιν δ' αὖ, τὸ τῇ θεότητι τοῦ Χριστοῦ προσάπτειν τὸ πάθος, ἐκ τῆς Ἀρείου καὶ Εὐνομίου βλασφημίας κεκλόφασιν. Prudenter autem agit, quod, dum Apollinaristas et Arianos impugnat, duos ex eorum medio proferat testes, quorum dictis suam sententiam confirmat, ita, ut ex ipsis adversariorum dictis de veritate constet. Sed non minus prudenter (etsi non sincere) agit in eo, quod dialog. 5 p. 167-69, ipsum Cyrillum Alexandrinum inter testes veritatis ponat. Factum hoc in favorem amicorum Cyrilli et aulæ imperialis, quæ pacem inter Cyrilli et Nestorii asseclas restituere omni studio laborat. Poterat autem jure quodam Cyrillus inter hos testes numerari, cum variis temporibus, pro inconstantia sua, varie esset locutus. Hoc tamen dubio non caret, Theodoretum in hoc opere, licet tecto nomine, Cyrilli sententiam de natura Christi et in primis ejus formulam: Μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην, et alteram illam: Θεὸς ἀπαθῶς ἔπαθε, nec non Dioscurum. Cyrilli successorem et pedisequum, impugnasse. Vide, quæ de hac causa monuerunt VV. DD. J. Chr. Fr. Wundemann, Geschichte der christlichen Glaubenslehren vom Zeitalter des Athanasius bis Gregor. d. Gr. Th. II, p. 252 seqq. et Guil. Münscher, Handbuch der chr. Dogmengeschichte. Th. IV, p. 72 seqq. Idem recte monuit (p. 86), Theodoretum librum suum jam ante Eutychen, et specialiter contra Cyrilli formulas in Oriente magis magisque sparsas scripsisse. Idem denique ibidem judicat, non laudandum esse Theodoretum, quod Cyrillum quidem patrem orthodoxum declaravit, ejus tamen sententias, formulas loquendi et terminos technicos, quibus tantum, ut omnes sciunt, tribuendum, tanquam hæreticas atque impias reprobaverit (*d*).

In hoc igitur opere Theodoretus Emesenum secum consentientem laudat in doctrina, quam omnes omnino ecclesiæ Antiochenæ doctores uno quasi ore sunt professi. Est autem hæc doctrina nihil aliud, quam Duophysitismus antiquior, cui adhæsit quoque Nestorius, et qui Monophysitismo, in specie autem opinioni eorum, qui Theopaschitæ sunt dicti, est oppositus. Hujus igitur Duophysitismi anti-theopaschitici Eusebius noster, si non auctor (nam plures ante eum idem docuerant), tamen est defensor præcipuus, et tanquam talis a Theodoreto adductus.

Duo autem Eusebii fragmenta unum efficiunt testimonium idemque tractant argumentum. Hoc autem argumentum versatur circa thesin: Θεὸς ἀπαθὴς i. e. in Deum non cadere potest passio. Si itaque, ut profitemur, Christus est verus Deus, pati et mori non potuit; et si tamen, teste Scriptura sacra, Christus passus et mortuus est, id non divinæ suæ naturæ, sed humanæ, quæ a divina assumpta dicitur, tribuendum. Hanc sententiam fusius tractat variisque illustrat exemplis. — Exstant hæc fragmenta apud Theodoretum Dialog. III Ἀπαθής, hujusce *Patrologiæ*, t. LXXXIII, p. 311-318. EDIT.

(65) Quater in duobus his fragmentis τῶν ἥλων facit mentionem. Id respicere videtur ad p. 36, εὐτρέπισα ἥλους et p. 37: Ἰδοὺ, κατεσκεύασα ἥλους. Ita autem hic utitur hac phrasi, ut quam absurda sit opinio de *patibili Deo* eo magis intelligatur. Dicit enim vel: ἧλον ἐδέξατο ἡ δύναμις (idem quod πνεῦμα i. e. natura divina τοῦ Θεανθρώπου); vel: Ἧλον πῆξον εἰς ψυχήν· vel: Οὐ δέχεται ἧλον ψυχή, etc. et causam addit p. 40: κἂν εἴπῃς μοι· Διατί; λέγω σοι. Οὕτως γὰρ ἐκτίσθη, i. e. pugnat cum ejus natura.

Cæterum in his similibusque phrasibus origo formularum et controversiarum, quæ sæculo V et VI Orientem tantopere commoverunt, quærenda est. Nam formulæ: Θεὸς ἔπαθε, Θεὸς ἐσταυρώθη, εἷς ἐκ τῆς ἁγίας Τριάδος ἔπαθε, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος, ὁ σταυρωθεὶς δι' ἡμᾶς, aliæque a Proclo, Xenaja Mabugensi, Petro Fullone aliisque multis introductæ aut defensæ nullo alio consilio fuerunt prolatæ, quam ut διαίρεσις aut μερισμός, quem a Nestorio introductum putabant, vitaretur.

(*c*) Notandi sunt isti termini technici tanquam præcursores eorum, quos Symbolum Chalcedonense a. 431 sancivit: Ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, ἀχωρίστως. Omnis fere controversia circa hasce formulas versabatur.

(*d*) Verba Münscheri l. c. p. 121 sunt: "Es war inconsequent, dass ein Theodoret den Cyrillus späterhin zwar als rechtgläubig anerkannte, und zugleich den Lehrsätzen und den Formeln desselben, als gefährlichen Irrthümern, sich entgegensetzte." Addimus, multo minus laudandum esse Theodoretum, quod adeo non erubesceret, anathema pronuntiare de Nestorio amico, cujus tamen sententiis inhærebat, quemque antea defendere sui officii esse putaverat.

amputatur, et non claudicat ratio : et hoc natura testatur, et Dominus confirmat dicens : « *Nolite timere eos qui corpus possunt occidere, animam autem occidere non possunt* [37]. » Si non possunt, non quia nolunt, sed quia non possunt, etsi velint, efficere ut anima ea patiatur, quæ conjunctum ipsi corpus : qui animam creavit, et corpus formavit, is eadem quæ corpus patitur, si vel maxime corporis passiones suscipit? Sed passus est Christus pro nobis, et non mentimur. Nam *Panis*, inquit, *quem ego dabo, caro mea est* [38], quam pro nobis dedit. Detentum est quod detinetur, crucifixum est quod crucifigitur. Qui vero potestatem habet inhabitandi et discedendi, dicit : « *Pater, in manus tuas commendo spiritum meum* [39]; » non in manus eorum qui vim afferunt ut exeat. Non sum contentiosus, sed a contentione abstineo; cum mansuetudine autem de iis quæ sunt in controversia rogare volo tanquam fratres. An non verum est quod dico, carnis passiones cadere in potentiam non potuisse? Ego itaque taceo. Dicat qui volet, quid passa sit potentia. Defecit? vide periculum. Exstincta est? vide blasphemiam. Non amplius fuit? hoc enim est mors potentiæ. Dic quid possit vincere ut pateretur, et non contendo. Si vero non possis dicere, quid mihi succenses, quia non dico? Quod non habes, non excepit. Clavum infige in animam, et in potentia recipiam. Sed compassa est. Explica mihi istud, *compassa est*, quid est *compassa est?* verbi gratia, in carnem clavus, in potentiam infixus est dolor. Hoc dicamus *compassa est*. Doluit potentia non percussa. Dolor enim passionis semper comes est. Quod si etiam corpus persæpe incolumi mente dolores contemnit propter robur cogitationis, hic exponat aliquis sine contentione, quid passum sit, quidve compassum. Quid igitur? an non pro nobis mortuus est Christus? Quomodo mortuus est? « *Pater, in manus tuas commendo spiritum meum* [40]. » Recessit spiritus, mansit corpus, sine spiritu mansit corpus. An ergo mortuus non est? Mortuus est pro

A πτεται πούς, καὶ οὐ χωλεύει λογισμός· καὶ ἡ φύσις μαρτυρεῖ, καὶ ὁ Κύριος ἐπισφραγίζει, ὁ λέγων· *Μὴ φοβεῖσθε τοὺς δυναμένους ἀποκτεῖναι τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένους ἀποκτεῖναι* (66). Εἰ τὴν ψυχὴν (67) οὐ δύνανται, οὐχ ᾗ οὐ βούλονται οἱ ποιοῦντες, ἀλλ' ᾗ οὐ δύνανται, κἂν θελήσωσι, παθεῖν τὰ τοῦ σώματος τοῦ συνεζευγμένου· ὁ κτίσας τὴν ψυχήν, καὶ πλάσας τὸ σῶμα, οὗτος πάσχει τὰ τοῦ σώματος, εἰ καὶ τὰ μάλιστα ἀναδέχεται τοῦ σώματος εἰς ἑαυτὸν τὰ παθήματα; Ἀλλ' ἔπαθε Χριστὸς ὑπὲρ ἡμῶν, καὶ οὐ ψευδόμεθα. *Ὁ γὰρ ἄρτος, ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν*, ἣν ἔδωκεν ὑπὲρ ἡμῶν (68). Ἐκρατήθη τὸ κρατούμενον, ἐσταυρώθη τὸ σταυρούμενον. Ὁ δὲ ἔχων ἐξουσίαν καὶ ἐνοικῆσαι καὶ ἀναχωρῆσαι, τόδε λέγει· *Πάτερ,* B *εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου* (69), οὐχ εἰς χεῖρας βιαζομένων τὴν ἔξοδον. Οὐκ εἰμὶ φιλόνεικος, ἀλλὰ καὶ ἀπέχομαι φιλονεικίας· μετὰ πραότητος δὲ περὶ τῶν ἀμφιβαλλομένων βούλομαι πυθέσθαι ὡς ἀδελφῶν. Οὐκ ἀληθεύων λέγω, ὅτι ἡ δύναμις οὐκ ἠδύνατο δέξασθαι τῆς σαρκὸς τὰ παθήματα; Ἐγὼ οὖν σιωπῶ. Ὁ βουλόμενος λεγέτω, τί ἔπαθεν ἡ δύναμις. Ἐξέλιπεν; ὅρα τὸν κίνδυνον. Ἀπέσβη; ὅρα τὴν βλασφημίαν. Οὐκ ἔτι ἦν; τοῦτο γάρ ἐστι δυνάμεως θάνατος. Εἰπὲ τί δύναται κρατῆσαι, ὅτι ἔπαθε, καὶ οὐ φιλονεικῶ. Εἰ δὲ οὐκ ἔχεις εἰπεῖν, τί μοι ἀγανακτεῖς, ὅτι οὐ λέγω; Ὃ οὐκ ἔχεις, οὐκ ἐδέξατο. Ἧλον πῆξον εἰς ψυχήν, καὶ δέξομαι εἰς δύναμιν. Ἀλλὰ συνέπαθεν. Ἑρμήνευσόν C μοι τὸ *συνέπαθε*· τί ἐστι τὸ *συνέπαθεν*, οἷον εἰς τὴν σάρκα ἧλος, εἰς δὲ τὴν δύναμιν ὁ πόνος. Τοῦτο εἴπωμεν τὸ *συνέπαθεν*. Ἤλγησεν ἡ δύναμις ἡ μὴ τυπτομένη. Πάντως γὰρ τὸ ἄλγημα ἀκολουθεῖ τῷ παθήματι. Εἰ δὲ καὶ σῶμα πολλάκις ἐῤῥωμένης τῆς διανοίας καταφρονεῖ τῶν ἀλγημάτων διὰ τὴν ἰσχὺν τοῦ ἐνθυμήματος, ἐνταῦθα ἑρμηνευέτω τις ἀφιλονείκως, ἢ τί ἔπαθεν, ἢ τί συνέπαθεν (70). Τί οὖν; οὐκ ἀπέθανεν ὁ Χριστὸς ὑπὲρ ἡμῶν; Πῶς ἀπέθανε; *Πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου*. Ἀνεχώρησε τὸ πνεῦμα (71), ἔμεινε

[37] Matth. x, 28. [38] Joan. vi, 52. [39] Luc. xxiii, 46. [40] ibid.

NOTÆ.

(66) Ex Matth. x,28. (non 26, ut in edit. Schulziana citatur). Textus autem noster habet : Καὶ μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι.

(67) Schulzius l. c. observat : Hæc ponenda sunt, ut videtur, post κἂν θελήσωσι.

(68) Ex Joan. vi, 54, ubi ita leguntur : Καὶ ὁ ἄρτος δὲ, ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

(69) Apud Luc. xxiii, 46 expressum : Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου. Notandum autem, in edit. Theodoreti Roman. et Lips. etiam παραθήσομαι esse conformatum.

(70) Noster verbum συνέπαθεν (quod sine dubio ad Hebr. iv, 15 et x, 34 respicit et in usu ecclesiastico specialiori fuisse videtur) ita interpretatur, ut nec divinæ nec humanæ naturæ aliquid detrahatur, utque nec hæc nec illa in redemptionis negotio fieret otiosa. Dicit enim p. 38 : Ἐπειδὴ ἀναλαβοῦσα ἡ δύναμις ἀπ' οὐρανῶν κατῆλθεν, ὃ ἔχει δύναμις, ἀναλογίζεται τῇ σαρκί. Οὐκοῦν ἀντίστρε- D ψον, ἃ πάσχει ἡ σάρξ, ἀναλογίζεται τῇ δυνάμει. Πῶς ἔπαθε Χριστὸς ὑπὲρ ἡμῶν; ἐνεπτύσθη, ἐτύφθη ἐπὶ κόῤῥης, περιέθηκαν στέφανον περὶ μέτωπον, ὠρύχθησαν αὐτοῦ χεῖρες καὶ πόδες. Ταῦτα πάντα παθήματα περὶ σῶμα, ἀναφέρεται δὲ ἐπὶ τὸν ἐνοικοῦντα. Bona igitur fide Emesenus subscribere potuisset Symbolo, quod post centum fere annos Patres Chalcedonenses promulgarunt. Servat enim id, quod jubet hoc symbolum : Οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης, οὐκ εἰς δύο πρόσωπα μεριζομένων ἢ διαιρουμένων, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν Υἱὸν καὶ μονογενῆ, Θεὸν Λόγον, Κύριον, Ἰησοῦν Χριστόν. Sed bona quoque fide Theodoretus ad nostri consensum provocavit.

(71) Terminus technicus περιχώρησις, de quo semper disputarunt dogmatici, non legitur; non

τὸ σῶμα, ἄπνουν ἔμεινε τὸ σῶμα. Οὐκ ἀπέθανεν οὖν; ἀπέθανεν ὑπὲρ ἡμῶν. Ὁ ποιμὴν προσήνεγκε τὸ πρόβατον, ὁ ἱερεὺς προσήνεγκε τὸ θῦμα, ἔδωκεν ὑπὲρ ἡμῶν ἑαυτόν· καὶ *Ὅς τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων ἔδωκεν αὐτοῦ τὸν Υἱόν* (72). Οὐκ ἀθετῶ τὰ ῥητά, ζητῶ δὲ τῶν ῥητῶν τὴν διάνοιαν. Λέγει ὁ Κύριος, ὅτι *Ὁ ἄρτος τοῦ Θεοῦ κατῆλθεν ἐκ τοῦ οὐρανοῦ*, καὶ ἑρμηνεύων, εἰ καὶ οὐ δύναμαι σαφέστερον εἰπεῖν διὰ τὰ μυστήρια, τοσοῦτον δὲ λέγει (73), ὅτι *Ἡ σάρξ μού ἐστιν*. Ἡ σὰρξ τοῦ Υἱοῦ ἀπ' οὐρανῶν κατῆλθεν; Οὐ κατῆλθεν ἀπ' οὐρανοῦ. Πῶς οὖν λέγει, *Ὁ ἄρτος τοῦ Θεοῦ ζῇ, καὶ καταβέβηκεν ἐκ τῶν οὐρανῶν*, καὶ ἑρμηνεύων; Ἐπειδὴ ἀναλαβοῦσα ἡ δύναμις ἀπ' οὐρανῶν κατῆλθεν, ὃ ἔχει ἡ δύναμις, ἀναλογίζεται τῇ σαρκί. Οὐκοῦν ἀντίστρεψον, ἃ πάσχει ἡ σάρξ, ἀναλογίζεται τῇ δυνάμει. Πῶς ἔπαθε Χριστὸς ὑπὲρ ἡμῶν; Ἐνεπτύσθη, ἐτύφθη ἐπὶ κόῤῥης, περιέθηκαν στέφανον περὶ μέτωπον, ὠρύχθησαν αὐτοῦ χεῖρες καὶ πόδες. Ταῦτα πάντα παθήματα περὶ σῶμα, ἀναφέρεται δὲ ἐπὶ τὸν ἐνοικοῦντα. Ῥίψον λίθον εἰς εἰκόνα βασιλέως, τί τὸ λεγόμενον; Βασιλέα ὕβρισας. Περίσχισον ἱμάτιον βασιλέως, τί τὸ λεγόμενον; Βασιλεῖ ἐπανέστης. Σταύρωσον σῶμα Χριστοῦ, τί τὸ λεγόμενον; Χριστὸς ἀπέθανεν ὑπὲρ ἡμῶν. Τίς δὲ χρεία ἐμοῦ καὶ σοῦ; προσέλθωμεν τοῖς εὐαγγελισταῖς. Πῶς παρελάβετε παρὰ Κυρίου, πῶς ἀπέθανεν ὁ Κύριος; Ἀναγινώσκουσιν, ὅτι *Πάτερ, εἰς τὰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου*. Τὸ πνεῦμα ἄνω, καὶ τὸ σῶμα ἐπὶ σταυροῦ ὑπὲρ ἡμῶν· προσήνεγκε γὰρ τὸ πρόβατον, ὅσα εἰς τὸ σῶμα αὐτῷ λογίζεται.

A nobis. Pastor ovem obtulit, sacerdos hostiam obtulit, seipsum pro nobis dedit, et: « *Qui proprio Filio suo non pepercit, sed pro nobis omnibus dedit Filium suum* [41]. » Verba non rejicio, sed verborum quæro sententiam. Dicit Dominus: « *Panem Dei descendit de cœlo* [42], et interpretans (quanquam apertius dicere non possum propter mysteria), hoc dicit: *Caro mea est*. Caro Filii descenditne de cœlis? Non descendit de cœlo. Quomodo ergo dicit, et quidem interpretans: *Panis Dei vivit, et descendit de cœlis?* Quoniam potentia quæ assumpsit descendit de cœlis, id quod habet potentia, carni tribuitur. Ergo converte: quæ patitur caro, imputantur potentiæ. Quomodo passus est Christus pro nobis? Consputus est, in maxilla percussus est, frontem B ejus corona cinxerunt, confossæ sunt ipsius manus et pedes. Hæc omnia corporis fuerunt passiones, referuntur autem ad eum qui inhabitat. Conjice lapidem in imperatoris imaginem, quid dicitur? Imperatorem injuria affecisti. Lacera vestem imperatoris, quid dicitur? Insurrexisti adversus imperatorem. Crucifige corpus Christi, quid dicetur? Christus pro nobis mortuus est. Sed quid te aut me opus est? accedamus ad evangelistas. Quomodo accepistis a Domino, quomodo mortuus est Dominus? Legunt: « *Pater, in manus tuas commendo spiritum meum* [43]. » Spiritus sursum, et corpus in cruce pro nobis. Obtulit enim ceu ovem, quidquid ratione corporis ipsi attribuitur.

FRAGMENTUM SECUNDUM.

Τὴν ἡμετέραν φύσιν ἦλθε σῶσαι, οὐ τὴν ἑαυτοῦ ἀπολέσαι. Ἐὰν θελήσω εἰπεῖν, ὅτι κάμηλος πέταται, εὐθὺς ξενίζεσθε, ὅτι οὐχ ἁρμόττει τῇ φύσει· καὶ καλῶς ποιεῖτε. Ἐὰν δὲ θελήσω εἰπεῖν, ὅτι ἄνθρωποι θάλατταν οἰκοῦσιν, οὐκ ἀνέχεσθε· καλῶς γε ποιοῦντες· οὐ γὰρ δέχεται ἡ φύσις. Ὥσπερ οὖν ἐὰν εἴπω ξένα περὶ τούτων τῶν φύσεων, ξενίζεσθε· οὕτως ἐὰν εἴπω, ὅτι ἐκείνη ἡ δύναμις, ἡ πρὸ αἰώνων, ἡ ἀσώματος τὴν φύσιν, ἡ ἀπαθὴς τὴν ἀξίαν, ἡ οὖσα πρὸς τὸν Πατέρα, ἡ παρὰ τῷ Πατρί, ἡ ἐκ δεξιῶν, ἡ ἐν δόξῃ, ἐὰν εἴπω, ὅτι ἐκείνη ἡ φύσις ἡ ἀσώμα-

C Ejusdem, *ex eodem libro*. Venit ad naturam nostram servandam, non ad suam perdendam. Si dixero camelum volare, vos protinus absurdum ducitis, quia naturæ non convenit; et recte facitis. Si dixero homines in mari habitare, non toleratis, et recte facitis; natura enim non patitur. Hinc prouti alienum vobis videtur, si quæ ab harum rerum natura abhorrent, loquor, ita, si dixero, illam potentiam, quæ est ante sæcula, et natura sua incorporea, et dignitate impatibilis, et apud Patrem, et ad dexteram, et in gloria, si, inquam, dixero,

[41] Rom. VIII, 32. [42] Joan. VI, 51. [43] Luc. XXIII, 46.

NOTÆ.

A Ταῦτα τοῦ ἀρχιεπισκόπου καὶ ἕτερα πλείω πρὸς αὐτοὺς ἀποφθεγξαμένου, ἀπῆλθον ἅπαντες εἰς τοὺς οἴκους αὐτῶν, δοξάζοντες τὸν Θεόν. Ὁ δὲ βασιλεὺς, λαβόμενος τῆς χειρὸς τοῦ μακαρίου ἐπισκόπου ἐπὶ τῷ ἀριστῆσαι ἀνακεχώρηκε.

Καθεσθέντες οὖν οἱ ἄρχοντες μετὰ ταῦτα ἐν τῇ λαχούσῃ αὐτῶν γειτονίᾳ (62), προκειμένων τῶν βασιλικῶν διατάξεων ἔμπροσθεν αὐτῶν, ἔπραττον μετὰ αἰδοῦς, καὶ τρόμου, καὶ εὐλαβείας, καθώσπερ αὐτοὺς τὰ διατάγματα παρεκελεύοντο. Καὶ ἦν ἰδεῖν τοὺς ἀνθρώπους ἐντίμους μᾶλλον, κατὰ τὸ γεγραμμένον (63), ἢ τὸ χρυσίον τὸ καθαρὸν καὶ ἄδολον. Περιεπάτουν γὰρ μετὰ φόβου καὶ τρόμου ἅπαντες, καὶ τὰ γεγραμμένα ἐν τοῖς βασιλικοῖς τόμοις κἂν τάχα οἱ πλείους ἐξετέλουν **116** ἄκοντες καὶ μὴ B βουλόμενοι, ὥστε τὸ τηνικαῦτα πληρωθῆναι καὶ τὸ παρὰ τοῦ Προφήτου (64) εἰρημένον θεῖον λόγιον, τό· « Οὐκ ἔστι κατάπτωμα φραγμοῦ, οὔτε κραυγὴ, οὔτε διέξοδος ἐν ταῖς πλατείαις αὐτῶν· » καὶ ἔπειτα· « Ἐμακάρισεν τὸν λαὸν, φησὶν, ᾧ ταῦτά ἐστι, καὶ μακάριος ὁ λαὸς οὗ Κύριος ὁ Θεὸς αὐτοῦ. »

Τούτων οὕτω γινομένων (65) καὶ οὕτω παρακολουθησάντων, καὶ τοῦ βασιλέως ἐπὶ τούτοις αἰνοῦντος τὸν Κύριον, καὶ τῶν μεγιστάνων αὐτοῦ ἀδικεῖν τὸ οἱονοῦν μὴ τολμώντων, καὶ πάντων ἀπείρῳ (66) χαρᾷ εὐφραινομένων, παρεγένοντο καὶ οἱ Ἰουδαῖοι, καθὰ καὶ ἐκελεύσθη αὐτοῖς (67) ἤδη τῆς διελθούσης προθεσμίας τῶν τεσσαράκοντα ἡμερῶν.

(68) Ὡς δὲ παρεγένοντο τοῦ διαλεχθῆναι, καὶ τοῦ βασιλέως ὑπομνησθέντος, ἑτοιμασίας ἐν τῷ θεά- C τρῳ (69) γεγονυίας (αὐλὴ δὲ τοῦτο μεγίστη καὶ πρώτη τῶν βασιλείων (70) περίεστιν), ἐκεῖσε τοιγαροῦν τῆς ἑτοιμασίας γεγονυίας καὶ πάσης τάξεως ἀθροισθείσης, κ. τ. λ.

NOTÆ.

(62) Conf. p. 73, n. 7.

(63) Isa. XIII, 12: Ἔσονται οἱ καταλελειμμένοι ἔντιμοι μᾶλλον ἢ τὸ χρυσίον τὸ ἄπυρον. — Cod. ἢ τὸ ὡς τὸ χρ. Fors. ἢ ὡς τὸ χρ. Malus spiritus in ἢ pro ἢ ne notandus quidem esset, ni ad similem duceret errorem ab Artemidoro amovendum, I, 79: Ζηλοτυπίαν, ἢ μᾶλλον ἂν ἐπὶ τούτῳ γένοιτο· imo ἢ videtur ἢ esse typorum mendum.

(64) Psal. CXLIII, 14, 15.

(65) Hic incipit codex Vindobon. Disputationis Gregentii cum Herbano Judæo, quæ mox sequitur.

(66) Fabricius vel librarius omisit ἀπείρῳ.

(67) Conf. p. 72.

(68) Hinc incipit editus a Gulonio Disputationis cum Herbano textus, in multis multum a codice discrepans: cf. p. 114, not. 1.

(69) Codex Vindobon., θολοτῷ. Guloniana, θρελέτῳ.

(70) Cod. βασιλέων. Vindobon. et Guloniana, βασιλειῶν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ

ΓΡΗΓΕΝΤΙΟΥ,

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΓΕΝΟΜΕΝΟΥ ΤΕΦΡΩΝ,

ΔΙΑΛΕΞΙΣ ΜΕΤΑ ΙΟΥΔΑΙΟΥ ΕΡΒΑΝ ΤΟΥΝΟΜΑ (1).

—

599 SANCTI GREGENTII,

ARCHIEPISCOPI TEPHRENSIS,

DISPUTATIO CUM HERBANO JUDÆO.

Interprete NIC. GULONIO.

(GALLAND. *Veterum Patrum Biblioth.* t. XI, p. 599.)

HOC DIALOGO FIDES CHRISTIANA, TUM DIVINORUM ORACULORUM EXPOSITIONE, TUM MIRACULORUM EFFECTU CONFIRMATUR.

—

PRIMUS CONGRESSUS.

—

A Τελεσθείσης ἤδη τῆς προθεσμίας τῶν τεσσαράκοντα ἡμερῶν, παρεγένοντο οἱ Ἰουδαῖοι τοῦ διαλεχθῆναι, ὡς ἐκελεύσθησαν. Καὶ τῆς δοκιμασίας ἐν τῷ Θρελλέτῳ γεγονυίας (αὐλὴ δὲ τοῦτο μεγίστη καὶ πρώτη τῶν βασιλειῶν ἐστι), πάσης τε τῆς τάξεως ἀθροισθείσης παρούσης, καὶ τῆς ἱερᾶς συγκλήτου, παρεγένετο ὁ βασιλεὺς ἅμα τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ. Καὶ καθεσθέντων αὐτῶν ἐπέστη περὶ κύκλῳ αὐτῶν πᾶσα ἡ πόλις ἀθρόως. Εἰσελθόντες οὖν καὶ οἱ Ἰουδαῖοι ἔστησαν Ἑρβᾶν ὡς ἡγούμενον τοῦ λόγου αὐτῶν. Ἦν γὰρ αὐτὸς ἄκρα πεπαιδευμένος τόν τε νόμον, καὶ τὰς τῶν προφητῶν θείας δέλτους, τήν τε ὀκτάτευχον, καὶ τὰ περίλοιπα. Ὡς δὲ παρέστη κύκλῳ αὐτοῦ τὸ πλῆθος τῶν Γραμματέων καὶ Φαρισαίων, καὶ νομοδιδασκάλων· ἐκ γὰρ πασῶν τῶν B πόλεων ἦσαν συνηθροισμένοι οἱ μεγάλοι αὐτῶν, καὶ ὅσοι δυνατοὶ ἐν λόγῳ κατὰ τὴν πρόσταξιν τοῦ βασιλέως· σιγῆς δὲ γεγονυίας οὐ μικρᾶς, ὁ ἀρχιεπίσκοπός φησι πρὸς αὐτὸν, ἤτοι πρὸς πᾶσαν τὴν συναγωγὴν τῶν Ἰουδαίων·

Ο ΑΓΙΟΣ ΑΡΧΙΕΠΙΚΟΠΟΣ. Τῆς νυκτὸς διελθούσης, καὶ τοῦ Ἡλίου ἀνατείλαντος τῆς δικαιοσύνης, δι' ἣν αἰτίαν φιλονεικεῖτε τῷ φωτὶ αὐτοῦ ἐναντιούμενοι, καὶ μὴ πιστεύοντες εἰς αὐτόν;

Dierum quadraginta stato præfinitoque tempore jam demum peracto, Judæi ad disputandum, sicut jussi fuerant, convenerunt. Probatione quidem facta in Threlleto (hæc autem aula est regiarum maxima et prima), omnique ordine congregato, et sacro senatu præsente, rex etiam adfuit cum sanctissimo archiepiscopo. Atque ipsi postquam consederunt, totius civitatis ad audiendum concursus factus est. Ingressi igitur Judæi Herbanum disputationis auctorem et ducem constituerunt. Hic vir certe erat apprime doctus, legem intelligens, et sacros prophetarum libros, et Octateuchum, et reliqua scripta. Ut autem Scribarum et Pharisæorum et legis doctorum (erant enim ex omnibus civitatibus principes ipsorum doctores, et qui scientia et eloquentia valebant, ex regis edicto congregati) hunc circumsterit multitudo, alto silentio facto, archiepiscopus ad ipsum omnemque Judæorum cœtum sermone converso dixit:

SANCTUS ARCHIEPISCOPUS. Cum nox præterierit, et Sol justitiæ sit exortus, quam ob causam ejus luci contumaciter resistitis, adversantes, neque in ipsum credentes?

NOTÆ.

(1) *Ἑρβᾶν τοὔνομα.* Pro inscriptione Ἑρβᾶν τοῦ νομοδιδασκάλου quæ est in aliis, legitur, prout edimus, in veteri codice, Ἑρβᾶν τοὔνομα· ut significetur, Judæo nomen fuisse Herban, tametsi is Herban νομοδιδάσκαλος appelletur infra, ut suo loco adnotabimus. GULON.

A HERBANUS. Si igitur Sol exortus lucet, et nos qui in Deum legis credimus, ut tu dicis, ejus luci adversamur : quanto magis vos, qui gentes extraneæ estis, et qui a lege divina et a Deo data aliena statuitis tanquam oracula?

S. ARCH. Cujus igitur sumus, nos qui ex gentibus, creatura et factura?

HERB. Dei videlicet. Ipse enim fecit nos utrosque.

S. ARCH. Quam igitur prærogativam vos præ nobis habetis?

HERB. Quam supra Ægyptios consecuti sumus.

S. ARCH. Ostende igitur, qua in re præcellitis, et majore honore dignandi estis.

HERB. Ignoras magna miracula quæ in Ægypto et **600** in mari Rubro et in deserto Deus per Mosen mirabiliter fecit, cum egressus est Israel, demersis et aqua exstinctis Ægyptiis, ipse vero conservatus evasit? B

S. ARCH. Inter vos et Ægyptios discrimen nullum est. Nam illos mari obrutos suffocavit; vos vero in deserto prostravit : et qui Rubrum mare incisum ac divisum pertransiistis, tanquam per siccum et aridum solum; in ipso portu naufragium fecistis, male in deserto finientes. Nam ex sexcentis et amplius populi millibus, Caleb et Jesu Nave filius, hi soli digni sunt habiti qui Terræ Promissæ hæreditatem acciperent. En quo modo vos Deus pluris quam Ægyptios fecit.

HERB. Cui manna e cœlo Deus in deserto pluere fecit, Israelitico populo, an Ægyptiis? C

S. ARCH. Tu vero utrum censes apparuisse honorabilius et præstabilius, Ægyptium edulium et esculentum quod edebas, an manna cœleste in deserto?

HERB. Manna sane.

S. ARCH. Quomodo in deserto, mente vestra et cogitatione ad pristina reversi fuistis, concupiscentes cæpe et allia, et carnes suillas in lebetibus elixas, omnemque Ægyptiorum cibum, manna ad odium et nauseam fastidientes?

HERB. Perperam patres nostri sacros Israelis populi libros ultro et sponte in linguam Græcam converterunt : ut his vos studiose et obnixe insistentes, nobis omnibus os obstrueretis. D

S. ARCH. Cum vidisset Deus, quod non in his probaremini, multis modis eos nobis tanquam thesauros reconditos asservavit.

HERB. Si quidem, ut ais, non probati sumus, unde deducuntur prophetæ?

S. ARCH. Prophetæ a Domino, velut angeli, id est, internuntii quidam, ad nos missi fuerunt, nobis et voluntatem et consilium præpotentis Dei declarantes, quoniam ex vobis non fuerunt.

HERB. Moses et Aaron, et Jesus Nave, et Sam-

ΕΡΒΑΝ. Εἰ οὖν ὁ Ἥλιος ἐξανέτειλε, καὶ ἡμεῖς οἱ εἰς τὸν Θεὸν τοῦ νόμου πιστεύοντες, ὡς σὺ φῂς, ἐναντιούμεθα τῷ φωτὶ αὐτοῦ, πόσῳ γε μᾶλλον ὑμεῖς τὰ ἀλλότρια ἔθνη, ἅτινα ἀλλότρια χρηματίζετε τοῦ θεοσδότου νόμου ἡμῶν καὶ θείου;

Καὶ Ὁ ΑΓΙΟΣ. Τίνες (2) ἐσμὲν ἄρα ἡμεῖς οἱ ἐξ ἐθνῶν, κτίσμα καὶ ποίημα;

ΕΡΒΑΝ. Τοῦ Θεοῦ δηλονότι. Αὐτὸς γὰρ ἐποίησεν ἀμφοτέρους ἡμᾶς.

Καὶ Ὁ ΑΓΙΟΣ. Ποίαν οὖν προτίμησιν ὑμεῖς ὑπὲρ ἡμᾶς κέκτησθε;

ΕΡΒΑΝ. Οἵαν ἔχομεν ὑπὲρ τοὺς Αἰγυπτίους.

Καὶ Ὁ ΑΓΙΟΣ. Δεῖξον οὖν τὴν προτίμησιν.

ΕΡΒΑΝ. Οὐκ ἔγνως τὰ μεγάλα θαυμάσια ἅπερ ἐν γῇ Αἰγύπτῳ καὶ ἐν Ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐν ἐρήμῳ, ὁ Θεὸς διὰ Μωσέως, τῇ ἐξόδῳ τοῦ Ἰσραὴλ, ἐτερατούργησεν, πνίξας τοὺς Αἰγυπτίους ὑπὸ τὸ ὕδωρ, καὶ αὐτὸν διασώσας;

Καὶ Ὁ ΑΓΙΟΣ. Οὐδεμία διαφορὰ ὑμῶν καὶ τῶν Αἰγυπτίων. Ἐκείνους γὰρ ἔπνιξεν ἐν τῇ θαλάσσῃ, καὶ ὑμᾶς κατέστρωσεν ἐν τῇ ἐρήμῳ· καὶ οἱ διαβάντες τὴν Ἐρυθρὰν θάλασσαν ὡς διὰ ξηρᾶς, ἐν τῷ λιμένι ἐναυαγήσατε, κακῶς ἐν ἐρήμῳ τελέσαντες· ἀπὸ γὰρ τῶν ἑξακοσίων καὶ ἐπέκεινα χιλιάδων τοῦ λαοῦ, Χαλὲβ καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ, οὗτοι μόνοι κατηξιώθησαν κληρονομῆσαι τὴν γῆν τῆς ἐπαγγελίας. Ἴδε οὖν πῶς ὑμᾶς προετιμήσατο τῶν Αἰγυπτίων ὁ Θεός.

Καὶ Ὁ ΕΡΒΑΝ. Καὶ τίνι τὸ μάννα ἐκ τοῦ οὐρανοῦ ἔβρεξεν ἐν τῇ ἐρήμῳ, τῷ Ἰσραὴλ, ἢ τοῖς Αἰγυπτίοις;

Καὶ Ὁ ΑΓΙΟΣ. Σὺ ποῖον οἴει πεφηνέναι τιμιώτερον, τὰ ἐδώδιμα ἅπερ ἤσθιες ἐν τῇ Αἰγύπτῳ, ἢ τὸ μάννα ἐν τῇ ἐρήμῳ;

ΕΡΒΑΝ. Τὸ μάννα δηλονότι.

Καὶ Ὁ ΑΓΙΟΣ. Καὶ πῶς ἐστράφητε ἐν τῇ ἐρήμῳ τῇ διανοίᾳ ὑμῶν εἰς τὰ ὀπίσω, ἐπιθυμήσαντες κρομμύων καὶ σκορόδων, τῶν ἐν τοῖς λέβησί τε ὑείων κρεῶν, καὶ πάσης τῆς Αἰγυπτίων τροφῆς, μισήσαντες τὸ μάννα;

ΕΡΒΑΝ. Κακῶς κατέστρεψαν οἱ πατέρες ἡμῶν ἑκόντι τὰς βίβλους τοῦ Ἰσραὴλ εἰς τὴν Ἑλλάδα γλῶσσαν, ἵνα ταύταις ἐμφιλοχωροῦντες ὑμεῖς ἐπιστομίζητε πάντας ἡμᾶς.

Καὶ Ὁ ΑΓΙΟΣ. Ἑωρακὼς ὁ Θεὸς ὅτι οὐκ εὐδοκιμεῖτε ἐν αὐταῖς, πολυτρόπως ἡμῖν ταύτας ἐταμιεύσατο.

Καὶ Ὁ ΕΡΒΑΝ. Εἴπερ οὐκ εὐδοκιμήσαμεν, ὡς σὺ φῂς, πόθεν κατάγονται οἱ προφῆται;

Καὶ Ὁ ΑΓΙΟΣ. Οἱ προφῆται παρὰ Κυρίου, ὡς ἄγγελοί τινες πρὸς ἡμᾶς ἀπεστάλησαν, σαφηνίζοντες ἡμῖν τοῦ παντοκράτορος τὸ θέλημά τε καὶ βούλημα, ἐπεὶ ἐξ ὑμῶν οὐκ ἐχρηματίσαν.

ΕΡΒΑΝ. Μωσῆς καὶ Ἀαρὼν, καὶ Ἰησοῦς, καὶ

NOTÆ.

(2) *Τίνες*. Forte τίνος. ID.

Σαμψὼν, καὶ Σαμουὴλ, καὶ Δαυῒδ, καὶ οἱ μετ' αὐτοὺς, ἆρα οὐκ εἰσὶ σπέρμα Ἀβραάμ;

Καὶ Ο ΑΓΙΟΣ. Φημὶ κἀγὼ, σπέρμα τοῦ Ἀβραὰμ ἀληθῶς εἰσι. Καὶ γὰρ αὐτοὶ τὰ ἔργα τοῦ Ἀβραὰμ ἐπεδείξαντο, καὶ δικαίως υἱοὶ αὐτοῦ ὀνομάζονται· ὑμεῖς δὲ πόῤῥω ἀπέχετε τῶν δικαιοπραγιῶν τοῦ Ἀβραάμ. Ἐντεῦθεν οὖν κατέπαυσεν ὁ Θεὸς τὰ ὑμῶν, καὶ ἡμᾶς ἐξανέστησε τοῦ εἶναι τέκνα τοῦ Ἀβραάμ. Εἰρήκει γὰρ πρὸς αὐτὸν ὁ Θεός· *Καὶ εὐλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς*. Ἰδοὺ οὖν λελάληκε, καὶ ἐγένετο. Ἀπὸ γὰρ τῶν περάτων τῆς οἰκουμένης πιστεύσαντες λαοὶ, φυλαὶ καὶ γλῶσσαι, εἰς Πατέρα, καὶ Υἱὸν, καὶ Πνεῦμα ἅγιον, εὐλογοῦνται παρὰ τοῦ Παντοκράτορος, διὰ τὴν καλὴν πίστιν αὐτῶν, σὺν τῷ πιστῷ αὐτοῦ καὶ τιμίῳ θεράποντι Ἀβραάμ.

ΕΡΒΑΝ. Πόθεν οὖν ἐξελάβεσθε Πατέρα, καὶ Υἱὸν, καὶ Πνεῦμα πιστεύειν, καὶ εἰσφέρετε εἰς τὸ μέσον τρεῖς θεοὺς ἀλλοκότους;

Καὶ Ο ΑΓΙΟΣ. Ὡς βλέποντες τοῖς διανοίας ὀφθαλμοῖς, οὕτω φρονοῦμεν· τὸν Θεὸν ἕνα ἐν τρισὶ προσώποις, καὶ τρισὶν ὑποστάσεσι. Τρεῖς δὲ θεοὺς ὁ εἰσφέρων, ἐπικατάρατος. Τὸν γὰρ νοῦν τοῦ Παντοκράτορος, ὡς αἴτιον πάντων, Πατέρα ὀνομάζομεν· τὸν δὲ Λόγον, ὡς ἀπὸ τοῦ νοῦ γενόμενον, Υἱὸν ἀξίως προσαγορεύομεν· τὸ δὲ Πνεῦμα τὸ ἅγιον ὡς ἐκ τοῦ νοῦ ἐκπορευόμενον, ἐν δὲ τῷ Λόγῳ ἀναπαυόμενον, καὶ ζωὴν τοῖς πᾶσι παρεχόμενον, Πνεῦμα ὀνομάζομεν.

ΕΡΒΑΝ. Τῷ Μωϋσῇ καὶ τοῖς προφήταις πῶς οὐκ ἐξέθετο ὁ Θεὸς πιστεύειν εἰς Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, ἀλλ' ἢ μόνοις ὑμῖν νεωστὶ τοῦτο ἐξευρηκόσιν, ὡς ὑμεῖς φατε;

Ο ΑΓΙΟΣ. Τῷ Ἀβραὰμ μὲν ἐν τύπῳ ὑπέδειξεν ὁ Θεὸς, ὅτι υἱὸν ἔχει, καὶ ὅτι μέλλει ἄνθρωπος γένεσθαι, καὶ ὅτι μέλλει σφαγιάζεσθαι, καὶ ὅτι μέλλει ἀποθνήσκειν, καὶ οὐκ ἀποθνήσκειν. Τὸν γὰρ Ἰσαὰκ, δι' ἀγάπην Θεοῦ προσταχθεὶς σφαγιάσαι Ἀβραὰμ, τῇ προαιρέσει ἔσφαξεν, καὶ οὐκ ἔσφαξεν, ἐτελείωσε, καὶ οὐκ ἐτελείωσε. Ζῶντα γὰρ αὐτὸν ἐκ τῶν ἀπροσδοκήτων ὑπέστρεψεν. Οὕτω καὶ Κύριος ὁ Θεὸς ἔσφαξε τὸν Υἱὸν αὐτοῦ ὑπὲρ τῆς σωτηρίας τοῦ κόσμου· ἀλλά γε τῇ τρίτῃ ἡμέρᾳ ἀναστὰς κἂν ἐσφάγη, οὐκ ἐσφάγη· κἂν ἀπέθανεν, οὐκ ἀπέθανεν· ἐνίκησε γὰρ τὴν σφαγὴν, καὶ ἡττήσας τῷ θανάτῳ τὸν θάνατον, ὡς Θεὸς ἀληθὴς καὶ τέλειος ἄνθρωπος, ἔδειξεν ἐν ἀληθείᾳ, ὅτι Υἱὸς ἦν Θεοῦ. Καὶ ὁ Μωσῆς δὲ λέγει ἐν τῇ Κοσμοποιΐᾳ ἐμφαίνων τὸν Υἱὸν τοῦ Θεοῦ· *Καὶ εἶπε*, φησὶ, *Κύριος ὁ Θεός*. Κύριος ὁ Υἱὸς, Θεὸς ὁ Πατὴρ, καὶ ὅπερ λελάληκε, τὸ Πνεῦμα τὸ ἅγιόν ἐστιν· ὁ γὰρ λόγος ἄνευ πνεύματος ξηρὸς οὐκ οἶδε προσέρχεσθαι.

ΕΡΒΑΝ. Καὶ εἰ οὕτως ἐστὶ, δι' ἣν αἰτίαν λελάληκεν ὁ Θεὸς τῷ οἰκείῳ στόματι αὐτοῦ τῷ λαῷ ἐν τῇ ἐρήμῳ τὴν λεγομένην Δεκάλογον, ἐν οἷς τὸ πρῶτον ῥῆμα αὐτοῦ τοιοῦτον· *Ἄκουε, Ἰσραήλ· Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν, καὶ πλὴν αὐτοῦ οὐκ ἔστι θεὸς ἕτερος*.

A son et Samuel, et David, et qui post ipsos nonne sunt semen Abrahæ?

S. ARCH. Ego equidem dico, quod vere sunt semen Abrahæ. Etenim ipsi opera Abrahæ ostenderunt : et merito filii ipsius nominantur. Vos autem longe abestis a justis ipsius Abrahæ actionibus. Eam ob causam quæ vestra sunt, cessare fecit Deus, et nos exsuscitavit, ut essemus filii Abrahæ : huic enim dixeral Deus : *Et benedicentur in te omnes tribus terræ* [1]. Ecce igitur locutus est, et factum est. Nam a finibus orbis terrarum qui populi et tribus et linguæ in Patrem, et Filium, et Spiritum sanctum crediderunt, ab Omnipotente benedicuntur propter egregiam fidem ipsorum, cum fideli ipsius et honorabili famulo Abrahamo.

B

HERB. Unde igitur Patrem, et Filium, et Spiritum sanctum credere accepistis, atque in medium tres monstrosos ac portentosos deos inducitis?

S. ARCH. Tanquam mentis oculis intuentes, sic sentimus : unum in tribus hypostasibus sive personis credentes. Tres autem deos qui invehit et profert, exsecrandus. Nam mentem Omnipotentis, ut omnium causam, Patrem nominamus : Verbum autem, ut a mente genitum, filium digne appellamus : at vero Spiritum sanctum ut a mente procedentem, et in Verbo requiescentem, vitamque omnibus largientem, Spiritum dicimus.

HERB. Mosi et prophetis quomodo Deus non C præcepit in Patrem, et Filium, et Spiritum sanctum credere, sed vobis solis qui nuper hoc commenti estis, ut vos asseveratis?

S. ARCH. Abrahamo quidem in figura Deus ostendit, quod filium habet, et quod homo nasciturus esset, immolandus, moriturus, et non moriturus. Abrahamus enim Isaacum filium immolare jussus, pro ea quam erga Deum habuit charitate, voluntate et consilio capto jugulavit, et non jugulavit, **601** consummavit et non consummavit. Vivum enim ipsum ex inopinatis et insperatis domum reduxit. Sic Dominus Deus, pro mundi salute, Filium suum jugulavit : sed hic tertia die resurgens, tametsi jugulatus fuit, non tamen jugulatus fuit; etsi mortuus, non tamen est mortuus; vicit D enim jugulationem : et morte mortem superans, ut Deus verus et perfectus homo, in veritate se Dei Filium esse demonstravit. Et Moses quidem in libro de mundi creatione Dei Filium manifeste declarans : *Et dixit*, inquit, *Dominus Deus* [2]; Dominus nempe Filius, et Deus, ipse Pater, et qui locutus est, Spiritus sanctus : nam sermo sine spiritu, aridus prodire nescit.

HERB. Quod si ita est, quam ob causam Deus proprio ore, in deserto populo suo locutus est, et edidit quem dicimus Decalogum, ubi primum ipsius verbum tale est : *Audi, Israel : Dominus Deus tuus, Dominus unus est, et præter ipsum non est deus alius* [3]

[1] Gen. XXII, 15. [2] Gen. II, 18. [3] Deut. VI, 4.

S. ARCH. Equidem et ipse ita esse fateor. Cum enim dixit, *Dominus*, Verbum suum et Filium nominans ostendit; et cum dixit, *Deus unus est*, cum hoc Verbo, Pater: Spiritus sanctus mentem Deum habere non tibi videtur, quemadmodum jam tibi prædixi? Non tibi videtur ipse habere et Verbum? Non igitur etiam Spiritus est? Has nos tres personas accipimus, unamquamque personam suam hypostasim habere credentes. Tres autem personæ in unam et eamdem deitatem coalescunt. Trinitatem igitur personarum sive hypostaseon in una eademque deitate confitemur: utraque (scilicet Trinitatem et Deitatem) unum Deum credentes. Meo dicto astipulatur etiam David Dei parens, verum dicens, quemadmodum et ego enuntio, cum dicit: *Verbo Domini cœli firmati sunt;* hoc Verbum est Dei Filius. *Et spiritu oris ejus omnis virtus eorum*[4]. Hic spiritus quem dicit esse oris ejus, est Spiritus sanctus.

HERB. Ecquid necesse est in Dei naturam curiosius inquirere, et eamdem unam ipsam exsistentem triplicare?

S. ARCH. David hanc trinam facit, et ego non trinam faciam? Vide orationis seriem. Vos quidem, Judæi, deitatem singularissimam et nimium solitariam confitendo, ejus simplicitati et unitati egestatem ac penuriam enuntiatis, exiliter ac jejune quæ sunt deitatis, constituentes. Græci contra, vanis idolis servientes, ac deitatem multiplicantes, multis diis necessario addicti sibi ipsis adversantibus, in errorem ac fraudem idololatriæ devolvuntur. Nos vero Christiani deitatem trinam facientes, hanc eximiam, et divitiis ac potentia præcellentem prædicamus: unum Deum, trinum confitentes imperium, vestram divinitatis inopiam, et illorum multitudinem deorum, ex æquo extrudentes fugimus. Vides igitur Christianorum prudentiam atque intelligentiam.

HERB. Præclare quidem dicis. Neque habemus quidquam quod hac in re tibi adversemur et contradicamus. Verumtamen audi Deum dicentem, dum testatur Israelem a se ipso diligi: *Primogenitus meus*, inquit, *filius Israel*[5]; deinde: *Ex Ægypto vocavi filium meum*[6]. Si igitur Deus Israelem suum filium primogenitum nominat, quomodo vos gentes, quæ erroris et inscientiæ tenebris tenemini, neque legem habetis, ipsum Israelem velut exsecrabilem, scelestum et impurum existimatis, cum deberetis eum honore potius, quam probro et dedecore, afficere?

S. ARCH. Non sane negamus Israelem primogenitum esse. Est enim revera primogenitus, nec mentiri licet. Vos etiam ex Ægypto in Palæstinam eductos, et a servitute **602** liberatos fuisse arbitror, et libens agnosco. Sed natu minor majorem supplantavit. Verum necne? Atque hujus primo-

A Καὶ Ο ΑΓΙΟΣ. Ὁμολογῶ καὶ αὐτὸς ὅτι οὕτως ἔχει· ὁπόταν γὰρ εἴπῃ, *Κύριος*, τὸν Λόγον αὐτοῦ, καὶ τὸν Υἱὸν ὀνομάζων παρεμφαίνει· καὶ ὁπόταν λέξῃ τὸ, *ὁ Θεὸς εἷς ἐστι*, σὺν τῷ Λόγῳ τούτῳ, Πατήρ· Πνεῦμα ἅγιον οὐ δοκεῖ σοι ἔχειν νοῦν τὸν Θεὸν, καθὰ σοι προείρηκα; Οὐ δοκεῖ σοι ἔχειν αὐτὸν καὶ Λόγον; Οὐκοῦν οὐκ ἔστι καὶ Πνεῦμα; Ταῦτα ἡμεῖς τὰ τρία πρόσωπα ἐκλαμβάνομεν, ἕκαστον πρόσωπον τὴν ἰδίαν ὑπόστασιν ἔχειν πιστεύοντες. Συντελοῦσι δὲ τὰ τρία πρόσωπα εἰς μίαν καὶ τὴν θεότητα. Τριάδα οὖν ὁμολογοῦμεν προσώπων, ἤτοι ὑποστάσεων ἐν μιᾷ τῇ αὐτῇ θεότητι, ἕνα Θεὸν τὰ ἑκάτερα πιστεύοντες. Μαρτυρεῖ γάρ μου τῷ ῥήματι καὶ ὁ θεοπάτωρ Δαβὶδ, ἀληθεύων καθώσπερ κἀγὼ ἀποφθέγγομαι· B *Τῷ Λόγῳ Κυρίου*, φάσκων, *οἱ οὐρανοὶ ἐστερεώθησαν*· οὗτος ὁ Λόγος ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ. *Καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν*. Τοῦτο τὸ πνεῦμα ὃ λέγει, ὅτι τοῦ στόματος αὐτοῦ, τοῦτό ἐστι τὸ Πνεῦμα τὸ ἅγιον.

ΕΡΒΑΝ. Καὶ τίς ἡ χρεία πολυπραγμονεῖν τὴν θεότητα, καὶ τριάζειν αὐτὴν μίαν χρηματίζουσαν;

Καὶ Ο ΑΓΙΟΣ. Δαβὶδ τριάζει αὐτὴν, κἀγὼ μὴ τριάσω; Ὅρα δὲ τὴν σύνθεσιν (3) τοῦ λόγου. Ὑμεῖς μὲν οἱ Ἰουδαῖοι ὁμολογοῦντες τὴν θεότητα μονωτάτην, πενίαν ἐκφέροντες τῇ αὐτῆς ἁπλότητι, εὐτελῶς τὰ περὶ τῆς θεότητος διατιθέμενοι· οἵ τε Ἕλληνες τοῖς ματαίοις εἰδώλοις προσκυνοῦντες καὶ πληθύνοντες τὴν θεότητα, πολλοῖς θεοῖς ἐξ ἀνάγκης προσκείμενοι C ἐναντιουμένοις ἀλλήλοις, εἰς τὴν ἀπάτην τῆς εἰδωλολατρείας ἐκκυλίονται. Ἡμεῖς δὲ οἱ Χριστιανοὶ τριάζοντες τὴν θεότητα, ὑπέρογκον αὐτὴν ἐν πλούτῳ καὶ δυναστείᾳ κηρύσσομεν· ἕνα Θεὸν τὸ τριαδικὸν ὁμολογοῦντες κράτος, ὑμῶν τὴν πενηθεῖαν, κἀκείνων τὴν πολυθεΐαν, ἐξ ἴσης ἀποκρουόμενοι διαφεύγομεν. Βλέπεις οὖν σύνεσιν Χριστιανῶν.

ΕΡΒΑΝ. Καλῶς μὲν φάσκεις, καὶ οὐκ ἔχομεν περὶ τοῦτο τοιονοῦν ἀντιφθέγξασθαι. Πλὴν ἄκουσον τοῦ Θεοῦ λέγοντος, ἐν τῷ διαμαρτύρασθαι τὸν Ἰσραὴλ, ὅτι φιλεῖται ὑπ' αὐτοῦ· *Πρωτότοκός μου*, φησὶν, *ὁ υἱὸς Ἰσραήλ*· καὶ ἔπειτα· *Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου*. Εἰ τοίνυν πρωτότοκον αὐτὸν ἑαυτοῦ D ὀνομάζει υἱὸν ὁ Θεὸς, πῶς ὑμεῖς τὰ πεπλανημένα ἔθνη τὰ μὴ νόμον ἔχοντα, ἡγεῖσθε αὐτὸν τὸν Ἰσραὴλ, ὥσπερ κάθαρμα, καὶ μιαρόν τινα, καὶ ἀκάθαρτον, ὀφείλοντες τιμᾷν αὐτὸν μᾶλλον, ἢ ἀτιμάζειν;

Καὶ Ο ΑΓΙΟΣ. Οὐκ ἀρνούμεθα ὅτι πρωτότοκος Ἰσραὴλ ἦ. Ἐν ἀληθείᾳ γὰρ πρωτότοκος, καὶ οὐκ ἔνι τοῦ διαψεύσασθαι. Καὶ ὅτι ἐξ Αἰγύπτου ἐπὶ τὴν Παλαιστίνην ἐκλήθητε δουλείας ἀπαλλαγέντες, οἶμαι τοῦτο κἀγὼ σφόδρα. Πλὴν ἐπτέρνισεν ὁ νεώτερος υἱὸς τὸν πρεσβύτερον. Ναὶ, ἢ οὐχί; Τά τε πρωτοτό-

[4] Psal. XXXII, 6. [5] Exod. IV, 22. [6] Osee XI, 1.

NOTÆ.

(3) *Σύνθεσιν*. Vet. cod. σύνεσιν. Illud seriem, hoc sensum et intellectum significat. GELON.

κια αὐτοῦ εἰλήφεν· ἦρε καὶ τὴν εὐλογίαν αὐτοῦ, καὶ ἀπέδρα ἀπὸ προσώπου τῆς νομικῆς λατρείας εἰς ἄλλην χώραν. Εἰς τὴν θάρευτον (4), φημὶ, ἔκθεσιν τῆς τιμίας πίστεως τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ.

ΕΡΒΑΝ. Ὁ Ἰακὼβ ἐπτέρνισε τὸν Ἠσαῦ μᾶλλον. Καὶ ἵνα τί αὐτὸς ἀλλότριον πτερνισμὸν περιεποιήσω;

Καὶ Ο ΑΓΙΟΣ. Προοίμιον ἦν ὁ πτερισμὸς ἐκεῖνος τοῦ ἡμετέρου πτερνισμοῦ· ἐκεῖ γὰρ ὁ νεώτερος υἱὸς τὸν πρεσβύτερον ἐπτέρνισεν· ἐνταῦθα γὰρ ὁ νεώτερος ὄχλος τὸν πρεσβύτερον λαὸν ἐπτέρνισεν.

ΕΡΒΑΝ. Εἰς τί οὖν ἐπτερνίσατε; Μὴ Ἰουδαΐσατε, καὶ ἡμεῖς ἑλληνίζομεν; Οὐχὶ Ἑβραῖοί ἐσμεν, καὶ ὑμεῖς οὐχὶ ἔθνη ἐστὲ, ὥσπερ ἦτε;

B Καὶ Ο ΑΓΙΟΣ. Ἀλλ' ἀπέστειλεν ὁ Θεὸς τὸν μονογενῆ αὐτοῦ Υἱὸν ἐκ τοῦ οὐρανοῦ πρὸς ὑμᾶς, καὶ οὐχ ὑπεδέξασθε αὐτόν. Εἴασεν ὑμᾶς ὁ Θεὸς ὡς ἀσεβεῖς καὶ παρανόμους, καὶ ἦλθεν πρὸς ἡμᾶς, καὶ ὑπεδεξάμεθα αὐτόν· καὶ ἦρε τὰ ὑμῶν ἅπαντα, καὶ ἔδωκεν ἡμῖν. Ὑμᾶς δὲ ἐξέστησέ τε καὶ ἐσκόρπισεν εἰς τὰ πέρατα τῆς οἰκουμένης, καὶ ἀπηλλοτριώθη (5) ἀπ' αὐτοῦ.

ΕΡΒΑΝ. Καὶ τίνα ἀφείλετο ἐξ ἡμῶν, καὶ ἔδωκεν ὑμῖν;

Καὶ Ο ΑΓΙΟΣ. Ἦρεν ἐξ ὑμῶν ἐν πρώτοις τὸ βασίλειον, ἦρε τὸν νόμον, ἦρε τοὺς προφήτας, τὰς λατρείας, τὰς θυσίας· ἦρεν ὑμῶν τὴν πόλιν, τὸ ἱερὸν, τὸ Σινᾶ ὄρος, τὴν βάτον· καὶ ἁπλῶς εἰπεῖν, πᾶν ὅ τι τίμιον ὑμῖν προσῆν, τοῦτο ἦρεν ἐξ ὑμῶν, C καὶ παρέδωκεν ἡμῖν τοῖς Χριστιανοῖς. Ὑμᾶς δὲ, καθὼς λελάληκεν ἐν τῷ Δευτερονομίῳ· *Ὅτι διασπερῶ αὐτοὺς*, διέσπειρε, καὶ· *Ὅτι καταπαύσω ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν*. Ὁρᾷς πάντα ὅτι κατέπαυσεν.

ΕΡΒΑΝ. Τὸν Ναζωραῖον λέγεις, ὅτι μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἐστιν; Ἐκεῖνος ἄνθρωπος ἐχρημάτιζεν, ἐξ οὗ καὶ ἀπέκτειναν αὐτὸν ὡς κακοῦργον οἱ πατέρες ἡμῶν.

Καὶ Ο ΑΓΙΟΣ. Οὐκ ἀπέκτειναν οὕτως ἁπλῶς ὡς σὺ ὑπαγορεύεις· ἀλλὰ μᾶλλον νεκροὺς ἤγειρεν, ὧν εἷς ἐστι καὶ ὁ τετραήμερος Λάζαρος ὁ μακάριος.

ΕΡΒΑΝ. Ὁ τὸν Λάζαρον ἀναστήσας, ὡς σὺ φῄς, D ποίῳ αὐτὸς τρόπῳ σταυρωθεὶς ἀπέθανεν;

Καὶ Ο ΑΓΙΟΣ. Ἀνωτέρω ἐπληροφορήθης ὅτι ἐστὶν Υἱὸς τοῦ Θεοῦ, καὶ ἐνταῦθα λέγεις, ὅτι ὁ Ναζωραῖος, ὅτι οὐκ ἔστιν Υἱὸς τοῦ Θεοῦ.

ΕΡΒΑΝ. Εἴρηκας ὅτι Τρισσεύομεν τὴν θεότητα, καὶ οὐκ ἔχων (6) περὶ τούτου ἀντίῤῥησιν. Ἐνταῦθα δὲ τὸν κατάκριτον λέγεις εἶναι τὸν Λόγον τοῦ Θεοῦ, ὃν ἐπίσταται τὰ πέρατα τῆς οἰκουμένης, ὅτι ἐσταυρώθη καὶ ἀπέθανεν.

Καὶ Ο ΑΓΙΟΣ. Καθὰ προεμαρτύρατο ὁ νόμος καὶ

A genita, sive jus primogenituræ accepit : quin etiam ipsius benedictionem sive faustam precationem præripuit, et a facie legalis cultus fugit in aliam regionem. Dico magni æstimandæ fidei expositionem, quæ est unigenæ Filii Dei.

HERB. Imo vero Jacob supplantavit fratrem Esau. Sed quorsum hanc alienam supplantationem tibi vindicasti?

S. ARCH. Supplantatio illa est primordium nostræ supplantationis. Illic quidem junior filius natu majorem supplantavit : hic vero plebs junior populum antiquiorem supplantavit.

HERB. Qua in re supplantastis? Nunquid Judæi facti estis, et nos Græci? Num nos Hebræi sumus, et vos gentes, sicut fuistis?

S. ARCH. Sed unigenam Filium suum ad vos misit Deus e cœlo, neque ipsum suscepistis. Vos ideo ut impios et nefarios dimisit Deus; et venit ad nos, et ipsum excepimus : vobisque ademit omnia quæ vestra erant, et dedit nobis : vos autem degeneres exterminavit et dispersit in fines et terminos orbis terrarum, atque ab ipso alienati estis.

HERB. Ecquid nobis abstulit, quod vobis dederit?

S. ARCH. Primum vobis regnum abstulit, deinde legem et prophetas : præterea ritus et cultus divinos et sacrificia ademit : denique civitatem vestram et templum eripuit, montem Sina et rubum. Atque, ut uno verbo dicam, quidquid honore dignum et prædicandum vobis aderat, hoc vobis ademit, et nobis Christianis tradidit. Vos enim, sicut ipse locutus est in Deuteronomio : *Quia dispergam ipsos* [7], dispersit; et, *Quia cessare faciam ex hominibus memoriam ipsorum* [8]. Vides omnia quod cessare fecit.

HERB. Nazarenum illum intelligis, et eum unigenam Dei Filium esse asseris? Ille fuit homo : qua de causa ipsum ut sontem et maleficum patres nostri interfecerunt.

S. ARCH. Non sic plane et funditus, ut affirmas, interfecerunt. Imo vero hic mortuos exsuscitavit, quorum unus est ille quatriduanus beatus Lazarus.

HERB. Qui Lazarum ab inferis excitavit, ut tu ais, quo ipse modo crucifixus, mortuus est!

S. ARCH. Superius certior plane factus es, eum Dei esse filium : et hic dicis, quia Nazarenus non est Dei Filius.

HERB. Dixisti deitatem trinam esse, nec potes contradicere. Nunc autem condemnatum istum dicis Verbum Dei esse, quem sciunt orbis terrarum fines ultimi et crucifixum et mortuum esse.

S. ARCH. Quemadmodum prius lex testificata

[7] Deut. IV, 27. [8] Deut. XXXII, 26.

NOTÆ.

(4) *Θάρευτον*. Θεόῤῥητον, aut θεάρεστον. GULON.
(5) *Ἀπηλλοτριώθη*. Ἀπηλλοτριώθητε. ID
(6) Ἔχων. Forte ἔχεις. ID.

est, et prophetæ, incarnatus est, crucifixus est, carne mortuus est, non divinitate, et post tertiam diem resurrexit.

HERB. Recita præterea demonstrationes, ubi, et quæ, et quanta lex et prophetæ testati sunt.

S. ARCH. Moses propheta dicit : *prophetam vobis exsuscitabit Dominus Deus ex fratribus vestris, sicut me. Omnis igitur anima, quæ Prophetam illum non audiet, e populo suo exterminabitur* [9]. Quis igitur propheta ille, de quo dixit?

HERB. Prorsus de Davide hæc vaticinatur. Nullus enim a Mose ad hunc usque excitatus est : absit!

S. ARCH. An vero sicut Moses, sic etiam est David? Nullo modo : quia ille quidem propheta et legislator, non autem rex, populum ex terra Ægypti eduxit, atque e cœlo tabulas accepit, et manna filios Israelis pavit : hic vero e paupertate ad regnum evectus est, et bellis **603** occupatus, Psalterium ubi concinnavit, vita defunctus est. Quid igitur David ad Mosen? Nihil.

HERB. Ambo populi principes, ejusdem et unius populi ambo prophetæ.

S. ARCH. David cæde et adulterio lapsus pollutus est, Moses vero his neutiquam sceleribus contaminatus est.

HERB. Atqui Moses cædem patravit, non autem adulterium commisit.

S. ARCH. Alienigenam, nempe Ægyptium, Moses, cum occidit, cædis innocens fuit.

HERB. Age vero dic mihi de Christo, et omitte prophetas.

S. ARCH. Moses dicit : *Videbitis vitam vestram coram oculis vestris pendentem* [10].

HERB. Quænam hæc vita et ubi pependit?

S. ARCH. Jesus Christus est vita, quem vos in ligno, nempe in cruce, suspendistis coram oculis vestris.

HERB. Moses non de hoc dicit, quod *Videbitis vitam vestram pendentem*, sed de continua captivitate, et abductione ipsorum, quam ab adversariis, tempore progrediente, erant perpessuri. Hoc enim : *Videbitis vitam vestram pendentem*, ipsum declarat, vel, abducti in captivitatem, de vita vestra misere afflicti eritis; vel, vos interficient; vel, vos sibi mancipatos vindicabunt.

S. ARCH. Inæquale verbum verbo congeris. Dixit enim : *Vitam pendentem videbitis*. Quidquid autem pendet, vel corpus, vel materia aliqua est : quæ non pendent absque eo quod per vim continet, quia a se ipsis pendere nequeunt. Non igitur dubium est quin de humanitate unigeniti Dei Filii hoc dixerit, quod futurum erat hunc pendere in ligno crucis.

A οἱ προφῆται, ἐσαρκώθη, ἐσταυρώθη, ἀπέθανε τῇ σαρκὶ, οὐ τῇ θεότητι, καὶ ἀνέστη μετὰ τὴν τρίτην ἡμέραν.

ΕΡΒΑΝ. Λέγε λοιπὸν τὰς ἀποδείξεις, ποῦ, καὶ οἷα, καὶ ὁπόσα ἐμαρτύραντο.

Καὶ Ο ΑΓΙΟΣ. Μωϋσῆς ὁ προφήτης λέγει· *Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ. Ἔσται οὖν, πᾶσα ψυχὴ, ἥτις οὐκ ἀκούσει τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς*. Τίς οὖν ἐστιν ὁ προφήτης ἐκεῖνος, περὶ οὗ εἴρηκεν;

ΕΡΒΑΝ. Πάντως περὶ τοῦ Δαβὶδ λέγει. Οὐδεὶς γὰρ ἀπὸ τοῦ Μωσέως εἰς τοῦτον ἐγήγερται· μὴ γένοιτο!

Καὶ Ο ΑΓΙΟΣ. Ἆρα οὖν ὡς Μωσῆς, ἐστὶ καὶ B Δαβίδ; Οὐδαμῶς· ὅτι ὁ μὲν, προφήτης καὶ νομοθέτης, οὐ βασιλεὺς δὲ, τὸν λαὸν ἐξήγαγεν ἐκ γῆς Αἰγύπτου, καὶ πλάκας ἐξ οὐρανοῦ ἐδέξατο, καὶ μάννα ἔθρεψε τοὺς υἱοὺς Ἰσραήλ· ὁ δὲ ἐκ πενίας ἀνήχθη εἰς βασιλείαν, καὶ πολέμοις σχολάσας, Ψαλτήριόν τε συντεθεικὼς, τέλει τοῦ βίου ἐχρήσατο. Πῶς οὖν Δαβὶδ κατὰ Μωσέα; Οὐδαμῶς.

ΕΡΒΑΝ. Ἄρχοντες λαοῦ ἀμφότεροι, καὶ προφῆται τοῦ αὐτοῦ καὶ ἑνὸς λαοῦ.

Καὶ Ο ΑΓΙΟΣ. Δαβὶδ ἐν φόνῳ καὶ μοιχείᾳ ὠλίσθησε, Μωσῆς δὲ ἐπὶ τούτοις οὐδαμῶς.

ΕΡΒΑΝ. Καὶ Μωσῆς φόνον εἰργάσατο, καὶ οὐ μοιχείαν.

C Καὶ Ο ΑΓΙΟΣ. Ἀλλόφυλον Μωσῆς ἀποκτείνας, ἀθῶος φόνου κεχρημάτικεν.

ΕΡΒΑΝ. Περὶ Χριστοῦ μοι λέγε, καὶ παρέασον τοὺς προφήτας.

Καὶ Ο ΑΓΙΟΣ. Μωσῆς λέγει· *Ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλῶν ἡμῶν* (7).

ΕΡΒΑΝ. Τίς ἐστιν ἡ ζωὴ, καὶ ποῦ ἄρ' ἐκρεμάσθη;

Καὶ Ο ΑΓΙΟΣ. Ἰησοῦς ἐστιν ὁ Χριστὸς ἡ ζωὴ, ὃν ἐπὶ ξύλου ὑμεῖς ἐκρεμάσατε ἐν τῷ σταυρῷ, ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν.

ΕΡΒΑΝ. Μωϋσῆς οὐ περὶ τούτου εἴρηκεν, ὅτι *Ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην*, ἀλλὰ περὶ τῆς συνεχοῦς αἰχμαλωσίας, καὶ τῆς ὑπαγωγῆς αὐτῶν, ἣν ἔμελλον ὑποφέρειν προϊόντος τοῦ χρόνου ὑπὸ τῶν ἐναντίων. Τὸ γὰρ, *Ὄψεσθε τὴν ζωὴν ὑμῶν* D *κρεμαμένην*, τοῦτο δηλοῖ, ἢ, ἀπαγόμενοι ἐν αἰχμαλωσίᾳ, δυστυχῶς ἕξετε περὶ τῆς ζωῆς ὑμῶν, ἢ, ἀποκτενοῦσιν ὑμᾶς οἱ ἀπάγοντες, ἢ περιποιήσονται.

Καὶ Ο ΑΓΙΟΣ. Ἀνώμαλον ῥῆμα συνεισάγεις τῷ ῥήματι. *Κρεμαμένην* γὰρ εἴρηκε *τὴν ζωὴν* ὅτι *ὄψεσθε*. Πᾶν δὲ τὸ κρεμάμενον, ἢ σῶμα, ἢ ὕλη τίς ἐστιν· ἅτινα ἄνευ τοῦ κατέχοντος βίᾳ, οὐ κρέμανται. Ἀφ' ἑαυτῶν γὰρ κρεμασθῆναι οὐ δύνανται. Ἀναμφίβολον τοιγαροῦν ἐστιν, ὅτι περὶ τῆς ἀνθρωπότητος τοῦ μονογενοῦς Υἱοῦ τοῦτο εἴρηκεν, ὅτι μέλλει κρεμασθῆναι σαρκὶ ἐπὶ ξύλου τοῦ σταυροῦ.

[9] Deut. XVIII, 15, 19. [10] Deut. XXVIII, 66.

NOTÆ.

(7) Ἡμῶν. Ὑμῶν. GULON.

ΕΡΒΑΝ. Ὃν τρόπον σὺ τοῖς ἐμοῖς οὐ πείθῃ, παραπλησίως οὐδὲ ἐγὼ τοῖς σοῖς πείθομαι.

Καὶ Ο ΑΓΙΟΣ. Ἰακὼβ ἐπευλογῶν τοὺς υἱοὺς αὐτοῦ εἶπεν· *Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ὃ* (8) *ἀπόκειται· καὶ αὐτὸς προσδοκία ἐθνῶν*. Τί οὖν λέγεις περὶ τούτου; ἆρα γε οὐκ ἔστι ταῦτα;

ΕΡΒΑΝ. Οἴδαμεν ὅτι μέλλει παραγίνεσθαι, ἀλλ' οὔπω ἥκεν· ὁπόταν δὲ ἔλθῃ, πιστεύσομεν εἰς αὐτόν.

Καὶ Ο ΑΓΙΟΣ. Μεστὸς εἶ ἀνοίας· προσέχεις ὅτι λέγει, *Προσδοκία ἐθνῶν* ὁ ἐρχόμενος· καὶ λέγεις, Οὔπω ἦλθεν. Εἰ οὖν οὐκ ἐπίστευσαν τὰ ἔθνη εἰς αὐτὸν, καθὼς εἶπεν ὁ Ἰακὼβ, εὐλόγως ἂν λέγει (9), ὅτι οὐ παρεγένετο. Εἰ δὲ κατὰ τὴν προφητείαν τοῦ πατριάρχου, τὰ ἔθνη ἤλπισαν εἰς αὐτὸν, πρόδηλον ὅτι καὶ ἐλήλυθε, καὶ μάτην ληρεῖτε ὑμεῖς, ματαιοπονούμενοι.

ΕΡΒΑΝ. Θαυμάζω ὅτι ἐπ' ἀτιμίᾳ τοῦ προσώπου αὐτοῦ Θεὸς ἐσαρκώθη, δι' οὐδὲν ἕτερον εἰσελθὼν εἰς τὸν κόσμον τι, μὴ ἵνα συλληφθῇ, καὶ αὐξηθῇ γεννηθεὶς, καὶ πραθεὶς, καὶ κρατηθεὶς, καὶ φυλακισθεὶς, καὶ σταυρωθεὶς, καὶ πιὼν ὄξος καὶ χολὴν, καὶ λόγχῃ νυγεὶς τὴν πλευρὰν, καὶ κεκραγὼς ἀποθανών. Θαυμάζω ὅτι διὰ ταῦτα, ὦ ἀρχιεπίσκοπε, ὡς σὺ φάσκεις, παρεγένετο. Ἄμεινον ὅτι οὐδ' ὑμεῖς οἱ Χριστιανοὶ ἐπίστασθε τίνα εἰσὶν, ἅπερ νῦν διαγορεύετε.

Καὶ Ο ΑΓΙΟΣ. Ναὶ ἐπ' ἀτιμίᾳ τοῦ προσώπου αὐτοῦ ἥκεν, ἵνα διὰ τῆς ἀτιμίας αὐτοῦ τιμηθῶσιν οἱ πιστεύοντες εἰς αὐτὸν, ῥυσθέντες τῆς ἀτιμίας, τῆς ἐν Ἐδὲμ παραβάσεως· πλὴν Ἱερεμίας τί λέγων, προφητεύει περὶ τῆς αὐτοῦ ἐνδόξου παρουσίας, *Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ;*

ΕΡΒΑΝ. Περὶ τοῦ Θεοῦ τοῦ νόμου πάντως τοῦτο ἔφησε· καὶ ἐμοὶ εἰς βοήθειαν ἁρμόττει αὕτη ἡ λέξις· πᾶσαν γὰρ ὁδὸν ἐπιστήμης ἡμῖν τοῖς υἱοῖς Ἰακὼβ ἐξευρὼν δέδωκεν ὁ Θεὸς ὡς ἀγαπητοῖς αὐτοῦ καὶ τέκνοις, καὶ κληρονόμοις.

Καὶ Ο ΑΓΙΟΣ. Ἰσραὴλ ὁ ἠγαπημένος, ὁ Κύριός μου πέφυκεν, ὦ ἀνόητε, καὶ Ἰακὼβ τὸ παιδίον, Ἰησοῦς Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ ἐστιν. Ὑμᾶς δὲ υἱοὺς ἀλλοτρίους διὰ Δαβὶδ κατωνόμασε, καὶ διὰ Ἰωάννου, γεννήματα ἐχιδνῶν. Καὶ εἰ ἀπιστεῖς, ὦ ἀσύνετε, τὸ ἑξῆς τοῦ στίχου σκόπησον· *Μετὰ δὲ ταῦτα*, φησὶν, *ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη*. Μετὰ ποῖα ταῦτα; Μετὰ τὸ τὸν νόμον δοῦναι, μετὰ τὸ προφήτας παρασχεῖν, μετὰ τὸ τελέσαι πάντα ὅσα ἐν τῷ νόμῳ ἠθέλησεν.

ΕΡΒΑΝ. Ὑποτοπάζεις ὅτι ἐκεῖνός ἐστιν ὁ Θεὸς ἡμῶν, περὶ οὗ εἶπεν ὁ προφήτης, ὅτι *Οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν;*

Καὶ Ο ΑΓΙΟΣ. Προσέχεις ὅτι λέγει, *Οὗτος ὁ Θεὸς*

A HERB. Quemadmodum meis dictis fidem non adhibes, sic ego neque tuis credo.

S. ARCH. Jacob filiis suis benedicens dixit: *Non deficiet princeps ex Juda, et dux de femore ipsius, donec veniat quod reservatur: et ipse expectatio gentium* [11]. Quid igitur de hoc vaticinio dicis? non hæc ita sunt?

HERB. Scimus quidem venturum esse, sed nondum venit. Cum autem venerit, in ipsum credemus.

S. ARCH. Amentia plenus es: attendis quod dicit, *Exspectatio gentium* qui venit: et dicis, nondum venisse. Si gentes in ipsum non credidissent, quemadmodum Jacob dixit, consentaneum diceres eum non venisse. Sed si secundum patriarchæ B vaticinium gentes in ipsum speraverunt, perspicuum quod venit, et frustra deliratis vos, inaniter laborantes.

HERB. Miror Deum ad contemptum personæ suæ et ignominiam, carnem sumpsisse: nec ob aliam causam in mundum venisse, nisi ut conciperetur, et natus cresceret, et venditus, et captus, et custoditus, et in crucem actus, et aceto et felle poto, lanceaque pectore confosso, clamore edito, moreretur. Miror, inquam, o archiepiscope, propter hanc causam, sicut tu ipse asseveras, eum venisse. Sed præstat et melius est ignorare vos ea cujusmodi sunt, quæ prædicatis.

S. ARCH. Certe in ignominiam sui vultus venit, C ut ejus contemptu et probro, ii qui in ipsum credunt, honore afficiantur, ignominia liberati, contracta ex transgressione facta in Eden: verumtamen quid Jeremias de ejus glorioso adventu vaticinatur, dicens: *Hic Deus est noster; non reputabitur alter ad eum: invenit omnem viam scientiæ, et dedit Jacob puero suo, et Israeli dilecto suo* [12]?

HERB. De Deo legis prorsus hoc dixit, et mihi in auxilium congruit hæc dictio. Omnem enim viam scientiæ nobis filiis Jacob inventam dedit Deus tanquam dilectis et filiis suis hæredibus.

604 S. ARCH. Israel dilectus, Dominus meus ille fuit, o insane; et Jacob filiolus sive parvulus, D Jesus Christus filius Dei est. Vos autem filios alienos per Davidem nominavit, et per Joannem, viperarum progeniem. Quod si non credis, o demens, quod reliquum est versus, considera: *Post hæc* enim, dicit, *in terris visus est, et cum hominibus conversatus*. Post quæ hæc? Post legem datam, post prophetas missos, postquam perfecit omnia quæ in lege voluit.

HERB. Conjectas quod ille est Deus noster, de quo dixit propheta, quod *Non existimabitur alter ad eum?*

S. ARCH. Attendis quod dicit: *Hic Deus noster*,

[11] Gen. XLIX, 10. [12] Baruch III, 36, 37.

NOTÆ.

(8) Ὃ ἀπόκειται. Τὰ ἀποκείμενα αὐτῷ. ID.

(9) Λέγει. Ἔλεγες aut λέγεις. ID.

et quod ille ipse postea : *In terris visus est, et cum hominibus conversatus est* : et dicis, conjectas sive suspicaris? Quomodo visus est hominibus? nuda simplici divinitate? Nullo modo. Quis enim potest nuda essentia Deum, sicuti est, videre? Nullus, opinor, nisi prorsus voluntarie homo factus esset.

HERB. Jam ante dixi, eum ad ignominiam et contumeliam sui in mundum venisse.

S. ARCH. Contumeliane est, o cæce, quod cum hic venit, leprosos vestros, o miser, mundavit? quod omnem morbum et languorem ab his qui inter vos ægrotabant, profligavit, et dæmonum turbas ac legiones abegit? quod super mari pedibus ambulavit, et quinque panibus quinque hominum millia saturavit? atque ob hæc omnia animum et mentem ei non adhibuistis. Contra vero magis hunc ipsum afflictum et vexatum condemnastis frustra, et in crucem sustulistis. Ob eamque causam contumelia affectum dicis. Quin potius propterea vilipendi et ignominia affici sustinuit, ut inde vestra improbitas ac pravitas manifesta appareret, quam etiam extra ipsum in corde vestro semper geritis, et qua, priusquam ad vos ipse venisset, Naboth saxis obrutum interemistis, Eliam horribili gravitate persecuti estis quadraginta dierum iter, Isaiam serra secuistis, Jeremiam in cœno jaculis et telis impetivistis, infantium multitudinem jugulastis, Zachariam interfecistis, Joannem obtruncastis. Quid, quod etiam ipsorum Dominum trucidastis? Omitto enim dicere cætera. Quomodo igitur dicis, eum in suam ipsius contumeliam et ignominiam advenisse?

HERB. Si Deus erat, quamobrem, siquidem poterat, crucem non abjiciebat?

S. ARCH. Si abjecisset, quomodo vaticinia completa fuissent?

HERB. De cruce prophetias sive oracula mihi enarra, et quinam prophetæ de hac locuti sunt.

S. ARCH. Deus crucem ante declarans et præsignificans, arcæ ligno, Noachi tempore, humani generis conservavit. Lignum enim erat arca, et crux lignum. Arca tunc eos qui futurum diluvium omnibus exitiosum crediderunt, in ipsam ingressos mirabiliter conservavit. Et pretiosa crux atque honore dignanda, eos qui ipsam adorant, et credunt in eum qui in ipsa defixus fuit, a tyrannide Satanæ et ab æterno supplicio liberat. Et planta Sabec cui vinctus hærebat aries, tempore Abrahami, salutem Isaaco daturus, honorandam crucem adumbrabat. Aries enim, Verbi Dei clavis confixam carnem cruci præfigurabat : planta vero Sabec ipsam crucem declarabat.

HERB. Multa qui didiceris, apposite quæ tuo instituto conferunt, exquiris.

A ἡμῶν, καὶ ὅτι ἐκεῖνος αὐτὸς μετὰ ταῦτα, *ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη*· καὶ λέγεις, Ὑποτοπάζεις; Πῶς δὲ ὤφθη τοῖς ἀνθρώποις; Γυμνῇ τῇ θεότητι; Οὐδαμῶς. Τίς γὰρ δύναται γυμνὸν τῇ οὐσίᾳ, ὥς ἐστι, θεάσασθαι; Οὐδείς, οἶμαι, εἰ μὴ πάντως ἐθελουσίως ἐγένετο ἄνθρωπος.

ΕΡΒΑΝ. Προλαβὼν εἴρηκα, ὅτι ἐπ' ἀτιμίᾳ καὶ ὕβρει αὐτοῦ εἰς τὸν κόσμον παρεγένετο.

Καὶ Ο ΑΓΙΟΣ. Ὕβρις ἐστὶ τοῦτο, τυφλὲ, ὅτι τοὺς λεπροὺς ὑμῶν, ἄθλιε, ἐκαθάρισε παραγενόμενος; ὅτι πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἀπὸ τῶν ἀσθενούντων ἐν ὑμῖν ἐφυγάδευσε, καὶ τὰ πλήθη τῶν δαιμόνων ἀπήλασεν; ὅτι ἐπὶ θαλάσσης ἐπέζευσε, καὶ ἐκ πέντε ἄρτων πενταχισχιλίους διέθρεψε καὶ ἐχόρτασε; Καὶ ἐπὶ τούτοις πᾶσιν οὐ προσεσχήκατε

B αὐτῷ· τοὐναντίον δὴ μᾶλλον θλίψαντες αὐτὸν, κατεκρίνατε μάτην, καὶ ἐσταυρώσατε. Διὰ τοῦτο οὖν φάσκεις, ὅτι ἠτιμάσθη. Διὰ τοῦτο οὖν μᾶλλον ἠνέσχετο ἀτιμασθῆναι, ἵνα ἐκ τούτου φανῇ καὶ ἡ ὑμετέρα κακία, ἣν ἐκτὸς αὐτοῦ ἐν τῇ καρδίᾳ περιφέρετε ἀεὶ, δι' ἧς καὶ πρὸ τοῦ γενέσθαι αὐτὸν εἰς ὑμᾶς, τὸν Ναβουθὲ ἐλιθοβολήσατε, τὸν Ἠλίαν τῷ φοβερῷ ἐμβριθήματι (10) ἐδιώξατε τεσσαράκοντα ἡμερῶν ὁδὸν, τὸν Ἠσαΐαν ἐπρίσατε, τὸν Ἱερεμίαν ἐν βορβόρῳ ἠκοντίσατε, τὸ πλῆθος τῶν νηπίων κατεσφάξατε, τὸν Ζαχαρίαν ἀνείλετε, τὸν Ἰωάννην ἀπεκεφαλίσατε. Τί ὅτι καὶ τὸν Δεσπότην αὐτῶν ἐφονεύσατε; Ἐῶ γὰρ λέγειν τὰ λοιπά. Πῶς οὖν λέγεις ὅτι ἐπ' ἀτιμίᾳ αὐτοῦ παρεγένετο;

C ΕΡΒΑΝ. Θεὸς ὤν, διὰ τί, ἐπεὶ ἠδύνατο, οὐκ ἀνεβάλλετο τὸν σταυρόν;

Καὶ Ο ΑΓΙΟΣ. Εἰ ἀνεβάλλετο, πῶς ἤμελλον πληροῦσθαι αἱ προφητεῖαι;

ΕΡΒΑΝ. Ἀνάγγειλον δέ μοι περὶ τοῦ σταυροῦ τὰς προφητείας, καὶ ποῖοι προφῆται περὶ τούτου λελαλήκασιν.

Καὶ Ο ΑΓΙΟΣ. Προδηλοποιῶν τὸν σταυρὸν ὁ Θεὸς, ξύλῳ τῷ τῆς κιβωτοῦ ἔσωσεν, ἐπὶ τοῦ Νῶε, τὸ τῶν ἀνθρώπων κατάλειμμα. Ξύλον γὰρ ἡ κιβωτὸς, καὶ ξύλον ὁ σταυρός. Ἡ κιβωτὸς τότε τοὺς πιστεύσαντας ὅτι ἔσται κατακλυσμὸς πανωλέθριος, καὶ εἰσελθόντας ἐν αὐτῷ παραδόξως διέσωσε. Καὶ ὁ σταυρὸς ὁ τίμιος τοὺς προσκυνοῦντας αὐτὸν, καὶ πιστεύοντας εἰς τὸν

D ἐν αὐτῷ παγέντα, λυτροῦται ἐκ τῆς τυραννίδος τοῦ Σατανᾶ, καὶ τῆς αἰωνίου κολάσεως. Καὶ τὸ φυτὸν δὲ τοῦ Σαβὲκ, ἐν ᾧ ἦν (11) προσδεθεὶς ἐπὶ τοῦ Ἀβραάμ, σωτηρίαν τῷ Ἰσαὰκ πορησάμενος, τὸν σταυρὸν προετύπου τὸν τίμιον· ὁ μὲν γὰρ κριὸς τὴν τοῦ Θεοῦ Λόγου προσηλωθεῖσαν σάρκα τῷ σταυρῷ προετύπου, τὸ δὲ φυτὸν τοῦ Σαβὲκ ἐδήλου τὸν σταυρόν.

ΕΡΒΑΝ. Πολλὰ σὺ μεμαθηκὼς, εὐθέτως ἐτυμολογεῖς τὰ συμφέροντα.

NOTÆ.

(10) *Ἐμβριθήματι*. forte ἐμβριμήματι. V. comminatione et indignatione. GULON.
(11) *Ἐν ᾧ ἦν*. Forte κριὸς deest. ID.

Καὶ Ο ΑΓΙΟΣ. Ἐγὼ μὲν οὐκ ἐτυμολογῶ, ἀλλ' οὖν ἀπὸ τῆς σῆς Γραφῆς πείθω σε τέως τῆς ἀληθείας ἀντεχομένης· πρόσεχε δὲ τοῖς λεγομένοις. Ἰακὼβ ὁ πατριάρχης μέλλων εὐλογεῖν τοὺς υἱοὺς αὐτοῦ, οὐχὶ ὀλίγον ἀνασχὼν ἀπὸ τῆς κλίνης ἐν ᾗ κατέκειτο, καὶ ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ ἐπιστηριχθεὶς, ἥτις ἐδήλου τὸν τίμιον σταυρὸν, ἐν τῷ σταυροῦν τὰς χεῖρας αὐτοῦ, οὕτως εὐλόγει αὐτούς; Οὐχὶ τὸν πρῶτον καταλιπὼν, ὅστις ἦν εἰκὼν τοῦ ὑμετέρου λαοῦ, ἐπὶ τὸν δεύτερον τὸ πᾶν τῆς εὐλογίας παρέτεινεν, ὅστις ἦν εἰκὼν τοῦ τῶν Χριστιανῶν λαοῦ; Τὸ ἐπὶ τῷ Ἰωσὴφ πραχθέν σοι ὑπαγορεύω. Τοῦ Μωσέως ἡ ῥάβδος, δι' ἧς ἐτέλει σημεῖα καὶ τέρατα, οὐχὶ τὸν σταυρὸν ἐτύπου; Τὸ ξύλον ὃ ἔβαλεν Μωσῆς ἐν Μαρᾷ, καὶ ἐγλυκάνθη τὸ ὕδωρ, οὐχὶ τὸν σταυρὸν προετύπου τὸν τίμιον; Ὅτε τὰς χεῖρας Μωσῆς σταυροειδῶς ἐκτείνων τὸν Ἀμαλὴκ ἐτροποῦτο, οὐχὶ τὸν σταυρὸν προετύπου;

A S. ARCH. Ego quidem non exquiro subtilius neque argutor, sed ex tua Scriptura quæ veritatis finem continet, tibi suadeo: his quæ dicuntur, mentem adhibe. Jacob patriarcha suis filiis benedicturus, nunquid paululum sese attollens e lecto in quo recubabat, et in summo sive extremo baculi sui qui crucem **605** pretiosam significabat, innixus, suas manus crucis in modum componendo, sic ipsis fausta et felicia precabatur? Nunquid primo relicto qui erat imago vestri populi, omnem suam benedictionem sive faustam precationem in secundum, qui erat Christiani populi imago sive figura, extendit? Quod in Josepho actum fuit, tibi dico. Præterea Mosis virga qua signa et prodigia perficiebat, nonne crucis typum præ se ferebat? B Et lignum, quod in Maram Moses conjecit, et quo aqua dulcis et potabilis effecta est, nonne crucem honorandam præfigurabat? Cum Moses crucis in modum manus extendens, Amalecum in fugam vertebat, nonne crucem forma quadam præmonstrabat?

ΕΡΒΑΝ. Σὺ ἔνθα ἂν εὕρῃς ξύλον χρησιμεῦον ἐν τῇ Παλαιᾷ, ὥρα ἀφομοιοῦν αὐτὸ τῷ σταυρῷ σου.

HERB. Tu hic in Vetere Scriptura si utile lignum inveneris, hora est illud ut assimiles tuæ cruci.

Καὶ Ο ΑΓΙΟΣ. Οὐ μόνον τὰ ξύλα προετύπωσαν τὸν σταυρὸν, ἀλλὰ καὶ ἐπάρσεις χειρῶν, καὶ πολέμων συμβολαὶ καὶ τὰ τούτοις παραπλήσια.

S. ARCH. Non solum ligna crucem præfigurarunt, sed etiam manuum sublationes, et bellorum symbolæ, id est conflictus sive conflictiones præliares, et quæ his sunt similia.

ΕΡΒΑΝ. Προλαβὼν εἴρηκα, ὅτι σὺ πολλὰ μεμαθηκὼς, ἐπ' εὐθείας ἐτυμολογεῖς τὰ συμφέροντά σοι.

HERB. Jam tibi prædixi, quod tu multa magnaque doctrina præditus, directe et argute, quæ tibi C conducunt, depromis et eloqueris.

Καὶ Ο ΑΓΙΟΣ. Ἰησοῦς ὁ τοῦ Ναυῆ, ὅτε τὸν φοβερὸν πόλεμον ἐκεῖνον ἐκρότησε μετὰ τῶν ἐθνῶν, ἑσπέρας καταλαβούσης, οὐκ ἔστησε τὸν ἥλιον κατὰ Γαβαῶ, καὶ τὴν σελήνην ὁμοίως κατὰ φάραγγα, μέχρις ὅτου τὴν νίκην κατὰ τῶν ἐναντίων ἤρατο; Τοῦτο δὲ τοῦ πάθους τοῦ ἐνδόξου Κυρίου μου Ἰησοῦ Χριστοῦ προτύπωσις ἦν. Ἰησοῦς γὰρ ἐκεῖνος, Ἰησοῦς καὶ ἐνταῦθα. Ἀρχιστρατηγὸς ἐκεῖνος τοῦ Ἰσραὴλ, βασιλεὺς οὗτος καὶ Θεὸς, οὐ μόνον τοῦ Ἰσραὴλ, ἀλλὰ καὶ πάσης τῆς οἰκουμένης. Ἐκεῖνος ἔθνη ἐτροποῦτο, καὶ οὗτος τῶν δαιμόνων στρατεύματα. Ἐκεῖνος τὸν ἥλιον ἔστησε καὶ τὴν σελήνην, μέχρις ὅτου ἐξῆρεν ἁπάσας τὰς φάλαγγας τῶν ὑπεναντίων· ἐπὶ δὲ τῷ πάθει τοῦ Κυρίου μου ὁ ἥλιος ἔφριξέ τε καὶ ἐσκότασε, καὶ ἡ σελήνη οὐκ ἔδωκε τὸ φέγγος αὐτῆς, τῆς ἡμέρας τάχα ἀπὸ τοῦ φόβου εἰς σκότος μετελθούσης. Ἐκεῖνος δορὶ καὶ λόγχῃ ἀνεῖλε τὰ ἔθνη, οὗτος δυνάμει τῆς θεότητος αὐτοῦ συνέτριψε τοῦ ᾅδου τὰ κλεῖθρα, καὶ τῷ τιμίῳ αὐτοῦ σταυρῷ ἀπετέφρωσε δαίμονας. Ἐκεῖνος κατὰ πλῆθος στρατευμάτων ταῦτα κατώρθου· ἄνθρωπος γὰρ ἦν, καὶ οὐδὲν πλέον ἠδύνατο· οὗτος δὲ μόνος (12), μᾶλλον δὲ διπλοῦς κατά τε θεότητα καὶ ἀνθρωπότητα. Λέγει γὰρ ὁ προφήτης περὶ αὐτοῦ, *Ληνὸν ἐπάτησα μονώτατος, καὶ τῶν ἐθνῶν οὐκ ἔστιν ἀνὴρ μετ' ἐμοῦ.* Ἐπεὶ γὰρ τὸ πάθος αὐτοῦ σταφυλὴν νοητῶς ὠνόμασε,

S. ARCH. Jesus filius Nave, cum bellum illud horrificum et internecivum magno applausu gessit cum gentibus, vespere superveniente, nonne adversus Gabaonitas solem sistere cursum jussit: similiter et lunam contra vallem Aialon, donec victoriam de hostibus retulisset? Hæc illustris et admirabilis in sole affectio sive perpessio fuit Domini mei Jesu Christi antegressa figura et similitudo. Jesus ille, Jesus et hic. Ille fuit princeps exercitus Israelis: hic rex et Deus, non solum Israelis, sed et totius terrarum orbis. Ille gentes in fugam vertebat; hic dæmonum exercitus. Ille solem et lunam sistere potuit, donec phalanges sive turmas et catervas militum adversariorum profligasset: in passione D Domini mei sol inhorruit et obscuratus est, et luna suum fulgorem non dedit, die statim præ timore in tenebras transeunte. Ille hasta et lancea gentes sustulit: hic suæ divinitatis virtute inferorum claustra contrivit, et pretiosa sua cruce dæmonas in cineres redegit. Ille armata militum manu et copiis adjutus, hæc feliciter et prospere gerebat (homo enim erat, nec amplius aut majus poterat): hic autem solus, imo vero duplex et secundum divinitatem et humanitatem. Dicit enim propheta de ipso, *Torcular calcavi solus maxime, et e gentibus non est vir mecum* [11]: Quoniam passionem suam spiritali

[11] Isa. LXIII, 3.

NOTÆ.

(12) *Οὗτος δὲ μόνος*, Θεάνθρωπος erat. GULON.

intelligentia uvam nominavit, et quod ejus passio salus gentibus esset futura. Et quod ex gentibus nullus cum ipso concertat, ideo subjungit : *Et e gentibus non est vir mecum*. Non quod ipse gentium ope et auxilio indiguisset, sed ut ejus perpessionibus et doloribus gentes fuisse conservatas indicaret.

HERB. Quomodo non aperte dixit quisquam prophetarum loquendi libertate et fiducia, nempe, Verbum Dei, id est Filium, e cœlo descensurum, e muliere Maria carnem assumpturum et hominem nasciturum, fore ut in crucem ageretur, ac moreretur, et tertia die a mortuis resurgeret, et cætera?

S. ARCH. O demens, non Isaias propheta libere clamat omnia de ipso ? Non etiam David vociferatur in psalmis sive canticis, et reliqui prophetæ in virtute et potestate ? Audi quid Jeremias propheta de tuis patribus dicat, longe ante declarans quomodo consilium habituri et meditaturi essent adversus suum Dominum : *Venite, et immittamus lignum in panem ejus, et ipsum e terra viventium eradamus*. Et paulo ante : *Ego quidem sicut agnus sine macula adductus sum ad victimam, et ignoravi* [14]. Ostende mihi, ubinam jugulatus est Jeremias, ubinam lignum in panem ejus immiserunt ? Fortasse ad sensum hoc non possis **606** dicere. Nam ipsum fuisse in cœnum projectum atque obrutum, eumque solum comperimus. De Christo igitur, et ejus passione, prophetam vaticinatum fuisse liquido constat.

HERB. Hæc Jeremias ænigmatice atque involute locutus est : sive de se ipso, sive de alio, non mea refert. Tu vero, dic mihi quod te rogo, quinam ex prophetis meis dixit loquendi licentia, et non parœmia, de Christo tuo ?

S. ARCH. Revera carnalis cum sis, carnalia perquiris et crassa animi sensa. Nunquid prophetæ tua inscitia atque insipientia et amentia indiguerunt, ut verba communia et trivialia simpliciter vaticinantes profunderent ? Audi igitur quid dicat David de ipsius cœlesti descensu ad Virginem ut carne indueretur : *Descendet sicut pluvia in vellus et sicut gutta distillans in terram* [15].

HERB. Hæc de Solomone dixit David ; et tu in quem hæc pervertis et accommodas?

S. ARCH. Progrediens psalmus quid dicit ? *Orietur in diebus ejus justitia* [16]. Et quis vestrum ipsum arguet peccati ? Solomon vero malum operatus coram Deo, mortuus est.

HERB. Innumerabilium seditionum in diebus suis patribus nostris auctor exstitit.

S. ARCH. Heu ! quia vestras infirmitates bajulavit, et morbos sanavit, et vestros mortuos ab inferis ad vitam revocavit : vos veluti canes rabie concitati adversus ipsum furebatis. Quis igitur tumultuum auctor, vosne ipsi, an ille ? Verum

A καὶ ὅτι τοῖς ἔθνεσι μέλλει εἶναι τὸ πάθος αὐτοῦ σωτηρία, καὶ ὅτι οὐδεὶς ἀπὸ τῶν ἐθνῶν συναγωνίζεται αὐτῷ, ἐπήγαγε, *Καὶ τῶν ἐθνῶν οὐκ ἔστιν ἀνὴρ μετ' ἐμοῦ*. Οὐχ ὅτι ἔχρῃζεν αὐτὸς βοηθείας ἐθνῶν, ἀλλ' ὅτι ἐδήλων σεσῶσθαι τὰ ἔθνη διὰ τῶν παθημάτων αὐτοῦ.

ΕΡΒΑΝ. Πῶς οὐκ εἶπεν ἄν εἷς τῶν προφητῶν παῤῥησίᾳ, ὅτι μέλλει ὁ Λόγος τοῦ Θεοῦ κατελθεῖν ἐκ τοῦ οὐρανοῦ, καὶ σαρκωθῆναι ἐκ γυναικὸς Μαρίας, καὶ ἐνανθρωπῆσαι, καὶ σταυρωθῆναι, καὶ ἀποθανεῖν, καὶ ἀναστῆναι τρίτῃ ἡμέρᾳ, καὶ τὰ λοιπά ,

Καὶ Ο ΑΓΙΟΣ. -Ὦ ἀνόητε, οὐχὶ παῤῥησίᾳ βοᾷ Ἡσαΐας ὁ προφήτης πάντα τὰ περὶ αὐτοῦ ; Οὐχὶ
B κράζει ὁ Δαβὶδ τοῖς ψαλμοῖς, καὶ οἱ λοιποὶ προφῆται ἐν δυνάμει ; Ἄκουσον τί λέγει Ἱερεμίας ὁ προφήτης περὶ τῶν πατέρων σου, προδηλοποιῶν ὁποίῳ τρόπῳ ἤμελλον συμβουλεύεσθαι κατὰ τοῦ Κυρίου αὐτῶν· *Δεῦτε, καὶ ἐμβάλλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ, καὶ ἐκτρίψωμεν αὐτὸν ἐκ γῆς ζώντων*. Καὶ ἀνωτέρω· *Ἐγὼ μὲν ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι, οὐκ ἔγνων*. Δεῖξόν μοι σὺ τοιγαροῦν ποῦ ἐσφάγη Ἱερεμίας, ποῦ ἐνέβαλον ξύλον εἰς τὸν ἄρτον αὐτοῦ ; Ἴσως αἰσθητῶς τοῦτο οὐκ ἂν ἔχῃς εἰπεῖν. Ἐν βορβόρῳ γὰρ εὑρίσκομεν αὐτὸν ἐῤῥιφέναι, καὶ μόνον. Περὶ δὲ Χριστοῦ, καὶ πάθους αὐτοῦ, εὔδηλον ὅτι προφητεύων ἔλεγεν.

ΕΡΒΑΝ. Ταῦτα αἰνιγματωδῶς εἶπεν Ἱερεμίας,
C κἂν περὶ αὐτοῦ, κἂν περὶ ἑτέρου, οὐ μέλει μοι. Λέξον δέ μοι τοῦτο ὃ ἐπερωτῶ (13)· ποῖος εἶπε παῤῥησίᾳ, καὶ οὐχὶ παροιμίᾳ περὶ τοῦ Χριστοῦ σου ἀπὸ τῶν προφητῶν μου ;

Καὶ Ο ΑΓΙΟΣ. Ἐπ' ἀληθείας σαρκικὸς ὢν σαρκικὰ ἐπιζητεῖς καὶ τὰ νοήματα. Μὴ γὰρ τῆς ἀμαθείας σου ἐχρημάτιζον οἱ προφῆται, ἢ τῆς σῆς ἀσοφίας τε καὶ ἀνοίας, ἵνα προβάλλοιντο (14) κοινὰ ῥήματα ἁπλῶς προφητεύοντες ; Ἄκουσον οὖν τί λέγει ὁ Δαβὶδ περὶ τῆς ἐξ οὐρανοῦ αὐτοῦ συγκαταβάσεως ἐπὶ τὴν Παρθένον, ἕνεκα τοῦ σαρκωθῆναι· *Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν*.

ΕΡΒΑΝ. Ταῦτα περὶ τοῦ Σολομῶντος εἴρηκεν ὁ Δαβίδ· καὶ ποῦ ταῦτα σὺ μεθαρμόζεις ;

D Καὶ Ο ΑΓΙΟΣ. Προϊὼν ὁ ψαλμὸς τί λέγει ; *Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη*. Καὶ τίς ἐξ ὑμῶν ἐλέγξει αὐτὸν περὶ ἁμαρτίας ; Σολομὼν δὲ ποιήσας τὸ πονηρὸν ἔναντι Κυρίου, ἐτελεύτησε.

ΕΡΒΑΝ. Διχοστασιῶν μυρίων αἴτιος ἐν ταῖς ἡμέραις αὐτοῦ τοῖς πατράσιν ἡμῶν ἐγένετο οὗτος.

Καὶ Ο ΑΓΙΟΣ. Ἀβάλε ! ὅτι τὰς ἀσθενείας ὑμῶν ἐβάστασε, καὶ τὰς νόσους ἰᾶτο, καὶ τοὺς νεκροὺς ὑμῶν ἀνίστα, καὶ ὑμεῖς ὡς κύνες λυττῶντες, κατεμαίνεσθε αὐτοῦ. Τίς οὖν λοιπὸν αἴτιος τῶν θορύβων, ὑμεῖς, ἢ αὐτός ; Ἄκουσον δὲ καὶ τῶν ἑξῆς· *Κατα-*

[14] Jerem. XI, 19. [15] Psal. LXXI, 6. [16] ibid. 7.

NOTÆ.

(13) *Τοῦτο ὃ ἐπ.* Vet. cod. ὃ σοι ἐπ.. ἀντὶ τοῦ σε. GULON.
(14) *Προβάλλοιντο*. Leg. προεβάλλοντο. ID.

κυριεύσει γὰρ, φησὶν, *ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης*. Οὐκοῦν οὐκ ἔστιν οὕτως; Οὐ καταλάμπει ἡ πίστις, ἡ εἰς αὐτὸν, εἰς τὰ πέρατα τῆς οἰκουμένης; *Ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες*. Οὐχὶ πᾶσα ἡ Αἰθιοπία ἐπίστευσεν εἰς αὐτόν; Καὶ καθ' ἑκάστην ἡμέραν προσκυνεῖ αὐτὸν, ὡς Θεὸν ἀληθινόν; *Καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσιν*. Τίνες δὲ οἱ ἐχθροὶ αὐτοῦ; Οὐχ ὑμεῖς οἱ Ἰουδαῖοι, χοῦν λείχοντες, ἀπὸ πολλῆς πείνης; τοῦτ' ἔστι τὰ νεκρὰ καὶ χοϊκὰ, σαρκικά τε καὶ ἐμπαθῆ νοήματα, ἀπὸ τῶν Χριστιανῶν πνευματικῶν νοημάτων φαγεῖν οὐ δυνάμενοι.

audi quæ sequuntur: *Et dominabitur*, inquit, *a mari usque ad mare, et a fluviis usque ad terminos orbis terrarum* [17]. Annon ita est? Non in eum fides usque ad terminos orbis terrarum refulget? *Coram ipso procumbent Æthiopes* [18]. Non omnis Æthiopia in ipsum credidit, et quotidie ipsum ut Deum verum adorat? *et inimici ejus terram lingent*. Quinam ejus inimici? Non vos Judæi, qui præ multa et rabida fame pulverem lingitis? id est, terrena et pulverulenta carnaliaque et perturbata animi sensa et cogitata, a Christianis et spiritualibus hominibus spiritales et divinas notiones ac sententias edere, id est, mente percipere et intelligere non valentes?

ΕΡΒΑΝ. Ὑψηλὴν γλῶτταν κεκτημένος ταῦτα ἐπίστασαι ἀποφθέγγεσθαι. Τί δὲ ἐμφαίνει αὕτη ἡ περιοχὴ τοῦ στίχου· *Καὶ πλῆθος εἰρήνης ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη*; Τί ἐστι τὸ πλῆθος τῆς εἰρήνης;

HERB. Linguam altam et magniloquam adeptus, scis ista proloqui. Sed quid sibi vult et indicat hæc versus clausula, *Et erit abundantia pacis, donec auferatur luna* [19]? Quænam est hæc pacis abundantia?

Καὶ Ο ΑΓΙΟΣ. Τὸ πλῆθος τῆς εἰρήνης ἐμφαίνει τὴν πολλὴν ἀγάπην τῶν Θεοῦ Ἐκκλησιῶν, ἣν μεταξὺ ἀλλήλων κέκτηνται. Σελήνην δὲ τὴν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν ἐμφαίνων ὠνόμασεν. Ἕως ὅτου δὲ ἥξῃ Κύριος, καὶ παρέλθῃ ἡ Ἐκκλησία, ἕως τότε ἔσται καὶ εἰρήνη τοῦ Θεοῦ, ἐπιπολάζουσα ἐν μέσῳ τῶν Ἐκκλησιῶν. Ὁπόταν δὲ περιέλθῃ ἡ Ἐκκλησία, τότε καὶ εἰρήνη ἐκ μέσου γενήσεται, τῆς συντελείας δηλονότι ἐγγισάσης. Ἵνα δὲ ἐκ τοῦ ψαλμοῦ τούτου ἱκανῶς ὠφεληθῇς, πρόσεχε τοῖς λεγομένοις. Τί ἀνωτέρω λέγει οὗτος ὁ ψαλμός; *Καὶ ταπεινώσει*, φησὶ, *συκοφάντην, καὶ συμπαραμενεῖ τῷ ἡλίῳ* (15). Ὁρᾷς γὰρ ὅτι ἐτελεύτησε. Ποῦ δὲ ἦν αὐτὸς χρηματίζων πρὸ τῆς σελήνης; Τετάρτην γὰρ ἡμέραν ἐν τῇ κοσμοποιΐᾳ, σελήνην καὶ ἀστέρας ὁ Θεὸς ἐδημιούργησε. Σολομῶντα δὲ πού ποτε Δαβὶδ ἐκ τῆς τοῦ Οὐρίου γεγένηκε· πρὸ τοῦ ἡλίου δὲ, ποῦ ἦν τὸ ὄνομα αὐτοῦ; Οὐδ' ἂν ταῦτα ὁ Δαβὶδ ἐχρημάτιζεν.

S. ARCH. Hæc pacis multitudo sive abundantia declarat sanctarum Dei Ecclesiarum charitatem et dilectionem, quam indeptæ sunt, et qua sese mutuo complectuntur. Lunam enim, catholicam et apostolicam Ecclesiam demonstrans, nominavit. Donec autem venerit Dominus, et prætericrit Ecclesia, eo usque erit pax Dei, in medio Ecclesiarum supernatans et abundans. Cum vero Ecclesia præterierit, tunc etiam pax e medio tolletur: nimirum consummatione facta. Ut autem hoc psalmo abunde juveris, animum adhibe ad ea quæ dicuntur. Quid superius dicit hic psalmus? *Et humiliabit*, inquit, *calumniatorem, et permanebit cum sole* [20]. Vides certe quod Solomon vita functus est. Ubi autem erat ipse ante lunam? Quarto enim die, in mundi creatione, lunam et stellas Deus condidit. Solomonem vero quondam David ex ea quæ fuit Uriæ, genuit: ante solem autem ubi erat nomen ejus? Neque tum David hæc vaticinabatur.

ΕΡΒΑΝ. Ὅτι μὲν ἐταπείνωσε συκοφάντην, ἔχω σοι δεῖξαι, ὅτι οὐχ ἕνα μόνον ἐταπείνωσεν· ἀλλ' ἀπείρους μὲν τυράννους πτοήσας ὑπέταξε· πάντων δὲ τῶν πονηρῶν δαιμόνων ἐκράτησε, καὶ δεσμίους αὐτοὺς ἠσφαλίσατο. Ὅτι δὲ συμπαραμενεῖ ἡλίῳ, τὴν λαμπρότητα τῆς βασιλείας ᾐνίξατο, διὰ τὸ στρατηγὸν εἶναι τὸν ἥλιον τῆς ἡμέρας, ἀφομοιώσας αὐτοῦ τὸ κράτος τῷ ἡλίῳ. Πρώτην δὲ σελήνην εἴρηκεν ἡμέραν, τὴν γέννησιν αὐτοῦ. Καὶ ἐκτοτέ φησι, *Διαμενεῖ σῶος εἰς γενεὰς γενεῶν*. Καὶ ὡσαύτως, *Πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ*, τοῦτο δηλοῖ, πρὸ τῆς βασιλείας ἐν ὅλῳ τῷ κόσμῳ ἕξει τὸ γέρας καὶ τὴν τιμὴν τὸ ὄνομα αὐτοῦ.

HERB. Quod quidem calumniatorem humiliavit, possum tibi ostendere: quia non unum solum humiliavit, sed infinitos quidem tyrannos animo
607 perculsos et consternatos subjecit: omnes malignos dæmonas suo imperio devictos reddidit, eosque vinculis et catenis constrictos tuto tenuit. Quod vero simul cum sole permanebit, regni splendorem subobscure indicavit, propterea quod sol est diei dux: idcirco robur ejus et imperium soli simile esse dixit. Primam autem lunam, diem dixit, ortum ipsius innuens. Ideoque dicit: *Permanebit* salvus *in generationes generationum*. Similiter, *Permanet ante solem nomen ejus*, hoc declarat: ante regnum in universo mundo, nomen ejus eximium decus, et præmium, et honorem consequetur.

[17] Psal. LXXI, 8. [18] ibid. 9. [19] ibid. 7. [20] ibid. 4, 5.

NOTÆ.

(15) *Τῷ ἡλίῳ*. Post hæc verba, insere e veteri codice: « Καὶ πρὸ τῆς σελήνης, γενεὰς γενεῶν. » Σὺ οὖν λέγεις ὅτι περὶ Σολομῶντος ταῦτα ἐρρήθη. Δεῖξόν μοι οὖν ποῖον συκοφάντην ὁ Σολομὼν ἐταπείνωσεν. Ποῦ δὲ, « συμπαραμενεῖ τῷ ἡλίῳ; » Ὁρᾷς, κ. τ. λ. Hoc est: « *Et ante lunam, generationes generationum.* » *Ais igitur de Solomone hæc dicta esse. Ostende ergo mihi quemnam calumniatorem Solomon humiliavit. Ubinam vero « permanebit cum sole?» Vides*, etc. ID.

S. ARCH. Solomon dæmonas humiliavit? Nescis quid loquaris. Ad tempus quidem eos vasis inclusos et septos tenuit, et sigillo constrictos terraque obrutos occuluit. Sed mecum considera, quod mente et spiritu profligatus ab ipsis dæmonibus et devictus, de salute periclitatus est, quemadmodum testatur Scriptura. Nam mulierum armenta velut equus feminarum amore incensus ac libidine inflammatus, postquam congregavit, templa condidit idolis, eisque servivit, et erroris abominationes adolevit, atque alienigenæ mulieri turpiter commistus, ubi se in regiam sive palatium recepit, repente vitam finivit: malum coram Deo operatus, nullum pœnitentiæ vestigium demonstrare potuit. Hoc autem quod cecinit David, *Simul cum sole permanebit*, non regni splendorem edicit, sed de meo Christo et Deo prædixit, quod cum sole permanebit in non enarrabili splendore divinitatis suæ impolluta ipsius humanitas: eo quod erat duplex, et Deus, et homo: atque suo Patri et Deo in cœlos assumptus; et sedens ad dexteram ejus virtutis sive potestatis. Illud autem, *ante lunam*, non manifestat primum lunæ diem, nec secundum, nec tertium: sed catholicam et apostolicam Ecclesiam nominat lunam. Priusquam enim hæc esset, inquit, una cum sole Patre et Deo erat, non solum in his quæ ab initio fuerunt generationibus, sed et ante omnia sæcula. At vero hoc: *Ante solem permanet nomen ejus*, obscure et hoc declarasti. Non enim sol regnum indicat, sed pure et indubitate dicit, quod antequam hic sol factus esset, erat nomen ejus admirabile.

HERB. Tu tuæ parti consulis, et quidvis accommodas, meamque interpretationem detorques. Ego vero decertans, et pro me anxie laborans, tuam explicationem non admitto neque approbo.

S. ARCH. Veritas te trahit vel nolentem annuere et assentiri. Quod vero paulo inferius habetur, tibi dico; *Et benedicentur in ipso omnes tribus terræ* [21]. Omnes gentes beatum ipsum prædicabunt. Et paulo ante: *Erit nomen ejus benedictum in sæcula* [22]. Tu quidem dic modo, ubinam aliquando benedictæ fuerunt in Solomone omnes tribus terræ, vel quo tempore beatum prædicaverunt ipsum, vel quibus sæculis benedictum fuit nomen ejus? Quis enim benedicit Solomoni? Omnes enim ipsum condemnatum habent, utpote coram Deo malum operatum.

HERB. Non Solomon librum Ecclesiasten inscriptum edidit? non etiam omne Proverbium? quod quidem demonstrat, quia hic est. Nonne ejus scripta leguntur? Vide igitur quibus in locis sapientiæ ipsius gratia personat et celebratur, laudatur ab audientibus et glorificatur a legentibus, et benedicitur ab his qui ejus sapientiam intelligunt. Quomodo dixisti quod nullus est qui huic benedicat?

[21] Psal. LXXI, 17. [22] ibid.

A Καὶ Ο ΑΓΙΟΣ. Σολομῶν ἐταπείνωσε δαίμονας; Οὐκ οἶδας τί διαγορεύεις. Πρὸς καιρὸν μὲν ἠσφαλίσατο τούτους ἐν τοῖς ἀγγείοις, καὶ σφραγίσας κατέχωσεν. Ἀλλά γε τὸ τηνικαῦτά μοι σκόπει, ὅτι νοητῶν καταπολεμηθεὶς ὑπ' αὐτῶν τῶν δαιμόνων, καὶ ἡττηθεὶς περὶ σωτηρίαν αὐτοῦ ἐκινδύνευσεν, ὡς ἡ Γραφὴ μαρτυρεῖ. Συναθροίσας γὰρ, ὡς ἵππος θηλυμανὴς, ἀγέλην γυναικῶν, κτίζει τοῖς εἰδώλοις, καὶ θυμιάσας τὰ βδελύγματα τῆς πλάνης, καὶ τῇ ἀλλοφύλῳ αἰσχρῶς συμμιγεὶς, καταλαβὼν τὰ βασίλεια, αἴφνης καταλύει τὸν βίον, ἔναντι Κυρίου τὸ πονηρὸν ἐργασάμενος, μήτε ἴχνος μετανοίας ἐπιδείξασθαι δυνηθείς. Τὸ δὲ, *Συμπαραμενεῖ τῷ ἡλίῳ*, οὐ λαμπρότητα διαγορεύει βασιλείας, ἀλλὰ περὶ τοῦ ἐμοῦ Χριστοῦ καὶ Θεοῦ παρεδήλωσεν, ὅτι συμπαραμενεῖ τῷ ἡλίῳ B ἐν τῇ ἀποῤῥήτῳ λαμπρότητι τῆς θεότητος αὐτοῦ ἡ ἄχραντος αὐτοῦ ἀνθρωπότης, ἐφ' ᾧ διπλοῦς ἦν, καὶ Θεὸς, καὶ ἄνθρωπος, εἶτε καὶ τῷ ἰδίῳ Πατρὶ καὶ Θεῷ ἀναληφθεὶς εἰς οὐρανοὺς, καὶ καθίσας ἐν δεξιᾷ τῆς αὐτοῦ δυνάμεως. Τὸ δὲ, *πρὸ τῆς σελήνης*, οὐκ ἐμφαίνει πρώτην σελήνης ἡμέραν, καὶ δευτέραν, καὶ τρίτην, ἀλλά γε τὴν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν ὀνομάζει σελήνην. Πρὸ γὰρ τοῦ ταύτην, φησὶ, γεγονέναι, συμπαρῆν τῷ ἡλίῳ Πατρὶ καὶ Θεῷ, οὐ μόνον ἐν ταῖς ἀπ' ἀρχῆς γενεαῖς, ἀλλὰ καὶ πρὸ πάντων αἰώνων. Τὸ δὲ, *Πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ*, ἀδήλως καὶ τοῦτο ἐδήλωσας. Οὐ γὰρ ἐμφαίνει βασιλείαν ὁ ἥλιος, ἀλλὰ καθαρῶς καὶ ἀπεριέργως φάσκει, ὅτι πρὸ τοῦ γενέσθαι τὸν ἥλιον τοῦτον, ἦν τὸ ὄνομα αὐτοῦ θαυμαστόν.

C ΕΡΒΑΝ. Σὺ περὶ σεαυτοῦ σπεύδεις τὸ πᾶν, καὶ καθέλκεις τὴν ἐμὴν ἑρμηνείαν. Κἀγὼ δὲ περὶ ἐμαυτοῦ ἀγωνιζόμενος, οὐ δέχομαί σου τὴν σαφήνειαν.

Καὶ Ο ΑΓΙΟΣ. Ἡ ἀλήθειά σε ἕλκει, καὶ μὴ βουλόμενον τοῦ κατανεῦσαι καὶ συνομολογῆσαι. Πρὸς σὲ δὲ τὸ κατωτέρω λέγω· *Καὶ εὐλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς*. Πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν. Καὶ ἀνωτέρω· *Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας*. Λέξον μοι σὺ τοιγαροῦν ἀρτίως, ποῦ ποτε εὐλογήθησαν ἐν τῷ Σολομῶντι πᾶσαι αἱ φυλαὶ τῆς γῆς, ἢ ποίῳ χρόνῳ ἐμακάρισαν αὐτὸν, ἢ ἐν ποίοις αἰῶσι πέφυκεν εὐλογημένον τὸ ὄνομα αὐτοῦ; Τίς δέ ἐστιν ὁ εὐλογῶν Σολομῶντα; Ἅπαντες γὰρ κατάκριτον ἔχουσιν αὐτὸν, ὡς τὸ πονηρὸν πεποιηκότα ἔναντι Κυρίου.

ΕΡΒΑΝ. Οὐκ ἐξέθετο Σολομῶν τὸν Ἐκκλησιαστὴν ἐγγράφως; ἀλλὰ καὶ ἅπασαν τὴν Παροιμίαν; πρόδηλον D ὅτι οὗτος. Οὐκ ἀναγινώσκονται αὐτοῦ τὰ συγγράμματα; Ἴδε οὖν ὅτι ἐν οἵοις τόποις περιηχεῖται τῆς σοφίας αὐτοῦ τὸ χάρισμα, αἰνεῖται ὑπὸ τῶν ἀκουόντων, καὶ δοξάζεται παρὰ τῶν ἀναγινωσκόντων, καὶ εὐλογεῖται παρὰ συνιέντων τὰ ἐκείνου σοφίσματα· πῶς εἴρηκας (16), ὅτι οὐδείς ἐστιν, ὃς τοῦτον εὐλογεῖ;

NOTÆ.

(16) *Πῶς εἰρ.* Vet. cod. πῶς δὲ εἰρ. GULON.

Καὶ Ο ΑΓΙΟΣ. Τὸ ὄνομα αὐτοῦ εὐλογημένον ὁ ψάλλων ἐν πνεύματι λέγει· καὶ οὐ μόνον εὐλογημένον, ἀλλὰ καὶ εἰς τοὺς αἰῶνας. Πῶς οὖν ἔσται εὐλογημένον τὸ ὄνομα τοῦ Σολομῶντος, ἐν ἁμαρτίαις τὸν βίον αὐτοῦ καταλύσαντος; Μὴ γὰρ Θεὸς ἦν, ἢ Υἱὸς Θεοῦ, ὃν τρόπον ὁ Κύριός μου Ἰησοῦς Χριστός. Καὶ γὰρ οὐδ' ἑνός ἐστιν ἑτέρου τὸ ὄνομα εὐλογημένον εἰς τοὺς αἰῶνας, ἀλλ' ἢ μόνον τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ καὶ Σωτῆρος. Σολομῶν δὲ διεφθάρη πρὸς τὰ τέλη, καὶ ὤλωλε, τῆς ἀγάπης τοῦ Θεοῦ χωρισθεὶς, καὶ ταῖς ἀσελγείαις τῶν δαιμόνων κωλυθείς. Καὶ εἰ μὴ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὅτε σταυρωθεὶς καὶ θανὼν κατέβη εἰς τὸν ᾅδην, χεῖρα αὐτῷ σωτηρίας δέδωκεν, οὐκ ἔσχεν οὐδέν. Οὐ μόνον γὰρ εὐλογημένον ἔσται τὸ ὄνομα αὐτοῦ, ὡς λέγεις, εἰς τὸ διηνεκὲς, ἀλλά γε καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τιμωρηθήσεται μετὰ τῶν ἁμαρτωλῶν, ὡς παραβάτης καὶ ἔκπτωτος τοῦ παντός.

ΕΡΒΑΝ. Ὁ Χριστός σου καὶ ἀποθανὼν, εἰπέ μοι, δύναμιν ἔσχεν εἰς τὸ σώζειν; Θέασαι πῶς ἑαυτὸν ἐῤῥύσατο ἀρτίως, καὶ Σολομῶντα ἔσχεν ἐξεῤῥύσασθαι;

Καὶ Ο ΑΓΙΟΣ. Τί οὖν, εἰπέ μοι, φάσκει ὁ προφήτης, καὶ περὶ τίνος· *Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μοι ἰδεῖν διαφθοράν;*

ΕΡΒΑΝ. Περὶ ἑαυτοῦ πάντως φάσκει, ἱκετικῶς παρακαλῶν τὸν Θεόν.

Καὶ Ο ΑΓΙΟΣ. Ὀρθῶς ἐψεύσω κατὰ τῆς ἀληθείας. Οὐκοῦν οὐκ ἔστι τὸ μνῆμα Δαβὶδ ἐν τῇ Παλαιστίνῃ, καὶ τὸ σῶμα αὐτοῦ ἐν τῷ μνήματι; Πῶς οὖν διαγορεύει, *Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν*, οὐδαμῶς ἀναστὰς, ἀλλ' ἐν τῷ τάφῳ ἔτι κατακείμενος, καὶ διαφθαρεὶς ἄρδην; Ἀλλὰ ἡ ἀλήθεια δείκνυσιν ὅτι περὶ τοῦ ἐμοῦ Χριστοῦ ταῦτα ᾐνίξατο, εἰδὼς ὅτι μετὰ τρίτην ἡμέραν ἀναστήσεται, μὴ ὑπομείνας φθορὰν, ὡς δυνατός· ἰδιοποιήσατο δὲ τὸ ῥητὸν, λέξας ὡς περὶ αὐτοῦ, ἐπιστάμενος ὅτι ἐκ τοῦ μηροῦ αὐτοῦ ἔσται τὸ κατὰ σάρκα Χριστὸς, ἀνιστάμενος ἄφθαρτος.

ΕΡΒΑΝ. Τέως εἰ καὶ οὕτως ἔχει καθὼς λέγεις, οὐ δεσποτικὴ φωνὴ, τὸ, *Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην*, ἀλλ' οἰκέτου τινὸς, ἢ καταδεεστέρου πρὸς μείζονα παράκλησιν ἄγοντος. Εἰδέναι τοιγαροῦν σε δεῖ, ὅτι οὐκ ἦν Υἱὸς Θεοῦ, ἀλλ' οἰκέτης.

Καὶ Ο ΑΓΙΟΣ. Ὁ Δεσπότης ὁ ἐμὸς, καὶ ἄνθρωπος (17) κεχρημάτικε, δύο φύσεις κεκτημένος, καὶ δύο οὐσίας, καὶ δύο θελήματα, μίαν δὲ τὴν (18) αὐτὴν ὑπόστασιν. Διὰ οὖν τὴν φύσιν τῆς ἀνθρωπότητος, ὡς κτιστὴν πεφυκυῖαν, καὶ ἡνωμένην τῇ θεότητι, ταύτην τὴν ὑποτακτικὴν φωνὴν, οἷα παράκλησιν

S. ARCH. Nomen ejus benedictum in spiritu dicit Cantici auctor: nec solum benedictum, sed etiam in sæcula. Quomodo Solomonis nomen erit benedictum, qui in peccatis vitam suam **608** finivit? Non enim Deus erat, neque Dei Filius, quomodo Dominus meus Jesus Christus. Etenim non alius cujusquam nomen est benedictum in sæcula, quam solum nomen Domini mei Jesu Christi et Servatoris. Solomon vero tandem corruptus est, et periit, Dei amore et charitate disjunctus, et dæmonum intemperiis ac furoribus cohibitus ac detentus. Et nisi Dominus noster Jesus Christus, cum crucifixus et mortuus ad inferos descendit, ei manum salutarem dedisset, nihil omnino haberet. Non enim solum non benedictum erit nomen ejus, ut dicis, in perpetuum: verum etiam in infinita sæcula cum peccatoribus afficietur supplicio, ut transgressor, et qui omni bono exciderit.

HERB. Tuus Christus etiam mortuus, dic mihi, salutis dandæ potestatem obtinuit, et servare potest? Perspice quomodo se ipsum nuper liberavit, et Solomonem eripere et salvum facere potuit?

S. ARCH. Age igitur, dic mihi, quid, et de quo dicit Propheta: *Quoniam non derelinques animam meam in inferno, nec dabis sanctum tuum videre corruptionem* [33]?

HERB. De se ipso plane hoc dicit, suppliciter Deum deprecans.

S. ARCH. Directe adversus veritatem mentitus es. Nonne Davidis monumentum est in Palæstina, et corpus ejus in sepulcro? Quomodo igitur pronuntiat: *Quoniam non derelinques animam meam in inferno, neque dabis sanctum tuum videre corruptionem*, qui nullo modo resurrexit, sed in sepulcro adhuc jacet, jampridem corruptus penitus? Sed veritas arguit, quod de meo Christo hæc propheta indicavit, præsciens hunc resurrecturum post tertium diem, non exspectata corruptione, utpote qui potens esset. Vaticinium autem sibi proprium fecit, velut de se ipso locutus, sciens quod secundum carnem de suo femore nasciturus esset Christus, resurgens incorruptibilis.

HERB. Interim etsi ita est, sicut dicis, non hæc vox Domini: *Non derelinques animam meam in inferno*, sed cujusdam famuli, vel inferioris ad superiorem, supplicationem dirigentis. Scire igitur te oportet, quod non erat Dei Filius, sed famulus.

S. ARCH. Dominus meus, et Deus et homo fuit, duas naturas indeptus, et duas essentias et duas voluntates, sed unam eamdemque hypostasim. Ergo propter naturam humanitatis ut creatam, et divinitati unitam, hanc adjunctivam vocem velut invocationem posuit. Neque hoc esse debet scandalum.

[33] Psal. xv, 10.

NOTÆ.

(17) Ἐμὸς, καὶ ἄνθ. Leg. ἐμὸς καὶ Θεὸς καὶ ἄνθ. Gulon.
(18) Μίαν δὲ τ. Leg. μίαν δὲ καὶ τ. Id.

Nam resurrectio corporis ejus, quod ejus caro in monumento non fuerit corrupta, hoc a divina potestate et virtute deitatis in humanitatem ejus effectum est. Cum igitur humanitas ejus divinitatem implorat, non ego reliquum vereor.

HERB. Hoc si ita est, consequens est, ut idem sit ipse et servus et Dominus: ac necesse est ut idem tanquam servus sibi ipsi succumbat velut Domino.

S. ARCH. Nugaris frustra argutans. Quod enim sit et servus et Dominus, neque ego inficior. Unus enim est idem, et Filius Dei, quia sit in divinitate sua et humanitate in una hypostasi, qua *Verbum Dei caro factum est*, sicut testatur Scriptura, *Et habitavit in nobis* [24].

HERB. Quod Dominus tuus, præclare: sed servus quamobrem?

S. ARCH. Dominus quidem, ut præexsistens; servus vero ob id volens factus est, ut in servi forma, adversario lucta prostrato et devicto, a servitute et maledicto liberaret eum, qui in paradiso male propter prævaricationem peccato mancipatus servierat.

HERB. Vertigine laboro et æstuo, nec sum apud me, si Josephi fabri et Mariæ ejus conjugis Filius, est ipse Dei Filius, qui in hunc **609** mundum venit.

S. ARCH. Sic puto. De ipso Deus ore prophetæ dixit: *Dominus dixit ad me: Filius meus es tu; ego hodie genui te* [25].

HERB. Quæcunque de se ipso David protulit, ea vos vindicantes in Christum vestrum invertitis.

S. ARCH. Deliras, neque usu, neque ratione sacram Scripturam intelligens. Attende quæ postea dicit: *Postula a me, et dabo tibi gentes hæreditatem tuam, et possessionem tuam terminos terræ* [26].

HERB. Atqui non paucis gentibus dominatus est David, quas devicit et profligavit.

S. ARCH. An ejus possessio usque ad orbis terrarum terminos propagata fuit? Palæstinæ tantum omnino imperavit, et Judæorum rex fuit: finium orbis terrarum nequaquam. Quod si etiam gentes ad tempus subegit, sed non semper: aliud igitur est, terminum, et aliud, gentem devictam accipere; fortasse gentem, quæ sit tota et integra hæreditas. Ad hæc igitur nugaris et blateras: siquidem ad Dominum nostrum Jesum Christum spiritaliter regnantem inveheris. De eo igitur David vaticinatus est. Animadverte etiam quod Christianismus ubique principatum obtinet, et per omnes nationes sunt ei qui cruci suffixus fuit, erectæ et, veluti cippi, firmatæ ecclesiæ. Quod autem non de Davide quidem, sed de Domino meo et Deo sermo est, audi quid extremum psalmi subindicat: *Pasces eos*

A τέθεικε. Καὶ οὐκ ἔστι τοῦτο σκάνδαλον· ἡ γὰρ ἀνάστασις τοῦ σώματος αὐτοῦ, καὶ μὴ φθαρῆναι τὴν σάρκα αὐτοῦ ἐν τῷ μνήματι, ὑπὸ τῆς θείας δυνάμεως τῆς θεότητος αὐτοῦ ἐνηργήθη εἰς τὴν ἀνθρωπότητα αὐτοῦ. Ὅταν οὖν ἡ ἀνθρωπότης αὐτοῦ παρακαλεῖ τὴν θεότητα αὐτοῦ, ἐγὼ λοιπὸν οὐκ αἰσχύνομαι.

ΕΡΒΑΝ. Εἰ οὕτως ἐστὶν, λοιπὸν ὁ αὐτός ἐστι καὶ δοῦλος καὶ Δεσπότης· καὶ ἐπάναγκες αὐτῷ, ἵνα προσπταίῃ ὡς δοῦλος αὐτὸς ἑαυτῷ ὡς Δεσπότῃ.

Καὶ Ο ΑΓΙΟΣ. Ματαιολογεῖς ἀποφθεγγόμενος. Ὅτι γάρ ἐστι δοῦλος καὶ Δεσπότης, οὐδ' αὐτὸς ἀπαναίνομαι· εἷς δέ ἐστιν ὁ αὐτὸς καὶ Υἱὸς τοῦ Θεοῦ, διὰ τὸ εἶναι ἐν τῇ θεότητι αὐτοῦ καὶ τῇ ἀνθρωπότητι, ἐν μιᾷ τῇ ὑποστάσει, καθ' ὃ ὁ *Λόγος τοῦ*
B *Θεοῦ σὰρξ ἐχρημάτισε*, καθὼς φησιν ἡ Γραφὴ, *καὶ ἐσκήνωσεν ἐν ἡμῖν*.

ΕΡΒΑΝ. Δεσπότης ὁ σὸς, καλῶς· δοῦλος δὲ, διὰ τί;

Καὶ Ο ΑΓΙΟΣ. Δεσπότης μὲν ὡς προϋπάρχων, δοῦλος δὲ, διὰ τοῦτο βουλόμενος ἐγένετο, ἵνα ἐν τῇ τοῦ δούλου μορφῇ, παλαίσας τὸν ἀντίπαλον, καὶ ἡττήσας αὐτὸν, ἐλευθερώσῃ τῆς δουλείας καὶ τῆς κατάρας, τὸν ἐν τῷ παραδείσῳ κακῶς δουλωθέντα τῇ ἁμαρτίᾳ διὰ τῆς παραβάσεως.

ΕΡΒΑΝ. Ἰλιγγιῶ καὶ ἐξίσταμαι, εἰ τοῦ Ἰωσὴφ ὁ υἱὸς τοῦ τέκτονος καὶ Μαρίας τῆς αὐτοῦ γυναικὸς, ἔστιν Υἱὸς τοῦ Θεοῦ ὁ εἰς τὸν κόσμον ἐρχόμενος.

Καὶ Ο ΑΓΙΟΣ. Οὕτως οἶμαι. Περὶ αὐτοῦ ὁ Θεὸς
C διὰ στόματος τοῦ προφήτου εἴρηκε· *Κύριος εἶπε πρός με· Υἱός μου σὺ, ἐγὼ σήμερον γεγέννηκά σε*.

ΕΡΒΑΝ. Ὅσα εἴρηκεν ὁ Δαβὶδ περὶ αὐτοῦ, ὑμεῖς σφετερίζεσθε ταῦτα εἰς τὸν Χριστὸν ὑμῶν.

Καὶ Ο ΑΓΙΟΣ. Ληρεῖς, μὴ κατὰ πεῖραν συνιὼν τὴν Γραφήν. Πρόσεχε δὲ τί λέγει μετὰ ταῦτα· *Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς*.

ΕΡΒΑΝ. Καὶ μὴ ὀλίγων ἐθνῶν ἦρξεν ὁ Δαβὶδ νικήσας καὶ πατάξας.

Καὶ Ο ΑΓΙΟΣ. Καὶ ἡ κατάσχεσις αὐτοῦ εἰς τὰ πέρατα τῆς οἰκουμένης ἐγεγόνει πάντως; Παλαιστίνης μόνον ἐκράτησε, καὶ Ἰουδαίων ἐβασίλευσε·
D περάτων δὲ γῆς, οὐδαμῶς. Εἰ δὲ καὶ ἔθνη πρὸς τὸ παρὸν ὑπέταξεν, ἀλλ' οὐ διὰ παντός· ἕτερον οὖν τὸ πέρας, καὶ ἄλλο τὸ δορυάλωτον ἑλέσθαι· ἴσως ἔθνος ὁλόκληρον. Ματαιολογεῖς τοιγαροῦν πρὸς ταῦτα. Εἰς γὰρ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὰ τῇδε ἀναφέρεται. Ἐὰν γὰρ ἀπέλθῃς εἰς τὰ πέρατα τῆς οἰκουμένης, εὑρήσεις τὸν Χριστὸν πνευματικῶς βασιλεύοντα. Περὶ τούτου οὖν ὁ Δαβὶδ ᾐνίξατο. Πρόσεχε γὰρ ὅτι ὁ Χριστιανισμὸς πανταχοῦ κεκράτηκε, καὶ εἰς πάντα τὰ ἔθνη ἐκκλησίαι τῷ ἐσταυρωμένῳ ἀνεστηλώθησαν. Ὅτι δὲ οὐ περὶ τοῦ Δαβὶδ ὁ λόγος, ἀλλὰ περὶ τοῦ Κυρίου καὶ Θεοῦ μου, ἄκουσον τί τὸ τέλος τοῦ ψαλμοῦ ὑποφαίνει· *Ποιμανεῖς αὐτοὺς ἐν*

[24] Joan. I, 14. [25] Psal. II, 7. [26] ibid. 8.

ῥάϐδῳ σιδηρᾷ. Ῥάϐδος σιδηρᾶ, ὁ τίμιος σταυρός. Τίνας ποιμανεῖ; Περὶ ὧν εἶπε, *Καὶ νῦν, βασιλεῖς, σύνετε, παιδεύθητε, πάντες οἱ κρίνοντες τὴν γῆν. Δουλεύσατε τῷ Κυρίῳ ἐν φόϐῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.* Ἔπειτα λέγει· *Δράξασθε παιδείας, μή ποτε ὀργισθῇ Κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας.* Τίνα οὖν ἐμφαίνει ὁ Δαϐὶδ Κύριον, ἑαυτὸν ἄρα; Περιττὸς ὁ λόγος. Οὐδεὶς γὰρ τῶν εὖ φρονούντων, ἑαυτὸν κύριον προσαγορεύσειε· καὶ μᾶλλον ἐγγράφως. Ἀλλ' οὖν καὶ ἡλίκος ὁ Προφήτης ἔμελλεν εἶναι, εἰ τὸ τοῦ Κυρίου καὶ Θεοῦ αὐτοῦ ὄνομα εἰς ἑαυτὸν ἐσφετερίζετο, ἢ πάλιν περὶ ἑαυτοῦ προεφήτευσεν; Ἐνώτισον τοιγαροῦν καὶ ἐπὶ τέλους, τίνα διαγορεύει, *Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ, μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.* Δι' ἣν αἰτίαν; Μὴ γὰρ Θεός ἐστιν; ἄνθρωπος γὰρ ἦν, ὥσπερ εἷς τῶν ἀνθρώπων, καὶ προφήτης ἐχρημάτιζε. Ὁρᾷς ὅπως οὐδέν εἰσιν ἃ διαγορεύεις.

ΕΡΒΑΝ. Μωϋσῆς ὁ προφήτης, εἰ τὴν Πεντάτευχον ἀνέγνως, μεγέθη καταρῶν τέθεικεν ἡμῖν τοῖς υἱοῖς Ἰσραὴλ, ἀπὸ Θεοῦ καὶ τῶν ἀγγέλων, καὶ τῶν ἁγίων, θεὶς καὶ πάντα τὰ στοιχεῖα τὰ ὑπ' οὐρανὸν ὑπὸ κατάραν, εἴ ποτε ἕτερον θεὸν ὑποδεξόμεθα πάρεξ τοῦ Θεοῦ τῶν πατέρων. Τί οὖν λοιπὸν πολυπραγμονεῖς; Καὶ γὰρ καὶ αὐτὸς ὁ Θεὸς διὰ τοῦ προφήτου παρεγγυᾷ ἡμῖν λέγων· *Οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις θεῷ ἀλλοτρίῳ. Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, ὁ ἀναγαγών σε ἐκ γῆς Αἰγύπτου.* Τί οὖν δοκεῖ σοι πρὸς ταῦτα;

Καὶ Ο ΑΓΙΟΣ. Περὶ τῶν γλυπτῶν Χαναὰν σοὶ τὰ τῇδε διεντέλλεται, Ὅτι οὐ προσκυνήσεις θεῷ ἀλλοτρίῳ, οὐχὶ δὲ περὶ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. Τίνα οὖν παρεισάγων ὑποσημαίνει, λέγων· *Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.* Ποῖος Κύριος; καὶ πρὸς τίνα Κύριον ταῦτα λελαληκέναι ὑπολαμϐάνετε; ἀρτίως ἀναδίδαξον, καὶ εἰπέ.

ΕΡΒΑΝ. Κύριος ὁ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, ὁ Θεὸς ἐν τῷ οὐρανῷ· Κύριος ἦν καὶ Δαϐὶδ ἐν ταῖς ἡμέραις αὐτοῦ τῆς βασιλείας ἁπάσης τῆς γῆς, ἧς ἐϐασίλευσεν· εἴρηκεν οὖν αὐτῷ ὁ Θεὸς λέγων, *Ἐν τοῖς δεξιοῖς καθέζου,* τοῦτ' ἔστι, Μὴ ἐκκλίνῃς δεξιᾷ ἢ ἀριστερᾷ ἀπὸ τῶν δεξιῶν παραγγελμάτων τοῦ νόμου, ἀλλὰ τήρει τὸν νόμον· κἀγὼ ὑποτάξω πάντα τὰ ἔθνη, καὶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου ποιήσω. Λέγεται γὰρ ὅπλα πολέμων δικαιοσύνης, καὶ φυλακὴ ἐν τῷ λαῷ.

Τούτων πασῶν ῥηθεισῶν (19) μεταξὺ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου, καὶ Ἑρϐᾶν (20) τοῦ νομοδιδασκάλου, παρόντος καὶ τοῦ εὐσεϐεστάτου βασιλέως, καί τινων ἐπισκόπων, καὶ τοῦ πλήθους τῶν Ἰουδαίων, καὶ πάσης τῆς πόλεως, ἡ ἀμφιϐολία λύσιν

A *in virga ferrea* [27]. Virga ferrea est pretiosa crux. Quos pascet? De quibus dixit: *Et nunc, reges, intelligite, erudimini, omnes qui judicatis terram. Servite Domino in timore, et exsultate ei cum tremore* [28]. Deinde dicit: *Apprehendite disciplinam, ne quando irascatur Dominus, et pereatis de via justa* [29]. Quemnam igitur David innuit Dominum, an se ipsum? Supervacanea oratio. Nullus enim eorum qui recte sapiunt, se ipsum dominum appellavit, et magis scriptis verbis. Quin etiam quantus propheta futurus esset, si Domini et Dei sui nomen usurpans in se ipsum transferret, vel rursus si de se ipso vaticinatus esset? Ergo percipe auribus, in fine quem denuntiat: *Cum exarserit in brevi ira ejus, beati omnes qui confidunt in eo* [30]. Quam ob causam? Non enim

B Deus est: homo enim erat: sicut unus hominum, et propheta vaticinabatur. Vides igitur quam frivola sunt et futilia quæ obloqueris.

HERB. Moses propheta, si Pentateuchum legisti, nobis Israelitis magnas exsecrationes a Deo et angelis et sanctis statuit, addens etiam omnia elementa quæ sub cœlo sunt, in maledictionem et exsecrationem, si quando alium Deum susciperemus, præter eum quem patres nostri coluerunt [31]. Quid igitur amplius curiose percontaris? Etenim Deus ipse per Prophetam mandat et jubet nobis dicens: *Non erit deus apud te recens, neque adorabis deum alienum. Ego enim sum Dominus Deus tuus qui eduxi te de terra Ægypti* [32]. Ad hæc igitur quid tibi videtur?

C S. ARCH. De Chananæorum sculptilibus et simulacris hoc tibi jussum et præceptum fuit, quod non deum alienum coles, non autem de unigenito Dei Filio. Quem igitur inducens subindicat, dum dicit: *Dixit Dominus Domino meo: Sede a dextris meis: donec ponam inimicos tuos scabellum pedum tuorum* [33]? Quinam Dominus (21), et ad quem Dominum hæc dixisse existimatis, nunc ostende et edissere.

HERB. Dominus supercœlestium, et terrestrium, et subterraneorum Deus qui est in cœlo: Dominus erat etiam **610** David in diebus regni sui, omnis terræ, cujus rex erat. Dixit igitur huic Deus dicens: *Sede a dextris meis;* id est, ne declines dextrorsum

D vel sinistrorsum a dextris mandatis legis, sed serva legem: et ego tibi subjiciam omnes gentes, et inimicos tuos suppedaneum pedum tuorum faciam. Dicuntur enim arma bellorum justitiæ, etiam in populo, custodia.

His omnibus dictis et disputatis inter sanctissimum archiepiscopum et Herbanum legis doctorem, præsente etiam pietate illustrissimo rege, et quibusdam episcopis, et multitudine Judæorum, atque universa civitate, nec dubitatio solutionem sive

[27] Psal. II, 9. [28] ibid. 10, 11. [29] ibid. 12. [30] ibid. 13. [31] Deut. XXVIII, 1 seq. [32] Psal. LXXX, 10, 11. [33] Psal. CIX, 1.

NOTÆ.

(19) Vide supra notam ad operis inscriptionem.
(20) *Πασῶν ῥηθεισῶν.* πάντων ῥηθέντων. GULON.
(21) *Quinam Dominus.* dixit GULON.

exitum habuit. Nam flexus in vesperam dies ipsorum dissertationem et causæ judicium intercidit. Gaudebant autem Judæi super Herbano, quod hic contra archiepiscopum in disputatione stare integre et fortiter potuisset, nec defecisset: atque omnes ipsum deosculabantur, et magna benevolentia prosequebantur. Herbanus autem ipsis dixit: Imo vero, fratres, Deum legis, ut nobis adsit et opituletur, precemur: quia, sicut videtis, archiepiscopus est homo valde solers, et disputator in sacris Scripturis subtiliter exercitatus: et vis quædam est non parva, ut ei fidem faciamus. Vos scitis, quod supra nos nostra dogmata scit et intelligit: Judæi vero ipsum confirmabant et animi præsentiam huic addebant, ne metu labesceret.

A οὐκ ἔσχεν. Ἑσπέρα γὰρ καταλαβοῦσα ἔκοψεν αὐτῶν τὴν δίκην. Ἔχαιρον δὲ οἱ Ἰουδαῖοι ἐπὶ τῷ Ἑρβᾶν, ὅτι ὅλως ηὐτάρκησε στῆναι μετὰ τοῦ ἀρχιεπισκόπου ἐν λέξεσιν, καὶ κατεφίλουν αὐτὸν ἅπαντες εὐμενῶς. Ὁ δὲ Ἑρβᾶν εἶπεν αὐτοῖς· Εὐξώμεθα μᾶλλον, ἀδελφοί, ὅπως βοηθήσῃ ἡμῖν ὁ Θεὸς τοῦ νόμου, ὅτι, ὡς ὁρᾶτε, ὁ ἀρχιεπίσκοπος πολυμήχανος ἄνθρωπός ἐστιν ἐν ταῖς Γραφαῖς, καὶ βία τίς ἐστιν οὐ μικρά, ἵνα πείσωμεν αὐτόν. Ὑμεῖς οἴδατε ὅτι ὑπὲρ ἡμᾶς ἐπίσταται τὰ ἡμῶν· οἱ δὲ ἐθαρσοποίουν αὐτὸν μὴ φοβεῖσθαι.

CONGRESSUS SECUNDI DIEI.

Crastino rursus die rex consessum et disputationem cum applausu jussit instaurari. Cæterum eadem alacritate rege in primo loco sedente et archiepiscopo, advenerunt Judæi, deinde Herbanum constituerunt. Ac sanctus archiepiscopus ait:

S. ARCH. Heri dixisti Mosem prophetam maledictum et exsecrationem Judæis imposuisse a Deo, et ab angelis, et elementis. Quod neque ipse dubito. Ac præclare quidem propheta fecit, sciens vestram lubricam fidem, et mentis ac consilii inconstantiam. Si enim cum hoc ita factum sit et constitutum, vestros tamen filios et filias dæmoniis immolastis: quid non facturi et demonstraturi fuissetis, si hanc exsecrationem non vobis tanquam in thesauro reservasset? Nos autem Christiani, nunquid idolis credimus? nunquid alienum deum in medium inducimus? Verbum magni et præpotentis Dei, ejus inquam Dei, qui Abrahamum amavit et illius posteros, quod carnem C assumpsit virtute Spiritus sancti ex Virgine Maria, integerrima et castissima Dei Genitrice, propter salutem nostram cognoscentes, cum ipso etiam Patre et sancto Spiritu ejus, unum verum Deum adoramus et colimus; neque detrahentes quidquam, neque adjicientes, præter quam quod verius et purius quam vos deitatem cognoscentes credimus. Mosem vero, et quæ ab illo sunt præclare et rite instituta et sancita, præclare etiam adimpleta, et quæ cessaverunt, approbamus. Illud autem: *Dixit Dominus Domino meo* [33*], David locutus est. Ibi enim hesterna die sermone deducto tandem conquievimus: inde denuo exordiri oportet. Si igitur David dominus erat terræ cujus rex erat, quod fateor, dominus erat, umbra et insomnio plenus, quemadmodum et nos omnes homines. Quod autem se ipsum dominum appellavit, invalidum et infirmum, imbelle atque dubium, nec dum judicatum. Nunquam enim hanc consuetudinem invenimus, ut quis semetipsum dominum suum appellet. Dixit autem

611 Dominus Verbo suo, id est, Filio: ei, inquam, qui factus est homo, qui mortuus est, et qui tertio die a mortuis revixit, et post quadraginta dies e monte

Τῇ ἐπαύριον πάλιν ἐκέλευσεν ὁ βασιλεὺς κροτηθῆναι συνέδριον· καὶ ἑτοιμασίας λοιπὸν γενομένης, καὶ B προκαθίσαντος τοῦ βασιλέως καὶ τοῦ ἀρχιεπισκόπου, ἦλθον οἱ Ἰουδαῖοι, εἶθ' οὕτως παρέστησαν Ἑρβᾶν. Καὶ προστάξας (22) ὁ ἅγιος, ἔφη·

Ο ΑΓΙΟΣ. Χθὲς εἶπας ὅτι Μωϋσῆς ὁ προφήτης κατάραν τέθεικε τοῖς Ἰουδαίοις ἀπὸ τοῦ Θεοῦ, καὶ τῶν ἀγγέλων, καὶ τῶν στοιχείων· καὶ οὐδ' αὐτὸς ἀμφιβάλλω. Καὶ καλῶς πεποίηκεν ὁ προφήτης, εἰδὼς ὑμῶν τὸ ὀλισθηρὸν τῆς γνώμης, καὶ τὸ τῆς προαιρέσεως ἄστατον. Εἰ γὰρ καὶ τούτου γενομένου τοὺς υἱοὺς ὑμῶν καὶ τὰς θυγατέρας ἐθύσατε τοῖς δαιμονίοις, τί οὐκ ἂν ἐνεδείξασθε, εἰ ταύτην τὴν ἀρὰν οὐ τεθησαύρικεν ὑμῖν; Καὶ ἡμεῖς οὖν οἱ Χριστιανοὶ, μὴ εἴδωλα πιστεύομεν; μὴ ἀλλότριον θεὸν εἰς τὸ μέσον εἰσφέρομεν; τὸν Λόγον τοῦ μεγάλου Θεοῦ, τοῦ τὸν Ἀβραὰμ ἀγαπήσαντος καὶ τοὺς ἀπ' ἐκείνου, σαρκωθέντος ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ πανάγνου Θεοτόκου ἐγνωκότες διὰ τὴν ἡμετέραν σωτηρίαν, σὺν αὐτῷ τῷ καὶ Πατρὶ καὶ ἁγίῳ Πνεύματι αὐτοῦ, ἕνα Θεὸν ἀληθινὸν προσκυνοῦμεν καὶ λατρεύομεν, οὔτε ἀφελόντες τι, ἀλλ' οὔτε προστιθέντες, πλὴν τρανότερον καὶ καθαρώτερον ὑμῶν ἐπεγνωκότες τὴν θεότητα, πιστεύομεν. Μωϋσέα δὲ καὶ τὰ ὑπ' ἐκείνου καλῶς νομοθετηθέντα, καὶ καλῶς πληρωθέντα, καὶ καταπαύσαντα ἀποδεχόμεθα. Τὸ δὲ, *Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου*, Δαβὶδ λελάληκεν. Ἐνταῦθα γὰρ χθὲς τὸν λόγον καταντήσαντες ἡσυχάσαμεν, καὶ δέον ἐντεῦθεν πάλιν ἀπάρξασθαι. Εἰ οὖν Δαβὶδ κύριος ἦν τῆς γῆς ἧς ἐβασίλευσεν, ὁμολογῶ, κύριος δὲ σκιᾶς ἀνάπλεος καὶ D ἐνυπνίου, καθὰ καὶ πάντες ἡμεῖς οἱ ἄνθρωποι. Ὅτι δὲ καὶ ἑαυτὸν κύριον προσηγόρευσεν, ἀβέβαιον καὶ ἀνίσχυρον, καὶ ἀσύγκριτον. Οὐ γὰρ τοιαύτην συνήθειαν εὕρομεν πώποτε, ἵνα τις κύριον ἑαυτὸν ἑαυτοῦ προσαγορεύσῃ. Εἶπε δὲ ὁ Κύριος τῷ Λόγῳ αὐτοῦ καὶ Υἱῷ, τῷ καὶ ἐνανθρωπήσαντι καὶ ἀποθανόντι, καὶ ἀναστάντι τῇ τρίτῃ ἡμέρᾳ, καὶ μετὰ τεσσαράκοντα ἡμέρας ἀπὸ τοῦ ὄρους τῶν Ἐλαιῶν εἰς οὐρανοὺς ἀναληφθέντι, ἐνώπιον τῶν ἁγίων αὐτοῦ μαθητῶν καὶ ἀποστόλων, καὶ παρελθόντι πᾶσαν τὴν τῶν ἄνω

[33*] Psal. CIX, 1.

NOTÆ.

(22) *Προστάξας*. Forte σιγὴν προστ., *indicto silentio*. GULON.

δυνάμεων σύνταξιν, καὶ ἐν δεξιᾷ τῆς μεγαλοσύνης αὐτοῦ καθίσαντι. Τοῦτο γὰρ εἶπεν ἡ δύναμις τῆς αὐτοῦ θεότητος, τῇ ἀχράντῳ αὐτοῦ ἀνθρωπότητι λέγουσα, *Κάθου ἐκ δεξιῶν μου*, ἕως ἂν ἥξῃ τὸ τέλος τοῦ κόσμου, καὶ ἀποστελῶ σε κριτὴν ζώντων καὶ νεκρῶν. Καὶ τότε κάμψει πᾶν γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, τῇ ἐξουσίᾳ τῇ σῇ, καὶ οἱ ἐχθροί σου τεθήσονται ὡς καταπάτημα, ὑποπόδιον τῶν ποδῶν σου, καὶ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ταῦτα ἡ ἀλήθεια ἑρμηνεύει, εἴπερ καὶ βούλει καταδέξασθαι.

A Olivarum in cœlos assumptus est coram discipulis suis et apostolis: et qui omnem superiorum potestatum ordinem superavit, et qui in dextra majestatis ejus consedit. Hoc enim dixit potestas sive virtus divinitatis ejus, impollutæ ipsius atque incontaminatæ humanitati dicens: ***Sede a dextris meis***, donec mundi finis et consummatio venerit, et mittam te judicem vivorum et mortuorum. Et tunc flectet omne genu supercœlestium, terrestrium et inferorum, potentiæ tuæ: tuique inimici prosternentur veluti calcandum scabellum pedum tuorum: et reddes unicuique secundum opera sua. Hæc veritas sic interpretatur et exponit, si modo velis assentiri et approbare.

ΕΡΒΑΝ. Μεγάλην βλασφημίαν εἰσφέρεις σὺ εἰς τὸν κόσμον, τὸν ἐσταυρωμένον λέγων εἶναι ἐν δεξιᾷ τῆς δυνάμεως ἐν τοῖς ὑψίστοις.

HERB. Magnam certe blasphemiam in mundum invehis dicendo palo et cruci affixum sedere a dextris majestatis divinæ in altissimis.

Καὶ Ὁ ΑΓΙΟΣ. Εἰ ἐσταύρωται, τούτου σοι ἕνεκεν ὁ σταυρὸς αὐτοῦ πέφυκε σκάνδαλον; Ἵνα δὲ βεβαιωθῇς, ὅτι καλῶς ἡρμήνευσα τὸ, *Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου*, πρόσεχε καὶ τῷ ἑξῆς στίχῳ, ὅπως χάριν τοῦ σταυροῦ ὑποφαίνει, περὶ οὗ σὺ προαιρῇ (23) σκανδαλίζεσθαι· *Ῥάβδον δυνάμεως*, φησὶν, *ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιὼν, καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου*.

S. ARCH. Si cruci confixus fuit, an idcirco crux ejus tibi est scandalum? Ut autem confirmeris, quod recte sum interpretatus illud, nempe: *Dixit Dominus Domino meo: Sede a dextris meis*, adverte quod in sequenti versiculo sequitur, quomodo crucis gratiam subindicat, cujus causa tu offendi mavis: *Virgam virtutis*, inquit, *emittet tibi Dominus ex Sion: dominare in medio inimicorum tuorum* [24].

ΕΡΒΑΝ. Τὴν ῥάβδον, ἣν προαγορεύει, σταυρὸν σὺ ὑπολαμβάνεις; Εἰ οὖν οὕτως ἦν, ἔδει αὐτὸν σταυρὸν εἰρηκέναι, καὶ οὐ ῥάβδον· Ὅτι δὲ ἐκ Σιὼν ἀποσταλῆναι τὴν ῥάβδον ὑπαγορεύει, μὴ ἀπὸ τοῦ ὄρους Σινᾶ ἐτμήθη τὸ ξύλον ἐκεῖνο, ἀφ' οὗ ὁ σταυρός; Ἀλλ' οὐκ ἂν ἔχεις δεῖξαι περὶ τούτου.

HERB. Virgam quam dicit, crucem esse suspicaris? Quod si ita esset, ipsam crucem, et non virgam dixisse oportuit. Quod autem ex Sione virgam se emissurum esse affirmat, num ex monte Sina excisum illud lignum fuit, ex quo crux facta est?
C Sed non posses illud probare.

Καὶ Ὁ ΑΓΙΟΣ. Ἀναγωγικῶς ὁ προφήτης, ἀνόητε, τὴν ῥάβδον ᾐνίξατο. Ὃν τρόπον ἡ ῥάβδος ἀφ' ἑαυτῆς κινηθῆναι οὐ δύναται, ἢ τυπτῆσαί τινα, μὴ οὔσης χειρὸς, τῆς ἐνδυναμούσης αὐτὴν τῇ ἑαυτῆς ἀφῇ· παραπλησίως καὶ ὁ τίμιος σταυρός· αὐτὸς μὲν γὰρ ἦν ἀπὸ τῆς γῆς, ἐδέετο δὲ δυνάμεως ἐκ Σιὼν, ἵνα ἀρθῇ κατὰ τῶν ἐχθρῶν τοῦ βασιλέως Χριστοῦ, μᾶλλον δὲ κατὰ τῶν ἐναντίων τοῦ πλάσματος τοῦ βασιλέως Κυρίου. *Ἐκ Σιὼν* δὲ ἀκούων, μὴ κάτω περιβλέπου. Τὸ Σινᾶ (24) ὄρος κατὰ νοῦν λογιζόμενος· καὶ τοῦτο γὰρ ἀναγωγικῶς εἴρηται. Σιὼν γάρ ἐστιν ἡ ἄνω μητρόπολις Κυρίου, ἐν ᾗπερ αὐτὸς κατοικεῖ, καὶ πάντες οἱ ἄγγελοι αὐτοῦ. Παρεγένετο τοίνυν ἡ θεία δύναμις ἐκ τῆς ἄνω Σιὼν, τοῦτ' ἔστιν ἐκ τοῦ οὐρανοῦ ὁ Λόγος τοῦ Θεοῦ, καὶ ἦρε τὴν ῥάβδον ἀπὸ τῆς γῆς· τὸν τίμιον λέγω καὶ ζωοποιὸν σταυρόν. Καὶ ἐκτείνας τὴν δεξιὰν χεῖρα καὶ τὸν ὑψηλὸν βραχίονα, ἐπάταξε πάντας τοὺς ὑπεναντίους, καὶ νενίκηκε· τοῦτ' ἔστι τὸν ᾅδην, τὸν θάνατον, τὴν ἁμαρτίαν, τὸ κατάκριμα, καὶ αὐτὸν ἐκεῖνον τὸν κακότροπον ὄφιν, τὸν τὴν Εὔαν σὺν τῷ Ἀδὰμ ἐν τῇ Ἐδὲμ ἐξαπατήσαντα· καὶ εὐθέως κατεκυρίευσεν ἐν μέσῳ τῶν ἐχθρῶν αὐτοῦ. Τούτῳ τῷ βασιλεῖ δέδωκεν ὁ Θεὸς καὶ Πατὴρ, τοῦ κρῖναι (25)

S. ARCH. O demens, anagogice et per ænigma propheta virgam dixit. Quemadmodum enim virga a se ipsa moveri non potest, vel aliquem ferire, si absit manus quæ suo contactu eam roboret: sic et crux pretiosa, siquidem ipsa erat e terra: virtute autem ex Sione indigebat, ut extolleretur adversus inimicos regis Christi: imo vero contra adversarios creaturæ regis Domini. *Ex Sione* autem cum audis, ne tu deorsum circumspice. Sina mons, qui mente et animo cernitur: hoc enim anagogice sive mystice dictum est. Sion enim est superna civitatum mater civitas Domini, in qua ipse habitat, et omnes angeli ejus. Vis igitur sive
D potestas divina ex superna Sione, id est, e cœlo Verbum Dei, (id est Filius) descendit, et e terra virgam sustulit: pretiosam et venerandam, atque vivificam crucem intelligo. Et extendens manum dextram, et excelsum brachium, suos omnes adversarios percussit, et vicit: id est, orcum sive infernum, mortem, peccatum, judicium, et illum ipsum malignum serpentem, eum inquam qui Evam cum Adamo in Edem sive paradiso impia fraude obstrinxit: atque illico in medio suorum inimicorum dominatus est. Huic Regi dedit Deus et Pater,

[24] Psal. CIX, 2.

NOTÆ.

(23) *Προαιρῇ*. Forte προείρηκας. GULON.

(24) *Τὸ Σινᾶ*. Cotelerius ad Barnabæ epist. cap. 11 Gregentium coarguit. Oportuit enim, inquit, Σιὼν dicere, non Σινᾶ.

(25) *Τοῦ κρ*. Forte τό. GULON.

ut mundum universum judicet, cum finis et consummatio venerit, et resurrectio facta fuerit. Quin etiam sancti omnes circum ipsum fulgebunt veluti luminaria. Ac vide quomodo infert dicens : *Tecum principium in die virtutis tuæ, in splendoribus santorum tuorum* [35].

HERB. Eumne, qui ex Josepho procreatus est, dicis venturum ad mundum judicandum? Papæ! o magna deceptio, et ingens error!

S. ARCH. Revera, qui cæcutit, solem intueri non potest. Josephus ille non suo semine meum Deum Dominum procreavit, (absit!) quemadmodum **612** tu cæcutiens asseris, mente captus et illusus. Verumtamen tibi dicam, unde meus dilectus Dominus Jesus Christus ortus effloruit? Dicit igitur Deus de eo : *Ex utero ante luciferum genui te* [36]. Ne vero tu, qui mente et intelligentia cares, dixeris, quod sermone tenui et nudo dictum est, subjunxit : *Juravit Dominus, et non pœnitebit eum* [37]. Neve etiam dicas postea, quod non est de ipsius Dei essentia, vicissim adjunxit : *Ex utero ante luciferum genui te.* Juravit, inquit, Deus noster, quod tu es ex mea essentia. Deinde ne dixeris, sacerdotium Aaronis non transferri, dixit : *Tu es sacerdos in æternum, secundum ordinem Melchisedec* [38]. Quomodo autem humanitas ipsius in mundo versata est, Isaias dicit : *Ecce virgo concipiet in utero, et pariet filium, et vocabunt nomen ejus Emmanuel;* quod est, si velis interpretari, *Nobiscum Deus* [39]. Illic igitur David effatur, quomodo nuda divinitate, *Ex utero ante luciferum genui te :* hic vero Isaias, de ea quæ est secundum carnem generatione ipsius, quomodo ex semper Virgine et Deipara natus est. Si autem quæ prædicit David, in hunc ipsum transfers : an David, an alius quivis ante luciferum genitus est? an solus herus meus, et Deus meus, et Dominus meus?

HERB. Scio quod tuus Christus natus est : sed quod omnino ex semine Josephi satus sit, hoc cuivis perspicuum et notum est, ut prædictum fuit.

S. ARCH. Ne insolenter et impie loquaris. Non enim ex Josephi satu, ut tu opinaris, sed ex Spiritu sancto genitus est. Nam de ipso propheta locutus est, et subindicans quod Virgo non corrupta fuit ab Josepho, hæc dicit : *Dabitur obsignatus liber viro scienti litteras : et dicet vir : Non possum legere; liber enim obsignatus est* [40]. Quid aliud liber sigillo obsignatus, quam Virgo et Dei Genitrix? Quis ille vir? Josephus faber. Quid quod et litteras scienti, id est, qui aliis nuptiis cum alia conjuge congressus est, de qua liberos sustulit? Quid autem quod is divinam tabulam, nempe librum legere non potuerit? id est, cum ipsa virgine commisceri non potuit, ex Deo intelligens, quod hæc Domino Jesu esset clausa et reservata, incor-

A τὸν κόσμον αὐτοῦ ἅπαντα, ὁπόταν ἕξῃ τὸ τέλος, καὶ ἀνάστασις γένηται. Καὶ πάντες οἱ ἅγιοι περικύκλῳ αὐτοῦ λάμψουσιν ὡς φωστῆρες. Καὶ ὅρα πῶς ἐπάγει λέγων· *Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου.*

ΕΡΒΑΝ. Τὸν ἐκ τοῦ Ἰωσὴφ γεννηθέντα λέγεις, ὅτι ἥξει κρῖναι τὸν κόσμον; Βαβαὶ τῆς περιπλανήσεως!

Καὶ Ο ΑΓΙΟΣ. Ἐπ' ἀληθείας τυφλώττων τις, ἥλιον βλέπειν οὐ δύναται. Ἰωσὴφ τὸν ἐμὸν Θεὸν Δεσπότην οὐκ ἔσπειρε, μὴ γένοιτο! καθάπερ σὺ μυωπάζων φῄς, φρεναπατώμενος. Ἀλλ' ὅμως ἐρῶ σοι, Πόθεν ὁ ἀγαπητός μου Κύριος Ἰησοῦς Χριστὸς ἐβλάστησε; Λέγει τοίνυν ὁ Θεὸς περὶ αὐτοῦ· *Ἐκ*
B *γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.* Καὶ ἵνα μὴ εἴπῃς σὺ ὁ ἀσύνετος, ὅτι λόγῳ ψιλῷ ἐῤῥέθη, ἐπήγαγεν· *Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται.* Ἵνα δὲ μὴ μετὰ ταῦτα εἴπῃς, ὅτι οὐκ ἔστιν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ, ἀντεπήγαγεν, ὅτι *Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.* Ὤμοσε, φησὶν, ὁ Θεὸς ἡμῶν, ὅτι ἐκ τῆς οὐσίας μου εἶ σύ. Ἔπειτα ἵνα μὴ εἴπῃς, Οὐδὲ ἱερωσύνη τοῦ Ἀαρὼν μετατίθεται, εἴρηκεν· *Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.* Ὅπως δὲ ἡ ἀνθρωπότης αὐτοῦ προέβη εἰς τὸν κόσμον, ὁ Ἡσαΐας λέγει· *Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ,* ὅ ἐστι μεθερμηνευόμενον, *Μεθ' ἡμῶν ὁ Θεός.* Ἐκεῖσε οὖν λέγει
C Δαβὶδ, πῶς γυμνῇ τῇ θεότητι, *Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.* Ἐνταῦθα δὲ Ἡσαΐας περὶ τῆς κατὰ σάρκα γεννήσεως αὐτοῦ, πῶς ἐγεννήθη ἐκ τῆς Ἀειπαρθένου καὶ Θεοτόκου. Εἰ δὲ ἃ προλέγει Δαβὶδ, εἰς αὐτὸν ταῦτα μετάγεις, Δαβὶδ ἤ τις ἕτερος πρὸ ἑωσφόρου γεγέννηται; ἢ μόνος ὁ Δεσπότης μου, καὶ Θεός μου, καὶ Κύριος;

ΕΡΒΑΝ. Οἶδα ὅτι ὁ Χριστός σου ἐγεννήθη, ἀλλ' ὅτι πάντως ἐκ σπέρματος Ἰωσὴφ, παντί που δῆλον, ὥσπερ προείρηται.

Καὶ Ο ΑΓΙΟΣ. Μὴ σολοίκιζε. Οὐ γὰρ ἐκ σπέρματος Ἰωσὴφ, ὡς σὺ νομίζεις, ἀλλ' ἐκ Πνεύματος ἁγίου γεγέννηται. Λελάληκε γὰρ περὶ αὐτοῦ ὁ προφήτης, καὶ ὑποδεικνύων ὅτι οὐκ ἐφθάρη παρὰ τοῦ
D Ἰωσὴφ ἡ Παρθένος, τάδε φησί· *Δοθήσεται τὸ ἐσφραγισμένον βιβλίον ἀνδρὶ εἰδότι γράμματα· καὶ ἐρεῖ ὁ ἀνὴρ, Οὐ δύναμαι ἀναγνῶναι· τὸ γὰρ βιβλίον ἐσφράγισται.* Τί τὸ βιβλίον τὸ ἐσφραγισμένον, ἀλλ' ἢ ἡ Παρθένος καὶ Θεοτόκος; Τίς ὁ ἀνήρ; Ἰωσὴφ ὁ τέκτων. Τί δὲ ὅτι καὶ γράμματα εἰδότι, τοῦτ' ἔστι γάμῳ ἐν ἄλλῃ γυναικὶ (26) προσομιλήσαντι, ἐφ' ᾗ γυναικὶ καὶ τέκνα ἐκέκτητο; Τί δὲ ὅτι οὐκ ἠδύνατο ἀναγνῶναι τὴν θείαν δέλτον, τὸ βιβλίον; τοῦτ' ἔστιν, οὐκ ἠδύνατο συγγενέσθαι μετ' αὐτῆς, θεόθεν κατανοήσας, ὅτι τῷ Κυρίῳ Ἰησοῦ ἐστιν

[35] Psal. CIX, 3. [36] ibid. [37] ibid. 4. [38] ibid. [39] Isa. VII, 14. [40] Isa. XXIX, 11.

NOTÆ.

(26) *Γάμῳ ἐν ἄλλῃ γυν.* Nota hunc locum non probari omnibus orthodoxis.

ἐγκεκλεισμένη τε καὶ τηρουμένη ἐν ἀφθαρσίᾳ, ὅπως ἐκ Πνεύματος ἁγίου σαρκοφόρος ὁ Θεὸς, καὶ βροτὸς τὸ κατ' οὐσίαν γεννηθεὶς ἐξ αὐτῆς.

ΕΡΒΑΝ. Ὅτι πλεῖστα κατεμελέτησας πάντως, ἵνα ταῦτα ἐξεύρῃς· ἄνθρωπον δὲ ἅπαξ ἡ Μαρία γεγέννηκε, καὶ οὐ Θεόν. Ποίῳ τρόπῳ σὺ Θεὸν ἐπονομάζεις, τὸν ἐκ Μαρίας γεννηθέντα;

Καὶ Ο ΑΓΙΟΣ. Θεὸν καὶ ἄνθρωπον τὸν αὐτὸν ἀξίως γεγέννηκεν.

ΕΡΒΑΝ. Καὶ πῶς ἐχώρησεν ἡ μήτρα τῆς γυναικὸς τὸ φοβερὸν μέγεθος τῆς θεότητος;

Καὶ Ο ΑΓΙΟΣ. Ὡς οὐ κατέφλεξεν τὴν βάτον ἐν τῇ ἐρήμῳ τὸ πῦρ· καὶ πρὸς τούτοις Παρθένος ἐγέννησε, καὶ μετὰ τόκον, πάλιν Παρθένος διέμεινεν.

B ΕΡΒΑΝ. Λοιπὸν ἐν φαντασίᾳ καὶ δοκήσει ἐξ αὐτῆς ἐγεννήθη, καὶ οὐκ ἀληθείᾳ· ἀδύνατον γὰρ τοῦτο, καὶ παντάπασιν ἄπιστον.

Καὶ Ο ΑΓΙΟΣ. Ἐν ταῖς ἡμέραις ἐκείναις πῶς εἰσῆλθεν Ἀββακοὺμ πρὸς Δανιὴλ ἐν τῷ λάκκῳ τῶν λεόντων, τῆς θύρας τοῦ λάκκου δεσμοῖς καὶ σφραγῖσιν περιεσφιγμένης; Ἀπάγγειλον δή μοι πῶς εἰσῆλθεν ἐκεῖνος, καὶ ἐξῆλθε, καὶ οὔτε τὴν θύραν ἀνέῳξεν, οὔτε τὰς σφραγῖδας ἐλυμήνατο.

ΕΡΒΑΝ. Ἐξ ἑτοίμου τὰς ἀντιῤῥήσεις ἐξεῦρες ὡς οὐδεὶς (27) ἕτερος· πλὴν, τὸ βιοθάνατον γεγονέναι τὸν Χριστόν σου, σκανδαλίζει τὸ πνεῦμά μου.

Καὶ Ο ΑΓΙΟΣ. Ἀγνοῶν τὸ τοῦ πάθους τοῦ θανάτου αὐτοῦ θεῖον μυστήριον, εἰκότως σκανδαλίζῃ.
C Ἄκουσον δὲ τίνα ὁ Προφήτης λέγει ἐν πρώτοις περὶ τοῦ προδότου Ἰούδα· *Ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.* Καὶ μετέπειτα λέγει περὶ αὐτοῦ, *Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ, καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ· καθότι οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ.* Καὶ περὶ τῶν Γραμματέων καὶ ἀρχιερέων, καὶ τῆς κατὰ τοῦ Κυρίου βουλῆς αὐτῶν, λέγει· *Κατ' ἐμοῦ ἐψιθύρισαν πάντες οἱ ἐχθροί μοι, κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι· λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ· καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου.* Καὶ ἐν ἑτέρῳ λέγει ὁ Ἡσαΐας, ἐκ προσώπου ὑμῶν
D τῶν ἀσεβῶν· *Ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν.* Καὶ περὶ τοῦ τιμήματος αὐτοῦ φάσκει Ἱερεμίας, ὅπερ τίμημα ἐδώκατε Ἰούδᾳ τῷ προδότῃ, μισθοῦ ἕνεκα μιαιφονίας· *Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραὴλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι Κύριος.* Καὶ περὶ τῆς προδοσίας αὐτοῦ λέγει· *Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ, κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.*

A rupta et integra, ut de Spiritu sancto Deus carnem ferens, et mortalis hic secundum essentiam ex ipsa nasceretur.

HERB. Jam prædixi te quam plurima prorsus præmeditatum esse, ut hæc excogitares: hominem autem duntaxat Maria peperit, et non Deum. Quonam igitur modo tu illum Deum nominas, qui ex Maria natus est?

S. ARCH. Deum et hominem eumdem digne genuit.

HERB. Et quomodo mulieris uterus horrendam illam deitatis majestatem capere potuit?

S. ARCH. Quemadmodum ignis rubum in deserto non combussit: sic præterea Virgo peperit, et post partum rursus virgo permansit.

HERB. Cæterum visione sive imaginatione et opinione, non veritate, ex ipsa natus est: neque hoc fieri potest, quod prorsus est incredibile.

S. ARCH. In diebus illis quomodo Habacuc ad Danielem ingressus est in leonum lacum sive foveam, ostio speluncæ vinculis et sigillis obserato? Narra mihi quomodo ingressus est et egressus, neque ostium aperuit, neque sigilla et seras effregit.

HERB. In promptu contradictiones excogitasti quas nullus alius: verumtamen quod violenta morte tuus Christus periit, hoc meum spiritum vehementer scandalizat et offendit.

S. ARCH. Ignorans perpessionis et mortis hujus divinum mysterium, merito offenderis. Audi in primis quæ Propheta de Juda proditore **613** dicit: *Qui edebat panes meos, magnificavit in me supplantationem* [41]. Et postea dicit de eo: *Et induit maledictionem sicut vestimentum, et intravit sicut aqua in viscera ejus, et sicut oleum in ossibus ejus. Quia noluit benedictionem, et elongabitur ab eo* [42]. Atque item de Scribis et sacerdotum principibus, et de ipsorum contra Dominum consilio, dicit: *Contra me murmurarunt omnes inimici mei. Contra me cogitabant mala mihi. Verbum nefarium contra me posuerunt* [43]. *Et posuerunt contra me mala pro bonis, et odium pro dilectione mea* [44]. Et alio in loco dicit Isaias sub persona vestra qui estis impii: *Insidiemur justo quoniam inutilis est nobis* [45]. Et de pretio ejus dicit Jeremias, quod pretium dedistis Judæ proditori pro mercede cædis: *Et acceperunt triginta argenteos, pretium ipsius æstimati, quem æstimaverunt a filiis Israelis: et impenderunt eos in agrum figuli, sicut præcepit mihi Dominus* [46]. Et de proditione ejus dicit: *Quare fremuerunt gentes, et populi meditati sunt inania? Astiterunt reges terræ, et principes convenerunt in unum adversus Dominum, et adversus Christum ejus* [47].

[41] Psal. XL, 10. [42] Psal. CVIII, 18. [43] Psal. XL, 8, 9. [44] Psal. CVIII, 5. [45] Sap. II, 12. [46] Zach. XI, 12; Matth. XXVII, 9. [47] Psal. II, 1, 2.

NOTÆ.

(27) *Ὡς οὐδ.* Forte ἃς οὐδ. GULON.

HERB. Nos gentes sicut populi fortasse nominati A sumus : sed reges quam ob causam vocati sumus?

S. ARCH. Nonne Deus Abrahamo locutus est, dicens : *Faciam te in gentem magnam et multam* [48]? Ex eo gentes etiam vos nuncupamini. Nunquid etiam dixit Moses ad Deum : *Quod glorificabor ego et hic populus supra omnes gentes* [49]? Ac postea quidem : *Cognoscam*, inquit, *quod populus tuus gens hæc, et populus et gens* [50]. Hoc autem, *Astiterunt reges terræ, et principes convenerunt in unum adversus Christum ejus.* Ut regale quidem sacerdotium appellati estis a Mose [51], reges : ut autem primi electi supra omnes gentes, principes. Coistis enim adversus Dominum quidem, ut Deum et Servatorem : adversus vero Christum, ut hominem verum; siquidem Deus erat, et homo natus erat. Quod si B vis verius et explanatius intelligere, Herodes et Pilatus astiterunt, et Annas et Caiphas cum cæteris, adversus Dominum, et adversus Christum ejus. Ut autem confirmeris, quod ejusmodi adversus Deum fremuerunt, remunerationem ipsorum a Deo, et id quod ipsis hujus fremitus causa retributum ac repensum fuit, subjungens deinde Propheta dicit : *Qui habitat in cœlis, irridebit eos, et Dominus subsannabit eos. Tunc loquetur ad eos in ira sua, et in furore suo turbabit eos* [52]. Vides Dei et Patris adversus eos qui ipsum cruci confixerunt, indignationem? Quod autem falsum testimonium in eum dicebant, affirmat : *Quid insurrexerunt in me testes iniqui, et mentita est iniquitas sibi* [53]. Et quod flagris ceciderunt C ipsum, et colaphos ei impegerunt, et eumdem conspuerunt, testatur suo vaticinio propheta Isaias : *Dorsum meum dedi ad flagella, et genas ad colaphos : faciem meam non averti a fœditate sputorum* [54]. Et si dixeris ipsum præ insania et amentia hæc sustinuisse, non invenies. Quod vero ductus est, ut crucifigeretur, nihil contradicens, prædixit rursus Isaias : *Tanquam ovis ad occisionem ductus est : et sicut agnus coram tondente se mutus* (*sic non aperuit os* [55]). Quod autem ei illuserunt milites, eumque cruci panxerunt : et quod lux obscurata est, et sol tenebris repente obductus, et luna caligine offusa. Præterea quod acetum et fel potum dedistis, et vestimenta ejus partiti estis, prædixit David : **614** *Quoniam subsannaverunt me subsannatione :* D *frenduerunt super me dentibus suis. Domine, quando inspicies* [56]? Et Jeremias de cruce : *Venite, immittamus lignum in panem ejus, et eradamus ipsum e terra viventium, et nomen ejus non memoretur amplius* [57]. Et de iis qui eum probris afficiebant, cum in ligno penderet, David dicit : *Omnes qui videbant me, subsannaverunt me. Locuti sunt labiis, moverunt caput. Speravit in Domino, liberet ipsum : salvum faciat*

ΕΡΒΑΝ. Ἔθνος ἡμεῖς, οἷον λαοὶ ἴσως ὠνομάσθημεν. Βασιλεῖς δὲ δι' ἣν αἰτίαν κεκλήμεθα;

Καὶ Ο ΑΓΙΟΣ. Οὐ λελάληκεν ὁ Θεὸς τῷ Ἀβραὰμ, λέγων, *Ποιήσω σε εἰς ἔθνος μέγα καὶ πολύ*; Ἐκ τούτου ἔθνος καὶ ὑμεῖς προσαγορεύεσθε. Καὶ Μωσῆς δὲ οὐκ εἶπεν πρὸς τὸν Θεὸν, *Ὅτι ἐνδοξασθήσομαι ἐγώ τε, καὶ ὁ λαὸς οὗτος παρὰ πάντα τὰ ἔθνη*; Καὶ μετέπειτα, *Καὶ γνώσομαι*, φησὶν, *ὅτι λαός σου τὸ ἔθνος τοῦτο, καὶ λαὸς, καὶ ἔθνος.* Τὸ δὲ, *Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.* Ὡς μὲν βασίλειον ἱεράτευμα προσαγορευθέντες παρὰ Μωσέως, βασιλεῖς· ὡς δὲ πρῶτον ἐκλεχθέντες παρὰ πάντα τὰ ἔθνη, ἄρχοντες. Συνήχθητε μὲν (28) κατὰ τοῦ Κυρίου μὲν, ὡς Θεοῦ καὶ Σωτῆρος· κατὰ δὲ τοῦ Χριστοῦ, ὡς ἀνθρώπου ἀληθοῦς· ἐπειδὴ Θεὸς ἦν, καὶ ἄνθρωπος ἐγεγόνει. Εἰ δὲ βούλει τρανότερον συνιέναι· Ἡρώδης καὶ Πιλᾶτος παρέστησαν, καὶ Ἄννας καὶ Καϊάφας σὺν τοῖς λοιποῖς, κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. Ἵνα καὶ βεβαιωθῇς, ὅτι κατὰ τοῦ Θεοῦ ἐφρυάξαντο τοιοῦτοι, τὸ ἀνταπόδομα αὐτῶν τὸ παρὰ τοῦ Θεοῦ ἕνεκα τῆς φρυάξεως αὐτῶν ἀντινεμηθὲν αὐτοῖς, ἐπάγων μετέπειτα ὁ Προφήτης λέγει· *Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς. Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς.* Ὁρᾷς τὴν κατὰ τῶν σταυρωσάντων αὐτὸν τοῦ Θεοῦ καὶ Πατρὸς ἀγανάκτησιν; Ὅτι δὲ καὶ ἐψευδομαρτύρουν κατ' αὐτοῦ, λέγει, *Ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.* Ὅτι ἐμαστίγωσαν αὐτὸν, καὶ ἐῤῥάπισαν, καὶ ἐνέπτυσαν, προφητεύει ὁ Ἡσαΐας· *Τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα· τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων.* Καὶ ἐὰν εἴπῃς, ὅτι ἐξ ἀφροσύνης ταῦτα ὑπομεμένηκεν, οὐχ εὑρήσεις. Ὅτι δὲ ἤγετο εἰς τὸ σταυρωθῆναι μηδὲν ἀντιλέγων, εἶπε καὶ πάλιν Ἡσαΐας· *Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος* (29). Ὅτι δὲ ἐνέπαιξαν αὐτὸν οἱ στρατιῶται, καὶ ἐσταύρωσαν· καὶ συνεσκότασε τὸ φῶς καὶ ὁ ἥλιος, καὶ ἡ σελήνη ζόφῳ περιεβάλετο· ὄξος τε καὶ χολὴν ἐποτίσατε αὐτὸν, καὶ τὰ ἱμάτια αὐτοῦ διεμερίσασθε, προεῖπεν ὁ Δαβίδ· *Ὅτι ἐξεμυκτήρισάν με μυκτηρισμῷ, ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν. Κύριε, πότε ἐπόψει*; Καὶ ὁ Ἱερεμίας περὶ τοῦ σταυροῦ, *Δεῦτε, καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ, καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων, καὶ τὸ ὄνομα αὐτοῦ οὐ μὴ μνησθῇ ἔτι.* Καὶ περὶ τῶν ὀνειδιζόντων αὐτὸν, ὅτε ἐκρέματο ἐπὶ ξύλου, Δαβὶδ λέγει,

[48] Gen. XVII, 6. [49] Exod. XXXIII, 16 sec. LXX. [50] ibid. 13. [51] Exod. XIX, 6. [52] Psal. II, 4. [53] Psal. XXVI, 12. [54] Isa. L, 6. [55] Isa. LIII, 7. [56] Psal. XXXIV, 16. [57] Jerem. XI, 19.

NOTÆ.

(28) *Συνήχ. μέν.* Forte συνήχ. γάρ, ob sequens μέν.

(29) *Ἄφωνος.* Sequentia desunt, οὕτως οὐκ ἀνοίγει τὸ στόμα. GULON.

Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με· ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν· Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν· σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν. Καὶ περὶ τῶν ἥλων, ὧν ἥλωσαν εἰς τοὺς πόδας καὶ τὰς χεῖρας αὐτοῦ, ὅτε ἐκρέμασαν, τοῦ λαοῦ κύκλῳ τῆς Ἱερουσαλὴμ ἑστῶτος καὶ θεωροῦντος, φησὶ, *Περιεκύκλωσάν με κύνες πολλοί.* Ὅτι καὶ ἐκ τῆς συναγωγῆς ἦσαν τῆς κεκρατημένης (30), τῆς ἐξ ὑμῶν, ἄκουσον, *Συναγωγὴ πονηρευομένων περιέσχον με.* Καὶ περὶ τῶν ἥλων, *Ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου.* Καὶ περὶ τοῦ μερισμοῦ τῶν ἱματίων αὐτοῦ, *Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.* Καὶ περὶ τοῦ ὄξους, οὗ ἐποτίσθη, καὶ τῆς χολῆς, *Ἔδωσαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.* Καὶ περὶ τοῦ σκοτασμοῦ τῆς ἡμέρας, Ἀμμὼς ὁ προφήτης ᾐνίξατο· *Δύσεται ὁ ἥλιος μεσημβρίας,* εἰπὼν, *καὶ συσκοτάσει ἐπὶ τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς.* Ὅτι τελευτήσει ἐπὶ σταυροῦ, Ἡσαΐας λέγει· *Ὃν τρόπον ἐκστήσονται ἐπὶ σὲ πολλοί·* σημεῖά σε πρὸ τοῦ πάθους ὁρῶντες τελοῦντα· *οὕτως ἀδοξήσει ἐξ ἀνθρώπων τὸ εἶδός σου, καὶ ἔθνη πολλὰ θαυμάσονται ἐπὶ σέ· εἴδομεν* γὰρ *αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, οὔτε δόξαν, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον τὸ εἶδος αὐτοῦ ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων.* Ὅτι δὲ ἐκεντήθη τὴν πλευρὰν τῇ λόγχῃ, λέγει· *Ἄνθρωπος ἐν πληγῇ ὢν, καὶ εἰδὼς φέρειν μαλακίαν.* Ὅτι ἀπέστρεπτο (31) τὸ πρόσωπον αὐτοῦ, *Ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη.* Ἵνα δείξῃ ὁ προφήτης, ὅτι ἔκειτο αὐτὸν παθεῖν, οὐ δι' ἑαυτὸν (οὐδὲ γὰρ ἐκέκτητο αὐτὸς ἁμαρτίαν), ἀλλὰ διὰ τὰ ἡμέτερα ἁμαρτήματα, ἐπάγει λέγων· *Αὐτὸς τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ ὑπὲρ ἡμῶν ὀδυνᾶται, καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν ἐν πόνῳ καὶ πληγῇ καὶ ἐν κακώσει ὑπὸ Θεοῦ. Αὐτὸς δὲ διὰ τὰς ἁμαρτίας ἡμῶν πάσχει, ἐτραυματίσθη, καὶ μεμαλάκισται.* Προσέχεις οὖν, ὦ Ἑρβᾶν Ἰουδαῖε, τί λέγει Ἡσαΐας ὁ προφήτης περὶ τῶν παθῶν τοῦ Χριστοῦ, καὶ δι' ἣν αἰτίαν πέπονθε. Καὶ αὐτὸς λέγεις, ὅτι Ἐφ' ᾧ ἔπαθε σκανδαλίζομαι μᾶλλον τῷ πνεύματι. Ὁρᾷς ὅτι [διὰ] τὰς ἁμαρτίας ἡμῶν, ἤτοι τοῦ κόσμου, παρεδόθη εἰς θάνατον. Ἐνωτίσθητι καὶ τὸ ἑξῆς· *Παιδεία* γὰρ, φησὶν, *εἰρήνη ἡμῶν ἐπ' αὐτῷ·* τοῦτ' ἔστι, Πταισάντων ἡμῶν ἐπαιδεύθη ἐκεῖνος, ἵνα ἡμᾶς καταλλάξῃ τὴν ἔχθραν τῷ Πατρὶ, τὴν ἔχθραν τῆς παραβάσεως ἀποκτείνας ἐν τοῖς ἑαυτοῦ παθήμασιν, ὅπως τὸ λοιπὸν εἰρήνην ἔχωμεν πρὸς Θεόν. Ἄκουσον τοίνυν τοῦ προφήτου, ὦ Ἑρβᾶν, καὶ πείσθητι, *Τῷ μώλωπι αὐτοῦ,* λέγοντος, *ἡμεῖς πάντες ἰάθημεν.* Ὁ γὰρ Κύριος ἡμῶν παρέδωκεν ἑαυτὸν εἰς θάνατον ταῖς ἁμαρτίαις ἡμῶν. *Ἀπὸ τῶν ἀνομιῶν μου* (32), φη-

A *ipsum, quia vult eum* [58]. De clavis quibus defixerunt pedes et manus ejus, cum suspenderunt, populo Hierosolymitano circumstante et spectante, ait : *Circumdederunt me canes multi* [59]. Quod autem ex vestra synagoga fuerunt, quæ afflicta et prostrata est, audi : *Concilium malignantium obsedit me* [60]. Et de clavis : *Foderunt manus meas et pedes meos, dinumeraverunt omnia ossa mea* [61]. Et de partitione vestimentorum ejus : *Partiti sunt sibi vestimenta mea, et super vestem meam miserunt sortem* [62]. Et de aceto quo potus fuit, et felle : *Dederunt in escam meam fel, et in siti mea potaverunt me aceto* [63]. Et de obtenebratione diei, Amos propheta ænigmate quodam dixit : *Occidet sol in meridie, simul etiam in terra per diem lux obtenebrascet* [64]. B Quod in cruce moriturus esset, Isaias dicit : *Quemadmodum obstupescent super te multi*, signa te ante passionem videntes facientem : *Sic dedecorabitur ab hominibus tua species : et gentes multæ admirabuntur super te* [65]. *Vidimus eum, et non habebat speciem, neque pulchritudinem, neque gloriam : sed species ejus spreta et contempta, relinquens speciem suam a filiis hominum* [66]. Quod vero latus lancea perfossum habuit, dicit : *Homo qui plagam ferat, et qui scivit ferre languorem.* Quod aversa erat facies ejus : *Contemptus fuit, et non reputatus.* Ut ostenderet propheta, quod incumbebat ipsum pati, non propter se ipsum (non enim habuit ipse peccatum), sed propter nostra peccata, subjungit, di- C cens : *Ipse bajulat nostra peccata, et pro nobis dolore cruciatur : et nos reputavimus ipsum in labore et vulnere, et in afflictione a Deo. Ipse autem propter peccata nostra patitur, vulneratus est, et attritus elanguit* [67]. Intelligis igitur, o Herbane Judæe, quid Isaias propheta dicit de Christi cruciatibus et passionibus, et quam ob causam passus est. Interim dicis te offendi magis spiritu, et scandalo affici, quod Christus perpessus est. Vides quod propter nostra peccata, sive mundi, traditus est ad mortem. Auribus percipe quod deinceps sequitur : *Disciplina enim,* inquit, *pax nostra in ipso :* id est, Peccantibus nobis correptus est ille, ut nos inimicos reconciliaret Patri, inimicitiam ob transgressionem conflatam destruens in suis passionibus, ut postea pacem habea- D mus cum Deo. Audi igitur, o Herbane, prophetam dicentem et crede : *Livore ejus omnes sanati sumus* [68]. Nam Dominus noster se ipsum in mortem dedit peccatis nostris. *Ab iniquitatibus meis*, ait, *venit ad mortem, et dabo improbos pro sepultura ejus, et eos qui injustitia abundant pro morte ejus* [69]. Et David dicit : *Qui non egit dolum in lingua sua, nec fecit proximo suo malum* [70]. Atque illi quidem videntes de ipso veritatem testati sunt; vos autem cæci, amentes, insipientes, improbi, stulti, perfidi,

[58] Psal. XXI, 8, 9. [59] ibid. 17. [60] ibid. [61] ibid. [62] ibid. 19. [63] Psal. LXVIII, 22. [64] Amos. VIII, 9. [65] Isa. LII, 14, 15. [66] Isa. LIII, 2, 3. [67] ibid. 4, 5. [68] ibid. 5. [69] ibid. 8, 9. [70] Psal. XIV, 3.

NOTÆ.

(30) *Κεκρατημένης*. Vet. cod. κατηραμένης. Melius, de synagoga detestabili. GULON.

(31) *Ἀπέστρ.* οὐκ ἀπέστρ. ID.

(32) *Ἀπὸ τῶν ἀνομιῶν μου*. Hujus loci hiatum

615 increduli, mutili, fermentati, obtenebrati, ei A dixistis : *Dæmonium habes* [71] ; et sublatis lapidibus insequebamini eum a tergo, dicentes : *De bono opere non lapidamus te, (sed de blasphemia, et) quia tu homo cum sis, facis te ipsum Deum* [72]. O vestram miseriam ! miserabiliores estis omnibus hominibus. Verumtamen mentem adhibe his quæ dicuntur : *Non est*, inquit, *inventus dolus in ore ejus* [73]. Hoc dicit Pater et Deus per os prophetæ de unigenito Filio suo, quia passus est, cum esset ipse innocens, et peccati expers : *Dabo ipsi eos qui divitiis iniquitatum abundant, in salutem* [74] ; qui sunt publicani, fornicatores, et peccatores, et crediderunt nomini ejus. Et pro eo quod sepeliri suscepit, sicut filii hominum, *Filius meus dilectus et charissimus*, pro B generis humani salute : *Dabo ei omnes gentes, quæ in idolorum perversitate impioque cultu frustra occupantur; et credent in ipsum, et regno cœlorum dignæ judicabuntur*. Mercedem, inquit, his præbebo ipsum, pro eo quod passus est peccati exsors et innocens meus Filius, et pro iis veterem supplantatorem ejusque potentiam vicit. Hæc omnia, o Herbane, sic se habent : atque tu ipse melius scis hæc ita esse : sed sciens volensque veritatem negas, neque vis ad id quod conducit et expedit, venire.

σίν, *ἥκει εἰς θάνατον, καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς ἐν πλεονασμῷ ἀδικιῶν ἀντὶ τοῦ θανάτου αὐτοῦ*. Καὶ ὁ Δαβὶδ φάσκει· *Ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ, καὶ οὐκ ἐποίησε τῷ πλησίον αὐτοῦ κακόν*. Καὶ οὗτοι μὲν οἱ βλέποντες τὴν περὶ αὐτοῦ ἀλήθειαν ἐμαρτύρησαν· ὑμεῖς δὲ οἱ τυφλοί, οἱ ἄφρονες, οἱ ἀνόητοι, οἱ κακότροποι, οἱ μωροί, οἱ ἄπιστοι, οἱ λωβοί, οἱ πεφυρμένοι καὶ ἐσκοτισμένοι, ἐλέγετε πρὸς αὐτόν, *Δαιμόνιον ἔχεις*· καὶ ἄραντες λίθους, κατεδιώκετε ὀπίσω αὐτοῦ, φάσκοντες, *Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλ' ὅτι* (33) *σὺ ἄνθρωπος ὤν, ποιεῖς σεαυτὸν Θεόν*. Ὦ τῆς ὑμῶν ἀθλιότητος, ἐλεεινότεροι πάντων ἀνθρώπων! Ὅμως πρόσεχε τοῖς λεγομένοις· *Οὐχ εὑρέθη*, φησί, *δόλος ἐν τῷ στόματι αὐτοῦ*. Τοῦτο λέγει ὁ Πατὴρ καὶ Θεὸς διὰ στόματος τοῦ προφήτου, περὶ τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, ἀνθ' ὅσων ἔπαθεν ἀναμάρτητος ὤν· *Δώσω αὐτῷ τοὺς ἐν πλούτῳ ἀδικιῶν, εἰς σωτηρίαν*· οἵτινές εἰσι τελῶναι, καὶ πόρνοι, καὶ ἁμαρτωλοί, καὶ πεπιστεύκασι τῷ ὀνόματι αὐτοῦ. Καὶ ἀνθ' ὅτου κατεδέξατο ταφῆναι ὡς υἱοὶ τῶν ἀνθρώπων, *ὁ Υἱός μου ὁ ἀγαπητός τε καὶ φίλτατος*, διὰ τὴν σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων. *Δώσω οὖν αὐτῷ πάντα τὰ ἔθνη, ἅτινά εἰσιν ἐν πονηρίᾳ εἰδώλων ματαιούμενα καὶ πιστεύουσι εἰς αὐτόν, καὶ τῆς βασιλείας τῶν οὐρανῶν καταξιωθήσονται*. Μισθόν, φησί, τούτοις παρέξω αὐτόν, ἀνθ' ὅσων ἔπαθεν ἀναμάρτητος ὢν ὁ Υἱός μου, καὶ ἀντ' αὐτῶν νενίκηκε τὸν παλαιὸν πτερνιστὴν καὶ τὴν δύναμιν αὐτοῦ. Ταῦτα ἅπαντα, ὦ Ἑρβᾶν, οὕτως ἔχει, καὶ αὐτὸς κάλλιον ἐπίστασαι, ὅτι οὕτως ἔχει· ἀλλ' ἐθελοντὶ ἀρνῇ τὴν ἀλήθειαν, καὶ οὐ βούλει ἐλθεῖν ἐπὶ τὸ συμφέρον.

His omnibus auditis, Herbanus exanimatus fuit, C et in multam horam mutus stabat, ut qui non posset quidquam respondere et se tueri. Judæorum autem turba stans et audiens erat attonita : cognoscentes quod vocibus et vaticiniis Isaiæ se ipsos convictos condemnaverat. Christiani vero pontificem sive sacerdotum antistitem et principem laudibus ornabant. Nec non rex cum magnatibus valde gaudebat, audiens quæ nunquam tam pure et diserte ab ullo antea audierat.

Ἐξέστη οὖν Ἑρβᾶν τούτων πάντων ἀκούσας, καὶ ἐπὶ πολλὴν ὥραν ἐννεὸς ἵστατο, μὴ δυνάμενός τι ἀπολογήσασθαι. Τὸ δὲ πλῆθος τῶν Ἰουδαίων τὸ ἑστὼς καὶ ἀκοῦον κατεπλήττοντο, γινώσκοντες ὅτι ἀπὸ τῶν φωνῶν Ἡσαΐου ἑαυτοὺς κατεδίκασεν. Οἱ δὲ Χριστιανοὶ ἐπαίνοις ἔστεφον τὸν ἀρχιερέα, καὶ ὁ βασιλεὺς σὺν τοῖς μεγιστᾶσιν ἔχαιρε σφόδρα, ἀκούων ἃ μηδέποτε καθαρῶς οὕτως ἀκήκοε παρά τινος.

HERB. Disputationis tuæ vertigine attonitus, nihil jam efficere queo, et in ejusmodi rebus mea mens et cogitatio nunc huc nunc illuc distracta dividitur. Nam cum Mosem audio, imo vero Deum ipsum per hunc loquentem : *Audi, Israel, Dominus* D *Deus tuus, Dominus unus est, et præter ipsum non est deus alius* [75]; deinde : *Dominum Deum tuum adorabis, et ei soli servies* [76]; hic contra audiens Davidem et Isaiam de hoc qui putatur Christus, in veritate loquentes; quid agam, aut quo me vertam, nescio.

ΕΡΒΑΝ. Ἰλιγγιῶ τί διαπράξασθαι, καὶ μερίζεταί μου ἡ διάνοια ἐν τοῖς τοιούτοις πράγμασιν. Ὅταν γὰρ ἀκούω Μωϋσέως λέγοντος, μᾶλλον δὲ αὐτοῦ τοῦ Θεοῦ, *Ἄκουε Ἰσραήλ, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι, καὶ πλὴν αὐτοῦ οὐκ ἔστιν ἄλλος Θεός*· καὶ ἔπειτα, *Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις*· ἐνταῦθα πάλιν τὸν Δαβίδ, καὶ τὸν Ἡσαΐαν φάσκοντας ἐν ἀληθείᾳ περὶ τοῦδε τοῦ νομιζομένου Χριστοῦ· τί διαπράξασθαι οὐκ ἐπίσταμαι.

S. ARCH. Ob eam igitur causam Isaias, sciens vestram lubricam inconstantiam, mentisque mutabilitatem, et in omnibus incredulitatem, iterum

Καὶ Ο ΑΓΙΟΣ. Διὰ τοῦτο τοιγαροῦν ὁ Ἡσαΐας πάλιν λελάληκεν, εἰδὼς ὑμῶν τὸ εὐόλισθόν τε καὶ ἄπιστον, κατὰ πάντα, φησί, *Κύριε, τίς ἐπίστευσε τῇ*

[71] Joan. VIII, 48. [72] Joan. X, 33. [73] Isa. LIII, 9; I Petr. II, 22. [74] Isa. LIII, 9. [75] Deut. VI, 4. [76] Ibid. 13.

NOTÆ.

non perspexit interpres. Leg. ex LXX, ἀπὸ τῶν ἀνομιῶν *τοῦ λαοῦ* μου. Ab iniquitatibus *populi mei*.

(33) *Ἀλλ' ὅτι*. Desunt ἀλλὰ περὶ βλασφημίας, καί. GULON.

ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; Οὐχ ἑτέροις, οἶμαι, ἀλλ' ἢ πᾶσι τοῖς ἔθνεσιν. Ἤδει γὰρ Ἡσαΐας τὴν ὑμῶν ἀπιστίαν. Καὶ διὰ τοῦτο καὶ ἑτέρωθι λέγει πρὸς τὴν ὑμῶν ἀναίδειαν· *Ἀκοῇ ἀκούσετε* (34), *καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε· ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μή ποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ νοήσωσι, καὶ ἀκούσωσι τοῖς ὠσί, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς.* Οὐκοῦν οὐκ ἔστι ταῦτα οὕτως; Εἰ γὰρ οἱ πατέρες ὑμῶν, νεκροὺς αὐτῶν ἐγείραντα, παραλύτους σφίγξαντα ἐθεάσαντο, καὶ ἕτερα τ' ἀπόρρητα ἐργαζόμενον· εἰ ταῦτα αὐτὸν τελοῦντα θεασάμενοι οὐκ ἐπίστευσαν, ὑμεῖς τὰ τῶν ἐχιδνῶν γεννήματα μηδὲν B τοιοῦτον θεασάμενοι, ἐξ ἀκοῆς μόνης ἕξετε εἰς αὐτὸν πιστεῦσαι; Οὐδαμῶς.

ΕΡΒΑΝ. Ἄκουσον, ὦ ἀρχιεπίσκοπε, τὰ μὲν ῥήματά σου ἀληθῆ τυγχάνουσιν ἤδη καὶ βέβαια· ἀπεριέργως γὰρ λέγεις, καὶ κατ' ἔπος τὰ ἐνδεχόμενα, καὶ οὐκ ἔστι δόλος ἐν τῷ στόματί σου. Οὐ γὰρ ἀπὸ τῶν σαυτοῦ διαλεγόμενος πεποίηκας (35) ἡμᾶς, ἀλλά γε ἀπὸ τῶν θείων Γραφῶν τοῦ νόμου. Διὰ τοῦτο ἄξιος εἶ πειθοῦς καὶ εἰσακούσεως. Πλὴν, διὰ τὸ ἐν πρώτοις τὸν ἡμέτερον νόμον δοθῆναι ἡμᾶς (36), καὶ ἔπειτα τὸν ὑμέτερον, δοκῶ τὸν ἐν πρώτοις δοθέντα, ἐπικρατέστερον εἶναι. Ἀναγκαῖον τοίνυν ἐστὶν, ἡμᾶς μὲν τηρεῖν τὸν ἡμέτερον, ὑμᾶς δὲ τὸν ὑμέτερον.

Καὶ Ο ΑΓΙΟΣ. Τοῦ Μωσέως λέγοντος, ὅτι· C *Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν, ὡς ἐμὲ*, τουτέστι, νομοθέτην· *Ἔσται οὖν πᾶσα ψυχὴ, ἥτις οὐκ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς.* Τούτου οὖν οὕτως λέγοντος, πρόδηλόν ἐστιν ὅτι μέχρι τοῦ ἐρχομένου προφήτου ἦν εὐαπόδεκτος ὁ νόμος. Παραγεγονότος δὲ τοῦ ζητουμένου, καὶ ἕτερον νόμον εἰσφέροντος, ἔδει λοιπὸν τὸν πρῶτον σιγῆσαι. Οὐκοῦν οὐκ ἔτι εὐδοκεῖ Κύριος ἐπὶ τῷ νόμῳ ὑμῶν, κἂν ὅλην τὴν ἡμέραν ἐργάζησθε αὐτόν.

ΕΡΒΑΝ. Καὶ λίαν εὐδοκεῖ ἐν αὐτῷ Κύριος, ἐπειδὴ λέγει διὰ τοῦ Προφήτου περὶ αὐτοῦ· *Ὁ νόμος Κυρίου ἄμωμος, ἐπιστρέφων ψυχὰς τοῦ συνιέναι τὸν Κύριον.* Πῶς οὐκ εὐδοκεῖ ἐν αὐτῷ Κύριος; D

Καὶ Ο ΑΓΙΟΣ. Πρῶτον νόησον περὶ τοῦ ποίου νόμου ὁ Προφήτης λελάληκεν· εἶθ' οὕτως τὸ κῦρος ἐπίστελλε, καὶ μὴ ἀπεντεῦθεν ἤδη τὰ γεγραμμένα περίστρεφε. Καὶ γὰρ οἱ προφῆται οὐ περὶ τῶν ἔμπροσθεν αὐτῶν ὑπαρξάντων πραγμάτων προεφήτευον, ἀλλὰ περὶ τῶν μελλόντων. Τοῦτο γὰρ εἰρηκὼς ὁ Προφήτης, περὶ τοῦ βραβευθέντος νόμου τοῖς ἔθνεσιν εἴρηκεν. *Ὁ νόμος* γάρ, φησὶ, *Κυρίου ἄμω-*

A dixit : *Domine, quis credidit auditui nostro? et brachium Domini cui revelatum* [77]? Non aliis, opinor, quam omnibus gentibus : sciebat enim Isaias vestram perfidiam et contumaciam. Ideoque alibi adversus vestram impudentiam dicit : *Auditu audietis, et non intelligetis; et videntes videbitis, et non perspicietis. Incrassatum est enim cor populi hujus, et auribus graviter audierunt, et oculos suos occluserunt, ne quando videant oculis, et cognoscant, et auribus audiant, et corde intelligant, et convertantur, et sanem eos* [78]. Nunquid hæc non ita sunt? Si enim patres vestri eum mortuos ipsorum ab inferis excitantem, paralyticos, id est, membris captos ac resolutos vincientem ac roborantem viderunt, et alia non enarrabilia operantem : si hæc ipsum perficientem spectantes, non in eum crediderunt; vos viperarum progenies, nihil tale conspicati, ex solo auditu in ipsum credere poteritis? Nequaquam.

HERB. Audi, o archiepiscope, tua verba sunt quidem vera et valida et firma; non enim affectate loqueris, et quæ ad verbum contingunt, neque

616 est dolus in ore tuo. Non enim ex tuis inventis disputando affecisti nos, sed ex divinis Scripturis legis : quapropter dignus es fide, attentione et docilitate. Verumtamen, quia primum nobis lex nostra data est, deinde vestra; puto legem primam datam potiorem esse et prævalere. Quare necesse est nos quidem servare nostram, vos vero vestram retinere ac tueri.

S. ARCH. Cum Moses dixerit : *Prophetam vobis suscitabit Dominus Deus vester, sicut me*, id est, legislatorem : *Omnis itaque anima quæ non audierit prophetam illum, exterminabitur e populo suo* [79]. Cum hæc, inquam, dixerit Moses; perspicuum est, quod, donec venerit propheta ille, lex est approbanda et rite servanda. Cum vero advenerit ille qui exspectatur et quæritur, et qui alteram legem allaturus est, primam legem silere oportet et abrogari. Non igitur amplius Dominus sibi placet in vestra lege, etiam si totum diem ipsam exercentes operemini.

HERB. Et valde quidem in ea sibi placet Dominus, quandoquidem de ipsa per Prophetam dicit : *Lex Domini inculpata*, id est, perfecta, et omni carens reprehensione, *convertens animas, ut intelligant Dominum* [80]. Quomodo igitur in ea non acquiescit, nec sibi placet Dominus?

S. ARCH. Primum cogita et intellige, qua de lege Propheta locutus est : deinde sic auctoritatem et firmamentum mitte, neque inde jam quæ scripta sunt, detorque. Etenim prophetæ non de præteritis et anteactis rebus vaticinabantur, sed de futuris. Hoc enim effatus Propheta, de lege quæ gentibus tanquam a brabeute, id est, a moderatore et arbitro certaminis et præmii judice (qui Christus est)

[77] Isa. LIII, 1. [78] Isa. VI, 9, 10. [79] Deut. XVIII, 15, 19. [80] Psal. XVIII, 8.

NOTÆ.

(34) Ἀκούσετε. Scribe ἀκούσητε, et mox βλέψητε. GULON.

(35) Πεποίηκας. πέπεικας. GULON.

(36) Ἡμᾶς. Forte ἡμῖν. ID.

dispensata est et tradita, prædixit : *Lex*, inquit, *Domini immaculata, convertens animas*. Quas animas convertens, et unde, et quam in viam eas dirigens?

HERB. Eas animas quæ a lege deviæ aberrant, eadem lex dum explicatur, ocius convertit ad se ipsam, et per se ad Deum omnes deducit.

S. ARCH. Perturbate et inordinate falleris. Omnes enim vos a lege aberratis, adulteriis et in masculos furoribus : deinde cum legem singulis sabbatis legatis, sed temere et frustra, nulla interim vestrum anima revera ad Dominum convertitur. Quis enim vestrum legem implet? Nullus, ut opinor. Quocirca et Deus a vobis aversus est, et vos persecutus est, et dissipavit vos ad terræ terminos. Quam ob causam, cedo, ad quatuor cœli ventos dispersi estis, et apud omnes gentes estis tanquam maledictum et exsecratio?

HERB. Nimirum propter peccata nostra.

S. ARCH. Jam ego prædixi vobis, quod propter peccata vestra dispersi estis et ex terra promissionis exterminati : quomodo igitur dixisti, quod lex animas vestras ad gratiæ Domini captationem convertit? An vero Deus eos qui sibi placent, expellit, reprobat et dissipat? Vide, quomodo tua dicta infinitam calumniam continent.

HERB. Tu ipse edissere, quid caput declarat.

S. ARCH. Lex Domini est meus Jesus Christus, qui cum e cœlo descendit et homo factus est, multitudinem filiorum Israelis ad Patris bonitatem convertit, quos Christianos fieri edocuit, quorum primus Petrus, et cæteri. Nec hos solos, verum etiam ex omnibus gentibus millies decies mille, id est, infinitam turbam sancto suo Spiritu, per suos discipulos, ad sanctæ Trinitatis cognitionem convertit. Hic igitur tam inculpatus, et culpæ exsors fuit, ut de eo Isaias clamarit : *Et ipse peccatum non fecit, et dolus in ore ejus non est inventus*[81].

617 HERB. Propheta quidem virtutes ibidem enumerans, hæc locutus est : siquidem his addidit : *Testimonium Domini fidele, parvulos erudiens. Justificationes Domini rectæ, lætificantes cor : et præceptum Domini, et timor*[82], etc. Tu vero imposturis quibusdam et malitiosa interpretatione et vafritie, arteque acutissima, ad te ipsum trahis : directa siquidem lingua omnem sensum et notionem cogens, in tuum auxilium et commodum subtiliter et accurate detorquens.

S. ARCH. Non audis quid dicat Habacuc de his quæ dixisti, quod virtutes enumerans locutus est propheta. Erant enim hæ virtutes Dei et Christi mei, quas Habacuc propheta enumeravit : *Operuit cœlos virtus ejus, et intelligentiæ ejus plena est terra*[83].

[81] Isa. LIII, 9. [82] Psal. XVIII, 8, 9. [83] Habac. III, 3.

A *μος ἐπιστρέφων ψυχάς*. Ποίας ψυχὰς ἐπιστρέφων, καὶ ὅθεν, καὶ ποῦ ἄρα ὁδηγῶν αὐτάς;

ΕΡΒΑΝ. Τὰς πλανωμένας ἀπὸ τοῦ νόμου, ὁ αὐτὸς νόμος ἐν τῷ ἀναπτύσσεσθαι, θᾶττον ἐπιστρέφει πρὸς ἑαυτὸν, καὶ δι' ἑαυτοῦ πρὸς τὸν Θεὸν ὁδηγεῖ πάντας.

Καὶ Ο ΑΓΙΟΣ. Ἀτάκτως ἀπατᾷ· πάντες γὰρ ὑμεῖς πλανᾶσθε ἀπὸ τοῦ νόμου μοιχείαις καὶ ἀνδρομανίαις· εἶτα καθ' ἕκαστον Σάββατον ὑμῶν ἀναγινώσκοντες τὸν νόμον, ἀλλ' εἰκῇ καὶ μάτην· οὐδεμία γὰρ ψυχὴ ἀφ' ὑμῶν ἐπιστρέφεται πρὸς Κύριον ἐν ἀληθείᾳ. Τίς γὰρ ἐξ ὑμῶν ποιεῖ τὸν νόμον; Ὡς οἶμαι, οὐδείς. Διὰ τοῦτο καὶ ὁ Θεὸς ἀπεστράφη ὑμῶν, καὶ ἐξεδίωξεν ὑμᾶς, καὶ διεσκόρπισεν ὑμᾶς εἰς τὰ B πέρατα τῆς οἰκουμένης· δι' ἣν γὰρ αἰτίαν, εἰπέ μοι, διεσκορπίσθητε εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ, καὶ ἐστὲ ὡσεὶ κατάρα ἐν πᾶσι τοῖς ἔθνεσιν;

ΕΡΒΑΝ. Διὰ τὰς ἁμαρτίας ἡμῶν πρόδηλον.

Καὶ Ο ΑΓΙΟΣ. Καὶ ἐγὼ προεῖπον ὑμῖν, ὅτι διὰ ἁμαρτίας ὑμῶν ἐσκορπίσθητε, διωχθέντες ἀπὸ τῆς γῆς τῆς ἐπαγγελίας. Πῶς δὲ εἴρηκας, ὅτι ὁ νόμος ἐπιστρέφει πρὸς ἀρέσκειαν τοῦ Δεσπότου τὰς ψυχὰς ὑμῶν; Τοὺς ἀρέσκοντας οὖν αὐτῷ ὁ Θεὸς ἀπωθεῖται, καὶ διασκορπίζει; Ὅρα, πῶς ἃ λέγεις, διαβολὴν ἄπειρον κέκτηνται.

ΕΡΒΑΝ. Καὶ λέγε αὐτὸς σὺ, τί δηλοῖ τὸ κεφάλαιον.

Καὶ Ο ΑΓΙΟΣ. Νόμος Κυρίου πέφυκεν ὁ ἐμὸς Ἰησοῦς Χριστὸς, ὅστις καταβὰς ἐκ τοῦ οὐρανοῦ, C καὶ ἐνανθρωπήσας, πλῆθος υἱῶν Ἰσραὴλ ἐπέστρεψε πρὸς τὴν τοῦ Πατρὸς ἀγαθότητα, Χριστιανίζειν παιδεύσας, ὧν πρῶτος Πέτρος καὶ οἱ λοιποί. Οὐ μὴν ἀλλὰ καὶ ἀπὸ πάντων τῶν ἐθνῶν χιλιάδας καὶ μυριάδας ἐπέστρεψε τῷ Πνεύματι τῷ ἁγίῳ αὐτοῦ, διὰ τῶν μαθητῶν αὐτοῦ, πρὸς τὴν τῆς ἁγίας Τριάδος ἐπίγνωσιν. Τηλικοῦτος δὲ ἦν ἄμωμος, ὅτι κέκραγεν Ἡσαΐας περὶ αὐτοῦ· *Καὶ αὐτὸς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.*

ΕΡΒΑΝ. Ὁ μὲν Προφήτης ἀρετὰς ἐνταῦθα ἐπαριθμήσας, τάδε λελάληκεν· ἐπειδὴ προσέθηκε τούτοις τὸ, *Ἡ μαρτυρία Κυρίου πιστὴ, σοφίζουσα νήπια· τὰ δικαιώματα Κυρίου εὐθέα, εὐφραίνοντα καρδίαν, καὶ ἡ ἐντολὴ Κυρίου καὶ ὁ φόβος*· D καὶ τὰ ἑξῆς. Σὺ δὲ πάντα μαγγανείαις τισὶ καὶ πανουργίαις, τέχνῃ τε ὀξυδερκεστάτῃ, πρὸς ἑαυτὸν ἐπισύρεις· εὐθείᾳ γὰρ γλώττῃ ἐπισυνάγων τρεπτικῶς ἅπαν νόημα εἰς τὴν σεαυτοῦ βοήθειαν.

Καὶ Ο ΑΓΙΟΣ. Οὐκ ἀκούεις τί λέγει ὁ Ἀββακοὺμ περὶ ὧν εἴρηκας, ὅτι ἀρετὰς ἐπαριθμήσας (37) λελάληκεν. Αἱ γὰρ ἀρεταὶ τοῦ Θεοῦ καὶ Χριστοῦ μου ἦσαν, ἃς ἐπηρίθμησε καὶ ὁ Ἀββακοὺμ, ὅτι *Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ πλήρης ἡ γῆ.*

NOTÆ.

(37) Ἐπαριθ. Ἀπαριθ. GULON.

ΕΡΒΑΝ. Περὶ τοῦ Θεοῦ τοῦ νόμου τοῦτο εἴρηκεν πάντως. Τίς γὰρ καὶ ἴσος τούτου ἐν ἀρεταῖς;

Καὶ Ο ΑΓΙΟΣ. Μή τίς σε πεπλάνηκεν, ὅτι ὁ Λόγος τοῦ Θεοῦ, ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ, οὐκ ἐχρημάτιζε Θεὸς τοῦ νόμου; μηθέν σοι πρὸς ταῦτα, μαύζηρε (38). Ὁ γὰρ ἐμὸς Κύριος, καὶ τοῦ καθ' ὑμᾶς νόμου Κύριός ἐστι, καὶ τῆς νέας χάριτος Θεὸς καὶ βασιλεύς. Λέγει γὰρ ὁ Ἀββακοὺμ, *Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει, καὶ ὁ Ἅγιος ἐξ ὄρους κατασκίου δασέος.*

ΕΡΒΑΝ. Τὸ Θαιμὰν, τί δηλοῖ; τό τε ὄρος τὸ κατάσκιον, τί διαγορεύει;

Καὶ Ο ΑΓΙΟΣ. Τὸ μὲν Θαιμὰν, ἐκ τῶν ἄνω δηλοῖ αὐτὸν ἥκειν, ἤτοι ἐκ τοῦ οὐρανοῦ, τοῦτ' ἔστι, τῆς ἀνατολῆς. Ἡ δὲ ἀλήθεια δείκνυσιν, ὅτι ἐκ τοῦ παρθενικοῦ σώματος φάσκει αὐτὸν ἕξειν τὴν ἐνανθρώπησιν, καθὼς καὶ παρεγένετο, καὶ ἐκ τῆς ἁγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Ὄρος δὲ κατάσκιον, αὕτη ἡ Παρθένος ἐστὶν, ἐξ ἧς καὶ προῆλθεν ἀφράστως σαρκωθείς. Ὄρος δὲ αὐτὴν λέγει, διὰ τὸ, ὡς ἐν τῷ Σινᾷ ὄρει, παραπλησίως καταβεβηκέναι ἐν αὐτῇ τὸν Θεὸν, καὶ κατασκηνῶσαι, εἴτε καὶ διὰ τὸ ἀδιόδευτον τῆς παρθενίας· ἐπειδὴ τὸ δάσος τῶν ὀρέων δύσβατόν ἐστιν, ἢ καὶ παντελῶς ἀδιόδευτον. Κατάσκιον δὲ αὐτὴν ἐμφαίνει, διὰ τὸ συσκιάζειν ἐν αὐτῇ τῷ πλήθει τῶν ἀρετῶν τὸ μυστήριον τῆς αὐτῆς παρθενίας· πρὸς τὸ μὴ διαγινώσκεσθαι ποίῳ τρόπῳ γεγέννηκεν αὕτη. Παρθένος γὰρ ἔτεκε, καὶ μετὰ τόκον παρθένος σῶα πάλιν διέμεινεν.

ΕΡΒΑΝ. Οὐ περὶ Χριστοῦ τοῦτό φησιν, ἀλλ' οὔτε περὶ ἧς αὐτὸς ἀπηριθμήσω Παρθένου, ἀλλά γε περὶ τοῦ Θεοῦ τοῦ νόμου, τοῦ ἐν τῷ ὄρει Σινᾷ τῷ Μωϋσῇ κατεμφανισθέντος. Εἰ γὰρ οὕτως ἦν, ἔδει αὐτὸν εἰπεῖν· Ὁ Χριστὸς ἀπὸ Θαιμὰν ἥξει, καὶ οὐχὶ ὁ Θεός. Θαιμὰν δὲ ἡμεῖς τὸν τόπον, ὅθεν ἀναπνεῖ ὁ νότος, προσαγορεύομεν.

Καὶ Ο ΑΓΙΟΣ. Θαιμὰν δὲ ἡμεῖς, ὅθεν προσκυνοῦμεν, τοῦτο προσαγορεύομεν. Κατὰ ἀνατολὰς γὰρ ἐδιδάχθημεν προσεύχεσθαι, διότι ἐκεῖ εὑρίσκομεν τὸν Θεὸν πλάσαντα τὸν ἄνθρωπον, καὶ τὸν παράδεισον ποιήσαντα. Πρόδηλον οὖν ὅτι κἀκεῖνος ὁ τὰ πάντα πληρῶν, τοῖς ἐκεῖσε ἐναυλίζεται. Καὶ ὑμεῖς ὅθεν προσκυνεῖτε, Θαιμὰν τοῦτο προσαγορεύετε. Ἐπὶ τὴν δύσιν γὰρ ὑμεῖς προσκυνεῖτε· καὶ οὐδὲν ἀμφίβολον περὶ τούτου. Ἀνοίας γὰρ τὰ ῥήματα πέπληστο, ἃ σὺ παρεισάγεις, μὴ καλῶς γινώσκων τὰς προφητείας. *Ὁ Θεὸς*, εἴρηκεν, *ἀπὸ Θαιμὰν ἥξει, καὶ ὁ Ἅγιος ἐξ ὄρους*. Τίς ἐστιν ὁ Θεὸς, καὶ τίς ἐστιν ἅγιος, διήγησαί μοι.

ΕΡΒΑΝ. Θεὸς αὐτός ἐστι καὶ ἅγιος, δύο προσηγοριῶν κειμένων ἐν ἑνὶ πράγματι.

Καὶ Ο ΑΓΙΟΣ. Ποῖόν ἐστι μεῖζον, τὸ *Θεὸς*, ἢ τὸ *Ἅγιος*;

ΕΡΒΑΝ. Τὸ *Θεὸς* (39) μεῖζον ἢ τὸ Ἅγιος.

HERB. De Deo legis auctore dixit omnino. Quis enim huic æqualis est in virtutibus?

S. ARCH. Non quis te seduxit, quod Verbum Dei (id est, Filius) qui de cœlis descendit, non fuit Deus legis? Nihil tibi ad hæc, o stulte. Nam meus Dominus, et vestræ legis Dominus est, et novæ gratiæ Deus et Rex. Dicit enim Habacuc: *Deus a Thæman veniet, et Sanctus de monte obumbratæ densitatis*[84].

HERB. Thæman, quid significat? et mons (Pharan) obumbratus quid indicat?

S. ARCH. Thæman quidem eum e supernis venire declarat, nempe e cœlo, id est ab ortu: veritas autem demonstrat, quod e virginali corpore propheta affirmat ipsum habiturum esse humanitatem, quemadmodum evenit, et ex sancta Domina nostra Dei Genitrice, semperque Virgine Maria. Mons vero obumbratus ipsa est Virgo, ex qua prodiit ineffabiliter carne indutus. Montem autem ipsam dicit, eo quod, ut in montem Sina, sic in ipsam descendit Deus, et obumbravit; vel propter virginitatis impervium accessum: siquidem montium densitas accessu est perdifficilis, vel potius omnino invia. Obumbratam autem ipsam indicat, propterea quod in ipsa simul cum virtutum multitudine, virginitatis ipsius mysterium obumbrat: adde quod nescitur quomodo hæc genuit. Virgo enim peperit, et post partum, virgo salva et integra permansit.

HERB. Non de Christo hoc dicit, neque de ea quam annumerasti Virgine, sed potius de Deo legis, qui in monte Sina Mosi apparuit. Si enim ita esset, oportebat ipsum dicere, Christus e Thæman veniet, et non Deus. Nos autem Thæman locum unde spirat notus sive auster, appellamus.

S. ARCH. Nos vero Thæman, unde adoremus, nuncupamus. Nam ad solis ortum orare edocti sumus; quoniam illic Deum invenimus, qui hominem formavit, et qui paradisum condidit. Perspicuum igitur, quod ille qui omnia implet, in illis partibus inhabitat. Vos autem locum unde adoratis, Thæman vocatis. Nam vos ad occasum adoratis: neque hoc dubium et controversum est. Amentiæ quidem verba plena sunt quæ tu profers, haud recte vaticinia sive prophetias intelligens. *Deus* (dixit) *ex Thæman veniet, et Sanctus ex monte*[85]. Quis est Deus ille, et quis sanctus, expone, rogo.

HERB. Deus ipse est, et sanctus: duæ appellationes in re una positæ sunt.

S. ARCH. Utrum majus est Deus, an Sanctus?

HERB. Deus quidem, majus quam Sanctus.

[84] Habac. III, 3. [85] ibid.

NOTÆ.

(38) *Μαύζηρε*. Forte μαῦρε. GILON.

(39) *Τὸ Θεὸς*, κ. τ. λ. Videtur aliquid esse prætermissum a scriba; quod licet conjicere ex ipso exemplari ms. in margine, cujus sunt hæc verba, τὸ Θεὸς μεῖζον ἢ τὸ ἅγιος. ID.

S. ARCH. Vide quomodo imprudens laberis, ne- A que dignoscis. Nam paulo ante dixisti, quod Deus
618 quiddam valentius est quam Sanctus. In Deo igitur nomen parvum et magnum.

HERB. Tu vero mihi edissere et explica, quid sibi vult caput.

S. ARCH. Quod veniet, sed per corpus. Numen enim non locum e loco transit, sicut corpora. Illud vero, *Sanctus e monte*, id est, humanitas cum deitatis essentia veniet, ex impolluto utero semper Virginis et Deiparæ Mariæ. Dicimus igitur, *Deus*, propter essentiam deitatis; et *Sanctus*, propter humanam naturam : quandoquidem sicut superius dixi, duplex erat Dominus meus Jesus, et Deus et homo. Dicit itaque idem propheta superius de ipso : *In medio duorum animalium cognosceris* [86]; id est, B in medio duarum essentiarum, et utrarumque naturarum, unus et idem Dei Filius subsistens cognosceris. Et quod veniet, et non tardabit, ait : *Dum appropinquant anni, cognosceris; dum tempus pertransit, demonstraberis* [87].

HERB. Sapienter quidem respondes. Verumenimvero nos Judæi avitam illam et patriam fidem deserere et ad novam accedere, semper dolemus et vehementer angimur. Vinum enim vetus novo melius est.

S. ARCH. Vinum vetus lex vestra est; sed vapidum et acescens, inutile evasit. Verum hoc scio, quod velum semper cordibus vestris obtenditur, C quod non sinit vos ad eam quam oportet veritatem annuere (eamque amplecti et approbare), et verba vitæ ac veræ fidei audire, et digne credere. Attamen Propheta vestra jure abdicans ac renuntians, dixit : *Domine, a paucis de terra divide eos in vita eorum* [88]. *Constitue, Domine, legislatorem super eos; sciant gentes quoniam homines sunt* [89].

HERB. De alia quadam hypothesi dixit Propheta, quoniam de nobis idem dicit : *Libera, Deus, Israelem ex omnibus tribulationibus suis* [90]. Deinde : *Lauda, Jerusalem, Dominum; lauda Deum tuum, Sion. Quoniam roboravit vectes portarum tuarum, benedixit filiis tuis in te* [91]. Atque Isaias : *Israel*, inquit, *servabitur a Domino* [92]. D

S. ARCH. Illud, *A paucis de terra divide vos*, hoc declarat, nimirum vestram dispersionem e terra promissionis in omnes gentes brevi factam. Hoc vero, *Constitue, Domine, legislatorem super eos*, etc., de Servatore nostro Jesu Christo Propheta vaticinatus est. Ipsum enim Deus Pater constituit legislatorem in gentes, dum vos increduli diffiditis,

Καὶ Ο ΑΓΙΟΣ. Βλέπε πῶς ἐμπίπτεις, καὶ οὐ διαγινώσκεις. Ἀνωτέρω γὰρ εἴρηκας, ὅτι τὸ Θεὸς τοῦ Ἅγιος ἐπικρατέστερον πέφυκεν. Ἔστιν οὖν ἐν τῷ Θεῷ ὄνομα μικρὸν ἢ μέγα.

ΕΡΒΑΝ. Καὶ διήγησαί μοι αὐτὸς, τί δηλοῖ τὸ κεφάλαιον.

Καὶ Ο ΑΓΙΟΣ. Ὅτι ἥξει· ἀλλὰ διὰ σώματος. Τὸ γὰρ Θεῖον οὐ μεταβαίνει τόπον ἐκ τόπου, ὡς τὰ σώματα. Τὸ δὲ, *Καὶ ὁ Ἅγιος ἐξ ὄρους*, τοῦτ' ἔστιν ἡ ἀνθρωπότης, ἥξει μετὰ τῆς θεότητος, ἐκ τῆς ἀμιάντου κοιλίας, τῆς ἀειπαιδος [leg. ἀειπαρθένου] καὶ Θεοτόκου Μαρίας. Λέγομεν οὖν τὸ, *ὁ Θεὸς*, διὰ τὴν οὐσίαν τῆς θεότητος· τὸ δὲ καὶ, *ὁ Ἅγιος*, διὰ τὴν οὐσίαν τῆς ἀνθρωπότητος· ἐπειδὴ καθὼς ἀνωτέρω λελάληκα, διπλοῦς ἦν ὁ Κύριός μου Ἰησοῦς, Θεός τε καὶ ἄνθρωπος. Λέγει γὰρ ὁ αὐτὸς προφήτης ἀνωτέρω περὶ αὐτοῦ· *Ἐν μέσῳ δύο ζώων* (40) *γνωσθήσῃ*· τοῦτ' ἔστιν ἀναμεταξὺ τῶν δύο οὐσιῶν, καὶ τῶν ἐνεκατέρων (41) φύσεων, εἷς καὶ αὐτὸς τοῦ Θεοῦ Λόγος ὁ ἐνυπόστατος ἐπιγνωσθήσῃ. Καὶ ὅτι ἥξει, καὶ οὐ χρονιεῖ, φησὶν, *Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ*.

ΕΡΒΑΝ. Συνετῶς μὲν ἀποκρίνῃ. Πλὴν ἀνιώμεθα διὰ παντὸς ἡμεῖς οἱ Ἰουδαῖοι τοῦ καταλιπεῖν τὴν πατρῴαν πίστιν, καὶ προσελθεῖν τὴν νεαράν. Οἶνος γὰρ παλαιὸς κρείττων ὑπὲρ τὸν νέον.

Καὶ Ο ΑΓΙΟΣ. Οἶνος παλαιὸς ὁ νόμος ὑμῶν ἐστιν, ἀλλ' ὀξίωσας λοιπὸν κατηχρείωται. Πλὴν οἶδα ὅτι κάλυμμα διὰ παντὸς κεῖται ἐν ταῖς καρδίαις ὑμῶν, καὶ οὐκ ἐᾷ ὑμᾶς ἀνανεῦσαι πρὸς τὴν δέουσαν ἀλήθειαν, καὶ ἀκούειν τοὺς λόγους τῆς ζωῆς καὶ τῆς πίστεως τῆς ὄντως καὶ ἀξίως πιστεύειν. Ὅμως μέντοι δικαίως ἀπειπὼν τὰ πρὸς ὑμᾶς ὁ Προφήτης λελάληκεν· *Κύριε, ἀπὸ ὀλίγων ἀπὸ γῆς διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν. Κατάστησον, Κύριε, νομοθέτην ἐπ' αὐτοὺς, γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν*.

ΕΡΒΑΝ. Περὶ ἄλλης τινὸς ὑποθέσεως εἴρηκεν ὁ Προφήτης, ἐπεὶ περὶ ἡμῶν ὁ αὐτὸς λέγει, *Λύτρωσαι, ὁ Θεὸς, τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ*. Καὶ ἔπειτα, *Ἐπαίνει, Ἱερουσαλὴμ, τὸν Κύριον, αἴνει τὸν Θεόν σου, Σιὼν, ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου, εὐλόγησε τοὺς υἱούς σου ἐν σοί*. Καὶ ὁ Ἡσαΐας, *Ὁ Ἰσραὴλ*, φησὶ, *σωθήσεται ὑπὸ Κυρίου*.

Καὶ Ο ΑΓΙΟΣ. Τὸ, *Ἀπὸ ὀλίγων ἀπὸ γῆς διαμέρισον αὐτοὺς*, τοῦτο δηλοῖ, τὸν διασκορπισμὸν ὑμῶν, τὸν ἀπὸ τῆς γῆς τῆς ἐπαγγελίας εἰς πάντα τὰ ἔθνη κατ' ὀλίγον γεγονότα. Τὸ δὲ, *Κατάστησον, Κύριε, νομοθέτην ἐπ' αὐτοὺς*, καὶ ἑξῆς, περὶ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦτο ὁ Προφήτης ᾐνίξατο. Αὐτὸν γὰρ κατέστησεν ὁ Πατὴρ ἐν τῷ

[86] Habac. III, 2. [87] ibid. [88] Psalm. XVI, 14. [89] Psal. IX, 21. [90] Psal. XXIV, 22. [91] Psal. CXLVII, 12, 13. [92] Isa. XLV, 17.

NOTÆ.

(40) Δύο ζώων. In hunc locum videsis Toutteum ad Cyrill. Hier. Catech. XII, cap. 20, pag. 174.
(41) Ἐνεκατ. Scribe ἐν ἑκατ. GULON.

ἀπειθεῖν ὑμᾶς μὴ καλῶς (42) πολιτεύεσθαι, νομοθέτην ἐπὶ τὰ ἔθνη. Ὅτι δὲ εἴρηκεν ὁ Προφήτης, *Λύτρωσαι ὁ Θεὸς τὸν Ἰσραήλ*, καὶ τὰ ἑξῆς, οὐδὲν παράδοξον. Ὑπὲρ γὰρ τοῦ ἰδίου ἔθνους παρεκάλει τὸν Κύριον. Ἡμεῖς δὲ οἱ Χριστιανοί, ὡς εἰκός, τὸν Θεὸν φοβούμενοι, καθ' ἑκάστην ὑπὲρ ὑμῶν προσευχόμεθα, ἵνα ἐπιγνῶτε τὸ συμφέρον. Τὸ, *Ἐπαίνει, Ἱερουσαλήμ, τὸν Κύριον*, καὶ τὰ ἑξῆς, καὶ τοῦτο ἀληθές ἐστι. Πρὸ γὰρ τοῦ γενέσθαι τὸν Χριστιανισμὸν, ἥρμοζε τὸ ῥῆμα, καὶ οὐδ' αὐτὸς ἀντιλέγω. Καὶ γὰρ πρὸ τοῦ παραγενέσθαι ἐκ τοῦ οὐρανοῦ εἰς τὸν κόσμον τὸν Κύριον, κἀγὼ εἴπερ ἤμην, Ἰουδαῖος ἂν ἐγενόμην. Καὶ γὰρ τοῖς καιροῖς ἐκείνοις ἐν τῷ νόμῳ τοῦ Ἰσραὴλ μόνον ἐχρημάτιζεν ἡ σωτηρία. Ὅτι δὲ εἴρηκας, Κρείσσων ὁ παλαιὸς οἶνος παρὰ τὸν νέον, πεπλήρωται ὁ παλαιὸς οἶνος ἐκεῖνος, καὶ οὐδὲν κατελείφθη ἐν τοῖς πίθοις ὑμῶν, πλὴν ὁ τρυγίας, κατὰ τὸν Προφήτην. Λέγει γὰρ, *Ποτήριον ἐν χειρὶ Κυρίου, οἴνου ἀκράτου πλῆρες κεράσματος· καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο.* Ἐκ παλαιοῦ νόμου ἔκλινεν ὁ Θεὸς ἐπὶ τὸν νέον τῇ ἀποπληρώσει τῶν μελιῤῥύτων ῥήσεων τῶν θείων προφητῶν καὶ τῶν νοημάτων. Καὶ οὐδὲν πλέον ἐν τῇ Παλαιᾷ, κενωθείσης αὐτῆς εἰς τὴν Νέαν, ἀπέμεινεν ἡμῖν, πλὴν ὁ τρυγίας, τοῦτ' ἔστιν, αἱ πληρωθεῖσαι Γραφαὶ, τὸ λοιπὸν διακενῆς.

ΕΡΒΑΝ. Σὺ παντελῶς ἐκμυεῖς τὰ τοῦ Ἰσραὴλ, καὶ τὰ σὰ προσοικειοῖς διὰ τοῦ ἐσταυρωμένου τῷ παντοκράτορι, καὶ μὴ ἐπιστάμενος τὸ ῥῆμα τοῦ Κυρίου τὸ κραυγάζον, *Ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει.*

Καὶ Ο ΑΓΙΟΣ. Καὶ τὸ ἑξῆς τοῦ στίχου τῆς περιοχῆς, πῶς οὐκ ἀνέγνως; Ὅτι μὲν γὰρ οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ, εὖ οἶδα ἢ σύ· καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει, σαφῶς ἐπίσταμαι· πλὴν, ἕως πότε, λέξον. Ὁ γὰρ ἔμπροσθεν τῆς λέξεως ταύτης στίχος, διορισμὸν προθεσμίας ἐπικέκτηται, *ἕως πότε*, φάσκων. Ἕως οὗ δικαιοσύνη ἐπιστρέψῃ εἰς κρίσιν πνευματικήν· τὸν Χριστιανισμόν φημι. Ἐλθὼν ὁ Χριστός μου καὶ Κύριος, οὗτός ἐστιν ἡ ἀληθὴς δικαιοσύνη. Ἐπιστρέψει δὲ τοὺς ὑπηκόους· οὗτοι γάρ εἰσιν οἱ ἐχόμενοι αὐτῆς τῆς νέας χάριτος, οἱ εὐθεῖς τῇ καρδίᾳ, οἵ τε ἀπὸ τῶν Ἰουδαίων, καὶ οἱ ἀπὸ τῶν ἐθνῶν πεπιστευκότες εἰς αὐτόν. Περὶ δὲ ὑμῶν τῶν ἀπίστων Ἰουδαίων, λέγει ὁ αὐτὸς Προφήτης· *Τίς ἀναστήσεται ἐπὶ πονηρευομένοις, ἢ τίς συμπαραστήσεται ἐπὶ τοὺς ἐργαζομένους τὴν ἀνομίαν;* Ἀνέστη δὲ πάντως πρόδηλον ἐπ' ἐσχάτων Οὐεσπασιανὸς καὶ Τίτος, κατὰ τὴν προφητείαν, καὶ ἠφάνισεν αὐτούς· καὶ τὸ τηνικαῦτα ὀδυνώμενοι, ἐλέγετε, καθὼς Ἡσαΐας προεφήτευσε, *Νῦν τὴν κρίσιν μου*, εἰπὼν, *ἦρε Κύριος, καὶ ἀπέστη ἀπ' ἐμοῦ, καὶ τοῖς ὀδοῦσιν ἀλλότριοι κατεσθίουσιν ἡμᾶς*· καὶ μάλα εἰκότως.

A non bene et præclare civitatem vestram administrare. Quod autem dixit Propheta : *Libera, Deus, Israelem*, etc., nihil mirum neque inopinatum. Nam pro gente sua invocabat Dominum : siquidem nos Christiani, ut par est, Deum timentes, quotidie preces ad Deum pro vobis fundimus, ut quod vobis utile est et salutare, cognoscatis. Atque illud : *Lauda, Jerusalem, Dominum*, etc., et hoc verum est. Antequam enim esset Christianismus, hoc verbum congruebat; neque ipse infitior. Et prius quam e cœlo in mundum Dominus devenisset, et ego si fuissem, Judæus fuissem. Nam temporibus illis tantummodo in lege Israelis erat salus. Quod autem dixisti, vinum vetus novo melius esse, illud vetus vinum expletum est et exhaustum, nihilque
B relictum est in doliis vestris, præter fæcem, quemadmodum testatur Propheta. Dicit enim : *Quia calix in manu Domini, vini meri plenus misto : et inclinavit ex hoc in hoc* [93]. E vetere lege inclinavit Deus in novam, repletione mellifluorum verborum
619 divinorum prophetarum et intelligentiarum. Et nihil amplius in vetere lege, cum sit evacuata in novam, vobis remansit præter fæcem : id est, adimpletæ Scripturæ in posterum sunt supervacaneæ et inutiles.

HERB. Tu omnino quæ sunt Israelis, excludis, et tua per crucifixum Deo omnipotenti accommodate applicas, nesciens verbum Domini quod alte
C clamat, *Quia non repellet Dominus plebem suam, et hæreditatem suam non derelinquet* [94].

S. ARCH. Et reliquum periochæ versus quomodo non legisti? Quod enim Dominus non repellet populum suum, melius novi quam tu : et quod hæreditatem suam non derelinquet, certo scio : sed quousque, dic. Qui enim præcedit versus hanc locutionem, præscripti temporis definitionem complexus est, dum dicit, *Quousque*. Quoad usque justitia convertatur in judicium spiritale : Christianismum dico. Cum venit Christus meus et Dominus; hic est vera justitia. Convertet autem obedientes : hi enim sunt, qui ipsam novam gratiam consequuntur, et qui sunt recti corde, quique
D sive ex Judæis, sive ex gentibus, in ipsum crediderunt. De vobis autem pervicacibus et incredulis Judæis dicit idem Propheta : *Quis exsurget adversus maligne agentes, aut quis stabit mecum adversus operantes iniquitatem* [95]? Surrexit omnino, quod perspicuum est, in extremis temporibus Vespasianus et Titus, secundum prophetiam, et ipsos abolevit : et tunc dolore cruciati dicebatis, quemadmodum Isaias vaticinatus est : *Nunc judicium*, inquit, *tulit Dominus, et a me recessit, et dentibus alieni comedunt nos* [96] : et quidem merito.

[93] Psal. LXXIV, 9. [94] Psal. XCIII, 14. [95] ibid. 16. [96] Isa. XL, 27; et I, 7 sec. LXX.

NOTÆ.

(42) *Μὴ καλ.* Scribe καὶ μὴ καλ. GULON.

HERB. Nos rursus Israelitæ resurgemus, et civitas nostra instaurabitur, et vos qui Christum prædicatis, erubescetis. Scriptum est enim nobis a Domino : *Quod ædificans Jerusalem Dominus, dispersiones Israelis congregabit : qui sanat contritos corde, et alligat contritiones eorum* [97]. Sive quam primum, sive longe post ad extremum, hoc verbum adimplebitur : quid tibi et mihi, o archiepiscope ?

S. ARCH. Si unam (civitatem) ædificassetis, atque in unam cuncti reducti essetis, quid tibi magis quam mihi? Non Nabuchodonosor Jerusalem captam in servitutem redegit, et populum ejus abstulit, et hanc evertit? Non postea misertus Dominus hanc reædificavit, et vos dispersos in unum coegit? Non etiam temporibus Jeremiæ et Baruchi prophetarum, civitas vestra hostibus tradita est, direpta et funditus diruta : rursusque clementia et benignitate digna existimata, fuit instaurata ? Tandem, ne sæpe ejus pericula referam, a Romanis funditus deleta periit. Quid adhuc igitur desidens exspectas ut prophetia adimpleatur, quæ jam bis et ter fuit adimpleta, neque quidpiam amplius firmum habet? Audi igitur affirmationem, quam Deus de vobis in universum protulit, ut accurate certoque cognoscas Deum vos e corde suo repulisse. Videns enim, sciensque vestra ad ipsum sacrificia nihil in posterum profutura, sermonem contrahendo dixit: *Non congregabo conventicula eorum de sanguinibus, neque recordabor nominum ipsorum per labia mea.* De hæreditate quæ ad eum pertinet, dixit ipsi Deo unigenitus ejus Filius : *Tu es qui restitues hæreditatem meam mihi* [98]. Vides igitur, o Herbane, quomodo ex ipso corde vos odit Deus : et contra vos et omnes vestras synagogas pronuntiavit, **620** *Non congregabo conventicula eorum de sanguinibus, neque memor ero nominum ipsorum per labia mea.* Quoniam igitur neque per labia vult vestri meminisse Deus, quanam re amplius digni estis, obtenebrati, cæci, supra modum fermentati et immemorabiles ?

HERB. Vide, nonne ait Propheta : *Beatus cujus Deus Jacob adjutor ejus : spes ejus in Domino ipsius* [99] ? Non etiam Moses dicit : *Peribitis, nisi legem ad auxilium habueritis* [1] ? Et de vobis gentibus subjunxit David : *Peribitis, gentes, de terra illius* [2]. Ac rursus Moses : *Quod gens consilium amisit, nec in ipsis est scientia.* Nonne etiam Isaias dicit : *Ne exsultetis, omnes alienigenæ : contritum enim est jugum cædentis nos* [3] ? Quoniam igitur a prophetis interdicti estis et abdicati, frustra exsultatis, inania et vana exspectantes.

ΕΡΒΑΝ. Πάλιν ἀναστησόμεθα ἡμεῖς οἱ Ἰσραηλῖται, καὶ ἡ πόλις ἡμῶν οἰκοδομηθήσεται, καὶ ὑμεῖς οἱ Χριστὸν κηρύττοντες αἰσχυνθήσεσθε. Γέγραπται γὰρ ἡμῖν παρὰ Κυρίου, *Ὅτι οἰκοδομῶν Ἱερουσαλὴμ ὁ Κύριος, τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει· ὁ ἰώμενος τοὺς συντετριμμένους τῇ καρδίᾳ, καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν.* Κἂν οὖν ἐν πρώτοις, κἂν ἐπὶ τέλει, τὸ ῥῆμα τοῦτο πληρωθήσεται· καὶ τί ἐμοὶ καὶ σοὶ τὸ λοιπὸν, ἀρχιεπίσκοπε;

Καὶ Ο ΑΓΙΟΣ. Ἐὰν μίαν ᾠκοδομήσατε, καὶ εἰς μίαν συνήχθητε, τί σοὶ μᾶλλον ἤπερ ἐμοί; Οὐ Ναβουχοδονόσωρ ᾐχμαλώτευσε τὴν Ἱερουσαλὴμ, καὶ ἀπῆρε τὸν λαὸν αὐτῆς, καὶ ταύτην κατέστρεψεν; Οὐ μετὰ ταῦτα σπλαγχνισθεὶς ὁ Κύριος (43) αὐτὴν ᾠκοδόμησεν, καὶ ὑμᾶς διασπαρέντας ἐπισυνήγαγεν; Οὐ παρεδόθη ἡ πόλις ἐπὶ Ἱερεμίου καὶ Βαροὺχ τῶν προφητῶν τοῖς ὑπεναντίοις, καὶ κατεσκάφη, καὶ πάλιν φιλανθρωπίας ἀξιωθεῖσα ᾠκοδομήθη; καὶ τὸ τελευταῖον, ἵνα μὴ τοὺς πολλὰ λέγω κινδύνους αὐτῆς, ὑπὸ τῶν Ῥωμαίων ὤλωλε διὰ παντός. Τί οὖν τὸ λοιπὸν παρακαθήμενος ἀναμένεις προφητείαν πληρωθεῖσαν καὶ δὶς καὶ τρὶς, καὶ μηδὲν τὸ λοιπὸν βέβαιον ἔχουσαν; Οὐκοῦν ἄκουσον τὴν ἀπόφασιν, ἣν εἶπεν ὁ Θεὸς καθολικῶς περὶ ὑμῶν, ἵνα ἐπιγνώσῃ ἀκριβῶς, ὅτι ἀπὸ καρδίας αὐτοῦ ἀπώσατο ὑμᾶς ὁ Θεός. Ἰδὼν γὰρ ὅτι οὐκ ὠφελήσεται τὸ λοιπὸν τὰ πρὸς αὐτὸν, συνελὼν εἴρηκεν, *Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων, οὐδ' οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου.* Περὶ δὲ τῆς ἐπομένης αὐτῷ κληρονομίας, εἶπεν αὐτῷ τῷ Θεῷ ὁ μονογενὴς Υἱὸς αὐτοῦ, *Σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί.* Βλέπεις οὖν, ὦ Ἑρβᾶν, πῶς ἀπ' αὐτῆς τῆς καρδίας μεμίσηκεν ὑμᾶς ὁ Θεός· καὶ ἀπεφήνατο (44) καὶ κατὰ πασῶν τῶν συναγωγῶν ὑμῶν, *Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων, οὐδ' οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου.* Ἐπεὶ οὖν οὐδὲ διὰ χειλέων βούλεται μεμνῆσθαι ὑμᾶς ὁ Θεὸς, τίνος ἐστὲ τοῦ λοιποῦ ἄξιοι, σκοτεινοὶ, καὶ τυφλοὶ, καὶ συμπεφυρμένοι ὑπάρχοντες, καὶ ἀμνημόνευτοι;

ΕΡΒΑΝ. Οὐκ ἰδοὺ (45) λέγει ὁ Προφήτης, *Μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεόν;* Οὐκ ἰδοὺ λέγει καὶ Μωσῆς, *Ἀπολεῖσθε εἰ μὴ νόμον εἰς βοήθειαν ἔχοντες;* Καὶ περὶ ὑμῶν τῶν ἐθνῶν ἐπήγαγε Δαβὶδ, *Ἀπολεῖσθε, ἔθνη, ἐκ τῆς γῆς αὐτοῦ.* Καὶ πάλιν Μωσῆς, *Ὅτι ἔθνος ἀπολωλεκὸς βουλήν ἐστι, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἐπιστήμη.* Οὐχ ἰδοὺ Ἡσαΐας λέγει, *Μὴ εὐφρανθείητε πάντες οἱ ἀλλόφυλοι· συνετρίβη γὰρ ὁ ζυγὸς τοῦ παίοντος ἡμᾶς.* Ἐπεὶ οὖν ἀπηγορεύθητε παρὰ τῶν προφητῶν, μάτην καυχᾶσθε, κενὰ προσδοκῶντες.

[97] Psal. CXLVI, 2, 3. [98] Psal. XV, 4, 5. [99] Psal. CXLV, 5. [1] Deut. VIII, 20. [2] Psal. X, 16 sec. Hebr. [3] Isa. XIV, 29.

NOTÆ.

(43) *Κύριος*. Cotelerius ad Barnabæ Epist. cap. 12, suspicatur Κύριος impressum fuisse pro Κῦρος. *Non postea misertus Cyrus*, etc.

(44) *Καὶ ἀπεφήνατο*. Ἐκλείπει, καθ' ὑμῶν· καὶ τὸ μόριον, καὶ, παρέλκει. GULON.

(45) *Ἰδού*. Forte ἰδών. GULON. — At nihil mutandum videtur. Sic enim paulo post, οὐχ ἰδοὺ Ἡσαΐας λέγει.

Καὶ Ο ΑΓΙΟΣ. Πρῶτον διανάγνωθι τὰ εἰρημένα τίνα δηλοῦσιν, εἶθ' οὕτως ἡμῶν καταγίνωσκε. Καὶ γὰρ τὸ, *Μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ*, περὶ τοῦ πατριάρχου Ἰακὼβ εἴρηται· καὶ σὺ ἐρεῖς ὅτι ἡ ἐλπὶς ἡμῶν ἐπὶ Κύριον πέφυκε, καθὰ σημαίνει. Ἐγὼ δὲ λέγω, ἦν τὸ παλαιὸν, οὐκ ἔτι δὲ ἀρτίως. Ἐλπὶς γὰρ ἤδη τὸ λοιπὸν ἀπόλωλεν ἐξ ὑμῶν, ἐπειδὴ ἠρνήσασθε τὴν ἐλπίδα καλήν τε καὶ θείαν, ἣν ἀπέστειλεν ὑμῖν ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ. Περὶ δὲ οὗ φάσκει, ὅτι *Ἀπολεῖσθε, ἔθνη, ἐκ τῆς γῆς αὐτοῦ*, οὐ περὶ ἡμῶν λέγει τοῦτο ἁπλῶς, ἀλλὰ περὶ ὑμῶν μᾶλλον τῶν Ἰουδαίων. Ἐπειδὴ γὰρ κακῶς ἐχρήσασθε τῷ δεδομένῳ ὑμῖν νόμῳ, καὶ ἐμίγητε τοῖς ἔθνεσι, καὶ ἐμάθετε τὰ ἔργα αὐτῶν, ἔθνη, ἀσύνετε, καὶ ὑμᾶς ἐκάλεσε. Καὶ ἀπάγγειλον δή μοι τίς ἀπώλετο ἐκ τῆς γῆς αὐτοῦ, ἡμεῖς, ἢ ὑμεῖς, οἱ παραβάται καὶ ἀρνησίθεοι, καθὼς ὑπαγορεύεις; Οὐχ ἰδοὺ ἐν τῇ γῇ τῶν πατέρων ὑμῶν τοῦ δεῦρο ἀναστρεφόμεθα, ὑμᾶς δὲ τοὺς παρανόμους διώκων ἐξεδίωξεν Κύριος ὁ Θεὸς τῆς γῆς τῶν ἐθνῶν, ἅτινα εἶπεν ὑμῖν παραδώσειν τοῦ ἐξολοθρεῦσαι, καὶ οἰκῆσαι ἐν τῇ γῇ αὐτῶν, καὶ οὐκ ἐξωλοθρεύσατε αὐτὰ, ἀλλ' ἐμίγητε αὐτοῖς, καὶ ἐμάθετε τὰ ἔργα αὐτῶν; Τοσοῦτον γὰρ ἦτε ταλαίπωροι, ὅτι οὐδὲ ἰδίαν γῆν ἐκτήσασθε πώποτε. Ἰδοὺ οὖν κατὰ τὸ εἰρημένον παρὰ Κυρίου, ὅτι εἶπε, *Διασπερῶ αὐτοὺς*, διεσπάρητε ἐν πᾶσι τοῖς ἔθνεσι, καὶ ἐστὲ εἰς ὀνειδισμὸν ἑαυτοῖς καὶ ἀπώλειαν. Περὶ δὲ ὧν λελάληκεν Ἡσαΐας, *Μὴ εὐφρανθείητε, πάντες οἱ ἀλλόφυλοι*, περὶ τῆς ἀπωλείας τῶν Ἀσσυρίων προφητεύων, τάδε ᾐνίξατο. Κατωτέρω γὰρ ἐμφαίνει περὶ αὐτοῦ· *Ὃν τρόπον γὰρ*, φησὶ, *βεβούλευμαι, οὕτω μενεῖ, τοῦ ἀπολέσαι με τοὺς Ἀσσυρίους ἀπὸ τῆς γῆς ἐμῆς, καὶ ἀπὸ τῶν ὀρέων μου, καὶ ἔσονται εἰς καταπάτημα.*

Τί οὖν σοι δοκεῖ πρὸς ταῦτα;

ΕΡΒΑΝ. Πρὸς σπερμολόγον ἄνδρα τίς ἱκανὸς χρήσασθαι ῥήμασιν; Ὅσα γὰρ ἂν ἐροῦμεν πρὸς σὲ, πάντα διαβάλλεις. Τί οὖν ὁ προφήτης Ζαχαρίας λέγει ὡς ἐκ προσώπου Κυρίου; *Ἰδοὺ ἐγὼ σώζω τὸν λαόν μου ἀπὸ γῆς Ἀνατολῶν* (46), *καὶ εἰσάξω αὐτὸν* (47) [*εἰς τὴν γῆν αὐτῶν*,] *καὶ κατασκηνώσουσιν* (48) *ἐν μέσῳ Ἱερουσαλὴμ, καὶ ἔσονταί μοι εἰς λαὸν, κἀγὼ ἔσομαι αὐτοῖς εἰς Θεὸν ἐν ἀληθείᾳ καὶ δικαιοσύνῃ*. Καὶ μετά τινα· *Καὶ ἔσται, ὃν τρόπον ἦτε ἐν κατάρᾳ* (49) *ἐν τοῖς ἔθνεσιν, οἶκος Ἰούδα καὶ οἶκος Ἰσραὴλ, οὕτω διασώσω ὑμᾶς, καὶ ἔσεσθε εἰς εὐλογίαν* (50). *Θαρσεῖτε καὶ κατισχύετε ἐν ταῖς χερσὶν ὑμῶν, διότι τάδε λέγει Κύριος· Ὃν τρόπον διενοήθην τοῦ κακῶσαι ὑμᾶς ἐν τῷ παροργίσαι με τοὺς πατέρας ὑμῶν, καὶ οὐ*

A S. ARCH. Primum dignosce ac discerne, dicta quænam declarant, deinde ita nos condemna. Nam illud, *Beatus cujus Deus Jacob*, de patriarcha Jacob dictum est: et tu dicis, quod spes nostra in Domino Deo est, sicut significat. Ego vero dico, erat olim, nunc autem amplius non est. Nam vobis spes periit, præsertim cum spem illam præclaram quidem et divinam quam cœlitus ad vos demisit Deus, abnegaveritis. Quod autem ait, *Peribitis, gentes, de terra illius*, non de nobis hoc simpliciter enuntiat, sed potius de vobis Judæis. Postquam enim vobis data lege abusi estis, et gentibus] misti fuistis, et ipsarum opera didicistis; vos etiam gentes, o insipiens, vocavit. Tu vero hoc mihi dicito, utri e sua terra perierunt, nos gentiles, an vos Judæi? qui B transgressores ac scelerati, impii et Dei abnegatores, sicut loqueris. Non in terra patrum vestrorum versamur, vos autem nefarios persequens Dominus Deus, e terra gentium exterminavit? quas gentes dixerat se vobis traditurum, ut eas exterminaretis, et in terra ipsarum habitaretis, neque tamen ipsas exterminastis, sed cum ipsis commercium habuistis, et opera ipsarum didicistis? Usque adeo enim fuistis ærumnosi et extorres, ut neque unquam propriam terram possederitis. Ecce igitur secundum quod dictum a Domino: *Dispergam*, inquit, *eos* [4], dispersi estis inter omnes gentes, et estis in opprobrium ipsis et in interitum. De quibus autem locutus est Isaias: C *Ne lætemini, omnes alienigenæ* [5]? de interitu Assyriorum vaticinans, hæc velamento quodam protulit. Paulo post enim de ipso ostendit: *Quemadmodum*, inquit, *deliberavi, sic permanebit: perdere nimirum Assyrios e terra mea et a montibus meis: et erunt in conculcationem* [6]. Quid igitur tibi videtur ad hæc?

HERB. Adversus verborum funditatorem et blateronem, quis in respondendo satis idoneus esse queat? Quæcunque enim contra te dicimus, calumniaris omnia. Quid igitur propheta Zacharias dicit tanquam e persona Domini? *Ecce ego salvum facio populum meum a terra orientali* (*et de terra occasus solis*), *et adducam eos* (*in terram suam*), *et habitabunt in medio Jerusalem: et erunt mihi in populum, et ego ero ipsis in Deum in veritate et justitia* [7]. Et D postea: *et erit, sicut eratis maledictio in gentibus, domus Juda, et domus Israel; sic conservabo vos, et eritis benedictio. Confidite et prævalete in manibus vestris, eo quod hæc dicit Dominus: Quemadmodum* **621** *cogitavi malis vos affligere, cum patres vestri me ad iracundiam provocassent, neque eos*

[4] Jerem. xv, 7. [5] Isa. xiv, 29. [6] ibid. 24, 25. [7] Zach. viii, 7, 8.

NOTÆ.

(46) *Ἀπὸ γῆς ἀνατολῶν*. Desunt hæc, καὶ ἀπὸ γῆς δυσμῶν. GULON.

(47) *Αὐτόν*. Scribe αὐτούς. Sequentia inclusa non sunt in textu. ID.

(48) *Κατασκηνώσουσιν*. Leg. ut in textu κατασκηνώσω. ID.

(49) *Ἐν κατάρᾳ*. Sic LXX. Sed forte leg. cum Vulg. absque ἐν, κατάρα. ID.

(50) *Εἰς εὐλογίαν*. Rescribe cum LXX, ἐν εὐλογίᾳ. Forte hic quoque legendum εὐλογίᾳ, absque ἐν. ID.

pœnituit : sic statui et cogitavi in his diebus, Israel benefacere in domo Judæ. Confidite, hi sunt sermones Dei [8]. Quid igitur dices ad hæc, o archiepiscope?

S. ARCH. Revera hæc propheta vaticinatus est, et bis terque a gentibus revocati estis, et Jerusalem recepistis, et ad aliquod usque tempus perdurantes in benedictionibus : deinde in direptionem et prædam traditi fuistis, et in depastionem atque in exsecrationem gentibus, qui graviter peccastis. Non igitur paulo ante tibi enumeravi, quoties captivus ductus est Israel, et quoties revocati fuistis? Non amplius in sæculum, nonne? nisi quando Satanas et Antichristus in mundum venerit. Nam reprobati estis, ac plane inutiles inventi. Quod vocavit Deus gentes pro vobis, audi Isaiam sic loquentem : *Hæc dicit Dominus omnipotens: Quod venient populi multi ædificantes civitates multas, et convenient in unam civitatem dicentes: Eamus euntes oratum faciem Domini omnipotentis* [9]. Vides quomodo gentium ad Deum impetum et concursum Isaias propheta, imo vero Deus ipse, prædixit : *Venient*, inquit, *populi multi et gentes multæ ad inquirendum faciem Domini omnipotentis* [10]. Quid ad hæc tibi respondendum esse censes?

HERB. Michæas propheta dixit : *In diebus illis, dicit Dominus, congregabo contritam, et abjectam suscipiam. Et quos abjeci vocabo, et ponam contritam ad residuum, et abjectam in gentem fortem : et regnabit Dominus super ipsis in Sion ex hoc nunc et in sæculum* [10]. Ergo non videtur tibi, quod aliquando Dominus Deus Israelem quem abjecit, revocaturus est, et quod oportet ipsum esse in gentem fortem, et regiam et maxime formidandam?

S. ARCH. Fallis, o Herbane, haud dubie prophetæ vaticinium tuæ genti proprium faciens. Nam *contritam* cum dixit, gentium accolatum adumbravit. Et cum dixit *abjectam*, idolorum cultum reprobatum ac rejectum ipsarum gentium obscure intellexit. Atque nunc nonne Romanum imperium est in gentem magnam et fortem? Non Jerusalem ecclesiis et sacris ac divinis templis Christi crucifixi plena est? Nonne ex Bethleem processit Jesus Christus Filius Dei, quem vos negastis? non regnat in omnibus propemodum totius orbis terrarum finibus, a monte Sion, id est, ab altitudine supercœlesti? Attentissime audi quid dicat Micheas postea : *Et tu Bethleem domus Ephrata, non mini-*

A *μετενόησαν* (51), *οὕτω παρατέταγμαι καὶ διανενόημαι ἐν ταῖς ἡμέραις ταύταις, τοῦ καλῶς ποιῆσαι τὸν Ἰσραὴλ ἐν τῷ οἴκῳ Ἰούδα. Θαρσεῖτε, οὗτοι οἱ λόγοι τοῦ Θεοῦ* (52). *Τί οὖν ἐρεῖς πρὸς ταῦτα, ὦ ἀρχιεπίσκοπε;*

Καὶ Ο ΑΓΙΟΣ. Ἐν ἀληθείᾳ ταῦτα ὁ προφήτης ᾐνίξατο, καὶ δὶς καὶ τρὶς ἀνεκλήθητε ἀπὸ τῶν ἐθνῶν, καὶ τὴν Ἱερουσαλὴμ ἀπελάβετε, καὶ μέχρι τινὸς ἐν εὐλογίαις διαρκέσαντες (53)· ἔπειτα εἰς διαρπαγὴν παρεδόθητε καὶ εἰς προνομὴν, εἰς κατάραν τοῖς ἔθνεσιν ἐξαμαρτήσαντες. Οὐκοῦν ἀνωτέρω οὐκ ἀπηρίθμησά σοι ποσάκις ᾐχμαλώτευται Ἰσραὴλ, καὶ ποσάκις ἀνεκλήθητε; Οὐκέτι εἰς τὸν αἰῶνα, οὐκοῦν· εἰ μὴ ὁπόταν παραγένηται ὁ Σατανᾶς καὶ Ἀντίχριστος εἰς τὸν κόσμον. Ἀπεδοκιμάσθητε γὰρ,
B καὶ εὑρέθητε τελείως ἀνωφελεῖς, ὅτι ἐκάλεσεν ὁ Θεὸς τὰ ἔθνη ἀντὶ ὑμῶν. Καὶ ἄκουσον τοῦ Ἡσαΐου (54) λέγοντος· *Τάδε λέγει Κύριος παντοκράτωρ· Ὅτι ἥξουσι λαοὶ πολλοὶ, κατοικοῦντες πόλεις πολλάς· καὶ συνελεύσονται* (55) *εἰς μίαν πόλιν, λέγοντες, Πορευθῶμεν πορευόμενοι, δεηθῆναι πρόσωπον Κυρίου παντοκράτορος.* Βλέπεις ὅπως πρὸς τὸν Θεὸν τὴν ὁρμὴν τῶν ἐθνῶν προεῖπεν Ἡσαΐας, μᾶλλον δὲ ὁ Θεός;· *Ἥξουσι*, φησὶ, *λαοὶ πολλοὶ καὶ ἔθνη πολλὰ, ἐκζητῆσαι τὸ πρόσωπον Κυρίου παντοκράτορος.* Τί οὖν δοκεῖ σοι πρὸς ταῦτα;

ΕΡΒΑΝ. Μιχαίας ὁ προφήτης εἶπεν· *Ἐν ταῖς ἡμέραις ἐκείναις, λέγει Κύριος· Συνάξω τὴν συντετριμμένην, καὶ τὴν ἀπωσμένην εἰσδέξομαι.*
C *Καὶ καλέσω οὓς ἀπωσάμην, καὶ θήσομαι τὴν συντετριμμένην εἰς ὑπόλειμμα, καὶ ἀπωσμένην εἰς ἔθνος ἰσχυρόν· καὶ βασιλεύσει Κύριος ἐπ' αὐτοὺς ἐν Σιὼν, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα.* Οὐκοῦν οὐ δοκεῖ σοι, ὅτι ἔρχεταί ποτε τοῦ ἀνακλῆσαι Κύριος ὁ Θεὸς τὸν Ἰσραὴλ πάλιν ὃν ἀπώσατο, καὶ δεῖ καὶ αὐτὸν εἰς ἔθνος ἰσχυρὸν καὶ βασίλειον φοβερώτατον;

Καὶ Ο ΑΓΙΟΣ. Σφάλλεις, ὦ Ἑρβᾶν, ἀσφαλῶς, ἐπὶ τὸ ἴδιον ἔθνος τὴν προφητείαν σφετεριζόμενος. *Συντετριμμένην* γὰρ εἰπὼν, τὴν τῶν ἐθνῶν παροικίαν ἀπείκασε· καὶ *ἀπωσμένην* εἰρηκὼς, τὴν εἰδωλολατρείαν (56) ἀπωσθεῖσαν, φησὶ, τῶν αὐτῶν ἐθνῶν ᾐνίξατο. Καὶ νῦν οὐκ ἔστιν ἡ τῶν Ῥωμαίων
D βασιλεία εἰς ἔθνος μέγα καὶ ἰσχυρόν; Οὐ πέπλησται Ἱερουσαλὴμ ἐκκλησιῶν καὶ θείων τεμενῶν τοῦ ἐσταυρωμένου Χριστοῦ; Οὐχὶ ἐκ Βηθλεὲμ προέβη Ἰησοῦς Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, ὃν ὑμεῖς ἠρνήσασθε; οὐ βασιλεύει περάτων σχεδὸν καὶ πάσης τῆς οἰκουμένης, ἀπὸ τοῦ ὄρους Σιὼν, τουτέστι, τοῦ ὕψους τοῦ ἐπουρανίου; Πρόσεχε γὰρ τί λέγει Μιχαίας μετὰ ταῦτα· *Καὶ σὺ, Βηθλεὲμ οἶκος τοῦ Εὐ-*

[8] Zach. VIII, 13, 14. [9] ibid. 20, 21. [10] Mich. IV, 6, 7.

NOTÆ.

(51) *Μετενόησαν*. Scribe cum LXX, μετενόησα. Sic et Vulg. GULON.

(52) *Τοῦ Θεοῦ*. Pro his, apud LXX, οὓς ποιήσετε. ID.

(53) *Διαρκέσαντες*. Scribe, διαρκεῖσθε σαυταῖς. ID.

(54) *Τοῦ Ἡσαΐου*. Non Isaias, διὰ εἰδωλ. Sed Zacharias VIII, 20, 21.

(55) *Συνελεύ*. LXX Vat. συνελεύσονται κατοικοῦντες πέντε πόλεις εἰς μίαν πόλιν. AA. LL. κατοικοῦντες μίαν εἰς μίαν πόλιν.

(56) *Εἰδωλ*. Scribe, διὰ εἰδωλ. ID.

φραθᾶ (57), *μὴ ὀλιγοστὸς εἶ ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξελεύσεται ἡγούμενος τοῦ εἶναι εἰς ἄρχοντα Ἰσραήλ. Αἱ ἔξοδοι αὐτοῦ, ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος.* Καὶ γάρ, φησίν, ὡς ἄνθρωπος ἀρτίως ἐγεννήθη· ἀλλ' αἱ ἔξοδοι αὐτοῦ, ἐξ ἡμερῶν αἰῶνος· ὅτι καὶ Θεὸς προαιώνιος πέφυκε· διὰ τοῦτο δώσει αὐτοῖς ἕως καιροῦ τικτούσης· τουτέστι, δώσει ὑμῖν τοῖς Ἰουδαίοις κρατύνειν τὸν νόμον Μωσέως, ἕως καιροῦ τικτούσης τὸν θεῖον νόμον, καὶ ἡγούμενον, τὸν ἐκ Βηθλεὲμ προερχόμενον· τουτέστιν, ἐκ τῆς Ἀειπαρθένου καὶ Θεοτόκου Μαρίας· *Τέξεται γὰρ ἡ κόρη*, φησί, *τὸν ἄρχοντα τοῦ Ἰσραήλ*. Γέγραπται γάρ, ὅτι οὔτε οἱ ἀδελφοὶ αὐτοῦ οἱ ἐξ Ἰωσὴφ αὐτῷ εἶναι νομιζόμενοι, ἐπίστευον εἰς αὐτόν. *Καὶ αὐτὸς δέ*, φησί, *στήσεται καὶ ὄψεται, ποῖον ἄρ' ἔσται τὸ ποίμνιον αὐτοῦ.* Καὶ ἴδη, ὅτι τὰ ἔθνη ἐπεδόθη αὐτῷ, καὶ ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ ἐν ἰσχύϊ Κύριος. *Καὶ ἐν τῇ δόξῃ ὀνόματος Κυρίου τοῦ Θεοῦ αὐτοῦ, ὑπάρξουσι τὰ ἔθνη.* Διότι νῦν μεγαλυνθήσεται ὁ ποιμὴν καλός, ἕως ἄκρων τῆς γῆς· τουτέστιν, ἐκ τῆς Παρθένου καὶ Θεοτόκου Μαρίας μέχρι τῆς συντελείας. Καὶ εἰ βούλει ἀντειπεῖν ὅτι οὐκ ἐμεγαλύνθη ὁ ποιμαίνων τὰ ἔθνη Κύριος Ἰησοῦς Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, ἀνάβλεψον καὶ ἴδε τοῖς ὀφθαλμοῖς σου εἰς τὰ πέρατα τῆς οἰκουμένης, ὅπως μεγαλύνεται ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα, μέχρι τῆς συντελείας. Τοῦτο γὰρ δηλοῖ τό, ὅτι *μεγαλυνθήσεται ἕως ἄκρου τῆς γῆς.*

A *ma es in millibus Juda: ex te enim exibit dux, qui regat Israelem. Exitus ejus ab initio, ex diebus æternitatis* [11]. Etenim, ait, ut homo nuper natus est; sed viæ ejus ex diebus sæculi, quod et Deus ante sæcula fuit: ob eam causam dabit ipsis usque ad tempus parientis, id est, dabit vobis Judæis firmare legem Mosis usque ad tempus parientis divinam legem, et ducem ex Bethleem venientem: hoc est, ex semper Virgine et Deipara Maria: *Pariet enim*, inquit, *Virgo principem Israelis.* Scriptum est enim, quod neque fratres ejus qui ex Josepho huic esse putabantur, in ipsum credebant. *Et ipse*, ait, *stabit, et videbit quinam erit grex ejus* [12]. Et scias quod jam gentes ei traditæ sunt, et pascet gregem suum in fortitudine Dominus. *Et in gloria* B *nominis Domini Dei sui aderunt gentes* [13]. Quocirca nunc **622** magnificabitur pastor egregius usque ad extremum terræ, id est, ex Virgine et Deipara Maria usque ad consummationem. Quod si inficiari vis, non esse magnificatum illum qui pascit gentes Dominum Jesum Christum Filium Dei; respice et vide tuis oculis ad orbis terrarum usque fines, quomodo magnificatur Dominus noster Jesus Christus, Filius Dei, ex hoc nunc et usque in sæculum usque ad consummationem: hoc enim declarat, quod *magnificabitur usque ad extremum terræ.*

ΕΡΒΑΝ. Καὶ εἰ οὕτως ἐστί, δι' ἣν αἰτίαν οὐκ εἶπεν ὁ προφήτης, ὅτι ἐκ σοῦ μοι Ἐξελεύσεται, τοῦ εἶναι εἰς ἄρχοντα ἐν τοῖς ἔθνεσιν, ἀλλ' ἐν τῷ Ἰσραὴλ ἐπήγαγεν;

C HERB. Si ita est, quam ob causam non dixit propheta: Quod ex te mihi exibit, qui sit princeps in gentibus, sed, in Israele, subjunxit?

Καὶ Ο ΑΓΙΟΣ. *Νοῦς ὁρῶν τὸν Θεόν*, Ἰσραὴλ ἑρμηνεύεται. Ἐπεὶ οὖν ὑμεῖς, οἱ Ἰουδαῖοι, οἱ ποτὲ νοῦς ὁρῶν τὸν Θεὸν πεφυκότες, παραγενομένου πρὸς ὑμᾶς τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, ἑκουσίᾳ τῇ γνώμῃ ἐκαμμύσατε τοὺς ὀφθαλμοὺς ὑμῶν τοῦ μὴ ἰδεῖν τὸ ἀνέσπερον φῶς, ἀπετυφλώθητε εὐθέως καὶ ἀπωλέσατε τὸ εἶναι νοῦς ὁρῶν τὸν Θεόν, ἀνθ' ὧν τὰ ἔθνη τά ποτε τυφλὰ χρηματίζοντα ἀνένευσαν πρὸς τὸν Θεόν, καὶ ἐπίστευσαν τῷ μονογενεῖ αὐτοῦ Υἱῷ, παραχρῆμα ἀναβλέψαντες, τὸ ἅγιον βάπτισμα ἐδέξαντο. Καὶ εὐθέως ἐπετέθη αὐτοῖς, καὶ τὸ Ἰσραὴλ ὄνομα, χειρὶ Θεοῦ ἀρθὲν ἀφ' ὑμῶν. Ἀρτίως γοῦν οἱ Θεὸν ὁρῶντες ἐπ' ἀληθείας Ἰσραὴλ ἀξίως προσαγορεύονται· οἱ δὲ τῇ ἀπιστίᾳ ἀποτυφλωθέντες, ἀπώλεσαν τὸ εἶναι καὶ ἀκούειν Ἰσραήλ. Ἐπεὶ οὖν μετετέθη τὸ ὄνομα ἐξ ὑμῶν αὐτὸ τό, Ἰσραήλ, ἐτέθη ἐν τοῖς ἔθνεσι· περὶ τῶν ἐθνῶν εὔδηλον εἶπεν ὁ προφήτης τοῦ νέου Ἰσραήλ, ὅτι Ἐξελεύσεται ὁ Κύριος τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ.

S. ARCH. *Mens sive intellectus Deum cernens et intuens* exponitur Israel. Postquam igitur vos, Judæi, qui aliquando fuistis mens Deum videns, cum ad vos Dei unigenitus Filius venit, sententia sponte concitata vestros clausistis oculos ne viderent vespere carentem lucem; continuo excæcati fuistis, et percuntes desiistis esse mens Deum cernens: ob eamque causam gentes quæ antea cæcutiebant, mentem ad Deum sustulerunt, et unigenæ Dei Filio crediderunt: et mox lucem intuitæ sacrosanctum lavacrum acceperunt. Atque illico ipsis nomen Israel inditum atque impositum fuit, quod D Dei manu vobis sublatum fuit. Nunc igitur qui Deum contemplantur et mentis oculis cernunt, re vera et digne ac merito Israelitæ vocantur: qui autem perfidia et pervicaci incredulitate obcæcati sunt, cum sua pernicie et exitio desierunt nomen Israelis habere et audire. Quoniam igitur Israelis nomen ex vobis translatum est, et gentibus inditum, notum est et perspicuum, prophetam dixisse de gentibus, de novo Israele, venturum Dominum, ut sit princeps et dux in Israele.

ΕΡΒΑΝ. Πλεῖστα λέγεις εἰς ἀπόγνωσιν ἐμπηρῶν τὸ γένος τῶν Ἰουδαίων, τοῦ μηκέτι προσδοκᾷν ἀνα-

HERB. Plurima dicis in desperationem, mutilans genus Judæorum, ne amplius revocationem

[11] Mich. v, 2. [12] ibid. 4. [13] ibid.

NOTÆ.

(57) *Εὐφρ.* Rescribe, Εὐφραθᾶ ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλ. ID.

exspectent. Verum ego non amplius tua verba sustinebo: quandoquidem prophetam audio Isaiam dicentem: *Fulgebit Deus in illa die in concilio cum gloria in terra, ut extollat et gloria illustret residuum Israelis in Sione, et quod reliquum est in Jerusalem. Sancti omnes vocabuntur, qui conscripti ad vitam in Jerusalem* [14]. Ac deinde, *Quod eluet Dominus sordes filiorum et filiarum Sionis, et sanguinem Jerusalem expurgabit e medio ipsorum, spiritu judicii et spiritu ardoris* [15]. Oportet igitur nos revocari, quemadmodum audis prophetarum oracula, iterumque in pristinum honorem restaurari, imo vero in præstantiorem. Quamobrem ne mihi amplius multiplici verborum profluentia fretus obsiste, nec adversare, sed crede et persuasissimum habe ita futurum esse: sive quam primum, sive in posterum, nihil refert.

S. ARCH. Divinæ Scripturæ accuratam subtilitatem haudquaquam intelligens, vanis et adulterinis, futilibus et inutilibus notitiis te ipsum oblectas. Quod enim ait: *Fulgebit Deus in die illa in concilio cum gloria in terra, ut extollat et gloria cumulet reliquias Israelis*, hoc jam adimpletum est. Nam Dei Filius unigena fulgens ex sancta Virgine Deipara in Jerusalem, reliquias Israelis gloria et honore extulit: spiritaliter autem gloria illustravit, et non corporaliter, sicut tu carnalis Judæus animo fingis. Quid autem relictum sit, et cujus causa scriptum, attende diligenter, ut boni aliquid inde perdiscas, et quod ad salutem tuam, si velis, commodum sit et conducibile, intelligas. Quod reliquum est ex Israele, multitudo est Hebræorum, quæ cum Christus advenit, in eum credidit: relicta enim fuit a Domino, videlicet electa. Nam genus humanum a dæmonum tyrannide et vexatione, quæ animo et mente intelligitur, servatum fuit, ut Dei Filio crederet **623** et salvum esset: ut non funditus genus Hebræorum interiret, si fidem non habuisset, et incredulum omnino permansisset. De hac enim summa propheta dicit: *Nisi Dominus vobis reliquisset semen, sicut Sodoma facti fuissetis, et Gomorrhæ similes effecti essetis* [16]: significans eos, qui ex vobis crediderunt et salvi facti sunt. Quod autem scriptum, *ad vitam*, ad supercœlestem vitam scriptum est, quam ab unigenito Dei Filio pendere indicat. Quod vero *filiorum et filiarum Sionis sordes eluit* et detersit, eorum qui crediderunt intelligit: et quod *sanguinem civitatis Jerusalem mundans* expiavit e medio ipsorum, pretioso et sancto baptismate, nullus est qui contradicat. De hoc enim Isaias vaticinatur: *Lavamini, mundi estote* [17], et cætera. Quod *spiritu judicii*, amore et benevolentia erga homines dijudicaverit, Spiritu sancto, et excogitaverit tantum bonum. Quod *spiritu ardoris*, igne sui spiritus combusserit eorum debita, qui per fidem accedunt ad

A κλήσεως. Ἀλλ' ἐγὼ οὐκ ἀνέξομαί σου τῶν ῥημάτων, ἐπειδὴ ἀκούω τοῦ προφήτου Ἡσαΐου λέγοντος· *Ἐπιλάμψει ὁ Θεὸς τῇ ἡμέρᾳ ἐκείνῃ ἐν βουλῇ μετὰ δόξης ἐπὶ τῆς γῆς, τοῦ ὑψῶσαι καὶ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ἰσραὴλ ἐν Σιὼν, καὶ τὸ καταλειφθὲν ἐν Ἱερουσαλήμ. Ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωὴν ἐν Ἱερουσαλήμ.* Καὶ μετέπειτα, *Ὅτι ἐκπλυνεῖ Κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιὼν, καὶ τὸ αἷμα Ἱερουσαλὴμ ἐκκαθαρεῖ ἐκ μέσου αὐτῶν, πνεύματι κρίσεως καὶ πνεύματι καύσεως.* Οὐκοῦν δεῖ ἡμᾶς ἀνακληθῆναι, καθὼς ἀκούεις τὰς προφητείας, καὶ γενέσθαι πάλιν εἰς τὴν ἀρχαίαν τιμὴν, μᾶλλον δὲ καὶ περισσοτέραν. Τὸ λοιπὸν μηκέτι μοι πολυλογίᾳ χρώμενος ἀντίπιπτε, ἀλλὰ πίστευσον ὅτι οὕτως ἔσται, B κἂν πρῶτον, κἂν ὕστερον.

Καὶ Ο ΑΓΙΟΣ. Μὴ συνιεὶς τῆς θείας Γραφῆς τὴν ἀκρίβειαν, λόγοις κιβδήλοις καὶ ἀνωφελέσιν ἐννοίαις, χαροποιεῖς σεαυτόν. Τὸ γὰρ, *Ἐπιλάμψει*, φησὶν, *ὁ Θεὸς τῇ ἡμέρᾳ ἐκείνῃ ἐν βουλῇ μετὰ δόξης ἐπὶ τῆς γῆς, τοῦ ὑψῶσαι καὶ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ἰσραὴλ*, ἤδη γεγένηται. Λάμψας γὰρ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἐκ τῆς ἁγίας Παρθένου καὶ Θεοτόκου ἐν Ἱερουσαλὴμ, ἐδόξασε καὶ ὕψωσε τὸ κατάλειμμα τοῦ Ἰσραήλ. Πνευματικῶς δὲ ἐδόξασε τοῦτο, καὶ οὐχὶ σωματικῶς, ὡς σὺ σαρκικὸς Ἰουδαῖος φαντάζῃ. Τί δὲ τὸ καταλειφθὲν, καὶ διά τίνος γραφὲν, πρόσεχε ἀκριβῶς, ἵνα γνῷς τί ἀγαθὸν, καὶ εἰς σωτηρίαν σου, εἴπερ βούλει, ἐπιτήδειον· τὸ C καταλειφθὲν τοῦ Ἰσραὴλ, τὸ ἐν τῇ παρουσίᾳ τοῦ Χριστοῦ πιστεῦσαν πλῆθος τῶν Ἑβραίων ἐστί. Κατελείφθη δὲ ὑπὸ Κυρίου, ἤγουν ἐκλεχθέν· ἐτηρήθη ἀπὸ τῶν τυραννούντων νοητῶς προλήψει παθῶν δαιμόνων, τὸ γένος τῶν ἀνθρώπων, ἵνα πιστεύσῃ τῷ Υἱῷ τοῦ Θεοῦ, καὶ σωθῇ, ὅπως μὴ παντελῶς ἀπόληται ἀπιστῆσαν τὸ γένος τῶν Ἑβραίων. Λέγει γὰρ περὶ τοῦ κεφαλαίου τούτου προφήτης· *Εἰ μὴ Κύριος ἐγκατέλιπεν ὑμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθητε, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθητε·* σημαίνων τοὺς ἐξ ὑμῶν πιστεύσαντας καὶ σωθέντας. Τὸ δὲ γραφὲν, *εἰς ζωὴν*, εἰς τὴν ἐπουράνιον γραφὲν ζωὴν, παρὰ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, σημαίνει. *Ὅτι δὴ ἔπλυνε τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυ-* D *γατέρων Σιὼν*, τῶν πιστευσάντων φησί· καὶ τὸ *αἷμα Ἱερουσαλὴμ ἐκάθηρεν* ἐκ μέσου αὐτῶν τῷ τιμίῳ καὶ ἁγίῳ βαπτίσματι, οὐδεὶς ὁ ἀντερῶν. Λέγει γὰρ Ἡσαΐας περὶ τούτου, *Λούσασθε καὶ καθαροὶ γίνεσθε*, καὶ τὰ ἑξῆς. *Ὅτι πνεύματι κρίσεως*, φιλανθρωπίᾳ διακρίνας, Πνεύματι ἁγίῳ, καὶ ἐξευρὼν τὸ τηλικοῦτον ἀγαθόν. *Ὅτι πνεύματι καύσεως*, τῷ πυρὶ τοῦ ἰδίου πνεύματος καταφλέξας τῶν διὰ πίστεως προσερχομένων τῇ κολυμβήθρᾳ τὰ ὀφλήματα. Καυστικὸν γὰρ μολυσμάτων τὸ Πνεῦμα τὸ ἅγιον· τὸ δὲ, *Ὑψῶσαι καὶ δοξάσαι τὸ καταλειφθὲν*, τὸ πλῆθος τοῦ Ἰσραήλ ἐστιν, ὅπερ ἐσθὲν (58)

[14] Isa. IV, 2, 3. [15] ibid. 4. [16] Isa. I, 9. [17] ibid. 16.

NOTÆ.

(58) *Ἐσθέν*. Forte λουσθὲν, *lota*. GULON.

ἀπὸ τῆς ἀπιστίας παρὰ τοῦ Σατανᾶ (καθὼς αὐτῷ ἐνεβριμήσατο ὁ Θεὸς, δι' ἀπιστίας βάλλοντι πᾶν τὸ γένος τῶν Ἰουδαίων) τοσοῦτον ὑψώθη καὶ ἐδοξάσθη, ὥστε πάντα τὰ ἔθνη τὰ πιστεύοντα εἰς τὸν Κύριόν μου καὶ Θεὸν Ἰησοῦν Χριστὸν, ἔκτοτε καὶ μέχρι τῆς δεῦρο τιμῶσιν καὶ δοξάζουσιν αὐτοὺς, καὶ εὐκτηρίους οἴκους ἀνεγείρουσιν, καὶ ἁγίους καὶ δικαίους ὀνομάζουσι αὐτοὺς, καὶ τὰς ἁγίας αὐτῶν μνήμας κατ' ἔτος ἐπιτελοῦσι, καθὼς γέγραπται, ὅτι ἅγιοι πάντες κληθήσονται, παρὰ τῶν ἐθνῶν δηλονότι, οἱ ἀπογραψάμενοι τῷ νόμῳ, καὶ γραφέντες εἰς ζωὴν, ἥτις ἐστὶν ὁ Χριστὸς, τῇ πίστει καὶ τῷ βαπτίσματι. Καὶ ἔχεις τοὺς ιβ' ἀποστόλους, ἔχεις τοὺς ο', ἔχεις τοὺς ,β, ἔχεις τοὺς ,ε τοὺς φαγόντας τοὺς ἄρτους, ἔχεις τοὺς ,δ οὓς πάντας ἀπεκτείνατε, μάρτυρας αὐτοὺς τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ ἀπεργασάμενοι. B Εἰσὶ καὶ ἄλλαι ψυχαὶ πολλαὶ, οὐ μόνον ἄνδρες, ἀλλὰ καὶ γυναῖκες, αἵτινες ἐξ Ἰουδαίων ἐπεστράφησαν, καὶ προσῆλθον τῷ ἁγίῳ βαπτίσματι. Περὶ ὧν πάντων καὶ πασῶν ἔγραψεν ὁ προφήτης, ὅτι *Τὸ ἐγκατάλειμμα τοῦ Ἰσραὴλ σωθήσεται.*

A piscinam. Nam Spiritus sanctus sordes et labes animi ardore suo absumit. Illud autem, *ut extollat et gloria afficiat reliquias*, multitudo est Israelis, quæ exesa a perfidia, a Satana (sicut ei acriter minatus est Deus, propter incredulitatem ac perfidiam Judæorum genus exagitanti) usque adeo exaltata est et glorificata, ut omnes gentes quæ in Dominum meum et Deum Jesum Christum credunt, ex eo et ad hoc usque tempus honore eos afficiant, et gloria efferant: sacris locis sive oratoriis excitent: eosdem sanctos et justos nominent: sanctas ipsorum commemorationes quotannis celebrent: sicut scriptum est, quod sancti omnes (a gentibus nimirum) vocabuntur, qui apud legem nomen professi, et in vitam (quæ est ipse Christus) ascripti per fidem et baptisma fuerunt. Habes duodecim apostolos, habes septuaginta discipulos; habes duo millia, habes quinque millia hominum qui comederunt panes; habes quatuor millia, quos omnes interfecistis, eos omnes Domini mei Jesu Christi martyres, id est, testes efficientes. Sunt et aliæ animæ multæ, non solum virorum, sed etiam mulierum, quæ ex Judæis conversæ fuerunt, et ad sacrum lavacrum accesserunt: de quibus omnibus scribit propheta, *quod Reliquiæ Israelis salvæ fient.*

ΕΡΒΑΝ. Ἐξ εὐθείας μετέστρεψας τὰ ῥήματα τῆς προφητείας εἰς τὴν σαυτοῦ ἀντίληψιν. Πλὴν, εἰ καὶ οὕτως ἔχει, πότε ὁ ἐσταυρωμένος περιπατῶν ἐν Ἱερουσαλὴμ, καθὼς μετὰ ταῦτα ἐπάγει ὁ προφήτης, *Τὰ περὶ κύκλῳ Σιὼν ἐπεσκίασε νεφέλη ἡμέρας, καὶ ὡς καπνοῦ, καὶ ὡς φωτὸς πυρὸς καιομένου νυκτός;* Πότε δὲ ἐγένετο αὐτὸς πάσῃ δόξῃ σκέπων (59), καὶ εἰς σκιὰν ἀνατέλλων ἑαυτὸν ἡμέρας C τοῖς ὑπηκόοις ἀπὸ καύματος, καὶ ἐν σκέπῃ καὶ ἐν ἀποκρύφῳ ἀπὸ σκληρότητος καὶ ὑετοῦ; Ἀπὸ γὰρ τοῦ, τὸ, *Αἷμα Ἱερουσαλὴμ ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν πνεύματι κρίσεως, καὶ πνεύματι καύσεως,* ταῦτα ἐπάγει ὁ προφήτης.

HERB. Directo verba prophetiæ ad tuum sensum et subsidium detorsisti. Veruntamen si ita est, quando crucifixus ambulans in civitate Jerusalem, sicut postea subdit propheta: *Sionis ambitus et circuitus obumbrabit nebula diei et fumi instar et lucis et ignis ardentis nocte* [18]? Et quando ipse omni gloria velatus fuit, et in umbram se ipsum oriri fecit diem obedientibus ab ardore et æstu, et in velamine et in tegmine a duritie et pluvia? Nam post hæc verba: *Sanguinem Jerusalem emundabit e medio ipsorum spiritu judicii, et spiritu exustionis* [19], hæc subjungit propheta.

Καὶ Ο ΑΓΙΟΣ. Σὺ τοίνυν ἐν ταῖς ἡμέραις τῆς παρουσίας αὐτοῦ ἦς, καὶ ἔβλεπες, κἄν τε νεφέλη ἐπεσκίαζε, κἂν πυρὸς φωτὶ καιομένῳ ἐφώτιζε, ἢ ἕτερόν τι διέπραττεν, ὅτι φληναφᾷς περὶ αὐτοῦ; Μὴ εἰδὼς γὰρ τὸν ἀληθῆ νοῦν τῆς θείας Γραφῆς, ἅπαντα σωματικοῖς νοήμασιν ἐπιτηδεύεις διακρίνειν, καὶ σπεύδεις. Ἀλλὰ πρόσεχε τίνα δηλοῦσι τὰ εἰρημένα. Ἐπεὶ σῦκα, ὦ Ἰουδαῖε τυφλὲ, σὺ δοκῶν συνάγειν, τριβόλους καρπίζῃ. Λέγει γὰρ ὁ προφήτης, ὅτι ἥξει Κύριος· καὶ ἐπιστάμεθα ἡμεῖς ὅτι ἐλήλυθε. *Καὶ ἔσται*, φησὶ, *πᾶς τόπος τοῦ ὄρους Σιὼν, καὶ πάντα τὰ περικύκλῳ αὐτῆς.* Ἡ Σιὼν ἐκείνη, ὄρος πέφυκε, καὶ ὄρος ὑψηλόν. Σιὼν δὲ καὶ ὄρος μοι νόει, τὴν ἐν τῷ οὐρανῷ μητρόπολιν Σιὼν, καὶ τὴν ἐξ ἐκείνης Ἐκκλησίαν τῶν ἐθνῶν. Ὅτι δὲ ἐστι πᾶς τόπος τοῦ ὄρους Σιὼν, καὶ τὰ περὶ κύκλῳ αὐτῆς ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ τὴν Σιὼν, μαρτυρεῖ ἡ ἀλήθεια. Τοῦ Κυρίου γὰρ σαρκωθέντος, ἀπετάξατο τῷ διαβόλῳ, καὶ εἶξε τῇ ὑποταγῇ ὑπο-

S. ARCH. Tunc in diebus adventus ejus eras, et videbas, sive nebula obumbrabat, sive luce ignis ardente illustrabat, aut aliud quid agebat, quod de ipso nugaris? Nesciens enim veram divinæ Scripturæ mentem, omnia corporalibus notionibus dijudicare instituis et properas. Verum attente audi, et intellige effata, quem declarant. Quoniam ficus, o Judæe cæce, dum putas te colligere, tribulos carpis. Dicit enim propheta, D quod veniet Dominus: et nos scimus eum venisse. *Et erit*, inquit, *omnis locus montis Sion, et omnia quæ sunt in ejus ambitu* [20]. Sion illa, mons fuit, et mons excelsus. Ergo mihi Sionem et montem mente et animo concipe eam quæ in cœlo est, civitatem **624** metropolin, et eam quæ ex illa est, Ecclesiam gentium intellige. Quod autem omnis locus montis Sionis et ambitus ejus est sub potestate ipsius, testatur veritas. Nam postquam Dominus carne fuit indutus, diabolo renuntiavit et valere jussit: et quæ inferior est Sion, se submisit et subjecit ei

[18] Isa. IV, 5. [19] ibid. 4. [20] ibid. 3.

NOTÆ.

(59) *Σκέπων.* In textu prophetiæ legitur ut infra, σκεπασθήσεται. ID.

Sioni quæ superna est, Domino meo Jesu Christo postquam credidit. Dic mihi tu, estne locus sub ea quæ supercœlestis est Sion, in quo ecclesiæ non sint Deo crucifixo dicatæ et consecratæ? Spiritaliter enim res intelliguntur, et non carnaliter. Quod autem dictum est *Obumbrabit nebula*, hoc ideo scriptum est, quia quando transformatus est et transfiguratus in monte Thabor coram suis discipulis, nubes lucida obumbravit ipsos. Et iterum cum in cœlum ipse assumptus est, scriptum est, quod nubes subduxit ipsum ex oculis discipulorum ejus. Hoc autem quod propheta clamavit, *fumi instar, et ignis noctu ardentis*, et quod *Omni gloria velabitur*, id declarat: hoc quidem, *fumi*, propter caliginem quæ mente percipitur, nempe corpus, quod ferens velabat divinitatem ab oculis vestris, qui Judæi estis increduli et pervicaces, signa faciens, ne a vobis cognosceretur, ut quod dixit Isaias, adimpleatur, quod *Induravit cor ipsorum* [21], et quæ sequuntur. Et David: *Et posuit tenebras* [22], nempe corpus, *latibulum suum:* id est, ejus deitatis, ne videatur ab incredulis. Fumus autem, id est tenebræ, nihil permisit efficere, quam oculorum aciem acriter perstringere et excæcare: propterea qui fumo infestatur, non aliud clare cernere, quam offusas sibi tenebras. Semper enim Deus incredulorum mentes et intelligentias excæcat. Instar lucis ignis noctu ardentis, ipse lux erat: quod etiam dixit: *Ego lux in mundum veni* [23]. Ardebat autem, id est, effulgebat inaccessa et invia divinitate, per signa et miracula, his Judæis qui tum in hujus vitæ nocte et tenebris versabantur. Illud vero, *omni gloria obtegetur*, hoc declarat. Crucifixus enim tanta gloria a Deo Patre illustratus est, et in terra a veris hominibus tanto honore decoratus, ut omnia regna quæ sub cœlo sunt, Deum ipsum verum et Dominum et herum et regem et redemptorem confiteantur, colant, adorent, ei supplicent et serviant. Quod autem dicit, *Et erit in umbram diei ab æstu*, diem quidem dicit spiritalem operationem: æstum vero, tela maligni ignita. Si quidem Dominus in omnibus diebus sæculi hujus, ipse innumbrat, protegit, tutatur, custodit eos qui diligunt ipsum: non solum ab æstu et ardore maligni inflammantis animas hominum ad operandum iniquitatem diaboli, verum etiam ab incursu et dæmonio meridiano, et reliqua tyrannide Satanæ, quæ est dirities et pluvia maligna. Hæc autem suntne distorsiones præposteræ et notiones absurdæ atque sermones impuri? Hæc, o Herbane, sic interpretanda sunt et comparanda. De Synagoga autem vestrum Judæorum, animadverte quænam progrediens idem propheta in sua prophetia effatur: *Hæc autem ducit Dominus: Plantavi vineam Sorech* [24]. Sorech exponitur *malleolus*, sive *sarmentum dextrum:* hoc erat

A κάτω τῆς ἄνω Σιων, τῷ Κυρίῳ μου Ἰησοῦ Χριστῷ πιστεύσας. Ἀνάγγειλον δέ μοι αὐτὸς, ἔστι τόπος ὑποκάτω τῆς ὑπ' οὐρανὸν, ἐν ᾧ ἐκκλησίαι οὐ πεφύκασι τῷ ἐσταυρωμένῳ Θεῷ; Πνευματικῶς γὰρ νοοῦνται τὰ πράγματα, καὶ οὐ σωματικῶς. Ὅτι δὲ εἴρηται *Σκιάσει* (60) *νεφέλη*, γέγραπται, ὅτι ἡνίκα μετεμορφώθη ἐπὶ τοῦ ὄρους Θαβὼρ κατὰ πρόσωπον τῶν μαθητῶν αὐτοῦ, νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς. Καὶ ἐν τῷ ἀναληφθῆναι αὐτὸν πάλιν εἰς τὸν οὐρανὸν, γέγραπται, ὅτι νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν τῶν μαθητῶν αὐτοῦ. Τὸ δὲ, *Καὶ ὡς καπνοῦ καὶ ὡς φωτὸς πυρὸς νυκτὸς καιομένου*, ἐφώνησεν ὁ προφήτης, καὶ ὅτι *Πάσῃ τῇ δόξῃ σκεπασθήσεται*, τοῦτο δὲ δηλοῖ· τὸ μὲν, *καπνοῦ*, διὰ τὸν γνόφον λέγει τὸν νοητὸν ἤτοι σῶμα, ὃ φορῶν ἐκάλυπτε τὴν θεότητα ἀπὸ ὑμῶν τῶν ἀπίστων Ἰουδαίων,
B σημεῖα τελῶν τοῦ μὴ γνωσθῆναι, ἵνα πληρωθῇ καὶ ἃ εἶπεν Ἡσαΐας, ὅτι *Πεπώρωκεν αὐτῶν τὴν καρδίαν*, καὶ τὰ ἑξῆς. Καὶ ὁ Δαβὶδ, *Καὶ ἔθετο σκότος*, ἤγουν τὸ σῶμα, *ἀποκρυφὴν αὐτοῦ*, τοῦτ' ἔστι τῆς θεότητος αὐτοῦ, ἀπὸ τῶν ἀπίστων. Καπνὸς δὲ σκότος, οὐδὲν εἴασεν ἐνεργεῖν, ἢ τοὺς ὀφθαλμοὺς δριμύττειν καὶ τυφλεῖν· πρὸς τὸ, μὴ καλῶς ὁρᾷν τὸν καπνιζόμενον, ἢ τὸν σκότον βαλλόμενον αὐτοῦ ἔμπροσθεν. Ἀεὶ γὰρ ὁ Θεὸς τῶν ἀπίστων τυφλοῖ τὰ νοήματα. Ὡς δὲ φωτὸς πυρὸς καιομένου νυκτὸς, φῶς αὐτὸς ἦν· ὅτι δὲ καὶ ἔλεγεν, *Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα*. Ἐκαίετο δὲ, ἤγουν ἐξέλαμπε τῇ ἀπροσίτῳ θεότητι, διὰ τῶν σημείων καὶ τῶν θαυμάτων τοῖς ἐν νυκτὶ τοῦ βίου τότε χρηματίζου-
C σιν Ἰουδαίοις. Τὸ δὲ, *Πάσῃ δόξῃ σκεπασθήσεται*, τοῦτο δηλοῖ. Σταυρωθεὶς γὰρ τοσοῦτον ἐδοξάσθη παρὰ τοῦ Πατρὸς, καὶ ἐτιμήθη ἐπὶ γῆς ὑπὸ τῶν ἀληθῶς ἀνθρώπων, ὅτι πᾶσαι αἱ βασιλεῖαι τῆς ὑπ' οὐρανὸν, Θεὸν αὐτὸν ἀληθῆ καὶ Κύριον καὶ Δεσπότην, καὶ βασιλέα καὶ λυτρωτὴν ὁμολογοῦσαι, τιμῶσι καὶ προσκυνοῦσι καὶ λατρεύουσιν. Ὅτι δὲ λέγει, *Ὅτι ἔστιν ὡς σκιὰν* (61) *ἡμέρας ἀπὸ καύματος*, ἡμέραν λέγει, τὴν πνευματικὴν ἐργασίαν· καῦμα δὲ, τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα. Ὁ Κύριος μὲν οὖν ἐν πάσαις ταῖς ἡμέραις τοῦ αἰῶνος τούτου, αὐτὸς σκιάζει καὶ φρουρεῖ καὶ φυλάττει πάντας τοὺς ἀγαπῶντας αὐτόν· οὐ μόνον ἀπὸ καύσωνος τοῦ πονηροῦ τοῦ καίοντος τὰς ψυχὰς τῶν ἀνθρώπων, εἰς
D τὸ ἐργάζεσθαι τὴν ἀνομίαν τοῦ διαβόλου, ἀλλὰ ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ, καὶ τῆς λοιπῆς τυραννίδος τοῦ Σατανᾶ, ὅπερ ἐστὶ σκληρότης καὶ ὑετὸς πονηρός. Διαστροφαὶ δὲ ταῦτα καὶ ἔννοιαι ἄλογοί τε καὶ ἀκάθαρτοι; Ταῦτα, ὦ Ἑρβᾶν, οὕτως ἑρμηνεύονται, καὶ οὕτως συγκρίνονται. Περὶ δὲ τῆς Συναγωγῆς τῶν Ἰουδαίων ὑμῶν, πρόσχες τίνα προβαίνων ὁ αὐτὸς προφήτης λέγει ἐν τῇ αὐτοῦ προφητείᾳ· *Τάδε λέγει Κύριος· Ἐφύτευσα ἄμπελον Σωρήχ*· Σωρὴχ δὲ ἑρμηνεύεται *κληματὶς δεξιά*· διὰ τὸν Ἀβραὰμ τοῦτο ἦν πρόδηλον. *Καὶ φραγμὸν*

[21] Isa. vi, 10. [22] Psal. xvii, 12. [23] Joan. xii, 46. [24] Isa. v, 1.

NOTÆ.

(60) *Σκιάσει*. Forte, ἐπεσκίασε. GULON.
(61) *Ὡς σκιάν*. In textu, καὶ ἔσται εἰς σκιάν. Vel legendum, ὡς σκιά. ID.

αὐτῷ περιέθηκα, καὶ ἐχαράκωσα, καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ, καὶ ὑπολήνιον ὤρυξα ἐν αὐτῷ, καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας. Καὶ νῦν, ἄνθρωποι τοῦ Ἰούδα, καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ, κρίνατε ἐν ἐμοὶ καὶ τῷ ἀμπελῶνί μου. Τί ποιήσω ἔτι τῷ ἀμπελῶνί μου, καὶ οὐκ ἐποίησα αὐτῷ; διότι ἔμεινα ἵνα ποιήσῃ (62) σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας. Ἐπάγων δὲ τὴν ἀπώλειαν ὑμῶν, καὶ τὸ, τί δέοι γενέσθαι περὶ ὑμῶν, λέγει· *Νῦν οὖν ἀναγγελῶ ὑμῖν*, φησὶ, *τί ποιήσω ἀμπελῶνί μου*. Ἐνταῦθα πρόσεχε, ὦ Ἑρβᾶν, τῇ ἀκριβεῖ τῆς Συναγωγῆς ὑμῶν καταλύσει. *Ἀφελῶ γὰρ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγήν*. Τίς ὁ φραγμός; Πάντως ὁ νόμος, ὁ περιορίζων κύκλῳ τῶν προσταγμάτων τοῖς φραγμοῖς τὸν ἐξ Αἰγύπτου μεταρθέντα ἀμπελῶνα, πρὸς τὴν γῆν τῆς ἐπαγγελίας. Τίνες οἱ διαρπάσαντες; Αἰσθητῶς μὲν Ἀσσύριοι, Πέρσαι, Ῥωμαῖοι· νοητῶς δὲ, οἱ νοητοὶ δαίμονες, οἱ εἰς τὰς αἱρέσεις ἁρπάσαντες. Καὶ γὰρ ὑμεῖς ἐν ποικίλαις αἱρέσεσι κατὰ καιρὸν τὸν νόμον τοῦ Μωσέως παρετρώσατε. *Καὶ καθελῶ*, φησὶ, *τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα*. Τίς ὁ τοῖχος; Ἡ τοῦ Ὑψίστου δεξιὰ, ἡ προπύργιος ἀσφάλεια τῶν ἀγαπώντων αὐτόν. Τίνες οἱ καταπατοῦντες; Οἱ αἰχμαλωτεύσαντες ἐχθροὶ, οἱ νοητῶς τε καὶ αἰσθητῶς ἄρξαντες τῆς συναγωγῆς ὑμῶν, ὧν ἐπὶ τέλους ὁρῶ Πιλᾶτον καὶ τοὺς πρὸ αὐτοῦ. *Καὶ ἀνήσω*, φησὶ, *τὸν ἀμπελῶνά μου*, τοῦτ' ἔστι, καταλείψω ἔρημον· *καὶ οὐ μὴ τμηθῇ, οὐδ' οὐ μὴ σκαφῇ*, τοῦτ' ἔστιν, οὐκ ἐπάξω ἐπιμέλειαν εἰς αὐτόν. *Καὶ ἀναβήσεται εἰς αὐτὸν*, ὡσεὶ χέρσον, *ἄκανθα*· ἤγουν ἀρθῇ εἰς αὐτὸν ἁμαρτία πολλὴ, ὡς εἰς ἔθνος ἄνομον καὶ ἀπεριόδευτον, ἐν πολλῇ ἀνομίᾳ καὶ ἀγνωσίᾳ χρηματίζον. *Καὶ ταῖς νεφέλαις ἐντελοῦμαι, τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν*. Τί εἰσιν αἱ νεφέλαι; Αἱ προφητεῖαι καὶ τὰ βιβλία τοῦ νόμου· βροχαὶ δὲ οἱ λόγοι, καὶ ὑετοὶ τὰ νοήματα. Παντελῶς γὰρ ἀπετυφλώθητε, καὶ οὐ δύνασθε ἀναγνῶναι τὸν ἀληθῆ νοῦν τῆς θείας Γραφῆς ὑμῶν. Ἵνα δὲ μὴ εἴπῃς ὅτι περὶ ἑτέρου κεφαλαίου ὁ προφήτης ταῦτα ᾐνίξατο, καὶ οὐχὶ περὶ τῆς Συναγωγῆς ὑμῶν, τρανώσας τὴν προφητείαν, μᾶλλον δὲ καθαροποιήσας, ἐπήγαγεν· *Ὁ γὰρ ἀμπελὼν Κυρίου Σαβαὼθ*, φησὶν, *οἶκος τοῦ Ἰσραὴλ ἐστι, καὶ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον*· τοῦτ' ἔστιν, ἡ ἐξ Ἰούδα βασιλικὴ γενεαλογία τοῦ Δαβίδ. Ταῦτα οὖν οὐχ οὕτως ἔχει περὶ ὑμῶν, ὦ ἀνόητε καὶ ἄπιστε Ἰουδαῖε; καὶ σὺ καθέζῃ, καὶ ἐκδέχῃ ἀνακληθῆναι. *Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία*. Εἰ γὰρ ἃ κατέλυσεν ὁ Θεὸς, μᾶλλον δὲ πεπλήρωκε, μέλλει ἔπειτα καὶ νῦν οἰκοδομεῖν, τολμηρὸν εἰπεῖν, ὅτι παραβάτην ἑαυτὸν συνίστησι. Θεὸς δὲ παραβάτης οὐκ ἂν γένηται ποτε. Οὐ γὰρ πέφυκεν ὑπὸ λήθην ὡς ὑμεῖς.

perspicuum propter Abrahamum. *Et sepem circumposui, et obvallavi, et ædificavi turrem in medio ejus, et torcular fodi in ipsa, et exspectavi donec uvam funderet, sed spinas acutas reddidit. Et nunc homines Juda, et qui habitant in Jerusalem, judicate in me et in vinea mea. Quid faciam amplius vineæ meæ, et non feci ipsi? Ideo exspectavi, ut uvam redderet, spinas autem produxit* [25]. **625** Subjungens autem vestram perniciem et interitum, et quid de vobis fieri oporteret, enuntiat: *Nunc*, inquit, *annuntiabo vobis quid faciam vineæ meæ*. Hic adverte mentem diligenter, o Herbane, et considera exactam vestræ Synagogæ destructionem et ruinam. *Auferam*, inquit, *sepimentum ejus, et erit in prædam ac direptionem* [26]. Quæ illa sepes? Omnino est lex, quæ circumdat et ambit, cingitque mandatorum sepimentis vineam ex Ægypto in terram promissionis translatam. Quinam illam diripuerunt? Sensibiliter quidem Assyrii, Persæ, Romani : intelligibiliter vero, dæmones intelligibiles, qui illam ad hæreses raptarunt. Nam et vos variis hæresibus agitati ad tempus, legem Mosis perverse vulnerastis. *Et demoliar*, inquit, *murum ejus, et erit in conculcationem.* Quis hic murus? Altissimi dextra, præturritum præsidium, sive tutamen eorum qui diligunt ipsum. Quinam sunt qui conculcant? Inimici, qui captos in servitutem redegerunt, qui et mente et sensu vestræ Synagogæ præfuerunt, quorum ultimos video Pilatum, et eos qui ante ipsum fuerunt. *Et remittam*, inquit, *vineam meam*, id est, desertam et vastam et incultam relinquam: *neque putabitur, neque fodietur*; hoc est, nullam curam et diligentiam in ea ponam. *Et ascendent* in ipsam, velut terram incultam, *vepres et spinæ* [27]: nimirum peccatum multum in eam invehetur, sicut in gentem exlegem et inaccessam, atque in multa iniquitate et ignorantia versantem. *Et nubibus mandabo ne pluviam in ipsam defundant.* Quid sunt nubes? Prophetiæ, et libri legis. Irrigationes vero sunt sermones; et pluviæ, mentis et intellectus sensus profundiores. Omnino enim excæcati estis, neque verum divinæ Scripturæ vestræ sensum et mentem legendo percipere et assequi potestis. Ne forte prophetam dixeris hæc de alia re vaticinatum fuisse, non autem de vestra Synagoga; ipse vaticinium explanans, imo vero purum et clarum reddens, subinde addidit: *Vinea enim Domini sabaoth*, inquit, *domus Israel est, et homo Juda, nova planta dilecta*: id est, ex Juda regia progenies Davidis. Hæc igitur non sic se habent et intelliguntur de vobis ipsis, o insane et incredule Judæe? atque interim tu desides, et revocationem atque instaurationem exspectas. *Longe a peccatoribus salus* [28]. Si enim quæ destruxit Deus, imo vero quæ adimplevit, esset deinde et nunc instauraturus; audax et impium dictu, quod se ipsum transgressorem constitueret. Atqui transgressor Deus nunquam esse potest. Non enim in eum, sicut in vos, cadit oblivio.

[25] Isa. v, 2-4. [26] ibid. 5. [27] ibid. 6. [28] Psal. CXVIII, 155.

NOTÆ.

(62) *Ποιήσῃ*. Scribe, ποιῆσαι. Id.

HERB. Plurima verba funditare didicisti, spem Israelis excludens atque exterminans. Nondum tamen me penitus attonitum reddes : quoniam dicit Isaias de revocatione Israelis, veritatem purius ostendens. *Et erit*, ait, *in die illo : Adjiciet Dominus ut ostendat manum suam ut æmuletur, et quærat reliquias populi Israelis, quæ relictæ fuerunt ab Assyriis, ab Æthiopibus, ab Elamitis, et ab Ægypto et Babylone, et a solis ortibus, et Arabibus, et ab insulis maris. Et tollet signa ad gentes, et colliget dissolutos Israelis, et dispersos Juda congregabit ex quatuor alis terræ. Et auferetur zelus Ephraim, et inimici Juda peribunt. Et erit Israeli, sicut in die quo exiit ex Ægypto* [29]. *Et dices*, inquit, *in die illo : Benedicam tibi, Domine, eo quod iratus es mihi* [30]. Et deinde : *Avertisti iram tuam a me et misertus es mei.* Nunquid ita est ? ostende. Non solum, inquit, revocabitur Israel, verum etiam **626** inimici Juda, qui quidem estis vos Christiani, peribunt. Hæc vera sunt, nisi mendaces sint prophetæ.

ΕΡΒΑΝ. Πλεῖστα μεμάθηκας πολυλογεῖν, ἐξωβάλλων τὴν τοῦ Ἰσραὴλ ἐλπίδα. Ἀλλ' ἐμὲ οὔπω καθόλου πτοήσεις· ἐπειδὴ λέγει Ἡσαΐας περὶ τῆς τοῦ Ἰσραὴλ ἀνακλήσεως, καθαροποιῶν τὴν ἀλήθειαν· *Καὶ ἔσται*, φησὶ, *τῇ ἡμέρᾳ ἐκείνῃ, προσθήσει Κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ, τοῦ ζηλῶσαι, καὶ ζητῆσαι τὸ καταλειφθὲν ὑπόλοιπον τοῦ Ἰσραὴλ* (63), *ὃ ἐὰν καταλειφθῇ ἀπὸ τῶν Ἀσσυρίων, καὶ ἀπὸ Αἰθιοπίας, καὶ ἀπὸ Ἐλαμιτῶν, καὶ ἀπὸ Αἰγύπτου καὶ Βαβυλῶνος, καὶ ἀπὸ ἡλίου ἀνατολῶν, καὶ ἐξ Ἀραβίας, καὶ ἀπὸ τῶν νήσων τῆς θαλάσσης· καὶ ἀρεῖ σημεῖα, εἰς τὰ ἔθνη, καὶ συνάξει τοὺς ἀπολλυμένους* (64) *Ἰσραὴλ, καὶ τοὺς διεσπαρμένους Ἰούδα συνάξει ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς. Καὶ ἀφαιρεθήσεται ὁ ζῆλος Ἐφραΐμ, καὶ οἱ ἐχθροὶ Ἰούδα ἀπολοῦνται. Καὶ ἔσται τῷ Ἰσραὴλ ὡς τῇ ἡμέρᾳ ᾗ ἐξῆλθεν ἐκ γῆς Αἰγύπτου. Καὶ ἐρεῖς*, φησὶν, *ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Εὐλογήσω σε, Κύριε, διότι ὠργίσθης μοι.* Καὶ ἔπειτα, *Ἀπέστρεψας τὸν θυμόν σου ἀπ' ἐμοῦ, καὶ ἠλέησάς με.* Εἰ τοίνυν οὐκ ἔστιν οὕτως; δεῖξον. Οὐ μόνον γὰρ ὁ Ἰσραὴλ ἀνακληθήσεται, φησὶν, ἀλλὰ καὶ οἱ ἐχθροὶ Ἰούδα, οἵτινές ἐστε ὑμεῖς οἱ Χριστιανοὶ, ἀπολοῦνται. Ταῦτα οὕτως ἔχει, ἢ ψευδεῖς οἱ προφῆται.

S. ARCH. Tu quidem solum quod tibi conducit, locutus es : quod vero meæ causæ favet, et pro me facit, silentio præteriisti. In summa eorum quæ recitasti, quid innuit propheta?

HERB. Quid ait ? responde tu ipse.

S. ARCH. *Sic dicit Dominus*, inquit : *Erit in die illo radix Jessæ, et qui surgit ut imperet gentibus : in ipso gentes sperabunt* [31]. Ne vero dicas, eum qui surgit ut imperet gentibus, Dei esse inimicum, *e radice Jessæ ipsum fore*, addidit : *Et erit*, inquit, *requies ejus, honor*. Intelligis, o rudis et indocte, divinum honorem prophetam dixisse ejus requiem? Ergo certo scias, quod ille qui ut gentibus imperet, surgit, a Deo est : quandoquidem et honor ejus requies nominata est. Quod autem subjungit postea, quod *tollet signum ad gentes, et congregabit abjectos Israelis, et dissipatos Juda simul adducet* [32]; jam prædixi, quod neque semel neque bis congregavit, sed sæpe. Sed vos in ea estis contumacia et incredulitate : deinde ad tempus postquam permansistis, iterum dispersi fuistis, atque in hac dispersione ad hunc usque diem permanetis. Et hoc quidem tibi a me datum est ad defensionem tui verbi. Quod si vis verum et apertum hujus prophetiæ sensum percipere et intelligere, sic animadverte. *Sic*, inquit propheta, *dicit Dominus : Erit in die illo radix Jessæ, et qui surgit ad imperandum gentibus* [33]. Quænam illa radix Jessæ alia, quam domina mea et Deipara Virgo Maria, quæ est de tribu Jessæ? Quis ille qui surgit ad imperandum gentibus? Jesus Christus qui ex ea natus est. Et quod *ad im-*

Καὶ Ο ΑΓΙΟΣ. Σὺ μὲν τὸ συμφέρον σοι μόνον λελόληκας, τὸ δὲ συμφέρον ἐμοὶ, παρεσιώπησας. Τίς δὲ φάσκει ἐν κεφαλαίῳ τῶν ῥηθέντων παρὰ σοῦ;

ΕΡΒΑΝ. Τίνα λέγει; ἀποκρίθητι ταῦτα σύ.

Καὶ Ο ΑΓΙΟΣ. *Οὕτω λέγει*, φησὶ, *Κύριος· Ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν τῶν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι.* Καὶ ἵνα μὴ εἴπῃς, ὅτι ἐναντίος τίς ἐστι τῷ Θεῷ ὁ ἀνιστάμενος ἄρχειν τῶν ἐθνῶν, *Ἐκ τῆς ῥίζης ἔσται τοῦ Ἰεσσαὶ*, ἐπήγαγε· *Καὶ ἔσται*, φησὶν, ἡ *ἀνάπαυσις αὐτοῦ, τιμή*. Προσέχεις, ἀπαίδευτε καὶ ἀδίδακτε, ὅτι τιμὴν ἔνθεον τὴν ἀνάπαυσιν αὐτοῦ ὁ προφήτης εἴρηκεν; Οὐκοῦν τέως πληροφορήθητι, ὅτι παρὰ Θεοῦ ὁ ἀνιστάμενος ἄρχειν τῶν ἐθνῶν, ἐπειδὴ καὶ τιμὴ ἡ ἀνάπαυσις αὐτοῦ ὠνομάσθη. Ὅτι δὲ ἐπάγει μετὰ ταῦτα, ὅτι *Ἀρεῖ σημεῖον εἰς τὰ ἔθνη*, φησὶ, *καὶ συνάξει τοὺς ἀπωσμένους Ἰσραὴλ, καὶ τοὺς διεσπαρμένους Ἰούδα συνάξει*, προλαβὼν εἴρηκα, ὅτι οὔτε ἅπαξ, οὔτε δὶς συνήγαγεν, ἀλλὰ καὶ πολλάκις. Ἀλλ' ὑμεῖς ἐν τῇ αὐτῇ ἀπειθείᾳ ἐστέ· ἔπειτα διαμείναντες ἐν καιρῷ, πάλιν διεσκορπίσθητε, καὶ ἐν τῷ αὐτῷ διασκορπισμῷ μέχρι τῆς δεῦρο διαμένετε. Καὶ τοῦτο μὲν ἐδόθη σοι πρὸς ἀπολογίαν τοῦ σοῦ ῥήματος παρ' ἐμοῦ. Εἰ δὲ βούλει μαθεῖν τὸ ἀληθὲς τῆς προφητείας ταύτης, καὶ τὸ σαφὲς, πρόσεχε ὧδε. *Οὕτω λέγει*, φησὶ, *Κύριος· Ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν τῶν ἐθνῶν.* Τίς ἡ ῥίζα τοῦ Ἰεσσαὶ, ἀλλ' ἢ ἡ ἐμὴ Δέσποινα καὶ Θεοτόκος Μαρία, ἡ ἐκ φυλῆς τοῦ Ἰεσσαὶ χρημα-

[29] Isa. xi, 11-13. [30] Isa. xii, 1. [31] Isa. xi, 10. [32] ibid. 12. [33] ibid. 10.

NOTÆ.

(63) *Τοῦ Ἰσρ.* Τοῦ λαοῦ Ἰσρ. GULON.
(64) *Ἀπολλυμ.* Ἀπολομένους, vel ἀπωσμένους. ID.

τίζουσα; Τίς ὁ ἀνιστάμενος ἄρχειν τῶν ἐθνῶν; Ἰησοῦς ὁ Χριστὸς ὁ ἐξ αὐτῆς γεννηθείς. Ὅτι δὲ *ἄρχειν τῶν ἐθνῶν*, ὁρᾷς πάντως. Ὅτι δὲ καὶ *ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι*, βλέπεις. Ὅτι δὲ πέφυκεν *ἡ ἀνάπαυσις αὐτοῦ, τιμή*, κόρος οὐκ ἔστιν. Ἀνάπαυσιν δὲ αὐτοῦ, τὴν κοίμησιν λέγει, τοῦτ' ἔστι τὸν θάνατον, ὃν ἐπὶ τοῦ σταυροῦ κρεμάμενος δέδωκε. Καὶ ἐπάγει εὐθέως ὁ προφήτης λέγων, *Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ*. Ποία ἡμέρα (65), πρόδηλον ἐν ᾗ ἵστατο ὁ ἀνιστάμενος ἄρχειν. Εἰ δὲ ἐρεῖς ὅτι οὐκ ἐν ταύτῃ τῇ ἡμέρᾳ λέγει, δεῖξον σὺ περὶ ποίας λέγει. Εἰ γὰρ ἐπὶ συντέλειαν εἴπῃς, ἔδει καὶ τὸν προφήτην συντέλειαν ὀνομάσαι. Ἀλλ' οὐκ ἂν ἔχοις τοῦτο παραστῆσαι. Διὰ τοῦτο, *Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ*, φησὶ, *προσθήσει Κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ*. Τί ἐστι, *προσθήσει Κύριος*; Ἤγουν, ὁ δεξάμενος τὰ ἔθνη ἐπιστραφέντα, προσθήσει δὲ καὶ ἀπὸ τοῦ Ἰσραὴλ, τοὺς ἀληθινοὺς Ἰσραηλίτας, τοὺς καὶ τὸν νόμον καλῶς τηρήσαντας, καὶ εἰς τὸν χριστιανισμὸν προθύμως ἐκνεύσαντας, διὰ τῆς εἰς αὐτὸν πίστεως ἀνακαλέσασθαι, καὶ μεταστῆσαι εἰς τὸν χριστιανισμὸν, οὐ μόνον ἀπὸ Ἱεροσολύμων, ἀλλὰ καὶ ἐκ πάντων τῶν περάτων τῆς οἰκουμένης. Διασπαρέντων γὰρ τῶν μαθητῶν αὐτοῦ εἰς τοὺς δώδεκα ἀνέμους τῆς ὑπ' οὐρανὸν, πολὺ πλῆθος καὶ ἀπὸ τῶν ἐν ὅλῳ κόσμῳ διασκορπισθέντων Ἰουδαίων ἐπίστευσαν πανοικὶ, καὶ συνήχθησαν μετὰ τῶν πιστευσάντων ἐθνῶν ἐν τῇ Ἐκκλησίᾳ. Οὐκοῦν λέγει, ὅτι *Ἀρεῖ σημεῖον εἰς τὰ ἔθνη*. Τί τὸ σημεῖον, ἀλλ' ἢ ὁ τίμιος καὶ ζωοποιὸς σταυρός; Δι' αὐτοῦ γὰρ συνάξει τοὺς ἀπολλυμένους τοῦ Ἰσραὴλ εἰς σωτηρίαν, καὶ τοὺς ἀπωσμένους Ἰούδα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Εἰ δὲ καὶ ἐρεῖς, Καὶ ποῦ ὁ σταυρὸς ἐν τῇ Παλαιᾷ σημεῖον ὠνομάσθη; λέγει γὰρ ὁ Δαβὶδ πρὸς Κύριον, προφητεύων περὶ τοῦ σταυροῦ, *Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν*, καὶ τὰ ἑξῆς. Ταῦτα οὕτως ἔχει βεβαίως κατὰ τὴν τοῦ Πνεύματος θείαν διάκρισιν.

Καὶ Ο ΕΡΒΑΝ. Ὁ προφήτης λέγει καθολικῶς ζητῆσαι τὸ καταλειφθὲν ὑπόλοιπον τοῦ λαοῦ. Καὶ αὐτὸς λέγεις τοὺς ἀποσπασθέντας τοῦ νόμου, καὶ τῷ Χριστῷ πεπιστευκότας, τούτους νόμους ἀσφαλῶς ᾐνίξατο· καὶ πῶς τοῦτο;

Καὶ Ο ΑΓΙΟΣ. Τίνα γέγραπται περὶ τοῦ νόμου; *Ἐπικατάρατος*, φησὶ, *πᾶς ὃς οὐκ ἐμμένει ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά*. Οὐκοῦν οἱ μὴ φυλάσσοντες τὸν νόμον, οὐκ εἰσὶν ἄξιοι μετὰ τοῦ φυλάσσοντος λαοῦ συναριθμηθῆναι, ὃν τρόπον καὶ οἱ Χριστιανοί· πάντες μὲν Χριστιανοὶ ὀνομάζονται· ἀλλ' οἱ φυλάσσοντες τὰ τῶν Χριστιανῶν παραγγέλματα, οὗτοι μόνοι Χριστιανοί εἰσιν· οἱ δὲ μὴ φυλάσσοντες, ἀχριστιανοί. Οὕτω κατὰ τὰς ἡμέρας ἐκείνας ἐν ἀληθείᾳ ὅσοι ἐφύλαττον τὸν νόμον Μωσέως ἀκριβῶς, παραγενομένου τοῦ Χριστοῦ μου μόνον ἀκούσαντες, εὐθέως κατενύγησαν παρὰ τοῦ Θεοῦ τοῦ νόμου, καὶ πεπιστεύκασιν εἰς τὸν μονογενῆ αὐτοῦ καὶ φίλτατον Υἱόν. Ὅσοι δὲ καὶ πρὸ τοῦ Χριστοῦ οὐκ ἐφύλασσον τὸν νόμον τοῦ Θεοῦ, ἀλλ'

perandum gentibus, vides aperte. Quod autem *in eo sperabunt gentes*, perspicis. Quod vero *requies ejus, honor*, satietas non est. Requiem enim ejus, dicit dormitionem, id est mortem, quam in cruce pendens pertulit. Ac subjungit illico propheta dicens· *Et erit, in die illo*. Quo die? nempe, in quo stetit qui surgit ut imperet gentibus. Quod si dixeris, non in hoc die; dic tu, et demonstra, de quo sic loquitur propheta. Si enim ad consummationem dixeris, oportet prophetam consummationem nominare : sed non posses hoc probare. Propterea dicit propheta : *In illo die : Adjiciet Dominus, ut demonstret manum suam*[34]. Quid est, *adjiciet Dominus?* Nempe, hic qui gentes conversas suscepit, adjiciet etiam ex Israele veros Israelitas, et eos qui legem bene observassent, et ad Christianismum propensi prompte annuissent, per fidem in ipsum revocare instituit, et ad Christianismum adducere, non modo ex Jerusalem, sed ex omnibus orbis terrarum finibus. Dispersis enim ejus discipulis ad duodecim ventos terræ quæ sub cœlo est, ingens turba etiam ex Judæis toto mundo dissipatis, cum tota domo crediderunt, et cum credentibus gentibus simul ad Ecclesiam adducti fuerunt. Idcirco dicit, *quod ad gentes signum tollet*. Quodnam signum? Non aliud profecto quam crux pretiosa et vivificans. Per hanc enim pereuntes Israelitas ad salutem congregabit, et abjectos Juda in regnum cœlorum. Quod si forte roges, ubi in Vetere Testamento crux nominata est signum? dicit David ad Dominum, vaticinans de cruce : *Fac mecum signum in bonum*[35], etc. Hæc ita sunt firma et stabilita secundum divinam spiritus dijudicationem.

HERB. Propheta dicit in universum, *quærere reliquias populi*[36] : Tu vero dicis, avulsos **627** et alienos a lege, et Christo per fidem adhærentes, hos solos indubitanter propheta prædixit : Quomodo istud?

S. ARCH. Quænam scripta sunt de lege? *Maledictus*, inquit, *omnis qui non permanserit in his quæ scripta sunt in libro legis, ut faciat ea*[36*]. Ergo qui non custodiunt legem, non sunt digni qui cum populo legem observante connumerentur, quemadmodum Christiani (nam omnes Christiani vocantur); sed qui Christianorum servant præcepta, hi soli sunt Christiani : qui vero non custodiunt, non sunt vere Christiani. Sic post illos dies, in veritate qui Mosis legem exacte custodiebant, advenisse Christum meum ubi solum audierunt, continuo compuncti fuerunt a Deo legis auctore, atque in unigenitum ejus et dilectissimum Filium crediderunt. Qui vero ante Christi adventum legem Dei non custodiebant, sed per mala sua opera

[34] Isa. XI, 11. [35] Psal. LXXXV, 17. [36] Isa. XI, 11. [36*] Deut. XXVII, 26.

NOTÆ.

(65) *Ποία ἡμέρα*. Ποίᾳ ἡμέρᾳ. GULON.

diabolo serviebant, sciens Deus legis, quod non juvit eos in lege Mosis: sic neque eos qui non crediderunt in Christum juvabit; sed quæ agebant nefaria, cum essent sub lege, Christiani effecti hæc perficient. Excæcavit enim ipsorum cor, et induratum velut obducto callo stupidum reddidit: qui quidem etiam non credentes perierunt. Eam igitur ob causam propheta ipse perfectos solos addidit, et Israelem, et populum Dei, et Judam merito nominavit. Tu vero ipse quid ad hæc dices?

HERB. Si hæc ad hunc modum se habent, quam ob causam dixit propheta: *Et auferetur zelus Ephraim, et inimici Juda peribunt* [37]. Quid est Ephraim, et quinam sunt inimici Juda, modo mihi edissere.

S. ARCH. Tribules Ephraim, o demens, Hebræi erant in diebus Isaiæ prophetæ, et singulariter aliis tribubus a tribu Juda divisis imperabant: cæteri vero ex tribu Juda, totius Palæstinæ imperium habentes, regnabant. Zelum igitur non mediocrem regnum Ephraim adversus Juda, id est, Davidis regnum, habuerat, et tantum, ut etiam inter ipsos bella civilia exarserint. Quoniam igitur Isaias, utpote Dei propheta, prævidebat, quod revera Christus secundum carnem ex tribu Juda nasciturus esset, et regnum tribus Ephraim subversurus, hunc sermonem subjunxit: quod cum Dominus Jesus Christus ex tribu Juda exortus esset, *auferetur zelus Ephraim*, id est, odium, everso ejus regno: et iidem tanquam inimici Juda, id est Christi Domini et regis ex tribu Juda ascendentis, repente peribunt. Vaticinans enim propheta de fine sive consummatione regni Ephraim, hunc sermonem obscure pronuntiavit. Quando in diebus Achaz filii Joatham, qui fuit Oziæ regis Juda filius, ascendit Rhaasem rex Aram, et Phacee filius Romelii regis Israelis, nempe ex tribu Ephraim, ad obsidendum Jerusalem, *Hæc*, inquit, *dicit Dominus sabaoth: Non maneat hoc consilium* [38]. Et paulo post: *Et anni quinque et sexaginta*, inquit, *et deficiet regnum Ephraim a populo*. Propter hanc itaque causam dixit, quod *Auferetur zelus Ephraim*, et cætera.

HERB. Quare subjungit deinde propheta, dicens, quod, *Erit Israeli, sicut eo die quo egressus est ex terra Ægypti* [39]? Hanc enim egressionem similem fore enuntiavit ei egressioni quæ olim fuit e terra Ægypti.

S. ARCH. Corporaliter quidem ex Ægypto Israel egressus est, et corporali servitute liberatus, terram promissionis hæreditatem possedit. Nunc

ὑπούργουν τῷ διαβόλῳ διὰ τῶν πονηρῶν ἔργων αὐτῶν, εἰδὼς ὁ Θεὸς τοῦ νόμου, ὅτι οὐκ ὠφέλησεν ἐν τῷ νόμῳ Μωσέως, οὕτως οὐδ' οὐ μὴ πιστεύσαντες (66) εἰς τὸν Χριστὸν, ὠφελήσουσιν· ἀλλ' ἅπερ ἔπραττον παράνομα, ὑπὸ τοῦ νόμου χρηματίζοντες, ταῦτα καὶ Χριστιανοὶ γεγονότες ἐπιτελέσουσιν. Ἀπετύφλωσεν γὰρ αὐτῶν τὴν καρδίαν, καὶ σκληρύνας, πεπώρωκεν· οἵ τινες καὶ ἀπιστήσαντες ἀπώλοντο. Διὰ ταύτην οὖν τὴν αἰτίαν τοὺς τελείους ὁ προφήτης καὶ αὐτὸς ἔγωγε (67) μόνους, καὶ Ἰσραὴλ, καὶ λαὸν Θεοῦ, καὶ Ἰούδαν εὐλόγως ἂν κατωνόμασεν. Καὶ αὐτὸς σὺ τί ἐρεῖς πρὸς ταῦτα;

Καὶ Ο ΕΡΒΑΝ. Καὶ εἰ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, δι' ἣν αἰτίαν λελάληκεν ὁ προφήτης, ὅτι *Καὶ ἀφαιρεθήσεται*, φησὶν, *ὁ ζῆλος Ἐφραΐμ*, καὶ τίνες *οἱ ἐχθροὶ Ἰούδα ἀπολοῦνται*; Τί ἐστιν ὁ Ἐφραΐμ, καὶ τίνες οἱ ἐχθροὶ (68) Ἰούδα, ἀνάγγειλόν μοι ἀρτίως.

Καὶ Ο ΑΓΙΟΣ. Οἱ τῆς φυλῆς Ἐφραΐμ, ἀνόητε, Ἑβραῖοι ἐτύγχανον ἐν ταῖς ἡμέραις Ἡσαΐου τοῦ προφήτου, καὶ μονοτρόπως τῶν ἄλλων φυλῶν ἀποσχισθέντων τῆς Ἰούδα φυλῆς, ἐβασίλευον· οἱ δὲ ἐκ τῆς Ἰούδα φυλῆς, τῆς Παλαιστίνης πάσης κατακρατοῦντες, ἐβασίλευον. Ζῆλον τοιγαροῦν οὐ τὸν τυχόντα ἡ βασιλεία Ἐφραΐμ πρὸς τὴν Ἰούδα, ἤγουν τοῦ Δαβὶδ βασιλείαν ἐκέκτητο, καὶ τηλικοῦτον, ὥστε καὶ ἐμφυλίους πολέμους μεταξὺ αὐτῶν κροτηθῆναι. Ἐπεὶ οὖν ἑώρα ὁ Ἡσαΐας οἷα προφήτης Θεοῦ, ὅτι ἐν ἀληθείᾳ μέλλει ὁ Χριστὸς τὸ κατὰ σάρκα ἐκ τῆς Ἰούδα φυλῆς ἀνίστασθαι, καὶ τὴν Ἐφραΐμ βασιλείαν καταλύεσθαι, τοῦτον τὸν λόγον ἐπήγαγεν, ὅτι τοῦ Κυρίου Ἰησοῦ ἐκ τῆς Ἰούδα φυλῆς ἀνατείλαντος, *ἀφαιρεθήσεται ὁ ζῆλος Ἐφραΐμ*, ἤγουν ἡ ἔχθρα καταλυομένης αὐτοῦ τῆς βασιλείας· καὶ οἱ αὐτοὶ ὡς ἐχθροὶ Ἰούδα, τοῦτ' ἔστι τοῦ ἐκ τῆς φυλῆς Ἰούδα ἀναβαίνοντος Κυρίου καὶ βασιλέως, εὐθέως ἀπολοῦνται. Προφητεύων γὰρ ὁ προφήτης περὶ τῆς συντελείας Ἐφραΐμ, τόνδε τὸν λόγον ᾐνίξατο. Ὁπόταν ἐν ταῖς ἡμέραις Ἄχαζ, τοῦ Ἰωαθὰμ, τοῦ Ὀζίου βασιλέως Ἰούδα, ἀνέβη Ῥαασὴμ βασιλεὺς Ἀρὰμ, καὶ Φακεὲς ὁ υἱὸς τοῦ Ῥομελίου βασιλέως Ἰσραὴλ, ἤγουν ἐκ φυλῆς Ἐφραΐμ, τοῦ πολιορκῆσαι τὴν Ἱερουσαλὴμ, *Τάδε*, φησὶ, *λέγει Κύριος σαβαὼθ, Οὐ μὴ μείνῃ ἡ βουλὴ αὕτη*. Καὶ μετ' ὀλίγα, *Καὶ ἔτη ἑξήκοντα καὶ πέντε*, φησὶ, *καὶ ἐκλείψει ἡ βασιλεία Ἐφραΐμ ἀπὸ τοῦ λαοῦ*. Διὰ ταύτην οὖν τὴν αἰτίαν εἴρηκεν, ὅτι *Ἀφαιρεθήσεται ὁ ζῆλος Ἐφραΐμ*, καὶ τὰ ἑξῆς.

Καὶ Ο ΕΡΒΑΝ. Καὶ δι' ἣν αἰτίαν ἐπάγει ὁ προφήτης λέγων, ὅτι *Ἔσται*, φησὶ, *τῷ Ἰσραὴλ ὡς τῇ ἡμέρᾳ ᾗ ἐξῆλθεν ἐκ γῆς Αἰγύπτου*; Παραπλησίως γὰρ τὴν ἔξοδον ταύτην τῆς πάλαι ἐξόδου τῆς Αἰγύπτου ἐνέφηνεν.

Καὶ Ο ΑΓΙΟΣ. Σωματικῶς μὲν ἐξ Αἰγύπτου ὁ Ἰσραὴλ ἐξῆλθε, καὶ ἐλευθερωθεὶς ἐκ τῆς σωματικῆς δουλείας, τὴν γῆν τῆς ἐπαγγελίας κατεκληρονόμησε.

[37] Isa. XI, 13. [38] Isa. VII, 7. [39] Isa. XI, 16.

NOTÆ.

(66) *Πιστεύσαντες*. Πιστεύσαντας. Et mox ὠφέλησεν. GULON.

(67) *Ἔγωγε*. Forte ἐπήγαγε. ID.

(68) *Οἱ ἐχθροί*. Scribe, καὶ οἱ ἐχθροί. ID.

Νυνὶ δὲ νοητῶς ἐξελθὼν ἐκ τῆς ἁμαρτίας, πρῶτον μὲν τῆς κατάρας τοῦ νόμου λελύτρωται· ἔπειτα δὲ καὶ τὸν παλαιὸν χιτῶνα τῆς ἁμαρτίας ἀπεκδυσάμενος, ἐνεδύσατο τὸν νέον τὸν ἀνακαινούμενον δι' ὕδατος καὶ πνεύματος· καὶ ἐξελθὼν τελείως ἐκ πάσης ἁμαρτίας, ὡς ἐκ γῆς Αἰγύπτου, κατῴκησεν ἐν τῇ νέᾳ Ἱερουσαλὴμ, τῇ Ἐκκλησίᾳ, ὡς ἐν ἄλλῃ γῇ τῆς ἐπαγγελίας. Καὶ τοιαύτη ἐγένετο εὐφροσύνη καὶ τέρψις μεγίστη, ὥστε καὶ κρείττονα (69) τῆς ἐκ γῆς Αἰγύπτου ἀναχωρήσεως, τὴν ἐξαισίαν ἐκείνην χώραν κατακληρώσασθαι. Διὰ ταῦτα γοῦν λελάληκεν ὁ προφήτης, ὅτι *Καὶ ἔσται τῷ Ἰσραὴλ ὡς τῇ ἡμέρᾳ ᾗ ἐξῆλθεν ἐκ γῆς Αἰγύπτου.*

ΕΡΒΑΝ. Προλαβὼν εἴρηκα, ὅτι πρὸς ἐτυμόλογον κεκτημένοι τὴν διάλεξιν, οὐκ ἄν ποτε περικρατεῖς τοῦ ζητουμένου γενόμεθα (70), ὅσας κἂν τάχα μαρτυρίας ἀπό τε τοῦ νόμου, ἀπό τε τῶν προφητῶν παράγωμεν. Ἀλλ' οὖν ἔτι ἔχω τοῦ λέγειν, οὐκ ἀναπαύσω μου τὸν λογισμὸν, οὐδὲ τὴν λαλιάν. Ἰεζεκιὴλ ὁ προφήτης διαγορεύει· *Τάδε λέγει Κύριος· Λήψομαι ὑμᾶς ἐκ τῶν ἐθνῶν, καὶ ἀθροίσω ὑμᾶς ἐκ πασῶν τῶν γενεῶν, καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν ὑμῶν, καὶ ῥανῶ ἐφ' ὑμᾶς ὕδωρ καθαρὸν, καὶ καθαρισθήσεσθε ἀπὸ πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν, καὶ ἀπὸ πάντων τῶν εἰδώλων ὑμῶν καθαριῶ ὑμᾶς. Καὶ δώσω ὑμῖν καρδίαν καινὴν, καὶ πνεῦμα καινὸν δώσω ὑμῖν, καὶ ἀφελῶ τὴν καρδίαν τὴν λιθίνην ἐκ τῆς σαρκὸς ὑμῶν, καὶ δώσω ἐν ὑμῖν καρδίαν σαρκικὴν, καὶ πνεῦμα δώσω ἐν ὑμῖν, καὶ ποιήσω ἐν τοῖς δικαιώμασί μου πορεύεσθαι, καὶ τὰ κρίματά μου φυλάξεσθαι· καὶ κατοικήσετε ἐπὶ τῆς γῆς ἧς ἔδωκα τοῖς πατράσιν ὑμῶν, καὶ ἔσεσθέ μοι εἰς λαὸν, καὶ ἐγὼ ἔσομαι ὑμῖν εἰς Θεόν.* Εἰ τοίνυν οὐ λέγει ὁ προφήτης οὕτως, ἀπόδος λόγον. Ἰδοὺ γὰρ καθαρὰ μαρτυρία μηδεμίαν ἐν μηδενὶ κεκτημένη ἀντίῤῥησιν.

Καὶ Ο ΑΓΙΟΣ. Ἐγὼ οὐ πολυλογίαν εἰσάξω περὶ τῆς προφητείας ταύτης τοῦ πεῖσαί σε. Οὐ γὰρ περὶ Ἰουδαίων λελάληκεν ὁ προφήτης, ἀλλὰ περὶ τῆς Ἐκκλησίας τῶν ἐθνῶν· ἐπειδὴ εἴρηκεν, ὅτι *Καθαριῶ ὑμᾶς ἐκ πάντων τῶν εἰδώλων ὑμῶν.* Καὶ ἀνάγγειλόν μοι, τὸν Ἰσραὴλ ἐκάθηρεν ὁ Θεὸς ἀπὸ τῶν εἰδώλων, ἢ τὰ εἰδώλοις λατρεύοντα ἔθνη; Λιθίνην καρδίαν τὰ ἔθνη ἐκέκτηντο τὰ πλανώμενα, ἢ οἱ Ἰσραηλῖται, οἱ τὸν Θεὸν τὸν ἅγιον (71) διὰ νόμου Μωσέως λατρεύοντες; Ἐν τοῖς νομίμοις δικαιώμασιν οἱ Ἰσραηλῖται ἐπορεύθησαν πρῶτον, ἢ τὰ ἔθνη τὰ μὴ νόμον ἔχοντα; Μηδέπω λαὸς τοῦ Θεοῦ προϋπῆρξεν ὁ Ἰσραὴλ, ἢ, ὡς ἐπαγγέλλεται ὁ προφήτης, μετὰ ταῦτα κληθῆναι αὐτὸν λαὸν Θεοῦ, ὡς μηδέποτε ὑπάρξαντα; Ἄρα οὐδέποτε ἐδέξατο Πνεῦμα Θεοῦ, ἀλλὰ μετὰ τοῦτο χρεωστεῖται (72) τοῦτο δέξασθαι; Μάτην οὖν προσδοκᾷς, ὦ Ἑρβὰν ἀλογώτατε. Ὁ γὰρ προφήτης περὶ τῶν προσδοκωμένων λελάληκεν,

vero 628 spiritaliter egressus ex peccato, primum quidem legis maledicto et exsecratione liberatus est; deinde vero, peccati tunica exuta, recentem induit, quæ renovatur per aquam et spiritum: et tandem perfecte egressus ex omni peccato, velut e terra Ægypti, habitavit in nova Jerusalem, id est in Ecclesia, velut in alia terra promissionis. Certe hæc fuit lætitia et delectatio maxima: ita ut potiorem ac meliorem illam auspicatam et faustam regionem sortiatur, et hæreditatem possideat, quam sit e terra Ægypti recessio. Quapropter dixit propheta: *Et erit Israeli, ut ea die qua ex terra Ægypti egressus est.*

HERB. Jam tibi antea prædixi, quod sic ex vi nominis argutantes, nunquam ejus de quo quæstio est et controversia, compotes erimus, quæcunque partim ex lege, partim ex prophetis testimonia cito producamus. Verumtamen adhuc habeo quod dicam: non disputationis, non loquacitatis meæ finem faciam. Ezechiel propheta exclamat: *Hæc dicit Dominus: Sumam vos ex gentibus, et congregabo vos ex omnibus generationibus, et introducam vos in terram vestram: et stillabo super vos aquam puram, et mundabimini ab omnibus immunditiis vestris, et ab omnibus simulacris vestris mundabo vos. Et dabo vobis cor novum, et spiritum novum dabo vobis, et auferam cor lapideum ex carne vestra, et dabo in vobis cor carneum, et spiritum dabo in vobis: et faciam ut in justificationibus meis ambuletis et judicia mea custodiatis. Et habitabitis in terra quam dedi patribus vestris, et eritis mihi in populum, et ero vobis in Deum*[40]. Annon ita dicit propheta? responde. En purum testimonium, cui nullo modo contradici potest.

S. ARCH. Ego non multa verba adducam de hoc vaticinio, ut tibi fidem faciam. Non enim de Judæis locutus est propheta, sed de gentium ecclesia: siquidem dixit: *Mundabo vos ab omnibus simulacris vestris.* Dic mihi, an Deus Israelem a simulacrorum cultu purgavit, an potius gentes quæ idolis serviebant? Lapideum cor habebant gentes erroribus mentis fluctuantes, an Israelitæ, qui Deum sanctum per legem Mosis adorabant? In legalibus justificationibus Israelitæ primum ambulaverunt, quam gentes quæ legem non habebant? An nondum etiam ante Dei populus Israel fuit, an, sicut propheta promittit, postea populus Dei vocatus est, qui nunquam prius fuerit? Nunquam ne etiam Dei Spiritum accepit, an postea debet accipere? Frustra igitur exspectas, o Herbane amentissime. Nam propheta de his quæ exspectabantur, locutus est, non de his quæ jam pridem prætererant, absit!

[40] Ezech. XXXVI, 24-28.

NOTÆ.

(69) *Κρείττονα.* Forte κρεῖττον εἶναι. GULON.
(70) *Γενόμεθα.* Forte γενοίμεθα. ID.
(71) *Τὸν Θεὸν τὸν ἅγιον.* Forte τῷ Θεῷ τῷ ἁγίῳ. ID.
(72) *Χρεωστεῖται.* Scribe χρεωστεῖ. ID.

HERB. *Sumam vos*, inquit, *ex gentibus, et adducam vos in terram vestram :* et tu ipse prodigiosa et monstrosa profers. *Et habitabitis in terra quam dedi patribus vestris :* et tu ipse aliena et absurda declaras. Dic mihi tu ipse, an gentes ex gentibus congregaverit Dominus, ut dicis? Dic, gentes habitare faciet in terra patrum suorum? Quænam enim communicatio gentibus cum Hebræis? Justane et vera dicis, o archiepiscope? Non hæc ita sunt, non sunt.

S. ARCH. Dixisti, Deum gentes ex gentibus electurum esse. Sane, Deus gentes ex gentibus elegit. Quonam modo? gentes fideles ex infidelibus. Quod autem dixisti, Dominum deducturum gentes ut habitent in civitatem Jerusalem, tanquam in terra patrum suorum; si oculos non haberes, hoc mihi cura esset. Sed respice, et vide, quomodo **629** omnis Jerusalem Christianis repleta est, non autem Judæis. Hoc enim oraculum quod Abrahamo editum est a Domino, *Quod benedicentur in te omnes gentes* [41], judicans Deus adimplevit. Quod autem dixisti : Quæ communicatio gentibus cum Hebræis, auribus accipe quæ Isaias locutus est : *Hæc dicit Dominus*, ait : *Ecce congregaturus venio omnes gentes et linguas. Et venient, et videbunt gloriam meam. Et relinquam in ipsis signum, et emittam ex ipsis salvos ad gentes* [42]. Et quinam ex gentibus salvi, quos Dominus mittet? annon Christi præcones? qui sacerdotum principes a duodecim apostolis delecti ad pascendas ubique terrarum Christi ecclesias? *Ex ipsis*, inquit, *emittam servatos ad gentes, ad Tharsos, et Phud, et Somoch, et ad Thobel, et in Græciam et in insulas longinquas, quæ non audierunt nomen meum neque viderunt gloriam meam. Et annuntiabunt gloriam meam in gentibus : et adducent fratres vestros ex omnibus gentibus, munus Domino, cum equis et curribus* [43]. Intelligis igitur, o Herbane, quod de adventu Christi disserens dilectis Deo Judæis Isaias dicebat : *Adducent fratres vestros ex omnibus gentibus munus Domino.* Quare qui ante adventum Christi fideles Judæi, et qui postea, cum venit Christus, crediderunt in ipsum, et quicunque ex gentibus crediderunt Patri, et Filio, et Spiritui sancto, fratres sunt, quemadmodum testatus est Isaias. Tu vero quomodo dixisti, Quænam communitas gentibus cum Hebræis? Hebræi autem credentes Christo, honorabiliores censentur iis qui ex gentibus Christo credunt. Si igitur, o demens, non ex usu et experientia loquor, redargue.

HERB. Vivit Dominus Deus, laudo tua verba,

A καὶ οὐχὶ τῶν ἔκπαλαι παρῳχηκότων, μὴ γένοιτο!

ΕΡΒΑΝ. *Λήψομαι ὑμᾶς*, φησὶ, *ἐκ τῶν ἐθνῶν, καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν ὑμῶν*· καὶ αὐτὸς διαγγέλλεις ἀλλόκοτα. *Καὶ κατοικήσετε ἐπὶ τῆς γῆς ἧς ἔδωκα τοῖς πατράσιν ὑμῶν.* Καὶ αὐτὸς σαφηνίζεις ἀλλότρια. Λέξον μοι οὖν αὐτὸς, ἔθνη ἐξ ἐθνῶν ἀθροίσειεν ἄρα Κύριος, καθὼς λέγεις; Εἰπὲ, ἔθνη κατοικοιεῖ ἐν τῇ γῇ τῶν πατέρων αὐτῶν; Τίς γὰρ κοινωνία ἔθνεσι πρὸς Ἑβραίους; Δίκαια φάσκεις, ὦ ἀρχιεπίσκοπε. Οὐκ ἔστιν οὕτω, οὐκ ἔστιν.

Καὶ Ο ΑΓΙΟΣ. Εἴρηκας ὅτι ἔθνη ἐξ ἐθνῶν ἐκλέξεται ὁ Θεός. Ναὶ, ἔθνη ἐξ ἐθνῶν ἐξελέξατο. Ποίῳ τρόπῳ; τὰ πιστεύσαντα ἔθνη ἀπὸ τῶν ἀπιστευσάντων. Ὅτι δὲ εἴρηκας, ὅτι ἄρα ἔθνη κατοικιεῖ Κύριος ἐν πόλει Ἱερουσαλὴμ, ὡς τῇ γῇ τῶν πατέρων αὐτῶν·
B εἰ οὐκ εἶχες ὀφθαλμοὺς ἐμέλετό μοι (73). Ἀνάβλεψον γὰρ καὶ ἴδε, ὅπως πᾶσα Ἱερουσαλὴμ Χριστιανῶν πεπλήρωται, καὶ Ἰουδαίων οὐδαμῶς. Τὸ γὰρ λόγιον τοῦτο, ὃ πρὸς Ἀβραὰμ εἰρημένον ἐστὶ παρὰ Κυρίου, ὅτι *Εὐλογηθήσονται ἐν σοὶ πάντα τὰ ἔθνη*, κρίνας ὁ Θεὸς ἐκπεπλήρωκεν. Ὅτι δὲ εἴρηκας, Τίς κοινωνία ἔθνεσι πρὸς Ἑβραίους, ἐνώτισαι τίνα ὁ Ἡσαΐας λελάληκε· *Τάδε λέγει Κύριος*, φησὶ, *Ἰδοὺ συναγαγεῖν ἔρχομαι πάντα τὰ ἔθνη καὶ τὰς γλώσσας· καὶ ἥξουσι, καὶ ὄψονται τὴν δόξαν μου, καὶ καταλείψω ἐπ' αὐτῶν σημεῖον, καὶ ἐξαποστελῶ ἐξ αὐτῶν σεσωσμένους εἰς τὰ ἔθνη.* Καὶ τίνες οἱ ἐξ ἐθνῶν σεσωσμένοι, οὓς ἀποστελεῖ Κύριος, ἀλλ' ἢ οἱ κήρυκες Χριστοῦ, οἱ ἱεράρ-
C χαι παρὰ τῶν δώδεκα ἀποστόλων χειροτονηθέντες ποιμαίνειν τὰς ἁπανταχοῦ ἐκκλησίας τοῦ Χριστοῦ; *Ἐξ αὐτῶν*, φησὶ, *ἐξαποστελῶ σεσωσμένους εἰς τὰ ἔθνη, εἰς Τάρσους, καὶ Φοὺδ, καὶ Σομὸχ* (74), *καὶ εἰς Θοβὲλ, καὶ εἰς τὴν Ἑλλάδα, καὶ εἰς τὰς νήσους τὰς πόῤῥω, αἳ οὐκ ἀκηκόασί μου τὴν δόξαν* (75)· *καὶ ἀναγγελοῦσι τὴν δόξαν μου ἐν τοῖς ἔθνεσι, καὶ ἄξουσι τοὺς ἀδελφοὺς ὑμῶν ἐκ πάντων τῶν ἐθνῶν, δῶρον τῷ Κυρίῳ, μεθ' ἵππων καὶ ἁρμάτων.* Προσέχεις (76) τοιγαροῦν, ὦ Ἑρβᾶν, τῆς παρουσίας (77) τοῦ Χριστοῦ, ἀγαπητοῖς Θεῷ Ἰουδαίοις διαλεγόμενος ὁ Ἡσαΐας ἔφασκεν· *Ἄξουσι τοὺς ἀδελφοὺς τοὺς ἐξ ὑμῶν ἐκ πάντων τῶν ἐθνῶν, δῶρον τῷ Κυρίῳ.* Ὥστε οἱ πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ πιστοὶ Ἰουδαῖοι, καὶ οἱ μετὰ
D ταῦτα, ἐλθόντος τοῦ Χριστοῦ, πιστεύσαντες εἰς αὐτὸν, καὶ ὅσοι ἀπὸ τῶν ἐθνῶν ἐπίστευσαν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, ἀδελφοὶ πεφύκασι, καθὰ καὶ Ἡσαΐας μεμαρτύρηκεν. Σὺ δὲ ποίῳ τρόπῳ εἴρηκας, Τίς κοινωνία ἔθνεσι πρὸς Ἑβραίους; Ἑβραῖοι δὲ πιστεύσαντες τῷ Χριστῷ, τιμιώτεροι καθορῶνται τῶν ἀπὸ τῶν ἐθνῶν πιστευόντων τῷ Χριστῷ. Ἐὰν οὖν μὴ φθέγγωμαι κατὰ πεῖραν, ἔλεγξον, ὦ ἀνόητε.

ΕΡΒΑΝ. Ἐπαινῶ σου, ζεῖ (78) Κύριος ὁ Θεὸς, τὰ

[41] Gen. XII, 3. [42] Isa. LXVI, 18, 19. [43] ibid. 19-20.

NOTÆ.

(73) *Ἐμέλετό μοι.* Ἔμελέ μοι. GULON.

(74) *Καὶ Φοὺδ καὶ Σομόχ.* LXX, καὶ Φοὺδ, καὶ Λοὺδ, καὶ Μοσόχ. ID.

(75) *Αἳ οὐκ ἀκ. μου τὴν δόξ.* LXX. οἳ οὐκ ἀκ. μου τὸ ὄνομα, οὐδὲ ἑωράκασί μου τὴν δόξαν. ID.

(76) *Καὶ ἁρμάτων. Πρόσ.* LXX, καὶ ἁρμάτων ἐν λαμπήναις ἡμιόνων μετὰ σκιαδίων εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλήμ. Προσ. ID.

(77) *Τῆς παρ.* Ὅτι περὶ τῆς παρ. ID.

(78) *Ζεῖ.* Ζῇ. ID.

ῥήματα ἐν συνέσει ἐξηγούμενα, καὶ κατὰ πεῖραν A μεγίστην. Πλὴν, πάλιν λέγει Ἡσαΐας· *Εἶπε Κύριος*, φησὶν, *Ἐξάξω τὸ ἐξ Ἰακὼβ σπέρμα, καὶ τὸ ἐξ Ἰούδα, καὶ κληρονομήσει τὸ ὄρος μου τὸ ἅγιον*. Ἐπεὶ οὖν κληρονομίαν δέδωκεν ἡμῖν ὁ Θεὸς τὴν Ἱερουσαλὴμ, τίς ὁ ἀντιλέγων; Πρὸς βραχὺ καὶ ἐπ' ὀλίγον ἐξεδιώχθημεν· ἀλλ' οὖν πάλιν, οἶμαι, τὰ ἡμῶν ἀπολη ψόμεθα ἂν, καὶ κληρονομήσομεν πάντα, ὡς τὸ ἀπ' ἀρχῆς.

Καὶ Ο ΑΓΙΟΣ. Ὁ αὐτὸς Ἡσαΐας σαφῶς προκατήγγειλε. Φησὶ γὰρ, *Ἀνενέγκωσί μοι ἐν υἱοῖς Ἰσραὴλ οἱ ἐξ ἐθνῶν τὰς θυσίας αὐτῶν μετὰ ψαλμῶν εἰς τὸν οἶκόν μου, καὶ ἀπ' αὐτῶν λήψομαι ἐμοὶ ἱερεῖς καὶ Λευΐτας*. Ὅρα πῶς ὁ πληρώσας τὸν νόμον Κύριος, καὶ τὴν ἐναλλαγὴν τῆς ἱερωσύνης προδεδήλωκε διὰ τῶν προφητῶν αὐτοῦ. B *Καὶ ἀπ' αὐτῶν*, φησὶ, *λήψομαι ἐμοὶ ἱερεῖς καὶ Λευΐτας, λέγει Κύριος*. Ἐπεὶ οὖν λέγει, τί οὖν λοιπὸν κελεύεις αὐτός; *Ὃν τρόπον*, φησὶν, *ἔσται ὁ οὐρανὸς καινὸς, καὶ ἡ γῆ καινὴ, ἃ ἐγὼ ποιῶ μένειν ἐνώπιόν μου, λέγει Κύριος, οὕτως στήσεται τὸ σπέρμα ὑμῶν, καὶ τὸ ὄνομα ὑμῶν*· τοῦτ' ἔστι διὰ πίστεως Χριστοῦ· οἵ τινές εἰσιν οἱ ἐξ ἡμῶν πεπιστευκότες τῷ Χριστῷ. *Καὶ ἔσται*, φησὶ, *μῆνα* (79) *ἐκ μηνὸς*, τὰς ποικίλας ἑορτὰς τῶν Χριστιανῶν ἐμφαίνων. *Καὶ Σάββατον ἐκ Σαββάτου*, αἱ ἀναστάσιμαι ἡμέραι. *Καὶ ἥξει*, φησὶ, *πᾶσα σὰρξ προσκυνῆσαι* (80) *ἐνώπιόν μου ἐν Ἱερουσαλὴμ, εἶπε Κύριος*. Προσέχεις, ἀνόητε (81); *Πᾶσα σὰρξ*, φησὶν, *ἥξει*. Ὁ λέξας ὑμῖν τοῖς Ἰουδαίοις, ὅτι Οὐ C συναλλάξεις ἐν οὐδενὶ μετὰ ἐθνικοῦ, οὐ πραγματεύσῃ μετ' αὐτοῦ, οὐ φάγῃς, οὐ πίῃς, καὶ τὰ ἑξῆς· ὁ αὐτὸς λέγει, *Ἥξει*, φησὶ, *πᾶσα σὰρξ προσκυνῆσαι ἐνώπιόν μου ἐν Ἱερουσαλὴμ, λέγει Κύριος, καὶ ἐξελεύσονται, καὶ ὄψονται τὰ κῶλα τῶν ἀνθρώπων*, ἤγουν τὰ ὀστᾶ τῶν προτελευτησάντων καὶ προκατοικησάντων ἐν τῷ τόπῳ ἐκείνῳ παρανόμων Ἰουδαίων. Ἵνα δὲ συνιῇς ὁ μὴ συνιὼν, ὅτι διὰ τὰς ἁμαρτίας αὐτοῦ ἀπώσθη Ἰσραὴλ, διὰ δὲ καὶ τὸ ἄχρηστον αὐτοῦ ἐμισήθη, καὶ παρεδόθη εἰς παντελῆ ἀπώλειαν, οὐ μόνον ἐν τῷ νῦν αἰῶνι, ἀλλ' ἢ ἐν τῷ μέλλοντι, ἐπήγαγεν, ὅτι, *Τῶν παραβεβηκότων τὰς ἐντολὰς τοῦ νόμου*· ὄψονται γὰρ οἱ ἐκ πάσης σαρκὸς ἐρχόμενοι προσκυνῆσαι τῷ Θεῷ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, τὰ ὀστᾶ αὐτῶν εἰς αἰσχύνην περισ- D σοτέραν γεγυμνωμένα προκείμενα. Ἐν δὲ τῷ μέλλοντι αἰῶνι *ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται· ἔσονται γὰρ εἰς ὅρασιν πάσης σαρκός*. Ὅταν ἀκούῃς τοῦ Κυρίου λέγοντος διὰ τοῦ Προφήτου, ὅτι, *Ἰδοὺ συναγαγεῖν ἔρχομαι πάντα τὰ ἔθνη καὶ τὰς γλώσσας*· καὶ ὅτι, *Ἥξει πᾶσα σὰρξ τοῦ προσκυνῆσαι ἐνώπιόν μου εἰς Ἱερουσαλὴμ*, μηκέτι λέγε τι, ἀλλὰ θέασαι, ὅτι

quæ cum intelligentia et experientia maxima exprimunt et explanant. Verumtamen dicit Isaias: *Dixit Dominus*, inquit: *Educam ex Jacob semen, et ex Juda, et hæreditabit montem meum sanctum* [44]. Quod igitur hæreditatem dedit nobis Deus Jerusalem, quis contradicit? Ad breve et modicum tempus sumus ejecti et depulsi: sed tamen rursus, opinor, res nostras et omnem nostram pristinam hæreditatem, sicut ab initio, recipiemus.

S. ARCH. Idem Isaias aperte et clare hoc prænuntiavit: *Afferent*, inquit, *mihi inter filios Israelis hi qui sunt ex gentibus sacrificia sua cum psalmis in domum meam: et ex ipsis sumam mihi sacerdotes et Levitas* [45]. Vide quomodo qui adimplevit legem Dominus, et sacerdotii immutationem ante significavit per prophetas suos: *Et ex ipsis*, ait, *sumam mihi sacerdotes et Levitas, dicit Dominus*. Quoniam igitur dicit, quid reliquum jubes ipse? *Quemadmodum*, inquit, *erit cœlum novum et terra nova, quæ ego facio manere in conspectu meo, dicit Dominus: sic stabit semen vestrum, et nomen vestrum* [46]: hoc est, per fidem in Christum: qui quidem sunt illi qui ex nobis Christo crediderunt. *Et erit*, inquit, *mensis ex mense*, varios Christianorum dies festos declarans. *Et Sabbatum ex Sabbato*, dies resurrectionis. *Et veniet*, inquit, *omnis caro, ut adoret coram me in Jerusalem, dixit Dominus* [47]. Animadvertis, insane, *Omnis caro*, inquit, *veniet*. Qui dixit vobis Judæis, quod non pacisceris in re **630** ulla cum gentili, neque negotiaberis cum ipso, non ederis, neque biberis, et cætera: idem dicit: *Veniet*, inquit, *omnis caro, ut adoret in conspectu meo, in Jerusalem, dicit Dominus. Et exibunt, et videbunt membra hominum* [48]: nimirum ossa eorum qui prius defuncti sunt vita, et habitaverunt in loco illo Judæorum nefariorum. Ut autem intelligas, qui non intelligis, quod propter peccata sua reprobatus est Israel, et quod propter suam nequitiam invisus est et odiosus, et in omnem interitum traditus, non in hoc sæculo modo, sed et in futuro; subjunxit: quod, *eorum qui legis mandata violarunt, et prævaricati sunt* [49]: videbunt enim, qui ex omni carne venerunt, ut Deum adorent per fidem in Jesum Christum, ossa nudata et projecta in majus dedecus. Atque in futuro sæculo, *vermis eorum non morietur, et ignis ipsorum non exstinguetur: erunt enim in aspectu omnis carnis* [50]. Cum audias Dominum dicentem per prophetam: *Ecce venio ad congregandum omnes gentes et linguas*: et illud, *Veniet omnis caro, ut adoret coram me in Jerusalem*, non amplius quidquam dicito: sed vide, quod septuaginta linguæ Deum legis, et Patrem Domini nostri Jesu Christi, jugiter ascendentes in

[44] Isa. LXV, 9. [45] Isa. LXVI, 20, 21 sec. LXX. [46] ibid. 22. [47] ibid. 23. [48] ibid. 24. [49] ibid. [50] ibid.

NOTÆ.

(79) *Μῆνα*. Μὴν. GULON. — LXX tamen ex cod. Alex., habent μῆνα.

(80) *Προσκ.* Τοῦ προσκ. GULON. — Deest quoque τοῦ in cod. Alex.

(81) *Ἀνόητε*. Scribe ἀσύνετε. GULON.

Jerusalem, adorant, Judæos incredulos miseros reputantes. Hæc omnia dum vides, tace, obmutesce: et os velut camo obstrictum habe : neque Deo bellum gere, sed veritati cede et obtempera. Quod autem dixisti : *Dixit Dominus : Educam semen ex Jacob et ex Juda, et hæreditatem sortietur montem meum sanctum* [81], animadverte : non enim sic interpretandum est sicut tu existimasti, sed sicut tibi ego ipse declaro. Semen Jacob est duodecim tribuum : et nullius seminum ejus mentionem fecit, quam solius Juda. Est enim Judas, semen Jacob: at enim Dominus meus Jesus Christus ex semine Juda. Omnis autem Christianus spiritaliter semen est Christi. De hoc igitur semine dixit propheta, quod insitum est per Jesum Christum in semine Juda : hoc autem ipsum educet post spiritalem operationem præsentis hujusce vitæ, et pro hæreditate regnum cœlorum accipiet. Mons ille sanctus, superna est civitatum mater cœlestis Jerusalem. Mons enim Sion qui in sensum cadit, non, ut opinor, mons sanctus nominabitur, qui est terræ pulvis et cinis : nec eorum qui in illo habitarunt, quisquam hunc hæreditarium possedit. Omnes enim qui in eo sedem habuerunt, prætererierunt : et qui nunc habitant, morientur

HERB. Magnam officinam multo verborum tractu refertam nacti Christiani te propugnatorem atque antistitem in sede sua collocarunt : siquidem terribilis es verborum turbine. Cito enim et cœlum et terram, et quæ subterranea sunt, si videbitur, tuis verbis perverles. Sed neque nos funditus everles, ut nihil valentes tibi respondere. Ut manifestius intelligas, quod diligit Dominus et valde Israelem, audi quæ dicit propheta Isaias, imo vero Deus ipse, de nobis : *Ego*, inquit, *Deus primus, et ad ea quæ veniunt, ego sum. Viderunt gentes, et timuerunt : terræ summitates expaverunt. Appropinquaverunt, et venerunt simul : judicans unusquisque proximum, ut auxilietur fratri suo* [82]. Igitur et tu, o archiepiscope, ad hunc scopum, ex his gentibus metu perculsis unus, judica proximum tuum nobis auxiliari, et fratri, contribulibus tuis gentibus: his enim salutem vindicas. Regale autem sacerdotium, **631** gentem Israelis abjicis et reprobas, et in reprobatione sive condemnatione aboles, et in nihilum redigi jubes. Quid igitur idem propheta dicit de his qui nova fabricant simulacra? *Confortavit*, inquit, *vir faber et artifex ærarius percutiens, malleum simul adigens. Tunc quidem dicet : Solidatio bona est. Ipsa*, nempe simulacra, *clavis defixa firmavit. Ponent ea laborantes in terra, et non movebuntur* [83]. In his gloriantur gentes quæ te attinent.

αἱ ἑβδομήκοντα (82) γλῶσσαι τὸν Θεὸν τοῦ νόμου, καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, συνεχῶς ἀναβαίνουσαι εἰς Ἱερουσαλὴμ, προσκυνοῦσι, τοὺς ἀπιστήσαντας Ἰουδαίους ταλανίζοντες (83). Καὶ ταῦτα πάντα ὁρῶν, σιώπα, πεφίμωσο, καὶ μὴ θεομάχει, ἀλλὰ εἶξον τῇ ἀληθείᾳ. Ὅτι δὲ εἴρηκας, *Εἶπε Κύριος, Ἐξάξω τὸ ἐξ Ἰακὼβ σπέρμα, καὶ τὸ ἐξ Ἰούδα, καὶ κληρονομήσει τὸ ὄρος μου τὸ ἅγιον*, πρόσεχε· οὐ γὰρ οὕτως ἑρμηνεύεται ὡς σὺ ὑπέλαβες, ἀλλ' ὡς ὑπεμφαίνω ἐγώ. Τὸ ἐξ Ἰακὼβ σπέρμα δωδεκάφυλον πέφυκε, καὶ οὐδενὸς τῶν σπερμάτων αὐτοῦ ἐμνημόνευσεν, ἀλλὰ τὸ (84) ἐξ Ἰούδα. Ὁ γὰρ Ἰούδας ἐστὶ σπέρμα τοῦ Ἰακώβ· ὁ δὲ Κύριός μου Ἰησοῦς Χριστὸς ἐκ σπέρματος Ἰούδα. Πᾶς δὲ Χριστιανὸς, νοητῶς σπέρμα Χριστοῦ. Περὶ τούτου οὖν τοῦ σπέρματος εἴρηκεν ὁ προφήτης, τοῦ ἐγκεντρισθέντος διὰ Ἰησοῦ Χριστοῦ ἐν σπέρματι Ἰούδα. Ἐξάξει δὲ αὐτὸ μετὰ τὴν πνευματικὴν ἐργασίαν τοῦ τῇδε βίου, καὶ κληρονομήσει τὴν βασιλείαν τῶν οὐρανῶν. Τὸ δὲ ὄρος τὸ ἅγιον ἐκεῖνο, ἡ ἄνω μητρόπολις Ἱερουσαλήμ. Τὸ γὰρ ὄρος τὸ αἰσθητὸν, Σιὼν, οὐκ ὀνομασθήσεται, ὡς οἶμαι, ἅγιον, χοῦς τῆς γῆς ὂν καὶ τέφρα· ἀλλ' οὐδέ τις ἐν αὐτῷ πάλαι κατοικησάντων τοῦτο κεκληρονόμηκε· πάντες γὰρ οἱ ἐκεῖσε κατοικήσαντες παρῆλθον, καὶ οἱ νῦν τελευτῶσιν.

ΕΡΒΑΝ. Μέγα ἐργαστήριον πεπλησμένον πολλῆς ὁλκῆς ῥημάτων οἱ Χριστιανοὶ εὑράμενοι, πρόμαχον ἐπὶ τοῦ θρόνου αὐτῶν κεκαθίκασι· φοβερὸς γὰρ εἶ διὰ στροφὰς ῥημάτων. Τάχα ἂν καὶ τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ καταχθόνια, εἰ δόξει σοι, διαστρέψεις τοῖς ῥήμασιν (85)· ἀλλ' οὐδ' ἡμᾶς ἁπλῶς αἱρήσεις, ὡς μὴ δυναμένους σοι ἀνταποκριθῆναι. Ἵνα σαφέστερον νοήσῃς, ὅτι ἀγαπᾷ Κύριος καὶ λίαν τὸν Ἰσραὴλ, ἄκουσον τίνα λέγει ὁ προφήτης Ἡσαΐας, μᾶλλον δὲ ὁ Θεὸς, περὶ ἡμῶν. *Ἐγὼ*, φησὶ, *Θεὸς πρῶτος, καὶ εἰς τὰ ἐπερχόμενα ἐγώ εἰμι. Εἶδον* (86) *ἔθνη, καὶ ἐφοβήθησαν. Τὰ ἄκρα τῆς γῆς ἐξέστησαν· ἤγγισαν, καὶ ἦλθον ἅμα, κρίνων ἕκαστος τὸν πλησίον, βοηθῆσαι τῷ ἀδελφῷ.* Οὐκοῦν καὶ σὺ, ἀρχιεπίσκοπε, κατὰ τὸν σκοπὸν τοῦτον ἐκ τῶν φοβηθέντων ἐθνῶν εἷς, τὸν πλησίον (87) σου, βοηθῆσαι ἡμῖν, καὶ τῷ ἀδελφῷ, τοῖς ὁμοφύλοις σου ἔθνεσιν· αὐτοῖς γὰρ καὶ προσποιῇ τὴν σωτηρίαν. Τὸ δὲ βασίλειον ἱεράτευμα, τὸ ἔθνος τοῦ Ἰσραὴλ ἀπωθεῖς, ἐξουθενισμένον εἶναι κελεύων, καὶ ἐν ἀπογνώσει. Τί οὖν ὁ αὐτὸς προφήτης λέγει περὶ τῶν καινουργούντων τὰ εἴδωλα; *Ἴσχυσε*, φησὶν, *ἀνὴρ τέκτων, καὶ χαλκεὺς τύπτων* (88), *σφύραν ἅμα ἐλαύνων. Τότε μὲν ἐρεῖ, Σύμβλημα καλόν ἐστιν. Ἴσχυσεν* (89) *αὐτὰ ἐν ἥλοις*, τοῦτ' ἔστι τὰ εἴδωλα. *Θήσουσιν αὐτὰ καμόντες ἐν τῇ γῇ, καὶ οὐ κινηθήσονται.* Ἐπὶ τούτοις αὐχῶνται τὰ ἔθνη τὰ κατὰ σέ. Ἀλλὰ πρόσ-

[81] Isa. LXV, 9. [82] Isa. XLI, 4, 5, 6 sec. LXX. [83] Isa. XLI, 7.

NOTÆ.

(82) *Αἱ ἑβδ.* Scribe, καὶ αἱ ἑβδ. GULON.
(83) *Ταλανίζοντες.* Scribe, ταλανίζοντας. ID.
(84) *Ἀλλὰ τό.* Ἀλλ' ἢ τοῦ. ID.
(85) *Ῥήμασιν.* Scribe ἅμμασιν. ID.
(86) *Εἶδον.* LXX εἴδοσαν. ID.
(87) *Τὸν πλ.* Scribe κρῖνον τὸν πλ.
(88) *Τύπτων, σφύραν ἅμα.* LXX. Alex. τύπτων.
(89) *Ἴσχυσεν.* Scribe ἰσχύρωσαν (ut apud LXX). Mox καμόντες non est in textu Gr. GULON.

εχε περὶ τοῦ Ἰσραὴλ τί κελεύει. *Τὰ μὲν ἔθνη*, φησὶν, A *ἐν τούτοις. Σὺ δὲ, Ἰσραὴλ, παῖς μου Ἰακὼβ, ὃν ἐξελεξάμην, σπέρμα Ἀβραὰμ, ὃν ἠγάπησα, οὗ ἀντελαβόμην ἐπ' ἄκρου* (90) *τῆς γῆς, καὶ ἐκ τῶν σκοπιῶν αὐτῆς ἐκάλεσά σε. Μὴ φοβοῦ* (91), *μετὰ σοῦ γὰρ εἰμι. Μὴ πλανῶ· ἐγὼ γάρ εἰμι ὁ Θεός σου, ὁ ἐνισχύσας σε· καὶ ἐβοήθησά σοι, καὶ ἠσφαλισάμην σε τῇ δεξιᾷ μου τῇ δικαίᾳ.* Πρόσεχε, Κύριος ὁ μέγας, ἵνα θαυμάσῃς, ὁπόσην ἀγάπην κέκτηται ὁ Θεὸς πρὸς τὸν Ἰσραήλ. Ἄκουσον λέξεις φίλτρου καὶ ζέσεως ἀπείρου μεστάς. *Ἠσφαλισάμην σε*, φησὶ, *τῇ δεξιᾷ μου τῇ δικαίᾳ. Καὶ ἰδοὺ, αἰσχυνθήσονται καὶ ἐντραπήσονται πάντες οἱ ἀντίδικοί σου. Ζητήσεις αὐτοὺς, καὶ οὐ μὴ εὑρήσεις, τοὺς ἀνθρώπους, οἳ παρῳνήκασί* (92) *σε. Ἔσονται γὰρ ὡς οὐκ ὄντες, καὶ οὐκ ἔσονται οἱ* B *ἀντιπολεμοῦντές σε· ὅτι ἐγὼ ὁ Θεός σου ὁ κρατῶν τῆς δεξιᾶς σου, ὁ λέγων σοι, Μὴ φοβοῦ· ἐγὼ ἐβοήθησά σοι, μὴ φοβοῦ, σκώληξ Ἰακὼβ, ὀλιγοστοὶ Ἰσραήλ. Ἐγὼ ἐβοήθησά σοι, λέγει ὁ Θεὸς, ὁ λυτρούμενος* (93), *ὁ ἅγιος Ἰσραήλ.* Οὐκοῦν οὐκ ἔστιν οὕτως; Οὐ λέγει ταῦτα ὁ Θεὸς διὰ τοῦ προφήτου περὶ τῶν Ἑβραίων; Τὸ λοιπὸν καὶ αὐτὸς παῦσαι, καὶ μὴ κόπους πάρεχε πλέον.

Καὶ Ο ΑΓΙΟΣ. Τὴν μὲν προφητείαν εἴρηκας· τὸ δὲ περὶ τίνος διαγορεύει, οὐδαμοῦ (94) ἐπίστασαι.

ΕΡΒΑΝ. Περὶ Ἰσραὴλ πάντως φάσκει, καὶ περὶ Ἰακὼβ, καὶ περὶ σπέρματος Ἀβραάμ. Καὶ ἄρα οὐκ ἐπίσταμαι ἐγὼ τίνα φθέγγομαι; Ἀπ' ἄκρου γῆς, ἤγουν ἐξ Αἰγύπτου, διαγγέλλει αὐτὸν προσκεκληκέ- C ναι πρὸς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ αὐτὸς φάσκεις τάδε κἀκεῖνα;

Καὶ Ο ΑΓΙΟΣ. Τὸ, *Σὺ Ἰσραὴλ παῖς μου Ἰακὼβ, ὃν ἐξελεξάμην, σπέρμα Ἀβραὰμ, ὃν ἠγάπησα*, ἐνωτιζόμενος, ὦ Ἑρβᾶν ἐρημοβάτευτε, μὴ περιῤῥεμβάζου, ὅτι περὶ παντὸς δήμου τῶν Ἰουδαίων τοῦτο εἴρηκεν, ἀλλὰ περὶ τοῦ ἐμοῦ Χριστοῦ, ὃς ἦν Θεὸς ἐκ Θεοῦ, καὶ διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐγένετο ἄνθρωπος, ἐκ σπέρματος Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ· ἐπειδὴ Ἰσμαὴλ ἐξ Ἀβραὰμ ὁ Ἰσαὰκ (95) ἔφυ. Ἵνα σὺ μὴ εὕρῃς (96) ὅτι ἴσως ἐκ φυλῆς ἦν Ἰσμαὴλ, διὰ τοῦτο ὁ προφήτης εἴρηκεν, *Παῖς μου Ἰακὼβ, ὃν ἠγάπησα.* Εἰ δὲ εὕρῃς ὅτι οὐχ οὕτως ἐστὶ, δεῖξόν μοι αὐτὸς, ποίῳ χρόνῳ οὐκ ἐγκατέλιπέ σε ὁ Θεός. D Οὐκ εἶ διεσκορπισμένος εἰς τὰ πέρατα τῆς οἰκουμένης; Οὐκ εἶ ὄνειδος; Οὐκ εἶ ἐγκαταλελειμμένος Θεῷ καὶ παρὰ ἀνθρώποις; Λέγει ὁ προφήτης, *Μετὰ σοῦ γάρ εἰμι, καὶ ἐγώ εἰμι Θεὸς ὁ ἐνισχύσας σε, καὶ ἐβοήθησά σοι, καὶ ἠσφαλισάμην σε τῇ δεξιᾷ μου τῇ δικαίᾳ.* Οὐκοῦν ποῦ ἐστι μεθ' ὑμῶν τῶν

Sed diligenter attende, de Israele quid jubet: *Gentes*, inquit, *in his. Sed tu, Israel, filius Jacob, quem elegi: semen Abrahæ, quem dilexi, quem vindicavi ab extremis terræ, et ex speculis ejus vocavi te. Ne timeas, tecum enim sum: ne errore fluctues: ego enim sum Deus tuus, qui te corroboravi, et juvi te, et confirmavi dextera mea justa* [54]. Attende, Dominus magnus, ut admireris quanta benevolentia et dilectione Deus Israelem prosecutus est. Audi verba amoris et immensi ardoris plena: *Te*, inquit, *dextera mea justa confirmavi*, tutumque ab omni periculo reddidi. *Ecce erubescent et confundentur omnes adversarii tui. Quæres ipsos, et non invenies, homines qui te contumelia affecerunt. Erunt enim ut illi qui non sunt, et non erunt qui contra te bella gerunt. Quia ego Deus tuus tenens dexteram tuam, qui dicit tibi: Noli timere, ego juvi te: noli timere, vermis Jacob, paucissimi Israelis. Ego juvi te, dicit Deus tuus, qui te redemit, Israel* [55]. Annon hæc ita sunt? Non hæc dicit Deus per prophetam de Hebræis? Cæterum tu ipse finem impone, et nobis molestias exhibere amplius noli.

S. ARCH. Divinum quidem oraculum recitasti. de quo autem prædicit, nullo modo intelligis.

HERB. De Israele et de Jacob, et de semine Abrahæ propheta omnino vaticinatur. Et ego nescio quæ proloquor? Ab extremo terræ, nempe ex Ægypto, denuntiat ipsum evocasse in terram promissionis: et tu ipse hæc et illa obloqueris?

S. ARCH. Illud: *Tu Israel filius meus Jacob quem elegi, semen Abrahæ quem dilexi*, o Herbane, qui per deserta vagaris, attentis auribus percipiens, ne mente occupata et vagabundo animo puta, quod propheta de quovis populo Judæorum hoc prædixit, sed de meo Christo, qui erat Deus ex Deo, et propter hominum salutem in extremis diebus factus est homo, ex semine Abrahæ et Isaac et Jacob: siquidem Ismael ut Isaac filius Abrahæ fuit. Ne autem dixeris, quod forte ex tribu Ismaelis natus sit, idcirco propheta dixit: *Filius meus Jacob quem dilexi.* Quod si dixeris non ita esse, ostende mihi tu, quo tempore non dereliquit te Deus. Nonne es dispersus et relegatus ad orbis terrarum extremos fines. Nonne es probrum? non divino humanoque præsidio destitutus? Dicit propheta: *Tecum enim sum, et ego sum Deus, qui te roboravi, et te juvi, et te confirmavi, tutumque reddidi mea dextera justa.* Ergo ubi nunc vobiscum Hebræis Deus est? præsertim

[54] Isa. XLI, 8-10. [55] ibid. 10-14.

NOTÆ.

(90) *Ἐπ' ἄκρ.* Scribe ἀπ' ἄκρου, juxta LXX. Sic enim paulo post et hic, c.

(91) *Μὴ φοβοῦ.* Scribe (juxta LXX). Καὶ εἶπά σοι· Παῖς μου εἶ, ἐξελεξάμην σε, καὶ οὐκ ἐγκατέλιπόν σε. Μὴ φοβοῦ, κ. τ. λ. GULON.

(92) *Παρῳνήκασι.* Scribe παρανομήσασι. ID. — LXX παροινήσουσι.

(93) *Ὁ Θεὸς, ὁ λυτρ.* Scribe ὁ Θεός σου, ὁ λυτρ. GULON. — Ita quidem LXX, cod. Vat. at Alex. ut hic, ὁ Θεὸς, ὁ λυτρ.

(94) *Οὐδαμοῦ.* Forte οὐδαμῶς. GULON.

(95) *Ἰσαάκ.* Forte ὡς Ἰσαάκ. ID.

(96) *Εὕρῃς.* Forte ἐρεῖς. (Sic et paulo post). ID.

cum et ipsæ gentes quæ exiguæ sunt, quæ nondum in Christum crediderunt, vos verberant et vexant, et velut ludibrium habent? Quonam igitur modo vos a Deo nunc robur et vires accipitis, cum sitis tam debiles atque infirmi, ut neque culicis vim parem habeatis ad vestros inimicos remordendos? Ubinam hoc tempore Dominus conspicitur vobis
632 opem ferre? Quanam in re? In quo obedientia? in quo gloria, vel honor, vel potentia? Nonne es tanquam sordidus cinis, et carbo exstinctus, et tanquam caligo, si facies spectetur, redactus? En adsunt Hebræi, ecce et tu ipse. Videant qui volunt facies vestras: nonne sunt pulvis, non cinis, non squalor? unde? Quia neque gratia neque auxilium ex Deo vobis adsit, et quia non habeatis Spiritum sanctum. Propter perfidiam et pervicaciam ac malitiam vestram, non estis divisi et dissiti alii ab aliis, ac dispersi in fines orbis terrarum, tanquam lacera tunica, et veluti vestimentum vetustate detritum? Quando autem erubuerunt, et confusi sunt omnes, qui vobis adversati sunt? Ubi sunt tanquam qui esse desierunt, vestri adversarii? Quando quæsiistis ipsos, et non inventi sunt? Ubi autem Deus vestram dextram tenens et vos ad aliquem prosperum eventum dirigens? Ubi etiam dicitur velut vermis humiliatus ex Judæis arrogans et saxeo corde præditus ac pervicax? Ubi præterea estis illi paucissimi, et liberationem a Domino adepti; qui in omni terra, velut terrore perculsi et attoniti et muti desidetis, et ab omnibus conspuimini, nullam a Domino liberationem accipientes? Tota erras via, o Herbane. Hæc enim de meo Christo et Deo, propheta vaticinatus est. Et elegit ipsum Deus et vocavit, et sanctificavit, et dilexit, et non dereliquit; et corroboravit, et juvit, et confirmavit dextra sua maxima et potentissima. Responde, quis modo glorificatur, quis regnat, quis fortis est et præpotens? Non alius, quam Jesus Christus Dominus meus et Deus. Non vos, Hebræi, maximo pudore et dedecore ac probro confusi estis, ut qui in ipsum incursaveritis, et graviter adversati estis? Nonne estis ut illi qui non sunt? Ubi etiam nunc conspicimini? Vos ejus qui cruci fuit confixus, inimici, ipsum quæritis, et non invenitis: propterea quod contumeliose debacchati estis, justum et sanctum et innocentem, omnisque peccati expertem patibulo defigentes. Cognosce igitur, quod de vobis locutus est propheta: *Erubescent et confundentur omnes qui adversantur tibi*. Nullus enim hominum tam hostiliter et acerbe adversatur Domino meo Jesu Christo, quam vos qui estis exsecrabiles, perfidi, infideles. Nam ex aliis sectis qui obsistunt ac reniluntur, in parte aliqua, si vobiscum comparentur, ei adversantur. Ne igitur, o Judæe, sermonem in vanum conterens circumducas. Nam mihi Deus dedit oculos eruditos et intelligentes, quibus ego etiam in profundo sacræ Scripturæ delitescentem veritatem penitus perspicio. Tu vero cæcutiens inescare me non poteris.

A Ἑβραίων ἀρτίως ὁ Θεός; ὅτι καὶ αὐτὰ τὰ μικρὰ, καὶ μὴ πιστεύσαντα ἔθνη εἰς τὸν Χριστὸν, τύπτουσιν ὑμᾶς, καὶ ὡς παίγνιον κέκτηνται; Κατὰ ποῖον τρόπον λαμβάνετε ὑμεῖς ἀρτίως ἰσχὺν παρὰ Κυρίου, τοσοῦτον ὑπάρχοντες ἀνίσχυροι, ὅτι οὐδ' ἂν ἴσην κώνωπος πρὸς τὸ δάκνειν τοὺς ἐχθροὺς ὑμῶν κέκτησθε δύναμιν; ποῦ δὲ καθορᾶται ἀρτίως βοηθῶν ὑμῖν Κύριος; Ἐπὶ τίνι πράγματι; ἐπὶ τίνι ἀπείθεια (97); ἐπὶ ποίῳ δόξα, ἢ τιμὴ, ἢ δυναστεία; Οὐκ εἶ ὡσεὶ σποδὸς καὶ ὡς ὁμίχλη τὸ πρόσωπον τεταγμένος; Ἰδοὺ οἱ Ἑβραῖοι, ἰδοὺ καὶ σὺ αὐτός. Ἰδέτωσαν οὖν τὰ πρόσωπα ὑμῶν οἱ βουλόμενοι. Οὐκ εἰσὶ κόνις; οὐ πεφύκασι τέφρα; πόθεν; Ἐκ τοῦ μὴ εἶναι χάριν ἐκ Θεοῦ ἐν ὑμῖν, ἐν τῷ μὴ ἔχειν ὑμᾶς Πνεῦμα ἅγιον. Διὰ τὴν ἀπιστίαν ὑμῶν καὶ
B κακοπραγίαν, οὐκ ἐστὲ διεσχισμένοι ἀπ' ἀλλήλων εἰς τὰ πέρατα τῆς οἰκουμένης, ὡσεὶ διεῤῥωγὼς χιτωνίσκος, καὶ ὡσεὶ ἱμάτιον πεπαλαιωμένον; Πότε δὲ ᾐσχύνθησαν καὶ ἐνετράπησαν πάντες ὅσοι πρὸς ὑμᾶς ἠναντιώθησαν; Ποῦ εἰσὶν ὡς οὐκ ὄντες οἱ ὑμῶν ἀντίδικοι; Πότε δὲ ἐζητήσατε αὐτοὺς, καὶ οὐχ εὑρέθησαν; Ποῦ δὲ ὁ Θεὸς κρατῶν τῆς δεξιᾶς ὑμῶν, καὶ ὁδηγῶν ὑμᾶς ἐπί τινι εὐτυχήματι; Ποῦ δὲ χρηματίζεται (98) καὶ ὡσεὶ σκώληξ τεταπεινωμένος, ὁ τῶν Ἰουδαίων σοβαρός τε καὶ λιθοκάρδιος; Ποῦ δὲ καὶ ὀλιγοστοὶ χρηματίζετε, καὶ τὴν λύτρωσιν παρὰ Κυρίου κεκτημένοι, οἱ ἐν πάσῃ τῇ γῇ ὡσεὶ ἀκρεῖς (99) καθήμενοι, καὶ παρὰ πάντων ἐμπτυόμενοι, καὶ μηδεμίαν λύτρωσιν παρὰ Κυρίου δεχόμενοι; Ἀπατᾷ, ὦ
C Ἑρβᾶν. Ταῦτα γὰρ περὶ τοῦ ἐμοῦ Χριστοῦ καὶ Θεοῦ ὁ προφήτης ᾐνίξατο. Καὶ ἐξελέξατο αὐτὸν ὁ Θεὸς, καὶ ἐκάλεσε, καὶ ἡγίασε, καὶ ἠγάπησε, καὶ οὐκ ἐγκατέλιπε, καὶ ἐνίσχυσε, καὶ ἐβοήθησε, καὶ ἠσφαλίσατο τῇ δεξιᾷ αὐτοῦ τῇ μεγίστῃ. Ἀποκρίθητι τίς ἀρτίως δοξάζεται, τίς βασιλεύει, τίς ἐστιν ἰσχυρὸς καὶ μεγαλοδύναμος, ἀλλ' ἢ Ἰησοῦς Χριστὸς ὁ Κύριός μου καὶ Θεός; Οὐκ ἔστε ὑμεῖς, οἱ Ἑβραῖοι, ἐν αἰσχύνῃ καὶ ἐν τροπῇ μεγίστῃ, ὡς ἀντιπεσόντες αὐτῷ, καὶ ἀκμὴν ἀντικείμενοι; Οὐ πεφύκατε ὡς οὐκ ὄντες; Ποῦ γὰρ καὶ καθορᾶσθε; Ζητεῖτε οἱ ἐχθροὶ τοῦ ἐσταυρωμένου, καὶ οὐχ εὑρίσκετε, διότι παρῳνήσατε σταυρώσαντες τὸν δίκαιον καὶ ἅγιον καὶ ἀναμάρτητον. Γίνωσκε οὖν ὅτι περὶ ὑμῶν λελάληκεν ὁ προφήτης, ὅτι *Ἰδοὺ αἰσχυνθήσονται καὶ ἐντρα-*
D *πήσονται πάντες οἱ ἀντικείμενοί σοι*. Οὐδεὶς γὰρ τοσοῦτον ἀντίκειται τῷ Κυρίῳ μου Ἰησοῦ Χριστῷ, ὡς ὑμεῖς, οἱ ἐπικατάρατοι, οἱ ἄπιστοι. Οἱ γὰρ ἐκ τῶν ἄλλων αἱρέσεων ἀντιπίπτοντες, μερικῶς ὡς πρὸς ὑμᾶς ἐναντιοῦνται αὐτῷ. Καὶ μηκέτι λογοτριβῶν περιάγου μοι, ὦ Ἰουδαῖε. Ὀφθαλμοὺς γάρ μοι δέδωκεν ὁ Θεὸς νοεροὺς, καὶ κατοπτεύω τὴν ἐν τῷ βάθει τῆς ἁγίας Γραφῆς κειμένην ἀλήθειαν. Σὺ δὲ τυφλώττων, δελεάσαι με οὐ δυνήσῃ.

NOTÆ.

(97) Al. ἀπειθείᾳ. Forte εὐπειθείᾳ. Gulon.
(98) *Χρηματίζεται*. Forte χρηματίζει. Id.
(99) Ἀκρεῖς. Forte ἀκρίδες. Id.

Καὶ Ο ΕΡΒΑΝ. Καὶ εἰ οὕτως ἔχει, ποίῳ δὲ τρόπῳ τὸν Χριστόν σου Θεὸν προσαγορεύεις, ἐφ' ᾧ Θεὸς ὁ ἐμὸς ἐξελέξατο, καὶ ἠγάπησε, καὶ τὰ ἑξῆς; Οὐκοῦν οὐκ ἔστι Θεὸς, ὡς λέγεις, ὅτι φάσκει περὶ αὐτοῦ διὰ τοῦ προφήτου, ὅτι, *Ἐγὼ γάρ εἰμι ὁ ἐνισχύσας σε.* Πῶς δὲ καὶ ἀποκαλεῖς αὐτὸν Θεὸν καὶ Σωτῆρά σου, ὅστις καθὼς ἡ προφητεία μαρτυρεῖ, ἄνευ τοῦ ἐμοῦ Θεοῦ πράττειν τι οὐ δύναται;

Καὶ Ο ΑΓΙΟΣ. Τοσαύτας ἀποδείξεις, ἄθλιε, περὶ αὐτοῦ δειξάμενος, οὐδέπω συνῆκας, ἐν τίσι φύσεσιν ὁ ἐμὸς Δεσπότης ἐχρημάτισεν; οὐ τῇ προτέρᾳ λελάληκα, ὅτι ἐμὸς Ἰησοῦς Χριστὸς Θεὸς ἦν καὶ ἄνθρωπος; Θεὸς δὲ ποῖος; Οὗτος ὁ λέγων, ὅτι *Ἐγὼ*, φησὶ, *Θεὸς πρῶτος*· τὸ δὲ, *εἰς τὰ ἐπερχόμενα ἐγώ εἰμι*, ποῖα ἐπερχόμενα λέγει, ἀλλ' ἢ τῆς ἐνσάρκου οἰκονομίας μυστήριον; ἐπεὶ οὖν ὁ Θεὸς καὶ ἄνθρωπος ἐχρημάτισεν, ἐβοηθήθη πάντως τῇ ἀνθρωπότητι. *Ἐγὼ ἐξελεξάμην σε*, τοῦ γενέσθαι ἐμοὶ καθ' ὑπόστασιν, καὶ *Ἐγὼ ἐβοήθησά σοι*, ἤγουν διὰ σοῦ πάσῃ τῇ ἀνθρωπότητι, τῇ βαπτιζομένῃ εἰς Πατέρα, καὶ Υἱὸν, καὶ Πνεῦμα ἅγιον.

Καὶ Ο ΕΡΒΑΝ. Καὶ ποῦ ἠνίξατό τις τῶν προφητῶν, ὅτι Θεὸς ἄνθρωπος ἔσται ὁ Χριστὸς, ὃν τρόπον λελάληκας;

Καὶ Ο ΑΓΙΟΣ. Εἴρηκά σοι, ὅτι ἡ θεότης ἔπλασεν ἑαυτῇ ἀνθρωπότητα, ἥτις καὶ πέπονθεν. Ἰησοῦς Χριστὸς ἐξ ἁγνῶν αἱμάτων τῆς Παρθένου καὶ Θεοτόκου, ἥτις ἦν ἐκ σπέρματος Δαβὶδ, ἄνευ ἀνδρὸς συνουσίας προῆλθεν, εἷς ἐκ δύο καὶ μετὰ τὴν ἐνανθρώπησιν. Καὶ ἡ μὲν ἀνθρωπότης αὐτοῦ πάντα ὅσα κέκτημαι κἀγὼ, ἐκέκτητο, πλὴν τῆς ἁμαρτίας· ἡ δὲ θεότης αὐτοῦ, πάντα ὁ Πατὴρ ἐκέκτητο, πλὴν τῆς ἀγεννησίας. Ἀγέννητος γὰρ ὁ Θεὸς, γεννητὸς δὲ ὁ Λόγος αὐτοῦ· ἐν μιᾷ δὲ τῇ ὑποστάσει, ἥτε θεότης αὐτοῦ καὶ ἡ ἀνθρωπότης στοιχεῖται· ἐπειδὴ ἡ σὰρξ αὐτοῦ οὐκ ἐσπάρη, ἀλλ' ὁ Λόγος τοῦ Θεοῦ ἀντὶ σπέρματος ἐν τῇ μήτρᾳ τῆς Παρθένου, ἐπάγει εἰς σάρκα, μηδὲν τὸ καθόλου τραπεὶς ἢ ἀλλοιωθεὶς τῆς αὐτοῦ θεότητος. Ἄτρεπτος γὰρ ἡ θεότης καὶ ἀναλλοίωτος. Ἐπεὶ οὖν εἰρήκαμεν ὅτι ἡ θεότης ἔπλασεν ἑαυτῇ ἀνθρωπότητα, γυμνῇ τῇ οὐσίᾳ τοῖς ἀνθρώποις συναναστρέφεσθαι οὐκ ἐβούλετο. Λέγει γὰρ ὁ Ἠσαΐας περὶ τούτου· *Οὕτως φησὶ Κύριος ὁ Θεὸς ὁ πλάσας αὐτὸν, ὁ ποιήσας τὰ ἐπερχόμενα*, ἤγουν τὰ τῆς νέας χάριτος μυστήρια. *Ἐγὼ*, φησὶν, *ἤγειρα αὐτὸν μετὰ δικαιοσύνης βασιλέα, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ εὐθεῖαι*, τοῦτ' ἔστι, τοῦ Χριστοῦ. *Οὗτος οἰκοδομήσει τὴν πόλιν μου*· οἶμαι δὲ τὴν καθολικὴν Ἐκκλησίαν· *καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου ἐπιστρέψει* ἀπὸ τῆς πλάνης καὶ τῆς αἰχμαλωσίας τοῦ διαβόλου. *Οὐ μετὰ λύτρων*, φησὶν, *οὐδὲ μετὰ δώρων, εἶπε Κύριος ὁ Θεὸς*, ἀλλὰ ἰσχύϊ θεότητος. Καὶ ἄκουσον τὴν ὑποταγὴν τῶν ἐθνῶν. *Οὕτω φησὶ Κύριος ὁ Θεὸς σαβαὼθ, Ἐκοπίασεν Αἴγυπτος*, τοῦτ' ἔστι τῇ πλάνῃ δουλεύσασα· *καὶ ἐμπορία Αἰθιόπων. Καὶ οἱ Σαββὰ νῦν ἄνδρες ὑψηλοὶ, ἐπὶ σὲ ἀναβήσονται*, ἤγουν πιστεύσαντες, *καὶ σοὶ ἔσονται δοῦλοι· καὶ ὀπίσω*

[94] Isa. XLV, 11, 13.

A HERB. Si hoc ita est, quomodo Christum tuum Deum appellas, ob id, quia Deus meus ipsum elegit, dilexit, et cætera? Non igitur hic Deus est, sicut tu affirmas: quia de eo per prophetam dicit: *Ego sum qui te fortem reddidi.* Quomodo igitur appellas ipsum Deum et Salvatorem tuum, qui quidem, sicut propheta testatur, sine Deo meo nihil potest facere?

S. ARCH. O miser, tot jam de ipso demonstrationes et testimonia ostendi, et nondum intellexisti, quibus naturis constat meus Dominus? Nonne pridie dixi, meum Jesum Christum Deum esse et hominem? Deum autem, quem? Illum qui dicit: *Ego Deus primus.* Illud vero, *Ad quæ veniunt, ego sum*, quænam alia venientia dicit, quam carneæ dispen-
B sationis mysterium? Quoniam igitur Deus et homo fuit, adjutus fuit prorsus quoad humanitatem. *Ego elegi te*, ut esses mihi per subsistentiam: et *Ego adjuvi te*, nempe per te juvi omnem humanitatem, quæ sacro lavacro tingitur in Patrem, et Filium, et Spiritum sanctum.

HERB. Ubinam prophetarum quisquam **633** vaticinatus est Christum futurum esse Deum et hominem, sicut dixisti?

S. ARCH. Tibi dixi divinitatem sibi efformasse et adjunxisse humanitatem, quæ quidem perpessa est. Jesus Christus ex puro castoque sanguine Virginis et Deiparæ, quæ fuit ex semine Davidis, sine viri congressu in mundum prodiit, unus ex duabus naturis etiam posteaquam homo factus est
C Hujus humanitas quidem omnia quæ ipse ego habeo, obtinuit, excepto peccato: divinitas vero ejus quæcunque Pater habuit, excepta ingeniti ratione. Non enim Deus (Pater) genitus est: Verbum Filius ejus est genitum. In una autem hypostasi et divinitas ejus et humanitas conjuncta est, quoniam caro ejus non est sata ex semine: sed Verbum Dei pro semine in utero Virginis inducit in carnem, absque ulla omnino conversione aut immutatione ejus divinitatis. Est enim inconvertibilis atque immutabilis divinitas. Quoniam igitur diximus, quod divinitas sibi efformavit humanitatem, nuda et simplici essentia cum hominibus conversari nolebat. Dicit enim Isaias de eo: *Sic dicit Dominus Deus qui formavit ipsum, qui fecit ea quæ eveniunt,*
D nempe novæ gratiæ mysteria: *Ego*, inquit, *excitavi ipsum cum justitia regem, et omnes viæ ejus rectæ;* id est, Christi. *Hic ædificabit civitatem meam;* id est, ut arbitror, catholicam Ecclesiam: *et captivitatem populi mei convertet*, ab errore et captivitate diaboli: *Non*, inquit, *cum pretio redemptionis et donis, dicit Dominus Deus* [94], sed robore divinitatis. Audi quomodo gentes se ejus imperio subjecerint et submiserint. *Sic dicit Dominus Deus sabaoth: Laboravit Ægyptus*, dum nimirum errori servivit; *et Æthiopum negotiatio. Et qui nunc in Sabba sunt excelsi viri, ad te ascendent*, scilicet credentes, *et tibi erunt servi, Et a tergo tuo sequentur vincti manicis*,

nimirum firmitate et certitudine submissionis suæ : *Et ad te transibunt, et adorabunt te*, per fidem, *et in te precabuntur. Et quia in te Deus est*, nempe in humanitate tua, *tu es Deus*. Animadverte, *Non est Deus præter te* · propterea quod ipse sit Verbum verum, absque ullo mendacio dicit propheta : *Tu es enim*, inquit, *Deus, et nescivimus*, quia errore simulacrorum sive deorum falsorum detenti et occupati eramus, *Deus Israelis ;* et si, postquam carne tectus et indutus fuisti, non accipiunt te. Tu tamen Deus es *Servator*. Deinde subjungens de his qui in eum non credunt : *Erubescent et confundentur omnes inimici tui*, et qui ex nobis gentibus, et qui ex vobis Hebræis. *Et ambulabunt*, ait, *isti in pudore* [57], ut a veritate alienati et perfidi. Advertis, o Herbane, quænam dicat propheta? quid ad ea dices? Nunquid mentitur Dei ore hæc effatus?

HERB. Absit! Sic enim dicit propheta, quo modo recitasti. Sed nondum puto illum (scilicet Messiam) advenisse : sed veniet procul dubio suo tempore.

S. ARCH. Serpenti persimilis videris, quem aliquis persequitur et ferit : hic percutienti totum corpus objiciens, malignum caput ad mortem prodere non potest : id est, malignam perfidiam, et unigeniti Filii Dei abnegationem. Equidem scio prophetarum demonstrationes tibi fidem facere : sed ad veritatem non vis venire. Nam temporis diuturnitate perversa consuetudo in te confirmata atque inveterata curatu difficilis, vel omnino insanabilis evasit : et quoties te aliquando pœnitebit, animæ tuæ apertis oculis, cum hac vita defunctus fueris, et videbis quomodo qui Christo non crediderunt, corripiuntur et **634** judicantur ?

HERB. Moses nobis in Pentateucho denuntiat, dicens : *Scio ego*, inquit, *quod in extremis temporibus in omnes gentes dissipabimini. Vobis igitur testificor cœlum, quod est hodie, et ipsam terram, ne deo alieno fidem habeatis, neque invocetis alium, quam Dominum Deum nostrum* [58]. Quamobrem mihi grave est et acerbum Deum legis deserere, quem etiam tu testaris Deum esse veritatis, et Deum juniorem adorare, cum nesciam unde introductus sit. Quis enim est qui mihi plenam et exactam fidem faciat, quod vere hic est Christus, de quo prophetarum oracula juste et vere loquuntur : an potius alius quidam est, qui nondum venit ?

S. ARCH. Quandoquidem tuis prophetis non credis, quomodo alteri fidem habebis? Qui enim suis oculis adversantur, quomodo alterius præeuntis oculos approbabit? De meo Christo et Deo dixisti te non posse adduci ut juniori Deo credas : ut reor, tenebris plenus eras, cum hæc dixisti. Verbum Dei et Patris, tu juniorem Deum appellas?

A *σου ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις*, δηλονότι τῇ ἀσφαλείᾳ τῆς ὑποταγῆς αὐτῶν. *Καὶ διαβήσονται πρὸς σὲ, καὶ προσκυνήσουσί σε* (1), διὰ τῆς πίστεως, *καὶ ἐν σοὶ προσεύξονται. Καὶ ὅτι ἐν σοὶ Θεός ἐστιν*, ἤγουν ἐν τῇ ἀνθρωπότητι αὐτοῦ, *σὺ εἶ Θεός*. Πρόσεχε, *Καὶ οὐκ ἔστι Θεὸς πλὴν σου*, διὰ τὸ εἶναι αὐτὸν τὸν Λόγον τὸν ἀληθινὸν, ἀψευδῶς λέγει ὁ προφήτης· *Σὺ γὰρ εἶ*, φησὶν, *ὁ Θεὸς, καὶ οὐκ εἴδομεν*, διότι τῇ πλάνῃ τῶν εἰδώλων προκατειλήμμεθα, *Θεὸς τοῦ Ἰσραὴλ*, κἂν σαρκωθέντος σου, οὐ προσδέχονταί σε. Ἀλλὰ σὺ εἶ ὁ *Σωτήρ*. Ἐπάγων δὲ περὶ τῶν ἀπιστούντων αὐτῷ, λέγει, *Αἰσχυνθήσονται πάντες οἱ ἀντικείμενοι αὐτῷ*, οἵ τε ἐξ ἡμῶν τῶν ἐθνῶν, καὶ ἐξ ὑμῶν τῶν Ἑβραίων. *Καὶ πορεύσονται*, φησὶν, *οὗτοι ἐν* B *αἰσχύνῃ*, ὡς ἀπηλλοτριωμένοι τῆς ἀληθείας καὶ ἄπιστοι. Προσέχεις, Ἑρβᾶν, τίνα λέγει ὁ προφήτης; Τί οὖν ἐρεῖς πρὸς ταῦτα; Μὴ ἄρα ψεύδεται ὁ ἐκ στόματος Θεοῦ λαλήσας ταῦτα;

Καὶ Ο ΕΡΒΑΝ. Μὴ γένοιτο. Οὕτως γὰρ λέγει ὁ προφήτης καθ' ὃν τρόπον λελάληκας. Ἀλλὰ δοκῶ, μήπω ἐκεῖνον ἐληλυθέναι, πάντως δὲ ἐλεύσεται ἰδίῳ καιρῷ.

Καὶ Ο ΑΓΙΟΣ. Ἔοικας ὄφει τινὶ, καταδιωκομένῳ ὑπό τινος, καὶ τυπτομένῳ, ὃς πᾶν τὸ σῶμα προσθεὶς τῷ τύπτοντι, τὴν πονηρὰν κεφαλὴν οὐ δύναται προδοῦναι εἰς θάνατον· τοῦτ' ἔστι, τὴν κακοπιστίαν καὶ τὴν τοῦ μονογενοῦς Υἱοῦ Θεοῦ ἄρνησιν. Μὴ γὰρ οὐκ ἐπίσταμαι, ὅτι πείθουσί σε αἱ ἀποδείξεις τῶν C προφητῶν· ἀλλ' οὐ βούλει ἐλθεῖν ἐπὶ τὴν ἀλήθειαν. Χρόνῳ γὰρ κακὴ συνήθεια βεβαιωθεῖσα ἐν σοὶ, δυσίατος ἐγεγόνει, ἢ καὶ παντάπασιν ἀνίατος· καὶ ὁπόσα μεταμεληθήσῃ, διανοιγέντων τῶν ὀφθαλμῶν τῆς ψυχῆς σου, ὁπόταν ἐκλείψῃ τοῦ τῇδε βίου, καὶ βλέψῃ, πῶς οἱ μὴ τῷ Χριστῷ πιστεύσαντες παραλαμβάνονται καὶ καταδικάζονται.

ΕΡΒΑΝ. Μωϋσῆς ἡμῖν ἐν τῇ Πεντατεύχῳ παραγγέλλει λέγων· *Ἐπίσταμαι ἐγὼ*, φησὶν, *ὅτι ἐπ' ἐσχάτων τῶν χρόνων διασκορπισθήσεσθε ἐν πᾶσι τοῖς ἔθνεσι. Διαμαρτύρομαι οὖν ὑμῖν, τὸν οὐρανὸν, ὅς ἐστι σήμερον, καὶ αὐτὴν τὴν γῆν, μὴ πεισθῆναι θεῷ ἑτέρῳ ὑποκληθῆναι, παρὲξ Κυρίου τοῦ Θεοῦ ἡμῶν*. Οὐκοῦν βαρύ μοι ἐστὶ καταλιπεῖν τὸν Θεὸν τοῦ νόμου, ὃν καὶ σὺ μαρτυρεῖς, D ὅτι ἐστὶ Θεὸς ἀληθείας· καὶ προσκυνῆσαι Θεῷ νεωτέρῳ πόθεν ἐπεισαχθέντι οὐκ εἰδώς. Τίς γάρ ἐστιν ὁ πληροφορῶν μοι, ὅτι ἐν ἀληθείᾳ αὐτός ἐστιν ὁ Χριστὸς, περὶ οὗ καὶ αἱ προφητεῖαι δικαίως λέγουσιν, ἢ μᾶλλον ἕτερός τίς ἐστι, ἀκμὴν οὐκ ἐληλυθώς;

Καὶ Ο ΑΓΙΟΣ. Ὅταν τοῖς σοῖς προφήταις οὐ πιστεύεις, πῶς ἑτέρῳ τινὶ πιστεύσεις; Ὁ γὰρ τοῖς ἑαυτοῦ ὀφθαλμοῖς ἐναντιούμενος, πῶς ἑτέρου διηγουμένου παραδέξεται; Εἴρηκας δὲ περὶ τοῦ ἐμοῦ Χριστοῦ καὶ Θεοῦ, ὅτι νεωτέρῳ Θεῷ ἀδυνατῶ τοῦ πιστεῦσαι, καὶ, οἶμαι, ὅλος σκότους ἐπλήσθης ταῦτα φθεγξάμενος. Τὸν γὰρ Λόγον τοῦ Θεοῦ καὶ Πατρὸς σὺ

[57] Isa. XLV, 14-16 sec. LXX. [58] Deut. IV, 26.

NOTÆ.

(1) *Προσκ. σε.* Προσκ. σοι. GULON.

νεώτερον Θεὸν ἀποκαλεῖς, τὸν ἐκ Πατρὸς πρὸ αἰώνων γεννηθέντα, δι' οὗ ὁ οὐρανὸς καὶ ἡ γῆ δεδημιούργηται, καὶ πάντα τὰ ἐν αὐτοῖς; Δείξω σοι δὲ ὅτι χωρὶς τοῦ νεωτέρου τοῦδε Θεοῦ, ὡς σὺ φῄς, τί ποτ' οὖν οὐ κατεργάζεται ὁ Θεὸς καὶ Πατήρ. Πρόσεχε δὲ ἀκριβῶς· Ἐάν τις ἄνθρωπος βασιλεύς, ἢ ἄλλος, μὴ τὸ καθόλου φθέγξασθαι δυνάμενος, ποίῳ τρόπῳ ἕξει τὰ διατάγματα αὐτοῦ τῷ κοινῷ καὶ τῇ συγκλήτῳ διηγήσασθαι, ὅπως αὐτὸν θεραπεύσωσιν;

ΕΡΒΑΝ. Ὄντως οὐδενί, εἰ μὴ ἐπίσταται πολλάκις γράμματα, καὶ σιωπῶντος τοῦ στόματος, χαράττει ἐν τῷ τόμῳ τὰ ῥήματα αὐτοῦ, καὶ παρέχει, καὶ γίνονται.

Καὶ Ο ΑΓΙΟΣ. Ἐὰν δὲ μὴ ἐπίσταται γράμματα, τί γίνεται;

ΕΡΒΑΝ. Ἐὰν μὴ ἐπίσταται, μένει παντελῶς ἀνενέργητος.

Καὶ Ο ΑΓΙΟΣ. Ὁ Θεὸς οὖν τῷ Λόγῳ αὐτοῦ φαίνεται ποιῶν πάντα, ἢ σιωπῇ τινι καὶ ἐπιστήμῃ

ΕΡΒΑΝ. Τῷ λόγῳ αὐτοῦ, καὶ τῷ προστάγματι.

Καὶ Ο ΑΓΙΟΣ. Γέγραπται, ὅτι *Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτοῦ* (2)· καὶ τὰ ἑξῆς. Τοῦτον δὲ τὸν Λόγον εὑρίσκομεν ἡμεῖς, ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐκ σπέρματος Δαβὶδ ἐνανθρωπήσαντα, διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν, καὶ γνωρίζομεν αὐτὸν ἕνα Θεὸν σὺν τῷ Πατρὶ καὶ Πνεύματι, καὶ πιστεύομεν εἰς αὐτόν. Σὺ οὖν πῶς εἴρηκας αὐτὸν Θεὸν εἶναι νεώτερον, οὗ χωρὶς ὁ Θεὸς καὶ Πατήρ τί ποτ' οὖν ἐργάζεσθαι οὐ πέφυκε; Σιώπα τοίνυν, καὶ μὴ βλασφήμει, κἂν ἐπεὶ (3) οὐ πιστεύεις εἰς αὐτόν.

ΕΡΒΑΝ. Καὶ ποῖος προφήτης ἐπιτρέπεταί μοι πιστεύειν εἰς αὐτόν;

Καὶ Ο ΑΓΙΟΣ. Αὐτὸς ὁ Θεὸς τοῦ νόμου προτρέπεταί σοι λέγων διὰ Ἡσαΐου τοῦ προφήτου· *Ἰδοὺ ἐγώ*, φησίν, *ἐμβαλῶ εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ, καὶ ὁ πιστεύων εἰς αὐτὸν οὐ καταισχυνθήσεται.* Τοῦ Θεοῦ σου τοιγαροῦν προστάσσοντος, ἵνα πιστεύσῃς εἰς αὐτόν, δι' ἣν αἰτίαν ἀπωθεῖς καὶ καμμύεις, καὶ βύεις τὰ ὦτα, καὶ ἀναβάλλῃ τοῦ προσελθεῖν αὐτῷ; Εἰ τῷ Θεῷ σου παροργᾷς καὶ παροργίζῃ, κελεύοντός σου (4) προσκυνεῖν τῷ Υἱῷ αὐτοῦ· ἐμοῦ ἢ ἑτέρου πώποτε εἰσακούσῃ εἰς τοῦτο; Οὐχ οἶμαι, οὐχ ἂν χρονοτριβήσῃ ἐπὶ τῆς γῆς τὰ ἔτη τοῦ Μαθουσάλα.

ΕΡΒΑΝ. Ὡς ὁρῶ, καὶ οἱ προφῆται εἰς τὰ πλεῖστα αὐτῶν ἐναντιούμενοι εὑρίσκονται. Ἔν τισι γὰρ κεφαλαίοις ἡμῖν τοῖς Ἰουδαίοις βοηθοῦντες εὑρίσκονται, ἔν τισι δὲ καὶ ὑμῖν τοῖς ἀπὸ τῶν ἐθνῶν.

Καὶ Ο ΑΓΙΟΣ. Οὐδαμοῦ εὑρίσκονται ἀντεχόμενοι, ἢ βοηθεῖν τοῖς Ἰουδαίοις, ὡς λέγεις, καταδικάζοντες δὲ μᾶλλον· ἐπειδὴ ἐξ ἀρχῆς σκληροτράχηλοι τῇ καρδίᾳ ἐγένεσθε, καὶ ἀπερίτμητοι τοῖς ὠσίν· ἀπειθοῦν-

A eum qui ex Patre genitus est ante sæcula, per quem cœlum et terra, et omnia quæ in eis sunt, facta sunt et constant? Tibi autem demonstrabo Deum Patrem nihil quidquam operari sine hoc juniore Deo, quem sic tu appellas. Attende diligenter. Si quis (*sit*) homo rex, vel alius qui nullo modo fari possit; quomodo sua edicta et mandata reipublicæ et senatui poterit exponere, ut ipsum curent?

HERB. Nullo revera modo, nisi litteras sæpe sciat scribere, et tacito ore in charta verba sua exaret, et præbeat, et fiant.

S. ARCH. Quod si litteras nesciat, quid fiet?

B HERB. Si ignoret litteras, manet prorsus iners, nec quidquam potest efficere.

S. ARCH. An vero Deus suo Verbo videtur facere omnia, an silentio quodam et scientia?

HERB. Verbo suo, et mandato.

S. ARCH. Scriptum est, quod *Verbo Domini cœli firmati sunt, et Spiritu oris ejus omnis virtus eorum* [59], et cætera. Hoc autem Verbum nos invenimus, in extremis diebus ex semine Davidis hominem factum propter salutem nostram, et cognoscimus ipsum unum Deum cum Patre et Spiritu, et credimus in ipsum. Tu igitur quomodo dicis eum Deum juniorem esse, sine quo Deus Pater numquam quidquam operatur? Tace ergo, et noli

C impias et infandas contumelias evomere, tametsi in ipsum nondum credis.

HERB. Et quis propheta præcipit mihi, ut in ipsum credam?

S. ARCH. Ipsemet Deus legis hortatur per prophetam Isaiam, dicens: *Ecce*, inquit, *mittam ad fundamenta Sionis lapidem pretiosum: et qui credit in ipsum, non confundetur* [60]. Cum igitur Deus tuus jubeat ut credas in ipsum, quam ob causam repellis, et oculos claudis, auresque obstruis, et ejus adventum prorogas? Si Deum tuum contemnis et ad iram provocas, qui jubet te adorare suum Filium: an me vel alium unquam audieris, et ad hoc persuasus veneris? Non opinor: non si

D annos Mathusalæ longævus in terra contriveris.

HERB. In plurimis, ut video, prophetæ ipsi sibi repugnare et contradicere deprehenduntur. Nam locis et capitibus quibusdam nobis Judæis favere inveniuntur, in aliis vero vobis Christianis qui ex gentibus estis.

S. ARCH. Nusquam sibi adversantur, vel vobis Judæis, sicut dicis, favere inveniuntur, sed potius vos condemnare: quandoquidem ab initio duræ et rigidæ cervicis fuistis, ad omnem rectam ra-

[59] Ps. XXXII, 36. [60] Isa. XXVIII, 16.

NOTÆ.

(2) Αὐτοῦ. Leg. αὐτῶν. GILON.
(3) Ἐπεί. Ἔτι. ID.

(4) *Τῷ Θεῷ—παροργίζῃ, κελεύοντός σου.* Τὸν Θεὸν—παροργίζει, κελεύοντί σε vel κελεύοντα. In

tionem 635 cæcum et surdum et saxeum omnino A cor habentes, incircumcisi auribus : Deo refractarii et pervicaces, Spiritui sancto resistentes, sanctissimum nomen ejus valde contristastis.

HERB. Quis tua magnifica et elegantia verba congesserit supra arenam quæ est in littore maris? Quis occurreret tuis contortis et aculeatis sophismatis? Non dixit Deus Mosi, cum rubo insideret : *Videns vidi afflictionem populi mei qui est in Ægypto, et descendi ut redimam eos* [61]? Moses autem non ad Deum locutus est : *Si inveni gratiam coram te, et quod populus tuus hæc gens, ostende mihi tuam gloriam* [62] : et diligens Deus populum suum, qui sumus nos, ostendit ei gloriam suam? Balaam autem a Balac rege accersitus ad exsecrandum et diris devovendum primos patres nostros, castrametantes B in terra ipsius, cum Dei populum esse vidisset, eis potius benedixit, quam male imprecatus est. Et Jesus qui dicitur Nave, pro salute populi bello valido et forti occurrens, nonne maximis elementis quæ in cœli firmamento lucem emittunt, dixit : *Stet sol contra Gabaon, et luna contra vallem* (*Ajalon*), *ut conteram inimicos Domini* [63] : et obedivit indulgens populo Domini? Cum Samuele autem nonne Deus familiariter collocutus est propter salutem Israelis, diligens populum suum? Et David rex nonne pro Israele patiens dicebat : *Memor esto, Domine, synagogæ tuæ quam possedisti ab initio? Liberasti virgam hæreditatis tuæ* [64]. Et Elias propheta nonne ad Achab dixit : *Parce populo: tu es qui pervertis Israelem, et domum patris tui* [65]? C Et Elisæus populum defendens, apud se dixit : *Domine, parce populo, et non revelavit mihi, et doloribus angor toto die.* Et Jeremias non dixit, pro populo plorans : *Heu me, Domine, tune perdes reliquum Israelis* [66]? Et Isaias : *Ubi est multitudo misericordiæ tuæ, Domine, quia et miserationes tuæ se abstinuerunt a nobis? Tu enim pater es noster : libera nos. Ab initio, Domine, nomen tuum super nos est. Cur nos a via tua errare fecisti? Indurasti cor nostrum, ut te non timeremus* [67], et cætera. Cum igitur hi omnes pro populo Israelitico patiantur, et ejus causam defendant, quomodo ipse dixisti, quod nos prophetæ condemnant, neque amplius nobis opitulantur? D

S. ARCH. Non ad hanc speciem, sive ad hunc sensum dixi vos a prophetis condemnari. Quæ præcedunt, præterii : quæ sequuntur ad finem vide.

HERB. Quænam sunt in extremo, mihi enarra.

τες δὲ τὰ πρὸς Θεὸν, καὶ τῷ ἁγίῳ Πνεύματι ἀντιπίπτοντες, ἐλυπήσατε μεγάλως τὸ πανάγιον ὄνομα αὐτοῦ.

monstravit : quando et coquorum præfectus Nabu- A zardan domum Dei incendit, et profectus populum captivum abduxit, atque in servitutem redegit. Illud igitur regnum cum talia, Deo permittente, fecisset, non moderate et clementer tulit in humilitate cordis sui, neque intellexit fines orbis terrarum Dei judiciis regi et dispensari : sed visum est, ex propria prudentia hos prosperos successus sibi contigisse. Mox itaque rex corde elatus est, ac fastu et insolentia depravatus, illa in tabella publice scripta et proposita, cum fremitu edixit omnem terrarum orbem sibi subjectum esse. Quapropter Deus ejus dementiam et insaniam per prophetam redarguens, et volens perdere, prædictis subjunxit : Audi, tu qui hæc dixisti, non Dei judiciis, sed quidquid est, tibi B ipsi attribuens: *Nunquid gloriabitur bipennis, absque eo qui per ipsam scindit*, tanquam sibi et per se ipsa scindat? *aut serra extolletur absque eo qui trahit ipsam*, quia quidvis secet? *aut virga efferetur in semetipsa* [93], et feriet quodcunque velit? Parabolam adversus superbum et insolens illud regnum adducens **643** propheta, dicit, quod te his notis et figuris inductum oportebat mente percipere et intelligere, quod neque currentis neque persequentis est, sed Dei permittentis, ut hæc hoc modo eveniant, et bella, et victoriæ, et strages, et cædes, et alia quædam prius prospere gesta. Quoniam igitur noluisti tali scopo, quidquid est, Dei opus esse existimare : sed corde elatus et in- C solens superba et tumida efflasti, de te ipso, et non de me magnifica spiritu tuo opinatus, *Vivo ego*, dicit Dominus, *qui voluisti, non sic erit : sed mittam*, ait, *in tuum honorem, infamiam, et in tuam gloriam, ignem*. Dico hunc ignem tentationem esse ardentem, qui ignis vehementer ardebit. *Et erit lux Israelis velut ignis, et sanctificabit ipsum in flamma ardente : et incendet et absumet velut fenum, silvam* [94]. In hoc, o Herbane, quod quæritur, positum est. Tu quidem insipienter quodammodo hoc verbum interpretatus es. Ego vero propterea altius repetito principio hujus prophetiæ, caput et summam tibi explanare fui coactus, ut ad verbum audiens omnia intelligas. Cum dixit propheta, quod *Erit lux Israelis tanquam ignis, et sanctificabit ipsum* D *in flamma ardente, et comburet, et absumet silvam velut fenum :* nempe angustiam quæ fuit in captivitate, atque in terra aliena violentissimum domicilium, et vituperium gentium, et dolorem et afflictionem, et metum ac terrorem mortis quem rex Assyriorum incutiebat, et captivitatem ipsorum, et peregrinationem, quam captivi in terra aliena sustinuerunt egentes, lucem castigationis sive emendationis, quæ necessario interna absumit, tropice significavit. Siquidem in terra sua,

[93] Isa. x, 15. [94] ibid. 16, 17.

βασιλείᾳ συνεχώρησεν ὁ Θεὸς, καὶ τὰ πάνδεινα τῇ Ἱερουσαλὴμ ἐνδείξατο, ὅτε καὶ ὁ ἀρχιμάγειρος Ναβουζαρδὰν τὸν οἶκον τοῦ Θεοῦ ἐνέπρησεν, ἀπάρας καὶ τὸν λαὸν εἰς ἀπαγωγὴν δι' αἰχμαλωσίας. Ποιήσασα τοιγαροῦν ἡ βασιλεία ἐκείνη τὰ τοιαῦτα, τοῦ Θεοῦ τοῦτο συγχωρήσαντος, οὐχ ἤνεγκε πράως τῇ ταπεινώσει τῆς καρδίας αὐτοῦ, οὔτε συνῆκεν ὅτι κρίμασι Θεοῦ διοικοῦνται τῆς οἰκουμένης τὰ πέρατα· ἀλλ' ἔδοξεν ὅτι ἐξ ἰδίας συνέσεως ταῦτα αὐτῷ τὰ εὐτυχήματα συνηντήκασι. Καὶ εὐθέως ὑψώθη τῇ καρδίᾳ καὶ ἐπηρώθη τῷ φρονήματι, καὶ τὰ προγεγραμμένα ἐφρυάξατο, πᾶσαν τὴν οἰκουμένην λέγων ὑποταγῆναι αὐτῷ. Οὐκοῦν ἐλέγχων τὴν ἄνοιαν αὐτοῦ ὁ Θεὸς διὰ τοῦ προφήτου, καὶ βουλόμενος ἀπολέσαι, τοῖς προειρημένοις ἐπήγαγεν, Ἄκουσον, εἰπὼν, σὺ ὁ ταῦτα, οὐ τοῖς κρίμασι τοῦ Θεοῦ, ἀλλὰ σεαυτῷ τὸ πᾶν λογιζόμενος· *Μὴ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ κόπτοντος δι' αὐτῆς*, ὥστε κόπτειν ἑαυτῇ; *ἢ ὑψωθήσεται πρίων ἄνευ τοῦ ἕλκοντος αὐτὸν* διὰ τὸ (36) πρίσαι τὸ οἱονοῦν; *ἢ ἀρθήσεται ῥάβδος ἐφ' ἑαυτῆς*, καὶ τύψηται, ὅπερ καὶ βούλεται; Παραβολὴν εἰσάγων πρὸς τὴν ὑπερήφανον ἐκείνην βασιλείαν ὁ προφήτης, λέγει, ὅτι Ἔδει σε κἂν τούτοις τοῖς χαρακτῆρσι ποδηγηθέντα νοῆσαι καὶ συνιέναι, ὅτι οὔτε τοῦ τρέχοντος, οὔτε τοῦ διώκοντος, ἀλλὰ τοῦ συγχωροῦντος Θεοῦ, τὰ τῇδε χρηματίζουσι, πόλεμοί τε καὶ νῖκαι, καὶ ἧτται, καὶ ἕτερά τινα προτερήματα. Ἐπειδὴ, φησὶν, οὐκ ἐβουλήθης τοιούτῳ σκοπῷ τὸ πᾶν τοῦ Θεοῦ λογίσασθαι, ἀλλ' ἐπαρθεὶς τῇ καρδίᾳ ἐφύσησας ὑπέρογκα μεγάλα, φαντασθεὶς τῷ πνεύματι περὶ σεαυτοῦ καὶ οὐκ ἐμοῦ, *Ζῶ ἐγὼ*, λέγει Κύριος, *ὃς βεβούλευσαι, οὐχ οὕτως ἔσται· ἀλλ' ἀποστελῶ*, φησὶν, *εἰς τὴν σὴν τιμὴν ἀτιμίαν, καὶ εἰς τὴν δόξαν πῦρ*. Φημὶ τὸ τὸν πειρασμὸν καιόμενον, ὃ καὶ καυθήσεται μεγάλως. *Καὶ ἔσται τὸ φῶς τοῦ Ἰσραὴλ, ὡς πῦρ, καὶ ἁγιάσει αὐτὸν ἐν φλογὶ καιομένῃ, καὶ φλέξει, καὶ καταφάγεται ὡς χόρτον τὴν ὕλην*. Ἐνταῦθά ἐστιν, Ἐρβᾶν, τὸ ζητούμενον. Σὺ μὲν γὰρ ἀνοήτως πως ἡρμήνευσας τοῦτο τὸ ῥῆμα. Ἐγὼ δὲ διὰ τοῦτο ἄνωθεν ἠναγκάσθην διηγήσασθαί σοι τῆς προφητείας τὸ κεφάλαιον, ἵνα κατ' ἔπος ἀκούσας, συνήσῃς (37) πάντα. Εἰπὼν γὰρ ὁ προφήτης, ὅτι *Ἔσται τὸ φῶς τοῦ Ἰσραὴλ ὡς πῦρ, καὶ ἁγιάσει αὐτὸν ἐν φλογὶ καιομένῃ, καὶ φλέξει, καὶ καταφάγεται ὡς χόρτον τὴν ὕλην*, τὸ ἐν τῇ αἰχμαλωσίᾳ στενοχωροῦν, καὶ τὸ ἐν γῇ ἀλλοτρίᾳ βιαιότατον παροίκημα, καὶ τὸν ὀνειδισμὸν τῶν ἐθνῶν, καὶ τὴν λύπην, καὶ θλῖψιν, καὶ τὸν φόβον τοῦ θανάτου, τοῦ βασιλέως τῶν Ἀσσυρίων, καὶ τὴν ἁλωσίαν (38) αὐτῶν τε καὶ ξενητείαν, ἣν αἰχμαλωτισθέντες, καὶ ἐν γῇ ἀλλοτρίᾳ ὄντες, ὑπέμενόν τε δεόμενοι, φῶς σωφρονισμοῦ τὸ ἐξ ἀνάγκης ἐσθίον τὰ ἐνδόσθια τροπικῶς ᾐνίξατο. Ἐπειδὴ γὰρ ἐν τῇ γῇ ἰδίᾳ ἐν ἀναπαύσει χρηματίζοντες ἐσκοτίζοντο, καὶ ἀδεῶς ἐξημάρτανον· διὰ τοῦτο ἐξήγειρεν ὁ Θεὸς τὸν βασιλέα τῶν Ἀσσυρίων, καὶ στρατοπεδεύσας

NOTÆ.

(36) *Διὰ τό*. Scribe διὰ τοῦ. GULON.
(37) *Συνήσῃς*. Forte συνῇς. ID.
(38) *Ἀλωσίαν*. Forte ἅλωσιν vel αἰχμαλωσίαν.

παρέλαβε τὴν Ἱερουσαλὴμ, μετὰ τὴν τελευτὴν βασιλέως Μανασσῆ, καὶ ἀπῆρε τὸν λαὸν ἐν γῇ Χαλδαίων, καὶ κατῴκησεν αὐτὸν ἐκεῖσε, ἵνα οὓς ἡ ἄνεσις καὶ ἡ μέθη καὶ ἡ σπατάλη ἐσκότιζε, καὶ τῶν τοῦ Θεοῦ προσταγμάτων ἀμελεῖν καὶ ἐκπίπτειν ἐποίει, τούτοις ἡ λύπη καὶ ἡ ταλαιπωρία, καὶ ἡ ἐν γῇ ἀλλοτρίᾳ διατριβὴ, κατεσθίουσα ὡς πῦρ καιόμενον, φωτίσῃ τὸν νοῦν. Καὶ ὅρα τὸν Μανασσῆν, ὅπως ἐφώτισεν αὐτὸν ἡ ἀπαγωγὴ τῆς αἰχμαλωσίας. Ἐκεῖθεν γὰρ διασωθεὶς, καὶ μεταγνοὺς εὗρεν ἔλεος παρὰ Κυρίου. Περὶ τούτου τοῦ σκοποῦ τοίνυν, ὦ Ἑρβᾶν, τὸν λόγον ὁ προφήτης ᾐνίξατο, ὅτι *ἔσται τὸ φῶς τοῦ Ἰσραὴλ ὡς πῦρ, καὶ ἁγιάσει αὐτὸν*, ὃ καὶ γέγονεν· καὶ τὰ ἑξῆς. Περὶ δὲ τοῦ αἰχμαλωτεύσαντος αὐτὸν βασιλέως, ἀνθ' ὅσον ἐπήρθη, καὶ οὐχ ἐλογίσατο τὸ πᾶν τῷ Θεῷ, ἀλλ' ὑψώθη τῇ καρδίᾳ, ἀποφαίνων κατ' αὐτοῦ ὁ Θεὸς, φησὶ διὰ τοῦ προφήτου· *Τῇ ἡμέρᾳ ἐκείνῃ ἀποσβεσθήσεται τὰ ὄρη, καὶ οἱ βουνοὶ, καὶ οἱ δρυμοὶ, καὶ καταφάγεται ἀπὸ ψυχῆς ἕως σαρκῶν. Καὶ ἔσται ὁ φεύγων, ὡς ἀπὸ φλογὸς καιομένης· καὶ οἱ καταλειφθέντες ἀπ' αὐτῶν ἔσονται ἀριθμὸς, καὶ παιδίον μικρὸν γράψει αὐτούς.* Τίνα οὖν εἰσι τὰ ὄρη, ἃ λέγει ἀποσβεσθῆναι, καὶ οἱ βουνοὶ καὶ οἱ δρυμοὶ, οὓς καταφάγεται ἀπὸ ψυχῆς ἕως σαρκῶν; Πρόσεχε ἀκριβῶς. Τὰ ὄρη, ἐμφαίνων τοὺς μεγάλους τοὺς σατράπας τῶν Ἀσσυρίων, καὶ βουνοὺς εἰσάγων, περὶ τῶν καταδεεστέρων ἀρχόντων λέγει. Δρυμοὺς δὲ, παραδηλῶν τὸ ἄγριον τῆς φύσεως αὐτῶν ἐμφαίνει, καὶ τὸ ἀλλότριον τοῦ πνευματικοῦ καρποῦ. Βάλανος γὰρ χοίρων τροφὴ, καὶ τὰ τῶν ἁμαρτωλῶν ἔργα, τροφὴ δαιμόνων. Τὸ πᾶν γὰρ ἔθνος τῶν Ἀσσυρίων ᾐνίξατο, εἰπὼν, *Ὄρη καὶ βουνοὺς καὶ δρυμούς*· ὡς μηδ' ἐνὶ καρπῷ ἀγαθῷ ἐπιτηδείους ὄντας, ἀλλ' ἢ ἁμαρτίας, καὶ μόνον, καθὰ εἴρηκα, καρποφοροῦντας, εἰς βάλανον, ἐξ ἧς ἐσθίουσιν οἱ χοῖροι, ὡς δαίμονες (39). Οὐ μόνον δὲ φάσκει, ὅτι οἱ μεγάλοι καὶ οἱ ἔντιμοι καταφθαρήσονται, ἀλλὰ καὶ πᾶσα ἡ φυλὴ αὐτῶν. Μόλις δέ που ὀλίγοι διασωθήσονται, καὶ τοσοῦτον ὀλίγοι, *ὅτι παιδίον μικρὸν*, φησὶ, *γράψει αὐτοὺς*, τοῦτ' ἔστιν, ἐν εὐτελεῖ τόπῳ τινὶ πεδινῷ εὐπεριγράπτοι ἔσονται. Οἱ δὲ λοιποὶ *ἀπὸ ψυχῆς ἕως σαρκῶν*, ἤγουν ἀπὸ ἑνὸς ἕως πολλῶν, εἰς ἀπώλειαν χωρήσουσι, τὸν ψυχικὸν ὁμοῦ καὶ σωματικὸν θνήξαντες θάνατον. Οἱ δὲ διασωθέντες εὐτελεῖς ἐκεῖνοι, ὡς ἀπὸ φλογὸς καιομένης, φησὶν, ἔσονται διαφεύγοντες. Καὶ ὅτι ταῦτα τοὺς Ἀσσυρίους, ἐφ' ᾧ ἐπεχάρησαν τῇ πτώσει τῶν Ἰουδαίων, καὶ ἐπήρθησαν, κατέλαβε μετὰ ταῦτα, οὐκ ἀμάρτυρος ὁ λόγος. Πολέμων γὰρ αὐτοῖς συνεχεστέρων παρὰ τῆς βασιλείας τῶν Μήδων ἐπιγεγονότων, ἅπασα ἡ εὐπρέπεια αὐτῶν ὤλωλε, καὶ ἡ μεγάλη αὐτῷ τιμὴ εἰς φοβερωτάτην ἀτιμίαν κατήντησε, κατὰ τὸ ῥῆμα τοῦ προφήτου. Τὸ δὲ καταλειφθὲν τοῦ Ἰσραὴλ ἐν ταῖς ἡμέραις ἐκείναις, τὸ ὂν ἐν τῇ γῇ τῶν Ἀσσυρίων, ἀπὸ τῆς φρικωδεστάτης ἐκείνης ἀπειλῆς τοῦ Παντοκράτορος, ἧς ἐπήγαγε τῇ βασι-

A in requie cum essent, obtenebrabantur, et intrepide peccabant. Propterea Deus excitavit regem Assyriorum, qui castrametatus Jerusalem cepit post mortem regis Manassæ, et abduxit populum in terram Chaldæorum, et illic habitare ipsum fecit: ut quos licentia, crapula, ebrietas, luxus, deliciæ obtenebrabant, et Dei mandata negligere et oblivisci et ab his excidere faciebant, his dolor, angustia et calamitas, et in terra aliena conversatio et vexatio exedens velut ignis ardens, mentem accenderet. Quin etiam vide Manassem, quomodo ipsum in captivitatem abductio illuminavit. Illinc enim conservatus et resipiscens, misericordiam apud Dominum invenit. Ad hunc igitur scopum, o Herbane, propheta intuens, vaticinium B protulit, quod *erit lux Israelis sicut ignis, et sanctificabit ipsum*: quod factum est, etc. De rege autem qui ipsum captivum abduxerat, quia elatus est, neque quidquid erat, Dei esse factum existimavit, sed corde et animo superbiit, sententiam pronuntians adversus ipsum Deus dicit per prophetam: *In illa die exstinguentur montes et colles et vepres, et absumentur ab anima usque ad carnes. Et erit qui fugit, ut a flamma ardente: et relicti ab ipsis erunt numerus, et parvulus pusio describet ipsos* [**]. Quinam sunt montes, quos dicit exstinctum iri? Qui colles et sentes quas absumet flamma ab anima usque ad carnes? Attente audi, et diligenter intellige. Per montes illos magnos satrapas Assyriorum indicat: colles subjungens, de infe- C rioribus magistratibus dicit. Vepres sive dumos addens, aperte naturæ ipsorum feritatem ostendit, et alienationem a fructu spiritali. Glans enim porcorum est pabulum, et peccatorum opera dæmonum sunt alimenta. Universam Assyriorum gentem ænigmatice significavit, cum dixit: *Montes*, 644 *colles et vepres;* ut qui nulli bono et utili fructui essent idonei præterquam peccato, et solum fructum, ut dixi, glandem producerent qua porci vescuntur, ut dæmones peccatis. Nec solum dicit, quod magni et clari et honorati corrumpentur ac peribunt, sed et universa tribus ipsorum. Vix enim pauci conservabuntur, et tam pauci, *ut parvulus pusio*, ait, *ipsos describat:* id est, in exiguo D loco quodam campestri facile describentur. Reliqui autem, *ab anima usque ad carnes*, nempe ab uno ad multos, in interitum et exitium venient, animæ simul et corporis mortem obeuntes. Qui autem conservati exigui illi, ut a flamma ardente, effugient. Et quod hæc Assyrios postea invaserunt, eo quod Judæorum calamitati et infortunio insultaverant et elati fuerunt, testis est historia. Nam bellis ipsis crebrioribus et frequentioribus a regno Medorum ingruentibus, omnis decor et magnificentia eorum deperiit, et ingens honor in ignominiam atque infamiam horribilissimam decidit se-

[**] Isa. x, 17-19.

NOTÆ.

(39) Ὡς δαίμονες. Adde ἐκ τῶν ἁμαρτιῶν. GULON.

cundum verbum prophetæ. Quod autem de Israele relictum est in diebus illis in terra Assyriorum, ab illa maxime horrifica comminatione Omnipotentis quam regno ipsorum induxit, non amplius adjiciet, ut sint sub manu ipsorum in tam exiguum numerum redactorum. Et qui conservati fuerint ex Jacob a terra Assyriorum et in Judæam reversi, liberati illa gravi captivitate, non amplius confident iis a quibus injuriam acceperunt, et qui captivos in suam terram abduxerant; sed nitentur et fiduciam habebunt in Domino Sancto Israelis, qui a captivitate et servitute revocavit, et liberatos ac salvos in propriam terram reduxit. Hæc, o Herbane, vera est vaticinii interpretatio. Nam quæ tu ipse interpretatus es, imo vero interpretaberis, aniles sunt fabulæ et nugæ inutiles.

HERB. Ut video, alia in vobis recondita est cognitio, alia vero in nobis. Decet igitur unumquemque suæ cognitioni fidem habere, et in ea conquiescere.

S. ARCH. Si tua cognitio non tuta est nec firma, quid tibi controversum prodest vanitati assidenti, atque illecebris captiosis et fallacibus adhærenti?

HERB. Quis mihi plenam fidem faciet certoque probabit, meam cognitionem esse vanitatem?

S. ARCH. Ego per interrogationem dictiones mutavi, et subinde muto: et dicis, Quis me persuasum et certum reddet?

HERB. Sed tuis verbis fidem habere imperite, et ut sors tulit, nequeo. Tu enim es mihi inimicus, et tua tuosque strenue defendens, in acie stas; mea vero meosque despiciens, temere et inconsiderate aspernaris.

S. ARCH. Nisi veritatis curam habeam et in me et in te, ab unigeniti Filii Dei mei communione et cultu alienus ero.

HERB. Ecce dicis, Deo non esse opus lege, quam nobis Israelitis ut pretiosum thesaurum reliquit. Quibus igitur auribus vel quo corde te audiam, talia mihi obtrudentem atque obstrepentem?

S. ARCH. Tecumne ago, et te refello meis scriptis? Labia tua te ipsum accusant. Agedum, demens, tuos patres accusabis? Ambula cum prophetis tuis, et judicare, præripe, et obsiste eorum prædictionibus ac vaticiniis. Nam ex eorum sententiis et notionibus te convincam, et certam plenamque fidem faciam, ab hoc tempore Deum non postulare usum et exercitium legis vestræ.

HERB. Isaias ait quod *Dixit Sion : Dominus Deus reliquit me, et Deus sanctus oblitus est mei :* et respondit Dominus, dicens : *Nunquid obliviscetur mulier sui parvuli? quominus misereatur* **645** *partuum sui ventris? Quod si etiam horum oblita esset mulier, verumtamen ego non obliviscar tui, dicit Dominus* [96]. Deus dicit se non obliturum nostri; et tu dicis nullam non modo Deo esse curam nostri, sed nec ei opus esse nostra lege.

A λεῖμ αὐτῶν, οὐκέτι προστεθήσεται· τοῦ εἶναι ὑπὸ τὴν χεῖρα αὐτῶν εἰσάπαξ ὀλιγωθέντων. Καὶ οἱ διασωθέντες τοῦ Ἰακὼβ ἀπὸ γῆς Ἀσσυρίων, καὶ πρὸς τὴν Ἰουδαίαν ἀναστρέψαντες, λυτρωθέντες τῆς δεινῆς ἐκείνης αἰχμαλωσίας, οὐκέτι πεποιθότες ἔσονται ἐπὶ τοὺς ἀδικήσαντας αὐτούς, καὶ αἰχμαλώτους ἀπάραντας πρὸς τὴν ἰδίαν γῆν, ἀλλ' ἔσονται πεποιθότες ἐπὶ Κύριον τὸν Ἅγιον τοῦ Ἰσραὴλ, τὸν ἐκ τῆς αἰχμαλωσίας ἀνακαλεσάμενον, καὶ πρὸς τὴν ἰδίαν πατρίδα ἀνασώσαντα. Ταῦτα, ὦ Ἐρβᾶν, ἡ ἀληθὴς ἑρμηνεία τῆς προφητείας, ἐπεὶ ἅπερ αὐτὸς ἡρμήνευσας, μᾶλλον δὲ ἑρμηνεύσεις, γραώδεις μῦθοι πεφύκασι, μηδὲν ὠφελοῦντα.

B ΕΡΒΑΝ. Καθὼς ὁρῶ, ἑτέρα γνῶσις ἐν ὑμῖν ἔγκειται, καὶ ἑτέρα ἐν ἡμῖν· οὐκοῦν δέον ἐστὶν πείθεσθαι ἕκαστον τῇ ἑαυτοῦ γνώσει, καὶ ἡσυχάζειν.

Καὶ Ο ΑΓΙΟΣ. Καὶ ἐὰν οὐχ ἀσφαλής ἐστιν ἡ γνῶσίς σου, τί σοι τὸ διάφορον παρακαθημένῳ ματαιότητι, καὶ παρεδρεύοντι ἀπατηλοῖς δελεάσμασιν;

Καὶ Ο ΕΡΒΑΝ. Καὶ τίς ὁ πληροφορῶν με, ὅτι ματαιότης πέφυκεν ἡ γνῶσίς μου;

Καὶ Ο ΑΓΙΟΣ. Ἐγὼ κατὰ πεῦσιν τὰς λέξεις ἀπήλλαξα καὶ ὑπαλλάττω, καὶ λέγεις, ὅτι Τίς ἐστιν ὁ πληροφορῶν καὶ πείθων με;

ΕΡΒΑΝ. Ἀλλ' οὐκ ἀνέχομαι πείθεσθαι τοῖς σοῖς ἁπλῶς καὶ ὡς ἔτυχεν· ἐχθρὸς γάρ μου εἶ, καὶ τῶν κατὰ σὲ ὑπερασπιζόμενος προΐστασαι· τὰ δὲ παρ'
C ἐμὲ παραβλέπων, εἰκῇ παρορᾷς.

Καὶ Ο ΑΓΙΟΣ. Ἐὰν μὴ φροντίζω τῆς ἀληθείας ἐπί τε ἐμοῦ, ἐπί τε σοῦ, ἀλλότριος ἔσομαι τοῦ μονογενοῦς Υἱοῦ Θεοῦ μου κοινωνίας καὶ λατρείας.

ΕΡΒΑΝ. Ἰδοὺ λέγεις, οὐκέτι χρείαν ἔχει ὁ Θεὸς τοῦ νόμου, ὃν πάλαι διὰ Μωϋσέως ἡμῖν τοῖς Ἰσραηλίταις τεθησαύρικε. Ποίοις οὖν ὠσὶν, ἢ ποίᾳ καρδίᾳ ἀκούσομαί σου, τοιαῦτά μοι εἰσφέροντος καὶ λαλοῦντος;

Καὶ Ο ΑΓΙΟΣ. Μήτοι γε ἀπὸ τῶν ἐμῶν γραφῶν ὠθῶ σε; Τὰ χείλη τὰ σὰ κατηγοροῦσί σου. Ὕπαγε, ἄφρον· μέμψῃ τοῖς πατράσι σοῦ; Πορεύθητι καὶ δικάσθητι μετὰ τῶν προφητῶν σου· πρόλαβε καὶ
D ἀντιπαράταξαι ταῖς αὐτῶν προῤῥήσεσιν. Διὰ τῶν νοημάτων γὰρ αὐτῶν ἐγὼ πληροφορῶ σε, ὅτι ἀπὸ τοῦ νῦν οὐ χρείαν ἔχει τοῦ νόμου ὑμῶν ὁ Θεός.

ΕΡΒΑΝ. Ἡσαΐας ἔφησεν, ὅτι *Εἶπε Σιών· Κύριος ὁ Θεὸς ἐγκατέλιπέ με, καὶ ὁ Θεὸς ὁ ἅγιος ἐπελάθετό μου.* Καὶ ἀπεκρίθη Κύριος λέγων· *Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς; ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔγγονα τῆς κοιλίας αὐτῆς; Εἰ δὲ καὶ ταῦτα ἐπιλάθοιτο γυνὴ, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει Κύριος.* Ὁ Θεὸς φάσκει, ὅτι Οὐκ ἐπιλήσομαί σου· καὶ σὺ λέγεις, ὅτι χρείαν ἡμῶν οὐκ ἔχει, ἀλλ' οὐδὲ τοῦ νόμου ἡμῶν.

[96] Isa. XLIX, 14, 15.

Καὶ Ο ΑΓΙΟΣ. Ἐμοὶ χολᾷς, λέγων, ὅτι Τὰ συμφέροντά σοι λέγεις, καὶ τὰ ἐμὰ ἐπιτήδεια ἀποκρύπτεις, καὶ, ὡς ὁρῶ, σὺ τὸ δρᾶμα τοῦτο ἐργάζῃ, ἀλλ' οὐκ ἀνέξομαί σου τοῦ λοιποῦ. Εἰπὲ γάρ μοι, τί λέγει ὁ προφήτης ἀνωτέρω τῶν ῥηθέντων παρὰ σοῦ; *Τάδε λέγει Κύριος*, φησὶ, *καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι, καὶ ἔπλασά σε, καὶ ἔδωκά σοι, καὶ ἔθηκά σε εἰς διαθήκην ἐθνῶν, τοῦ καταστῆσαι τὴν γῆν, καὶ κατακληρονομῆσαι κληρονομίαν ἐρήμου* (40), *λέγοντα τοῖς ἐν δεσμοῖς, Ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει, Ἀνακαλύπτεσθε* (41). Περὶ τίνος λέγει ταῦτα, δίδαξον.

ΕΡΒΑΝ. Εἰ καὶ περὶ Μωϋσέως τῶν ἐν δεσμοῖς τῆς ἁμαρτίας χρηματιζόντων, καὶ ἐν τῷ σκότει τῆς πλάνης πεπεδημένων τοῦτο εἴρηται, ἀλλ' οὖν ὁ Θεὸς τοῦ νόμου φαίνεται μᾶλλον τὸν Χριστὸν ποιήσας καὶ πλάσας ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, καθὰ αὐτόθι λελάληκεν ὁ προφήτης; Πῶς οὖν σὺ τολμᾷς ἴσον τῷ πλάστῃ αὐτῷ, Θεὸν ὀνομάζων;

Καὶ Ο ΑΓΙΟΣ. Ὅτι ἔπλασε τὴν ἀνθρωπότητα ὁ Θεὸς, οὐχὶ ἀνωτέρω λελάληκά σοι, ἀνόητε; Οὐ προλαβὼν εἴρηκα, ὅτι διπλοῦς ἐστι, Θεὸς ἀληθὴς, καὶ τέλειος ἄνθρωπος, ἐκτὸς ἁμαρτίας; Ὅταν οὖν ἀκούσῃς πλάσιν καὶ θέσιν καὶ δόσιν, τῆς ἀνθρωπότητος αὐτοῦ, τρισάθλιε, νόει ταῦτα εἶναι. Πρόσεχε δὲ τοῖς εἰρημένοις τὰ ὑπόλοιπα, ὅπως ὁ προφήτης διαμαρτύρεται περὶ τῆς ἐθνῶν ἀποκαταστάσεως. Μετὰ γὰρ τὸ εἰρηκέναι αὐτὸν φάσκοντα *τοῖς ἐν δεσμοῖς, Ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει, Ἀνακαλύπτεσθε*, ἐπήγαγεν, *Ἐν πάσαις ταῖς ὁδοῖς βοσκηθήσονται.* Ὁρᾷς; Εἰς πᾶσαν ὁδὸν πνευματικὴν μελετήσουσι, μᾶλλον δὲ περιπατήσουσι, τὰ ἀρεστὰ Κυρίου ἐργαζόμενοι. *Ἐν πάσαις ταῖς τρίβοις ἡ νομὴ αὐτῶν.* Προσέχεις μαρτυρίαν; Οὐχ ὑπολειφθήσεται, φησὶ, μία καὶ μόνη τρίβος ἀπὸ τῶν ἐξευρημένων Κυρίῳ, ἐν ᾗ μετὰ χαρᾶς οὐ περιπατήσουσι, τὰ ἀρεστὰ Κυρίῳ ἐργαζόμενοι. *Οὐ πεινάσουσι* τοῦ ἀκοῦσαι λόγον, Κυρίου δηλονότι, *οὔτε διψήσουσι* πνευματικῶν νοημάτων ἀποτυγχάνοντες, *οὔτε πατάξει αὐτοὺς ὁ καύσων*, ὁ τῆς ἁμαρτίας, *οὔτε μὴν ὁ* τῆς δικαιοσύνης *Ἥλιος* Χριστὸς, ὅτι παρανομήσουσιν, ἀλλ' ἐλαιῶν (42) αὐτοὺς, τῷ λουτῆρι τῆς παλιγγενεσίας, παρακαλέσει αὐτοὺς, τῷ Παρακλήτῳ καὶ ἁγίῳ Πνεύματι, *καὶ διὰ πηγῶν ὑδάτων ἔξει* (43) *αὐτοὺς* καθαρῶς διὰ μέσης γνώσεως τῶν νοημάτων τῆς Γραφῆς καὶ τῶν προφητειῶν καὶ δωρεῶν τοῦ ἁγίου Πνεύματος. *Καὶ θήσω*, φησὶ, *πᾶν ὄρος εἰς ὁδὸν*, ἤγουν τὰ δύσβατα τῶν ὀρέων εὔκολα αὐτοῖς ποιήσω. *Καὶ πᾶσαν τρίβον εἰς βόσκημα αὐτοῖς*, τοῦτ' ἔστι, περὶ πασῶν τῶν ἐντολῶν μου πρότερον μελετήσουσιν. Οὐκ ἀπ' Αἰγύπτου, ὅθεν Ἑβραῖοι, οὐδὲ ἐκ φυλῆς Ἰακὼβ, ὅθεν οἱ Ἰου-

A S. ARCH. Mihi succenses dicendo, Quæ tibi conducunt profers, et quæ ad meum institutum conferunt, celas. Et, ut video, tu hanc fabulam agis. Sed te non amplius feram, neque patiar. Dic igitur mihi, quid ait propheta superius his quæ abs te recitata sunt? *Hæc*, inquit, *dicit Dominus : Tempore accepto audivi te, et in die salutis adjuvi te, et formavi te, et dedi tibi, et posui te in fœdus gentium, ut instaures terram, et ut possideas hæreditates desertas, ut dicas iis qui sunt in vinculis : Exite; et qui in tenebris : Revelamini* [97]. De quo hæc vaticinatur, doce.

HERB. Et si de Mose, et de his qui in vinculis peccati detenti erant, et erroris tenebris involuti, B hoc dictum est : num etiam Deus legis videtur magis Christum fecisse et formasse ex eo quod non erat, ad id quod est, quemadmodum ibidem locutus est propheta? Quomodo igitur Deo creatori et formatori æqualem facere et dicere audes, Deum nominando?

S. ARCH. Nonne superius, o amens, tibi prædixi Deum formasse humanitatem? Non etiam, duplicem esse Christum, Deum verum et perfectum hominem, excepto peccato? Cum igitur audis formationem et situm et donationem, hæc, o ter infelix, de ejus humanitate dicta esse accipe et intellige. Cæterum quæ postea sunt dicta, animo attento audi et percipe, quomodo propheta de gentium restitutione testificatur. Postquam enim C dixit, eum dicere *iis qui erant in vinculis : Egredimini, et qui in tenebris, Revelamini;* subjunxit, *In omnibus viis pascentur*. Vides? Omnem viam spiritalem meditabuntur : imo vero in ea ambulabunt, Dei placita exsequentes. *In omnibus semitis pastio ipsorum*. Attendis testimonium? Non relinquetur, ait, una et sola semita ab iis qui Domino inventi fuerint, in qua cum gaudio et lætitia non ambulabunt, placita Domino operantes. *Non esurient*, audire verbum Dei videlicet; *neque sitient*, a spiritalibus notionibus aberrantes; *neque æstus* febris, id est peccati, *ipsos feriet; neque Sol* justitiæ Christus *percutiet*, eo quod peccarint : sed oleo tingens ipsos, id est lavacro regenerationis, con- D solabitur Paracleto et sancto Spiritu : *et per fontes aquarum educet ipsos* [97*] pure per mediam cognitionem notionum sacræ Scripturæ et prophetiarum, et donorum Spiritus sancti. *Et ponam*, inquit, *omnem montem in viam :* nempe aditu difficilia et inaccessa loca montium, pervia et facilia ipsis faciam. *Et omnem semitam in pastionem ipsis* [98]; id est, de omnibus mandatis meis prius cogitabunt et meditabuntur. Non ab Ægypto, unde Hebræi : non ex tribu Jacob, unde Judæi : ne quando dixe-

[97] Isa. XLIX, 8, 9. [97*] ibid. 10. [98] ibid. 11.

NOTÆ.

(40) *Κληρονομίαν ἐρήμου*. Scribe κληρονομίας ἐρήμους. GULON.

(41) *Ἀνακαλύπτεσθε*. Scribe ἀνακαλυφθῆναι. Mox vero καὶ περὶ τῶν ἐν δεσμοῖς. ID.

(42) *Ἐλαιῶν*. Scribe ἐλεῶν. ID.

(43) *Ἔξει*. Scribe ἄξει. ID.

ris, quod de Judæis loquitur : *Sed veniunt*, inquit, *a Borea et mari, alii vero ex terra Persarum* [99]. In his terræ tractibus sive regionibus quæ putantur gentes, habitant. *Lætentur cœli*, id est angeli, *et exsultet terra*, id est, populus salutem consecutus. *Erumpant montes lætitiam :* id est, gentes antea infrugiferæ ad ubertatem per fidem venientes. *Et colles stillabunt justitiam :* id est, gentium reges et principes Christum cognoscentes, veritatem et justitiam judicate, *quoniam misertus est* **646** *Deus populi sui ;* ut non dicas, o Herbane, quod eos solos qui sunt e domo Jacob, vocavit populum suum : *Et humiles*, inquit, *populi consolatus est* [1], id est valde afflictos et oppressos peccato, vehementer recipiet. *Et erit in illa die, stillabunt montes regni dulcedinem :* nempe hymnos et melodiam in gaudium sanctorum, quæ sunt multitudines angelorum Dei : *et colles fluent lacte*, auspicium divinæ epulationis, qui sunt vertices angelorum Dei. *Et omnes emissiones Judæ scaturient aquis.* Intelligibiles venas, emissiones dicit; emittentes et ebullientes fontes, vivificum laticem regni cœlorum. Quemadmodum enim in terra aquæ ex venis saliunt, et bibit totus mundus : sic et in cœlo, aquæ a Deo spiritales et mente perceptibiles : et bibunt angeli et omnes sancti Dei. Per Judam autem significat Dominum Jesum, ex tribu Juda corporaliter productum. *Et fons*, inquit, *ex domo Domini exsiliet, et rigabit torrentem juncorum* [2]. Fontem dicit, inenarrabile illud gaudium et lætitiam inexplicabilem, et fruitionem, et odoris suavitatem sancti Spiritus, quæ quidem ex ipso præpotente Deo ineffabiliter et jugiter sive perenniter emanat, et rigabit sanctorum agmina, et cor ipsorum tremenda illa et incomparabili suavitate implebit. *Ægyptus evanescet :* id est, omnis error, et lateris faciendi servitus, id est, peccati. *Et Idumæa in campum abolitionis fiet.* Dico omnem gentem alienigenarum, et eorum qui non fuerunt soboles pretiosæ piscinæ, per sanctum baptisma. Quo modo? *Eo quod*, inquit, *effuderunt sanguinem justorum in terra sua*, prophetarum, apostolorum, martyrum. Hi enim filii, et amici, et germani fratres mei Salvatoris Christi, ex tribu Juda admirabiliter exorti; qui quidem atrocem passi sunt injuriam, ab ipsis trucidati. *Judæa autem in sæculum habitabitur :* quæ superna est Judæa, quæ quidem regio est Verbi Dei incarnati ex Juda, et quæ est primogenitorum. *Jerusalem in generationes generationum ;* non quæ est terrestris et ima, sed supercœlestis : id est, ut decet distincte dicere, in sæcula sæculorum. *Et exquiram sanguinem ipsorum*, nempe eorum qui sub lege vivunt, et post legem in nova gratia, propter pulcherrimum suum martyrium, qui propter Deum proprium effuderunt sanguinem, et

A δαῖοι, μήποτε εἴπῃς ὅτι περὶ Ἰουδαίων λέγει· *Ἀλλ' ἥξουσι*, φησὶν, *ἀπὸ Βορᾶν* (44) *καὶ θαλάσσης, ἄλλοι δὲ ἐκ γῆς Περσῶν*. Ἐν τούτοις τοῖς κλίμασι τὰ δοκοῦντα ἔθνη εἶναι, παροικοῦσιν. *Εὐφραινέσθωσαν* (45) *οἱ οὐρανοὶ*, τοῦτ' ἔστιν οἱ ἄγγελοι, *καὶ ἀγαλλιάσθω ἡ γῆ*, ὁ σωτηρίας τυχὼν λαός. *Ῥηξάτω* (46) *τὰ ὄρη εὐφροσύνην*, τὰ ἄκαρπα ἔθνη, εἰς εὐκαρπίαν διὰ τῆς πίστεως χωρήσαντα. *Καὶ οἱ βουνοὶ σταλάξονται δικαιοσύνην*, οἱ τῶν ἐθνῶν βασιλεῖς τε καὶ ἄρχοντες Χριστὸν ἐπεγνωκότες, τὴν ἀλήθειαν καὶ δικαιοσύνην κρίνατε, *Ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ*· ἵνα μὴ εἴπῃς, Ἑρβᾶν, ὅτι τοὺς ἐξ Ἰακὼβ μόνους λαὸν αὐτοῦ ἐκάλεσε, *Καὶ τοὺς ταπεινοὺς*, φησὶ, *τοῦ λαοῦ παρεκάλεσεν*· ἤγουν τοὺς καταπεπονημένους εἰς ἄγαν τῇ ἁμαρτίᾳ, μεγάλως καὶ ἀντι-
B λήψεται. *Καὶ ἔσται τῇ ἡμέρᾳ ἐκείνῃ, ἀποσταλάξει τὰ ὄρη τῆς βασιλείας γλυκασμὸν*, ὕμνους καὶ μελῳδίας εἰς χαρὰν τῶν ἁγίων, ἅτινά εἰσι πλήθη τῶν ἀγγέλων τοῦ Θεοῦ. *Καὶ οἱ βουνοὶ ῥυήσονται γάλα*, ἔναρξιν θείας ἑστιάσεως, αἵ τινές εἰσιν αἱ κορυφαὶ τῶν ἀγγέλων τοῦ Θεοῦ. *Καὶ πᾶσαι αἱ ἀφέσεις Ἰούδα ῥυήσονται ὕδατα*· τὰς νοητὰς φλέγας (47) ἀφέσεις λέγει, τὰς ἀφιείσας τὸ ζῶν ὕδωρ, καὶ τὰς βλυζούσας πηγὰς, τὸ ζωοποιὸν νᾶμα τῆς βασιλείας τῶν οὐρανῶν. Ὥσπερ γὰρ ἐπὶ τῆς γῆς ὕδατα φλεβῶν βλύζουσι, καὶ πίνει ὅλος ὁ κόσμος, οὕτω καὶ ἐν τῷ οὐρανῷ ὕδατα ἀπὸ Θεοῦ νοητὰ, καὶ πίνουσιν οἱ ἄγγελοι καὶ πάντες οἱ ἅγιοι τοῦ Θεοῦ. Ἰούδαν δὲ ἐμφαίνει,
C τὸν Κύριον Ἰησοῦν, ὡς ἐκ φυλῆς τοῦ Ἰούδα σωματικῶς ἀναβλαστήσαντα. *Καὶ πηγὴ*, φησὶν, *ἐξ οἴκου Κυρίου ἐξελεύσεται, καὶ ποτιεῖ τὸν χειμάῤῥουν τῶν σχοίνων*. Πηγὴν λέγει, τὴν ἀνεκδιήγητον ἐκείνην χαρὰν καὶ εὐφροσύνην καὶ ἀπόλαυσιν, καὶ εὐωδίαν τοῦ ἁγίου Πνεύματος, ἥτις ἐξ αὐτοῦ τοῦ Παντοκράτορος ἀνερμηνεύτως καὶ ἀεννάως ἐκπορεύεται, καὶ ποτιεῖ τὰ τῶν ἁγίων συστήματα, καὶ τὴν καρδίαν αὐτῶν ἐμπλήσει φρικτῆς ἐκείνης καὶ ἀσυγκρίτου ἡδύτητος. *Αἴγυπτος εἰς ἀφανισμὸν ἔσται*· τοῦτ' ἔστι πᾶσα πλάνη, καὶ ἡ τῆς πλινθοποιΐας δουλεία, ἤγουν τῆς ἁμαρτίας. *Καὶ Ἰδουμαία εἰς πεδίον ἀφανισμοῦ γενήσεται*. Πᾶσα, φημὶ, τῶν ἀλλοφύλων, τῶν μὴ χρηματισάντων ἐκγόνων τῆς τιμίας κολυμβήθρας διὰ τοῦ ἁγίου βαπτίσματος. Δι' ὃν τρόπον; *Ἀνθ' ὅσον*, φησὶν,
D *ἐξέχεαν αἷμα δικαίων ἐν τῇ γῇ αὐτῶν*, προφητῶν, ἀποστόλων, μαρτύρων. Οὗτοι γὰρ υἱοὶ καὶ φίλοι καὶ γνήσιοι, καὶ ἀδελφοὶ τοῦ ἐμοῦ Σωτῆρος Χριστοῦ τοῦ ἐκ τῆς φυλῆς Ἰούδα παραδόξως ἀναβλαστήσαντος, οἵτινες μεγάλως ἠδικήθησαν ἀποκτανθέντες παρ' αὐτῶν. *Ἡ δὲ Ἰουδαία εἰς τὸν αἰῶνα κατοικισθήσεται*, ἡ ἄνω Ἰουδαία, ἥτις χώρα τοῦ ἐξ Ἰούδα σαρκωθέντος Λόγου Θεοῦ, καὶ ἡ τῶν πρωτοτόκων *Ἱερουσαλὴμ, εἰς γενεὰς γενεῶν*· οὐχ ἡ κάτω, ἀλλ' ἡ ἐπουράνιος· τοῦτ' ἔστι κατὰ τὸ ἀνῆκον

[99] Isa. XLIX, 12. [1] Psal. XCV, 11; Isa. XLIX, 13. [2] Joel III, 18.

NOTÆ.

(44) *Βορᾶν*. Scribe βοῤῥᾶ. GULON.
(45) *Εὐφρ*. Scribe εὐφραίνεσθε. ID.
(46) *Ῥηξάτω*. Scribe ῥηξάτωσαν. ID.
(47) *Φλέγας*. Scribe φλέβας. ID.

τῆς διακρίσεως, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. *Καὶ ἐκζητήσω τὸ αἷμα αὐτῶν*, ἤγουν τῶν ἐν τῷ νόμῳ, καὶ μετὰ τὸν νόμον ἐν τῇ νέᾳ χάριτι, διὰ τὴν καλλίστην αὐτῶν μαρτυρίαν, ἐκχυσάντων διὰ τὸν Θεὸν τὸ αἷμα τὸ οἰκεῖον, καὶ διὰ τὴν τοῦ Λόγου αὐτοῦ πανάχραντον σάρκωσιν. Καὶ οὐ μὴ ἀθωώσω αὐτούς, ἀλλ' ἐν πυρὶ ἀτελευτήτῳ καταναλώσω. *Καὶ Κύριος κατασκηνώσει ἐν τῇ ἄνω Σιών*. Ταύτη ἀληθὴς ἑρμηνεία, Ἑρβᾶν. Εἰ δὲ ἔτι διέστρεψα, ὡς προείρηκας, ἔλεγξον.

ΕΡΒΑΝ. Μή μοι γένοιτο οὕτως ἔχειν. Ἀλλ' οὖν Ἰουδαῖος ἦν ὁ προφήτης, Ἰουδαίοις ταῦτα καὶ προεφθέγξατο. *Βασιλεύει γὰρ ὁ Θεὸς πάσης τῆς γῆς*, ὥσπερ αὐτὴν καὶ δεδημιούργηκεν. Οὐκοῦν, *Ψάλλετε αὐτῷ*, φησὶν ὁ Δαβίδ, ὡς *βασιλεῖ καὶ Θεῷ*.

Καὶ Ο ΑΓΙΟΣ. Τίνα οὖν μετὰ ταῦτα ἐπάγει ὁ προφήτης; *Ἐβασίλευσε*, φησὶν, *ὁ Θεὸς ἐπὶ τὰ ἔθνη* (48), ὁ καὶ ἐνανθρωπήσας, ὁ καὶ ἀναληφθεὶς εἰς τὸν οὐρανὸν, μετὰ τὸ τελέσαι τὴν οἰκονομίαν, καὶ καθίσας ἐκ δεξιῶν τοῦ γεννήσαντος αὐτὸν ἐπὶ θρόνου ἁγίου αὐτοῦ. Ἐὰν γὰρ καὶ βουληθῇς εἰπεῖν ὅτι περὶ τοῦ ἀσωμάτως ὀφθέντος Θεοῦ Μωϋσῇ καὶ Ἡλίᾳ ἐν τοῖς ὄρεσι τοῖς περιφανέσι τοῦτο λέλεκται, ἔχω σε ἐπιστομίσαι, ὅτι ἐπὶ τὸν τὸ σῶμα κεκτημένον λέγεται, τὸ, *κάθηται*· καὶ, *Κάθου ἐκ δεξιῶν μου*· καὶ, *Ἀναπεσὼν κεκοίμηκε*· καὶ τὰ τούτων παραπλήσια· καὶ οὐχὶ περὶ τῆς ἀσωμάτου θεότητος, ἥνπερ οὐχ ἑώρακέ τις ὁποία ἐστὶν, εἴτε κάθηται, εἴτε ἵσταται, εἴτε οὐ κάθηται, εἴτε ἀσπάζεται, καὶ ἐπανακέκλιται δι' ὅλου.

ΕΡΒΑΝ. Πράγματά μοι ὁμιλεῖς πάνυ ἐξαίσια. Δι' ἣν δὲ αἰτίαν μετέπειτα (49) λέγει ὁ προφήτης, *Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν αὐτοῦ, τὴν καλλονὴν Ἰακὼβ ἣν ἠγάπησεν*; Ὁ ἐκλεξάμενος τοίνυν τὰ ἔθνη, καὶ βασιλεύσας ἐν αὐτοῖς, δι' ἣν αἰτίαν ταῦτα ὑπέταξε *τὴν καλλονὴν Ἰακὼβ*, ἤγουν ἡμῖν τοῖς ἐξ Ἰακὼβ ἀναβλαστήσασιν Ἰσραηλίταις;

Καὶ Ο ΑΓΙΟΣ. Ὁ ψαλμὸς οὗτος περὶ τῆς ἀναλήψεως τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ Πνεύματι ἁγίῳ, μυστηριωδῶς ὑπὸ τοῦ προφήτου διεξηχεῖται, ἐπειδὴ λέγει περὶ τῆς θεωθείσης σαρκὸς δι' ἀφθαρσίας μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, τὸ, *Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος*. Σαρκὶ γὰρ ἀνέβη Κύριος, καὶ πάλιν κατέβη. Τὸ πρῶτον μὲν, ὁπόταν ἀνελήφθη εἰς τοὺς οὐρανούς· καὶ μετέπειτα, ὁπόταν καταβήσεται ἐκ τοῦ οὐρανοῦ κρῖναι πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς. Περὶ γὰρ τῆς θεότητος, τὸ, *ἀνέβη, καὶ κατέβη*, οὐχ εἴρηται. Μάρτυρες δὲ τῆς ἀναστάσεως αὐτοῦ, καὶ τῆς ἀνόδου, οἱ ἀπόστολοι. Οὐκοῦν ἐπειδὴ ἀπέστειλεν αὐτοὺς μαθητεῦσαι πάντα τὰ ἔθνη, καὶ ἐπειδὴ ἐξ Ἰσραὴλ ἦσαν, καὶ σπέρμα Ἰακὼβ τὸ κατὰ σάρκα ἐχρημάτιζον, ἀνθ' ὅσου αὐτοὺς πάντας τοὺς ἐξ Ἰσραὴλ ἐξελέξατο Ἰησοῦς Χριστὸς ὁ Θεὸς ἡμῶν εἰς κληρονομίαν ἑαυτῷ· Ἰδὼν

A propter Verbi ipsius purissimam et omnino impollutam incarnationem. Neque innocentes ipsos judicabo, sed igne sempiterno consumam. *Et Dominus requiescet in superna Sione* [3]. Hæc vera interpretatio est, o Herbane. Quod si adhuc aliquid perverti, ut ante dixisti, redargue.

HERB. Absit ut fatear ita esse. Enimvero Judæus erat propheta, et Judæis hæc prædixit: *Deus enim rex est omnis terræ*, sicut ipse hanc creavit. Quapropter ait David, *Psallite ei ut regi et Deo* [4].

S. ARCH. Quænam igitur subinde addit propheta? *Regnavit*, inquit, *Deus in gentibus*: ille qui
B homo factus est, et qui assumptus est in cœlum, postquam omnem dispensationem absolvit, et qui sedit a dextris ejus qui ipsum genuit, in throno sancto suo. Nam si volueris dicere hoc dictum esse de Deo, qui Mosi et Eliæ incorporaliter visus est in montibus editis et conspicuis; possum tibi os obstruere: quoniam illud, *sedet*, dicitur de eo qui corpore præditus est: et illud: *Sede a dextris meis* [5]: et: *Considens dormivit;* et quæ sunt his similia: quæ de incorporea divinitate dici non possunt, **647** quam nemo unquam vidit cujusmodi est, utrum sedet, an stat an non sedet, vel utrum amplectitur, an reclinata est per universum.

HERB. Inusitata prorsus et inopinata ac prodigiosa mihi narras. Sed cur postea propheta dicit:
C *Subjecit populos nobis, et gentes sub pedibus nostris. Elegit nobis hæreditatem suam, speciem Jacob quam dilexit* [6]. Qui elegit igitur gentes et regnavit in ipsis, quam ob causam hæc subjecit, *speciem Jacob*, nempe nobis Israelitis ex Jacob exortis?

S. ARCH. Hic psalmus de assumptione Domini mei Jesu Christi, Spiritu sancto mystice a propheta decantatur: quoniam dicit de carne cum deitate conjuncta per incorruptionem post a mortuis resurrectionem unigeniti Dei Filii, illud: *Ascendit Deus in jubilo, Dominus in voce tubæ* [7]. Carne enim ascendit Dominus, et rursus descendit. Primum quidem, cum in cœlos assumptus est: deinde vero, quando
D descendet e cœlo judicaturus omnes peccatores terræ. Nam de deitate verbum, *ascendit et descendit*, non enuntiatum est. Testes autem resurrectionis ejus et ascensionis fuerunt apostoli. Quandoquidem igitur misit ipsos ad docendum gentes omnes et quoniam hi erant ex Israele, et semen Jacob secundum carnem, eo quod ipsos supra omnes Israelitas delegit Jesus Christus Deus noster in hæreditatem sibi: David tanquam ex edito illustrique loco mentis oculis, quod post factum est, ante in-

[3] Joel III. 21. [4] Psal. XLVI, 7. [5] Psal. CIX, 1. [6] Psal. XLVI, 4, 5. [7] ibid. 6.

NOTÆ.

(48) *Ἐβασ. — ἐπὶ τὰ ἔθνη*. Scribe, ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ, τουτέστιν, ἐκεῖνος ὁ βασιλεύσας ἐπὶ τὰ ἔθνη, ὁ καὶ ἐνανθρ. GULON.

(49) *Μετέπειτα*. Legendum potius πρότερον vel ἄνωθεν, *ante*, non *postea*. ID.

tuitus, qui dixit ad Deum: *Quoniam incerta et occulta sapientiæ tuæ manifestasti mihi* [8] dicit de inconspicuis tanquam ex persona apostolorum, imo vero ut a persona universi Israelis. Intuens enim ejectionem Israelis, quia repulit Dominus Deus populum suum; solos autem retinebit, quos cum venit, elegit propter ipsorum inculpatam fidem: *Elegit nobis*, inquit, *hæreditatem suam*, nempe quæ est duodecim apostolorum: *et speciem*, sive præstantiam *Jacob, quam dilexit* [9]. Florem enim, ut quis dixerit, legit: quod perspectum est, quod operetur prout vult, et reliquum populum perfidum et incredulum, ut inutilem, desertum dispersit. Quod autem *subjecit nobis populos, et gentes sub pedibus nostris*, ex persona apostolorum dicit. Postquam enim assumptus est Dominus noster Jesus Christus ab ipsis in cœlum, illi continuo, profecti in universum mundum, Evangelium prædicarunt: et subjecit ipsis Dominus Deus altissimus non solum populos et tribus et linguas, sicut propheta locutus est, sed reges et satrapas et duces. Quod si erro mentiens, respice et vide, cujus populi dominationem et potestatem habetis? quænam sunt gentes quas vobis Deus nuper subdidit? Atqui non posses ostendere. Respice quomodo fere cunctus terrarum orbis Christianus factus, spiritaliter ipsis apostolis subjectus est.

HERB. Cum gentes quædam Davidis imperio tum cum regnabat, subjectæ parerent, de illa, ut opinor, subjectione, psalmorum auctor scripsit. Tu vero quidvis in tuum auxilium abripiendo detorques.

S. ARCH. *Omnes gentes, plaudite manibus*, cum dicit, utrum gentes omnes David subjecerat? Subjungit deinde, *Jubilate Deo in voce exsultationis* [9]. Inepte loqueris errore lapsus, o Herbane. Sicut tibi dico, sic se habent quæ a Davide decantata sunt, nec secus.

HERB. Qui tecum vult disserere, de illis esse debet, de quibus dixit David: *Posuerunt in cœlum os suum, et lingua ipsorum transivit in terra* [10]. Multandum enim gravissime te propter **648** me Judæorum gens habuit. Doce me hic quænam dicit propheta: *Deus, in sancto via tua. Quis Deus magnus sicut Deus noster? Tu es Deus faciens mirabilia.* Perspicuum quod Deus est Israelis magnus, et non alius. *Notam fecisti potentiam tuam in populis* [11], etc. Certe *filios Jacob et Joseph*, nec filios dixit gentium externarum. Ergo de Deo inferens, et de cognitione potentiæ sive virtutis, et de pretio liberationis, quomodo non inique egisset, locutus, Quis Deus magnus, sicut Jesus filius Joseph et Mariæ? Hic Deus solus qui facit mirabilia. Vel rursus quomodo non dixit: *Notam fecisti in populis gentium potentiam tuam, et redemisti in brachio tuo*

A ἄνωθεν νοεροῖς ὀφθαλμοῖς ὁ Δαβὶδ τὸ γενόμενον, ὁ εἰπὼν πρὸς τὸν Θεόν, *Ὅτι τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι*, λέγει περὶ τῶν ἀδήλων, ὡσανεὶ ἐκ προσώπου τῶν ἀποστόλων· μᾶλλον δὲ καὶ ὡς ἀπὸ τοῦ Ἰσραὴλ παντός. Βλέπων γὰρ τὴν ἐκβολὴν τοῦ Ἰσραὴλ, ὅτι ἀπώσατο Κύριος ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, μόνους δὲ κρατήσει, οὓς ἐλθὼν ἐξελέξατο διὰ τὴν ἀμώμητον αὐτῶν πίστιν· *Ἐξελέξατο ἡμῖν*, φησὶ, *τὴν κληρονομίαν ἑαυτοῦ*, τὴν δωδεκάδα τῶν ἀποστόλων, καὶ *τὴν καλλονὴν Ἰακὼβ ἣν ἠγάπησεν*. Τὸ γὰρ ἄνθος, ὡς ἂν εἴπῃ τις, εἶρεν (50), ὃ τεθέαται, ὅτι ἐνεργήσειεν, πρὸς ὃ βούλεται, καὶ τὸν ὑπόλοιπον ἄπιστον λαὸν, ὡς ἀνωφελῆ, καταλιπὼν διεσκόρπισεν. Ὅτι δὲ *ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν*, ἐκ B προσώπου τῶν ἀποστόλων φάσκει. Μετὰ γὰρ τὸ ἀναληφθῆναι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀπ' αὐτῶν εἰς τὸν οὐρανὸν, εὐθέως ἐκεῖνοι, ἐξελθόντες εἰς τὸν κόσμον ἅπαντα, ἐκήρυξαν τὸ Εὐαγγέλιον. Καὶ ὑπέταξεν αὐτοῖς Κύριος ὁ Θεὸς ὁ ὕψιστος οὐ μόνον λαοὺς καὶ φυλὰς καὶ γλώσσας, καθὼς ὁ προφήτης λελάληκεν, ἀλλὰ βασιλεῖς καὶ σατράπας καὶ ἡγουμένους. Καὶ εἰ σφάλλομαι ψευδόμενος, βλέψον καὶ ἴδε ποίου λαοῦ ὑμεῖς ἐξουσιάζετε, ποῖα δέ εἰσι τὰ ἔθνη, ἅπερ ὑμῖν ὁ Θεὸς ἀρτίως ὑπέταξεν; Ἀλλ' οὐκ ἂν ἔχῃς ἀποδεῖξαι. Βλέψον δὲ τοῖς ἀποστόλοις Χριστοῦ, ὅπως σχεδὸν ἅπασα ἡ οἰκουμένη χριστιανίσασα, πνευματικῶς αὐτοῖς ὑποτέτακται.

ΕΡΒΑΝ. Ἐθνῶν τινων ὑποταγέντων τῷ Δαβὶδ C ἐν ταῖς ἡμέραις αὐτοῦ τῆς βασιλείας, ὡς οἶμαι, περὶ τῆς ὑποθέσεως ταύτης καὶ ὁ Ψαλμῳδὸς ἔγραψε. Σὺ δὲ τὸ πᾶν εἰς τὴν σοῦ ἀπεσπάσω βοήθειαν.

Καὶ Ο ΑΓΙΟΣ. *Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας*, λέγων, ἅπαντα τὰ ἔθνη ἄρα Δαβὶδ καθυπέταξεν; Ἐπάγει δὲ, *Ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως*. Σολοικίζεις, ὦ Ἑρβᾶν, σφαλλόμενος. Καθὼς σοι ὑπαγορεύω, οὕτως ἐστὶ τὰ τοῦ Δαβὶδ λεγόμενα, καὶ οὐχ ἑτέρως.

ΕΡΒΑΝ. Ὁ βουλόμενος ὁμιλεῖν μετὰ σοῦ, ἀπ' ἐκείνων ὀφείλει εἶναι, περὶ ὧν εἴρηκε Δαβὶδ, ὅτι *Ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς*. Ἐπιτίμιον γάρ σε μέγιστον ἔσχηκε δι' ἐμὲ τὸ γένος τῶν Ἰουδαίων. Δί- D δαξόν δὲ ἐνταῦθα τίνα λέγει ὁ προφήτης· *Ὁ Θεὸς, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου. Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; Σὺ εἶ ὁ Θεὸς, ὁ ποιῶν θαυμάσια.* Τοῦ Ἰσραὴλ πρόδηλον ὁ Θεὸς μέγας, καὶ οὐχ ἕτερος. *Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου*, καὶ τὰ ἑξῆς. Ἤτοι *τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ*· καὶ οὐχ εἶπε τοὺς υἱοὺς τῶν ἐθνῶν τῶν ἀλλοτρίων. Οὐκοῦν περὶ Θεοῦ εἰσφέρων, καὶ περὶ γνωρίσματος δυνάμεως, καὶ περὶ λύτρου, πῶς οὐκ ἠνόμησεν, εἰπὼν, Τίς Θεὸς μέγας ὡς Ἰησοῦς υἱὸς Ἰωσὴφ καὶ Μαρίας; Οὗτος ὁ μόνος ὁ ποιῶν θαυμάσια. Ἢ πάλιν, πῶς οὐκ εἴρηκεν, ὅτι *Ἐγνώρισας ἐν τοῖς*

[8] Psal. L, 8. [9] Psal. XLVI, 2. [10] Psal. LXXII, 9. [11] Psal. LXXVI, 14, 15.

NOTÆ

(50) Εἶρεν. Scrib. εἷλεν *cepit*. GULON.—Sed ἄνθος εἶρεν vertendum est: *Florem inseruit*, scilicet: *e floribus sertum fecit*. EDD.

λαοῖς τῶν ἐθνῶν τὴν δύναμίν σου, καὶ ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου, τοὺς υἱοὺς τῶν ἐθνῶν τῶν εἰδωλολατρῶν· ἀλλ', Ἐλυτρώσω, φησὶ, τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ; Ἐνταῦθά μοι λέξον τὰ δοκοῦντά σοι.

Καὶ Ο ΑΓΙΟΣ. Οὐκ ἔστι καιρὸς τοῦ ἀποκριθῆναί σε, ἀναιδέστατε, τῆς ὥρας παρῳχηκυίας.

Ἐξανέστη οὖν ὁ βασιλεὺς, καὶ διελύθη τὸ σελέντιον (51). Τῶν δὲ Ἰουδαίων ἐπὶ τὸ αὐτὸ γεγονότων, καὶ καραδοκούντων πρὸς τὴν ἕωθεν συνέλευσιν, ἔχαιρον, ὅτι ἐξήρκει Ἑρβᾶν πρὸς τὰς ἀποκρίσεις τοῦ ἀρχιεπισκόπου, καὶ παρεθάῤῥυνον αὐτὸν, φάσκοντες· Λάλει τοιγαροῦν, καὶ μὴ φοβοῦ· ὁ Θεὸς γάρ ἐστι μετὰ σοῦ. Ὁ δὲ Ἑρβᾶν ἔλεγεν πρὸς αὐτούς· Τὸν ἄνδρα ὅνπερ βλέπω ἐγὼ, καὶ τὴν σύνεσιν τὴν διὰ τῶν ῥημάτων αὐτοῦ ἐξηχημένην πρός με κατανοῶν, μέχρι τῆς συντελείας οὐ δυνήσομαι πεῖσαι τὸν τοιοῦτον. Μαρτύρομαι οὖν ὑμῖν τέως ἐγὼ ἀψευδῶς, ἀδελφοὶ, ὅτι ἡττηθησόμεθα ὑπ' αὐτοῦ. Ἐγὼ γὰρ εἶδον ἐν τῇ νυκτὶ ταύτῃ Μωϋσῆν τὸν προφήτην, καὶ Ἰησοῦν τὸν ἐσταυρωμένον, περὶ οὗ ἀνὰ μέσον ἡμῶν ἐστιν ἡ φιλονεικία. Εἶδον οὖν ἑκατέρους ἐπὶ πτερύγιον ἱεροῦ τινος ἑστῶτας, καὶ διαλεγομένους. Τὸν δὲ Μωϋσέα ἑώρων ὅτι προσεκύνει τῷ Ἰησοῦ, καὶ τὰς χεῖρας αὐτοῦ, ὡς ἐπὶ Κυρίῳ τῷ Θεῷ, ἐδέσμει τῷ Ἰησοῦ, καὶ μετὰ δέους παρίστατο αὐτῷ. Ξενιζομένου δέ μου ἐπὶ τῷ πράγματι, ἄφνω διανοιχθέντος μου τοῦ στόματος, εἶπον· Κύριε Μωσῆ, καλὰ ταῦτα ἃ ποιεῖς! Ὁ δὲ ἐπιστραφεὶς ἐπέπληξέ μοι εἰπὼν, Παῦσαι ἀναιδέστατε, ὅτι οὐ σφάλλομαι· οὐ γάρ εἰμι ἐκ τῶν κατὰ σέ. Γνωρίζω δέ μου τὸν Ποιητὴν καὶ Κύριον. Ἀλλ' οὖν τί σοὶ καὶ τῷ δικαίῳ ἀρχιεπισκόπῳ, ᾧπερ κόπους παρέχεις εἰκῇ; Ὅμως τῇ ἐπιούσῃ καὶ τῇ μετ' αὐτὴν ὄψει, ὅτι ἡττηθήσῃ ὑπ' αὐτοῦ κραταιῶς, καὶ προσκυνήσεις αὐτῷ (52), ὡς κἀγὼ, τὸν Ἰησοῦν μου καὶ Κύριον. Ταῦτα ἐγὼ τεθέαμαι, ἀδελφοὶ, καὶ τίνα εἰσὶν οὐκ ἐπίσταμαι. Ὅμως οὐκ ἀμελήσω ἐν τῷ τέως περὶ τῶν ἐμῶν. Τούτων οὕτως ῥηθέντων μεταξὺ αὐτῶν καὶ ἄλλων πολλῶν, τῇ ἕωθεν τοῦ συνεδρίου ἑτοιμασθέντος, παρεγένετο καὶ ὁ βασιλεὺς μετὰ ἀρχιεπισκόπου. Ἔστη δὲ καὶ ὁ Ἑρβᾶν μετὰ τῶν συνεπομένων αὐτῷ ἱερέων καὶ νομοδιδασκάλων.

A *populum tuum*, filios gentium et cultorum simulacrorum: sed *redemisti*, ait, *populum tuum, filios Jacob et Joseph?* Ad hunc locum dic mihi quæ tibi videntur.

S. ARCH. Respondendi tempus non est, o impudentissime, cum jam præterierit hora.

Surrexit igitur rex, et silentium ruptum est. Judæi autem coeuntes in unum, et matutinum recursum exspectantes, gaudebant, quod Herbanus archiepiscopi responsis satisfacere videretur; et adhortabantur ipsum ut esset forti animo, dicentes: Loquere, et noli timere: Deus enim tecum. Herbanus autem eis dixit: Virum quem ego video, sapientiam quæ verbis ipsius ad meas aures perso- B nuit, dum cogito, ad finem usque flectere et persuasum adducere non potero. Vobis igitur, fratres, interim vere et indubitanter affirmo ac testificor, quod ab illo profligabimur. Ego enim hac nocte vidi Mosem prophetam, et Jesum crucifixum, de quo inter nos est vehemens contentio. Vidi igitur ambos ad alam cujusdam templi stantes et disserentes: Mosem autem cernebam Jesum adorantem, et manus suas tanquam ad Dominum Deum Jesum vincientem, et cum timore ei astantem. Ego vero ut hospes ad rem admissus, repente resoluto et aperto meo ore, dixi: Domine Moses, hæc quæ facis, præclara! Ipse conversus me graviter objurgavit: Desine, impudentissime, quia non fallor. Non enim sum de tuorum numero. Cognosco au- C tem meum factorem et Dominum. Quid tibi igitur cum hoc justo archiepiscopo, qui negotium et molestias incassum et temere facessis? Verumtamen sequenti die et perendie videbis, quod ab ipso fortiter superaberis, et adorabis ipsum, sicut ego, Jesum meum et Dominum. Hæc ego, fratres, vidi, et quænam sint, nescio. Interim tamen non defatiscar, neque res meas negligam. His ita dictis inter ipsos et alios multos, mane consessu præparato, rex cum archiepiscopo advenit. Herbanus quoque cum sacerdotibus ipsis et legis doctoribus adstitit.

DISPUTATIO QUARTI DIEI.

Καί φησιν Ο ΑΓΙΟΣ· Χθὲς εἴρηκας, ὅτι ὁ βουλόμενος συνομιλεῖν ἐμοὶ, ἀπ' ἐκείνων ὀφείλει εἶναι, περὶ ὧν γέγραπται, ὅτι *Ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν*, καὶ τὰ ἑξῆς. Ἐγὼ δέ σοι λέγω, ὅτι ὁ βουλόμενος ὁμιλεῖν μετ' ἐμοῦ, ὀφείλει εἶναι Χριστοῦ, ἵνα δι' αὐτοῦ ἕξῃ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ἀνοῖγον ὦτα κωφῶν, καὶ τρανοῦν γλῶσσαν παραδόξως μογιλάλων. Οὐκ ὀφείλει δὲ εἶναι Ἰουδαῖος, ὥσπερ αὐτὸς ἐν περιτομῇ καὶ ἀκροβυστίᾳ διάγων, καὶ ἀπιστίᾳ, καὶ ἀνομίᾳ, καὶ κακίᾳ, καὶ πονηρίᾳ, θεο-

D Et dixit S. ARCH.: Heri dixisti, eum qui mecum velit disserere, ex illorum numero esse debere de quibus scriptum est: *Posuerunt in cœlum os suum*, etc. Ego vero tibi dico eum qui velit sermones mecum conferre, oportere esse Christi, ut per ipsum habeat Spiritum sanctum, qui aperit aures surdorum, et balborum atque hæsitantium linguas incredibiliter reddit expeditas, et explanat. Non autem hic debet Judæus esse, sicut tu ipse in circumcisione et præputio vitam agens, et in incredu-

NOTÆ.

(51) *Τὸ σελέντιον*. Ἡ σιγή. GULON. — Videsis Cangium in Glossario Græc. tom. II, pag. 1370, v. *Σιλέντιον*. Ubi paulo post, vocem σελέντιον pluribus illustrat.

(52) Αὐτῷ. Forte αὐτόν. GULON.

A .itate ac perfidia, in scelere atque improbitate Deo rebellem et contumacem et hostilem animum 649 gerens, et velamen grave in corde. Imo vero tu ex illis es vere, nempe profanis et impiis et vaniloquis, de quibus ipse dixisti: *Posuerunt in cœlum os suum*, nempe blasphemia et impiis sannis: *et lingua eorum*, propter Dominum Jesum Christum, convicio et obtrectatione *pertransiit in terra*. Nam omnibus diebus vitæ tuæ ad hunc usque diem, nullum finem fecisti impiis contumeliis et maledictis et atrocibus probris miserandum in modum incessendi viventem Deum Jesum Christum, Dei et Patris ineffabile germen. Quod autem dixisti quid declarat; mihi illud explana: *Deus, in sancto via tua*. Tu mihi potius notum facito, quis sanctus, in quo sit via Dei.

B HERB. Id est, in sancto populo tuo Israelitico. Nam nobis dictum est in lege nostra, et hoc sublimius a Domino: *Ego dixi, Dii estis* [12], etc.

S. ARCH. Male mentitus es, infestissime. Sanctine estis, qui Deum cœli et terræ corporaliter interfecistis; de quibus dictum: *Semen Chanaan, et non Juda* [13]. Tu igitur sanctus es, et omnis multitudo quæ te circumstat et ambit? Si tu electus es, ut ais, et sanctus, postula a Domino, ut terra aperiat suum os, et dehiscat: nosque omnes in ejus hiatum et inanitatem descendemus qui vos oppugnamus, ut quondam illi qui in synagoga sive factione Dathan et Abiron fuerunt. Sed hoc obtinere non possis, absit. Quod autem dictum est vobis: *Ego dixi, Dii estis*, etc., ego scio. Sed reliquum versus C ubinam occultabis? subdit enim: *Vos autem sicut homines morimini, et sicut unus de principibus terræ caditis* [14]; id est: quemadmodum princeps sublimiorum potestatum, inquit, a maxima gloria postquam excidistis, a gloria Unigeniti Jesu Christi, non amplius sicut filii Dei, sed sicut homines peccatores et excordes, invisi et infesti, graviter morimini: nempe animæ et corporis mortem subeuntes. Illud vero: *Deus, in sancto via tua* [15], viam Dei et Patris ostendit, eam quæ in sancto operatur, et efficaciter prior agit. *Quis* autem *Deus, sicut Deus noster* [15*]? Magnus ille est Deus, cujus via in sancto suo Filio Jesu Christo, qui quidem unum sunt; de quorum unitate dicit: *Tu es Deus faciens* D *mirabilia* [16]; Deus, Pater; et Sanctus, Filius, in quo via Dei et Patris, quæ est assumptæ humanæ naturæ, salvos fecit ex Judæis eos qui in eum crediderunt, et omnes gentes in regnum ipsius adduxit. Tali spiritu spiritalia, o Herbane, dijudicantur, non quemadmodum ipse dignoscis, carnali prudentia et superbia circumfusus. Illud autem: *Notam fecisti in populis potentiam tuam* [16*],

μαχίας κεκτημένος, καὶ τὸ κάλυμμα χαλεπῶς ἐν τῇ καρδίᾳ. Μᾶλλον δὲ ἐξ ἐκείνων εἶ σὺ μετὰ ἀληθείας τῶν βεβήλων καὶ ματαίων, περὶ ὧν αὐτὸς εἴρηκεν (53), ὅτι *Ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν*, τῇ βλασφημίᾳ, *καὶ ἡ γλῶσσα αὐτῶν*, τῇ διὰ τὸν Κύριον Ἰησοῦν Χριστὸν λοιδορίᾳ καὶ καταλαλιᾷ, *διῆλθεν ἐπὶ τῆς γῆς*. Τὸν γὰρ ζῶντα Θεὸν Ἰησοῦν Χριστὸν, τὸ ἀπόῤῥητον γέννημα τοῦ Θεοῦ καὶ Πατρὸς, οὐκ ἐπαύσω βλασφημῶν ἐν πάσαις ταῖς ἡμέραις σου δεινῶς καὶ ἐλεεινῶς μέχρι τῆς δεῦρο. Ὅτι δὲ εἴρηκας, σαφήνισον τί δηλοῖ τὸ, *Ὁ Θεὸς, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου*· σύ μοι μᾶλλον γνώρισον, τίς ὁ ἅγιος, ἐν ᾧ ἡ ὁδὸς τοῦ Θεοῦ κεχρημάτικεν;

ΕΡΒΑΝ. Τοῦτ' ἔστιν ἐν τῷ ἁγίῳ λαῷ σου Ἰσραήλ· Εἴρηται γὰρ ἡμῖν ἐν τῷ νόμῳ ἡμῶν, καὶ ὑψηλότερον τοῦτο παρὰ Κυρίου, ὅτι *Ἐγὼ εἶπα*, φησί· *Θεοί ἐστε*, καὶ τὰ ἑξῆς.

Καὶ Ο ΑΓΙΟΣ. Κακῶς ἐψεύσω, δυσμενέστατε. Ἅγιοι γάρ ἐστε, οἱ τὸν Θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς σωματικῶς ἀποκτείναντες; περὶ ὧν εἴρηται, *Σπέρμα Χαναὰν, καὶ οὐχὶ Ἰούδα*. Ἅγιος εἶ αὐτὸς ἄρα καὶ πλῆθος τὸ περιεστὸς κύκλῳ σου; εἰ ἐκλεκτὸς εἶ σὺ, ὡς φῇς, καὶ ἅγιος, αἴτησαι παρὰ Κυρίου, καὶ ἀνοιξάτω ἡ γῆ τὸ στόμα αὐτῆς, καὶ καταβησόμεθα ἅπαντες οἱ πολεμοῦντες ὑμᾶς ἐν χεναιῶσιν (54) αὐτῆς, ὡς ἐν τῇ συναγωγῇ ποτε Δαθὰν καὶ Ἀβειρών. Ἀλλ' οὐκ ἂν ἔχῃς τοῦτο, μὴ γένοιτο. Ὅτι δὲ εἴρηται ὑμῖν τὸ, *Ἐγὼ εἶπα· Θεοί ἐστε*, καὶ τὰ ἑξῆς, κἀγὼ ἐπίσταμαι. Ἀλλὰ τὸ ἑξῆς τοῦ στίχου, ποῦ γε καλύψεις; ἐπάγει γὰρ, *Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε*· τοῦτ' ἔστιν, Ὃν τρόπον ὁ ἄρχων τῶν ἄνω δυνάμεων, φησὶν, ἀπὸ μεγίστης δόξης ἐκπεπτωκότες, ἀπὸ τῆς τοῦ Μονογενοῦς δόξης Ἰησοῦ Χριστοῦ οὐκέτι ὡς υἱοὶ Θεοῦ, ἀλλ' ὡς ἄνθρωποι ἐφάμαρτοι καὶ νωθρώδεις καὶ στυγεροὶ, λυγρῶς ἀποθνήσκετε, τὸν ψυχικὸν ὄντως καὶ σωματικὸν θάνατον. Τὸ δὲ, *Ὁ Θεὸς, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου*, τὴν ὁδὸν τοῦ Θεοῦ καὶ Πατρὸς ἐμφαίνει, τὴν ἐν τῷ ἁγίῳ αὐτοῦ Κυρίῳ Ἰησοῦ Χριστῷ ἐνεργοῦσαν καὶ προτερίζουσαν. *Τίς δὲ Θεὸς ἡμῶν* (55); Μέγας ἐκεῖνός ἐστι Θεὸς, οὗτινος ἡ ὁδὸς ἐν τῷ ἁγίῳ αὐτοῦ Υἱῷ Ἰησοῦ Χριστῷ, οἵτινες ἕν εἰσιν, περὶ ὧν τῆς ἑνότητος φάσκει, σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια· ὁ Θεὸς, ὁ Πατὴρ, καὶ ὁ Ἅγιος, ὁ Υἱὸς, ἐν ᾧ ἡ ὁδὸς τοῦ Θεοῦ καὶ Πατρὸς, ἡ τῆς ἐνανθρωπήσεως, σέσωκε τοὺς ἐξ Ἰουδαίων πιστεύσαντας αὐτῷ, καὶ πάντα τὰ ἔθνη εἰσήγαγεν εἰς τὴν βασιλείαν αὐτοῦ. Τοιούτῳ πνεύματι τὰ πνευματικὰ, ὦ Ἑρβᾶν, συγκρίνονται, καὶ οὐ καθὼς αὐτὸς διαγινώσκεις, σαρκικῷ φρονήματι περιαντλούμενος. Τὸ δὲ, *Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμιν*

[12] Psal. LXXXI, 6. [13] Dan. XIII, 56. [14] Psal. LXXXI, 7. [15] Psal. LXXVI, 14. [15*] ibid. [16] ibid. 15. [16*] ibid.

NOTÆ.

(53) *Εἴρηκεν*. Forte εἴρηκας, ut paulo post. Et sic legit interpres.

(54) *Ἐν χεναιῶσιν*. Scribe εἰς κένωσιν. GULON.

(55) *Θεὸς ἡμῶν*. Rescribe, Θεὸς μέγας ὡς Θεὸς ἡμῶν; subdit enim auctor, μέγας ἐκ.

σου, τὸν Θεὸν ἐμφαίνει ἐγνωρικέναι ἐν ἡμῖν τοῖς λαοῖς, Ἰησοῦν Χριστὸν, ὅστις ἐστὶν ἡ μεγάλη δύναμις τοῦ Θεοῦ καὶ Πατρός. Πολλὰς γὰρ δυνάμεις καὶ πολλὰ σημεῖα καὶ τέρατα αὐτὸς, ὡς Θεὸς ἐκ Θεοῦ, ταῖς συναγωγαῖς (56) ὑμῶν σωματικῶς ἀναστρεφόμενος τετέλεκε, κἂν ὑμεῖς οὐ προσεσχήκατε· ἀλλ' οὖν, ἱκανοὶ τότε ἐκ τοῦ ὄχλου ὑμῶν ἰδόντες αὐτοῦ τὰ σημεῖα καὶ τὰ τέρατα, ἐπίστευσαν τῷ ὀνόματι αὐτοῦ, καὶ οὐκ ἀπώλοντο. Καὶ, ὡς οἶμαι, τούτοις ἁρμόσει καὶ τὸ εἰρημένον ὑπὸ τοῦ προφήτου, *Ἐγνώρισας*, φάσκοντος, *τοῖς λαοῖς τὴν δύναμίν σου· ἐλυτρώσω ἐν τῷ βραχίονί σου τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ*. Ὑμεῖς δὲ ἐν ἀπιστίᾳ διαμείναντες οὐδὲν ἕτερον, ἢ καθὼς ἐκάλεσεν Ἰωάννης ὁ υἱὸς Ζαχαρίου, *γεννήματα ἐχιδνῶν*, καὶ τὰ ἑξῆς. Ἀλλὰ ταῦτα μὲν οὕτως· πρόσεχε δὲ, τίνα ὁ προφήτης τῆς κλήσεως (57) τῶν ἐθνῶν ἐπάγει· *Ἐνέγκατε τῷ Κυρίῳ*, φησίν· οὐχὶ *αἱ πατριαὶ τῶν ἐθνῶν*; Καὶ τίνα ἐνέγκατε; *δόξαν καὶ τιμήν*. Πάντως ὁρᾷς, ὅπως δοξάζομεν ἡμεῖς αἱ πατριαὶ τῶν ἐθνῶν τὸν Θεὸν τὸν ἅγιον τοῦ νόμου, καὶ προσάγομεν ἀρτίως τιμὴν τῷ ὀνόματι αὐτοῦ, καὶ τῷ Υἱῷ αὐτοῦ τῷ μονογενεῖ. *Ἄρατε*, φησὶ, *θυσίας καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ. Προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. Σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ*. Σαλευθήτω δὲ, ἀλλὰ τῇ φρίκῃ ἐκπληττομένη, καὶ λογιζομένη τὴν συγκατάβασιν τοῦ Θεοῦ Λόγου, καὶ τὴν ἐνανθρώπησιν αὐτοῦ, καὶ τὰ σημεῖα καὶ τὰ τέρατα αὐτοῦ· *Εἴπατε ἐν τοῖς ἔθνεσι, ὅτι Κύριος ἐβασίλευσε*. Ποίῳ τρόπῳ; Τὸ μὲν, *Κύριος*, θεότητα δηλοῖ, τὸ δὲ *βασιλεὺς* (57*), ἀνθρωπότητα· περὶ τῆς ἐνανθρωπήσεως οὖν αὐτοῦ τοῦτο εἴρηται. Εὐαγγελίζεται ἐνταῦθα ὁ προφήτης τοῖς ἔθνεσι, προτρεπόμενος ἅπασι τοῖς προφήταις τοῖς μετ' αὐτὸν μέλλουσι εἰς τὸν βίον ἐγείρεσθαι. *Εἴπατε ἐν τοῖς ἔθνεσι* καὶ ὑμεῖς, ἐπειδὴ κἀγὼ λελάληκα, ὅτι γινώσκεται Κύριος· ἐν ὑμῖν βασιλεύσει ἐνανθρωπήσας, καὶ κατορθώσει τὴν οἰκουμένην ἐν θεογνωσίᾳ διάγειν καὶ ἔργοις θεαρέστοις, *ἥτις οὐ σαλευθήσεται ἀπ' αὐτοῦ*. Ταῦτα οὕτως ἔχει, ὦ Ἑρβᾶν, ἐν ἀληθείᾳ καὶ δικαιοσύνῃ, καὶ οὐκ ἄλλως πως. Τοίνυν διὰ τοῦτο πρόσχες μοι, καὶ εἰσάκουσόν μου, καὶ κατάλιπε τὸν Ἰουδαϊσμὸν, καὶ πρόσελθε τῷ Χριστῷ, ἵνα εὖ σοι γένοιτο, καὶ ἐν τῷ νῦν, καὶ ἐν τῷ μέλλοντι αἰῶνι.

F Ἀδελφὸς ἠρώτησε τὸν ἅγιον γέροντα τὴν ἀββᾶν Βαρσανούφιον λέγων· Οὐκ οἶδα, Πάτερ, πῶς ἐνέπεσα εἰς τὰ βιβλία τοῦ Ὠριγένους καὶ Διδύμου, καὶ εἰς τὰ γνωστικὰ Εὐαγρίου, καὶ εἰς τὰ τῶν μαθημάτων αὐτοῦ. Καὶ λέγουσιν ὅτι οὐκ ἐδημιουργήθησαν αἱ τῶν ἀνθρώπων ψυχαὶ μετὰ τῶν σωμάτων, ἀλλὰ προϋπῆρχον αὐτῶν νόες γυμνοὶ οὖσαι, τουτέστιν, ἀσώματοι· ὁμοίως καὶ οἱ ἄγγελοι νόες γυμνοὶ ἦσαν, καὶ οἱ δαίμονες νόες γυμνοὶ ἦσαν· καὶ οἱ μὲν ἄνθρωποι παραβάντες, κατεδικάσθησαν εἰς τὸ σῶμα τοῦτο· οἱ δὲ ἄγγελοι γεγόνασιν ἄγγελοι, τηρήσαντες ἑαυτούς· οἱ δὲ δαίμονες ἀπὸ πολλῆς κακίας, τοιοῦτοι γεγόνασιν. Καὶ ὅσῳ ἄλλα λέγουσι τοιαῦτα, καὶ πάλιν ὅτι δεῖ μέλλουσαν κόλασιν τέλος λαβεῖν· καὶ ἔχουσιν οἱ ἄνθρωποι καὶ οἱ ἄγγελοι καὶ οἱ δαίμονες ἐπανελθεῖν ἧς (F. ὡς) ὑπῆρχον νόες γυμνοί, ὃ λέγουσιν *ἀποκατάστασιν*. Ἐπεὶ οὖν θλίβεται ἡ ψυχή μου ἐμπεσοῦσα εἰς διψυχίαν, εἰ ἀληθῆ ταῦτά εἰσιν, ἢ οὔ·

δέομαί σου, δέσποτα, δεῖξόν μοι τὴν ἀλήθειαν, ἵνα οὕτως κρατήσω καὶ μὴ ἀπόλωμαι. Καὶ γὰρ οὐδὲν τούτων εἴρηται ἐν τῇ θείᾳ Γραφῇ, ὥσπερ καὶ αὐτὸς Ὠριγένης διαβεβαιοῦται ἐν τῷ αὐτοῦ ἐξηγητικῷ τῆς πρὸς Τίτον Ἐπιστολῆς, μὴ εἶναι τῶν ἀποστόλων, μηδὲ τῆς Ἐκκλησίας παράδοσιν, τό· πρεσβυτέραν εἶναι τὴν ψυχὴν τῆς τοῦ σώματος κατασκευῆς, ὡς αἱρετικὸν χαρακτηρίζων τὸν ταῦτα λέγοντα. Ἀλλὰ καὶ Εὐάγριος μαρτυρεῖ ἐν τοῖς γνωστικοῖς αὐτοῦ κεφαλαίοις, ὅτι περὶ τούτων οὐδεὶς ἐμήνυσεν, οὐδὲ αὐτὸ τὸ Πνεῦμα ἐξηγήσατο. Ἔχει γὰρ ἐν τῷ ἑξηκοστῷ τετάρτῳ κεφαλαίῳ τῆς δευτέρας Ἑκατοντάδος τῶν αὐτοῦ Γνωστικῶν· « Περὶ μὲν τῶν προτέρων ὁ μηνύσων οὐδεὶς, περὶ δὲ τῶν δευτέρων ὁ ἐν Χωρὴβ ἐξηγήσατο. » Καὶ πάλιν ἐν τῷ ἑξηκοστῷ ἐννάτῳ κεφαλαίῳ τῆς αὐτῆς Ἑκατοντάδος τῆς δευτέρας οὕτως φησὶν, ὅτι « Τὸ Πνεῦμα τὸ ἅγιον οὐ τὴν πρώτην τῶν λογικῶν διαίρεσιν, οὐδὲ τὴν πρώτην οὐσίαν τῶν σωμάτων ἐξηγήσατο. » Περὶ δὲ τοῦ μὴ εἶναι ἀποκατάστασιν, μηδὲ τέλος κολάσεως, αὐτὸς ὁ Κύριος ἐφανέρωσεν ἐν τῷ Εὐαγγελίῳ εἰπών· *Ἀπελεύσονται εἰς κόλασιν αἰώνιον*· Καὶ πάλιν· *Ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται.* Πόθεν οὖν, δέσποτα, μηδὲ τῶν ἀποστόλων παραδεδοκότων, μηδὲ τοῦ ἁγίου Πνεύματος ἐξηγησαμένου, καθὼς αὐτοὶ ἐμαρτύρησαν, καὶ τῶν Εὐαγγελίων ἐναντίως ἐχόντων, ταῦτα ἐξέθεντο; Ποίησον οὖν ἔλεος εὐσπλαγχνίας, πάτερ, μετὰ τῆς ἀσθενείας μου, καὶ φανέρωσόν μοι τί εἰσι τὰ δόγματα ταῦτα.

Ἀπόκρισις.

Ἀδελφὲ, οὐαὶ καὶ ἀλαλαὶ τῷ γένει ἡμῶν. Τί ἀφήκαμεν, καὶ τί ἐρευνῶμεν; Εἰς ποῖα ἀμελοῦμεν καὶ εἰς ποῖα σπουδάζομεν, εἰς ποῖα ἀμβλυνόμεθα; Τὰς εὐθείας ὁδοὺς ἀφήκαμεν καὶ εἰς τὰς σκολιὰς θέλομεν βαδίσαι, ἵνα πληρωθῇ εἰς ἡμᾶς ὁ Γραφικὸς λόγος, τό· *Οὐαὶ τοῖς καταλιποῦσι τὰς εὐθείας ὁδοὺς τοῦ πορευθῆναι εἰς ὁδοὺς σκολιάς.* Μετὰ ἀληθείας, ἀδελφὲ, ἀφῆκά μου τὸ πένθος, καὶ πενθῶ σε. Ποῦ ἐνέπεσας; Καὶ τὸν κλαυθμὸν τὸν περὶ ἁμαρτιῶν μου, καὶ κλαίω σε ὡς ἴδιον τέκνον. Οὐρανοὶ φρίττουσι, τί πολυπραγμονοῦσιν ἄνθρωποι· ἡ γῆ σείεται, πῶς ἐξιχνιάσαι θέλουσι τὰ ἀκατάληπτα. Ταῦτα Ἑλλήνων εἰσὶ δόγματα, ταῦτα ματαιολογίαι εἰσὶν ἀνθρώπων οἰομένων τι εἶναι, ταῦτα τὰ ῥήματά εἰσιν ἀργῶν ἀνθρώπων, ταῦτα ἐγέννησεν ἡ πλάνη. Φησὶ γάρ· *Φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν.* Καὶ εἰ θέλῃς μαθεῖν, πρόσχες. Λέγει ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, τὸ φῶς ἡμῶν, ὁ βασιλεὺς ἡμῶν· *Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς.* Ποίους οὖν καρποὺς ἔχουσι; φυσίωσιν, ἐξουδένωσιν, χαύνωσιν, ἀμέλειαν, πρόσκομμα, ἀλλοτρίωσιν νόμου, μᾶλλον δὲ τοῦ νομοθέτου Θεοῦ, οἰκητήριον δαιμόνων καὶ τοῦ ἀρχηγοῦ αὐτῶν διαβόλου. Ταῦτα οὐκ ἄγουσιν εἰς φῶς τοὺς αὐτοῖς πιστεύοντας, ἀλλ' εἰς τὸ σκότος· ταῦτα εἰς σκληροκαρδίαν· ταῦτα εἰς προκοπὴν κατὰ Θεὸν οὐκ ἄγουσιν, ἀλλ' εἰς προκοπὴν μᾶλλον τὴν κατὰ διάβολον· ταῦτα ἀπὸ τοῦ

A animo perturber, atque in dubium inciderim num hæc vera sint, nec ne, rogo te, domine, veritatem mihi declares, ut sic firmus consistam et non peream. Etenim horum nihil in sacra Scriptura dicitur, quemadmodum et Origenes affirmat in Commentario suo in Epistolam ad Titum, non apostolorum, non Ecclesiæ traditionem illud esse, nempe animam corporis formatione seniorem esse, hæreticum subindicans esse eum qui hæc dixerit. Quin et Evagrius ipse testificatur in Gnosticis suis capitulis, de his neminem effatum esse, neque Spiritum sanctum illud declarasse. Etenim in sexagesimo quarto capitulo secundæ Hecatontadis, seu Centenarii Gnosticorum ejus : « De primis nemo indicat, de secundis ille qui in Choreb locutus est, enarra-B vit. » Ac rursus in sexagesimo nono capitulo ejusdem secundæ Hecatontadis, sic ait. « Spiritus sanctus, neque primam rationabilium divisionem, neque primam corporum substantiam enarravit. » Quod autem non futura sit restitutio, neque finis suppliciorum, ipse Dominus in Evangelio declaravit his verbis : *Ibunt in supplicium æternum*[1]. Ac rursum : *Vermis eorum non moritur, et ignis non exstinguitur*[2]. Unde igitur, domine, neque tradentibus apostolis, neque Spiritu sancto narrante, quemadmodum et ipsi testificati sunt, imo Evangeliis contraria habentibus, hæc tamen ita illi exposuere? Mihi, pater, misericordiæ viscera exhibe, et declara quid sibi velint hæc dogmata.

C *Responsio.*

Frater, væ et iterum væ generi nostro. Quid missum facimus, et quid scrutamur? Quæ negligimus, et de quibus curamus, in quibus nos hebetes reddimus? Rectas vias dimisimus, et tortuosas peragrare volumus, ut impleatur in nobis Scripturæ sermo ille : *Væ illis qui reliquerunt vias rectas, ut ambularent in viis obliquis*[3]. In rei veritate, frater, dimisi luctum mei ipsius, et te jam lugeo. Quo decidisti? Fletumque pro peccatis meis intermisi, ac te ut proprium filium defleo. Ipsi cœli perhorrescunt, cum talia homines curiose scrutantur; terra commovetur, dum illi perquirunt ea quæ comprehendi nequeunt. Hæc gentilium sunt do-D gmata, hæc futilia dicta sunt hominum qui se aliquid esse arbitrantur, hæc genuit error. Ait enim (Scriptura) : *Dicentes se sapientes esse, stulti facti sunt*[4]. Ac si discere velis, animadverte. Dominus noster Jesus Christus, lux nostra et rex noster, ait : *Ex fructibus eorum cognoscetis eos*[5]. At cujusmodi fructus habent illi? tumorem, contemptum, mollitiem, incuriam, offendiculum, abalienationem a lege, imo potius a legislatore Deo, domicilium dæmonum eorumque principis diaboli. Hæc eos qui ipsis fidem habent, non in lucem, sed in tenebras deducunt; hæc non ad Dei timorem instigant, sed ad duritiam cordis : hæc non ad profectum secundum Deum agunt, sed magis ad profectum secun-

[1] Matth. xxv, 46. [2] Marc. ix, 43, 45, 47. [3] Jerem. xviii, 15. [4] Rom. i, 22. [5] Matth. vii, 16.

dum diabolum; hæc a luto non extrahunt, sed in lutum demergunt; hæc sunt zizania quæ seminavit inimicus in agro patrisfamilias; hæ spinæ subortæ in terra a Domino Deo maledicta: universa mendacium, universa tenebræ, universa error, universa a Deo aliena. Fuge illa, frater, ne verbum ipsorum firmetur in corde tuo. Hæc lacrymas exstinguunt, hæc cor excæcant, in summa perdunt homines ipsis attendentes. Ne stes in illis, ne mediteris ea: amaritudine quippe sunt plena, fructusque ferunt ad mortem. Circa futurorum autem cognitionem ne erraveris. Si hic seminaveris, illic metes. Post profectum hinc nemo proficere potest. Non laborat Deus in creando animam una cum corpore. Circa cœlestes autem ordines, cuivis homini divina Scriptura os obturat his verbis: *Dixit et facta sunt, mandavit et creata sunt. Statuit ea in æternum et in sæculum sæculi* [a]. Et quæ Deus constituit, non mutantur. Non est enim in eo mutatio, secundum Scripturam. Ubinam enim reperisti angeli cujuspiam studium diligentiamque ipsam ad profectum deduxisse? Frater, ubi est operatio, illic et merces; ubi certamen, ibi coronæ. Frater, si te salvum velis, ne te in res hujusmodi conjicias. Testificor tibi in conspectu Patris et Filii et Spiritus sancti, te in foveam diaboli incidisse et in ultimum interitum. Abscede tandem ab iis, et Patrum vestigia sectare. Compara tibi humilitatem et obedientiam, lacrymas, exercitationem, paupertatem, sententiæ propriæ abnegationem, et si qua sunt hujusmodi, ut et in dictis et in vita eorum reperis. Facito autem fructus dignos pœnitentiæ; neque attendas mihi dicenti quidem, sed non facienti. Sed precare ut ego quoque ad veritatis cognitionem perveniam, ad gloriam sanctæ, consubstantialis ac vivificæ Trinitatis in sæcula sæculorum. Amen.

Interrogatio.

Idem frater circa eadem senem alium abbatem Joannem interrogavit.

Responsio.

Hæc sapientia non ex cœlo est, sed ex dæmone in animam profecta; hæc doctrina diaboli est; hæc eos qui ipsi animum adhibent, in supplicium æternum deducit. Qui in illa versatur et immoratur, hæreticus efficitur; qui hæc credit, a veritate eversus est; qui illi assentitur, alienus est a via Dei. Operarii Christi non ita se habent: discipuli Christi hæc non docuerunt; qui verbum veritatis recipiunt, hæc non recipiunt. Cito ab his abscede, frater, ne animam tuam incendas igne diabolico, ne pro tritico in terra tua spinas inseras, ne pro vita mortem accipias; quid multa loquor? ne pro Christo diabolum. Ne in his diu moreris, et a Sodomis cum Lot salvus evades precibus sanctorum. Amen.

[a] Psal. CXLVIII, 5, 6.

A βορβόρου οὐκ ἀνασπῶσιν, ἀλλ' εἰς βόρβορον καταποντίζουσιν· ταῦτά εἰσι τὰ ζιζάνια ἃ ἔσπειρεν ὁ ἐχθρὸς ἐν τῷ ἀγρῷ τοῦ οἰκοδεσπότου· αὗταί εἰσιν αἱ ἀκάνθαι αἱ ἀναφυεῖσαι ἐν τῇ γῇ κατηραμένῃ ὑπὸ Δεσπότου Θεοῦ· ὅλα σκότος, ὅλα πλάνη, ὅλα ἀλλότρια Θεοῦ. Φεῦγε αὐτά, ἀδελφέ, μὴ βεβαιωθῇ ὁ λόγος αὐτῶν ἐν τῇ καρδίᾳ σου. Ξηραίνουσι δάκρυα, τυφλοῦσι τὴν καρδίαν, ἁπαξαπλῶς ἀπολλύουσι τοὺς προσέχοντας αὐτοῖς ἀνθρώπους. Μὴ στῇς ἐν αὐτοῖς, μὴ μελετήσῃς αὐτά. Πικρίας γέμουσι, καὶ τελεσφοροῦσι καρποὺς εἰς θάνατον. Περὶ δὲ τῆς γνώσεως τῶν μελλόντων μὴ πλανηθῇς. Ἐὰν σπείρῃς ἐνταῦθα, ἐκεῖ θερίζεις, οὐκ ἔνι μετὰ τὴν ἄφιξιν τῶν ὧδε προκόψαι τινά. Οὐ κοπιᾷ ὁ Θεὸς συγκτίσαι ἀνθρώπῳ κατὰ (l. καὶ) τὴν αὐτοῦ ψυχήν. Περὶ δὲ τῶν οὐρα-

B νίων ταγμάτων ἐπιστομίζει ἡ θεία Γραφὴ πάντα ἄνθρωπον οὕτως λέγουσα· *Εἶπε καὶ ἐγεννήθησαν, ἐνετείλατο, καὶ ἐκτίσθησαν· ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος*, καὶ ἃ ἔστησεν ὁ Θεὸς οὐκ ἀλλοιοῦνται. Οὐ γάρ ἐστιν ἐν αὐτῷ ἀλλοίωσις κατὰ τὴν Γραφήν. Ποῦ γὰρ εὗρες ὅτι ἡ σπουδὴ τοῦδε τοῦ ἀγγέλου ἤγαγεν αὐτὸν εἰς προκοπήν; Ἀδελφέ, ὧδε (sic) ἐργασίας, ἐκεῖ μισθός· ὧδε ἄθλησις, ἐκεῖθεν στέφανοι. Ἀδελφέ, εἰ σωθῆναι θέλῃς, μὴ βάλλῃς ἑαυτὸν εἰς ταῦτα. Ἐπιμαρτύρομαί σοι ἐνώπιον τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, ὅτι εἰς βόθυνον ἐνέπεσας τοῦ διαβόλου, καὶ εἰς τὸν ἔσχατον θάνατον. Λοιπὸν ἀπόστα τούτων καὶ ἰχνηλάτησον τοὺς πατέρας. Κτῆσαι ἑαυτῷ τὴν

C ταπείνωσιν καὶ τὴν ὑπακοὴν, τὸν κλαυθμὸν, τὴν ἄσκησιν, τὴν ἀκτημοσύνην, τὸ ἀψήφιστον, καὶ ὅσα τοιαῦτά εἰσι καὶ εὑρίσκεις εἰς τὰ ῥήματα αὐτῶν καὶ εἰς τοὺς βίους. Ποίησον δὲ καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ πρόσχες ἐμοὶ τῷ λέγοντι καὶ μὴ ποιοῦντι. Ἀλλ' εὖξαι ἵνα κἀγὼ ἔλθω ποτὲ εἰς ἐπίγνωσιν τῆς ἀληθείας, εἰς δόξαν τῆς ἁγίας ὁμοουσίου καὶ ζωοποιοῦ Τριάδος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐρώτησις.

Ὁ αὐτὸς ἀδελφὸς ἠρώτησε ταῦτα τὸν ἄλλον γέροντα τὸν Ἀββᾶν Ἰωάννην.

Ἀπόκρισις.

Αὕτη ἡ σοφία ἄνωθεν οὐκ ἔστιν, ἀλλὰ ψυχικὴ δαιμονιώδης· αὕτη ἡ διδαχὴ διαβόλου ἐστίν· αὕτη ἀπάγει τοὺς προσέχοντας αὐτῇ εἰς κόλασιν αἰώνιον,

D ὁ ἐνδελεχῶν αὐτῇ, αἱρετικὸς γίνεται. Ὁ πιστεύων αὐτῇ, οὗτος ἐξετράπη τῆς ἀληθείας· ὁ συντιθέμενος αὐτῇ, ἀλλότριός ἐστι τῆς ὁδοῦ τοῦ Θεοῦ. Οἱ ἐργάται τοῦ Χριστοῦ οὐχ ἔχουσιν οὕτως. Οἱ δὲ μαθηταὶ τοῦ Χριστοῦ ταῦτα οὐκ ἐδίδαξαν· οἱ δεχόμενοι τὸν λόγον τῆς ἀληθείας ταῦτα οὐ δέχονται. Διὰ τάχους ἀπόστα ἀπ' αὐτῶν, ἀδελφέ, μὴ καύσῃς τὴν καρδίαν σου τῷ πυρὶ τοῦ διαβόλου, μὴ ἀντὶ σίτου σπείρῃς ἐν τῇ γῇ σου ἀκάνθας, μὴ ἀντὶ ζωῆς λάβῃς θάνατον· καὶ τί πολλὰ λέγω; μὴ ἀντὶ Χριστοῦ τὸν διάβολον. Μὴ χρονίσῃς ἐν αὐτοῖς, καὶ σώζῃ ὡς Λὼθ ἀπὸ Σοδόμων εὐχαῖς ἁγίων. Ἀμήν.

Ἐρώτησις.

Ὁ αὐτὸς ἀδελφὸς ἠρώτησε αὐτὸν γέροντα· οὐκ ὀφείλομεν οὖν ἀναγινώσκειν καὶ τὰ Εὐαγρίου.

Ἀπόκρισις.

Τὰ μὲν δόγματα τὰ τοιαῦτα μὴ δέχου. Ἀναγίνωσκε δὲ αὐτοῦ εἰ θέλῃς τὰ πρὸς ὠφέλειαν ψυχῆς, κατὰ τὴν παραβολὴν τὴν ἐν τῷ Εὐαγγελίῳ περὶ τῆς σαγήνης ὡς γέγραπται, ὅτι τὰ μὲν καλὰ εἰς ἄγγεῖα ἔβαλον, τὰ δὲ σαπρὰ ἔξω ἔῤῥιψαν. Οὕτως καὶ σὺ ποίησον.

Ἐρώτησις.

Ὁ αὐτὸς ἀδελφὸς ὁ ταῦτα ἐρωτήσας, διεκρίνετο ἐν ἑαυτῷ ἐνθυμούμενος, καὶ λέγων· καὶ πῶς τινες τῶν νῦν πατέρων δέχονται αὐτὰ, καὶ ἔχομεν αὐτοὺς ὅτι καλοὶ μοναχοί εἰσι προσέχοντες ἑαυτοῖς; Καὶ μετὰ ἡμέρας, συνέβη τὸν αὐτὸν ἀδελφὸν αἰτῆσαι τὸν μέγαν γέροντα εὔξασθαι ὑπὲρ αὐτοῦ, καὶ τότε ἐδήλωσεν αὐτῷ ὁ γέρων ἀφ' ἑαυτοῦ περὶ τῆς ἐνθυμήσεως τῆς καρδίας αὐτοῦ, ὥστε θαυμάσαι καὶ ἐκπλαγῆναι τὸν ἀδελφόν.

Ἀπόκρισις Βαρσανουφίου.

Ἐπειδὴ εἶπας καὶ ἐνεθυμήθης· ὅτι, διὰ τί τινες τῶν Πατέρων δέχονται τὰ γνωστικὰ Εὐαγρίου, [καὶ] τινες ἀδελφοὶ ὡς γνωστικοὶ δέχονται αὐτὰ, καὶ οὐκ ἐδεήθησαν τοῦ Θεοῦ εἰ ἀληθῆ εἰσι, καὶ ἀφῆκεν ὁ Θεὸς αὐτοὺς περὶ τούτου ἐν τῇ ἰδίᾳ αὐτῶν γνώσει· ἀλλ' ὅμως οὔτε ἐμόν ἐστιν, οὔτε σὸν ταῦτα ζητεῖν, ἀλλ' ὁ καιρὸς ἡμῶν ἐστιν ἐρευνᾷν τὰ πάθη ἡμῶν τοῦ κλαῦσαι καὶ πενθῆσαι.

Ἐρώτησις τοῦ αὐτοῦ καὶ ἑτέρων ἀδελφῶν πρὸς τὸν αὐτὸν μέγαν γέροντα.

Οὐκ ὀκνοῦσι, πάτερ, οἱ ταῦτα φρονοῦντες λέγειν περὶ τοῦ ἁγίου Γρηγορίου τοῦ Ναζιανζῶν, ὅτι καὶ αὐτὸς ἐκτίθεται περὶ τῆς προϋπάρξεως ἐν τοῖς αὐτοῦ συγγράμμασι τοῖς αὐτῷ ῥηθεῖσιν ἔν τε τοῖς τοῦ Κυρίου γενεθλίοις καὶ ἐν τῇ τοῦ Πάσχα ἡμέρᾳ, ἑρμηνεύοντές τινα ῥητὰ κατὰ τὴν αὐτῶν καρδίαν, καὶ παρατρέχοντες τὰ ἐκεῖ σαφῶς εἰρημένα περὶ τῆς πρώτης τοῦ ἀνθρώπου δημιουργίας, τῆς τε αὐτοῦ ψυχῆς καὶ τοῦ σώματος κατὰ τὴν τῆς Ἐκκλησίας παράδοσιν. Λέγει γὰρ οὕτως· « Τοῦτο δὲ βουληθεὶς ὁ τεχνίτης ἐπιδείξασθαι Λόγος, ζῶον ἓν ἐξ ἀμφοτέρων ἀοράτου λέγω καὶ ὁρατῆς φύσεως δημιουργεῖ τὸν ἄνθρωπον· καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα ἤδη προϋποστάσης, παρ' ἑαυτοῦ δὲ ζωὴν εὐθὺς, ὃ δὴ νοερὰν ψυχὴν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος. Καὶ ἐν τοῖς ἐφεξῆς δὲ πολλάκις εὑρήσῃ σαφῶς καὶ ἀναμφιβόλως αὐτῷ εἰρημένα περὶ τοῦ ἀνθρώπου τοῦ ἐκ τῆς προϋπαρχούσης ὕλης καὶ τῆς ὑπὸ τοῦ Θεοῦ δοθείσης ψυχῆς κατασκευασθέντος· ἐν οἷς καὶ πολλὰ ἐγκωμιάζει τὴν τοῦ ἀνθρώπου φύσιν, καὶ ἄξιον Θεοῦ δῶρον καλεῖ τὸ σωθῆναι τὸ σῶμα καὶ τὴν ψυχὴν ἐνδεθῆναι τῷ σώματι, ὑπὲρ τῶν αὐτῇ προημαρτημένων τιμωρουμένην. Καὶ ἐν ἄλλοις δὲ αὐτοῦ διαφόροις συγγράμμασιν, ὁ σκοπὸς αὐτοῦ φανεροῦται τούτου παντελῶς καθαριεύειν τοῦ δόγματος. Καὶ περὶ τοῦ

A

Interrogatio.

Idem frater interrogavit senem : Non debemus ergo Evagrii scripta legere ?

Responsio.

Dogmata hujusmodi ne accipias. Lege tamen si velis ex ejus scriptis ea quæ ad animæ salutem spectant, secundum parabolam sagenæ quæ est in Evangelio, ubi legitur, quæ bona erant in vasa immissa, quæ vero mala, projecta fuisse. Ita et tu facito.

Interrogatio.

B

Is ipse frater qui interrogaverat, apud se dubitabat, et hæc volvebat animo : Cur quidam ex iis qui nunc exsistunt Patribus hæc scripta admittunt, et eos tamen pro monachis probis habemus, qui sibi ipsis attendant? Elapsisque diebus contigit, ut eodem fratre magnum illum senem rogante ut pro se oraret, tunc senex ex seipso cogitationem cordis sui ipsi indicaret, ita ut frater ille admiratione et stupore correptus sit.

Responsio Barsanuphii.

Quia tecum dixisti et cogitasti. Cur quidam ex Patribus Gnostica Evagrii recipiunt, et quidam fratres utpote Gnostici eadem ipsa admittunt, neque Deum precati sunt ut ediscerent num hæc vera sint, Deusque illos in ipsa sua *gnosi* sive cognitione reliquit? ego nihilominus dico tibi, neque meum, neque tuum esse hæc perquirere; sed tempus esse

C

ut ægritudines nostras exploremus, ut eas lacrymis et luctu curemus.

Interrogatio ejusdem aliorumque fratrum ad eumdem magnum senem.

Qui hæc sentiunt, pater, dicere non dubitant de sancto Gregorio Nazianzeno, quod et ipse præexsistentiam astruat in scriptis suis, nempe in Oratione de Natali Domini et in Oratione de Paschate, quædam ejus dicta ex animi sui sententia interpretantes, et prætercurrentes ea quæ ibi de prima hominis nec non animæ et corporis creatione secundum Ecclesiæ traditionem dicuntur. Sic enim loquitur : « Hoc ostendere volens Verbum opifex, animal unum ex utraque, visibili nempe atque invisibili natura

D

erat, hominem scilicet : atque ex materia jam præexsistente corpore assumpto, ex se ipso statim animam indidit, quam scimus esse intelligentem animam et imaginem Dei. » Et in sequentibus multa passim reperias, quæ palam nec obscure profert de homine ex præexsistente materia et anima a Deo indita formato ; ubi multis laudibus humanam ornat naturam, et donum Deo dignum vocat, quod una corpus et anima salutem consequantur : neque vero ait, ut illi jactitant, animam damnationis causa corpori alligatam fuisse, ut eorum quæ prius peccaverat, pœnas daret. In aliis quoque variis illius scriptis, scopus ejus deprehenditur ab hoc dogmate penitus alienus atque purus. Itemque gestientes effutiunt sanctum Gregorium sancti Ba-

silii fratrem id ipsum dixisse, ac præexsistentiam docuisse, ejus dicta quædam prave interpretantes. Ipse tamen clare tricesimo capite operis sui de hominibus, præexsistentiæ dogma oppugnat et evertit, quemadmodum et beatus David, nec non sancti Joannes, Athanasius, omnesque alii qui Ecclesiæ luminaria doctoresque sunt. De restitutione vero aperte loquitur idem Gregorius Nyssenus; verum non de hac quam ipsi prædicant, nempe cessante supplicio fore ut homo restituatur in id quod prius erat, scilicet in puras intelligentias. At nequaquam dicit ille cessaturum ac finem habiturum esse supplicium. Dic ergo, pater, cur talis homo non recte loquatur, ut par esset sanctum virum, qui Spiritu sancto afflante loqui dignatus sit. Etenim circa paradisum quoque dissentiunt quidam ex Patribus et doctoribus, dum aiunt illum non esse sensibilem, sed intelligibilem. In aliis quoque Scripturæ capitulis quamdam dissonantiam reperire est. Indica illud ergo nobis, pater, ut a vobis illuminati glorificemus Deum, et judicium non feramus in sanctos Patres nostros.

A ἁγίου Γρηγορίου τοῦ ἀδελφοῦ τοῦ ἁγίου Βασιλείου ἐπιχαίρουσιν, ὅτι τὸ αὐτὸ εἶπε καὶ λέγει κἀκεῖνος προϋπαρξιν, παρερμηνεύοντες καὶ αὐτοῦ ῥητά τινα. Αὐτὸς δὲ σαφῶς ἐν τῷ τριακοστῷ κεφαλαίῳ τῆς περὶ τῶν ἀνθρώπων αὐτοῦ πραγματείας, μάχεται ἰσχυρῶς τούτῳ τῆς προϋπάρξεως δόγματι καὶ ἀνατρέπει αὐτὸ, καθὸ καὶ ὁ μακάριος Δαυὶδ καὶ οἱ περὶ τὸν ἅγιον Ἰωάννην καὶ Ἀθανάσιον καὶ οἱ λοιποὶ πάντες τῆς Ἐκκλησίας φωστῆρες καὶ διδάσκαλοι. Περὶ δὲ ἀποκαταστάσεως σαφῶς λέγει ὁ αὐτὸς Γρηγόριος ὁ Νύσσης· ἀλλ' οὐ περὶ ταύτης ἧς αὐτοὶ λέγουσιν, ὅτι παυομένης τῆς κολάσεως μέλλει ὁ ἄνθρωπος ἀποκαθίστασθαι εἰς ὅπερ ἐξ ἀρχῆς ἦν, εἰς καθαροὺς νόας. Ἀλλ' οὐ τοῦτο λέγει, ὅτι παύεται ἡ κόλασις καὶ τέλος λαμβάνει. Εἰπὲ οὖν, πάτερ, διὰ τί τοιοῦτος ἄνθρωπος B οὐκ ὀρθῶς λέγει, καθὼς ἐνδέχεται ἄνδρα ἅγιον καὶ ἀξιωθέντα λαλεῖν ἐκ Πνεύματος ἁγίου, καὶ γὰρ καὶ περὶ τοῦ παραδείσου διαφωνοῦσί τινες τῶν Πατέρων καὶ διδασκάλων, μὴ λέγοντες αὐτὸν αἰσθητὸν, ἀλλὰ νοητόν. Καὶ ἐν ἄλλοις κεφαλαίοις τῆς Γραφῆς ἔστιν εὑρεῖν τινων διαφωνίαν. Σαφήνισον οὖν ἡμῖν, δέσποτα, τοῦτο, παρακαλοῦμεν, ἵνα παρ' ὑμῶν φωτισθέντες, δοξάσωμεν τὸν Θεὸν, καὶ μὴ διακρινώμεθα εἰς τοὺς ἁγίους ἡμῶν Πατέρας.

Responsio Barsanuphii.

Benedictus Deus et Pater Domini nostri Jesu Christi, qui benedixit nos in omni benedictione spirituali in cœlestibus in Christo. Amen[7]. Fratres, opportune dicere possum cum Apostolo: *Factus sum stultus, vos me coegistis*[8]. Etenim propter vos cogor quæ mensuram superant meam scrutari, et ea loqui quæ non magnam animæ utilitatem conferant, nisi forte ipsam lædant. Dimisimus Paulum apostolum dicentem: *Omnis ira et furor et clamor et blasphemia tollatur a vobis cum omni malitia*[9]. Ego autem dico, cum voracitate et fornicatione et avaritia et reliquis animi morbis, de quibus indesinenter flere lugereque nos oportet die ac nocte, ut vi lacrymarum horum omnium sordes abluantur, et possimus ex inquinatis puri evadere, ex peccatoribus justi, ex mortuis viventes. Exercitatio autem nostra versatur circa unum tantum verbum, de quo rationem reddituri sumus. Dicit enim: *Tu reddes unicuique juxta opera sua*[10]; et iterum: *Nos manifestari oportet ante tribunal Christi, ut referat unusquisque quæ per corpus egit, sive bonum sive malum*[11]. Horum nos curam gerere oportet, de quibus Pater noster Pœmen et qui post ipsum exstiterunt, solliciti fuere. Hæc sollicitudo id parit ut non altum sapiamus, nos non magni faciamus, sed tanquam terram et cinerem existimemus. Illa vero sollicitudo præ se fert, ut quis se pro Gnostico habeat, ut tumorem inferat, ut quis altum sapiat, se seque magni quidpiam in omnibus existimet, ut ab humilitate desistat. Ignoscite mihi, an non otiosi estis; ideoque ad hæc vos confertis? Si ita est, descendite in forum, donec veniat paterfamilias, et vos

Ἀπόκρισις Βαρσανουφίου.

Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ. Ἀμήν. Ἀδελφοὶ, εὔκαιρον εἰπεῖν μετὰ C τοῦ Ἀποστόλου· *Γέγονα ἄφρων, ὑμεῖς με ἠναγκάσατε.* Καὶ γὰρ ἀναγκάζομαι δι' ὑμᾶς τὰ ὑπέρμετρά μου ἐρευνᾷν, καὶ λαλεῖν τὰ μὴ ὠφελοῦντα πάνυ τὴν ψυχὴν, εἰ μὴ καὶ βλάπτοντα. Ἀφήκαμεν Παῦλον τὸν ἀπόστολον λέγοντα· *Πᾶσα ὀργὴ καὶ θυμὸς καὶ κραυγὴ καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ.* Ἐγὼ δὲ λέγω, σὺν τῇ γαστριμαργίᾳ καὶ πορνείᾳ καὶ φιλαργυρίᾳ καὶ τοῖς λοιποῖς πάθεσι, περὶ ὧν ὀφείλομεν πενθεῖν νύκτα καὶ ἡμέραν καὶ κλαίειν ἀδιαλείπτως, ἵνα διὰ τοῦ τῶν δακρύων πλήθους, ὁ ῥύπος τούτων ὅλων ἐκπλυνθῇ, καὶ δυνηθῶμεν γενέσθαι ἐκ ῥυπαρῶν καθαροὶ, ἐξ ἁμαρτωλῶν δίκαιοι, ἐκ νεκρῶν ζῶντες. Ἀδολεσχοῦμεν δὲ εἰς ἕνα λόγον, οὗ μέλλομεν δοῦναι ἀπολογίαν. Φησὶν γὰρ, ὅτι *Σὺ ἀποδώσεις ἑκάστῳ κατὰ* D *τὰ ἔργα αὐτοῦ·* καὶ πάλιν· ὅτι *Δεῖ ἡμᾶς φανερωθῆναι ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν.* Περὶ τούτων ὀφείλομεν σπουδάσαι, περὶ ὧν καὶ οἱ πατέρες ἡμῶν οἱ περὶ τὸν ἀββᾶν Ποιμένα καὶ τοὺς καθεξῆς ἐσπούδασαν. Αὕτη ἡ σπουδὴ ἔχει τὸ ἀψήφιστον, τὸ μὴ μετρεῖν ἑαυτὸν, τὸ ἔχειν ἑαυτὸν γῆν καὶ σποδόν. Ἐκείνη δὲ ἡ σπουδὴ ἐχεῖ τὸ ἔχειν ἑαυτὸν Γνωστικὸν, τὸ φέρειν εἰς φυσίωσιν, τὸ ψηφίζειν ἑαυτὸν, καὶ μετρεῖν ἐν παντὶ πράγματι, τὸ ἀποστῆναι τῆς ταπεινοφροσύνης. Συγχωρήσατέ μοι, μὴ ἀργοί ἐστε, καὶ διὰ τοῦτο ἔρχεσθε εἰς ταῦτα; Εἰ οὕτως ἔχει, κα-

[7] Ephes. I, 3. [8] II Cor. XII, 11. [9] Ephes. IV, 31. [10] Psal. LXI, 13. [11] II Cor. V, 10

τέλθετε εἰς τὴν ἀγορὰν, ἕως ἔλθῃ ὁ οἰκοδεσπότης A καὶ λάβῃ ὑμᾶς εἰς τὸν ἀμπελῶνα αὐτοῦ. Εἰ ἦν σκόλοψ περὶ τῆς ἀπαντήσεως ἐκείνης ἐν τῇ καρδίᾳ ὑμῶν, οὐκ εἴχετε μνησθῆναι τούτων. Ἐπελάθετο ὁ προφήτης φαγεῖν τὸν ἄρτον αὐτοῦ· καὶ εἰ μὴ ἐσπαταλῶμεν καὶ ἠδιαφοροῦμεν, οὐκ ἂν ἀπὸ τούτων ἐνεπίπτομεν εἰς ταῦτα. Οὐκ ἀπαιτεῖ ὑμᾶς ὁ Θεὸς ταῦτα, ἀλλ' ἁγιασμὸν, κάθαρσιν, σιωπὴν, καὶ ταπείνωσιν. Ἀλλ' ἐπειδὴ ἐάσαι ὑμᾶς ἐν λογισμοῖς οὐκ ἐβουλόμην καὶ τὸ δεηθῆναι τοῦ Θεοῦ πληροφορῆσαί με περὶ τούτου, ἐθλιβόμην συνεχόμενος ἐξ ἀμφοτέρων· ἐξελεξάμην μᾶλλον ἐμαυτῷ τὴν θλίψιν, ἵνα ὑμᾶς τῆς θλίψεως ἀναπαύσω, μνημονεύων· *Ἀλλήλων τὰ βάρη βαστάζετε.* Καὶ ἀκούσατε τὴν κατὰ Θεὸν πληροφορίαν, τὴν πρὸ τριῶν ἡμερῶν τοῦ γράψαι ὑμᾶς τὴν ἐρώτησιν γενομένην μοι. B Πάντες οἱ Πατέρες οἱ τῷ Θεῷ εὐαρεστήσαντες, ἅγιοι καὶ δίκαιοι καὶ δοῦλοι τοῦ Θεοῦ γνήσιοι εὐξάσθωσαν ὑπὲρ ἐμοῦ. Μὴ νομίσητε δὲ ὅτι, κἂν ἅγιοι, ὅλα τὰ βάθη τοῦ Θεοῦ γνησίως ἠδυνήθησαν καταλαβεῖν. Ὁ γὰρ Ἀπόστολος λέγει· *Ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν*· καὶ πάλιν· *Ὧ δίδοται διὰ τοῦ Πνεύματος.* Τὰ καὶ τάδε, καὶ οὐχ ὅλα ἐκεῖνος ἐν ἑνὶ ἀνθρώπῳ· ἀλλὰ τῷ μὲν οὕτως, τῷ δὲ οὕτως. Πάντα δὲ ἐνεργεῖ τὸ ἕν. Γινώσκων γὰρ ὁ Ἀπόστολος τὰ τοῦ Θεοῦ ὅτι ἀκατάληπτά ἐστιν, ἔκραξε λέγων· *Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνlαστοι αἱ ὁδοὶ αὐτοῦ; Τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς...*

A conducat in vineam suam. Si in corde vestro stimulus fuisset de occursu illius, hæc nequaquam vobis in mentem venissent. Oblitus est propheta comedere panem suum: ac nisi in deliciis fuissemus atque in desidiam incidissemus, nequaquam ab his in illa incidissemus. Non hæc expetit a vobis Deus, sed sanctificationem, emundationem, silentium et humilitatem. Sed quia nolo vos in cogitationibus relinquere, sed Deum precatus sum ut me de hac re certiorem faceret, atque utrinque molestiam passus sum, malui ærumnam amplecti, ut vos ab ea liberarem, illius dicti recordatus: *Alter alterius onera portate* [12]. Cæterum audite quid a Deo acceperim, tribus ante diebus quam vos interrogationem scriberetis. Patres omnes qui Deo placuerunt, sancti, justi, Dei servi veri pro me precentur. Ne putetis autem eos licet sanctos, omnia profunda Dei vere comprehendere potuisse. Nam Apostolus dicit: *Ex parte cognoscimus, et ex parte prophetamus* [13]: ac rursum: *Cui datum est per Spiritum* [14]. Hæc et alia, non tamen omnia uni homini; sed huic sic, alii sic. Omnia autem operatur unus. Cum nosset Apostolus Dei arcana incomprehensibilia esse, clamabat dicens: *O altitudo divitiarum sapientiæ et scientiæ Dei! quam incomprehensibilia sunt judicia ejus, et investigabiles viæ ejus! Quis enim cognovit mentem Domini? aut quis* [15].....

[12] Galat. VI, 2. [13] I Cor. XIII, 9. [14] I Cor. VII, 7. [15] Rom. XI, 33, 34.

ANNO SÆC. VI INCERTO.

ΕΥΣΤΑΘΙΟΥ ΜΟΝΑΧΟΥ

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΣΧΟΛΑΣΤΙΚΟΝ

ΠΕΡΙ ΔΥΟ ΦΥΣΕΩΝ ΚΑΤΑ ΣΕΥΗΡΟΥ.

—

EUSTATHII MONACHI

EPISTOLA AD TIMOTHEUM SCHOLASTICUM

DE DUABUS NATURIS ADVERSUS SEVERUM.

(ANG. MAI, *Vet. Script. nov. coll.* VII, 277.)

—

Ἅπερ πρώην ἐν ταῖς συντυχίαις συνεζητοῦμεν, C ταῦτα καὶ διὰ γραμμάτων οὐκ ὤκνησα προσδιαλεχθῆναί σοι, ἐπειδὴ τοῦτο ἐκέλευσας, φιλαληθέστατε Τιμόθεε. Οἱ Χριστὸν ἀσώματον ἐπιδεδημηκέναι τῷδε τῷ βίῳ μυθολογήσαντες, τῆς φαντασίας ὄντες ἐρασταὶ, εἰκότως μίαν φύσιν εἶναι αὐτὸν ἐδογμάτισαν,

C Quæ nuper in colloquiis nostris conquirebamus, vel per litteras tecum agitare non dubitavi, cum ipse illud jusseris, veritatis amantissime Timothee. Quicumque Christum incorporeum hanc vitam adiisse finxere, phantasmatis amatores, profecto unam illi fuisse naturam docuerunt, nec de ipsa

divinitate sanam doctrinam retinuerunt, excepto nomine *Christi* : sed vehementer doctores increpavere, Christum in carne venisse asserentes, duas scilicet naturas confessos. Rem tibi testetur Manes ad Addam scribens : « Dum Galilæi duas Christum naturas habere contendebant, cachinnum sustulimus; illos enim fugiebat, quod substantia luminis, cum alia materia non commiscetur, sed purissima est, nullius cum aliena substantia unionis capax, etiamsi huic cohærere videatur. *Christi* nomen per abusum usurpatur; istud nec speciem ullam designat, nec substantiam. Supernum vero lumen seipsum cum suis consocians, præbuit se corpus inter rudia corpora, una ipsum per omnia natura. » Ad Scythianum quoque similia habet : « Ipsius luminis Filius propriam substantiam in monte revelavit; non duas habens naturas, sed unam, eamdem in visibili et in invisibili. »

Talia scripserant et Marcion et Valentinus : quorum vestigiis insistens, Timotheus, cognomento Ælurus, in octavo capite dicit : « Natura Christi una sola divinitas, citra ullam commutationem incarnata. » Idem in scriptis adversus Leonem Romanum patriarcham ait : « Non enim substantia Christi aut natura, caro ejus, sed dispensationis (incarnationis) ritus, propter nostram salutem optime institutus. » Et iterum : « Quod si Verbum perficit quæ ipsius sunt, ut novo Nestorio placet, alienum erit divinæ et simplicissinæ naturæ sub conspectum et tactum cadere, sed humanæ potius naturæ proprium. » Et rursus : « Ostendent nobis Diphysitæ duarum naturarum distinctionem, ut ipsi dicunt. » Neque huic, neque hæreticis ei usque ad hodierna tempora faventibus, communicant Severiani, acephalos eos vocantes.

Ipse tamen Severus Timotheum suscipit talia professum. Scribit enim ad Niciotem in synodicis suis : « Dioscori Timothei, veritatis propugnatorum immoto pede petræ innixorum, horridis adversantium fluctibus frustra jactatorum pugnas revereor, et magni facio. » Quos hic orthodoxus defendat attende. Odio in sanctam synodum (1) motus, Phantasianistis favet, et illorum vocibus sententias nostras exprimit, hominum ad exemplar, qui simulacris splendidas vestes largiuntur, et turpes vultus coloribus exornant. Videsne a quibus et qua de causa una natura excogitata sit?

Quod autem orthodoxi Patres duas Christo esse naturas contendant, ipse testatur Severus; hæc enim habet in tractatu, qui inscribitur *Expositio fidei* : « Dicere duas naturas in Christo, omnis criminis plenum, licet a plerisque sanctis Patribus dictum sit. » Et paulo post : « Ne mihi iterum dixeris quosdam ex Patribus vocabulo duarum natu-

(1) Concilium Chalcedonense.

A οὐδὲ περὶ αὐτὴν μὲν τὴν θεότητα ὑγιαίνοντες, πλὴν *Χριστὸν* λέγοντες. Διελοιδορήσαντο δὲ τοὺς Θεὸν Λόγον ἐν σαρκὶ ἐληλυθέναι λέγοντας, ὡς δύο φύσεις ὁμολογοῦντας. Καὶ πειθέτω σε Μανιχαῖος γράφων πρὸς Ἀδδᾶν· « Τῶν Γαλιλαίων δύο ὀνομαζόντων φύσεις ἔχειν τὸν Χριστὸν, πλατὺν κατεχέαμεν γέλωτα, ὡς οὐκ εἰδότων ὅτι ἡ οὐσία τοῦ φωτὸς ἑτέρᾳ οὐ μίγνυται ὕλῃ, ἀλλ' ἔστιν ἀκραιφνὴς, ἑνωθῆναι ἑτέρᾳ οὐσίᾳ μὴ δυναμένη, κἂν δοκῇ ταύτῃ συνῆφθαι. Ἡ δὲ τοῦ *Χριστοῦ* προσηγορία ὄνομά ἐστι καταχρηστικὸν, οὔτε εἴδους οὔτε οὐσίας ὑπάρχον σημαντικόν. Τὸ δὲ ἀνώτατον φῶς τοῖς ἑαυτοῦ συνουσιωμένον, ἔδειξεν ἑαυτὸν ἐν τοῖς ὑλικοῖς σώμασιν σῶμα, μία ὂν αὐτὸ φύσις τὸ πᾶν. » Καὶ πρὸς Σκυθιανὸν δὲ τὰ ὅμοια γράφει· « Ὁ δὲ τοῦ ἰδίου
B φωτὸς Υἱὸς τὴν ἰδίαν οὐσίαν ἐν τῷ ὄρει ἐφανέρωσεν· οὐ δύο ἔχων φύσεις, ἀλλὰ μίαν, ἐν τῷ ὁρατῷ καὶ ἀοράτῳ. »

Τοιαῦτα καὶ Μαρκίων καὶ Οὐαλεντῖνος ἔγραψαν· οἷα κατακολουθήσας Τιμόθεος, ὁ ἐπίκλην Αἴλουρος, ἐν τῷ ὀγδόῳ κεφαλαίῳ λέγει· « Φύσις δὲ Χριστοῦ μία μόνη θεότης, εἰ καὶ σεσάρκωται ἀτρέπτως. » Ἐν δὲ τοῖς κατὰ Λέοντος τοῦ Ῥώμης πατριάρχου φησίν· « Οὐ γὰρ οὐσία τοῦ Χριστοῦ, οὐδὲ φύσις ἡ σὰρξ αὐτοῦ, ἀλλὰ νόμος οἰκονομίας ὀρθῶς πεπραγμένος διὰ τὴν ἡμῶν σωτηρίαν. » Καὶ πάλιν· « Εἰ δὲ ὁ Λόγος κατεργάζεται ὅπερ ἐστὶν αὐτοῦ, ὡς τῷ νέῳ Νεστορίῳ δοκεῖ, ἀλλότριον τῆς θείας καὶ ἀκράτου
C φύσεως τὸ ὁραθῆναι καὶ ψηλαφηθῆναι, ἴδιον δὲ μᾶλλον τῆς ἀνθρωπίνης ἐστὶ φύσεως. » Καὶ πάλιν· « Δείξουσιν ἡμῖν οἱ Διφυσῖται τῶν δύο φύσεων τὴν διαφορὰν, ὡς αὐτοὶ λέγουσιν. » Τούτῳ καὶ τοῖς ἀπ' αὐτοῦ μέχρι τῆς σήμερον οὐ κοινωνοῦσιν οἱ Σευήρου, ἀκεφάλους αὐτοὺς προσαγορεύοντες.

Αὐτὸς μέντοι Σευῆρος ἀποδέχεται τὸν τοιαῦτα εἰρηκότα Τιμόθεον. Γράφει γὰρ πρὸς τὸν Νικιώτην ἐν τοῖς συνοδικοῖς αὐτοῦ· « Διοσκόρου δὲ καὶ Τιμοθέου, τῶν τῆς ἀληθείας ἀγωνιστῶν, τῶν ἀπεριτρέπτως τὸν πόδα ἐρεισάντων ἐπὶ τῆς πέτρας, καὶ τῷ σάλῳ τῶν ἀντιδιατιθεμένων περικλυσθέντων μὲν βιαιότερον, οὐ παραῤῥυέντων δὲ, τοὺς ἀγῶνας τιμῶ καὶ ἀσπάζομαι. » Ὁ λεγόμενος ὀρθόδοξος τίνας
D ἀποδέχεται πρόσεχε· ὁ διὰ τὴν ἀντιπάθειαν τῆς ἁγίας συνόδου παντὶ Φαντασιαστῇ προσκλινόμενος, ὁ ταῖς ἐκείνων φωναῖς τὰς ἡμετέρας ἐννοίας περιτιθεὶς, ὡς τοῖς εἰδώλοις οἱ τὰς λαμπρὰς ἐσθῆτας καὶ τὰ ἀκαλλῆ πρόσωπα διὰ χρωμάτων καλλωπίζοντες· ἔγνως ἀπὸ τίνων καὶ διὰ τί ἡ μία φύσις ἐπενοήθη;

Ὅτι δὲ οἱ ὀρθόδοξοι Πατέρες εἰρήκασιν δύο φύσεις εἶναι τὸν Χριστὸν, αὐτὸς Σευῆρος μαρτυρεῖ· λέγει γὰρ ἐν τῷ συντάγματι αὐτοῦ τῷ ἐπιγεγραμμένῳ· *Ἔκθεσις πίστεως*, οὕτως· « Τὸ λέγειν δύο φύσεις ἐπὶ Χριστοῦ, πάσης κατηγορίας ἐπίμεστον, εἰ καὶ ὑπὸ πλειόνων ἁγίων Πατέρων εἴρηται. » Καὶ μετ' ὀλίγα· « Καὶ μὴ πάλιν εἴπῃς ὡς τῇ λέξει τῇ τῶν

δύο φύσεών τινες τῶν Πατέρων ἐχρήσαντο· ἐχρήσαντο γὰρ ἀδιαβλήτως, ὥσπερ εἴπομεν· κατὰ δὲ τὸν χρόνον τοῦ μακαρίου Κυρίλλου τῆς νόσου τῶν Νεστορίου καινοφωνιῶν τὰς Ἐκκλησίας ἐπινεμομένης, ἐπὶ πλέον ἡ λέξις ἀπεδοκιμάσθη.» Καὶ πάλιν· «Μὴ δύνασθαι τὰς τῶν Πατέρων φωνὰς τῶν ἀδιαβλήτως τῇ λέξει χρησαμένων προφέρεσθαι, κἂν αὐτοῦ Κυρίλλου εἶεν αἱ φωναί.» Πᾶσα σχεδὸν φωνὴ δογματικὴ κακουργεῖσθαι δύναται παρὰ τῶν αἱρετικῶν, ἀλλ' οὐ διὰ τοῦτο πάντως ἢ πάντοτε ταύτας παραιτούμεθα· εἰς δὲ τὸν σκοπὸν τοῦ λαλοῦντος ἀποβλέποντες, κατὰ τὸ σημαινόμενον ἢ παραδεχόμεθα ἢ ἀπωθούμεθα αὐτάς.

Ἡμεῖς οὖν τοῖς ἀδιαβλήτως τῇ λέξει χρησαμένοις ἀκολουθοῦντες, δύο φύσεις Χριστοῦ λέγομεν, κἂν Σευήρῳ πάσης κατηγορίας ἐπίμεστον εἶναι δοκῇ· καὶ μὴ δύνασθαι τὰς τῶν Πατέρων φωνὰς προφέρεσθαι νομοθετεῖ ὁ συνήγορος καὶ ἀντίδικος· ἀρκεῖ δ' ἡμῖν Σευῆρον μαρτυρεῖν, ὅτι ἁγίων Πατέρων ἐστὶν ἡ τῶν δύο φύσεων λέξις, καὶ πλειόνων Πατέρων· οὐ γὰρ ἑνὸς ἢ δύο μόνον. Οὐκ ἀληθεύει οὖν ὁ συκοφαντῶν, αἱρετικοὺς ἐπινενοηκέναι τὴν λέξιν· ἀληθεύει δὲ μᾶλλον ὁ λέγων, ἁγίους κατὰ αἱρετικῶν χρήσασθαι ταύτῃ. Ἁγίων δὲ καὶ πολλῶν φωνὰς ἐκβάλλειν, ἀλαζονικὸν ἅμα καὶ μανικόν. Κἂν προφασίζηται Σευῆρος διὰ Νεστόριον ἀποδοκιμασθῆναι τὴν λέξιν ταύτην· ἀπεδοκιμάσθη δὲ παρ' αὐτοῦ καὶ τῶν κατ' αὐτόν. Ὁ γὰρ μακάριος Κύριλλος μετὰ Νεστόριον τὴν πρὸς Εὐλόγιον γράψας ἐπιστολὴν, ἀπελογήσατο ἐν αὐτῇ περὶ τῶν Ἀνατολικῶν λεγόντων δύο φύσεις.

Φησὶν δὲ Σευῆρος καὶ ἀλλαχοῦ· «Πολλαὶ φωναὶ παρὰ τοῖς Πατράσιν ἀδιαβλήτως λεγόμεναι, ὕστερον οὐκ ἀσφαλεῖς ὤφθησαν μετὰ Νεστόριον.» Ἐὰν οὖν καὶ ἡμεῖς φήσωμεν, πολλαὶ φωναὶ παρὰ τοῖς Πατράσιν ἀδιαβλήτως λεγόμεναι, ὕστερον οὐκ ἀσφαλεῖς ὤφθησαν μετὰ Εὐτυχέα, τί τὸ συναγόμενον; Διὰ Νεστόριον μὲν ἡ τῶν *δύο φύσεων* ἐκβληθήσεται φωνὴ, δι' Εὐτυχέα δὲ ἡ τῆς *μιᾶς φύσεως*. Εἰ δὲ ἁγίων Πατέρων ἀναιροῦμεν φωνὰς, διὰ τὸ κακῶς ταύταις χρήσασθαι αἱρετικοὺς, πολλὰς καὶ ἐκ τῶν ἁγίων Γραφῶν ἀθετήσομεν, διὰ τὸ ὁμοίως κακῶς χρήσασθαι ταύταις αἱρετικούς. Καὶ τῇ μὲν φωνῇ τῶν *δύο φύσεων* ἐχρήσαντο ἅγιοι πρὸ τῶν αἱρετικῶν, τῇ δὲ *μιᾶς φύσεως* πρὸ τῶν χρησαμένων αὐτῇ Πατέρων, εὕρεταὶ γεγόνασιν αἱρετικοὶ, ὡς ἀνωτέρω γέγραπται. Κατεπλάτυνεν δὲ αὐτὴν μάλιστα Ἀπολινάριος ὁ διμοιρίτης. Εἰ δὲ διὰ τοὺς αἱρετικοὺς χρὴ φωνὰς ὀρθοδόξων ἀναιρεῖν, καὶ μὴ μᾶλλον κατὰ αἱρετικῶν ταύταις κατ' ἀλλήλων χρᾶσθαι, ἀναιρεθήσεται διὰ Σαβέλλιον τὸ *ὁμοούσιον*, διὰ Ἀπολινάριον δὲ καὶ Εὐνόμιον καὶ Ἄρειον ἡ *Θεοτόκος* φωνή. Καὶ οὕτως λοιπὸν δι' ἀνακολούθους ἀκολουθίας, εἰς ἐφευρέσεις καινοφωνιῶν ἀπασχοληθήσονται οἱ Χριστιανοί. Καλὸν οὖν τοῖς ἁγίοις Πατράσιν ἀκολουθοῦντας ἡμᾶς, τοῖς ἀντινομοθετοῦσι μὴ πείθεσθαι.

Καίτοι γε καὶ αὐτοὶ ἔστιν ὅτε τῷ δυνατῷ τῆς ἀληθείας ἡττώμενοι ἐκεῖνα ὁμολογοῦσιν, ἅπερ ἀρνεῖ-

A rarum usos esse; eo enim usi sunt, absque ullo crimine, uti diximus: tempore autem beati Cyrilli, cum Nestoriana pestis et novitas Ecclesias depasceretur, vocabulum hoc, ut plurimum rejectum est (2).» Et rursus: «Non possunt Patrum voces proferri, qui hoc vocabulo absque ullo crimine usi sunt, etiamsi voces illæ sint ipsius Cyrilli.» Dogmatico fere quovis vocabulo hæretici abuti possunt, sed non ideo omnino et ubique illud repudiamus, sed mentem loquentis considerantes, pro verbi significatione illud aut retinemus, aut explodimus.

Patrum igitur vestigiis ingressi, qui absque ullo crimine hoc vocabulo usi sunt, duas in Christo naturas asserimus, licet hoc Severo plenum periculi B esse videatur, et Patrum voces proferre vetet adversarius simul et advocatus. Sufficit nobis ipsum Severum testari, quod sanctorum Patrum sit hoc duarum naturarum vocabulum, et plerorumque Patrum, non unius tantum vel alterius. A veritate ergo abhorret, dum mentitur ab hæreticis illud fuisse inventum, veritati autem magis consentit dicens, sanctos illo adversus hæreticos esse usos. At voces sanctorum multorumque rejicere, jactantis simul et insani. Ne prætexat Severus propter Nestorium hoc vocabulum improbatum fuisse; nam et improbatum est ab eo et a fautoribus ejus. Beatus enim Cyrillus post Nestorium ad Eulogium scribens epistolam, in ea Orientales defendit duas C naturas asserentes.

Dicit etiam alias Severus: «Multæ loquendi formulæ veterum Patrum absque ulla ullius reprehensione usurpatæ, post Nestorium non visæ sunt amplius tutæ.» At si nos quoque diceremus: Multæ voces absque crimine a Patribus usurpatæ post Eutychen non amplius tutæ visæ sunt, quid inde? Propter Nestorium explodetur vocabulum *duarum naturarum*, propter Eutychen vocabulum *unius naturæ*. Quod si sanctorum Patrum voces tollimus, quod illis hæretici prave abutuntur, multa quoque de sacris Scripturis auferenda, quia et his similiter hæretici prave utuntur. Vocabulum *duarum naturarum* usurpaverunt sancti ante hæreticos, vocabulum vero *unius naturæ* invenerunt hæretici, D antequam eo Patres usi sint, uti supra scriptum est, et illud Apollinaris opera maxime percrebuit. Quod si propter hæreticos orthodoxorum voces rejiciendæ, et non potius adversus hæreticos vicissim usurpandæ essent, rejiceretur propter Sabellium vocabulum *consubstantialis*; propter Apollinarem, Eunomium et Arium, vox *Deipara*. Atque ita semper inepta consequentia, circa excogitanda nova vocabula occupabuntur Christiani. Decet igitur nos sanctorum Patrum auctoritati inservientes, adversantium libidines respuere.

Nonnunquam tamen fit ut ipsi veritatis vi victi, eadem confiteantur, quæ negare studuerant et so-

(2) Eadem referuntur ab Anastasio Sinaita, *Viæ dux*, cap. 7.

lebant. Hæc enim docet Severus in libro adversus Grammaticum (3) : « En duo considerare, mentis opinione tantum fieri potest differentiam distinguentis, ut in qualitate physica. » Et rursus in eodem libro : « Quomodo omnis impudentiæ pleni homines negant, dum duas naturas asserunt, se duas hypostases et personas dicere ? Quando enim cogitatione distinguuntur naturæ aut hypostases, simul cogitantur et personæ ; nam quidquid ab alio distinguitur protinus propriam personam constituit. Ubi autem naturæ e quibus constat unus Christus in compositione subsistunt, et unam perficiunt hypostasin et naturam, Unigeniti scilicet Verbi incarnati et inhumanati, cessat simul et binarius hypostaseon personarumque cogitatione conceptus numerus, in unum quid concurrens, in unam ex ambabus hypostasin, ac merito *persona* vocatus. Nam impossibile est duo non in duabus personis apparere. »

Num tibi non videtur post compositionem, vel unionem, duas naturas et agnoscere et vocare in Christo, et has quidem subsistentes ? Quas distinguit ubi vult, ut duas, et rursus in unam conjungit, quasi potestatem haberet et dicendi et faciendi. Per omnia sibimet repugnat, omnia consulto perturbat. Per ea quibus unam naturam stabiliendam suscipit, duas probat naturas ; ad eam ipsam doctrinam deducit, ut ita dixeris, quam defendere recusat. Cui soli et non alteri propter suam in terrena sapientia prudentiam, data est illa gratia, ut quando voluerit, una natura evanescat, et duæ appareant, et duabus visis, rursus in unam coeant, et contrahantur.

Ipse igitur primus omnium plenus impudentiæ qui etiam duas naturas confitetur. Non enim dixit : Cogitatione cum distinguetur natura, sed, Cum distinguerentur naturæ ; non, Quando in comparatione subsistit natura, sed, Subsistunt naturæ. Quæ autem non solum mente cogitat, aut ore profert, sed scriptis etiam exprimit, atque ea octoginta et amplius annis post Nestorium. Alios quidem vetat duas naturas dicere, ipse vero eas per omnia negare nequit ; et quas confuso et ænigmatico modo in allatis verbis innuerat, in alio loco ejusdem tractatus alta voce profitetur : « Nolite scribere Chalcedonensem synodum duas dixisse naturas ; longe absit, sed hypostaticam unionem et vocem *ex duabus* dicere prohibuit. » In librum autem ad Sergium, ita loquitur : « Eadem igitur mente incede et progredere, eorum immemor quæ retro, in ea intentus quæ ante, et opinionis oblitus perditæ, quæ in unam conducit ea e quibus Christus citra confusionem constat. Qui enim nunc proprietatem naturarum distinguere contendit, e quibus est Christus, absque confusione : nunc vero in unam substantiam et personam omnia conjungit et confundit, visus est ex confessione manipulum afferre *non habentem vires ut faciat farinam* (Osee VIII, 7). » Natura

A σθαι καὶ ἐσπούδασαν καὶ ἐνομοθέτησαν· ὅταν γὰρ ἐν τῇ βίβλῳ τῇ κατὰ Γραμματικοῦ Σευῆρος λέγῃ· « Ἰδοὺ τὸ μὲν δύο σκοπεῖν, τῇ φαντασίᾳ τοῦ νοῦ μόνον ἐφίεται, διακρίνοντος τὴν διαφορὰν, τὴν ὡς ἐν ποιότητι φυσικῇ. » Καὶ πάλιν ἐν τῷ αὐτῷ βιβλίῳ· « Πῶς οἱ πάσης ἀναιδείας ἀνάμεστοι, δύο λέγοντες φύσεις, φασὶ μὴ λέγειν δύο ὑποστάσεις καὶ πρόσωπα; ὅτι καὶ ἐν τῇ ἐπινοίᾳ διαιρουμέναις ταῖς φύσεσιν ἤγουν ὑποστάσεσιν, συνεπινοεῖται τὰ πρόσωπα· θάτερον γὰρ θατέρου διαιρούμενον, εὐθὺς ἴδιον ἐπιγράφεται πρόσωπον· ἐν συνθέσει δὲ ὑφισταμέναις ταῖς φύσεσιν ἐξ ὧν ὁ εἷς Χριστὸς, καὶ μίαν ἀποτελούσαις ὑπόστασιν καὶ φύσιν τὴν τοῦ μονογενοῦς Λόγου σεσαρκωμένου καὶ ἐνανθρωπήσαντος συναπολήγει καὶ ἡ φαντασθεῖσα τῇ ἐπινοίᾳ τῶν
B ὑποστάσεων καὶ προσώπων δυὰς, εἰς ἕν τι συνδραμοῦσα τὴν ἐξ ἀμφοῖν μίαν ὑπόστασιν, καὶ ἀκολούθως ἓν ἐπιγραφομένη τὸ *πρόσωπον*. Τὰ γὰρ δύο μὴ ἐν δύο φαίνεσθαι προσώποις, τῶν ἀδυνάτων ἐστίν. »

Ἆρ' οὐ δοκεῖ σοι μετὰ τὴν σύνθεσιν, ἤγουν ἕνωσιν, δύο καὶ εἰδέναι καὶ ὀνομάζειν φύσεις ἐπὶ Χριστοῦ, καὶ ταῦτα ἐνυποστάτους; ἃς καὶ διαιρεῖ ὅτε βούλεται εἰς δύο, καὶ συνάγει εἰς μίαν, ὡς ἐπ' ἐξουσίας ἔχων καὶ λέγειν καὶ πράττειν. Ὁ ἐν πᾶσιν ἑαυτῷ ἐναντιούμενος, ὁ διὰ τὴν κατασκευὴν ἀνατρέπων. Ὁ δι' ὧν βούλεται μίαν φύσιν συνιστᾷν, δι' αὐτῶν δύο φύσεις παριστῶν· καὶ ἐν αὐταῖς μὲν στῆναι μὴ βουλόμενος, ὡς δ' ἂν εἴποι τις δι' αὐτῶν τὴν πάροδον ποιούμενος. Ὧ μόνῳ καὶ οὐκ ἄλλῳ τινὶ,
C διὰ τὴν προσοῦσαν αὐτῷ χαμόθεν οἰησίσοφον ἀρετὴν, ἐδόθη ἡ χάρις αὕτη, ἵνα ὅταν βούληται, διανοίγηται αὐτῷ ἡ μία φύσις, καὶ ἀναφαίνηται αὐτῷ δύο· καὶ μετὰ τὴν φαντασίαν τῶν δύο συγκλείηται πάλιν καὶ συνάγηται εἰς ἑαυτήν.

Αὐτὸς οὖν ἄρα πρῶτος πάσης ἀναιδείας ἀνάμεστος, ἐπειδὴ καὶ δύο φύσεις ὁμολογεῖ. Οὐ γὰρ εἶπε, Ἐπινοίᾳ διαιρουμένης τῆς φύσεως, ἀλλὰ, Διαιρουμέναις ταῖς φύσεσιν· καὶ ἐν τῇ συνθέσει, οὐχ, Ὑφισταμένης τῆς φύσεως, ἀλλ', Ὑφισταμέναις ταῖς φύσεσιν· καὶ μὴ μόνον σκοπῶν καὶ λέγων ταύτας, ἀλλὰ καὶ ἐγγράφως ἀποτυπούμενος· καὶ ταῦτα μετὰ Νεστόριον, μετὰ π' καὶ πρὸς ἔτη. Ὁ ἄλλους μὲν ἀποτρέπων δύο φύσεις λέγειν, αὐτὸς δὲ μὴ δυνάμενος παντελῶς ταύτας ἀρνεῖσθαι· ὁ διὰ μὲν τῶν παρατεθει-
D σῶν αὐτοῦ λέξεων ἀμυδρότερον καὶ γριφωδέστερον ταύτας ὁμολογῶν· ἐν δὲ ἑτέρῳ τόπῳ τοῦ αὐτοῦ συγγράμματος, φανερώτερον βοῶν· « Μήτις ἐγράψατο τὴν ἐν Χαλκηδόνι σύνοδον δύο φύσεις εἰποῦσαν τὸν Χριστόν; μὴ γένοιτο! ἀλλ' ὅτι τὴν καθ' ὑπόστασιν ἕνωσιν, καὶ τὴν *ἐκ δύο* φωνὴν εἰπεῖν παρῃτήσατο. » Ἐν δὲ τῷ πρὸς Σέργιον, ταῦτά φησιν· « Ἴθι τοίνυν διὰ τῆς αὐτῆς διανοίας, καὶ εἰς ἐπίδοσιν ἄγου, τῶν μὲν ὄπισθεν ἐπιλανθανόμενος, πρὸς δὲ τὰ ἔμπροσθεν ἐκτεινόμενος, καὶ τῆς ἐσφαλμένης δόξης ἐκείνης τῆς εἰς μίαν ἀγούσης τὰ ἐξ ὧν ἀσυγχύτως ἐστὶν ὁ Χριστός. Φήσαντος γὰρ οὐ συνομολογεῖν ἰδιότητα τῶν φύσεων, ἐξ ὧν ἀσυγχύτως ἐστὶν ὁ Χριστὸς, καὶ πάλιν εἰς μίαν οὐσίαν καὶ ἰδίωμα τὸ πᾶν συναλείφοντος καὶ συγχέοντος, εὑρέθην κομιζόμενος ἀπὸ τῆς ὁμολογίας

(3) Joannem scilicet Cæsariensem.

δράγμα *μὴ ἔχον ἰσχὺν ποιῆσαι ἄλευρον.* » Φύσις καὶ οὐσία καὶ παρὰ Σευήρῳ ταυτόν ἐστιν. Ὁ οὖν μεμφόμενος τὸν εἰς μίαν οὐσίαν ἤτοι φύσιν συνάγοντα τὰ ἐξ ὧν ὁ Χριστὸς, οὐχὶ φανερῶς ἀποδέχεται τοὺς δύο καὶ μετὰ τὴν ἕνωσιν ὁμολογοῦντας;

Καὶ ἐν τῷ δευτέρῳ δὲ λόγῳ τῷ πρὸς αὐτὸν Σέργιον (οὗτος δὲ ἦν γραμματικὸς Εὐτυχιανιστής) λέγει· « Πῶς οὐ καταγέλαστον καὶ τὸ λέγειν δύο ἰδιότητας ἢ δύο ἐνεργείας; Πολλὰ γάρ ἐστι καὶ οὐ δύο μόνον ἑκάστης φύσεως· οἷον τῆς ἀνθρωπότητος τὸ ἁπτὸν, τὸ ὁρατὸν, τὸ θνητὸν, τὸ ὑποκεῖσθαι πείνῃ καὶ δίψῃ καὶ τοῖς ἄλλοις ὁμοίως· καὶ τῆς θείας δὲ φύσεως πολλὰ τὰ ἴδια, τὸ ἀόρατον, τὸ ἀναφὲς, τὸ προαιώνιον, τὸ ἀπερίγραπτον. Ὁμοίως καὶ τὰ ἐνεργήματα πολλὰ καὶ διάφορα· καὶ τοσαῦτα ὅσα ἄν τις εἴποι πράξεις θείας τε καὶ ἀνθρωπίνας. » Ἰδοὺ οἶδεν καὶ μετὰ τὴν ἕνωσιν λέγειν ἑκάστην φύσιν· ἐπὶ μιᾶς δὲ φύσεως ἑκάστη φύσις οὐ λέγεται, ἀλλ' ἐπὶ δύο· καὶ ὁ λέγων ἐπὶ Χριστοῦ θείαν φύσιν, παραδηλοῖ καὶ τὴν ἀντιδιαστελλομένην ἀνθρωπίνην φύσιν εἰδέναι. Καὶ τούτων ἰδιότητας καὶ ἐνεργείας φησὶν ὁ ἐν πολλοῖς αὐτοῦ συντάγμασιν ἀναθεματίζων τοὺς λέγοντας ἐπὶ Χριστοῦ ἰδιότητας καὶ ἐνεργείας. Ὁ διὰ πολλὴν σοφίαν πάσης δόξης μαθητὴς καὶ πάσαις μαχόμενος, ἑκάστη δὲ τῇ ἀντιθέτῳ.

Τοῖς μὲν γὰρ Εὐτυχιανισταῖς ἤτοι Φαντασιανισταῖς τοῖς τῆς Ἐκκλησίας δόγμασιν ἀνθίστατο· φύσιν δὲ φύσιν λέγων, καὶ ἑκάστην καὶ θείαν καὶ ἀνθρωπίνην, καὶ τούτων ἰδιότητας καὶ ἐνεργείας. Ὅτε δὲ τῇ Ἐκκλησίᾳ μάχεται, ἀναθεματίζει ταῦτα, ἅπερ κατὰ τῆς φαντασίας προεβάλετο· τοῖς δὲ ἐκείνης συστατικοῖς ἐπιχειρήμασι κέχρηται κατὰ τῆς ἀληθείας, ἵνα ᾖ ὁ λεγόμενος δοξοκαθαιρέτης, ὁ καὶ ἑαυτῷ καὶ πᾶσι τοῖς ἁγίοις Πατράσι μαχόμενος· πῶς γὰρ οὐ μάχεται τοῖς Πατράσιν ὁ εἰπὼν ἐν τῇ *Ἐκθέσει τῆς πίστεως* αὐτοῦ, ὅτι εἰρήκασιν οἱ ἅγιοι Πατέρες δύο φύσεις; Ἐν δὲ τῇ συνοδικῇ αὐτοῦ ἐπιστολῇ τῇ πρὸς τὸν Νικιώτην ἀναθεματίζω αὐτοὺς ἐν τῷ γράφειν· « Ἀναθεματίζομεν οὖν τοὺς δύο λέγοντας ἢ εἰπόντας φύσεις μετὰ τὴν ἄφραστον ἕνωσιν τὸν ἕνα Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. » Διὰ τοῦ *εἰπόντας*, τοὺς ἁγίους Πατέρας ἀναθεμάτισεν, τοὺς ἀδιαβλήτως τὴν φωνὴν εἰρηκότας κατὰ τὴν αὐτοῦ μαρτυρίαν· οὐ γὰρ προσδιωρίσατο καὶ εἶπεν τοὺς κακῶς χρησαμένους τῇ λέξει, ἀλλ' ἀπολύτως ἔφη τοὺς *εἰρηκότας* δύο φύσεις. Διὰ δὲ τοῦ *λέγοντας*, ἑαυτὸν ἀναθεματίζει· εἶπεν γὰρ καὶ αὐτὸς, ὡς προαποδέδεικται.

Ἀξιοθαύμαστος δὲ καὶ, ὅταν ἀποφαίνηται· « Τὰ γὰρ δύο μὴ ἐν δύο προσώποις φαίνεσθαι, τῶν ἀδυνάτων ἐστίν. » Ἵνα πάντα παρῶμεν, πανταχοῦ δύο φύσεις λέγων αὐτὸς σκοπεῖν ἐν τῷ Χριστῷ, δύο πάντως καὶ πρόσωπα λέγει ἐν αὐτῷ, κατὰ τὴν ἀπόφασιν αὐτοῦ. Καὶ εἰ μὲν φαντασιώδεις θεωρεῖ τὰς φύσεις ἐν τῷ Χριστῷ ἀκολούθως φαντασιώδη θεωρεῖ καὶ τὰ πρόσωπα· εἰ δὲ οὐσιώδεις κατὰ ἀλήθειαν, ἀληθῶς ἐνυπόστατα καὶ τὰ πρόσωπα θεωρεῖ· δύο οὖν φύσεις

A et substantia vel apud Severum idem sunt. Dum igitur eos incusat, qui in unam naturam aut substantiam ea contrahunt e quibus Christus, nonne evidenter illos probat qui duas naturas, vel post unionem confitentur ?

Dicit etiam in secunda oratione ad eumdem Sergium (hic erat grammaticus Eutychianista) : « Qui non ridiculum dicere duas proprietates aut duas operationes? Multæ enim sunt, et non duæ tantum cujusque naturæ ; ita hominis est sub tactum et sub conspectum cadere ; morti obnoxium esse, ac fami et siti, et cætera hujusce generis. Divinitatis quoque multæ proprietates, nam invisibilis, intactilis, æterna, incircumscripta. Pariter et effectus quoque sunt innumeri ac varii, et tot B invenies, quot actus hominibus aut Deo tribuere poteris. » En vel post unionem utramque naturam dicere non dubitat ; ad unam vero naturam utraque natura non refertur, sed ad duas : qui in Christo divinam naturam prædicat, indicat se quoque oppositam huic humanam naturam agnoscere. Loquitur etiam de istarum proprietatibus et operationibus qui in multis tractatibus eos anathematizat qui in Christo proprietates et operationes confitentur. Sic propter summam sapientiam doctrinas omnes simul defendit et impugnat, vel diversissimas inter se.

Eutychianistis enim aut Phantasianistis Ecclesiæ dogmata objicit, naturam vocans, et utramque C confessus divinam et humanam, et harum proprietates et operationes. Quando autem Ecclesiæ adversatur, eadem damnat quæ contra phantasmatum fautores propugnaverat, et ab ipsis adversus veritatem arma mutuatur, ut sit vere dogmatum eversor, sibimet et sanctis Patribus pugnans. Qui enim Patribus non adversaretur qui in *Expositione fidei* suæ dixit, a sanctis Patribus agnitas esse duas naturas, in synodica vero Epistola ad Nicioten eos anathematizat scribendo : « Anathematizamus igitur eos qui post ineffabilem unionem unum Dominum nostrum Jesum Christum duas habere naturas dicunt aut dixerunt ? » Per vocem *dixerunt*, sanctos Patres anathematizat, qui, ipso testante, absque ullo crimine vocabulo *duarum* D *naturarum* usi sunt ; non distinguit enim, nec dicit, Qui prave hoc vocabulo usi sunt, sed absolute, Qui *dixerunt* duas naturas. Per vocem autem *dicunt*, seipsum damnat ; nam et ipse confessus est duas naturas, ut supra demonstravimus.

Dignus est etiam admiratione quando declarat : « Impossibile est duo non in duabus personis apparere. » Ut omnia concedamus, ubique duas naturas dum dicit se in Christo cogitare, duas omnino personas asserit in illo, juxta hoc affatum. Quod si imaginarias in Christo admittit naturas, sane et imaginarias confitebitur personas ; si autem substantiales, et veras naturas, vere subsistentes profitetur et personas. Cum igitur duas naturas

dicit in Christo et duas personas, qui non et duos Christos loquitur? Quemadmodum ergo ex duabus naturis, ita ex duabus personis expresse dicit esse Christum in libro adversus grammaticum Joannem, et ut putat inexpugnabili ratione. Hinc autem patet, ab ipso quoque sæpius dici, non esse naturam quæ persona careat.

Nos vero, præterita ejus hac enuntiatione, ex duabus naturis dicimus esse Christum, sicut ex multis membris et partibus unum corpus: non autem ex duabus personis. Longe absit: quæ enim propria substantia nunquam substiterunt, propriam personam non assument, uti ipse Severus fatetur. « Quando ex duabus naturis dicimus Christum, ac duas naturas, eum quoque in duabus naturis esse dicimus, Verbum ab omni confusione et imminutione immune servantes. Nam si naturæ unam personam perficiunt, unde *ex duabus* dicitur, qui non ipsum quod efficient. » Hæc sunt quibus constat quod efficitur; si vero non ita se haberet, illud esset ut alienum in alieno. Aspice quot inepta et absurda inde oriuntur. Dum eos anathematizat qui Christum in duabus naturis dicunt esse, nonne seipsum anathematizat? Nam duas naturas in Christo ubi cogitat et dicit et scribit, in duabus naturis eum confiteri cogitur; imo non solum in duabus naturis, sed etiam in duabus personis juxta novitatem suam; declaravit enim, impossibile esse duo non in duabus personis apparere.

Quod si in sermone in Nativitatem veritati consentit adversarius quando dixit: « Quod ex duabus quibusdam rebus coagmentatur, non ea continet quibus constat, » et negavit integrum manere binarium elementum, qua ratione rursus in Christo duas naturas cogitat in compositione subsistentes, atque ita duas, ut eas distinguat mente et cogitatione et intellectu et sermone? Dicat nobis utrum unam naturam discernit, an duas? ea quæ sunt, an ea quæ non sunt? substantialia, an quæ non sunt substantialia? At alterutrum verum est: aut integrum remanet binarium elementum, quod cogitet; aut si evanescit, nihil cogitat, et mentitur affirmans se cogitare quæ non sunt: mentitur quidem ipse, manet autem quodque quod natura est.

Ast ipse asserit in libro adversus Grammaticum: « Ea de quibus constat Christus, manent citra ullam imminutionem et mutationem, in compositione subsistentiæ. » Quod si autem duæ naturæ unam effecerunt, qui post unionem duas cogitat et non unam? Et ut de una loquitur, cur non ea omittit quæ ad quamque pertinent, naturas scilicet, naturam carnis, et naturam divinitatis, et humanitatem, et divinitatem? quibus abundant ejus scripta. Si duæ naturæ, divinitas nempe et humanitas, unam naturam effecerunt, dicat quo eam nomine vocet? Unum enim sit oportet, quod unam naturam designat. Nequit enim unam dicere naturam, et illam utriusque nominibus vocare, ne rur-

A λέγων ἐν τῷ Χριστῷ, καὶ δύο πρόσωπα, πῶς οὐχὶ καὶ δύο Χριστοὺς λέγει; Ὥσπερ δὲ ἐκ δύο φύσεων, οὕτως καὶ ἐκ δύο προσώπων ῥητῶς λέγει τὸν Χριστὸν ἐν τῷ κατὰ τοῦ γραμματικοῦ Ἰωάννου βιβλίῳ· ὡς δὲ νομίζει καὶ ἀποδεικτικῶς. Τοῦτο δὲ δηλοῖ, καὶ τὸ λέγειν αὐτὸν ἐν πολλοῖς, μὴ εἶναι φύσιν ἀπρόσωπον.

Ἡμεῖς δὲ ταύτην αὐτοῦ τὴν ἀπόφασιν παρωσάμενοι, ἐκ δύο μὲν φύσεων λέγομεν τὸν Χριστὸν, ὥσπερ καὶ ἐκ πολλῶν μελῶν καὶ μερῶν τὸ ἓν σῶμα, οὐχὶ δὲ καὶ ἐκ δύο προσώπων. Μὴ γένοιτο! ἐπεὶ μὴ ἰδιοϋποστάτως ὑπάρξαν ποτὲ, οὐκ ἂν ἴδιον ἐπιγράψεται πρόσωπον, ὡς αὐτῷ Σευήρῳ δοκεῖ· « Ἔστιν ὅτε ἐκ δύο οὖν φύσεων λέγοντες τὸν Χριστὸν, καὶ δύο φύσεις, καὶ ἐν δυσὶ φύσεσι λέγομεν εἶναι αὐτὸν,
B τὸν τοῦ ἀσυγχύτου καὶ ἀμειώτου φυλάττοντες λόγον· εἰ γὰρ ἀποτελεστικαί εἰσι τοῦ ἑνὸς προσώπου αἱ φύσεις, καθ' ὃ καὶ ἐκ δύο λέγεται, πῶς οὐχὶ καὶ αὐτὸ καὶ τὸ ἀποτέλεσμα; » Ταῦτά ἐστι τὰ ἐξ ὧν συνέστη αὐτὸ τὸ ἀποτέλεσμα· εἰ δὲ μὴ ἔστι ταῦτα, ἄρα γε ὡς ἄλλα ἐν ἄλλῳ εἰσὶ, καὶ τοῦτο. Σκόπει σὺ τὰ ἀνακύπτοντα ἄτοπα καὶ μωρά. Ὁ δὲ ἀναθεματίζων τοὺς ἐν δυσὶ φύσεσι λέγοντας εἶναι τὸν Χριστὸν, ἆρ' οὐχὶ ἑαυτὸν ἀναθεματίζει; δύο γὰρ φύσεις ἐν τῷ Χριστῷ καὶ σκοπῶν καὶ λέγων καὶ γράφων, ἐν δυσὶ φύσεσιν ἀναγκάζεται ὁμολογεῖν αὐτόν· καὶ οὐ μόνον ἐν δυσὶ φύσεσιν, ἀλλὰ καὶ ἐν δυσὶ προσώποις κατὰ τὴν καινοφωνίαν αὐτοῦ· ἀπεφήνατο γὰρ τὰ δύο μὴ ἐν δύο [προσώποις] φαίνεσθαι, ἀδύνατον εἶναι.

C Εἰ δὲ ἀληθεύει λέγων ἐν τῷ λόγῳ αὐτοῦ τῷ εἰς τὰ Γενέθλια ὁ ἐναντιωματάρης· « Τὸ γὰρ ἐκ δύο τινῶν συνενηνεγμένον, οὔτε τὰ ἐξ ὧν συνετέθη συνέχεεν, » καὶ ἐμπαγίως μένειν τὴν δυάδα ἠρνήσατο, πῶς πάλιν σκοπεῖ ἐν τῷ Χριστῷ δύο φύσεις, καὶ ταύτας ὑφισταμένας ἐν τῇ συνθέσει; Καὶ οὕτως δύο, ὡς καὶ διαιρεῖν αὐτὰς νῷ καὶ φαντασίᾳ καὶ ἐπινοίᾳ καὶ λόγῳ; Εἰπάτω ἡμῖν· τὴν μίαν φύσιν διαιρεῖ, ἢ τὰς δύο; τὰ ὄντα, ἢ τὰ μὴ ὄντα; τὰ ἐνυπόστατα, ἢ τὰ ἀνυπόστατα; Ἓν οὖν τῶν ὁποτέρων ἀληθές· ἢ ἐμπαγίως μένει ἡ δυὰς καὶ μετὰ τὴν ἕνωσιν, ἵνα καὶ σκοπῇ ταύτην· ἢ εἰ μὴ μένει, οὐδὲν σκοπεῖ, καὶ ψεύδεται λέγων σκοπεῖν τὰ μὴ ὄντα· ψεύδεται δὲ καὶ ὁ λέγων, μένει δὲ ἑκάτερον ὅπερ ἐστὶ τῇ φύσει.

D Ἀλλὰ καὶ αὐτὸς φάσκων ἐν τῷ κατὰ τοῦ Γραμματικοῦ· « Τῶν μὲν ἐξ ὧν ἐστιν ὁ Χριστὸς μενόντων ἀμειώτων καὶ ἀναλλοιώτων, ἐν συνθέσει δὲ ὑφεστώτων. » Εἰ δὲ αἱ δύο φύσεις μία γεγόνασι, πῶς μετὰ τὴν ἕνωσιν δύο σκοπεῖ καὶ οὐχὶ μίαν; Καὶ ὡς περὶ μιᾶς διαλέγεται λοιπὸν ἀναιρῶν τὸ ἑκάστης φύσεως· καὶ αἱ φύσεις, καὶ ἡ τῆς σαρκὸς φύσις, καὶ ἡ τῆς θεότητος φύσις, καὶ ἡ ἀνθρωπότης, καὶ ἡ θεότης· τούτων γὰρ πλήρη τὰ συγγράμματα αὐτοῦ. Εἰ αἱ δύο φύσεις, τουτέστιν ἡ θεότης καὶ ἡ ἀνθρωπότης, μία φύσις γεγόνασιν, εἰπάτω τί τὸ ὄνομα ταύτης; Ἓν γὰρ ὀφείλει εἶναι, ὡς μιᾶς φύσεως σημαντικόν. Καὶ μὴ μίαν μὲν φύσιν λεγέτω, τῶν δὲ δύο φύσεων τὰ ὀνόματα ἐπιτιθέτω αὐτῇ, ἵνα μὴ

πάλιν ἀναλύῃ τὴν μίαν εἰς τὰ ἐξ ὧν, ὅπερ ἀπαγορεύει. Ἢ τὰ μὲν ὀνόματα μόνα τῶν ἀποτελεσασῶν φύσεων μένει, αὐτὸ δὲ τὸ ἀποτέλεσμα ἀνώνυμον· ἢ οἷον δ' ἂν ὄνομα ἐπινοήσῃ, τούτῳ καὶ ἡ τεκοῦσα Παρθένος σεμνυθήσεται.

Οἶδα δὲ τοὺς αὐτοῦ διὰ ταύτην τὴν αἰτίαν λέγοντας τὸν Χριστὸν, ᾗ Χριστός ἐστιν, μηδενὶ εἶναι ὁμοούσιον, καὶ μήτε Θεὸν εἶναι μήτε ἄνθρωπον. Εἰ δὲ τοῦτο ἀληθὲς, οὔτε Θεός ἐστιν ὁ Χριστὸς, οὔτε Θεοτόκος ἡ Παρθένος, ἀλλ' ὡς λέγουσι Χριστοτόκος κατὰ Νεστόριον, οὗ τὰ χείρονα φρονοῦσι πολύ. Ἀλλ' οὐδὲ πάντως τὸ ἐκ δύο τινῶν συνενηνεγμένον ἀσύγχυτα ἐφύλαξεν τὰ ἐξ ὧν· καὶ γὰρ οἶνος καὶ ὕδωρ συνενεχθέντα συγχέονται· ὁμοίως καὶ χρυσὸς καὶ ἄργυρος ἐν τῇ χωνείᾳ· ἀλλ' οὐδὲ τὸ ἐκ δύο γνωσθήσεταί ποτε ὅτι ἐστιν ἐκ δύο, εἰ μὴ κατὰ τὴν ἕνωσιν καὶ τὸ ἀποτέλεσμα. Περὶ δὲ ἐνεργειῶν καὶ ἰδιοτήτων ὅπως διαφωνεῖ, ποτὲ μὲν ἀναθεματίζων τοὺς λέγοντας, ποτὲ δὲ ὁμολογῶν αὐτὰς ὁ αὐτὸς πολύμορφος Σευῆρος, γινώσκουσιν οἱ φιλαληθῶς ἀναγινώσκοντες τὰ αὐτοῦ. Εἶδε γνῶς * πῶς λέγει τοὺς Πατέρας χρήσασθαι τῇ φωνῇ τῶν *δύο φύσεων* ἀδιαβλήτως τε καὶ ἀμέμπτως, οὐκ οἶδα τίνος καταγελάσει πλέον, αὐτοῦ ἢ τῶν ἀπατωμένων ὑπ' αὐτοῦ· διεστραμμένως γὰρ ἐκλαβὼν αὐτὸς τὴν φωνὴν, ἐσυκοφάντησε τοὺς Πατέρας οὕτως νοῆσαι αὐτοὺς ταύτην, ὥσπερ καὶ αὐτός.

Ἰωάννου τοῦ γραμματικοῦ παραθεμένου χρῆσιν τοῦ μακαρίου Ἀμφιλοχίου κειμένην ἐν τῷ λόγῳ αὐτοῦ τῷ, *Ὁ Πατὴρ ὁ πέμψας με, μείζων μού ἐστιν*, ἔχουσαν οὕτως· « Διάκρινον λοιπὸν τὰς φύσεις τήν τε τοῦ Θεοῦ τήν τε τοῦ ἀνθρώπου· οὔτε γὰρ κατ' ἔκπτωσιν ἐκ Θεοῦ γέγονεν ἄνθρωπος, οὔτε κατὰ προκοπὴν ἐξ ἀνθρώπου Θεός· Θεὸν δὲ καὶ ἄνθρωπον λέγων, ὅταν τὰ παθήματα τῇ σαρκὶ, καὶ τὰ θαύματα τῷ Θεῷ δῷς, ἀνάγκῃ καὶ μὴ θέλων δίδως τοὺς μὲν ταπεινοὺς λόγους τῷ ἐκ Μαρίας ἀνθρώπῳ, τοὺς δὲ ἀνηγμένους καὶ θεοπρεπεῖς τῷ *ἐν ἀρχῇ ὄντι Λόγῳ*. » Αὐτὸς δοκεῖ ταύτην ἑρμηνεύειν καταγινώσκων τοῦ Γραμματικοῦ ὡς κακῶς νενοηκότος τὴν χρῆσιν, καί φησιν· « Ταῦτα καὶ ἐν τοῖς ἤδη προγεγυμνασμένοις ἀπεδείξαμεν, ὡς ἅπαντες οἱ τῆς εὐσεβείας διδάσκαλοι πρὸς τοὺς ἀθέους Ἀρειανοὺς τοὺς λόγους ποιούμενοι, βιαζομένους παρὰ τὴν ἀλήθειαν τοὺς τῇ ἐνανθρωπήσει καὶ τῇ ἑκουσίῳ πτωχείᾳ πρέποντας ταπεινοὺς λόγους καὶ πάθη πρὸς τὴν προαιώνιον ὕπαρξιν ἄγειν τοῦ Μονογενοῦς, καὶ γυμνὴν καὶ ἄσαρκον τὴν θεότητα, διήλεγχον αὐτῶν τὴν ἀσέβειαν διαιροῦντες τοὺς χρόνους εὐσεβῶς, τούς τε πρὸ τῆς ἐνανθρωπήσεως καὶ τοὺς μετὰ τὴν ἐνανθρώπησιν, δεικνύντες μηδαμῶς ἁρμόττειν τῷ Θεῷ Λόγῳ τά τε πάθη καὶ τὰ ταπεινὰ ῥήματα δίχα σαρκὸς σκοπουμένῳ· τὰ μέντοι γε θαύματα προσήκειν αὐτῷ κατὰ φύσιν ὄντι Θεῷ καὶ σεσαρκωμένῳ· διακρίνειν γὰρ ἐδίδασκον τὰς φύσεις τῇ τοῦ χρόνου διαστολῇ, τίς τε φύσις ἀσάρκου Θεοῦ, τίς τε φύσις κατ' οἰκονομίαν ἀτρέπτως ἀνθρώπου γενομένου. »

A sus unam naturam in illas solvat e quibus constat, quod abhorret. Aut nomina sola manent naturarum constituentium, effectus vero anonymus; aut tale invenies nomen, quo et Deipara Virgo gloriari possit.

Non ignoro fautores ejus hac de causa dicere Christum, qua Christus est, nemini esse consubstantialem, ac neque Deum esse, neque hominem. Si autem hoc verum, non Deus est Christus, neque Deipara Virgo, sed Christipara, ut aiunt juxta Nestorium, quo multo pejus sentiunt. Ast non semper servat res citra confusionem ea e quibus componitur; nam vinum et aqua conjunctione miscentur; ita et argentum ac aurum in fornace. Nec cognoscetur e duobus esse quod e duobus est, nisi post unio-
B nem et effectus ea retineat. De operationibus autem et proprietatibus quam diversa sentiat multiformis Severus, nunc eos damnans qui illas dicunt, nunc illas ipse confitens, cognoscunt qui scripta ejus veritatis studio legunt. Jam novisti quomodo Patres dicat absque reprehensione et crimine voce *duarum naturarum* esse usos; nescio quem magis derideam, ipsum aut asseclas ejus; nam inepte vocem attollens, Patres increpat, quod eadem sunt confessi quæ ipsi.

Joannes grammaticus locum hunc protulerat beati Amphilochii ex sermone ejus in illud : *Pater qui misit me, major me est*, desumptum. « Discerne
C de cætero naturas, divinam et humanam : neque enim dignitatis imminutione ex Deo factus est homo, neque dignitatis accessione ex homine Deus (1). Deum et hominem dicens, quando passiones carni et miracula Deo tribuis, necesse est ut vel invitus humiles sermones homini ex Maria nato ascribas, sublimes vero et divinos *Verbo quod in principio erat*. » Quem locum ipse interpretari putat, incusato Joanne, quasi prave illum intellexisset. « Jam in proœmio, ait, probavimus, omnes pietatis doctores ad impios Arianos verba facientes, qui spreta veritate sermones humiles incarnationi et voluntariæ paupertati convenientes ad æternam Unigeniti essentiam, ad nudam et carne carentem divinitatem referre conabantur, hanc ipsis impie-
D tatem crimini vertisse. Tempora pie distinxerunt, in ea quæ ante incarnationem, inque ea quæ post incarnationem, ostendentes nunquam Deo Verbo passiones et humilia verba convenire, citra carnem considerato; miracula vero ipsi competere divinæ naturæ et incarnato Deo. Naturas docuerunt distinguendas esse temporum differentia, atque ita definierunt quæ fuerit natura carne destituti Dei, et quæ natura Dei per dispensationem absque ulla mutatione inhumanati. »

* Sic mendose. An legendum Εἰ δὲ γνῷ τις; mox enim in apodosi legitur καταγελάσει. EDIT.

(1) Apud Anastasium ita se habet hic locus : « Neque enim secundum inhabitationem ex Deo factus est homo, neque secundum profectum ex homine Deus. (*Biblioth. maxima*, IX, p. 851.)

Proh insania et perfidia sapientis! Aut enim ipse non intellexit quæ dicebat, aut audientes fallere voluit. Haud aliter se gessit ac lepores, qui ubi fugientes se mox a persequentibus capiendos sentiunt, solo perturbato et pulvere per subeuntem aera excitato, vestigia sua relegant, ista arte se investigantium oculos illusuros sperantes, et salutem consecuturos. At periti venatores arte non decipientur, et vestigiis insistentes, mox assequentur fugitivos. Simplex est veritatis sermo. Quare per tot flexus te ad ænigmata et ineptias recipis, homo, omnibus perturbatis et confusis, ut auditores caligine obcæcatos variis tuis interpretationibus fallas, per verisimilia verba ipsam veritatem devitans;

A Εὖγε τῆς ἀσυνεσίας καὶ τῆς ἀπάτης τοῦ σοφοῦ! Ἢ γὰρ αὐτὸς οὐ συνῆκεν ἅπερ εἶπεν, ἢ ἀπατῆσαι ἐβουλήθη τοὺς ἀκροατάς, καὶ πεποίηκεν ὅμοιόν τι τοῖς λαγωοῖς· οἳ ὅταν φεύγοντες αἴσθωνται ὅτι καταλαμβάνονται ὑπὸ τῶν διωκόντων, συγκινήσαντες τὸν ὑποκείμενον χοῦν καὶ κονιορτοῦ πληρώσαντες τὸν περικεχυμένον ἀέρα, εἰς τοὐπίσω ἀναστρέφουσι, τῇ μηχανῇ ταύτῃ τοὺς μὲν ἰχνηλατοῦντας ἐπισκοτίσαι βουλόμενοι, αὐτοὶ δὲ διαδρᾶσαι ἐπινοήσαντες. Ἀλλ' οἱ ἔμπειροι τῶν διωκόντων οὔτε τὸν δόλον ἀγνοήσουσιν, καὶ τὰ ἴχνη ἀναζητήσαντες, τὸν φεύγοντα συλλήψονται. Ἁπλοῦς ὁ λόγος τῆς ἀληθείας. Τί μακρὰν πρὸς γρίφους καὶ ὕθλους ἀποτρέχεις, ἄνθρωπε, πάντα συγχέων καὶ συνταράσσων, ἵνα τοὺς ἀκροατὰς εἰς σκοτοδινίαν ἐμβαλὼν, ταῖς ἀλλοκότοις σου ἑρμηνείαις διαλάθῃς, διὰ τῶν ῥημάτων τῆς ἀληθείας τὴν ἀλήθειαν ἀποφεύγων;

Sanctus cum passiones carni tribuit, et miracula Deo, absque ulla circumlocutione, naturas duas carnis et divinitatis innuit, et eas dicit distinguere, cogitatione scilicet; nec tempora distinguit, nec temporum differentia unam tuam naturam in duas naturas, omni nempe substantia carentes. Unam enim tuam naturam substantialem dicis et subsistentem; ubi vero eam binariam numeras, non adjicis divinitatis naturæ naturam carnis quam suscepit Deus Verbum, et propter quam ex duabus naturis constans dicitur duæ naturæ; sed ipsam unam divinam substantiam, vel naturam, in duas partes ratione temporum distinguis. Quod si hac ratione una natura est Christus apud te (ne dicat veritas apud Patres), sane qui ex duabus naturis constat, non ex divinitate et humanitate est, hoc est ex natura carne carenti et rursus ex eadem incarnata, nihil perficiente carne quod natura dici possit; sed propter temporis differentiam una natura divina et fieri et dici potest duæ naturæ.

B Ὁ ἅγιος διδοὺς τὰ παθήματα τῇ σαρκὶ, καὶ τὰ θαύματα τῷ Θεῷ, χωρὶς πάσης περιεργολογίας, τὰς φύσεις τὴν σάρκα καὶ τὴν θεότητα ἐνόησεν, καὶ ταύτας εἶπεν διακρίνειν δηλονότι τῇ ἐπινοίᾳ· οὐ γὰρ χρόνους καὶ τῇ τοῦ χρόνου διαστολῇ συνδιαστέλλειν τὴν μίαν σου φύσιν εἰς δύο φύσεις, καὶ φύσεις οὐκ οὐσιώδεις. Τὴν μὲν γὰρ μίαν φύσιν οὐσιώδη καὶ ἐνυπόστατον λέγεις. Ὅταν δὲ ταύτην τὴν μίαν δύο ἀριθμῇς, οὐ τῇ μιᾷ τῇ τῆς θεότητος προστιθεὶς τὴν φύσιν τῆς σαρκὸς ἣν ἀνέλαβεν ὁ Θεὸς Λόγος, δι' ἣν καὶ τὸ ἐκ δύο φύσεων λέγεται δύο φύσεις, ἀλλ' αὐτὴν τὴν μίαν θεϊκὴν οὐσίαν, ἤτοι φύσιν, εἰς δύο διαιρουμένην χρονικῶς. Εἰ δὲ κατὰ τοῦτο μία φύσις ἐστὶν ὁ Χριστὸς παρὰ σοὶ (μὴ γὰρ εἴποι ἡ ἀλήθεια παρὰ τοῖς Πατράσιν) ἀκολούθως καὶ τὸ ἐκ δύο φύσεων,
C οὐκ ἐκ θεότητος καὶ ἀνθρωπότητος ἔσται, τουτέστιν ἐξ ἀσάρκου φύσεως, καὶ πάλιν ἐξ αὐτῆς σεσαρκωμένης, τῆς σαρκὸς μηδὲν συντελούσης εἰς ὄνομα φύσεως, ἀλλὰ τῆς διαστολῆς τοῦ χρόνου τοῦτο χαριζομένης τῇ μιᾷ φύσει τῇ θεϊκῇ, τὸ καὶ γενέσθαι καὶ λέγεσθαι δύο φύσεις.

Præterea, o sapientissime, si carne carentem divinitatem unam naturam vocas, natura carnis instructam cur rursus unam dicis? quod si illa permanet, ut ipse fingis, ubi carnis naturam, humanitatis naturam assumptam esse asseris, in conjunctione duæ subsistentes naturæ admittendæ sunt, non una tantum natura. Si assumpta humana natura cætera omnia retinuit, ut nominetur humanitas, anima, corpus, caro, unum vero hoc amisit quod dicatur natura, proh, absurda conditio, a Docetarum fautoribus inventa! Nos autem illud contendimus: ut cætera omnia retinentur et dicuntur in assumptione, et propter unionem propria nomina non deponunt, ita ipsa natura dicitur propter unionem neque contracta neque deleta. Permanet enim utraque natura non solum quod est vi naturæ, sed illud retinens quod nomen habet naturæ, uti et tibi Severo videtur, cum de utraque seorsum loqueris; nam conjunctim duas naturas dicere plerumque recusas, ne Docetas per omnia contristeris.

Εἶτα, ὦ πάντα σοφὲ, εἰ γυμνὴν σαρκὸς οὖσαν τὴν θεότητα μίαν φύσιν ὀνομάζεις, προσλαβοῦσαν τὴν φύσιν τῆς σαρκὸς, πῶς πάλιν μίαν ἀποκαλεῖς; Εἰ σώζεται, ὥσπερ καὶ σὺ ποιεῖς, ἔστιν ὅτε σαρκὸς φύσιν, καὶ ἀνθρωπότητος φύσιν λέγων προσειλῆφθαι, καὶ ἐν τῇ συνθέσει ὑφισταμένας φύσεις ὁρᾷν, οὐχὶ μίαν μόνον φύσιν· εἰ δὲ προσληφθεῖσα ἡ ἀνθρωπίνη φύσις πάντα μὲν τὰ ἄλλα ἔσωσεν ὀνόματα, τὸ λέγεσθαι ἀνθρωπότης, ψυχὴ, σῶμα, σὰρξ, τοῦτο δὲ μό-
D νον ἀπώλεσεν τὸ λέγεσθαι φύσις, φεῦ τῆς ἀτόπου ἀποκληρώσεως, τῆς ἐπινενοημένης τοῖς φιλοδοκήταις! Ἡμεῖς δὲ τοῦτό φαμεν, ὥσπερ τὰ ἄλλα πάντα σώζεται καὶ λέγεται τῆς προσλήψεως, μὴ ἀποβεβληκότα τὰ ἰδικὰ ὀνόματα διὰ τὴν ἕνωσιν, οὕτως καὶ ἡ φύσις λέγεται μὴ συναλειφομένη καὶ ἀφανιζομένη διὰ τὴν σύνθεσιν. Μένει γὰρ ἑκατέρα φύσις, οὐ μόνον ὅπερ ἐστὶ τῇ φύσει, ἀλλὰ καὶ ἔχουσα ὅπερ ἔχει ὄνομα τῇ φύσει, ὥσπερ καὶ σοὶ Σευήρῳ δοκεῖ, ὅταν περὶ ἑκάστης ἰδίως διαλέγῃ· ἅμα γὰρ τὰς δύο φύσεις ὀνομάσαι, τὰ πολλὰ παραιτῇ, ἵνα μὴ λυπήσῃς τοὺς Δοκήτας ἐν πᾶσιν.

Una igitur Dei Verbi natura, et assumpta carnis

Ἆρα οὖν ἡ μία τοῦ Θεοῦ Λόγου φύσις, καὶ ἡ προσ-

ληφθεῖσα τῆς σαρκὸς φύσις, δύο φύσεις καὶ εἰσὶν καὶ λέγονται· σὺ δὲ τὴν μίαν μὲν παρασιωπᾷς τὴν τῆς σαρκὸς, μὴ συναριθμῶν ταύτην τῇ θεότητι, ἀλλ' ἐφελκόμενος μὲν καὶ παρασύρων αὐτὴν, εἰ μή που ἰδιαζόντως, ὥσπερ ὃ ἔφην. Τὴν δὲ τῆς θεότητος μόνον ὀνομάζων φύσιν, καὶ ταύτην, ὡς σὺ φῄς, τῷ χρόνῳ συνδιαστέλλων, καινὴν ἡμῖν φυσιολογίαν, μᾶλλον δὲ μωρολογίαν τερατεύῃ, τὴν μίαν φύσιν δύο φύσεις ἀποκαλῶν· ὡς εἰ σαφέστερον ἔφης ὅπερ ἐνόησας, πρώτην καὶ δευτέραν, καὶ ὁ μὴ βουλόμενος τὰς δύο φύσεις τοῦ Χριστοῦ, δύο ὁμολογῆσαι, τὴν μίαν δύο λέγων οὐκ αἰσχύνῃ; Πλὴν πολλὰ περιελθὼν, παντελῶς φυγεῖν τὴν ἀλήθειαν οὐκ ἠδυνήθης. Εἰπὼν γὰρ τοὺς τῇ ἐνανθρωπήσει πρέποντας ταπεινοὺς λόγους ἐπὶ τὴν θεότητα ἄγειν τοὺς Ἀρειανοὺς, ἔδειξας καὶ ἄκων μὴ τῇ μιᾷ φύσει, τουτέστιν τῇ θεϊκῇ, ἣν καὶ μόνην φύσιν ὀνομάζειν ἐνταῦθα βιάζῃ, ἐκ τοῦ Αἰλούρου παραλαβών· ἀλλ' ἑτέρᾳ τινὶ δηλονότι τῇ τῆς ἀνθρωπότητος τῆς οὐσιωδῶς ἡνωμένης τῷ Θεῷ Λόγῳ ἁρμόζειν τούτους. Τί γὰρ ἕτερόν ἐστιν τὸ ἐνανθρωπῆσαι τὸν Θεὸν Λόγον, ἢ τὸ ἐν ἀνθρωπότητι γενέσθαι αὐτόν; Εἰ δὲ κατὰ φύσιν οὐχ ἁρμόζει τῷ Θεῷ Λόγῳ τά τε πάθη καὶ τὰ ταπεινὰ ῥήματα, ἄρα γε κατὰ φύσιν ἁρμόζει τῇ ἀνθρωπότητι αὐτοῦ, κατὰ δὲ οἰκονομικὴν οἰκείωσιν καὶ αὐτῷ τῷ Θεῷ Λόγῳ, τῷ κατ' οὐσίαν ἑνώσαντι ἑαυτῷ τὴν ἀνθρωπότητα, ἣν καὶ σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ φαμεν, καὶ ἑνωθέντι αὐτῇ κατ' οὐσίαν. Οὕτω γὰρ καὶ ἀπαθής ἐστιν ὁ Χριστὸς τῇ θεότητι, καὶ παθητὸς τῇ οὐσιωδῶς ἡνωμένῃ αὐτῷ σαρκί.

Τί δὲ καὶ συκοφαντεῖς Ἀρειανούς; Οὐδὲ γὰρ αὐτοὶ τὰ τῆς σαρκὸς πάθη, τουτέστι σταυρὸν καὶ μάστιγας καὶ διατρήσεις ἥλων καὶ θάνατον ἔλεγον τὴν θεότητα ἐπιδέχεσθαι πρὸ τῆς ἐνανθρωπήσεως, ἀλλ' οὐδὲ μετὰ τὴν ἐνανθρώπησιν· ἀλλ' ἐὰν ἄρα τὰ τῇ ψυχῇ ἁρμόζοντα κατὰ φύσιν, λύπην καὶ ἀγωνίαν καὶ τὰ τούτοις ὅμοια. Πρὸς οὓς ἀποτεινόμενος Ἀμφιλόχιος, τὰ πάθη καὶ τὰ ταπεινὰ ῥήματα τῇ φύσει τῆς σαρκὸς, ἤγουν τῆς ἀνθρωπότητος ἀπένειμεν, τὰ δὲ θαύματα τῇ φύσει τῆς θεότητος· καὶ ταύτας διακρίνειν ἔφη τὰς φύσεις· οὐκ ἄρα οὖν φύσεις τὴν μίαν φύσιν ἐνόησεν Ἀμφιλόχιος, ἢ ἄλλος τις τῶν ὀρθοδόξων Πατέρων. Ὁ δὲ χρόνον εἶπεν διακρίνειν, καὶ τούτῳ συνδιακρίνειν καὶ συνδιαστέλλειν τὴν μίαν φύσιν εἰς δύο φύσεις. Ἀλλὰ μόνος σὺ Σευῆρος, ὁ τὰ ὀρθὰ διαστρέφων διὰ τὸν ἴδιον σκοπὸν, καὶ οἱ πειθόμενοί σοι, ὁ τὴν ψηφοπαικτικήν σου φυσιολογίαν, μᾶλλον δὲ τερατολογίαν, διδάξας τοὺς ἀποσχίζεσθαι βουλομένους τῆς ἀληθείας.

Ἐπαναλαβόντες δὲ πάλιν φαμέν· Εἰ διὰ τὴν διαστολὴν τοῦ χρόνου ἡ μία φύσις δύο λέγεται, καὶ οὐχὶ διὰ τὴν ἕνωσιν τῆς θεϊκῆς φύσεως καὶ τῆς ἀνθρωπίνης, δύο φύσεις ἐστὶν ὁ Χριστὸς, οὐδὲ ἐκ δύο φύσεων ἐστιν ὁ Χριστός· ἀλλ' εἰ ἄρα ἐκ μιᾶς μέν ἐστιν, ἐκ δύο δὲ λέγεται μὲν, οὐκ ἔστιν δὲ, τῆς διαστολῆς τοῦ χρόνου τὴν μίαν φύσιν δύο λέγεσθαι ποιούσης, κατὰ τὴν πολυποίκιλον σοφίαν Σευήρου. Εἰ δὲ ἡ διαστολὴ τοῦ χρόνου τὴν μίαν φύσιν δύο λέγεσθαι πεποίηκεν, ἡ δὲ διαστολὴ γέγονεν διὰ τὴν ἐξ οὐρανοῦ κάθοδον,

A natura, duæ naturæ sunt et dicuntur; tu vero unam retices carnis naturam, atque divinitati non annumeras, sed eam elidis, et omittis, nisi forte eam seorsum memores, uti dixi: cum autem divinitatis tantum naturam vocas, illamque, ut contendis, tempore distinguis, novam nobis physiologiam, aut potius stultiloquium excogitas, dum unam naturam duas naturas vocas. Clarius sane mentem tuam expressisses, primam dicendo et secundam. Duas Christi naturas confiteri duas cum nolueris, unam duas vocare non erubescis! At licet tot flexiones quæsiveris, veritatem omnino devitare non potuisti. Nam quando dicis ab Arianis humiles sermones et incarnationi accommodatos ad divinitatem referri, probasti vel invitus illos non uni naturæ B competere, hoc est divinæ, quam solam ibi naturam vocare conaris, Æluri vestigiis insecutus; sed alteri sane, humanitati substantialiter cum Deo Verbo unitæ. Quid enim aliud incarnari Deum-Verbum, nisi eum in humanitate fieri? Quod si secundum naturam suam non conveniunt Deo Verbo passiones et humilia verba, sane secundum naturam humanitati ejus conveniunt, et secundum incarnationis dispensationem ipsi Deo Verbo, substantialiter sibi humanitatem adunanti, quam carnem vocamus spirituali anima animatam, et substantialiter ipsi unitam. Sic enim impatibilis est Christus divinitate, et patibilis carne ipsi substantialiter unita.

C Quid autem Arianos insectaris? Non enim illi carnis passiones, hoc est, crucem et plagas, et clavorum vulnera, et mortem a divinitate fuisse accepta ante incarnationem, sed neque post incarnationem asseruerunt; sed ea quæ natura animæ conveniunt, dolorem scilicet et agoniam, et cætera hujusce generis. In quos intentus Amphilochius, passiones et humiles sermones naturæ carnis vel humanitatis tribuit, miracula vero naturæ divinitatis. Istas ait se distinguere naturas; non vero naturas unam esse naturam excogitavit Amphilochius, neque alius quis orthodoxorum Patrum. Severus autem illum tempora ait distinguere, et ita simul unam naturam in D duas discernere et distinguere naturas. At solus tu hoc facis, Severe, et fautores tui, qui propriam ob causam bonam fidem evertis, et præstigiosam tuam physiologiam vel potius portentosam doctrinam eos doces qui a veritate reduci volunt.

Ad propositum reversi hæc contendimus: si propter differentiam temporum una natura duæ dicitur, non autem, propter unionem divinæ et humanæ naturæ, duæ naturæ est Christus, neque ex duabus naturis est Christus. Nam ex una est, ex duabus vero dicitur, licet non sit, quia unam naturam duas vocare differentia temporum jubet, juxta multiformem Severi sapientiam; at si differentia temporum unam naturam duas vocare jubeat, ipsa vero hæc differentia ex eo sit orta quod

de cœlo descenderit, et ad nos venerit una natura, cum eadem spiritus in inferos adierit, tres dicenda erit una natura: imo super omnes cœlos rursus elevata coram Deo splendet: quatuor igitur naturæ erunt. Qua de causa non solum exquiremus quæ natura Dei carne carentis, et quæ incarnati, sed etiam quæ animati tantum Dei (nam absque carne infernis adiit), et quæ natura Dei, carne quidem instructa, sed incorruptibili et immortali? nam ad istas ineptias deducit nos monstrosa doctrina Severi.

Neque hoc omittendum, quod in libro *Amator veri* inscripto dixit: « Vanum est quærere de Christo qualis natura; hoc enim nil aliud est nisi expresse solvere unionem. » Hic monet nos ipse, ut papa Leo (5), dicens quæ ac quæ, ut quæramus qualis natura in crucis ligno pependerit. Interrogabunt quibus libuerit, quis mortuus sit, Deus carne destitutus, an Deus incarnatus? Quis animas in infernis docuerit, Deus incarnatus an animatus? Quis angelis apparuerit? His omnibus invenitur Severus non solum Patribus pugnans, sed sibimetipsi. Quando enim vult, unam naturam dividit, duasque naturas et facit et dicit; ubi vero ei libuerit, propter unionem duas unam efficit et vocat: atque hæc sexcentesimo prope anno post unionem, duas subsistentesque naturas in Christo cogitare confitens. Ac rursus eos anathematizas qui post unionem duas dicunt. Quod si post unionem duæ naturæ unam effecerunt, quomodo ipse tot annis post unionem, duas in Christo naturas cogitat? Quæ autem cogitat et dicit et scribit, quomodo rursus negat? Ut præstigiatores qui calculos suos simul ostendunt et occultant, ita prope ipse simul confitetur duas, simulque negat, duas in unam contrahens. Abeat mobilis ista mens! Noli confiteri quæ negas, aut negare quæ confiteris.

Alios quoque ex diversis ejus tractatibus locos producam, quibus accuratius appareat ineptia, et depravatio hominis, sponte et ex destinato veritati repugnantis. Scribit in libro adversus Grammaticum: « Differentiæ conjungitur omnium distinctio. » Deinde sibimet pugnans in alio ejusdem libri loco hæc habet: « Cum enim corpus non erat Verbum, nec ipsum ex Maria corpus factum est Verbum; quapropter e substantiæ differentia derivatur absoluta distinctio. » Et rursus in eodem libro: « Emmanuel e duabus naturis dicentes, non substantias intendimus, naturas, quæ mutuam communionem præbeant, et multas hypostases comprehendant, sed unam hypostasin Verbi, et unam carnem intelligenti anima animatam, e quibus absque ulla mutatione confertur in unum et componitur. Est etiam una natura et hypostasis

A καὶ πρὸς ἡμᾶς ἐπιδημίαν τῆς μιᾶς φύσεως, ἄρα γε ἐπιδημησάσης αὐτῆς τοῖς ἐν φυλακῇ πνεύμασι, τρεῖς φύσεις λεχθήσεται ἡ μία φύσις. Καὶ πάλιν ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ, τέσσαρες φύσεις ἔσται. Καὶ διὰ τοῦτο οὐ μόνον ἐρωτήσομεν τίς φύσις ἀσάρκου Θεοῦ, καὶ τίς σεσαρκωμένου, ἀλλὰ καὶ τίς φύσις ἐμψύχου μόνον Θεοῦ· ἄσαρκος γὰρ ἐπεδήμησεν τοῖς ἐν ᾅδου· καὶ τίς φύσις Θεοῦ, σεσαρκωμένου μὲν, σαρκὶ δὲ ἀφθάρτῳ καὶ ἀθανάτῳ· εἰς ταύτην γὰρ τὴν φλυαρίαν ποδηγεῖ ἡμᾶς τὰ τερατόμορφα δόγματα Σευήρου.

Καὶ τοῦτο δὲ ἰστέον, ὅτι ἐν τῷ *Φιλαλήθει* εἰρηκώς· « Μάταιον τὸ ἐπερωτᾷν ἐπὶ Χριστοῦ ποία φύσις· τοῦτο γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἢ κυρίως λῦ-
B σαι τὴν ἕνωσιν· » ἐνταῦθα ἐδίδαξεν ἡμᾶς καὶ αὐτὸς, ὡς ὁ πάπας Λέων, διὰ τοῦ εἰπεῖν τίς καὶ τίς, ἐπερωτᾷν ποία φύσις ἐν τοῦ σταυροῦ ξύλῳ κεκρέμαστο. Ἐρωτήσουσιν δὲ οἱ βουλόμενοι καὶ τίς ὁ ἀποθανὼν, ὁ ἄσαρκος Θεὸς, ἢ ὁ σεσαρκωμένος; καὶ τίς ὁ πορευθεὶς κηρύξαι τοῖς ἐν ᾅδου, ὁ σεσαρκωμένος Θεὸς, ἢ ὁ ἔμψυχος; καὶ τίς ὁ ὀφθεὶς τοῖς ἀγγέλοις; διὰ πάντων τῶν εἰρημένων εὑρίσκεται Σευῆρος οὐ μόνον τοῖς Πατράσιν ἐναντιούμενος, ἀλλὰ καὶ ἑαυτῷ ἀσύμφωνος. Ὅτε μὲν γὰρ βούλεται, τὴν μίαν διαστέλλων φύσιν, δύο φύσεις καὶ ποιεῖ καὶ λέγει· ὅταν δὲ δοκῇ αὐτῷ, διὰ τὴν ἕνωσιν, τὰς δύο μίαν ἀποτελεῖ καὶ ὀνομάζει· καὶ ταῦτα ὁ μετὰ ἑξακόσια σχεδὸν ἔτη τῆς ἑνώσεως, δύο φύσεις ὁμολογῶν σκοπεῖν ἐν τῷ Χριστῷ,
C καὶ ταύτας ὑφισταμένας. Καὶ πάλιν ἀναθεματίζων τοὺς δύο λέγοντας μετὰ τὴν ἕνωσιν. Εἰ διὰ τὴν ἕνωσιν αἱ δύο μία γεγόνασιν, πῶς αὐτὸς μετὰ τοσαῦτα ἔτη τῆς ἑνώσεως, δύο φύσεις σκοπεῖ ἐν τῷ Χριστῷ; Ἃ δὲ σκοπεῖ καὶ λέγει καὶ γράφει, πῶς ἀρνεῖται; Καὶ καθάπερ οἱ ψηφοπαῖκται ἅμα μὲν δεικνύουσι τὰς ψήφους, ἅμα δὲ ἀφανίζουσι ταύτας· παραπλησίως καὶ αὐτὸς ἅμα μὲν ὁμολογεῖ δύο σκοπεῖν, ἅμα δὲ ἀρνεῖται, τὰς δύο εἰς μίαν συναλείφων. Ἄπαγε τῆς ἀστάτου γνώμης! Δέον ἢ μὴ ὁμολογεῖν ἅπερ ἀρνεῖται, ἢ μὴ ἀρνεῖσθαι ἅπερ ὁμολογεῖ.

Παραθήσομαι δὲ καὶ ἑτέρας χρήσεις ἐκ διαφόρων αὐτοῦ συνταγμάτων, δι' ὧν ἀκριβέστερον τὸ ἀλλόκοτον καὶ ἐθελοκακοῦργον ἐπιγνωσθήσεται τοῦ ἀνδρὸς, ἐν γνώσει μαχομένου τῇ ἀληθείᾳ. Γράφει ἐν τῷ κατὰ
D τοῦ Γραμματικοῦ βιβλίῳ· « Τῇ διαφορᾷ συνέζευκται καὶ ἡ κατὰ πάντα διαίρεσις. » Εἶτα ἐναντιούμενος ἑαυτῷ ἐν ἑτέρῳ τόπῳ τοῦ αὐτοῦ βιβλίου λέγει· « Οὐ γὰρ ἐπειδὴ σῶμα οὐκ ἦν ὁ Λόγος, οὔτε μὴν τὸ ἐκ Μαρίας σῶμα μετεφοίτησεν τοῦ εἶναι Λόγος· διὰ τοῦτο δὴ τῇ διαφορᾷ τῆς οὐσίας, ἀκολουθήσει πάντως καὶ ἡ διαίρεσις. » Καὶ πάλιν ἐν τῷ αὐτῷ βιβλίῳ φησίν· « Ἡμεῖς ἐκ δύο φύσεων λέγοντες τὸν Ἐμμανουὴλ, οὐκ οὐσίας νοοῦμεν τὰς φύσεις, τὰς τῆς κοινότητος δηλωτικὰς, καὶ πολλῶν ὑποστάσεων περιεκτικὰς, ἀλλὰ τὴν μίαν ὑπόστασιν τοῦ Λόγου, καὶ τὴν μίαν σάρκα τὴν ἐψυχωμένην νοερῶς, ἐξ ὧν ἀτρέπτως συνενήνεκται εἰς ἓν καὶ συντέθειται. Καὶ

(5) Ep. 28 ad Flavianum episcopum: « Quæ natura transfixa clavis pependerit in crucis ligno. »

ἐστι μία φύσις τε καὶ ὑπόστασις ἡ τοῦ Λόγου σεσαρκωμένη· καὶ οὐκ ἐκ τούτου περικλειόμεθα, πρὸς τὸ καὶ ἐκ δύο προσώπων λέγειν τὴν ἕνωσιν.» Πρῶτον ἐκεῖνο ἐροῦμεν, Μία καὶ μία, μίαν οὐ ποιεῖ, ἀλλὰ δύο· ἕως γὰρ μίαν καὶ μίαν θεωρῇς καὶ λέγῃς, δύο καὶ θεωρεῖς καὶ λέγεις. Εἰ δὲ κατὰ τὸν σὸν ὅρον οὐκ ἔστι φύσις ἀπρόσωπος, πῶς ἐκ δύο φύσεων ὢν ὁ Χριστὸς, οὐχὶ καὶ ἐκ δύο προσώπων ἐστὶ παρά σοί;

Καὶ ἐν αὐτῷ δὲ πάλιν τῷ συντάγματι ἔφης· «Ἀλλ' εἴ τις τὰ ἐξ ὧν ἔστι σκοπῆσαι ζητήσειεν, νοῦ μόνῃ φαντασίᾳ καὶ λεπτῇ θεωρίᾳ καὶ ἐπινοίᾳ διαιρῶν, θεωρεῖ δύο φύσεων, ἤγουν ὑποστάσεων, σύνοδον· καὶ τὸ ἑκάστης τρόπον τινὰ φαντάζεται πρόσωπον ἐν ἐπινοίᾳ λαβεῖν. Συνεισιοῦσα δὲ τῇ διανοίᾳ καὶ ἡ τῆς ἑνώσεως δύναμις, καὶ τὴν ἐξ ἀμφοῖν δείξασα μίαν ὑπόστασιν, τὰ ἐπινοίᾳ σκοπηθέντα δύο τῇ ὑποστάσει, δύο μένειν οὐ συγχωρεῖ· μετὰ γὰρ τὴν τῆς ἑνώσεως ἔννοιαν, ἀναφαινομένης μιᾶς φύσεως τῆς τοῦ Λόγου, σεσαρκωμένης, ἡ ἐπίνοια τῶν φαντασθεισῶν δύο προσώπων ἢ φύσεων ἢ ὑποστάσεων ὑπεξίσταται.» Τούτοις ἐπιφέρει μαρτυρίαν τινὸς πολύστιχον ἔχουσαν ἐν τῷ τέλει οὕτως· «Συγκατωρθῶσθαί φαμεν ἀναγκαίως τῇ τῶν ὑποστάσεων πρὸς ἑνότητα συνδρομῇ, καὶ αὐτῶν τῶν προσώπων τὴν ἕνωσιν. Ἐχρῆν μὲν μὴ λέγειν σε προσώπων ἕνωσιν·» λέγων δὲ, τί ἀρνῇ; Εἰ προσώπων ἕνωσις γέγονεν, πρῶτον ὑπέστη ὁ ἄνθρωπος, καὶ τότε ἡνώθη τῷ προϋφισταμένῳ Θεῷ Λόγῳ. Προσώπων δὲ ἕνωσιν, οὐδὲ Νεστόριος εἰπεῖν ἐτόλμησεν, πρόσωπον δὲ μόνον.

Θαυμάζω δέ σε, τῆς ἑνώσεως γενομένης καὶ ἀναφανείσης τῆς μιᾶς φύσεως πῶς αὐτὸς ταύτην διαιρεῖν δύνασαι πάλιν, καὶ ἀναλύειν εἰς τὰ ἐξ ὧν, καὶ τὴν μίαν δύο θεωρεῖν οὐ μόνον φύσεις, ἀλλὰ καὶ πρόσωπα. Ἢ τάχα ἐν σοί ἐστι καὶ λύειν τὴν ἕνωσιν καὶ συνάγειν αὐτήν; καὶ ὅταν μὲν βούλῃ, θεωρεῖς τὰς φύσεις, ὅτε δὲ θέλεις, ὑπεξίστανται. Εἰ δὲ ὑπεξέστησαν, ἀφανεῖς γενόμεναι, οὔτε δύο οὔτε μία ἢ εἰσιν ἢ θεωροῦνται, τοῖς ἀποτελεστικοῖς συναφανισθέντος τοῦ ἀποτελέσματος· εἰ δὲ τῆς μιᾶς ἀναφανείσης, ἡ ἐπίνοια μόνη ὑπεξίσταται, οὐκ ἔξεστί σοι ἐπινοεῖν ἔτι. Γίνωσκε δὲ ὅτι τὸ κατ' ἐπίνοιαν ἔστιν ὅτε πρὸς ἀντιδιαστολὴν τοῦ κατ' ἐνέργειαν εἴρηται. Τῇ μὲν οὖν ἐνεργείᾳ, καὶ ὡς ἄν τις εἴποι πραγματικῶς, οὐδ' ἡμεῖς διαιροῦμεν τὰς φύσεις· τῇ δ' ἐπινοίᾳ διίστανται. Εἰ δὲ ἐπίνοια καὶ ἐνέργεια ταυτόν ἐστιν, ἄρα καὶ τὴν μίαν φύσιν ἐπινοίᾳ λέγεις γεγενῆσθαι, ἢ καὶ τὰς δύο φύσεις ἐνεργείᾳ καὶ οὐσιωδῶς εἶναι φήσεις μὲν τὴν ἕνωσιν. Εἰ δὲ ἐπινοίᾳ μόνῃ γνωρίζεις τὰς φύσεις, τὸ ἀνύπαρκτον αὐτῶν καὶ ἀνούσιον, ἢ τὸ συγκεχυμένον καὶ ἠφανισμένον κατασκευάζεις· ὅπερ καὶ μᾶλλον ὠδίνεις μὲν, οὐκ ἐκφαίνεις δέ. Ἐπινοίᾳ γὰρ οὐ μόνον ἔφης διαιρεῖν, ἀλλὰ καὶ σκοπεῖν τὰς φύσεις, ἃς οὐδὲ μένειν καθ' ὕπαρξιν συγχωρεῖς νῦν, ὁ ἐν πολλοῖς λέγων μένειν αὐτὰς ἐν τῇ συνθέσει, διὰ τὴν προσοῦσάν σοι ἀστασίαν.

Ὅτι δὲ ἐκ διῃρημένων τῶν φύσεων ἀναγκάζῃ λέ-

A Verbi incarnati; at non cogit illud nos unionem vel ex duabus personis factam profiteri. » Primum dicam : Una et una, non facit unam, sed duas; donec igitur unam ac unam consideres et loquaris, duas consideras et loqueris. Dein, si juxta definitionem tuam non est natura quæ persona careat, quo pacto ex duabus naturis cum sit Christus, non ex duabus personis cum diceres?

In ipso etiam tractatu dixisti : « Quod si quis ea e quibus est considerare voluerit, eaque sola mentis cogitatione, et subtili meditatione et mente diviserit, duarum naturarum aut hypostaseon concursum perspiciet; ac cujusque personam quodammodo cogitatione complecti videbitur. Ubi au-
B tem mentem commoverit vis unionis, unam hypostasin ex duabus comprobans, non concedet ut remaneant duo, quæ duo hypostasi cogitatio fuerat meditata. Unionis enim vi intellecta, una Verbi incarnati natura perspecta, evanescit illa opinio duarum personarum aut naturarum, aut hypostaseon cogitatione conceptarum. » Quæ fusiori cujusdam viri testimonio confirmat, cujus summa sic se habet : « Ipsam personarum unionem necessario perfici diximus concursu hypostaseon ad unitatem. » Non tibi confirmanda erat unio personarum; at eam, ubi confirmaveris, quare negas? Quod si personarum unio facta est, primum subsistebat homo, et tunc cum præsubsistente Deo
C Verbo unitus est. Personarum unionem ne ipse quidem Nestorius profiteri ausus est, sed unam tantum personam docuit.

Miror autem quomodo, unione facta et una natura perspecta, hanc rursus dividere possis ac dissolvere in ea e quibus, et unam naturam duas cogitare non modo naturas, sed et personas. Tibine est facultas unionem solvendi ac perficiendi? Quando tibi placet, naturas vides, et, te jubente, statim evanescunt. Si autem evanuerunt, nec jam conspici possunt, neque duæ neque una sunt aut videntur, effectu simul cum efficientibus apparente; si una apparente sola cogitatio evanescet, non est quid adhuc cogites. Scito autem aliquid dici fieri cogitatione per oppositionem ad ea quæ
D actu fiunt; nam actu, et, ut dixeris, efficienter, ne nos quidem naturas dividimus, cogitatione tantum distinguuntur. Quod si cogitatio et actus idem sunt, unam naturam cogitatione factam esse dices, aut etiam duas naturas actu et substantialiter esse contendes post unionem. At si cogitatione sola naturas consequeris, essentia et substantia carentes finges eas, aut confusas et invisibiles : quod quidem innuis potius quam profiteris. Cogitatione enim non solum dicis te distinguere; sed et considerare naturas, quas nunc fateris ne permanere quidem sua exsistentia, dum ipse eas sæpius vel in conjunctione permanere, propter innatam tuam mobilitatem docueris.

Distinctis autem naturis, confitendam esse

unionem ex tuis verbis probabimus tibi, duarum personarum doctori. Dicis enim : « Ubi distinctio, ibi et binarius numerus, et ubi binarius numerus, ibi et distinctio sit necesse est. » Si voce *duo* usque et distinctio innuitur, et ex voce *duo* usque consequitur unionem rebus distinctis præsubsistentibusque fieri, ex duabus personis dicere ne recuses. Clarius etiam et manifestius dicta patebunt. In ipso adversus Grammaticum libro ait : « Merito igitur putares, perfectas hypostases, distincte subsistentes, duas etiam in personas divisas esse, ita ut quæque propriam personam constituat, et propria subsistentia subsistat. » Et rursus : « Non duo Domini, non duo Filii, non duo Christi, quia substantiæ vel hypostases aut naturæ propria substantia, ac separatim et ex parte non subsistunt. » Et rursus : « Cogitatione ubi distinguuntur naturæ vel hypostases, simul et personæ cogitantur; nam cum quid ab alia re distinguitur, statim propriam personam efficit. » At si ea quæ subsistant propria subsistentia, propriam personam efficiunt, et ea quoque quæ distincte et separatim et ex parte subsistunt, in personas distinguuntur, Christus non solum ex duabus naturis juxta Severum, sed et ex duabus personis est. Primum distincte, et separatim et ex parte, et propria subsistentia substiterant naturæ, et propriam utraque naturam constituerat; postea vero unitæ sunt, et ita ortus est Severi Christus ex duabus naturis et e duabus personis; quod qui expresse confirmare auderet, non solum Nestorio Nestorianior esset, sed ipso Severo insanior.

In sermone ejus in Nativitatem, cujus exordium, *Ut, lumen Oriens*, dicit : « Cujus naturæ propriam operationem dicemus incedere super aquam? respondeant qui post unionem duas naturas fingunt. Utrum divinæ? At quo pacto divinitatis proprium corporeis pedibus ingredi? An humanæ? Vide, duarum naturarum amator, cui tantam operationem tribuas; nam ea naturas tuas, ut cernis, fugit. At certum est, et nulli dubio obnoxium, nisi sponte furamus, Deo Verbo propter nos incarnato, uni et individuo, individuam quoque inesse operationem; proprium ipsius erat super aquam incedere, cum id simul divinum sit et humanum. » Quæ disserentem Severum phantasmatibus credo illudere auditores. Nam si nec divinæ nec humanæ naturæ fuerat super aquam deambulare, vel erat hoc mera visio, vel actus non integra divinitatis humanitatisve natura perfectus, sed natura ex istis permista, et per confusionem absoluta. Unde neutra pura servabitur; sed uni naturæ tribuetur, qualiscunque sit, ambulatio super aquam, ut operatio maneat una et individua. Age, super terram ambulare divinæ naturæ erat, an humanæ? Nihil Deo dignum cernitur cum humanæ naturæ legibus pedes terram calcant; sane ita divisa est una natura, et

A γειν τὴν ἕνωσιν, ἐκ τῶν σῶν λόγων ἐλέγξωμέν σε τὸν διδάσκαλον τῶν διπροσωπιτῶν. Ἔφης· « Ὅπου διαίρεσις, ἐκεῖ καὶ δυάς· καὶ ὅπου δυάς, ἐκεῖ καὶ διαίρεσις ἀκολουθεῖ. » Εἰ τῇ *δύο* φωνῇ πάντως καὶ διαίρεσις ἀκολουθεῖ, καὶ τῇ *ἐκ δύο* πάντως ἕψεται τὸ ἐκ διῃρημένων καὶ προϋφεστώτων τὴν ἕνωσιν γεγενῆσθαι· διὸ καὶ τὸ *ἐκ δύο προσώπων* οὐ παραιτῇ λέγειν. Πλὴν τρανώτερον καὶ σαφέστερον ἀποδειχθήσεται τὸ λεγόμενον. Ἐν αὐτῷ τῷ κατὰ τοῦ Γραμματικοῦ βιβλίῳ φησίν· « Νοοῖτ' ἂν οὖν εἰκότως, ὡς τέλειαι αἱ ὑποστάσεις, διῃρημένως μὲν ὑφεστῶσαι, διῄρηνται καὶ εἰς πρόσωπα δύο, ἴδιον ἑκάστης πρόσωπον ἐπιγραφομένης, ὡς ἰδιοσυστάτως ὑφεστώσης. » Καὶ πάλιν· « Οὐ δύο Κύριοι, οὐ δύο Υἱοί, οὐ δύο Χριστοί, διὰ τὸ μηδὲ τὰς οὐσίας ἤγουν ὑποστά- B σεις ἢ φύσεις ἰδιοσυστάτως ὑφεστηκέναι καὶ κεχωρισμένως καὶ ἀνὰ μέρος. » Καὶ πάλιν· « Ἐν τῇ ἐπινοίᾳ διαιρουμέναις ταῖς φύσεσιν, ἤγουν ὑποστάσεσι, συνεπινοεῖται καὶ τὰ πρόσωπα· θάτερον γὰρ θατέρου διαιρούμενον, εὐθὺς ἴδιον ἐπιγράφεται πρόσωπον. » Εἰ τὰ ἰδιοϋποστάτως ὑφεστῶτα, ἴδια ἐπιγράφεται πρόσωπα, καὶ τὰ διῃρημένως καὶ κεχωρισμένως καὶ ἀνὰ μέρος ὑφεστῶτα διῄρηται εἰς πρόσωπα· ὁ δὲ Χριστὸς οὐ μόνον ἐκ δύο φύσεών ἐστιν, ἀλλὰ καὶ ἐκ δύο προσώπων κατὰ Σευῆρον· ἄρα γε πρῶτον διῃρημένως καὶ κεχωρισμένως καὶ ἀνὰ μέρος καὶ ἰδιοσυστάτως ὑπέστησαν αἱ φύσεις, ἵνα καὶ ἴδιον ἑκάστη ἐπιγράψηται πρόσωπον· καὶ τότε ἡνώθησαν καὶ οὕτως ἀπετελέσθη ὁ Σευήρου Χριστὸς C ἐκ δύο φύσεων καὶ ἐκ δύο προσώπων· ὅπερ εἰ οὕτως ἔχει, οὐ μόνον ἐστὶ Νεστορίου Νεστοριανώτερον, ἀλλὰ καὶ αὐτοῦ Σευήρου ἀνοητότερον. Φύγωμεν οὖν τὸν διπρόσωπον ὄφιν.

Ἐν τῷ λόγῳ αὐτοῦ τῷ εἰς τὰ Γενέθλια, οὗ ἡ ἀρχή, *Ὥσπερ τὸ τῆς ἡμέρας φῶς ἀνατέλλον*, λέγει· « Ποίας οὖν φύσεως ἰδίαν ἐνέργειαν εἴπωμεν τὸ βαδίζειν ἐπὶ τοῦ ὕδατος, ἀποκρινάσθωσαν οἱ μετὰ τὴν ἕνωσιν ἡμῖν τὰς δύο φύσεις εἰσάγοντες. Τῆς θείας; Καὶ πῶς θεότητος ἴδιον, τὸ σωματικοῖς ἰέναι ποσίν; Ἀλλὰ τῆς ἀνθρωπίνης; Καὶ πῶς οὐκ ἀλλότριον ἀνθρώπου τὸ ἐπὶ τῆς ὑγρᾶς οὐσίας περιπατεῖν; Ὁρᾷς ὁ τὰς δύο φύσεις ἐπιζητῶν, εἰ τοιαύτην ἐπιγράψεις ἐνέργειαν· τὰς γὰρ σὰς φύσεις, ὡς ὁρᾷς, διαπέφευγεν. Ἀλλὰ πρόδηλον καὶ οὐδαμῶς ἀμφίβο- D λον, εἰ μὴ ἑκόντες μεθύομεν, ὡς τοῦ Θεοῦ Λόγου τοῦ δι' ἡμᾶς σαρκωθέντος, ἑνὸς καὶ ἀμερίστου τυγχάνοντος, ἀμέριστος ὑπάρχει καὶ ἡ ἐνέργεια· καὶ ἴδιον ἦν αὐτοῦ τὸ πεζεύειν ἐπὶ τοῦ ὕδατος, ἐν ταυτῷ τὸ θεοπρεπὲς ἔχων καὶ τὸ ἀνθρώπινον. » Ὅτε ταῦτα διελέγετο Σευῆρος, οἶμαι αὐτὸν φαντασιοκοποῦντα παίζειν τοὺς ἀκροατάς. Εἰ μήτε τῆς θείας μήτε τῆς ἀνθρωπίνης φύσεως ἦν τὸ περιπατεῖν ἐπὶ τοῦ ὕδατος, ἢ φαντασία ἦν, ἢ φύσεως, οὔτε θεϊκῆς, οὔτε ἀνθρωπίνης καθαρῶς, ἀλλ' ἐκ τούτων μίγμα οὔσης, καὶ διὰ συγχύσεως ἀποτελεσθείσης. Ὡς μηδ' ὁποτέραν ἀκραιφνῶς σώζεσθαι, δεδόσθαι δὲ τῆς μιᾶς φύσεως, τῆς οἱασδηποτοῦν εἶναι τὸν ἐπὶ τοῦ ὕδατος περίπατον, ἵνα καὶ ἡ ἐνέργεια μία καὶ ἀμέριστος ᾖ. Τὸ ἐπὶ τῆς ξηρᾶς περιπατεῖν, θείας φύσεως ἦν, ἢ ἀνθρω-

πίνης; Οὐδὲν γὰρ θεοπρεπὲς ὁρᾶται, νόμοις ἀνθρωπίνης φύσεως ποδῶν περιπατούντων ἐπὶ τῆς γῆς· ἢ τότε ἐμερίσθη ἡ μία φύσις, καὶ τὴν οἰκείαν ἐνέργειαν καθ' ἑαυτὴν ἐπεδείκνυτο ἡ ἀνθρωπότης ἀπομερισθεῖσα τῆς θεϊκῆς.

'Αλλὰ πρόδηλον, καὶ οὐδαμῶς ἀμφίβολον, εἰ μὴ ἑκόντες μεθύομεν, καὶ παίζομεν τὰ ἄπαικτα, ὅσαι ταπειναὶ λέξεις καὶ ἔργα εἰς τὸ σῶμα τοῦ Κυρίου γεγραμμένα νοεῖν χρή· καὶ ὅσα ἔνδοξα πράγματα εἰς τὴν τοῦ Λόγου θεότητα. Ὅταν *πεινᾷ μετὰ τὸ νηστεῦσαι*, τοῦ σώματος ἐλάττωμα ἦν· ἡνίκα δὲ ἐκ πέντε ἄρτων *πεντακισχιλίους ἄνδρας χωρὶς γυναικῶν* τρέφῃ, καὶ *δώδεκα κοφίνους κλασμάτων* περισσεύῃ, τῆς θεότητος τοῦ Λόγου ἔργον. Ὅταν *ἐπὶ τὸ προσκεφάλαιον ἐν τῷ πλοίῳ καθεύδῃ*, ἀναπαύσεως σωματικῆς ἔργον· ὅταν δὲ *περιπατῶν ἐπὶ τῆς* B *θαλάσσης* ἀπειλῇ τοῖς κύμασι καὶ τοῖς ἀνέμοις, εὐθὺς ἀκούει παρὰ τῶν ἐν τῷ πλοίῳ μεθ' ὅρκου ὁμολογούντων, *'Αληθῶς Θεοῦ Υἱός ἐστιν*. 'Ακόλουθον γὰρ ἦν, ἀναλαβόντα αὐτὸν σῶμα, δεικνύναι τὰ ἴδια τοῦ σώματος, ἵνα μὴ ἡ φαντασία τοῦ ἀθέου Μανιχαίου κρατήσῃ. 'Ακόλουθον δὲ πάλιν ἦν, σωματικῶς αὐτὸν ἐλθόντα, μὴ κρύψαι τὰ τῆς θεότητος· ἀλλ' οὐχ ἅμα πάντα ἐπεδείκνυτο, ἑκάστῳ δὲ καιρῷ καὶ πράγματι ἁρμοζόντως καὶ καταλλήλως. Ὁ μὲν οὖν περίπατος, τῶν τοῦ σώματος ἦν ποδῶν· τὸ δὲ ἐπὶ τῶν ὑδάτων, τῆς θεϊκῆς δυνάμεως ἔργον. Ὡς γὰρ οὐκέτι τὰ τῆς σαρκὸς ἰδιώματα, τῷ ἐν ἀρχῇ ὄντι ἐπιθεωρηθῆναι Λόγῳ, οὕτως πάλιν οὐδὲ τὰ τῆς θεότητος ἴδια, ἐν τῇ τῆς σαρκὸς φύσει κατανοῆσαι. 'Αλλ' ἑκάστου τὸ ἴδιον γινώσκοντες, καὶ ἀμφότερα C ἐξ ἑνὸς πραττόμενα βλέποντες, ὀρθῶς πιστεύομεν.

Πάλιν ἐν τῷ λόγῳ αὐτοῦ, τῷ ἐπιγεγραμμένῳ *Φιλαλήθει*, γράφει· « Εἰ ὁ Λόγος κατεργάζεται τὰ τοῦ Λόγου, τὸ δὲ σῶμα ἐκτελεῖ τὰ τοῦ σώματος, καὶ τὸ μὲν διαλάμπει τοῖς θαύμασι, τὸ δὲ τοῖς πάθεσιν ὑποπέπτωκεν, ἡ κοινωνία τῶν μορφῶν σχετική τίς ἐστι, καὶ ὑπογνωμικῆς διαθέσεως, καθὼς ὁ παραπλὴξ ἔφη Νεστόριος. Εἰ δὲ, ὅπερ ἐστὶν ἀληθὲς, ὁ Λόγος τὴν σάρκα μετεστοιχείωσεν εἰς τὴν ἑαυτοῦ δόξαν τε καὶ ἐνέργειαν, πῶς πάλιν κατὰ τὸν τόμον Λέοντος εἴπωμεν· *Φυλάττει γὰρ ἑκατέρα φύσις ἀνελλειπῶς τὴν ἑαυτῆς ἰδιότητα*; Φαίνεται γὰρ ἐν πολλοῖς ὁ Λόγος μὴ συγχωρῶν τῇ ἰδίᾳ σαρκὶ, διὰ D τῶν τῆς σαρκὸς ἔρχεσθαι νόμων. Ποῦ γὰρ ἴδιον σώματος, βαδίζειν ἐφ' ὕδατος, ἢ μετὰ τὴν ἔκπνευσιν τῇ τρώσει τοῦ δόρατος, αἵματος καὶ ὕδατος ἀναβλύζειν πηγήν; »

Βαβαὶ τῆς κακονοίας τοῦ συκοφάντου καὶ φιλοσκώπτου! Μηδὲν βουλομένου τῶν τοῦ πάπα Λέοντος κατὰ τὸν σκοπὸν αὐτοῦ καὶ ὡς ἔχει ἀληθείας ἐξηγήσασθαι, πάντα δὲ τὰ αὐτοῦ πρὸς διαβολὴν αὐτοῦ καὶ νοοῦντος καὶ λέγοντος. Τοῦ μακαρίου 'Αθανασίου ἐν τῇ πρὸς 'Επίκτητον λέγοντος· « Μᾶλλον γὰρ αὐτῷ τῷ ἀνθρωπίνῳ προσθήκη μεγάλη γέγονεν ἐκ τῆς τοῦ Λόγου πρὸς αὐτὸ κοινωνίας τε καὶ ἑνώσεως. » Ματαία ἡ ἐπίληψις τοῦ μεμψιμοίρου, ἡ περὶ τῆς κοι-

A propriam operationem seorsum exhibuit humanitas a divinitate sejuncta.

At manifestum est et absque ullo dubio certum, nisi libenter insaniamus et seria derideamus, humiles quosque sermones et actus in corpus Domini esse referendos; illustres vero ad ipsam Verbi divinitatem. Quod si *esuriit postquam jejunasset* (*Matth.* IV, 2), corpus sane defecit; quando vero ex quinque panibus, *quinque millia virorum*, *exceptis mulieribus*, saturavit, et *duodecim cophini fragmentorum pleni* superfuerunt (*Matth.* XIV, 20 et 21), divinitatis hoc Verbi opus. Cum *super cervical in navi dormit* (*Marc.* IV, 36 seq.), quiescentis corporis proprium; quando vero *super mare ambulans* fluctibus comminatus est et ventis, statim audit eos qui in navicula erant, cum juramento confiteri: *Vere Filius Dei es* (*Matth.* XIV, 24-33). Decebat enim Verbum, corpore suscepto, ea etiam exhibere quæ corporis sunt, ne impii Manichæi phantasma vinceret. Decebat iterum illud, corpore apparente, non omnino latere quæ divinitatis erant; at non utraque simul conspiciebantur, sed pro temporum et rerum ratione convenienter et vicissim. Ambulatio quidem pedum erat corporis; super aquas vero ambulatio, divinæ potestatis opus. Nam veluti carnis proprietates de Verbo in principio subsistenti cogitari non possunt, ita nec dormitatio propria carnis naturæ tribuenda. Sed si utriusque propria agnoscimus et utraque ex uno facta credimus, recta erit fides nostra.

Scribit etiam in opere quod *Amator veri* vocatur: « Si Verbum operatur quod Verbi est, et caro exsequitur quod carnis est, si unum quidem miraculis coruscat, alterum vero succumbit injuriis (6), communio formarum est mere speciosa, et cogitatione instituta, uti insanus asseruit Nestorius. Si autem, quod verum est, Verbum carnem gloriæ operationisque suæ participem effecit, quomodo rursus juxta Leonis Epistolam dices: *Tenet enim sine defectu proprietatem suam utraque natura?* Sæpius enim videtur Verbum non concessisse carni suæ ut carnis legibus inserviat; nam quo pacto proprium esset corporis super aquam incedere, aut exspirati e corpore per gladium vulnerato, sanguinis et aquæ fontem manare? »

Proh nequitia calumniatoris et cavillatoris! Papæ Leonis Verba ad scribentis mentem et juxta veritatem interpretari nequit, omnia vero ad incusandum eum intelligit et explicat. Beatus Athanasius in epistola ad Epictetum hæc habet: « Potius humano corpori ingens auctorium ex Verbi cum ipso communione et coadunatione accessit. » Vana est igitur insectatoris increpatio de formarum communione. Beatus Cyrillus in epistola ad Succen-

(6) Hæc ad verbum ex epistola sancti Leonis ad Flavianum desumuntur.

sum (7) scribit : « Cum utrumque in sua proprietate naturali permaneat et consideretur. » Eodem sensu dixit papa Leo : « Tenet enim sine defectu proprietatem suam utraque natura. » Proprietatem scilicet corporis humani, ut ipso Severo videtur in scriptis ad Sergium, qua crassis partibus concretum est, tactile, visibile, circumscriptum. Hoc enim per totam epistolam confirmat, Eutychen redarguens, phantasmatis fautorem, et hac de causa negantem verum corpus a Domino fuisse assumptum. Quapropter etiam vocabulum *ex duabus naturis* rejiciebat, et non nisi invitus illud admisit, ut probat synodus à Flaviano Constantinopoli habita.

A νωνίας τῶν μορφῶν. Ὡς δὲ ὁ μακάριος Κύριλλος ἐν τῇ πρὸς Σούκενσον γράφει· « Ἐν ἰδιότητι τῇ κατὰ φύσιν ἑκατέρου μένοντος καὶ νοουμένου. » Οὕτως καὶ ὁ πάπας Λέων ἔφη· « Φυλάττει γὰρ ἑκατέρα φύσις ἀνελλιπῶς τὴν ἑαυτῆς ἰδιότητα. » Ἰδιότητα δὲ σώματος ἀνθρωπίνου εἶπεν, ὡς καὶ Σευήρῳ δοκεῖ ἐν τοῖς πρὸς Σέργιον, τὸ παχυμερὲς, τὸ ἁπτὸν, τὸ ὁρατὸν, τὸ περιγραπτόν. Τοῦτο γὰρ καὶ δι' ὅλου τοῦ τόμου παρίστησιν, ὡς πρὸς Εὐτυχέα ἀποτεινόμενος, νοσοῦντα τὴν φαντασίαν, καὶ διὰ τοῦτο ἀρνούμενον, σῶμα ἀληθινὸν ἀνειληφέναι τὸν Κύριον. Διὸ καὶ τὸ *ἐκ δύο φύσεων* παρῃτεῖτο, βεβιασμένως δὲ ἐδέξατο τὴν φωνὴν, ὡς ἡ ἐπὶ Φλαβιανοῦ ἐν Κωνσταντινοπόλει σύνοδος δηλοῖ.

Cum vellet igitur papa Leo demonstrare non formam tantum corporis, sed verum corpus a Deo Verbo fuisse assumptum et adeo verum, ut et proprietatem servaverit qua pati posset : « In integra igitur veri hominis perfectaque natura, ait, verus natus est Deus, totus in suis, totus in nostris. » Deinde pergit : « Tenet enim sine defectu proprietatem suam utraque natura. » Ut autem intelligamus, quid sibi velit vocabulum *sine defectu*, adjicit : Sicut formam servi forma Dei non adimit, ita formam Dei forma servi non minuit (8). » Per ista *totus in nostris* et *sine defectu*, excluditur omnis imminutio aut imperfectio; non enim substantiarum solum, ait, vel naturarum facta est unio, remanserunt vero citra ullam confusionem et imminutionem ipsæ earum proprietates; retinet igitur utraque natura sine defectu proprietatem suam vel post unionem. Et secundum sanctum Ambrosium : « Sicut nihil defuit Deo, sic nihil defuit perfectioni humanitatis, ut perfectus in utraque natura esset (9). » Quæ autem natura carnis propria sunt Deo Verbo si tribuuntur, id non natura fit, sed dispensationis (incarnationis) ratione.

B Ὁ οὖν πάπας Λέων θέλων δεῖξαι ὅτι οὐ μορφὴν σώματος μόνον, ἀλλὰ σῶμα ἀληθὲς ἀνείληφεν ὁ Θεὸς Λόγος, καὶ οὕτως ἀληθὲς, ὡς καὶ σώζειν τὴν ἰδιότητα ἵνα καὶ πάσχειν δύνηται, εἶπεν· « Ἐν ἀκεραίᾳ τῇ τοιγαροῦν καὶ ἀληθῶς ἀνθρώπου καὶ τελείᾳ φύσει, Θεὸς ἀληθὴς ἐτέχθη, ὅλος ἐν τοῖς αὐτοῦ, καὶ ὅλος ἐν τοῖς ἡμῶν. » Εἶτα ἐπάγει· « Φυλάττει γὰρ ἑκατέρα φύσις ἀνελλιπῶς τὴν ἑαυτῆς ἰδιότητα. » Καὶ ἵνα νοήσωμεν τί ἐστι τὸ, *ἀνελλιπῶς*, ἐπισυνάπτει· « Καὶ ὥσπερ οὐκ ἀναιρεῖ τὴν τοῦ δούλου μορφὴν ἡ μορφὴ τοῦ Θεοῦ, οὕτως τὴν τοῦ Θεοῦ μορφὴν ἡ τοῦ δούλου μορφὴ οὐκ ἐμείωσεν. » Τὸ οὖν, *ὅλος ἐν τοῖς ἡμῶν*, καὶ τὸ, *ἀνελλιπῶς*, μετὰ τῆς μειώσεως κεῖται καὶ τοῦ ἀτελοῦς. Οὐ μόνον γὰρ, φησὶν, οὐσιῶν ἤτοι φύσεων γέγονεν ἕνωσις, ἀλλὰ καὶ ἀσύγ- C χυτοι ἔμειναν καὶ ἀμείωτοι, αὗταί τε καὶ αἱ ἰδιότητες αὐτῶν αἱ ἐπιθεωρούμεναι αὐταῖς. Εἶχεν οὖν ἑκάστη φύσις ἀνελλιπῶς τὴν ἑαυτῆς ἰδιότητα καὶ μετὰ τὴν ἕνωσιν. Καὶ κατὰ τὸν μακάριον Ἀμβρόσιον, « Ὡς οὐδὲν ἔλιπεν τῷ Θεῷ, οὕτως οὐδὲ τῷ καταρτισμῷ τῷ κατὰ τὸν ἄνθρωπον, ἵνα τέλειος ἐν ἑκατέρᾳ φύσει τυγχάνῃ. » Εἰ δὲ καὶ τὰ τῆς σαρκὸς ἴδια κατὰ φύσιν, τοῦ Θεοῦ Λόγου γέγονεν ἴδια, ἀλλ' οὐ κατὰ φύσιν, κατὰ δὲ τὸν τῆς οἰκονομίας λόγον.

Quod si autem propter ambulationem super aquas naturalem corporis proprietatem deficere contendit Severus, iterum instabimus. In deambulatione super terram deficitne naturalis proprietas Dei Verbi? Nulla enim ratione Deo digni pedes terram calcantes. Ita et quando esuriit velut homo, postquam jejunasset, non transmutatis in panes lapidibus; ita quando *fatigatus est ex itinere* (*Joan.* IV, 6), toris et nervis intentis; ita quando *mœstus fuit* (*Matth.* XXVI, 27) *et contristatus* et anxius, quod in his nil apparet quod superam vim divinamque indicet; ita etiam quando a Judæis captus est, nedum eorum de medio invisibilis evolare voluerit, nonne sine defectu divina natura proprietatem suam retinuit? Abeat humana Severi sapientia! Sane carnem suam super aquam carnis legibus incedere non prohibuit Deus Verbum, ut probat pedum ambulatio; at super aquam incedere,

Εἰ δὲ διὰ τὸ περιπατεῖν ἐπάνω τοῦ ὕδατος τὸν Κύριον, ἔλλειψιν λέγει Σευῆρος φυσικῆς ἰδιότητος τοῦ σώματος, παλιλλογοῦντες ἐροῦμεν· Ὅτε ἐπὶ τῆς ξηρᾶς περιεπάτει, ἆρα ἔλλειψις ἦν τῆς φυσικῆς ἰδιότητος τοῦ Θεοῦ Λόγου; Οὐδὲν γὰρ θεοπρεπὲς, πόδας βαδίζειν ἐπὶ γῆς· ὁμοίως καὶ ὅτε ἐπείνασεν D μετὰ τὸ νηστεῦσαι, νόμῳ φύσεως σώματος, ἐπεὶ μὴ ἐποίησεν τοὺς λίθους ἄρτους· καὶ *κεκοπίακεν* δὲ *ἐκ τῆς ὁδοιπορίας* τῶν μυῶν καὶ τῶν νεύρων ὑπερταθέντων· *ἀδημονῶν* δὲ, καὶ *ἐκθαμβούμενος*, καὶ ἀγωνιῶν, ἐπεὶ μὴ κατὰ ταυτὸν τὰ ὑπὲρ φύσιν τῆς θεότητος ἐπεδείκνυτο· καὶ κρατούμενος δὲ ὑπὸ τῶν Ἰουδαίων, ἐπεὶ μὴ ἄφαντος ἐκ μέσου αὐτῶν ἐγένετο, ἆρα οὐκ ἐφύλαττεν ἀνελλιπῶς ἡ θεϊκὴ φύσις τὴν ἑαυτῆς ἰδιότητα; Ἐῤῥέτω ἡ ἀνθρωπάρεσκος σοφία Σευήρου. Πλὴν οὐδὲ ἐπὶ τῶν ὑδάτων ἐκώλυσεν τὴν ἰδίαν σάρκα ὁ Θεὸς Λόγος διὰ τῶν τῆς σαρκὸς ἰέναι νόμων, ὡς ὁ περίπατος τῶν ποδῶν

(7) Epistola secunda ad Succensum.
(8) Desumuntur hæc omnia ex Ep. ad Flavianum.
(9) Epist. XLVIII, 5, ad Sabinum loquitur : « Confiteamur, sicut in Dei forma nihil ei defuit divinæ naturæ, sic in illa forma hominis, nihil ei defuisse, quo imperfectus homo judicaretur. »

δηλοῖ· τὸ δὲ ἐπὶ τῶν ὑδάτων περιπατεῖν, οὐχ ἀφαιρέσεις ἰδιότητος τοῦ σώματος ἦν, ἀλλὰ προσθήκη δυνάμεως ἐξ ἐνεργείας θεϊκῆς. Τὸ οὖν σῶμα ἐξετέλει τὰ τοῦ σώματος, ὁ δὲ Λόγος κατειργάζετο τὰ τοῦ Λόγου, ὡς τὸ θαῦμα βοᾷ.

Ἢ οὐχὶ καὶ αὐτὸς τὰ αὐτὰ λέγει ἐν τῷ λόγῳ αὐτοῦ τῷ εἰς τὰ Γενέθλια ὁ μυριόμορφος· « *Θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε*; τὸ δὲ, *ἐγώ εἰμι*, τῆς ἀληθείας ἐστὶ παραστατικὸν, καὶ πᾶσαν φαντασίαν ἀποσκευάζεται. Ἐγὼ γάρ εἰμι ὁ μὴ τρέψας ἢ ἀλλοιώσας ἑαυτὸν, ἀλλὰ μείνας Θεὸς, ὡς τὸ θαῦμα βοᾷ· καὶ ὁ αὐτὸς κατὰ ἀλήθειαν καὶ γενόμενος καὶ φαινόμενος ἄνθρωπος, ὡς ὁ περίπατος τῶν ποδῶν δηλοῖ. » Καὶ ἐν τῇ πρὸς Ἰουλιανὸν δὲ ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, *Ἐδεξάμην τὴν ὡς παρὰ σοῦ μοι γεγραμμένην ἐπιστολὴν*, λέγει· « Ὥσπερ ὁ θάνατος αὐτοῦ βουλομένου συνέβαινε φυσικῶς, ἐπηκολούθει δὲ ὑπὲρ φύσιν τὸ θεοπρεπὲς θαῦμα τῆς ἀναστάσεως, οὕτω καὶ μετὰ τὴν ἔκπνευσιν, ὡς ὁ εὐαγγελιστὴς Ἰωάννης φησὶ, φυσικῶς τρωθείσης τῇ λόγχῃ τῆς πλευρᾶς· ἴδιον γὰρ σώματος, εἰ καὶ ἀψύχου, τέμνεσθαι, θεϊκὸν δὲ ἐνέργημα καὶ τῶν θεοσημείων τὸ μέγιστον συνήπτετο ῥύσις παράδοξος τοῦ θείου αἵματος, ὕδατι ζωοποιῷ συμμιγής. » Καὶ πάλιν· « Ἰδοὺ πανταχοῦ περὶ τὴν σάρκα τὴν αἰσθανομένην καὶ ἀλγοῦσαν, ὡς πέφυκεν σῶμα ἔμψυχον αἰσθάνεσθαι, καὶ ἀλγεῖν τῶν παθῶν, ἡ ἐνέργεια κατὰ ἀλήθειαν. » Καὶ μετ' ὀλίγα· « Καθ' ὃ Θεὸς ἦν ἀπαθὴς, μηδενὸς τὸ παράπαν συναισθανόμενος τῇ σαρκὶ, ὥστε εἰ καὶ τῆς σαρκὸς ἦν τὰ πάθη, καὶ τῆς ψυχῆς κατὰ φύσιν, ἀλλ' ἴδια τοῦ Λόγου τοῦ σαρκωθέντος τὴν ἐψυχωμένην νοερῶς σάρκα τὴν καὶ πεφυκυῖαν ταῦτα παθεῖν λέγεται. »

Εἰ μία φύσις τοῦ Λόγου καὶ τῆς σαρκὸς, μὴ διάστελλε· ἀλλ' ὡς λέγεις κατὰ φύσιν εἶναι τῆς σαρκὸς καὶ τῆς ψυχῆς τὰ πάθη, δηλονότι ἴδια εἰπὲ καὶ τοῦ Λόγου· εἰ δὲ οὐ τολμᾷς ὁ πάντα τολμῶν, ἄρα ἑτέρῳ τρόπῳ ἴδια τοῦ Λόγου τὰ πάθη, καὶ οὐ κατὰ φύσιν εἰσίν. Πῶς οὖν οὐ δύο φύσεις ὁ Χριστός; Τῇ γὰρ μιᾷ φύσει εἴ τι συμβαίνει φυσικῶς, τοῦτο ἴδιον αὐτῆς κατὰ φύσιν λέγεται· εἴ τι δὲ ὑπὲρ φύσιν, ἐξ ἐνεργείας ἐστὶν ἑτέρας φύσεως. Ὁ δὲ ἀμέριστον εἰπὼν τὴν ἐνέργειαν, ἵνα μίαν φύσιν παραστήσῃ, τὴν μὲν τρῶσιν τῇ πλευρᾷ ἀφώρισεν, φυσικῶς αὐτὴν λέγων τρωθῆναι, καὶ ἴδιον εἶναι τοῦτο σώματος, οὐ θεότητος· θεϊκὸν δὲ ἐνέργημα, οὐ σωματικὸν, τὴν τοῦ αἵματος καὶ ὕδατος ῥύσιν. Τὸ οὖν τρωθὲν σῶμα, καὶ πεφυκὸς ἀλγεῖν, καὶ παθῶν δεκτικὸν, καλῶς εἶπεν ὁ πάπας Λέων *ὑποπεπτωκέναι* τοῖς πάθεσι καὶ *ταῖς ὕβρεσι*, *διαλάμπειν δὲ τοῖς θαύμασι* τὴν θεότητα, τὴν ἀναστήσασαν ὑπὲρ φύσιν τὸ ἴδιον σῶμα. Εἰ δὲ ἡ σὰρξ ἔχει φύσιν δεκτικὴν παθῶν, ἡ δὲ θεότης ἐνεργοῦσαν τὰ ὑπὲρ τὴν φύσιν τοῦ σώματος, ὄντως φυλάττει ἑκατέρα φύσις τὴν ἑαυτῆς ἰδιότητα, καὶ καλῶς ὁμολογοῦνται δύο φύσεις εἶναι τοῦ Χριστοῦ, καὶ τούτων σώζεσθαι ἰδιότητας, ἃς καὶ εἰδέναι ὁμολογεῖ Σευῆρος ἐν τοῖς κατὰ τοῦ Γραμματικοῦ λέγων οὕτως· « Ἴσμεν γὰρ καὶ ὁμολοῦμεν, ὡς ἤδη προείρηται, τῶν φύσεων, ἐξ ὧν ἀποῤῥήτως εἷς Χριστὸς συνενήνεκται, καὶ ἰδιότητα καὶ διαφορὰν καὶ ἑτερότητα ὡς ἐν ποιότητι φυσικῇ, καὶ διιστῶσαν ἀπ' ἀλλήλων τὰς φύ-

A non tollit corporis proprietatem, sed ex divina operatione humanæ addita perficitur. Corpus igitur perficiebat, quæ corporis erant, et Verbum quæ Verbi, uti miraculum manifestius declarat.

Eadem confitetur multiformis hic sophistes in sermone suo in Nativitatem : *Habete fiduciam, ego sum, nolite timere* (*Matth.* XIV, 27). Hoc *ego sum* veritatem demonstrat, et omne phantasma excludit. Ego enim sum, qui neque mutor neque convertor, sed usque Deus maneo, uti miraculum declarat; ipse vere homo factus et visus, uti pedum ambulatio probat. » Dicit etiam in epistola ad Julianum cujus exordium *Epistolam mihi a te conscriptam accepi* : « Siculi mortem libens naturaliter adiit,
B divinum vero resurrectionis miraculum naturæ vires exsuperabat, ita se habuit res : quando defuncti corporis latus, ut narrat Evangelista Joannes (XIX, 33), naturaliter lancea vulneratum est : transfigi enim lancea, corporis erat, vel inanimati, sed divinum opus erat, et prodigiorum maximum, mirabilis divini sanguinis manatio, cum vivificanti aqua permisti. » Et rursus : « Vera ubique operatio in carne sensus et doloris capaci uti corpus animatum decet et sentire et dolere. » Et paulo post : « In quantum Deus, erat impatibilis, nullo modo carnis doloribus motus; carnis sunt naturaliter passiones et animæ, at Verbi incarnati spiritualiter animatam carnem hæc quoque propria pati
C dicitur. »

Quod si una natura Verbi et carnis, noli distinguere; ast ut carnis et animæ dicis naturaliter esse passiones, illas quoque Verbo tribuas : si autem hoc non audes, audacissime, sane alio modo passiones Verbo propriæ sunt et non naturaliter. Qui igitur non duæ naturæ Christus? Nam si uni naturæ quid convenit naturaliter, hoc ipsi juxta naturam proprium dicitur; si vero quod supra naturam, hac operatione fit alterius naturæ. Qui individuam dicit operationem, ut unam naturam confirmet, lateris vulnus denegat, naturaliter illud vulneratum fuisse contendens, et hoc proprium esse corporis, non divinitatis : divina autem operatio, non huma-
D na, sanguinis et aquæ manatio. Vulneratum igitur corpus et ad dolorem natum passionum capax, optime dixit papa Leo, passionibus et *injuriis succumbere; coruscare vero miraculis* divinitatem, proprium corpus supra naturam extollentem. Si caro quidem naturam habet passionibus capacem, divinitas vero naturam ea quæ vires corporis exsuperant perficientem, recte dicuntur duæ inesse Christo naturæ, et istarum retineri proprietates, quas agnoscere non dubitat Severus ipse in libris adversus Grammaticum : « Novimus enim, ait, et confitemur, uti jam dictum est, naturarum e quibus ineffabili modo conjunctus est Christus, proprietatem et differentiam, et ut in qualitate physica, naturasque inter se distinguentem diversitatem; nec tollitur

hæc physica diversitas ac differentia, quia citra nullam confusionem uniuntur. » Attende ab eo *naturas* dici, non *naturam* easque *distinctas*.

Qui autem hic proprietatem ac diversitatem naturarum agnoscit, multis in scriptis eos anathematizat qui hæc profitentur. Qui hic dicit carnis et animæ juxta naturam esse passiones, et morti corpus naturaliter subjici; impatibilem vero esse divinitatem et divinitati tribuendam resurrectionem, idem in sermone suo in Trisagium cujus exordium: *Vos forsan me gaudere putatis*, hæc proferre non dubitavit: « Si autem post unionem in duabus naturis agnoscetur, solvetur unio, binario numero divisa; dividetur mysterium, et divinæ naturæ immortalitatem, humanæ vero mortem tribuemus. » Per omnia ludens, et sibimet nunquam constans, omnia permiscuit quæ divinitati naturaliter propria sunt, et quæ humanitati, confundens ea quæ juxta naturam propria sunt cum iis quæ juxta incarnationem propria; ita ut utraque natura jam non suas proprietates servet. Nos autem hoc effatum Gregorii Nysseni memorabimus in quarto sermone adversus Eunomium prolatum: « Nam si eos qui naturæ humanæ passionem attribuunt accusat, ipsam omnino divinitatem passioni vult subjicere. »

Ad saniora revocati verba forsan potius proferent quæ adversus Julianum edidit: « Non dicimus eum passiones impatibili divinitatis substantiæ attribuere. » Ita omnia confundit hic doctrinarum turbator; quando Docetis adversatur, propria naturarum eis objicit qui propria naturarum verentur; et quæ de una et ab una persona dicta sunt impugnat, quasi de una et ab una natura intelligerentur. Nam sæpius naturæ et personæ differentiam non agnoscit, ut copiam habeat ubique omnes incusandi, turbarum hic et ineptiarum amator. Quod si autem jam nulla inter personam et naturam differentia, quotiescunque naturas pluraliter dicit, aut naturam et naturam, aut personas intendit. In sermone ejus in Electionem, cujus exordium: *Navem forte solventi ad medium flumen*, ait: « Quando hominum oculis apparuerit et semetipsum sponte pro nobis exinaniverit, ipse nobis scala factus est, humi propter peccata et Adami lapsum jacentes in cœlum deducens, et porta cœli illustris, Patrem nobis revelans et seipsum et Spiritum sanctum, et in sancta Trinitate Deitatem. »

Quæ dixit sanctæ synodo adhærens quæ idem statuerat; nam Patris et Filii et Spiritus sancti perfectionem, docet, et inhumanationem profert fideliter suscipientibus. Quod si synodus quaternarium numerum professa est, Severus senarium admisit in suo sermone in illud: *Domine mi*, cujus exordium: *Quidam dividentium forte*: « *Verumtamen non sicut ego volo, sed sicut tu* (*Matth.* XXVI, 39). Quæ non timore, sed nos docendi gratia dicta

A σεις· καὶ πάλιν τῆς φυσικῆς ἑτερότητος καὶ διαφορᾶς μὴ σβεσθείσης, διὰ τὸ ἀσύγχυτον τῆς ἑνώσεως. » Πρόσσχες ὅτι *διίστασθαι* λέγει, καὶ οὐ *τὴν φύσιν*, *ἀλλὰ τὰς φύσεις*.

Ὁ δὲ ὁμολογῶν ἐνταῦθα καὶ ἰδιότητα καὶ ἑτερότητα τῶν φύσεων, ἐν πολλοῖς αὐτοῦ λόγοις ἀναθεματίζει τοὺς ὁμολογοῦντας ταῦτα. Καὶ ὁ λέγων τῆς σαρκὸς εἶναι καὶ τῆς ψυχῆς κατὰ φύσιν τὰ πάθη, καὶ φυσικῶς συμβῆναι τῷ σώματι τὸν θάνατον, ἀπαθῆ δὲ τὴν θεότητα, καὶ θεοπρεπῆ τὴν ἀνάστασιν, ἐν τῷ Λόγῳ αὐτοῦ τῷ εἰς τὸ Τρισάγιον, οὗ ἡ ἀρχὴ, *Ὑμεῖς ἴσως οἴεσθέ με γεγηθέναι*, φησίν· « Εἰ δὲ μετὰ τὴν ἕνωσιν ἐν δυσὶ φύσεσι γνωρισθήσεται, λύεται μὲν ἡ ἕνωσις, τῇ δυάδι διαιρεθεῖσα· μερισθήσεται δὲ τὸ
B μυστήριον· καὶ τῇ μὲν θείᾳ φύσει τὴν ἀθανασίαν, τῇ δὲ ἀνθρωπίνῃ τὸν θάνατον ἀποκληρώσομεν. » Ὁ πάντα παίζων καὶ ἐπὶ μηδενὸς ἱστάμενος, ἔφυρεν πάντα τά τε τῆς θεότητος ἴδια κατὰ φύσιν, καὶ τὰ τῆς ἀνθρωπότητος ἴδια κατὰ φύσιν, παρασκευάζων τὰ κατὰ φύσιν ἴδια, ὡς τὰ κατ' οἰκονομίαν ἴδια θεωρεῖν· ὡς μηκέτι σώζεσθαι ἑκάστῃ φύσει τῶν οἰκείων αὐτῆς ἰδιωμάτων· ἡμεῖς δὲ ὑπομνήσωμεν αὐτὸν τὸ γεγραμμένον τῷ Νυσσαεῖ ἐν τῷ κατ' Εὐνομίου τετάρτῳ (potius πέμπτῳ) λόγῳ· « Εἰ γὰρ αἰτιᾶται τοὺς τὸ πάθος τῇ ἀνθρωπίνῃ φύσει ἀνατιθέντας, βούλεται πάντως αὐτὴν τῷ πάθει ὑπαγαγεῖν τὴν θεότητα. »

Ἴσως ἐντραπέντες οἱ αὐτοῦ βεβαιώσουσι μᾶλλον τὸ λεχθὲν αὐτῷ κατὰ Ἰουλιανοῦ· « Οὐκ ἐροῦμεν αὐτὸν πάθη περιάπτειν τῇ οὐσίᾳ τῇ ἀπαθεῖ τῆς θεό-
C τητος. » Οὕτως ὁ φύρτης πάντα συγχέει, τοῖς Δοκήταις δῆθεν ἀντιλέγων, τὰ ἴδια τῶν φύσεων προβάλλεται τοῖς τὰ ἴδια τῶν φύσεων πρεσβεύουσιν, μαχόμενος τὰ ὡς ἐφ' ἑνὸς καὶ ἀπὸ ἑνὸς προσώπου λεγόμενα, ὡς ἐπὶ μιᾶς καὶ ἀπὸ μιᾶς φύσεως ἀντικαθιστᾷ. Ἔστιν γὰρ ὅτε φύσεως καὶ προσώπου οὐκ οἶδεν διαφορὰν, ἵνα ἔχῃ ἄδειαν πάντοτε πᾶσι μάχεσθαι, ὡς φιλοτάραχος καὶ καὶ φιλοσκώπτης· εἰ δὲ οὐκέτι φύσεως καὶ προσώπου διαφορὰ, ὁσάκις ἐὰν λέγῃ φύσεις πληθυντικῶς, ἢ φύσιν καὶ φύσιν, [forte ἢ] καὶ πρόσωπα λέγει. Ἐν τῷ λόγῳ τῷ εἰς τὴν Χειροτονίαν αὐτοῦ, οὗ ἡ ἀρχὴ, *Ἀπαίροντί ποτε πρὸς τὴν μέσην τῶν ποταμῶν*, λέγει· « Ἡνίκα δ' ἂν ἐπιλάμψῃ τοῖς ἐπὶ γῆς καὶ τὴν ἑκούσιον κένωσιν δι' ἡμᾶς καταδέξηται, αὐτὸς ἡμῖν κλίμαξ γενήσεται, τοὺς χαμαὶ
D κειμένους ὑπὸ τῆς ἁμαρτίας καὶ τῆς τοῦ Ἀδὰμ παραβάσεως ἀνάγων εἰς οὐρανὸν, καὶ πύλη περιφανὴς οὐράνιος, ἀποκαλύπτων ἡμῖν τὸν Πατέρα καὶ ἑαυτὸν, καὶ τὸ ἅγιον Πνεῦμα, καὶ τὴν ἐν τῇ ἁγίᾳ Τριάδι Κυριότητα. »

Ταῦτα ἔφη ὁ τῆς ἁγίας συνόδου ἐπιλαβόμενος εἰπούσης· περί τε γὰρ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος ἐκδιδάσκει τὸ τέλειον, καὶ τοῦ Κυρίου τὴν ἐνανθρώπησιν τοῖς πιστῶς δεχομένοις παρίστησιν. Εἰ οὖν ἡ σύνοδος τετράδα εἶπεν, Σευῆρος ἑξάδα λέγει ἐν τῷ λόγῳ αὐτοῦ τῷ εἰς τὸ, *Θεέ μου*, οὗ ἡ ἀρχὴ, *Ἴσως τινὲς τῶν διατεμνόντων*, ἔφη· « *Πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ*· ὅτι γὰρ διδασκαλίας ἦν ταῦτα, καὶ οὐ δειλίας, μαρτυρήσει σαφῶς ἡ τῶν Εὐαγ-

γελίων Γραφή· πῶς γὰρ ἔμελλεν δεδιέναι τὸν θάνατον ὁ μετὰ ἐπιθυμίας ἄκρας ἐπὶ τοῦτον ἐρχόμενος καὶ λέγων, *Ἐπιθυμίᾳ ἐπεθύμησα φαγεῖν τὸ Πάσχα τοῦτο;* » Εἶτα συνήθως ἀντιφθεγγόμενος ἑαυτῷ ἐν τῷ πρὸς Σέργιον δευτέρῳ λόγῳ, γράφει· « Ὁ γὰρ Ἐμμανουὴλ καθ' ὃ μὲν Θεὸς, δοκήσει πέπονθεν· καθ' ὃ δὲ ἄνθρωπος, ἀληθείᾳ. » Καὶ ἐν τῷ δευτέρῳ δὲ τῷ κατὰ Ἰωάννου τοῦ γραμματικοῦ, λέγει· « Τὸν αὐτὸν μὲν καθ' ὃ Θεὸς ἦν, μὴ δεδιέναι τὸν θάνατον· καθ' ὃ δὲ ἄνθρωπος ἦν, οἰκειωσάμενον καὶ τὸ μὴ θέλειν ἀποθανεῖν, καὶ ἑκουσίως ἐφέντα τῇ σαρκὶ τὸ φυσικὸν καταδέξασθαι πάθος. » Ὀλίγα ἀπὸ πολλῶν παρεθέμην, παραστῆσαι βουλόμενος τὸ καὶ πρὸς ἑαυτὸν ἀσύμφωνον τοῦ ἀνδρός· καὶ ὅτι τὰ φυσικὰ τῆς σαρκὸς, ἄλλα λέγων παρὰ τὰ φυσικὰ τῆς θεότητος ἀναθεματίζει τὰς δύο φύσεις λέγοντας, μᾶλλον δὲ ἑαυτόν. Καὶ αὐτὸς γὰρ δύο φύσεις οἶδεν ἐν τῷ Χριστῷ, καὶ ταύτας ὑφισταμένας καὶ μενούσας· καὶ πάλιν οὐκ οἶδα ὅπως εἰς μίαν συναλείφει αὐτὰς, καὶ καταγινώσκει πάλιν τῶν εἰς μίαν συναγόντων καὶ συναλειφόντων αὐτὰς, ὡς προαποδέδεικται. Εἰ δὲ μία φύσις ὁ Χριστὸς, περιττὸν τὸ λέγειν, *καθ' ὃ* καὶ *καθ' ὃ*, καὶ *σαρκὸς φύσιν* καὶ *θεότητος φύσιν*, καὶ τῷ πεφυκότι πάσχειν, καὶ τῷ μὴ πεφυκότι πάσχειν· ταῦτα γὰρ ἐπὶ δύο φύσεων λέγεται.

Ἐπεὶ λεγέτω ὁ σοφιζόμενος περιττὰ, εἰ φυσικὸν, ἢ πεφυκός τί ἐστιν ἄνευ φύσεως, ὁ λέγων μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην καὶ ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ, καὶ μὴ ὁμολογῶν δύο φύσεις, ὅμοιός ἐστι τῷ λέγοντι ἓν ἥμισυ, τρίτον ἕκτον· ταῦτα δὲ ἐν ὁμάδι μὴ θέλοντι εἰπεῖν δύο. Ὅταν λέγῃ Σευῆρος ἐν τοῖς κατὰ Ἰουλιανοῦ· « Τὰ πάθη τὰ ἑκούσια καὶ ἀδιάβλητα, κατὰ τοὺς τῆς φύσεως νόμους ἐνδιδόντος τοῦ Θεοῦ Λόγου, τὸ σῶμα ἔπασχεν· τὰ θαύματα δὲ πάλιν δι' αὐτοῦ τοῦ σώματος ὑπὲρ τοὺς τῆς φύσεως νόμους ἀπετέλει τότε καὶ ἐπράττετο. » Τὰ γὰρ σημεῖα καὶ παράδοξα τὰ ὑπὲρ τὴν μίαν φύσιν ταύτην τὴν τῶν παθῶν δεκτικὴν, τὰ πέρα τῆς φύσεως ταύτης, πῶς ἢ πόθεν ἐγίνετο; Καὶ ἀναγκασθήσεται, ὡς οἶμαι, ἢ κατὰ φαντασίαν εἰπεῖν, ἢ ἐξ ἑτέρας φύσεως. Σευῆρος, ὡς τὰ συγγράμματα αὐτοῦ δηλοῖ, δύο φύσεις λέγει καὶ μίαν, ταῖς μὲν τὴν ἀλήθειαν δυσωπῶν, τῇ δὲ τοὺς διδασκάλους αὐτοῦ ἀφοσιούμενος τοὺς φαντασιαστὰς, Τιμόθεον τὸν Αἴλουρον καὶ Διόσκορον· καὶ Τιμοθέου μὲν ἡ δόξα προδεδήλωται, τὴν δὲ Διοσκόρου γνώσονται οἱ ἀγνοοῦντες ἐκ τῆς ἐπιστολῆς αὐτοῦ τῆς γραφείσης ἀπὸ Γαγγρῶν, ἐν ᾗ γράφει ταῦτα· « Ὁ μονογενὴς τοῦ Θεοῦ Υἱὸς Λόγος, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, γενόμενος ἄνθρωπος χωρὶς ἁμαρτίας καὶ τροπῆς, τοῖς ἀνθρωπίνοις κεκοινώνηκε πάθεσιν, οὐ κατὰ φύσιν, ἀλλὰ κατὰ χάριν. » Καὶ πάλιν· « Εἰ μὴ τὸ αἷμα τοῦ Χριστοῦ κατὰ φύσιν Θεοῦ ἐστιν, καὶ οὐκ ἀνθρώπου, τί διαφέρει τοῦ αἵματος τῶν τράγων καὶ μόσχων καὶ τῆς σποδοῦ τῆς δαμάλεως; Καὶ τοῦτο γὰρ γήϊνον καὶ φθαρτὸν, καὶ τὸ αἷμα τῶν κατὰ φύσιν ἀνθρώπων γήϊνον καὶ φθαρτόν. Ἀλλὰ μὴ γένοιτο ἑνὸς τῶν κατὰ φύσιν λέγειν ἡμᾶς ὁμοούσιον τὸ αἷμα Χριστοῦ! »

A fuisse testatur manifeste ipsa Evangeliorum narratio; quo enim pacto mortem reformidavisset, qui summo cum studio eam adibat, et cum his verbis: *Desiderio desideravi hoc Pascha manducare* (*Luc.* XXII, 15). » Deinde pro more suo sibimet pugnans scribit in secundo sermone ad Sergium: « Emmanuel, in quantum Deus erat, specie passus est; sed in quantum homo, vere. » Et in secundo libro adversus Joannem grammaticum: « Ipse, in quantum Deus erat, mortem non reformidabat; in quantum vero homo erat, ipsius erat mortem abhorrere, et libenter incarnatum decebat naturali dolore commoveri. » Pauca de multis protulimus, ut appareat quantum sibimetipsi pugnet homo. Naturam carnis a natura divinitatis licet B distinguat, anathematizat eos qui duas naturas profitentur, ac maxime seipsum. Nam ipse duas in Christo naturas agnoscit, easque subsistentes ac permanentes. Nunc quidem ipse eas nescio quo pacto in unam redigit, et nunc eos carpit qui illas in unam cogunt et redigunt, uti probatum est. Quod si una Christi natura, supervacuum dicere *in quantum* et *in quantum*, aut *natura carnis* et *natura divinitatis*, aut *ad passiones natum* vel *non natum*: hæc enim ad duas naturas spectant.

At dicat supervacuorum sermonum amator, si quid naturale est aut natum absque natura. Unam asserens naturam Dei Verbi incarnatam et anima rationali spiritualique animatam, duas vero naturas negans, similis est homini qui sesquilibram C et tres sextantes diceret, hæc autem in summa duas vocare recusaret. In libris adversus Julianum hæc habet Severus: « Corpus passiones ferebat, quas libenter et absque ulla reprehensione Deus Verbum juxta naturæ leges pertulit; ipsum vero miracula perficiebat, et operabatur quæ per idem corpus supra naturæ leges edidit. » Signa illa splendida quæ unam hanc passionum capacem naturam exsuperant, quæ vires hujus naturæ excedunt, quomodo et a quo fiunt? Contendat oportet, credo, ea vel per phantasma tantum fieri, vel per aliam naturam. Severus igitur, uti tractatus ejus probant, duas naturas confitetur et unam; illas quidem veritate victus, unam vero magistris suis D Phantasianistis consecratus, Timotheo, Æluro et Dioscoro. Timothei doctrina omnibus nota est; Dioscori autem opiniones cognoscent qui eas ignorant, ex epistola quam a Gangris scripsit. Hic enim ita loquitur: « Unigenitus Dei Filius Verbum, Dominus noster Jesus Christus, homo absque peccato et mutatione factus, humanis passionibus subjectus est, non natura, sed gratia. » Et rursus: « Nisi sanguis Christi natura Dei erit, non hominis, quid differet a sanguine hircorum et vitulorum et a cinere bovis? Hic enim terrenus ac corruptibilis, at terrenus quoque ac corruptibilis sanguis eorum qui natura homines sunt. Nolint ergo dicere qui natura homines sunt, nobis consubstantialem esse sanguinem Christi. »

Dioscorus hic et Timotheus magistri sunt Severi. Ab illis unam naturam accepit, rejectis quibusdam eorum figmentis, eamque nostris doctrinis illustravit, meretricium corpus modestis vestibus exornans. Vocabulum quidem *unius* ut patriam hæreditatem retinuit, sententiis vero illud involvit, quæ non nisi duabus naturis conveniunt. Reipsa duas naturas confirmat, vocabulum autem *duarum* plerumque respuit. Unde nusquam sibi constat in interpretationibus suis. Regiam viam cum insistere noluerit, huc atque illuc circumvagatur et circumjactatur, asseclas suos secum circumducens. Sibimet semper pugnans, Eutychen anathematizat, Dioscorum vero suscipit, ejusque pugnas reveretur et magni facit, quas pro Eutyche ad exitum et damnationem et mortem usque pertulit.

Quod si quis dixerit emendatos libros Eutychen Dioscoro tradidisse et hac de causa ab eo fuisse defensum, mentitur. In libro enim quem Dioscorus accepit non emendationes inerant, sed increpationes in beatum Flavianum quod anathematibus suis orthodoxum istum virum ex teneris annis damnaverat. Sed concedamus etiam librum Eutychis emendatum fuisse. Si eum lapsus pœnitebat, qui Flavianum trucidavit, hanc unam ob causam quod lapso Eutychi non pepercerat? Cur eum Severus damnat, quem Dioscorus pœnitentem suscepit? Ipse etiam Dioscorus dum negat sanguinem Christi humanæ naturæ consubstantialem, nonne declarat se non corpus unam Christi naturam professurum? At Timotheus quoque solam Christi divinam naturam agnoscit, carnem vero neque naturam neque substantiam vocat; ita nil præter nomen carnis uterque confitetur. Uterque igitur ingenio suo indulgens, unam naturam docuit, et eos qui Eutychen anathematizaverant insectatus est.

Severus vero dum a magistris suis abhorrens corpus Christi nobis consubstantiale profitetur, et duas in Christo naturas agnoscit, et has vel post unionem differentes et diversas et inconfusas, animamque in mortis momento secessisse, hoc est, totum fuisse divisum putat (nam recessit anima e corpore, divinitas tantum utrique erat substantialiter unita), dum talia docet, discernat æquus judex an merito unam hic defendat naturam, virosque damnet duas naturas confessos. Attamen in libris adversus Grammaticum, ad majus sui ipsius dedecus et judicium, ait: « Duo ex quibus est unio, facta unione, non nisi mente et ex pacto ab invicem distinguuntur; nam nunquam desierunt duas efficere hypostases. » Audiat sanus insanientem: quæ mente sentiebat, ore declaravit: Duæ hypostases non desierunt vel post unionem; sed sunt duæ. Deinde hæc ita se habere confirmans eodem libro dicit: « Unam Dei Verbi hypostasin cogitatione tantum distinctam, et unam

A Οὗτος Διόσκορος καὶ Τιμόθεος, οἱ τοιοῦτοι διδάσκαλοί εἰσιν Σευήρου, ἐξ ὧν τὴν μίαν φύσιν παραλαβὼν, τισὶ δὲ τῶν νοημάτων αὐτῶν ἀπαρεσκόμενος, τὰ ἡμέτερα νοήματα περιέπλασεν αὐτῇ, τὸ πορνικὸν σῶμα τῷ σωφρονικῷ ἐνδύματι καλλωπίζων. Καὶ τὴν λέξιν μὲν [τὴν *μίαν*] ὡς πατρῷον κλῆρον φυλάττων, τὰς δηλωτικὰς δὲ ἐννοίας τῶν δύο φύσεων περιτιθεὶς αὐτῇ· καὶ ἐπὶ μὲν τῶν πραγμάτων δύο φύσεις παριστῶν, αὐτὴν δὲ τὴν λέξιν τὴν *δύο* παραιτούμενος τὰ πολλά. Ὅθεν καὶ τὸ ἄστατον αὐτῷ πρόσεστιν ἐν ταῖς ἐξηγήσεσι· τῇ γὰρ βασιλικῇ ὁδῷ μὴ βουληθεὶς πορευθῆναι, ἄνω καὶ κάτω περιπλανᾶται καὶ περικρούεται, συμπεριάγων τοὺς ἀκολουθοῦντας αὐτῷ· ὡς μηδὲν ἀκόλουθον πράττων, Εὐτυχέα μὲν ἀναθεματίζει, Διόσκορον δὲ ἀποδέχεται, καὶ
B τούτου τοὺς ἀγῶνας τιμᾷ καὶ ἀσπάζεται, οὓς ἠγωνίζετο ὑπὲρ Εὐτυχοῦς μέχρι καθαιρέσεως καὶ ἀναθεματισμοῦ καὶ ἐξορίας.

Εἰ δέ τις εἴποι ὅτι μεταμελητικοὺς λιβέλλους ἐδέξατο Διόσκορος παρὰ Εὐτυχοῦς, καὶ διὰ τοῦτο ὑπερήσπισεν αὐτοῦ, ψεύδεται. Ὁ γὰρ λίβελλος ὁ ἐπιδοθεὶς αὐτῷ παρ' ἐκείνου, οὐ μεταμέλειαν ἔχει, ἀλλὰ μέμψιν κατὰ τοῦ μακαρίου Φλαβιανοῦ ὅτι καθεῖλεν ἀναθεματίσας αὐτὸν ἐξ ἁπαλῶν ὀνύχων ὀρθόδοξον ὄντα αὐτόν. Δεδόσθω δὲ μεταμέλειαν ἔχειν τὸν λίβελλον Εὐτυχοῦς. Εἰ μετάμελος ἐπὶ πταίσματι γέγονεν, τίνος οὖν χάριν Φλαβιανὸν ἐφόνευσεν τὸν ἀναθεματίσαντα Εὐτυχέα ἔτι πταίοντα; Ὃν δὲ Διόσκορος ἐδέξατο μεταμεληθέντα, Σευῆρος διὰ
C τί ἀναθεματίζει; Καὶ Διόσκορος μὲν ὡς μὴ ὁμολογῶν ὁμοούσιον τῶν κατὰ φύσιν ἀνθρώπων τὸ αἷμα Χριστοῦ, δῆλον ὅτι οὐδὲ τὸ σῶμα εἰκότως μίαν φύσιν λέγει Χριστοῦ. Ὁμοίως καὶ Τιμόθεος τὴν θεϊκὴν μόνον οἶδεν φύσιν Χριστοῦ, τὴν δὲ σάρκα οὔτε φύσιν οὔτε οὐσίαν· ὡς εἶναι παρ' αὐτοῖς ὄνομα μόνον σαρκός· ἀμφότεροι οὖν ἀκολουθοῦντες ἑαυτοῖς, μίαν φύσιν ἐδογμάτισαν, καὶ ἠγωνίσαντο κατὰ τῶν ἀναθεματιζόντων Εὐτυχέα.

Σευῆρος δὲ ὁμοούσιον ἡμῖν ὁμολογῶν τὸ σῶμα Χριστοῦ ἐξεναντίας τῶν διδασκάλων αὐτοῦ, καὶ φύσεις ὀνομάζων ἐπὶ Χριστοῦ, καὶ σκοπῶν ταύτας μετὰ τὴν ἕνωσιν, καὶ διαφορὰν, καὶ ἑτερότητα, καὶ τὸ ἀσύγχυτον, καὶ χωρισμὸν τῆς ψυχῆς ἐν τῷ καιρῷ
D τοῦ θανάτου, ὅ ἐστι τοῦ ὅλου μερισμὸς (ἐχωρίσθη γὰρ ἡ ψυχὴ ἐκ τοῦ σώματος μόνον· ἡ γὰρ θεότης ἑκατέρῳ κατ' οὐσίαν ἥνωτο), εἰ εὐλόγως μίαν φύσιν πρεσβεύει, ἀναθεματίζει δὲ τοὺς λέγοντας δύο φύσεις, κρινάτω ὁ ἀπροσπαθῶς δικάζων. Καίτοι γε ἐν τοῖς κατὰ τοῦ Γραμματικοῦ πρὸς πλείονα αὐτοῦ ἔλεγχον καὶ κατάκρισιν ἔφη· « Ὥστε τὰ δύο τὰ ἐξ ὧν ἡ ἕνωσις, ἐν τῷ συντεθεῖσθαι τῷ νῷ μόνον ἀπ' ἀλλήλων συνθέτως διακρινόμενα· μεταβέβληται γὰρ οὐδαμῶς μὴ εἶναι δύο καὶ ταῖς ὑποστάσεσιν. » Ἀκουέτω ὁ νήφων τοῦ μεθύοντος, ἅπερ ὁ νοῦς διέκρινεν, διὰ τοῦ στόματος ἐφανέρωσεν, ὅτι αἱ δύο ὑποστάσεις οὐ μετεβλήθησαν καὶ κατὰ τὴν ἕνωσιν, ἀλλ' εἰσὶ δύο. Εἶτα ἐπασφαλιζόμενος ταῦτα οὕτως ἔχειν, ἐν αὐτῇ τῇ βίβλῳ λέγει· « Τὴν τῇ θεωρίᾳ μόνον δια-

κρινομένην μίαν ὑπόστασιν τοῦ Θεοῦ Λόγου, καὶ τὴν μίαν ὑπόστασιν τῆς ἐψυχωμένης νοερῶς, καὶ ἐκ τῆς Θεοτόκου ληφθείσης σαρκὸς ἐν τῇ συνθέσει σκοπουμένας ἀναλλοιώτους, καὶ μεινάσας τοῦτο ὅπερ εἰσίν.» Εἰ μὲν τὰ διακρινόμενα τῇ θεωρίᾳ, τῇ θεωρίᾳ μόνον καὶ ὑφίστασθαι λέγει, πάντα φαντασίαν οἶδεν· εἰ δὲ αἱ ὑποστάσεις οὐσιώδεις εἰσὶ, δύο οὐσίας λέγων τοῦ Χριστοῦ, τί φλυαρεῖ λογομαχῶν, καὶ μηδὲν ἄλλο οὕτω καλῶς εἰδὼς, ὡς τὸ κακῶς λέγειν τοὺς λέγοντας δύο φύσεις ὡς καὶ αὐτὸς, καὶ μὴ διαιροῦντας πραγματικῶς, ἀλλὰ κατ' ἐπίνοιαν μόνον;

Εὑρίσκω δὲ Σευῆρον δύο μὲν φύσεις εἰδότα τὸν Χριστὸν καθ' ὕπαρξιν μίαν, μίαν δὲ λέγοντα ταύτας φαντασίᾳ καὶ μόνον ἐπὶ καταστροφῇ τῶν πειθομένων αὐτῷ. Εἰ γὰρ ἐν τῇ συνθέσει ἔμειναν αἱ ὑποστάσεις ὅπερ εἰσὶν, εἰσὶ δὲ δύο, καὶ οὐδαμῶς μεταβέβληνται μὴ εἶναι δύο, καὶ ταῖς ὑποστάσεσι καὶ τῷ νῷ θεωροῦνται δύο, πρόδηλον ὅτι κατὰ τὴν ἕνωσιν. Οὕτω γάρ ἐστιν ἐν τῇ συνθέσει, καὶ εἰσὶ καθ' ὕπαρξιν, καὶ σκοποῦνται ὅπερ εἰσὶ, καὶ ὀνομάζονται κατ' αὐτὸν Σευῆρον· ἡ δὲ λεγομένη μία φύσις, ἐπινοίᾳ μόνον; ἀληθέστερον δ' εἰπεῖν ὑπονοίᾳ ἀνθρώπων καὶ ἀναπλασμῷ λέγεται μὲν, ἔστι δὲ οὐδέν. Δύο γὰρ λόγους περὶ τοῦ αὐτοῦ πράγματος ἐναντίους ἀλλήλοις, ἀληθεῖς εἶναι, φύσιν οὐκ ἔχει.

Εἰ δέ τις εἴποι ὅτι καὶ δύο εἰσὶ καὶ μία, ὡς μὲν μέρη ὅλου, καὶ ὡς συστατικαὶ ἀποτελέσματος δύο εἰσίν· οὐδὲ γὰρ ἐνδέχεται τὸ ἀποτέλεσμα εἶναί τι, εἰ μὴ αἱ συστατικαὶ αὐτοῦ μένουσιν· οὐδὲ τὸ ὅλον εἶναι ὅλον, εἰ μὴ τὰ μέρη μένουσιν· ὡς δὲ ὅλον καὶ ὡς ἀποτέλεσμα, μία φύσις ἐστίν. Ἀκουέτω ὁ τοιοῦτος, ὅτι οὐ τοῦτο βούλονται οἱ δίγλωσσοι ὄφεις· ἦ γὰρ ἂν φορητὸν ἦν. Ἀλλ' ἐπ' ἀναιρέσει τῶν δύο τὴν μίαν καὶ ἐπενόησαν καὶ προβάλλονται. Διὸ καὶ ἀναθεματίζουσι τοὺς λέγοντας δύο φύσεις μετὰ τὴν ἕνωσιν· καίτοι γε τῇ ἀκολουθίᾳ τῶν πραγμάτων συνελαυνόμενοι λέγειν καὶ αὐτοὶ πολλάκις δύο φύσεις, ὡς ἀποδέδεικται. Πλὴν ὡς ἔφη ὁ μακάριος Γρηγόριος ὁ Νυσσαεὺς πρὸς Ἀπολινάριον· « Πῶς μία αἱ δύο φύσεις εἰσί; » Καθὼς γὰρ ἔφη αὐτὸς Ἀπολινάριος ἐν τῷ κατὰ *Κεφαλαίων* βιβλίῳ, ὁ μάλιστα κρατύνων τὴν λέξιν ταύτην· « Τὸ ἁπλοῦν ἕν ἐστι, τὸ δὲ σύνθετον οὐ δύναται ἓν εἶναι. » Εἰ οὖν τὸ σύνθετον οὐ δύναται ἓν εἶναι, ἐπεὶ [forsan ἀληθῶς] οὐκέτι σύνθετον, τὸ ἐκ δύο συγκείμενον, καὶ ἔχον τὰ δύο ἐν ἑαυτῷ, καὶ ταῦτα ὂν ἅπερ συνέθηκεν αὐτὸ, πῶς δύναται ἓν εἶναι καὶ λέγεσθαι, εἰ μή τί γε προσώπῳ; Διὸ καλῶς εἰρήκασιν οἱ Πατέρες, δύο μὲν φύσεις εἶναι τὸν Χριστὸν, διὰ τὸ ἐξ αὐτῶν συνεστάναι καὶ συγκεῖσθαι, καὶ ταῦτα εἶναι. Αὐτὸ δὲ τὸ σύνθετον, οὐ καθ' ὃ σύνθετόν ἐστιν, ἀλλὰ καθ' ὃ ἀποτέλεσμα, ἓν πρόσωπον. Ἵνα μήτε τὰ ἐξ ὧν ἀνέλωσιν, ἀλλ' ὡς καθ' ὕπαρξιν μένοντα καὶ ἐξονομάσωσι, καὶ τὴν τούτων εἰς ἑνότητα ἤτοι εἰς ἓν πρόσωπον συνδρομὴν ὁμολογήσωσι. Δεῖ γὰρ καὶ τὰ μέρη τοῦ ὅλου μέρη ὀνομάζεσθαι, καὶ τὸ ὅλον μὴ μέρος λέγεσθαι, ἀλλὰ ὅλον.

A hypostasin carnis intelligenter animatæ et ex Deipara assumptæ in conjunctione immutatas considerari et manentes id quod sunt. » Quod si cogitatione distincta, cogitatione tantum subsistere dicuntur, omnia phantasma; et si hypostases substantiales, duas asserens ipse Christo substantias, cur tot argutiis certat, nihil antiquius habens quam viros insectari duas naturas, sicut ipse, confitentes, easque non actu sed cogitatione solum distinguentes?

Severus quidem, me judice, duas naturas agnoscit secundum unam essentiam, unam vero dicit illas simulate tantum et ad perdendos asseclas suos.
B Nam si in conjunctione duæ hypostases id remanserunt quod erant, ac duæ sunt, et nunquam desierunt esse duæ, et hypostasibus ac mente duæ videntur, manifestum est eadem vel post unionem valere. Ita enim res se habet in conjunctione, ac sunt secundum essentiam, et cogitantur quod sunt, et vocantur juxta Severum. Una vero illa natura, cogitatione tantum, aut, ut rectius dicam, conjectura tantum hominum et figmento dicitur, revera nihil est. Natura enim non datum est, duas de una re enuntiationes pugnantes et inter se contrarias simul esse veras.

Quod si quis dixerit illos simul esse duas et unam, quasi duo sunt unius membra, aut duæ partes rem unam componentes; ut enim nihil est
C res composita nisi partes maneant; nec totum jam est totum, nisi membra persistant, ita etiam de una natura valere: audiat iste, non hoc sibi velle bilingues serpentes; quod enim ferri posset. Sed duabus evanescentibus, unam excogitant et confirmant. Quapropter etiam eos anathematizant qui duas naturas post unionem dicunt; licet ipsi rerum vi sæpius cogantur duas naturas profiteri; uti probatum est. Cæterum ut Gregorius Nyssenus ad Apolinarium dixit: « Quomodo igitur duæ naturæ una sunt? » Nam dixerat ipse Apolinarius: « Simplex unum est, compositum vero unum esse nequit. » Si ergo compositum unum esse nequit, et vere compositum sit, quod ex duobus constat, quod duo in semetipso complectitur, eaque e
D quibus constat, quomodo unum potest esse et dici, nisi persona? Quam ob rem egregie dixerunt Patres, duas esse Christum naturas, quia ea est ex quibus constat, et consistit; res autem composita non in quantum composita sed in quantum res est, personam unam efficit. Ita non tolluntur ea e quibus, sed quoad essentiam manent et vocantur, et concursu suo unitatem seu personam unam efficere censentur. Nam partes, totius partes vocandæ, totum non pars dicendum, sed totum.

Εἰ δὲ αἱ δύο φύσεις μία γεγόνασιν, ἑτεροφυὴς ἄρα ἐστὶν αὐτὴ, ὡς ὁ μακάριος Κύριλλος ἔφη ἐν τῷ *Κατὰ*

Duabus autem naturis unam efficientibus, alienigena hæc erit, ut ait beatus Cyrillus in libro

Adversus Synusiastas: alienigena vero si est præter ea e quibus constat, hoc est præter divinitatem et humanitatem, sane, uti jam supra adversus eos dictum est, jam non erit Deus Christus, neque homo, neque una e tribus personis; neque Deipara Virgo, neque Trinitas erit Trinitas, sed dualitas potius. Nam Filius incarnatus et hac de causa natura alienigena factus præter naturam Patris et sancti Spiritus quomodo eis annumerabitur quibus non est consubstantialis? Abeant in Lethæum barathrum istorum vere Acephalorum ineptiæ!

Nos igitur sanctorum Patrum vestigiis insecuti veritatem dicentium, profitebimur, Christum duas esse naturas et unam personam. Nam duas in Christo confiteri naturas, nil aliud est quam cum ipso Severo bilingui serpente asserere, quod nunquam desiit duas efficere hypostases, et quod post unionem id manent et cogitantur quod sunt, hoc est naturæ. Dicere Christum in duabus naturis esse, quid aliud quam quod ipse Severus vulpes biceps adversus beatum Cyrilium contendit perfectum in divinitate et perfectum in humanitate? et impossibile esse duo non in duobus videri? Non in personis sane, nam Christus non duæ personæ.

« At, inquit, beatus Cyrillus dixit (10): *Ita ut illæ duæ jam non sint duæ, sed utraque animal unum absolvatur.* » Audiant qui optima corrumpunt; non dixit magister utraque unam absolvi naturam, sed unum absolvi animal, quod idem est ac si assereret, unam absolvi personam. Deinde quomodo veritati consentit illud: *Manet utrumque quod natura est?* Quomodo Severi perstabit effatum: *In conjunctione remanserunt quod sunt*, hoc est, naturæ, et non una natura? Docuit igitur sanctus duo non perficere duo animalia. Quapropter etiam adjecit: *Unum absolvitur animal.* Desinant igitur mendaces arundinea virga inniti; uti autem ipsi fatentur, absoluta una natura, duæ naturæ jam non possunt neque esse neque dici: nam hæc inter se pugnant.

Dicemus igitur adversariorum argumenta in eos regeri. Si duæ naturæ sunt quæ duæ sunt, una dici nequeunt. Quod autem duæ sunt duæ Christi naturæ non solum ore confessus est Severus, sed et scriptis. Licet non asseruerit Severus duas esse unam, aut manent retinenturque naturæ aut pereunt. Si pereunt, jam neque una sunt neque duæ. Si autem manent, quod verum est, nominantur quoque alioquin quomodo cognosceremus eas manere vel etiam diceretur vocabulum *Manent?* Nemini ergo competit copia unam faciendi aut dicendi, quæ duæ sunt; ipsa enim vox *compositio* duarum rerum concursum indicat. Qui compositum meditatur, duas res cogitat e quibus compositum constat quas complectitur et quæ est ipsum

(10) Epistola secunda ad Succensum.

A *Συνουσιαστῶν.* Ἑτεροφυὴς δὲ οὖσα παρὰ τὰ ἐξ ὧν συνέστη, τουτέστι παρὰ τὴν θεότητα καὶ τὴν ἀνθρωπότητα, ἀναντιῤῥήτως κατ' αὐτοὺς, ὡς καὶ ἀνωτέρω εἴρηται, οὔτε Θεός ἐστιν ὁ Χριστὸς, οὔτε ἄνθρωπος, οὔτε εἷς τῆς Τριάδος, οὔτε Θεοτόκος ἡ Παρθένος, οὔτε Τριὰς ἡ Τριὰς, ἀλλὰ μᾶλλον δυάς. Ὁ γὰρ Υἱὸς σαρκωθεὶς, καὶ διὰ τοῦτο μία φύσις ἑτεροφυὴς γενόμενος, παρὰ τὴν τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος, πῶς συναριθμηθήσεται τούτοις οἷς οὐκ ἔστιν ὁμοούσιος; Εἰς τὸ τῆς λήθης χάσμα τὰ τοιαῦτα ληρήματα τῶν οὕτως Ἀκεφάλων.

Ἑπόμενοι οὖν ἁγίοις Πατράσιν ἀλήθειαν λαλοῦσι, δύο μὲν φύσεις ἐροῦμεν εἶναι τὸν Χριστὸν, ἓν δὲ πρόσωπον. Οὐδὲν γὰρ ἄλλο ἐστὶ τὸ λέγειν δύο φύσεις B ἐπὶ Χριστοῦ, ἢ ὅπερ λέγει καὶ Σευῆρος ὁ δίγλωσσος ὄφις, ὅτι μεταβέβληται οὐδαμῶς μὴ εἶναι δύο καὶ ταῖς ὑποστάσεσι· καὶ ὅτι μετὰ τὴν ἕνωσιν καὶ μένουσι καὶ σκοποῦνται ὅπερ εἰσὶ, δηλονότι αἱ φύσεις. Τί δὲ ἕτερόν ἐστι τὸ λέγειν ἐν δυσὶ φύσεσιν εἶναι τὸν Χριστὸν, ἢ ὅπερ καὶ Σευῆρος λέγει, ἡ δικέφαλος ἀλώπηξ, κατὰ τὸν μακάριον Κύριλλον, τέλειον ἐν θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι; καὶ τὰ δύο μὴ ἐν δύο φαίνεσθαι, ἀδύνατον εἶναι, ἀλλ' οὐκ ἐν προσώποις· οὐδὲ γὰρ δύο πρόσωπα ὁ Χριστός.

« Ἀλλ' ὁ μακάριος, φησὶ, Κύριλλος εἶπεν· *Ὥστε τὰ δύο μηκέτι μὲν εἶναι δύο· δι' ἀμφοῖν δὲ τὸ ἓν ἀποτελεῖσθαι ζῶον.* » Ἀκουέτωσαν οἱ τὰ ὀρθὰ διαστρέφοντες· οὐκ εἶπεν ὁ διδάσκαλος δι' ἀμφοῖν C τὴν μίαν ἀποτελεῖσθαι φύσιν, ἀλλὰ τὸ ἓν ἀποτελεῖσθαι ζῶον· ὅπερ ἴσον ἐστὶ τῷ λέγειν τὸ ἓν ἀποτελεῖσθαι πρόσωπον. Ἐπεὶ πῶς ἀληθεύει λέγων· *Μένει δὲ ἑκάτερον ὅπερ ἐστὶ τῇ φύσει;* Πῶς δὲ καὶ ὁ Σευήρου στήσεται λόγος, ὅτι *Ἐν τῇ συνθέσει ἔμειναν τοῦτο ὅπερ εἰσὶ*, τουτέστιν αἱ φύσεις, καὶ οὐχὶ ἡ μία φύσις; Τὰ οὖν δύο μὴ εἶναι δύο ζῶα ἐνόησεν ὁ ἅγιος, διὸ καὶ ἐπήγαγεν, τὸ *Ἓν ἀποτελεῖται ζῶον.* Παυσάσθωσαν οὖν οἱ ψευδολόγοι καλαμίνην ῥάβδον ὑποστηρίζοντες ἑαυτοῖς· ὥσπερ δὲ αὐτοὶ λέγουσι, τῆς μιᾶς φύσεως ἀποτελεσθείσης, οὐκέτι δύνανται δύο φύσεις ἢ εἶναι ἢ λέγεσθαι· ἀντίθετος γὰρ ἡ λέξις.

Οὕτως καὶ ἡμεῖς ἀντιπεριτρέψαντες τὸν λόγον, ἐροῦμεν· Εἰ δύο φύσεις εἰσὶν αἱ οὖσαι δύο, μία λέ- D γεσθαι οὐ δύνανται. Ὅτι δέ εἰσι δύο φύσεις τοῦ Χριστοῦ, οὐ μόνον εἶπεν Σευῆρος, ἀλλὰ καὶ ἔγραψεν. Εἰ δὲ καὶ μὴ εἶπεν Σευῆρος ἓν τῶν δύο, ἢ μένουσι καὶ σώζονται αἱ φύσεις, ἢ ἀπώλοντο· εἰ μὲν οὖν ἀπώλοντο, οὔτε δύο εἰσὶν, οὔτε μία. Εἰ δὲ μένουσιν, ὅπερ μᾶλλον ἀληθὲς, καὶ ὀνομάζονται· ἐπεὶ πῶς γνωσθήσεται ὅτι μένουσιν, ἢ πῶς λεχθήσεται τὸ, *Μένουσιν;* Οὐκ ἄρα οὖν δύναταί τις χώραν ἔχειν, μίαν ποιεῖν ἢ λέγειν τὰς οὔσας δύο. Αὕτη δὲ ἡ τοῦ συνθέτου λέξις δύο τινῶν πραγμάτων σημαίνει σύνοδον· καὶ ὁ ἀναπτύσσων τὸ σύνθετον, δύο τινὰ κατανοεῖ, ἐξ ὧν σύγκειται αὐτὸ τὸ σύνθετον, ἅπερ καὶ ἔχει ἐν ἑαυτῷ καὶ ἔστι ταῦτα, ἕως ἂν τὸ σύνθετον, σύν-

θετον ἀληθῶς ἐστιν. Εἰ οὖν σύνθετός ἐστιν ὁ Χριστὸς, οὐ μόνον ἐκ δύο συνενήνεκται φύσεων, ἀλλὰ καὶ ἔχει ταύτας ἐν ἑαυτῷ, ὡς ἐξ αὐτῶν συγκείμενος· καὶ ἔστι δὲ ταῦτα ἵνα μὴ ὡς ἄλλος ἐν ἄλλοις ᾖ· σώζεται δὲ καὶ ὁ τοῦ συνθέτου λόγος. Ὁ οὖν βουλόμενος ὀπίσω τῆς ἀληθείας πορεύεσθαι ἐν ἁπλότητι καρδίας, ἔχει τὴν ἀλήθειαν ποδηγοῦσαν αὐτὸν, καὶ χωρίζουσαν τῆς ἀπάτης.

Σὺ δὲ, ἄνθρωπε τοῦ Θεοῦ, ἐστηριγμένος ἐν τῇ ἀληθείᾳ τῆς πίστεως, ἐξ αὐτῶν τῶν Σευήρου λόγων τοῦ πολεμίου τῆς Ἐκκλησίας, ἐπιστόμιζε τοὺς μὴ βουλομένους ὁμολογεῖν καὶ μετὰ τὴν ἕνωσιν τὰς δύο φύσεις τοῦ Χριστοῦ, κακῶς δὲ ἐκλαμβάνοντας τὴν φωνὴν τῆς μιᾶς φύσεως τοῦ Θεοῦ Λόγου σεσαρκωμένης, καὶ οὐ κατὰ τὸν μακάριον Κύριλλον, ὃς ἐχρήσατο τῇ φωνῇ ταύτῃ κατὰ τῆς σχετικῆς ἑνώσεως Νεστορίου. Οὐ γὰρ ἐπ' ἀναιρέσει τῶν δύο φύσεων, ὡς ληρῳδοῦσιν οἱ ψευδολόγοι καὶ φρεναπάται, ἐπὶ συστάσει δὲ μᾶλλον αὐτῶν καὶ κατ' οὐσίαν ἀσυγχύτου καὶ ἀτρέπτου καὶ ἀμειώτου ἑνώσεως αὐτῶν, ὡς μαρτυροῦσι τὰ συγγράμματα αὐτοῦ, μάλιστα δὲ ἡ πρὸς Εὐλόγιον τὸν ἀποκρισιάριον ἐπιστολὴ αὐτοῦ, καὶ ὁ Προσφωνητικὸς αὐτοῦ, οὗ ἡ ἀρχή· *Ἐγὼ τὸ συγκεκραμένον οὐ καταδέχομαι.*

A donec compositum vere compositum est. Quod si igitur compositus est Christus, non solum e duabus naturis constat, sed et ipsas in se habet, ut ex iis constans: et illæ est, ne sit ut alienus in alienis; servatur etiam compositi ratio. Qui voluerit igitur veritati in simplicitate cordis adhærere, veritatem habeat ducem, et erroris fugatricem.

Tu vero, homo Dei, veritate fidei innixus, ex ipsis verbis Severi Ecclesiam impugnantis, confuta eos qui post unionem duas Christi naturas confiteri nolunt, sed prave usurpantes vocem unius naturæ Dei Verbi incarnati, et non ad mentem beati Cyrilli, qui ea voce usus est adversus fictam Nestorii unionem. Non enim naturarum excidium B ut calumniantur mendaces et seductores, sed conjunctionem potius earum confirmat substantialiter et citra mutationem atque imminutionem factam, ut testantur scripta ejus, maxime vero epistola ejus ad Eulogium apocrisiarium, et Allocutio ejus, cujus principium : *Non admitto commixtum.*

JUSTINIANUS IMPERATOR.

NOTITIA.

(Cave *Script. ecclesiasticorum historia litteraria*, p. 329.)

Fl. Justinianus, gente Illyricus, Sabbatii et Biglinizæ filius, Tauresii, hodie Achriduntis in Dardania, natus est anno 483. Avunculum habuit Justinum Augustum, a quo in Castello Bederiano summa cura educatus est, et in filium adoptatus. Nondum imperator Theodoram ortu Cypriam uxorem duxit, feminam insolentem et Eutychianæ hæresi perdite addictam. Anno 519, a Justino imperatore magister militum factus est, et in Orientem cum exercitu missus, rem contra Persas bene gessit. Anno 521, consulatum obiit; mox patricius, deinde nobilissimus; ac tandem anno 527, Kalendis Aprilibus, Augustus renuntiatus, cum avunculo regnare cœpit; quo defuncto Kalendis Augusti ejusdem anni, imperium deinceps solus tenuit. Anno 528, edictum promulgavit, quo Nestorianos et Eutychianos, tanquam hæreticos pœnis civilibus multandos decrevit, eodem post quinquennium renovato. Anno 541, Origenem ipse edicto damnavit, et habita mox sub Menna synodo Constantinopoli, illum cum sectatoribus anathemate percutiendum curavit. Anno 545, edita constitutione, tria Capitula damnavit, quod et exeunte sequente anno synodus Constantinopolitana itidem fecit. Anno 553, concilium œcumenicum Constantinopoli habendum indixit: in quo a Patribus, ut tria Capitula damnarentur postulavit et obtinuit (*Evagr.* l. iv, c. 38). Anno 563, fatiscentibus cum corpore animi viribus, ab hæreticis quibusdam delusus, edictum condidit, quo Christi corpus pari modo ante ac post resurrectionem corruptionis et naturalium affectionum expers fuisse docuit; utque sententiæ suæ omnes episcopi subscriberent, mandavit. Episcopos Orientales ad Anastasii Antiocheni sententiam provocantes gravissime afflixit; ipsum vero Anastasium et Eutychium patriarcham Constantinopolitanum constanter reluctantes sedibus suis exturbavit, et in exsilium deportari jussit. Hujusmodi deliriis intentus, rebus humanis exemptus est anno 565, die 14 Novembris, dierum, gloriæ, et triumphorum satur. Non deerant olim, nec desunt hodie, qui in sacratissimum principem, non minus doctrina, pietate, quam potentia et rerum gestarum gloria clarum, tota calumniarum et conviciorum plaustra exonerant. Nemo vero unquam iniquiori censura, et inverecundia longe infra summi principis sortem, in augustissimos Justiniani manes debacchatus est, quam cardinalis Baronius *, omnes in hoc eloquentiæ nervos intendens, ut ex imperatore non hominem, sed diabolum nobis exhiberet. Ut fidem faciam, quædam lectori ob oculos ponam. « Fuit, inquit, homo penitus illitteratus; adeo ut nec alphabetum aliquando didicisset. Sacrilegus imperator, qui non levem persecutionem excitavit, furore percitus, mente dimotus, corruptus maligno spiritu, agitatus a Satana, quique omnem in Ecclesia dissolvit ordinem, fecitque ex regno cœlorum ergastulum inferorum (*Annal. ad an.* 551, num. 3, 4; 528, num. 20; 533, num. 21). » Infinitus essem, si omnia percurrerem. Non mihi in animo est, post Guinetum, Giphanium, Trivorium, Rivium nostratem, aliosque, egregii principis vindicias agere. De eximiis Justiniani virtutibus unicum aut alterum veterum testimonium proferam. De doctrina ejus et pietate hæc Procopius, in Justinianum adhuc æquus (*De Bell. Goth.* l. iii; *de ædif. Just.* l. i). Solitum eum tum libros de rebus divinis agentes pervolutare, tum de iisdem colloquia cum episcopis et presbyteris in multam noctem pertrahere: in more ei semper fuisse multis ante Pascha dierum hebdomadibus corpus vigiliis et inediis plusquam asceticis macerare, semel in biduo cibum capere, vino, pane aliisque cibariis

* Hujus critices acrimonia hominem Anglicanum prodit. Cæterum quatenus Caveo assentiendum sit, judicet lector eruditus. Edit.

penitus abstinuisse, herbis tantum sale et aceto conditis, atque aqua contentum. De egregio autem illius erga fidem catholicam studio audiamus Agathonem papam ex episcoporum cxxv synodo testimonium ferentem : « Et præ omnibus, inquit, æmulator veræ apostolicæ fidei piæ memoriæ Justinianus Augustus, cujus fidei rectitudo, quantum pro sincera confessione Deo placuit, tantum rempublicam Christianam exaltavit; et usque ab omnibus gentibus ejus religiosa memoria veneratione digna censetur, cujus fidei rectitudo per augustissima ejus edicta in toto orbe diffusa laudatur. »

Præter *Corpus juris civilis* (Vid. *Institutionum* libros IV, *Pandectarum*, *sive Digestorum* libros L, et *Codicis*, cui plurima de religione admista sunt, libros XII), quod Triboniano atque aliis adjutoribus usus, anno 528, condere incœpit, anno 535, ad exitum perduxit; et *Novellas* post annum 535 editas, quarum plurimæ fori sunt ecclesiastici, seorsim typis excusas Græce per Haloandrum Paris. 1553, 8°; per Schringerum ibid. 1558; Gr. L. Antuerp. 1575; scripsit Justinianus plurima ad rem ecclesiasticam spectantia, ex quibus hodie exstant : *Constitutio contra Anthimum, Severum, Petrum, et Zoarum*, anno 536 facta; quæ quidem, ex Novellis desumpta, habetur Gr. Lat. Concil. tom. V, p. 264. *Epistola ad Patres concilii v generalis*, anno 553 scripta : exstat Lat. Concil. tom. V, p. 419. *Tractatus sive Edictum adversus Origenem, et errores ejus*, ad Mennam patriarcham Constantinopolitanum anno 541 missus : exstat Concil. tom. V, p. 635. *Epistola ad synodum Constantinopolitanam*, anno 541 a Menna habitam adversus Origenem et sectatores ejus : habetur Gr. Lat. Concil. tom. V, p. 679. *Confessio rectæ fidei* (*sive Edictum contra tria Capitula*) anno 545 scripta : exstat Gr. Lat. Concil. tom V, pag. 684. *Epistola ad Patres synodi Constantinopolitanæ*, anno 546 *habitæ adversus tria Capitula* : exstat Gr. Lat. Concil. tom. V, p. 724. In scriptis hisce concinnandis si modo theologorum suorum consilio atque industria usus est Justinianus, nec novum id, nec mirum cuiquam videri debeat, nec minus idcirco hæc proprio marte scripsisse dicendus erit.

OPERA DOGMATICA.

—

EPISTOLÆ TREDECIM

AD HORMISDAM, JOANNEM, AGAPETUM, VIGILIUM PP., ET AD PATRES CONCILII V GENERALIS.

—

(*Exstant* Patrologiæ Latinæ, *tom. LXIII, col.* 430, 450, 475, 476, 485, 496, 507, 508, 510; *LXVI, col.* 14, 35, 41, 42; *LXIX, col.* 30, 119.)

JUSTINIANI IMPERATORIS

LIBER ADVERSUS ORIGENEM*.

—

Λόγος τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως Ἰουστινιανοῦ, καταπεμφθεὶς πρὸς Μηνναν τὸν ἁγιώτατον καὶ μακαριώτατον ἀρχιεπίσκοπον τῆς εὐδαίμονος πόλεως καὶ πατριάρχην, κατὰ Ὠριγένους τοῦ δυσσεβοῦς, καὶ τῶν ἀνοσίων αὐτοῦ δογμάτων.

Ἡμῖν μὲν ἀεὶ σπουδὴ γέγονέ τε καὶ ἔστι τὸ τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν τῶν Χριστιανῶν, καὶ τὴν κατάστα-

D *Tractatus piissimi imperatoris Justiniani, missus ad Mennam sanctissimum et beatissimum archiepiscopum felicis urbis et patriarcham, adversus impium Origenem et nefarias ejus sententias.*

Nobis semper studio fuit, atque etiam nunc est, rectam et irreprehensibilem Christianorum fidem,

* Hujus epistolæ (sic enim appellat ipse Justinianus in fine) meminit Liberatus cap. 25, illam dictatam fuisse instante Pelagio R. E. diacono, et apocrisiario, ac postmodum a Vigilio pontifice approbatam.

σιν τῆς ἁγιωτάτης τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἀτάραχον διὰ πάντων φυλάττεσθαι, καὶ ταύτην πρώτην τῶν ἄλλων τὴν φροντίδα τιθέμεθα. Δι' ἧς καὶ τὴν ἐν τῷ παρόντι κόσμῳ βασιλείαν ἡμῖν ἀπὸ Θεοῦ παραδεδόσθαι, καὶ φυλάττεσθαι πεπιστεύκαμεν, καὶ τοὺς ἐχθροὺς τῆς ἡμετέρας πολιτείας ὑποτάττεσθαι δι' ἧς καὶ ἐν τῷ μέλλοντι αἰῶνι ἔλεος ἐνώπιον τῆς αὐτοῦ ἀγαθότητος εὑρεῖν ἐλπίζομεν. Εἰ καὶ τὰ μάλιστα γὰρ ὁ τοῦ ἀνθρωπίνου γένους πολέμιος διαφόρους ἐφευρίσκει προφάσεις, δι' ὧν σπουδάζει ἐπιβουλεύειν ταῖς τῶν ἀνθρώπων ψυχαῖς, ἀλλ' οὖν ἡ τοῦ Θεοῦ φιλανθρωπία τὴν ἐκείνου καταργοῦσα πονηρίαν, καὶ τοὺς ἐναντίους διελέγχουσα οὐ συγχωρεῖ τὴν ἰδίαν καταβλάπτεσθαι, ἢ σκορπίζεσθαι ποίμνην. Ταῦτα δὲ ἡμῖν εἴρηται, ἐπείπερ ἦλθεν εἰς ἡμᾶς, ὥς τινες μὴ ἔχοντες κατὰ νοῦν τὸν τοῦ Θεοῦ φόβον, μηδὲ τὴν τῶν ὀρθῶν δογμάτων διάκρισιν ἐπιστάμενοι. Δι' ἧς πᾶς ὁ γινώσκων τὴν ἀλήθειαν σώζεται, καταλείψαντες τὰς θείας γραφὰς, καὶ τοὺς ἁγίους πατέρας, οὓς ἡ καθολικὴ τοῦ Θεοῦ ἐκκλησία διδασκάλους ἔχει, καὶ δι' ὧν πᾶσα μὲν πανταχοῦ αἵρεσις ἀπελήλαται, ἡ δὲ ὀρθόδοξος πίστις σεσαφήνισται [1], Ὠριγένους τε καὶ τῶν Ἑλληνικῶν, καὶ Ἀρειανικῶν, καὶ Μανιχαϊκῶν αὐτοῦ δογμάτων ἀντιποιοῦνται, δι' ὧν ἐκεῖνος εἰς βόθρον ἐνέπεσεν. Οἱ δὲ τοιοῦτοι πῶς δύνανται Χριστιανοῖς συναριθμεῖσθαι προσώπου ἀντιποιούμενοι, τὰ Ἑλλήνων, καὶ Μανιχαίων καὶ Ἀρειανῶν, καὶ τῶν ἄλλων αἱρετικῶν σπουδάσαντος παραδοῦναι; ὅστις πρὸ πάντων εἰς αὐτὴν τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα βλασφημήσας ἐτόλμησεν εἰπεῖν τὸν μὲν πατέρα μείζονα εἶναι τοῦ υἱοῦ, τὸν δὲ υἱὸν τοῦ ἁγίου πνεύματος, τὸ δὲ ἅγιον πνεῦμα τῶν ἄλλων πνευμάτων. Προστέθειται [leg. προστέθεικε] δὲ καὶ τοῦτο τῇ αὐτοῦ ἀσεβείᾳ εἰπὼν, μηδὲ τὸν υἱὸν δύνασθαι τὸν πατέρα ἰδεῖν, μηδὲ τὸ ἅγιον πνεῦμα τὸν υἱόν· καὶ ὅτι ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα κτίσματά εἰσι· καὶ ὅπερ ἡμεῖς ἐσμεν πρὸς τὸν υἱὸν, τοῦτο ὁ υἱὸς ἐστι πρὸς τὸν πατέρα. Προστίθησι δὲ ταῖς ἑαυτοῦ βλασφημίαις καὶ τοῦτο ἐν τῷ περὶ ἀρχῶν αὐτοῦ πρώτῳ λόγῳ ἐπ' αὐτῆς λέξεως εἰπὼν οὕτως· « Ἐν τῇ ἐπινοουμένῃ ἀρχῇ τοσοῦτον ἀριθμὸν τῷ βουλήματι αὐτοῦ ὑποστῆσαι τὸν Θεὸν νοερῶν οὐσιῶν, ὅσον ἠδύνατο διαρκέσαι· πεπερασμένην γὰρ εἶναι καὶ τὴν δύναμιν τοῦ Θεοῦ λεκτέον· καὶ μὴ προφάσει εὐφημίας τὴν περιγραφὴν αὐτῆς περιαιρετέον· ἐὰν γὰρ ᾖ ἄπειρος ἡ θεία δύναμις, ἀνάγκη αὐτὴν μηδὲ ἑαυτὴν νοεῖν· τῇ γὰρ φύσει τὸ ἄπειρον ἀπερίληπτον· πεποίηκε τοίνυν τοσαῦτα, ὧν ἠδύνατο περιδράξασθαι, καὶ ἔχειν αὐτὰ ὑπὸ χεῖρας καὶ συγκροτεῖν ὑπὸ τὴν αὐτοῦ πρόνοιαν, ὥσπερ καὶ τοσαύτην ὕλην κατεσκεύασεν ὅσην ἠδύνατο κατακοσμῆσαι. » Ποίαν ταύτης μείζονα βλασφημίαν κατὰ Θεοῦ προσενεγκεῖν Ὠριγένης ἠδύνατο, ὁ καὶ ἐπὶ τῆς ἁγίας τριάδος βαθμοὺς ἐπινοήσας, πολυθεΐαν καὶ ἐντεῦθεν εἰσάγειν βουλόμενος, καὶ αὐτὴν δὲ Θεοῦ τὴν δύναμιν περιγραπτὴν εἶναι τερατευσάμενος; κἀκεῖνο δὲ τὸ πάσης δυσσεβείας ἀνάμεστον τῆς αὐτοῦ ἐστι μυθολογίας τὸ λέγειν, ὅτι πάντα τὰ γένη, καὶ τὰ εἴδη συναΐδιά ἐστι τῷ Θεῷ· καὶ ὅτι τῶν

A statumque sanctissimæ Dei catholicæ et apostolicæ Ecclesiæ, perturbationum expertem usquequaque custodiri. Hæc nobis prima et antiquissima cura est: per quam et nobis in præsenti sæculo imperium a Deo traditum esse et conservari credidimus, et reipublicæ nostræ inimicos subdi, et sæculo futuro misericordiam in conspectu ejus bonitatis nos adepturos speramus. Nam et si humani generis hostis varias occasiones comminiscitur, quibus hominum animas studet lædere: Dei tamen humanitas, illius improbitatem et malitiam frangens atque evacuans, adversariosque redarguens, gregem suum damnum accipere aut dissipari non permittit. Hæc autem a nobis ideo dicta sunt, quod ad nos allatum est, nonnullos Dei timorem in animo non habentes, nec re- B ctæ doctrinæ discrimen tenentes, quo salvatur quicunque veritatem cognoscit; relictis divinis Scripturis sanctisque Patribus quos catholica Dei Ecclesia doctores habet, per quos omnis ubique hæresis expulsa est, fides vero orthodoxa declarata; Origenem, ejusque dogmata, paganorum et Arianorum et Manichæorum erroribus affinia asserere: per quæ ille in foveam incidit. Qui ejusmodi sunt, quomodo possunt in Christianis numerari, eum tuentes hominem, qui ea quæ pagani, Manichæi, Ariani, aliique hæretici sentiunt, tradere studuit? Qui ante omnia in ipsam sanctam et consubstantialem Trinitatem blasphemias ausus est dicere: Patrem majorem esse Filio, Filium sancto Spiritu, sanctum Spiritum aliis spiritibus. Porro hoc ad impietatem suam addidit, ut diceret, C nec posse Filium Patrem videre, nec Spiritum sanctum Filium: ipsum Filium et Spiritum sanctum creaturas esse: quodque nos sumus ad Filium, Filium esse ad Patrem. Ad suas autem blasphemias hoc quoque adjunxit in primo sermone Peri archon, his verbis, sic dicens: *In illo, quod mente apprehenditur principio, tantum numerum voluntate sua intelligibilium substantiarum constituit Deus, quanto poterat sufficere; dicendum enim finitam esse Dei potentiam: nec, sub obtentu laudis ac bonorum verborum, tollenda ejus circumscriptio est: etenim si infinita sit divina potentia, necesse est eam ne seipsam quidem intelligere: natura enim infinitum comprehendi non potest. Tanta igitur fecit, quanta poterat apprehendere, et sub providentia sua continere; quemadmodum et tantam materiam apparavit, quantam regere, distinguere,* D *ac exornare poterat.* An ullam majorem potuisset Origenes in Deum blasphemiam proferre? qui et in sancta Trinitate gradus excogitans, inde vult multitudinem deorum inducere, ac ipsam Dei potentiam circumscriptam esse monstrose asserit. Hoc vero omni impietate plenum, ejus fabulositatis est dicere, omnia genera speciesque coæternas esse Deo: quod-

[1] Describitur hic locus, sed multis subinde prætermissis, in Reg. cod. ms. 2955 præfixo hoc titulo: Ἡ ἁγία καὶ οἰκουμενικὴ πέμπτη σύνοδος γέγονεν ἐπὶ Ἰουστίνου (pro Ἰουστινιανοῦ) τοῦ βασιλέως, ἥτις ἀνεθεμάτισε τὸν Ὠριγένην καὶ τὰ αὐτοῦ δυσσεβῆ συγγράμματα, καὶ ἀλλόκοτα δόγματα Εὐαγρίου καὶ Διδύμου τὰ Ὠριγένους φρονοῦντος. Ἐκ τοῦ δ' βιβλίου τῶν πρακτικῶν τῆς ἁγίας πέμπτης συνόδου, ἐκ τοῦ λόγου τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως Ἰουστινιανοῦ πρὸς Μηνᾶν τὸν μακαριώτατον ἀρχιεπίσκοπον εὐδαίμονος πόλεως. Ὠριγένους τε λέγει καὶ τῶν ἑλληνικῶν καὶ Μανιχαϊκῶν αὐτοῦ δογμάτων, etc. Manuscriptus non est annorum amplius 160. HARD.

λογικῶν τὰ ἁμαρτήσαντα, καὶ διὰ τοῦτο ἐκπεσόντα τῆς ἐν ᾗ ἦσαν καταστάσεως, κατὰ τὴν ἀναλογίαν τῶν οἰκείων ἁμαρτημάτων τιμωρίας χάριν σώμασιν ἐνεβλήθη· καὶ καθαιρόμενα πάλιν ἀνάγονται ἐν ᾗ πρότερον ἦσαν καταστάσει, παντελῶς τὴν κακίαν ἀποτιθέμενα καὶ τὰ σώματα· καὶ πάλιν ἐκ δευτέρου, καὶ τρίτου, καὶ πλεονάκις διαφόροις ἐμβάλλονται σώμασι πρὸς τιμωρίαν. Ὑποτίθεται δὲ καὶ διαφόρους κόσμους συστῆναί τε, καὶ συνίστασθαι, τοῦτο μὲν παρελθόντας, τοῦτο δὲ μέλλοντας· καὶ τίς οὕτως ἐστὶν ἠλίθιος, ὅστις τῶν τοιούτων ἀκούων οὐ φρίξει τὴν διάνοιαν διὰ τὴν τῆς ἀσεβείας ὑπερβολήν; τίς δὲ οὐκ ἂν βδελύξηται τὸν μανέντα Ὠριγένην, τοιαύτας πλασάμενόν τε, καὶ ἐγγράφως ἐκθέμενον κατὰ Θεοῦ βλασφημίας; ἅστινας ὡς πᾶσι Χριστιανοῖς ἀπηγορευμένας, καὶ προφανῆ τῆς δυσσεβείας ἐχούσας τὸν ἔλεγχον, περισσὸν ἐνομίσαμεν ἀντιῤῥήσεως ἀξιῶσαι· εἰ τοίνυν ἅπαντες αἱρετικοὶ ἐπὶ ἑνὸς, τυχὸν, ἢ δευτέρου δόγματος παρατροπῇ ἐξεβλήθηνται τῆς ἁγιωτάτης ἐκκλησίας, ὑποβληθέντες ἀναθέματι μετὰ τῶν ἰδίων δογμάτων, τίς ὅλως Χριστιανῶν ἀνέξεται αὐτοῦ Ὠριγένους τε, καὶ τῶν πονηρῶν αὐτοῦ συγγραμμάτων ἀντιποιεῖσθαι, τοῦ τοσαύτας μὲν εἰρηκότος βλασφημίας, πᾶσι δὲ σχεδὸν αἱρετικοῖς τοσαύτην ὕλην ἀπωλείας καὶ βλασφημίας παρασχομένου, καὶ διὰ τοῦτο καὶ παρὰ τῶν ἁγίων πατέρων ἔκπαλαι ὑπὸ ἀνάθεμα γενομένου μετὰ τῶν μυσαρῶν αὐτοῦ δογμάτων; Εἰ γὰρ καὶ δοίη τις τὸν θεομάχον Ὠριγένην, ὅπερ καὶ παρὰ τοῖς ἄλλοις αἱρετικοῖς εὑρίσκεται, αναμάξαι [ἴσ. ἐναμῆξαι, ἢ, ἀναμῖξαι] τινὰ τοῖς πονηροῖς αὐτοῦ συγγράμμασιν ἐκ τῶν ὀρθῶν δογμάτων, ταῦτα οὐχ ἴδια ἐκείνου καθέστηκεν, ἀλλὰ τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας ὑπάρχει. Καὶ τοῦτο δὲ αὐτὸ κακούργως ἐκεῖνος καὶ πρὸς ἀπάτην τῶν ἁπλουστέρων ἐμηχανήσατο. Ταῖς γὰρ τῶν Ἑλλήνων μυθολογίαις ἐντραφεὶς, καὶ ταύτας ἐπεκτεῖναι βουλόμενος ἐσχηματίσατο τὰς θείας δῆθεν ἑρμηνεύειν γραφὰς, ἵνα τούτῳ τῷ τρόπῳ τὰ μυσαρὰ αὐτοῦ δόγματα τοῖς τῶν θείων γραφῶν ὑπομνήμασιν ἀναμίξας, κακοήθως τὴν Ἑλληνικὴν, καὶ Μανιχαϊκὴν αὐτοῦ πλάνην, καὶ Ἀρειανικὴν μανίαν εἰσαγάγῃ, καὶ τοὺς μὴ ἠκριβωμένους τὰ τῆς θείας γραφῆς δυνηθῇ δελεάσαι. Τί γὰρ ἕτερον παρὰ τὰ τῷ Πλάτωνι εἰρημένα τῷ τὴν Ἑλληνικὴν μανίαν πλατύναντι Ὠριγένης ἐξέθετο; ἢ παρὰ τίνος ἑτέρου Ἄρειος λαβὼν τὴν οἰκείαν συνεγράψατο νόσον, ὁ πρὸς ὄλεθρον τῆς ἑαυτοῦ ψυχῆς εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα βαθμοὺς ἐπινοήσας; ἐν τίνι δὲ οὗτος τοῦ Μανιχαίου ἀπολιμπάνεται, ὁ λέγων τὰς τῶν ἀνθρώπων ψυχὰς δι' ἁμαρτίας τοῖς σώμασι τιμωρίας χάριν ἐμβληθῆναι; ὡς δὴ πρῶτον μὲν νόας οὔσας, καὶ ἁγίας δυνάμεις, ἔπειτα κόρον λαβούσας τῆς θείας θεωρίας, καὶ πρὸς τὸ χεῖρον τραπείσας, καὶ διὰ τοῦτο τῆς Θεοῦ ἀγάπης ἀποψυγείσας, καὶ ἐντεῦθεν ψυχὰς ὀνομασθείσας, καὶ τιμωρίας χάριν τοῖς σώμασιν ἐμβληθείσας· ὅπερ καὶ μόνον ἱκανὸν ἦν εἰς τελείαν αὐτοῦ κατάκρισιν, οἷα τῆς Ἑλληνικῆς ὑπάρχον δυσσεβείας. Τοῦ γὰρ Θεοῦ εἰπόντος, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν,» εὑρίσκεται κατὰ τοὺς ἐκείνου ματαίους λόγους σῶμα μόνον δίχα ψυχῆς κατ' εἰκόνα καὶ ὁμοίωσιν γενόμενον τοῦ Θεοῦ, ἐὰν ὅλως προϋπῆρχε ψυχὴ, καὶ μετὰ τὸ γενέσθαι τὸ σῶμα ἐνεβλήθη, ἢ κατηγγίσθη ἐν αὐτῷ. Καὶ ἀνάγκη πᾶσα τοῦ λέγειν, καὶ αὐτὸν τὸν Θεὸν τὸν τοῦ ἀνθρώπου δημιουργὸν σῶμα ὑπάρχειν, ὡς τὸ σῶμα κατ' εἰκόνα, καὶ ὁμοίωσιν ἰδίαν ποιησάμενον. Πῶς δὲ δύναται

A que rationabilia quæ peccarunt, ac propterea de statu suo exciderunt, pro suorum peccatorum proportione, supplicii causa in corpora injecta sunt, ac expurgata, rursum efferuntur in pristinum statum, omni deposita malitia et corporibus : iterumque ac tertium, et compluries diversis ad pœnam injiciuntur corporibus. Ponit porro diversos constitisse et constare mundos, tum præteritos, tum futuros. Ecquisnam adeo fatuus est, ut hæc audiens animo non exhorrescat propter summam impietatem? Quis non exsecretur insanum Origenem, qui hujusmodi finxerit ac scriptis mandarit in Deum blasphemias? quas, ut omnibus Christianis interdictas, manifestaque habentes impietatis argumenta, supervacaneum duximus refutatione dignari. Quare si hæretici omnes, B ob unius forsitan aut alterius dogmatis perversitatem, e sanctissima Ecclesia sunt ejecti, subditique anathemati cum suis dogmatibus : quis prorsus Christianorum sustinebit Origenem ejusque prava scripta tueri, qui tot blasphemias dixerit, omnibusque fere hæreticis tantam exitii ac blasphemiæ materiem præbuerit, ac idcirco pridem a sanctis Patribus anathemati subjectus sit una cum sceleratis ejus dogmatibus? Nam quamvis concedat quis, Deo repugnantem Origenem e recta doctrina (quod et apud alios hæreticos invenitur) aliquid expressisse in improbis suis scriptis : ea ipsius propria non est, sed sanctæ Dei Ecclesiæ; atque hoc ipsum malitiose in simpliciorum fraudem molitus est. Nam in paganorum commentis enutritus, eaque propagare in animo habens, divinas C se utique Scripturas interpretari simulavit : ut hoc modo nefariam doctrinam suam sacrarum litterarum monumentis maligne admiscens, paganicum et Manichæum errorem suum atque Arianam vesaniam induceret, eosque qui sacram Scripturam non accurate percepissent, inescare posset. Quid enim aliud exposuit Origenes, quam Platonis, qui paganorum insaniam dilatarat, doctrinam; aut a quo alio Arius mutuatus, propria venena concinnavit? qui in exitium animæ suæ in sancta et consubstantiali Trinitate gradus excogitavit. An hic a Manichæo abest, qui animas hominum dicit propter peccata corporibus ad supplicium immitti? quique primum quidem mentes et sanctas virtutes fuisse asserat, deinde contemplationis divinæ satietatem cepisse, ac in deterius D conversas, idcirco a Dei amore refrixisse, indeque Græco nomine appellatas ψυχάς, et supplicii causa corporibus esse inditas; quod vel solum ad perfectam ejus damnationem satis erat, cum a paganorum ortum sit impietate. Cum enim dixerit Deus : *Faciamus hominem ad imaginem et similitudinem nostram* (*Gen.* I) : ex ejus vanis sermonibus invenitur, solum corpus absque anima ad imaginem et similitudinem Dei factum esse, si omnino præexistebat anima, et facto corpore, in id injecta est, aut in id, tanquam in vas immissa. Ac necesse erit omnino dicere, ipsum Deum opificem hominis, corpus esse, ut pote qui corpus ad imaginem et similitudinem suam fecerit. Quomodo autem corpus, imago incorporei esse possit? Quamobrem absit, ut his Christiani assentian-

φιλῶν εἶναι τοῦ ἀσωμάτου τὸ σῶμα; διὸ μὴ γένοιτο A τούτοις Χριστιανοὺς συνθέσθαι. Εἰ δὲ κατὰ τὴν Ὠριγένους βλασφημίαν προϋπῆρχον αἱ ψυχαὶ, καὶ διὰ τὸ ἁμαρτῆσαι αὐτὰς τιμωρίας χάριν εἰς τὰ σώματα κατεπέμφθησαν, ἵνα παιδευθεῖσαι σωφρονήσωσιν, ἐχρῆν αὐτὰς μηκέτι ἁμαρτάνειν· εἰ γὰρ πρὸς κόλασιν τῇ ψυχῇ διὰ τὴν ἁμαρτίαν ἐδόθη τὸ σῶμα, ὥστε αὐτὴν ὀδυνωμένην παιδευθῆναι πρὸς τὸ τιμᾷν τὸν Θεὸν, πῶς συνεργεῖ καὶ συναγωνίζεται αὐτῇ τὸ σῶμα πρὸς τὸ ἁμαρτάνειν, ὃ τοῖς κολαζομένοις γίνεται [ἴσ. οὐ γίνεται]; Δεσμοὶ γὰρ, καὶ φυλακαὶ, καὶ πέδαι, καὶ συντόμως εἰπεῖν, τὰ τοιαῦτα ἐρεκτικὰ τοῦ ἀδικεῖν, καὶ τοῦ ἁμαρτάνειν τοῖς κολαζομένοις γίνονται. Οὐ γὰρ ὅπως ὁ ἁμαρτήσας πλέον ἁμάρτῃ, συνεργὸς αὐτῷ πρὸς τὴν ἁμαρτίαν ὁ δεσμὸς δίδοται, ἀλλ' ὅπως παύσηται τοῦ ἁμαρτάνειν διὰ τῶν δεσμῶν βασανιζόμενος. Πρόδηλον τοίνυν, ὅτι οὐ διὰ σωφρονισμὸν B προλαβουσῶν ἁμαρτιῶν τοῖς σώμασιν ἐνεβλήθησαν αἱ ψυχαὶ κατὰ τοὺς ἐκείνων λήρους, ἀλλὰ κατὰ ταυτὸν ὁ Θεὸς τό τε σῶμα, τήν τε ψυχὴν, τουτέστι τέλειον τὸν ἄνθρωπον ἐδημιούργησεν. Ὅθεν τῶν διὰ τοῦ σώματος ἡμῖν πεπραγμένων, εἴτε ἀγαθῶν, εἴτε φαύλων, τὴν ἀνταπόδοσιν ἀναμένομεν. Τοῦτο γὰρ ἡμῖν παραδίδωσιν καὶ ὁ θεῖος ἀπόστολος Παῦλος, λέγων· « Ὅτι πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον. » Προσέχειν τοίνυν δεῖ τοῖς τοῦ Ἀποστόλου ῥήμασιν, ὅτι οὐκ εἶπε κομίζεσθαι δεῖν τὸν κρινόμενον πρὸς ἃ ἔπραξε πρὸ τοῦ σώματος. Εἰ δὲ ἐπὶ μόνοις τοῖς διὰ τοῦ σώματος κολάζεται ἄνθρωπος παρὰ τοῦ κρίνοντος τὴν γῆν, ἢ τῆς δεούσης ἀξιοῦται τιμῆς, μνήμη δὲ οὐδεμία προγενεστέρων ἁμαρτημάτων, δῆλον ὅτι οὐ προϋπάρ- C χουσι τῶν σωμάτων αἱ ψυχαί· εἰ γὰρ προϋπῆρχον, εἶπεν ἂν ὁ Ἀπόστολος, ὥσπερ τὰ διὰ τοῦ σώματος, οὕτω καὶ τὰ πρὸ τοῦ σώματος. Ὅτι δὲ αἱ τῶν ἀνθρώπων ψυχαὶ νοεραί τε, καὶ λογικαὶ τυγχάνουσι, τῶν ὁμολογουμένων ἐστίν· ὅπερ οὐδὲ τοὺς Ὠριγένους ἀντιποιουμένους νομίζομεν ἀπαρνεῖσθαι. Εἰπάτωσαν τοίνυν οἱ τὰ Ὠριγένους φρονοῦντες· αἱ ψυχαὶ αὐτῶν, εἴγε ἄρα καθὼς λέγουσι, προϋπῆρχον τῶν σωμάτων, πρὶν ἢ ἐν τοῖς σώμασιν εἰσελθῶσιν, ἐν ποίᾳ τάξει ὑπῆρχον, ἢ τί διεπράττοντο; ἐχρῆν γὰρ αὐτὰς εἰδέναι ποῦ ἦσαν, εἰ προῆσαν, καὶ πῶς ἐνταῦθα παρεγένοντο. Εἰ δὲ τοῦτο αὐτοῖς ἀμήχανόν ἐστι λέγειν, ὡς τῆς ἀληθείας μὴ οὔσης, δῆλον ὅτι μῦθοι τὰ κατ' αὐτοὺς ὑπάρχουσιν. Ἴσως δὲ ἐροῦσιν, ὅτι μετὰ τὸ εἰσελθεῖν τὰς ψυχὰς ἐν τοῖς σώμασι, τότε δύνανται διακρίνειν τε, καὶ γινώσκειν τὰ πραττόμενα παρ' αὐτῶν· εἰ D δὲ τοῦτο εἴπωσιν, εὑρίσκεται τὸ σῶμα κατὰ τοὺς αὐτῶν ματαίους λόγους τιμιώτερον τῆς ψυχῆς, οἷα χαριζόμενον αὐτῇ τὸ νοεράν τε, καὶ λογικὴν γενέσθαι· ἀλλὰ τὸ λέγειν τοῦτο πάσης ἐστὶν ἀνοίας, καὶ ἀτοπίας μεστόν. Διατί δὲ ὅλως, εἴπερ ὡς λέγουσι προϋπῆρχεν ἡ ψυχὴ, μαθήσεώς τινος, ἢ διδαχῆς δέεται ἐν τῷ σώματι γενομένη, κατὰ μικρὸν εἰσαγομένη, καὶ προκόπτουσα εἰς τὰ μείζονά τε καὶ τελειότερα; Εἰ γὰρ προῆν, καὶ ἐγίνωσκεν ἂν τὰ συμφέροντα μηδεμιᾶς μαθήσεως δεομένη, καὶ ὡς ἐν γνώσει τυγχάνουσα διωρθοῦτο ταῖς ἐπιμελείαις· καὶ εἰ τὸ πταῖσμα ἐγίνωσκεν, οὐκ ἐδιδάσκετο ὡς προεπισταμένη· εἰ δὲ διδάσκεται ὡς ἀγνοοῦσα, οὐ προῄδει· εἰ δὲ οὐ προῄδει, οὐ προῆν, ἀλλὰ δῆλον ὅτι οὐ προῆν. Τῆς γὰρ γενέσεως ἡμῶν αἴτιός ἐστι μόνος ὁ Θεὸς, ὅστις καθὼς οὐκ

tur. Si vero, juxta Origenis **blasphemiam**, **animæ** præexistebant, ac in pœnam peccatorum suorum in corpora demissæ sunt, ut emendatæ resipiscerent, eas oportebat amplius non peccare. Nam si corpus datum est animæ in supplicium propter peccata, ut doloribus emendaretur ad honorificandum Deum, quomodo corpus eam adjuvat et corroborat ad peccandum, quod iis qui pœna afficiuntur, non evenit? Vincula enim, carceres, compedes, ac, ut breviter dicam, omnia ejusmodi, iniquitates et peccata eorum cohibent, qui jam pœnas luunt. Nec ut qui peccarit, amplius peccet, vincula ei adduntur quæ ad peccandum adjuvent; sed ut vinculorum cruciatu peccare desistat. Quare perspicuum est, non ad superiorum peccatorum castigationem, ut illi nugantur, corporibus immissas esse animas; sed simul Deum et corpus et animam, id est, perfectum hominem, fabricatum esse. Itaque eorum quæ per corpus a nobis gesta sunt, sive bonorum, sive malorum, retributionem exspectamus; hoc enim nobis tradit et divinus apostolus Paulus dicens: *Omnes enim nos manifestari oportet ante tribunal Christi, ut referat unusquisque ea quæ per corpus prout gessit sive bonum, sive malum* (*II Cor.* v). Attendenda ergo sunt apostoli verba; nec enim dixit, oportere recipere eum qui judicatur, prout gessit ante corpus. Si vero ob ea sola quæ per corpus homo gessit, ab eo qui terram judicat, vel pœna afficitur, vel merito præmio; nullaque mentio fiat ante admissorum peccatorum: perspicuum est, animas ante corpora non esse. Si enim præexisterent, dixisset Apostolus, gesta tum per corpus, tum ante corpus. Animas vero hominum intelligentia et ratione uti, in confesso est; quod ne eos quidem negare putamus, qui tuentur Origenem. Dicant igitur qui cum Origene sentiunt: animæ ipsorum (siquidem, ut asseverant, ante corpora fuerunt) priusquam in ipsa ingrederentur, quo in ordine erant, aut quid agebant? Oportuit enim eas, si ante erant, scire, quo loco essent, aut quomodo huc advenissent; sin hoc nulla ratione possunt dicere (nam id verum non est), apertum est eos fabulas dicere. At fortasse dicant, animas postquam corpora ingressæ sunt, tum discernere posse et cognoscere quæ a se geruntur. Si hoc dicent, ex eorum inani disputatione efficietur, ut corpus plus pretii atque honoris quam anima habeat; quod ei in beneficii loco det intelligentiam et rationem; atqui hoc asserere, plenum dementiæ est atque absurditatis. Cur vero si anima, ut aiunt, ante fuit quam corpus, disciplina indiget, postquam in corpus venit, paulatimque instituitur, et ad meliora perfectioraque progreditur? Nam si ante existeret, utilia utique cognosceret, nec ulla egeret doctrina, nec, ut pote in cognitione versans, cura et diligentia erudiretur; ac si, quid sit offendere, sciebat, non edoceretur quod antea scivisset: jam vero si docetur, ut in ignoratione versans, prius non sciebat; si non prius scivit, ante non fuit. At liquet eam antea non fuisse. Ortus enim nostri Deus solus in causa est; qui ut nos, cum non essemus, fecit: sic natos, gratia manuque propria tuetur ac

ὄντας ἡμᾶς ἐποίησεν, οὕτω καὶ γενομένους σώζει τῇ ἰδίᾳ χειρὶ [χάριτι], ἐὰν ἄξιοι, καὶ ἐπιτήδειοι φανῶμεν. Ὁ Θεὸς γὰρ εἰπών· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν,» ἀμφότερα κατὰ ταυτὸν ἐδημιούργησε, τουτέστι σῶμά τε πλάσας, καὶ ψυχὴν νοεράν τε καὶ λογικὴν δημιουργήσας. Ἅμα γὰρ σῶμα ἔπλασεν ὁ Θεὸς, καὶ τὴν ψυχὴν ἐδημιούργησε τέλειον τὸν ἄνθρωπον ἀποτελέσας· οὐδὲ γὰρ σῶμα χωρὶς ψυχῆς, οὐδὲ ψυχὴ χωρὶς σώματος ἄνθρωπος· εἰ δὲ προϋπῆρχεν ἡ ψυχὴ, καθὼς Ὠριγένης ληρεῖ, τίνος ἕνεκεν ὁ ἁγιώτατος προφήτης Ζαχαρίας εἶπε, «Πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ;» Εἰ γὰρ προῆν ἔδει μᾶλλον εἰπεῖν, *καταγγίζων*, ἢ *καταπέμπων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ*. Νῦν δὲ λέγων ὁ προφήτης, *πλάσσων*, δείκνυσιν, ὅτι ὥσπερ τὸ σῶμα, οὕτω καὶ τὴν ψυχὴν οὐ προϋπάρχουσαν ἐποίησεν ὁ Θεὸς τῇ ἰδίᾳ δυνάμει αὐτοῦ, καὶ ἀγαθότητι. Καθὼς οὖν εἴρηται, κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ Θεοῦ γενέσθαι τὸν ἄνθρωπον, καὶ τοῦ θείου ἐμφυσήματος ἀξιωθῆναι, δηλοῖ μὴ μόνον νοερὰν καὶ λογικὴν, ἀλλὰ καὶ ἀθάνατον τὴν ψυχὴν δημιουργηθῆναι πρὸς τὸ ἄρχειν πάντων τῶν ἐπὶ γῆς ποιημάτων· τοῦτο γάρ ἐστι καὶ τὸ εἰρημένον τῷ θεολόγῳ Γρηγορίῳ περὶ τῆς ψυχῆς, τὴν ἐκ Θεοῦ καὶ θείαν καὶ τῆς ἄνωθεν εὐγενείας μετέχουσαν. Οὐχ ὥς τινες φανταζόμενοι λέγουσι τῆς θεϊκῆς οὐσίας ὑπάρχουσαν τὴν ψυχήν· ἀλλ' ὡς διὰ τοῦ ἐμφυσήματος τοῦ Θεοῦ γενομένην, καὶ χάρισμα παρ' αὐτοῦ λαβοῦσαν τοῦ νοερὰν, καὶ λογικὴν, καὶ ἀθάνατον εἶναι, καὶ μὴ συναποθνήσκειν τῷ σώματι, καθ' ὁμοιότητα τῶν ἀλόγων ζώων, ἀλλὰ κατὰ χάριν μετέχειν τῆς ἄνωθεν εὐγενείας, τουτέστιν ἀθανασίας. Μαρτυρεῖ δὲ τούτοις καὶ ὁ ἐν ἁγίοις Ἰωάννης ὁ Κωνσταντινουπόλεως πατριάρχης ἐν τῷ ἑνδεκάτῳ λόγῳ τῷ εἰς τὴν κτίσιν· λέγει γὰρ οὕτως· «Καὶ ἐνεφύσησε, φησὶν, εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. Ἐνταῦθά τινες τῶν ἀγνωμόνων ἐξ οἰκείων λογισμῶν κινούμενοι, καὶ οὐδὲν θεοπρεπὲς ἐννοοῦντες, οὔτε τὴν συγκατάβασιν τῶν ῥημάτων λογιζόμενοι, λέγειν ἐπιχειροῦσιν ὅτι ἐκ τῆς τοῦ Θεοῦ οὐσίας ἐστὶν ἡ ψυχή. Ὢ τῆς μανίας, ὢ τῆς παραφροσύνης.» Καὶ ταῦτα μὲν ὁ πατὴρ περὶ τῶν προκειμένων. Σκόπει δὲ, ὅτι περ περὶ μὲν τῶν ἄλλων ἁπάντων ἐπὶ γῆς ποιημάτων εἶπεν ὁ Θεὸς, «Γεννηθήτω» καὶ «ἐξαγαγέτω ἡ γῆ, καὶ ἐγένετο.» Περὶ δὲ τοῦ ἀνθρώπου λέγει, «Ποιήσωμεν ἄνθρωπον,» καὶ οὐ μόνον «ποιήσωμεν,» ἀλλὰ «κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν· καὶ λαβὼν χοῦν ἀπὸ τῆς γῆς ταῖς ἰδίαις χερσὶν ἔπλασε τὸν ἄνθρωπον, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν.» Ἐντεῦθεν τοίνυν ἔστιν ἰδεῖν, πῶς ὁ Θεὸς τὸν ἄνθρωπον τιμιώτερον ἐποίησε τῶν ἄλλων ἁπάντων τῶν ἐπὶ γῆς κτισμάτων. Τὰ μὲν οὖν ἄλλα πάντα λόγῳ εἶπε, καὶ ἐγένοντο· τὸν δέ γε ἄνθρωπον, καθὼς εἴρηται, αὐτὸς ταῖς ἰδίαις χερσὶ, κατὰ τὴν θείαν γραφὴν, ἐδημιούργησε· πάντα δὲ τὰ γενόμενα ὑπ' αὐτοῦ ἐπὶ τῆς γῆς ὑπέταξε τῷ ἀνθρώπῳ τῷ γενομένῳ ἐν τῇ ἕκτῃ ἡμέρᾳ, ἵνα πάντων τῶν ἐπὶ τῆς γῆς κτισμάτων ἤδη προγεγονότων, καὶ ἑτοιμασθέντων αὐτῷ δεσπόζῃ, αὐτὸς ὑπὸ τοῦ πλάστου δεσποζόμενος. Τοῦτο δὲ ἡμᾶς διδάσκει καὶ ὁ ἐν ἁγίοις θεολόγος Γρηγόριος ἐν τῷ λόγῳ τῷ εἰς τὴν νέαν κυριακὴν, λέγων· «Οὕτω τι πρῶτον ἐν ἡμέραις ἀριθμεῖται, καὶ δεύτερον, καὶ τρίτον, καὶ τὰ ἑξῆς, ἄχρι τῆς ἑβδόμης καὶ καταπαυσίμου τῶν ἔργων ἡμέρας· αἷς καταμερίζεται τὰ γινόμενα λόγοις ἀῤῥήτοις τασσόμενα, καὶ οὐκ

A salvat, si digni atque idonei perhibeamur. Nam Deus, qui dixit: *Faciamus hominem ad imaginem nostram et similitudinem* (*Gen.* I), utraque simul fecit, id est, corpus plasmavit, et animam intelligentem et rationalem creavit. Simul enim et effinxit corpus, et animam condidit, perfectum hominem exhibens; neque enim homo corpus est sine anima, nec anima sine corpore. Si autem anima præexistebat, ut delirat Origenes, cujus rei gratia sanctissimus propheta Zacharias dixit: *Fingens spiritum hominis in eo* (*Zach.* XII)? Si enim prius erat, magis dicere oportuit, Infundens tanquam in vas, vel demittens spiritum hominis in eo. Jam vero cum dicit propheta, *fingens*, ostendit, ut corpus, sic animam non præexistentia Deum propria virtute ac bonitate fe-

B cisse. Quod igitur homo, sicut dictum est, ad imaginem et similitudinem Dei sit factus, dignatusque inspiratione divina; inde perspicuum est, non solum intelligentem et rationalem animam, sed etiam immortalem esse creatam; ut omnibus iis quæ in terra facta sunt imperaret. Hoc est enim quod a Theologo Gregorio de anima dictum est, a Deo esse, et divinam, ac supernæ nobilitatis participem: non, ut nonnulli autumant ac dicunt, divinæ substantiæ animam esse: sed ut inspiratione Dei factam, gratiamque nactam ab eo, ut intelligens esset, et rationalis, et immortalis, nec una cum corpore moreretur, sicut irrationabilia animalia, sed per gratiam particeps esset supernæ nobilitatis, id est immortalitatis. Iis testimonium perhibet sanctus Joannes Constan-

C tinopoleos patriarcha in undecimo sermone in creationem; sic enim ait (*Homil.* XIII *in Gen.* II): «*Et insufflavit*, inquit, *in faciem ejus spiritum vitæ, et fuit homo in animam viventem*. Hic nonnulli imperiti homines, propriis cogitationibus moti, ac nihil Deo decens in mente habentes, nec condescensionem verborum reputantes, dicere audent e Dei substantia esse animam. O insaniam, o dementiam!» Atque hæc quidem Pater de argumento proposito. Considera autem de aliis omnibus in terra factis dixisse Deum, *fiat*, et *producat terra, et factum est* (*Gen.* I); de homine autem dicit: *Faciamus hominem:* nec solum, *Faciamus*, sed, *ad imaginem et similitudinem nostram; et sumens pulverem de terra, propriis manibus hominem finxit, et insufflavit in faciem ejus*

D *spiritum vitæ, et factus est homo in animam viventem.* Ex his igitur perspici potest, ut Deus hominem fecerit honorabiliorem ac pretiosiorem aliis omnibus quæ in terra sunt creaturis; alia quidem omnia fecit verbo: dixit, et facta sunt; hominem vero, sicuti dictum est, propriis ipse manibus juxta divinam Scripturam fecit: quæcunque autem ab eo in terra facta sunt, subdidit homini, qui sexto factus est die: ut omnibus terrenis creaturis jam factis, ac ipsi præparatis, dominaretur, ipse plasmatoris sui obediens imperio. Hoc et nos docet sanctus Theologus Gregorius in oratione in novam dominicam (*Orat.* 43); sic enim dicit: «Ita aliquid primum in diebus numeratur, et secundum, et tertium, ac deinceps, usque ad septimum diem, quo requies fuit ab operibus;

ἀθρόως ἀναδιδόμενα τῷ πάντα δυνατῷ [pro παντοδυνάμῳ] λόγῳ. Οὗ καὶ τὸ νοῆσαι μόνον, καὶ εἰπεῖν, ἔργον ἐστὶ παριστάμενον. Εἰ δὲ τελευταῖος ὁ ἄνθρωπος ἀνεδείχθη, καὶ ταῦτα χειρὶ Θεοῦ καὶ εἰκόνι τετιμημένος, θαυμαστὸν οὐδέν· ἔδει γὰρ ὥσπερ βασιλεῖ προϋποστῆναι τὰ βασίλεια, καὶ οὕτως εἰσαχθῆναι τὸν βασιλέα, πᾶσιν ἤδη δορυφορούμενον. Εἰ τοίνυν κατὰ τὴν τοῦ θεολόγου Γρηγορίου διδασκαλίαν τελευταῖος ὁ ἄνθρωπος ἀνεδείχθη, καὶ ταῦτα χειρὶ Θεοῦ, καὶ εἰκόνι τετιμημένος, καὶ πάντα παρὰ τοῦ Θεοῦ αὐτῷ προητοιμάσθη, καὶ ὥσπερ βασιλεῖ προϋφίσταται τὰ βασίλεια, καὶ οὕτως εἰσήχθη παρὰ Θεοῦ ὡς βασιλεὺς πᾶσιν ἤδη δορυφορούμενος, πῶς λέγουσιν οἱ κατὰ τὸν Ὠριγένην παραφρονοῦντες, ὅτι προϋπάρχουσαι αἱ ψυχαὶ δι' ἁμαρτίας ἐν σώμασι καταπέμπονται, ὀφείλουσαι δίκας ὑπέχειν τῶν πρώην ἡμαρτημένων; Τὸ ἔμπαλιν γὰρ ὁ ἐν ἁγίοις Γρηγόριος, καὶ ὕστερον πάντων λέγει τὸν ἄνθρωπον γεγενῆσθαι, καὶ τιμηθῆναι ὑπὸ Θεοῦ, καὶ βασιλεύειν τῶν ἐπὶ γῆς πάντων. Ὅπερ τιμωρίας μὲν οὐκ ἔστι, πάσης δὲ τὸ ἐναντίον προνοίας καὶ εὐεργεσίας ἔνδειξις ὑπάρχει. Σύμφωνα δὲ τοῖς τοῦ θεολόγου Γρηγορίου, καὶ ὁ ἐν ἁγίοις Ἰωάννης ὁ Κωνσταντινουπόλεως πατριάρχης ἡμᾶς διδάσκει ἐν τῷ ἑνδεκάτῳ λόγῳ τῷ εἰς τὴν κτίσιν, λέγων οὕτως· «Ἀλλ' ἴσως εἴποι τις ἄν,—Καὶ τίνος ἕνεκεν εἰ τιμιώτερον ἡ ψυχὴ τοῦ σώματος, τὸ ἔλαττον πρῶτον δημιουργεῖται, καὶ τότε τὸ μεῖζον, καὶ ὑπερέχον; — Οὐχ ὁρᾷς, ἀγαπητὲ, ὅτι καὶ ἐπὶ τῆς κτίσεως τὸ αὐτὸ τοῦτο γέγονεν; ὥσπερ γὰρ ὁ οὐρανὸς, καὶ ἡ γῆ, καὶ ὁ ἥλιος, καὶ ἡ σελήνη, καὶ τὰ ἄλλα πάντα ἐδημιουργήθη, καὶ μετὰ ταῦτα πάντα ὁ ἄνθρωπος ὁ τούτων πάντων τὴν ἀρχὴν μέλλων ἐγχειρίζεσθαι, τὸν αὐτὸν δὴ τρόπον καὶ ἐν αὐτῇ τῇ διαπλάσει τοῦ ἀνθρώπου, πρότερον τὸ σῶμα πλάττεται, καὶ τότε ἡ ψυχὴ ἡ τιμιωτέρα. Ὃν γὰρ τρόπον τὰ ἄλογα τὰ εἰς ὑπηρεσίαν μέλλοντα εἶναι χρήσιμα πρὸ τοῦ ἀνθρώπου δημιουργεῖται, ἵνα ἑτοίμην ἔχῃ τὴν ὑπηρεσίαν ὁ μέλλων τῆς τούτων χρείας ἀπολαύειν, οὕτω καὶ τὸ σῶμα πρὸ τῆς ψυχῆς δημιουργεῖται, ἵνα ἐπειδὰν κατὰ τὴν ἀπόῤῥητον αὐτοῦ σοφίαν ἡ ψυχὴ παραχθῇ, ἔχει τὰς οἰκείας ἐνεργείας ἐπιδείκνυσθαι διὰ τῆς τοῦ σώματος κινήσεως.» Καὶ ταῦτα μὲν ὅσον ἐπιδεῖξαι τοῖς ἀκροωμένοις ὅτι τὰ αὐτὰ τοῖς ἁγίοις πατράσι φθεγγόμεθα, πανταχοῦ τὴν τῶν ψυχῶν προϋπαρξιν ἀναιροῦσι· πάλιν δὲ τῆς ἁγίας λεγούσης γραφῆς περὶ τοῦ Ἀδὰμ, καὶ τῆς Εὔας· «Εὐλόγησεν αὐτοὺς ὁ Θεὸς, καὶ εἶπεν, — Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτῆς·» — πῶς ἄρα εἰ προϋπῆρχον αἱ ψυχαὶ τῶν σωμάτων, ἔμελλε κατὰ τὴν θείαν πρόσταξιν αὐξάνεσθαι τὰ προϋπάρχοντα κατὰ τοὺς ἐκείνων μύθους; καὶ πῶς εἶχεν ὁ Θεὸς εὐλογῆσαι τὰς ψυχὰς ταῖς ἁμαρτίαις ἤδη ὑποπεσούσας εἰς τὸ αὐξηθῆναί τε, καὶ πληθυνθῆναι; ἁμαρτήσασαι γὰρ αἱ ψυχαὶ κατάρας μᾶλλον ἤπερ εὐλογίας ἐτύγχανον ἄξιαι. Εἰ δὲ προϋπῆρχον αἱ ψυχαὶ ἐν ἑτέρᾳ τάξει ὑπάρχουσαι κατὰ τοὺς Ὠριγένους μύθους, διὰ τί μόνον Ἀδὰμ ἔπλασεν ὁ Θεός; ἆρα μόνον ἡ ψυχὴ τοῦ Ἀδὰμ τότε ἦν ἁμαρτήσασα; καὶ διὰ τοῦτο ἓν σῶμα ἔπλασεν ὁ Θεός; εἰ γὰρ ἦσαν πρὸ τούτου καὶ ἄλλαι ψυχαὶ, ἔδει καὶ ἄλλα σώματα ἅμα πλασθῆναι ὑποδεχόμενα τὰς ψυχάς. Πῶς δὲ ἡ ἁμαρτήσασα κατὰ τοὺς αὐτῶν λόγους ψυχὴ καὶ διὰ τιμωρίαν εἰς σῶμα βληθεῖσα, εἰς τὸν παράδεισον τῆς τρυφῆς παρὰ τοῦ κυρίου ἐτέθη; εἰ γὰρ διὰ τιμωρίαν σώματι ἐνεβλήθη, οὐκ ἐν παραδείσῳ τῆς τρυφῆς, ἀλλ' ἐν κολάσεως ἂν ἀπε-

A quibus dispertiuntur ea quæ fiunt, ineffabili ratione disposita, nec confertim edita a Verbo rerum omnium potente : cujus et cogitare, et dicere rem ipsam est præstare. Quod si postremus homo designatus est, idque manu Dei, et imagine honoratus : nihil mirum ; ei enim tanquam regi oportuit prius regiam aulam subsistere, ac deinde regem induci, omnium jam quasi satellitio stipatum ac munitum. » Quamobrem, si ex Gregorii Theologi doctrina, ultimus homo est designatus, idque Dei manu, et imagine honoratus, ac omnia a Deo illi præparata sunt, eique tanquam regi prius subsunt palatia, sicque a Deo introductus est, omnium jam stipatus obsequio : quomodo dicunt, qui juxta Origenem desipiunt, præexistentes animas, propter peccata in corpora demitti, prius commissa
B luituras? Contra enim sanctus Gregorius et postremum omnium hominem factum esse dicit, et a Deo honoratum, et iis omnibus quæ in terra sunt dominari : quod sane pœnæ non est, sed singularis Providentiæ ac beneficii significatio. Theologo porro Gregorio consentit sancti Joannis Constantinopoleos patriarchæ doctrina in undecimo sermone de creatione, sic enim dicit (*Hom. 13 in Genes.*) : « At fortasse dicat aliquis : Cur, si anima pretiosior est corpore, quod inferius est prius fit, ac demum quod majus est ac nobilius? Annon vides, dilecte, in ipsa creatione idem hoc factum esse? quemadmodum enim cœlum, et terra, et sol, et luna, cæteraque omnia fabricata sunt, ac postremum homo, cui eorum omnium imperium mandandum fuerat : sic in plasma-
C tione hominis, primum formatur corpus, tum anima, quæ honorabilior est. Nam ut expertia rationis, quæ ad utilitatem et obsequium parabantur, ante hominem exstitere, ut parata ministeria haberet, qui eorum commodis frui debebat : ita et corpus ante animam fabricatum est, ut cum juxta occultam Dei sapientiam anima induceretur, propria officia posset motu corporis exsequi. » Atque hæc satis ad ostendendum audientibus, nos ubique eadem sentire ac dicere quæ Patres, qui animarum præexistentiam tollunt. Præterea, cum sancta Scriptura de Adam atque Eva dicat : *Benedixit eos Deus, et dixit : Crescite, et multiplicamini, et replete terram, et dominamini ei* (*Gen.* I) : quomodo, si animæ antiquiores fuere corporibus, futurum fuit, ut secundum divinum
D imperium crescerent ac multiplicarentur, quæ ante, juxta eorum fabulas erant? et quomodo habebat Deus benedicere animas jam in peccata lapsas, ad crescendum et multiplicandum? Animæ enim peccatis contaminatæ, maledictione potius quam benedictione dignæ erant. At si animæ præexistebant, et juxta Origenis fabulas, in alio erant ordine : quamobrem solum Adam plasmavit Deus? an vero Adam anima tum sola peccarat, ac propterea unum corpus a Deo fabricatum? Si enim antea aliæ animæ fuerunt, alia corpora simul fabricari oportuit, quæ susciperent animas. Et quomodo peccatrix, ut eorum est ratio, anima supplicii causa in corpus conjecta, in paradiso deliciarum a Deo posita est? Nam si ut pœnas dependeret in corpus esset missa, non in illo paradiso

τίθετο τόπῳ· τοσοῦτον δὲ ὁ Θεὸς ἠγάπησε τὸν ἄνθρωπον, ὃν μετὰ πάντα τὰ δημιουργήματα ἔπλασεν, ὅτι καὶ μετὰ τὸ παραβῆναι αὐτὸν τὴν δοθεῖσαν αὐτῷ παρὰ τοῦ Θεοῦ ἐντολὴν, καὶ διὰ τοῦτο ἐκβληθῆναι τοῦ παραδείσου, αὐξανομένου τοῦ γένους τῶν ἀνθρώπων, καὶ πληθυνομένης τῆς ἁμαρτίας διὰ τὸ ἐγκεῖσθαι τὴν διάνοιαν τῶν ἀνθρώπων ἐπιμελῶς ἐπὶ τὰ χείρονα, οὐ περιεῖδεν ὁ Θεὸς ὡς ἀγαθὸς τὸ ἴδιον πλάσμα, ἀλλὰ διαφόροις ἐνουθέτησε τρόποις τοῖς ἀπὸ τῆς ἁγίας δηλουμένοις γραφῆς· ἐπειδὴ δὲ ἐπὶ δεινοτέροις τοῖς ἀῤῥωστήμασι μείζονος ἐδεόμεθα καὶ τῆς (θεραπείας) ἰατρείας, αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ λόγος, ὁ εἷς, τουτέστι τὸ ἓν πρόσωπον τῆς ἁγίας τριάδος, διὰ τὴν ἑαυτοῦ φιλανθρωπίαν ἄνθρωπος γίνεται μένων Θεὸς, μηδὲ τὴν θεϊκὴν αὐτοῦ οὐσίαν ἀλλοιώσας εἰς τὴν ἀνθρωπίνην, μηδὲ τὴν ἀνθρωπίνην αὐτοῦ οὐσίαν εἰς τὴν θεϊκὴν μεταβαλών. Καὶ ἔστιν εἷς καὶ ὁ αὐτὸς ἐν ἑκατέραις ταῖς φύσεσιν ἀσυγχύτως καὶ ἀδιαιρέτως γνωριζόμενος. Μείνας γὰρ ὅπερ ἦν, γέγονεν ὅπερ οὐκ ἦν. Καὶ τὸν ὀφειλόμενον θάνατον παρ' ἡμῶν ἐκ τῆς διὰ τὴν παράβασιν κατακρίσεως, ἐν τῇ ἰδίᾳ σαρκὶ ἀναδεξάμενος, ἠλευθέρωσεν ἡμᾶς τοῦ αἰωνίου θανάτου, ἀπαρχὴ τῶν κεκοιμημένων γενόμενος, καὶ πρωτότοκος ἀναστὰς ἐκ νεκρῶν συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις, καθὼς ἡμᾶς διδάσκει ἡ ἀποστολικὴ παράδοσις. Εἰ γὰρ καὶ τὴν ἀρχὴν ἡ ἀνθρωπίνη φύσις διὰ τὴν παρακοὴν ἐστερήθη τοῦ παραδείσου, ἀλλ' ὅμως ὡς εἴρηται, ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ, ἣν ἠγάπησεν ἡμᾶς, τὴν ἡμετέραν φύσιν ἑνώσας ἑαυτῷ ἀδιασπάστως καθ' ὑπόστασιν, ἐν τῇ μήτρᾳ τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μείζονος ἡμᾶς ἠξίωσε χάριτος, τὴν ἐν οὐρανοῖς βασιλείαν ἡμῖν χαρισάμενος. Μαρτυρεῖ δὲ τούτοις καὶ ὁ ἐν ἁγίοις Ἰωάννης ὁ Κωνσταντινουπόλεως πατριάρχης ἐν τῷ λόγῳ τῷ εἰς τὴν ἀνάληψιν, λέγων οὕτως· « ἡμεῖς οἱ τῆς γῆς ἀνάξιοι φανέντες, σήμερον εἰς τὸν οὐρανὸν ἀνήχθημεν· οἱ μηδὲ τῆς κάτω ἀρχῆς ὄντες ἄξιοι, πρὸς τὴν βασιλείαν ἀνέβημεν τὴν ἄνω, ὑπερέβημεν τοὺς οὐρανοὺς, ἐπελαβόμεθα τοῦ θρόνου τοῦ βασιλικοῦ· καὶ ἡ φύσις, δι' ἣν ἐφύλαττε τὸν παράδεισον τὰ Χερουβὶμ, αὐτὴ ἐπάνω τῶν Χερουβὶμ κάθηται σήμερον. » Ἀποδέδεικται τοίνυν ὅτι οὐχ ὡς Ὠριγένης ληρεῖ, ἐν οὐρανοῖς αἱ ψυχαὶ προϋπάρχουσαι, ἔπειτα ἁμαρτήσασαι κατεπέμφθησαν τιμωρίας χάριν εἰς τὰ σώματα. Ἀλλ' ἐκ τῶν ἐναντίων ἐπὶ γῆς δημιουργηθεῖσα ὅλη ἡ τοῦ ἀνθρώπου φύσις, τουτέστι σώματος καὶ ψυχῆς, διὰ τῆς ἐπιβαλλούσης τοῦ Θεοῦ ἀγαθότητος τῆς ἐν οὐρανοῖς ἠξίωται βασιλείας. Ὥστε τοὺς ἀνθρώπους τοὺς τὴν ἐντολὴν τοῦ Θεοῦ φυλάττοντάς τε, καὶ πληροῦντας, ἀξιοῦσθαι τῆς ἐν οὐρανοῖς τῶν ἀγγέλων συνδιαγωγῆς· οὓς ἐν τῇ γῇ διὰ τῆς πρὸς Θεὸν ὁμολογίας μιμεῖσθαι προσετάχθημεν. Βουλόμενος γὰρ ὁ Θεὸς διὰ τὴν ἄφραστον αὐτοῦ φιλανθρωπίαν, ὃν τρόπον ἐν οὐρανοῖς ὑπὸ τῶν ἁγίων δυνάμεων δοξάζεται, οὕτω καὶ ἐπὶ τῆς γῆς ὑπὸ τῶν ἀνθρώπων δοξάζεσθαι, ἐδημιούργησε τὸν ἄνθρωπον, δεύτερον ἄγγελον ἐπὶ τῆς γῆς, ὡς ἂν πληρωθῇ τὰ πάντα δόξης Θεοῦ. Ὅθεν καὶ ὁ κύριος παραδιδοὺς ὅπως ὀφείλουσι προσεύχεσθαι, λέγει· — Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. »

Σύμφωνα δὲ τοῖς παρ' ἡμῶν εἰρημένοις καὶ ὁ ἐν ἁγίοις Θεολόγος Γρηγόριος ἐν τῷ λόγῳ τῷ εἰς τὸ ἅγιον πάσχα

A sed in supplicii loco collocaretur. Tantopere vero dilexit hominem Deus, quem post omnes creaturas fabricaverat, ut cum ille transgressus esset datum sibi præceptum, ac idcirco e paradiso esset expulsus; crescente hominum genere, et gliscente peccato, quod cogitatio hominis ad deteriora pravo studio incumberet, figmentum suum Deus, ut pote bonus, non neglexerit, sed multis modis reprehenderit et castigarit, sicuti sancta Scriptura significat. Postquam vero ob graviores morbos majore medicina indiguimus, ipsum unigenitum Dei Verbum, unus, id est, una persona, sanctæ Trinitatis, propter benignitatem suam homo fit, manens Deus, nec divina sua substantia in humanam conversa, nec humana in divinam mutata; unusque est ac idem in utraque natura, in iisque incon- B fuse atque indivise cognoscitur. Manens enim quod erat, factum est quod non erat: mortemque nobis debitam ex transgressionis damnatione, in propria carne suscipiens, æterna nos morte liberavit, *primitiæ dormientium factus, ac primogenitus resurgens ex mortuis, consuscitavit et consedere nos fecit in cœlestibus* (*I Cor.* XV; *Coloss.* I; *Ephes.* II): quemadmodum nos docet traditio apostolica. Quamvis enim a principio humana natura propter inobedientiam privata paradiso est: tamen, ut est dictum, *Unigenitus Dei Filius propter multam charitatem suam qua dilexit nos* (*Ephes.* II), naturam nostram sibi uniens indivise secundum subsistentiam in utero sanctæ gloriosæ Dei genitricis semper virginis Mariæ, majori nos dignatus est gratia, donans nobis regnum cœlorum. C Atque his testimonium perhibet sanctus Joannes Constantinopoleos patriarcha in sermone de Ascensione (*Tom. III oper. ejus*), sic dicens: « Qui terra indigni exstiteramus, hodie in cœlum elevati sumus: qui ne inferiore quidem imperio fueramus digni, ad regnum supernum conscendimus, supergressi cœlos, regiumque solium adepti. Natura, propter quam Cherubim paradisum custodiebant (*Gen.* III), ipsa supra Cherubim hodie sedet. » Quamobrem demonstratum est animas, non, ut Origenes nugatur, in cœlis prius fuisse, ac deinde in corpora missas, ut perpetratorum peccatorum pœnas exsolverent; sed contra, in terra fabricatam universam naturam humanam, id est corpus atque animam, bonitate ac dignatione divina cœlos adeptam esse: ut qui homines mandatum D Dei custodirent ac implerent, angelorum in cœlis conversatione digni haberentur, quos in terra imitari per confessionem in Deum jussi sumus. Nam cum vellet Deus propter inenarrabilem humanitatem suam, sicut in cœlis a sanctis virtutibus glorificatur, ita et in terra glorificari ab hominibus, fabricatus est hominem, alterum angelum in terris: ut Dei gloria omnia complerentur. Itaque Dominus tradens quomodo sit orandum, dicit: *Pater noster, qui es in cœlis, sanctificetur nomen tuum, adveniat regnum tuum, fiat voluntas tua sicut in cœlo et in terra.*

Cum his porro quæ a nobis dicta sunt, conveniunt quæ sanctus Theologus Gregorius docet in sermone

διδάσκει, λέγων οὕτως· « Τοῦτο δὴ βουληθεὶς ὁ τεχνίτης ἐπιδείξασθαι λόγος, καὶ ζῶον ἓν ἐξ ἀμφοτέρων, ὁρατῆς τε λέγω καὶ ἀοράτου φύσεως, δημιουργεῖ τὸν ἄνθρωπον· καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα ἤδη προϋποστάσης, παρ' ἑαυτοῦ δὲ ζωὴν ἐνθεὶς, ὃ δὴ ψυχὴν νοερὰν, καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος, οἷόν τινα κόσμον ἕτερον ἐν μικρῷ μέγαν ἐπὶ τῆς γῆς ἵστησιν, ἄγγελον ἄλλον προσκυνητὴν μικτὸν, ἐπόπτην τῆς ὁρατῆς κτίσεως, μύστην τῆς νοουμένης, βασιλέα τῶν ἐπὶ γῆς, βασιλευόμενον ἄνωθεν. » Πρόσχες τοίνυν, ὅτι λέγων ὁ πατὴρ, ἐξ ἀμφοτέρων ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, προσέθηκεν, ὅτι τὸ μὲν σῶμα ἐξ ὕλης ἤδη προϋποστάσης ἔλαβε, τὴν δὲ ψυχὴν οὐδὲ προϋπάρχειν εἶπεν, οὐδὲ ἔκ τινος προϋπαρχούσης οὐσίας γεγενῆσθαι, ἀλλ' ὅτι παρ' ἑαυτοῦ ὁ Θεὸς ἐνέθηκε τὴν ζωὴν, ὃ δὴ ψυχὴν νοερὰν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος. Καὶ τὸ εἰπεῖν δὲ τὸν πατέρα, ὅτι βασιλέα ἐπὶ τῆς γῆς ἐποίησε τὸν ἄνθρωπον ὁ Θεὸς βασιλευόμενον ἄνωθεν, ἀναιρεῖ τὸ λέγειν ὡς διὰ κόλασιν ἐνεβλήθησαν αἱ ψυχαὶ τοῖς σώμασι· τὸ γὰρ βασιλεύειν ἐπὶ τῆς γῆς, καὶ ὑπὸ Θεοῦ μόνου βασιλεύεσθαι, οὐ τιμωρίας, ἀλλὰ μεγάλης ἐστὶ τῆς τοῦ Θεοῦ δωρεᾶς.

A de sancto Paschate (*Orat.* 42, *quæ est* 2 *de Paschate*); sic enim dicit : « Cum hanc rem Verbum artifex demonstrare vellet, etiam animal unum ex utrisque, natura videlicet visibili atque invisibili, hominem fabricatur; sumptoque corpore e materia quæ ante subsistebat, ac a seipso vitam indens (quod utique animam intelligentem et imaginem Dei esse ratio novit), veluti quemdam alterum mundum, in parvo magnum constituit in terra, alium angelum, promiscuum adoratorem, contemplatorem visibilis naturæ, studiosumque ejus quæ sola mente comprehenditur : eorum quæ in terra sunt, imperatorem superno obtemperantem imperio. » Quare attendendum est, Patrem hunc, cum diceret Deum ex utrisque fecisse hominem, addidisse e prius subsistente materia corpus sumptum : B non dixisse vero prius exstitisse animam, nec ex ulla substantia natam quæ ante existeret : sed Deum per seipsum vitam indidisse, quod animam esse intelligentem, et Dei imaginem, novit ratio. Quod autem dicit Pater, Deum fecisse hominem imperatorem in terra, superno obstrictum imperio, evertit eorum assertionem qui ad pœnam animas immissas corporibus dicunt. Nam in terra regnare, soliusque Dei teneri imperio, non in supplicii loco ducendum est, sed in magno beneficio ac munere Dei.

Πρὸς τούτοις δὲ κἀκεῖνο εἰπεῖν ἀναγκαῖον ἡγούμεθα πρὸς τοὺς τὴν προϋπαρξιν λέγοντας, ὅτι εἴπερ ἀληθὲς ἦν τὸ προϋπάρχειν τὰς ψυχὰς τῶν σωμάτων, ἐγίνωσκον ἂν καὶ ἐμέμνηντο ὅ τι ἔπραττον καὶ πρὸ τοῦ εἰσελθεῖν ἐν τοῖς σώμασιν, ὥσπερ καὶ μετὰ τὴν τελευτὴν ἐπίστανται καὶ γινώσκουσι τὰ πραχθέντα αὐταῖς ἐν τοῖς σώμασιν. Ἀποδείξομεν δὲ τὸ γινώσκειν τὴν ψυχὴν μετὰ τὴν ἐντεῦθεν ἀποβίωσιν τὰ ἑαυτῇ πεπραγμένα, ἐξ αὐτῶν τῶν τοῦ εὐαγγελίου ῥημάτων· λέγει γὰρ ὁ δεσπότης ἡμῶν καὶ σωτὴρ Χριστὸς ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ εἰς τὴν περιοχὴν τοῦ Λαζάρου καὶ τοῦ πλουσίου, ταῦτα· « Ἄνθρωπός τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς. Πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος, ὃς ἐβέβλητο εἰς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος, καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· ἀλλὰ καὶ οἱ κύνες ἀπέλειχον ἐρχόμενοι τὰ ἕλκη αὐτοῦ. Ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν, καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον Ἀβραάμ. Ἀπέθανε δὲ καὶ ὁ πλούσιος, καὶ ἐτάφη. Καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν, καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ· καὶ αὐτὸς φωνήσας εἶπε· — Πάτερ Ἀβραὰμ, ἐλέησόν με καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος, καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. — Εἶπε δὲ Ἀβραάμ· — Μνήσθητι, τέκνον, ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ αὐτὸς παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. Καὶ ἐπὶ πᾶσι τούτοις μεταξὺ ἡμῶν τε καὶ ὑμῶν μέγα χάσμα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἐντεῦθεν πρὸς ὑμᾶς, μὴ δύνωνται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν. — Εἶπε δέ· — Ἐρωτῶ οὖν σε, πάτερ, ἵνα πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου, ἔχω γὰρ πέντε ἀδελφοὺς, ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ εἰσέλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου. » Αἰσχυνθήτωσαν οὖν οἱ Ὠριγένους ἀντιποιούμενοι καὶ ἐκ τῶν τοῦ

Ad hæc illud nobis necessario dicendum existimamus in eos qui præexistentiam asserunt : Si verum esset, prius esse animas quam corpora, cognoscerent ac recordarentur quæ ante gessissent quam in corpora venirent; quemadmodum post obitum sciunt ac norunt quæ in corporibus egere. Demonstrabimus autem animam post discessum e vita cognoscere quæ C gessit, ex ipsis Evangelii verbis; hæc enim dicit Dominus noster et Salvator Christus in Evangelio secundum Lucam in periocha Lazari et divitis (*Luc.* XVI) : *Homo quidam erat dives, et induebatur purpura et bysso, et epulabatur quotidie splendide. Et erat quidam mendicus nomine Lazarus, qui jacebat ad januam ejus, ulceribus plenus, cupiens saturi de micis quæ cadebant de mensa divitis : sed et canes veniebant, et lingebant ulcera ejus. Factum est autem ut moreretur mendicus, et portaretur ab angelis in sinum Abrahæ. Mortuus est autem et dives, et sepultus est. Et in inferno elevans oculos suos cum esset in tormentis, vidit Abraham a longe, et ipse Lazarum in sinu ejus : et ipse clamans dixit : Pater Abraham, miserere mei, et mitte Lazarum, ut intingat extremum digiti sui in aquam, et* D *refrigeret linguam meam, quia crucior in hac flamma. Et dixit illi Abraham : Fili, recordare quia recepisti tu bona tua in vita tua, et Lazarus similiter mala; nunc autem hic consolatur, tu vero cruciaris. Et in his omnibus inter nos et vos magnum chaos firmatum est. Ut hi qui velint transire ad vos, non possint, neque inde huc transmeare. Et ait : Rogo ergo te, pater, ut mittas eum in domum patris mei; habeo enim quinque fratres : ut testetur illis, ne et ipsi veniant in hunc locum tormentorum.* Quamobrem pudeat eos qui tuentur Origenem vel ex sancti Evangelii verbis. Si enim ante animæ quam corpora fuissent, cognoscerent ea quæ ante corpus fecissent, quemadmodum post migrationem e vita reminiscuntur ea quæ in corpore

ἁγίου εὐαγγελίου ῥημάτων. Εἰ γὰρ προϋπῆρχον αἱ ψυχαὶ τῶν σωμάτων, ἐγίνωσκον ἂν καὶ τὰ πρὸ τοῦ σώματος αὐταῖς πραχθέντα, καθάπερ καὶ μετὰ τὴν ἀποβίωσιν μέμνηνται τῶν διὰ τοῦ σώματος αὐταῖς πεπραγμένων. Τοῦτο γὰρ ἐκ τῶν ῥήσεων τοῦ ἁγίου εὐαγγελίου ἐδιδάχθημεν.

A gesserunt; hoc enim e verbis sancti Evangelii didicimus.

Ὅτι δὲ ταῖς θεοπνεύστοις γραφαῖς ἀκολουθοῦντες οἱ ἅγιοι πατέρες τὰ τοιαῦτα κατέκριναν δόγματα, σὺν Ὠριγένει τῷ ταῦτα μυθολογήσαντι, ἐξ αὐτῶν τῶν εἰρημένων τοῖς ἁγίοις πατράσι καὶ ἤδη μὲν σαφῶς ἀπεδείξαμεν, οὐδὲν δὲ ἧττον καὶ διὰ τῶν ἐφεξῆς μαρτυριῶν τῶν ἁγίων πατέρων ἀποδείξομεν, καὶ πρῶτον τὸν ἅγιον Πέτρον ἐπίσκοπον Ἀλεξανδρείας γενόμενον καὶ μάρτυρα παραθησόμεθα, τοῖς τοιούτοις ἡμῶν μαρτυροῦντα λόγοις.

Quod autem et sancti Patres, sequentes inspiratas divinitus Scripturas, talem doctrinam condemnarunt, una cum Origene, qui hæc commentus est, jam quidem ex iis quæ illi dixerunt, aperte ostendimus: nihilo tamen secius et ex insequentibus Patrum testimoniis sumus demonstraturi. Ac primum sanctum Petrum, qui episcopus Alexandriæ et martyr fuit, proponemus, testimonium nostris his sermonibus perhibentem.

Τοῦ ἁγίου Πέτρου ἐπισκόπου καὶ μάρτυρος τῆς μεγαλοπόλεως Ἀλεξανδρείας, ἐκ τοῦ πρώτου λόγου, περὶ τοῦ μηδὲ προϋπάρχειν τὴν ψυχὴν μηδὲ ἁμαρτήσασαν, διὰ τοῦτο εἰς σῶμα βληθῆναι· « Ἡγούμεθα τὰ περὶ τοῦ πρώτου ἐκ τῆς γῆς χοϊκοῦ γεγενημένου ἀνθρώπου παραθέσθαι, πρὸς τὸ δεῖξαι ἕνα καὶ τὸν αὐτὸν ἐν τῷ αὐτῷ καιρῷ γενόμενον, κἂν μερικῶς ποτε ὁ ἔσω καὶ ἔξω λέγηται ἄνθρωπος. Εἰ γὰρ καὶ κατὰ τὸν σωτήριον λόγον, ὁ ποιήσας τὰ ἔσωθεν, καὶ τὰ ἔξωθεν ἐποίησεν, ἀλλ' οὖν γε ἐφάπαξ, καὶ ἐν ἑνὶ καιρῷ, τουτέστι τῇ αὐτῇ ἡμέρᾳ, ὅτε εἶπεν ὁ Θεός,—Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν. — Ὡς ἐκ τούτου εὔδηλον εἶναι, ὅτι οὐκ ἀπὸ συνόδου, ὡς προόντος τινὸς ἑτέρου, καὶ ἀφ' ἑτέρου τόπου συνεληλυθότος, γεγέννηται. Εἰ γὰρ σύνοδος ἦν, τίνος ἕνεκεν καὶ τὸ πεποιημένον ἀνεγράφη; » Καὶ μεθ' ἕτερα· « Ὥστε οὐκ ἐνδέχεται πρὸ σωμάτων οὐρανῷ ἁμαρτάνων [F. ἁμαρτάνειν] ψυχάς, μηδὲ ὅλως πρὸ σωμάτων ὑποστάσας. Τὸ γὰρ μάθημα τοῦτο τῆς Ἑλληνικῆς ἐστι φιλοσοφίας, ξένης καὶ ἀλλοτρίας οὔσης τῶν ἐν Χριστῷ εὐσεβῶς θελόντων ζῆν. »

S. Petri episcopi Alexandriæ et martyris, ex primo B sermone, quod nec præexstitit anima, nec, cum peccasset, propterea in corpus missa est: « Duximus quædam de primo e terra terreno homine proponenda, ut demonstretur unum et eumdem eodem in tempore esse factum: quamvis particulariter nonnunquam interior et exterior homo dicatur. Nam etsi, secundum salutarem sermonem, qui interiora fecit, exteriora quoque fecit: tamen semel et eodem tempore, id est eadem die, cum dixit Deus: *Faciamus hominem ad imaginem et similitudinem nostram;* ex quo perspicuum est, non ex congressu, quasi aliquid aliud antecesserit, et ex alio loco convenerit, factum esse. Nam si congressus fuit, quamobrem descriptum est quod jam factum fuerat? » Et post alia: « Itaque non recipitur, ante corpora in cœlo peccare animas, quæ prorsus ne ante corpora quidem substiterunt; hæc enim C doctrina a paganorum philosophia est, quæ peregrina est, et ab iis aliena, qui pie in Christo volunt vivere. »

Τοῦ αὐτοῦ ἐκ τῆς μυσταγωγίας, ἧς ἐποιήσατο πρὸς τὴν ἐκκλησίαν, μέλλων τὸν τοῦ μαρτυρίου στέφανον ἀναδέχεσθαι· « Διὰ τοῦτο παρακαλῶ, γρηγορεῖτε, ὅτι εἰς θλῖψιν πάλιν μέλλετε εἰσελθεῖν. Οἴδατε πόσους κινδύνους ὑπέμεινεν ὁ ἀναθρέψας με πατήρ μου καὶ ἐπίσκοπος Θεονᾶς ἀπὸ μαινομένων εἰς τὰ εἴδωλα· οὗ καὶ τὸν θρόνον διεδεξάμην. εἴθε δὲ καὶ τὸν τρόπον· ὡς δὲ καὶ ὁ μέγας Διονύσιος κατακρυπτόμενος ἀπὸ τόπων εἰς τόπους, καὶ πρὸς τούτῳ καὶ Σαβελλίου θλίβοντος. Τί δὲ εἴπω Ἡρακλᾶν καὶ Δημήτριον, τοὺς μακαρίους ἐπισκόπους, οἵους πειρασμοὺς ὑπέστησαν ὑπὸ τοῦ μανέντος Ὠριγένους, καὶ αὐτοῦ σχίσματα βάλλοντος ἐν τῇ ἐκκλησίᾳ, τὰ ἕως σήμερον ταραχὰς αὐτῇ ἐγείραντα; » Πῶς τοίνυν δύναταί τις τῶν εὖ φρονούντων ἐναντιοῦσθαι τοῖς κατὰ Ὠριγένους εἰρημένοις παρὰ τοῦ ἁγίου μάρτυρος καὶ ἐπισκόπου Ἀλεξανδρείας Πέτρου; ὅς τις τὸν καλὸν ὑπὲρ Χριστοῦ ἀναδεξάμενος ἀγῶνα, οὐ μόνον ἀπεκήρυξεν Ὠριγένην καὶ τὰ μυσαρὰ αὐτοῦ δόγματα, ἀλλὰ καὶ μαρτυρεῖ ὡς οἱ πρὸ αὐτοῦ ἅγιοι πατέρες πολλοὺς ὑπέμειναν πειρασμοὺς ἀπὸ τῆς ἐκείνου φρενοβλαβείας.

Ejusdem ex mystagogia quam fecit ad Ecclesiam, cum martyrii coronam suscepturus esset: « Propterea obsecro, vigilate. Afflictionem enim rursum adituri estis. Scitis quot subierit pericula qui me enutrivit pater meus et episcopus Theonas, ab iis qui in idola insanirent: in cujus ego sedem successi, utinam etiam in mores! scitis ut magnus se gesserit Dionysius, qui se e locis in loca abdebat, cum insuper Sabellius affligeret. Quid porro dicam Heraclam et Demetrium beatos episcopos? quales tentationes D sustinuerunt ab insano Origene, cum ipse dissidia in Ecclesia sereret, quæ ad hanc usque diem ei turbas excitant? » An igitur potest aliquis bene sentientium iis adversari, quæ in Origenem dicta sunt a sancto martyre et episcopo Alexandriæ Petro? qui egregium pro Christo certamen suscipiens, non solum Origenem, sceleratamque ejus doctrinam abdicavit, sed etiam testificatur sanctos qui ante ipsum fuerant Patres multas sustinuisse tentationes ab illius dementia.

Εἶπε δὲ καὶ ὁ ἐν ἁγίοις Ἀθανάσιος, ἐπίσκοπος καὶ αὐτὸς Ἀλεξανδρείας γενόμενος, ἐν τῷ λόγῳ τῷ εἰς τὸν βίον τοῦ μακαρίου Ἀντωνίου, ταῦτα· « Πῶς δὲ χλευάζειν ἡμᾶς τολμᾶτε λέγοντας τὸ, Χριστὸν ἄνθρωπον πεφανερῶσθαι, ὅπου γε ὑμεῖς ἐκ τοῦ νοῦ τὴν ψυχὴν ὁρίζοντες, φάσκετε πεπλανῆσθαι αὐτήν, καὶ πεπτωκέναι ἀπὸ τῆς ἀψῖδος τοῦ οὐρανοῦ εἰς σῶμα; » Δεῖ προσέχειν τοὺς ἀκροωμένους,

Dixit quoque sanctus Athanasius, qui et ipse episcopus fuit Alexandriæ, in sermone de beati Antonii vita: « Quomodo nos irridere audetis, qui dicimus Christum hominem manifestatum esse? cum et vos de mente animam esse definientes, eam errasse dicatis, ac de apside cœli in corpus cecidisse? » Attendant qui audiunt, sanctum Athanasium iis aperte adver-

ὅτι ὁ ἐν ἁγίοις Ἀθανάσιος σαφῶς ἐναντιοῦται τοῖς λέγουσι προϋπάρχειν τὸν νοῦν, καὶ ἐκ τούτου γεγενῆσθαι τὴν ψυχὴν ἁμαρτήσασαν, καὶ πεπτωκυῖαν ἀπὸ τῆς ἀψῖδος τοῦ οὐρανοῦ εἰς σῶμα.

Τοῦ αὐτοῦ ἁγίου Ἀθανασίου ἐκ τοῦ κατὰ Ἀρειανῶν δευτέρου λόγου· « Πᾶσα ἡ φαινομένη κτίσις ἐν ἓξ ἡμέραις γέγονε· καὶ τῇ μὲν πρώτῃ τὸ φῶς, ὅπερ ἐκάλεσεν ἡμέραν· τῇ δὲ δευτέρᾳ τὸ στερέωμα, καὶ τῇ τρίτῃ συναγαγὼν τὰ ὕδατα, ἔδειξε τὴν ξηράν, καὶ τοὺς ἐν αὐτῇ ποικίλους προήγαγε καρπούς, καὶ τῇ τετάρτῃ πεποίηκε τὸν ἥλιον καὶ τὴν σελήνην, καὶ πάντα τὸν τῶν ἀστέρων χορόν· τῇ δὲ πέμπτῃ τῶν ἐν τῇ θαλάττῃ ζώων, καὶ τῶν ἐν τῷ ἀέρι πετεινῶν τὴν γένεσιν ἔκτισε· τῇ δὲ ἕκτῃ τετράποδα ἐπὶ τῆς γῆς πεποίηκε, καὶ λοιπὸν τὸν ἄνθρωπον τὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος. Τά τε ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται· καὶ οὔτε τὸ φῶς ὡς ἡ νύξ, οὔτε ὁ ἥλιος ὡς ἡ σελήνη, οὔτε τὰ ἄλογα ὡς ὁ λογικὸς ἄνθρωπός ἐστιν, οὔτε ἄγγελοι ὡς οἱ θρόνοι, οὔτε οὗτοι ὡς αἱ ἐξουσίαι· ἀλλὰ πάντα μέν ἐστι κτίσματα, ἕκαστον δὲ τῶν γενομένων κατὰ γένος τῇ ἰδίᾳ οὐσίᾳ ὡς γέγονεν, ἔστι καὶ μένει. » Ἰδοὺ καὶ ὁ ἅγιος Ἀθανάσιος παραδίδωσιν, ὅτι μετὰ πάντα τὰ κτίσματα ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, τὸν ἐκ σώματος καὶ ψυχῆς νοερᾶς καὶ λογικῆς. Οὐ γὰρ εἶπε τὸ σῶμα μετὰ πάντα γενέσθαι, ἵνα προϋπάρχουσα ἡ ψυχὴ εἰσέλθῃ ἐν αὐτῷ· ἀλλ' εἶπε μετὰ πάντα τὰ κτίσματα τὸν ἄνθρωπον γεγενῆσθαι, τὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος· δεικνὺς ὅτι ἀμφότερα, τουτέστι σῶμά τε καὶ ψυχήν, ὁ Θεὸς κατὰ ταυτὸν ἐδημιούργησεν.

Ἐπειδὴ δὲ καὶ τοῦτο μετὰ τῶν ἄλλων Ὠριγένους βλασφημιῶν εἴρηται, ὅτι ἡ τοῦ Κυρίου ψυχὴ προϋπῆρχε, καὶ ταύτῃ ὁ Θεὸς λόγος ἥνωτο πρὸ τῆς ἐκ παρθένου σαρκώσεως· καὶ τὴν τοιαύτην ἀναιρῶν ληρῳδίαν αὐτὸς ὁ ἐν ἁγίοις Ἀθανάσιος ἐν τῇ πρὸς Ἐπίκτητον ἐπιστολῇ, λέγει τάδε· « Εἰκότως καταγνώσονται ἑαυτῶν πάντες οἱ νομίζοντες πρὸ τῆς Μαρίας εἶναι τὴν ἐξ αὐτῆς σάρκα, καὶ πρὸ ταύτης ἐσχηκέναι ψυχὴν ἀνθρωπίνην τὸν Θεὸν λόγον, καὶ ἐν αὐτῇ πρὸ τῆς ἐπιδημίας ἀεὶ γεγενῆσθαι. » Εἰ τοίνυν κατὰ τὰ εἰρημένα τῷ ἐν ἁγίοις Ἀθανασίῳ, ἡ ψυχὴ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ κατὰ πάντα ὁμοιωθέντος ἡμῖν χωρὶς ἁμαρτίας, οὐ προϋπῆρχε τῆς ἐν σαρκὶ αὐτοῦ ἐπιδημίας, ποίας ἂν εἴη μανίας τὸ λέγειν, τὰς ἄλλας τῶν ἀνθρώπων ψυχὰς προϋπάρχειν τῶν σωμάτων;

Ἀκούσωμεν δὲ πρὸς τούτοις καὶ τοῦ ἐν ἁγίοις Βασιλείου ἐν τῷ λόγῳ εἰς τό· Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, λέγοντος οὕτως· « Ὅρα μή ποτέ σε παρακρούσηται τὸ ὁμώνυμον τῆς φωνῆς· πῶς γὰρ ἐν ἀρχῇ ἦν ὁ ἀνθρώπινος λόγος, τοῦ ἀνθρώπου κάτω που λαβόντος τὴν ἀρχὴν τῆς γενέσεως; πρὸ ἀνθρώπου θηρία, πρὸ ἀνθρώπου κτήνη, τὰ ἑρπετά, ὅσα χερσαῖα καὶ ἔνυδρα, τὰ πετεινὰ τοῦ οὐρανοῦ, ἀστέρες, ἥλιος, σελήνη, βοτάναι, γῆ, θάλασσα, οὐρανός. » Ἰδοὺ ὁ Πατὴρ σαφῶς ἡμῖν προαγορεύει, μὴ συναπαχθῆναι τοῖς τοῦ Ὠριγένους μύθοις περὶ τῆς τῶν ψυχῶν προϋπάρξεως. Οὐ διδάσκει γὰρ ἡμᾶς ἐν ἀρχῇ τὸν ἀνθρώπινον λόγον, τουτέστι τὴν ψυχήν, ἀλλὰ διαῤῥήδην βοᾷ, ὅτι ἡ ἀνθρώπου γένεσις ὑστέρα ἐστὶ πάντων τῶν τοῦ Θεοῦ κτισμάτων. Εἰ τοίνυν πάντα τὰ κτίσματα πρὸ τοῦ ἀνθρώπου, πῶς προϋπῆρχον αἱ ψυχαί; Ὁ γὰρ πατὴρ οὐ πρὸ τοῦ σώματος, ἀλλὰ πρὸ τοῦ

A sari qui mentem præexistere dicunt, et ex ea animam ortam, quæ peccato se contaminavit, ac e cœli convexo in corpus decidisse.

Ejusdem S. Athanasii e sermone secundo contra Arianos : « Omnis creatura aspectabilis in sex diebus facta est; ac primo quidem die lux, quam vocavit diem; secundo autem firmamentum; tertio, collectis aquis ostendit aridam, variosque in ea produxit fructus; quarto, fecit solem et lunam, omnemque stellarum chorum; quinto, maris natatilium, aerisque volatilium generationem condidit; sexto, fecit in terra quadrupedes, ac demum hominem, qui ex anima rationali est et corpore. *Ac invisibilia ejus a creatura mundi, per ea quæ facta sunt intellecta conspiciuntur*
B (*Rom.* I); et neque lux est ut nox, neque sol ut luna, neque angeli sicut throni, neque hi ut potestates; sed creaturæ quidem omnes sunt, unumquodque autem eorum quæ orta sunt, secundum genus in propria substantia, ut factum est, persistit ac manet. » Ecce sanctus quoque Athanasius tradit, post omnes creaturas Deum fecisse hominem ex corpore et anima intelligente ac rationali. Neque enim dixit, corpus post omnia factum esse, ut præexistens anima in id ingrederetur : sed dixit, post omnes creaturas hominem esse factum, qui ex anima rationali est et corpore : ostendens, utraque, id est corpus et animam Deum simul fabricatum esse.

C Quoniam autem Origenes ad cæteras blasphemias hoc adjunxit, Domini animam prius exstitisse, eique Deum Verbum esse unitum antequam e Virgine incarnaretur : hoc etiam deliramentum evertens ipse sanctus Athanasius in epistola ad Epictetum, sic dicit : « Merito sese damnabunt omnes qui existimant ante Mariam esse carnem, quæ ex ea est; ac ante eam habuisse animam humanam Deum Verbum, ac in ea ante adventum semper fuisse. » Quare si ex iis quæ a sancto Athanasio dicta sunt, anima Domini nostri Jesu Christi, qui per omnia nobis similis factus est absque peccato, non fuit ante ejus in carne adventum : qualis insaniæ est, dicere alias hominum animas ante corpora esse?

Audiamus præterea S. Basilium in sermone in illud
D (*Hom.* XVI) : *In principio erat Verbum, et Verbum erat apud Deum*, ita dicentem : « Vide ne quando te vocis ambiguitas fallat; quomodo enim in principio erat humana ratio, cum homo postremo principium generationis acceperit? Ante hominem fuere bestiæ, ante hominem jumenta; reptilia, tum terrestria, tum aquatilia; volatilia cœli, stellæ, sol, luna; herbæ, terra, mare, cœlum. » Ecce Pater aperte nobis denuntiat, ne Origenis fabulis de animarum præexistentia inducamur. Docet enim nos, in principio fuisse humanam rationem, id est animam : sed aperte clamat, omnibus Dei creaturis ortum hominibus posteriorem esse. Si ergo creaturæ omnes ante hominem, quomodo prius animæ fuerunt? Pater enim non ante corpus, sed ante hominem, qui est anima et corpus,

ἀνθρώπου, ὅπερ ἐστὶ ψυχή τε καὶ σῶμα, εἶπε τὰ πάντα A γεγενῆσθαι· καὶ ἐκ τούτου δείκνυται ἅμα ἑκάτερον δημιουργηθῆναι.

Λέγει δὲ καὶ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ Νύσσης ἐν τῇ εἰς τὸν ἄνθρωπον πραγματείᾳ· «Τάχα γὰρ οὐκ ἔξω τῆς προκειμένης ἡμῖν πραγματείας ἐστὶ, τὸ διεξετάσαι τὸ ἀμφιβαλλόμενον ταῖς ἐκκλησίαις περὶ ψυχῆς τε καὶ σώματος. Τισὶ μὲν γὰρ δοκεῖ τῶν πρὸ ἡμῶν, οἷς ὁ περὶ τῶν ἀρχῶν ἐπραγματεύθη λόγος, καθάπερ τινὰ δῆμον ἐν ἰδιαζούσῃ πόλει τας ψυχὰς προϋφεστάναι λέγειν· προκεῖσθαι δὲ κἀκεῖ τὰ τῆς κακίας καὶ τῆς ἀρετῆς ὑποδείγματα· καὶ παραμένουσαν μὲν ἐν τῷ καλῷ τὴν ψυχὴν τῆς πρὸς τὸ σῶμα συμπλοκῆς μένειν ἀπείραστον· εἰ δὲ ἀποῤῥυῇ τῆς τοῦ ἀγαθοῦ μετουσίας, πρὸς τὸν τῇδε βίον κατολισθαίνειν, καὶ οὕτως ἐν σώματι γίνεσθαι· ἕτεροι δὲ τῇ κατὰ B τὸν Μωϋσέα τάξει τῆς κατασκευῆς τοῦ ἀνθρώπου προσέχοντες, δευτέραν εἶναι τὴν ψυχὴν τοῦ σώματος κατὰ τὸν χρόνον φασίν. Ἐπειδὴ πρῶτον λαβὼν ὁ Θεὸς χοῦν ἀπὸ τῆς γῆς τὸν ἄνθρωπον ἔπλασεν, εἶθ' οὕτως ἐψύχωσε διὰ τοῦ ἐμφυσήματος.» Καὶ μετ' ὀλίγα· «Οἱ τῷ προτέρῳ παριστάμενοι λόγῳ, καὶ πρεσβυτέραν τῆς ἐν σαρκὶ ζωῆς τὴν πολιτείαν τῶν ψυχῶν δογματίζοντες, οὔ μοι δοκοῦσι τῶν Ἑλληνικῶν καθαρεύειν τῶν περὶ τῆς μετεμψυχώσεως μεμυθολογημένων. Εἰ γάρ τις ἀκριβῶς ἐξετάσειε, πρὸς τοῦτο κατὰ πᾶσαν ἀνάγκην τὸν λόγον αὐτοῖς εὑρήσει καταφερόμενον. Φασί τινα τῶν παρ' ἐκείνοις σοφῶν εἰρηκέναι, ὅτι καὶ ἀνὴρ γέγονε, καὶ γυναικὸς σῶμα μετημφιάσατο, καὶ μετ' ὀρνίων ἀνέπτη, καὶ θάμνος ἔφοιτα, καὶ τὸν ἔνυδρον ἔλαχε βίον. Οὐ πόῤῥω τῆς ἀληθείας κατὰ τὴν ἐμὴν κρίσιν γενόμενος ὁ περὶ ἑαυτοῦ ταῦτα λέγων. C Ὄντως γὰρ βατράχων τινῶν, ἢ κολοιῶν φλυαρίας, ἢ ἀλογίας ἰχθύων, ἢ δρυῶν ἀναισθησίας ἄξια τὰ τοιαῦτα δόγματα, τὸ μίαν ψυχὴν λέγειν διὰ τοσούτων ἐλθεῖν. Τῆς δὲ τοιαύτης ἀτοπίας αὕτη ἐστὶν ἡ αἰτία, τὸ προϋφεστάναι τὰς ψυχὰς οἴεσθαι· δι' ἀκολουθίου γὰρ ἡ ἀρχὴ τοῦ τοιούτου δόγματος ἐπὶ τὸ προσεχές τε, καὶ παρακείμενον τὸν λόγον προάγουσα, μέχρι τούτου τερατευομένη διέξεισιν. Εἰ γὰρ διά τινος κακίας ἀποσπασθεῖσα τῆς ὑψηλοτέρας ἡ ψυχὴ πολιτείας ἄνθρωπος γίνεται, ἐμπαθέστερος δὲ πάντως ὁ ἐν σαρκὶ βίος ὡμολόγηται παρὰ τὸν τῶν ἀϊδίων καὶ ἀσωμάτων, ἀνάγκη πᾶσα τὴν ἐν τῷ τοιούτῳ γινομένην βίῳ, ἐν ᾧ καὶ πλείους αἱ πρὸς τὸ ἁμαρτάνειν εἰσὶν ἀφορμαὶ, ἐν πλείονί τε κακίᾳ γίνεσθαι, καὶ ἐμπαθέστερον διατεθῆναι· ἀνθρωπίνης δὲ ψυχῆς πάθος ἡ πρὸς τὸ ἄλογόν ἐστιν ὁμοίωσις· τούτῳ δὲ προσοικειωθεῖσαν αὐτὴν εἰς κτηνώδη φύσιν μεταῤῥυῆναι· ἅπαξ δὲ διὰ κακίας D ὁδεύουσαν, μηδὲ ἐν ἀλόγῳ γενομένην τῆς ἐπὶ τὸ κακὸν προόδου λήξειν ποτέ. Ἡ γὰρ τοῦ κακοῦ στάσις, ἀρχὴ τῆς κατ' ἀρετήν ἐστιν ὁρμῆς. Ἀρετὴ δὲ ἐν ἀλόγοις οὐκ ἔστιν. Οὐκοῦν ἀεὶ πρὸς τὸ χεῖρον ἐξ ἀνάγκης ἀλλοιωθήσεται, πάντοτε πρὸς τὸ χεῖρον καὶ ἀτιμότερον προϊοῦσα, καὶ ἀεὶ τὸ χεῖρον τῆς ἐν ᾗ ἐστι φύσεως ἐξευρίσκουσα· ὥσπερ δὲ τοῦ λογικοῦ τὸ αἰσθητὸν ὑποβέβηκεν, οὕτω καὶ ἀπὸ τούτου ἐπὶ τὸ ἀναίσθητον μετάπτωσις γίνεται. Ἀλλὰ μέχρι τούτου προϊὼν ὁ λόγος αὐτοῖς, καὶ ἔξω τῆς ἀληθείας φέρεται, ἀλλά γε διά τινος ἀκολουθίας ἄτοπον ἐξ ἀτόπου μεταλαμβάνει. Τὸ δὲ ἐντεῦθεν ἤδη διὰ τῶν ἀσυναρτήτων αὐτοῖς τὸ δόγμα μυθοποιεῖται. Ἡ μὲν ἀκολουθία παντελῆ διαφθορὰν τῆς ψυχῆς ὑποδείκνυσιν. Ἡ γὰρ ἅπαξ τῆς ὑψηλῆς πολιτείας ἀπολισθήσασα, ἐν οὐδενὶ μέτρῳ

dicit omnia fuisse; ex quo ostenditur, simul utrumque fabricatum esse.

Dicit etiam sanctus Gregorius episcopus Nyssæ, in Disputatione de homine (*Cap.* 28): « Ac fortasse alienum non est a disputationis nostræ proposito id expendere, quod in Ecclesiis de anima et corpore controversum est. Nonnullis enim qui ante nos fuerunt, qui tractatum de principiis edidere, placet animas veluti quemdam populum in propria urbe ante substitisse : atque ibi proposita esse exempla tum virtutis, tum malitiæ : eamque animam, quæ in virtute atque honestate permanserit, congressum et conflictationem corporis minime experiri : si vero a boni participatione defluxerit, hanc in vitam delabi, B sicque esse in corpore. Alii attendentes ex Moyse condendi hominis ordinem, animam corpore posteriorem tempore esse dicunt : quandoquidem primum Deus limum e terra sumens, finxit hominem, ac eum deinde inspiratione animavit. » Ac paulo post: « Qui primam rationem tuentur, et animarum quasi civitatem antiquiorem vita corporea asserunt, non mihi videntur carere paganorum fabulis, quæ de animarum ex aliis in alia corpora migratione proditæ sunt. Si quis enim subtiliter examinet, comperiet huc necessario rationem eorum devolvi. Aiunt, quemdam e sectæ suæ sapientibus dixisse, et virum fuisse se, et muliebre corpus induisse, et subvolasse cum avibus, et fuisse arbusculam, et aquatilem vitam sortitum. Non longe, meo quidem judicio, a vero discedit, qui hæc de C se affirmat. Vere enim, vel ranarum aut graculorum garrulo strepitu, vel irrationabilitate piscium, vel arborum insensibilitate ejusmodi disciplina digna est, quæ tot res permeare unam animam dicat. Harum autem ineptiarum hæc causa est, quod præexistere animas opinabantur. Consequenter enim talis doctrinæ principium ad affinia et adjuncta progrediens, hucusque commenta sua propagat. Nam si per vitia animus a sublimiori vita abstractus, homo fit, ac si in confesso est, vitam corpoream passionibus magis obnoxiam esse, quam æternam atque incorpoream, necesse est animam in hac vita degentem, in qua plures facultates ad peccandum suppetunt, in pluribus versari vitiis, magisque passionibus affici. Animæ autem humanæ passio, similitudo est ad irrationa- D bilia. Huic ergo vitæ devincta anima, in bestiarum naturam delabetur, ac semel vitia ingressa, inque irrationabilitate versans, nullum finem ad malitiam progrediendi faciet. Ubi enim malitia sistitur, succedit impetus ad virtutem; atqui virtus in irrationabilibus nulla est; in deterius ergo necessario mutabitur, assidue ad pejora turpioraque progrediens, ejusque naturæ, in qua est, deteriora quæque semper comminiscens. Porro quemadmodum rationabili sensibile subjacet, sic et ab hoc ad insensibile fit prolapsio. Quamobrem huc ratio eorum evadens, a veritate aberrat, et per quamdam consequentiam ex absurdis ad absurda se confert. Exinde eorum doctrina per ea quæ inter se non cohærent, fabulose procedit. Consequentia vero ipsa ostendit

κακίας στῆναι δυνήσεται· ἀλλὰ διὰ τῆς πρὸς τὰ πάθη σχέ- A σεως ἀπὸ μὲν τοῦ λογικοῦ πρὸς τὸ ἄλογον μεταβήσεται ἀπ' ἐκείνου δὲ πρὸς τὴν τῶν φυτῶν ἀναισθησίαν μετατεθήσεται, τῷ δὲ ἀναισθήτῳ πως τὸ ἄψυχον, τούτῳ δὲ τὸ ἀνύπαρκτον ἕπεται. Ὥστε διέλου διὰ τῆς ἀκολουθίας πρὸς τὸ μὴ ὂν αὐτοῖς ἡ ψυχὴ μεταχωρήσει. Οὐκοῦν ἀμήχανος αὐτῇ πάλιν ἔσται ἡ πρὸς τὸ κρεῖττον ἐπάνοδος. Ἀλλὰ μὴν ἐκ θάμνου ἐπὶ τὸν ἄνθρωπον τὴν ψυχὴν ἐπανάγουσιν. Οὐκοῦν προτιμοτέραν τὴν ἐν θάμνῳ ζωὴν τῆς ἀσωμάτου διαγωγῆς ἐκ τούτων ἀπ.δεικνύουσιν. Δέδεικται γὰρ ὅτι πρὸς τὸ χεῖρον γινομένη ἡ πρόοδος τῆς ψυχῆς, πρὸς τὸ κατώτερον κατὰ τὸ εἰκὸς ὑποβήσεται. Ὑποβέβηκε δὲ τὴν ἀναίσθητον φύσιν τὸ ἄψυχον εἰς ὃ δι' ἀκολουθίας ἡ ἀρχὴ τοῦ δόγματος αὐτῶν τὴν ψυχὴν ἄγει. Ἀλλ' ἐπειδὴ τοῦτο οὐ βούλονται, ἢ τῷ ἀναισθήτῳ τὴν ψυχὴν κατακλείουσιν, ἢ εἴπερ ἐντεῦθεν ἐπὶ τὸν ἀνθρώπινον αὐτὴν B ἐπανάγοιεν βίον, προτιμότερον, καθὼς εἴρηται, τὸν ξυλώδη βίον τῆς πρώτης ἀποδείξουσι καταστάσεως· εἴπερ ἐκεῖθεν μὲν ἡ πρὸς κακίαν κατάπτωσις γέγονεν, ἐντεῦθεν δὲ ἡ πρὸς ἀρετὴν ἐπάνοδος γίνεται. Οὐκοῦν ἀκέφαλός τις, καὶ ἀτελὴς ὁ τοιοῦτος διελέγχεται λόγος, ὁ τὰς ψυχὰς ἐφ' ἑαυτῶν πρὸ τῆς ἐν σαρκὶ ζωῆς βιοτεύειν κατασκευάζων, καὶ διὰ κακίαν ἐνδεδέσθαι τοῖς σώμασι.» Προδήλου τοίνυν οὔσης τῆς τοῦ πατρὸς διδασκαλίας, καὶ ἀποκρυττούσης τὸ λέγειν προϋπάρχειν τὰς ψυχὰς τῶν σωμάτων, ἀκούσωμεν καὶ τοῦ ἐν ἁγίοις Θεοφίλου τοῦ ἐπισκόπου Ἀλεξανδρείας, ὑπὸ τοῦ λόγου τοῦ γραφέντος πρός τινας μοναχοὺς τὰ Ὠριγένους φρονοῦντας, λέγοντος τάδε· «Οὐκοῦν ἀναθεματίζοντες τὸν Ὠριγένην καὶ τοὺς ἄλλους αἱρετικοὺς, ὥσπερ ἡμεῖς, καὶ ὁ τῆς Ῥωμαίων ἁγίας ἐκκλησίας ἐπίσκοπος Ἀναστάσιος, ἐκ παλαιοτέρων ἀγωνισμάτων ἔνδοξος C στρατηγὸς ἐπισήμου λαοῦ χειροτονηθεὶς, ᾧ καὶ πᾶσα τῶν μακαρίων κατὰ τὴν δύσιν ἐπισκόπων ἕπεται σύνοδος, ἀποδεχομένη τῆς τῶν Ἀλεξανδρέων ἐκκλησίας τὴν κατὰ τοῦ ἀσεβοῦς ψῆφον.»

Τοῦ αὐτοῦ ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τοὺς ἐν τῇ Σκήτει ἁγίους, διὰ τοὺς ἐγκαλοῦντας τὴν τῶν δογμάτων Ὠριγένους καθαίρεσιν· «Ἐτόλμησάν τινες εἰπεῖν διδάσκαλον εἶναι τῆς ἐκκλησίας Ὠριγένην. Ἆρα πρέπον τῶν τοιούτων ἀνέχεσθαι; εἰ διδάσκαλός ἐστι τῆς ἐκκλησίας Ὠριγένης, μεγαλοφρονοῦσιν Ἀρειανοί τε, καὶ Εὐνομιανοὶ, καὶ Ἕλληνες· οἱ μὲν εἰς τὸν υἱὸν καὶ εἰς τὸ πνεῦμα βλασφημοῦντες, οἱ δὲ μετὰ τοῦ δυσσεβεῖν ὁμοίως αὐτοῖς, καὶ τὴν ἀνάστασιν τῶν νεκρῶν χλευάζοντες. D Σαφὲς τοίνυν ἐκ τῶν εἰρημένων γεγένηται, ὅτι περ ὁ τοῖς ἁγίοις πατράσιν ἀκολουθῶν οὐκ ἀμφιβάλλει, ὡς οἱ τὰ Ὠριγένους φρονοῦντες τῇ Ἑλληνικῇ πλάνῃ, καὶ Ἀρειανικῇ ἀκολουθοῦσι μανίᾳ.

Λέγει δὲ καὶ ὁ ἐν ἁγίοις Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τοὺς ἐν Φουᾷ μοναχοὺς, κατὰ τῶν λεγόντων μὴ εἶναι ἀνάστασιν τῶν σωμάτων, τάδε· «Φασὶ τοίνυν τῶν ἐν ὑμῖν τινας ἀρνεῖσθαι τῶν ἀνθρωπίνων σωμάτων τὴν ἀνάστασιν, ὅπερ ἐστὶ μέρος τῆς ὁμολογίας ἡμῶν, ἧς ποιούμεθα προσιόντες τῷ σωτηρίῳ βαπτίσματι. Ὁμολογοῦντες γὰρ τὴν πίστιν, προσεπάγομεν ὅτι πιστεύομεν καὶ εἰς σαρκὸς ἀνάστασιν. Εἰ δ' ἀναιροῦμεν τοῦτο, καὶ οὐ πιστεύομεν ὅτι ὁ Χριστὸς ἐκ νεκρῶν ἐγήγερται, ἵνα ἡμᾶς ἑαυτῷ συναναστήσῃ χωλεύουσαν ἔχομεν τὴν πίστιν, καὶ τὴν βασιλικὴν ἀφέντες ὁδὸν, βαδιζο-

omnimodam animæ corruptelam. Quæ enim semel a sublimi vita decidit, nullum modum statuit malitiæ suæ; sed propter passionum consuetudinem atque habitum a rationabili ad irrationabile deveniet, indeque in stirpium insensibilitatem mutabitur; insensibili autem inanimum est consequens, inanimo id quod non subsistit. Itaque penitus ex hac consequentia, anima ipsis ad non ens tandem concedet. Sic nullam facultatem habitura est ad meliora redeundi. Verum enim vero ad hominem e frutice animam reducunt; igitur præstantiorem demonstrant esse vitam in frutice, quam incorpoream vitam. Jam enim ostensum est, progressum animæ in deteriora, atque idcirco in inferiora esse; subjacet autem insensibili naturæ inanimatum: quo per consequentiam principium eorum doctrinæ animam redigit. Sed quoniam hoc nolunt, aut insensibili animam concludunt, aut, si inde ad humanam vitam eam reducunt, eam vitam quæ in stirpe ducatur, ut dictum est, ostendunt antecellere primo animarum statui: siquidem inde ad malitiam fuit prolapsio, hinc vero ad virtutem est reditus. Quamobrem illa ratio convincitur esse sine capite, et sine fine, quæ vivere animas separatas ante corpoream vitam asseverat, ac propter flagitia corporibus esse devinctas.» Hæc Nyssenus. Cum igitur aperta sit Patris hujus doctrina, damnetque eos qui dicant, animas ante corpora fuisse: audiamus et sanctum Theophilum episcopum Alexandriæ, e sermone ad quosdam monachos scripto, qui Origeni assentirentur: sic enim dicit: «Quare anathematizantes Origenem, cæterosque hæreticos, exemplo nostro, et Anastasii sanctæ Romanæ Ecclesiæ episcopi, qui ex veteribus certaminibus clarus nobilissimi populi dux creatus est, quem et universa beatorum Occidentis episcoporum sequitur synodus, quæ accepit ac probavit Alexandrinorum Ecclesiæ sententiam in impium latam.»

Ejusdem de epistola ad sanctos qui in Sceti erant, propter eos qui incusarent damnationem Origenis doctrinæ: «Dicere nonnulli ausi sunt, Origenem Ecclesiæ esse doctorem. An hi, obsecro, ferendi sunt? Si Ecclesiæ doctor est Origenes, magnos sibi spiritus sumunt Ariani, et Eunomiani, et pagani: illi in Filium ac Spiritum blasphemantes; hi similiter, atque illi, impii, nec non resurrectionem mortuorum deridentes.» Ex his perspicuum est, eum qui sanctos Patres sequitur, non dubitare quin ii qui cum Origene sentiunt, paganorum errorem Arianorumque insaniam sequantur.

Hæc quoque sanctus Cyrillus dicit Alexandriæ episcopus, in epistola ad monachos qui in Phua, in eos qui affirmant corporum resurrectionem non esse: «Aiunt igitur, esse apud vos qui negent humanorum corporum resurrectionem: quæ pars confessionis nostræ est, quam fecimus salutare adeuntes baptisma. Fidem enim profitentes, adjungimus credere nos et carnis resurrectionem. Si hoc tollimus, nec credimus Christum resurrexisse a mortuis, ut nos sibi conresuscitaret, claudicantem habemus fidem, ac a via re-

μεν τὴν διεστραμμένην. Ἔστι δὲ ἡ τοιαύτη κακοδοξία τῆς A Ὠριγένους φρενοβλαβείας· ὃν καὶ οἱ πατέρες ἡμῶν ὡς διαστρέφοντα τὴν ἀλήθειαν ἀπεκήρυξαν, καὶ ἀνεθεμάτισαν. Οὐ γὰρ ἐφρόνησεν ὡς Χριστιανὸς, ἀλλὰ ταῖς Ἑλλήνων ἀκολουθήσας φλυαρίαις πεπλάνηται. Ἡ δὲ ἀρχὴ τοῦ νοσήματος ἐντεῦθεν αὐτῷ συμβέβηκε· Φησὶ γὰρ ὅτι προϋπάρχουσιν αἱ ψυχαὶ τῶν σωμάτων, καὶ ἀπὸ ἁγιασμοῦ καρηνέχθησαν εἰς ἐπιθυμίας πονηρὰς, καὶ ἀπέστησαν Θεοῦ· καὶ ταύτης ἕνεκα τῆς αἰτίας κατεδίκασεν αὐτὰς, καὶ ἐσωμάτωσεν, καὶ εἰσιν ὡς ἐν δεσμωτηρίῳ ἐν σαρκί.»

Τοῦ αὐτοῦ ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τοὺς ἐν Φουᾷ μοναχούς· «Ἡ δὲ ἐκκλησία ταῖς θεοπνεύστοις ἑπομένη Γραφαῖς, οὐκ οἶδε τῶν σωμάτων προϋπάρχουσαν τὴν ψυχὴν, ἀλλ' οὐδὲ προαμαρτήσασαν πρὸ αὐτῶν· πῶς γὰρ ἡ μὴ ὑφεστῶσα καὶ ἁμαρτεῖν ἠδύνατο; φαμὲν δὲ, ὅτι B ἔπλασε μὲν ὁ τῶν ὅλων δημιουργὸς τὸ σῶμα ἐκ γῆς, ἐψύχωσε δὲ αὐτὸ ψυχῇ νοερᾷ. Καὶ αὕτη ἐστὶν ἡ τοῦ ἀνθρώπου κατασκευή.» Καὶ μεθ' ἕτερα· «Ὅτι οὐκ ἐκ προγενεστέρων, ὥς φασιν, ἁμαρτημάτων καταδεδίκασται ἡ τοῦ ἀνθρώπου ψυχὴ, καὶ εἰς τοῦτον κατεπέμφθη τὸν κόσμον, πιστώσεται γράφων καὶ ὁ πάνσοφος Παῦλος,—Τοὺς γὰρ πάντας ἡμᾶς δεῖ φανερωθῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον.— Διὰ τί γὰρ μόνα τὰ διὰ τοῦ σώματος φανερωθήσεσθαί φησι, καὶ οὐχὶ δὴ μᾶλλον καὶ τὰ πρὸ τοῦ σώματος, εἴπερ ᾔδει προοῦσαν, καὶ προαμαρτήσασαν τὴν ψυχήν; Εἰ δὲ ἐπὶ μόνοις κρινόμεθα τοῖς διὰ τοῦ σώματος, οὐκ ἔχομεν δηλονότι προγενεστέραν τοῦ σώματος ἁμαρτίαν. Οὐ γὰρ ὑφέστηκεν ὅλως ἡ τοῦ ἀνθρώπου ψυχὴ πρὸ αὐτοῦ, πληC ροφορεῖ δὲ πρὸς τοῦτο ἡμᾶς καὶ ἡ τοῦ νομικοῦ γράμματος δύναμις. Εἰ γὰρ, ὥς φησιν ὁ πεπλανημένος Ὠριγένης, ἐκ τῶν προγενεστέρων ἁμαρτημάτων, λόγῳ κολάσεως ἤτοι τιμωρίας ἐδέξατο τὸ σῶμα ἡ ψυχὴ, διὰ ποίαν αἰτίαν ἠπείλησε θάνατον τοῖς ἁμαρτάνουσιν; Ἔδει γὰρ μᾶλλον τοὺς δικαίους ἀποθνήσκειν, ἵνα ἀπαλλάττωνται τῶν δεσμῶν, καὶ τῆς τιμωρίας, ζῆν δὲ τοὺς ἀλιτηρίους, ἵνα κολάζωνται μὴ ἀπαλλαττόμενοι τῶν δεσμῶν.»

Ἐκ τῆς ἐκτεθείσης ὑπὸ τῶν κατ' Αἴγυπτον, καὶ Ἀλεξάνδρειαν ἐπισκόπων συνοδικῆς ἐπιστολῆς κατὰ τῶν Ὠριγένους δογμάτων· «Οὗτος τοίνυν ὁ προκείμενος Ὠριγένης, καθάπερ τὸ τῆς ἐρημώσεως βδέλυγμα ἐν μέσῳ τῆς ἀληθοῦς ἐκκλησίας γεγένηται. Καὶ πρεσβύτερος χειροτονηθεὶς ὑπὸ τῆς κανονικῆς τε, καὶ μιᾶς χειρὸς ἀληθινῆς, εἶχε τὸ ἀξίωμα τοῦ πρεσβυτέρου ψιλόν τε καὶ μόνον, καθD άπερ καὶ τὸ τῆς ἀποστολῆς εἶχεν ὁ κλέπτης καὶ προδότης Ἰούδας. Ἀρξαμένου γὰρ αὐτοῦ βλασφήμους ὁμιλίας ὁμιλεῖν, ὁ κατ' ἐκεῖνο μακαρίτης Ἡρακλᾶς ὁ ἐπίσκοπος, ὡς ἀροτὴρ καὶ ἀμπελουργὸς φιλαλήθης τοῦ τῆς ἐκκλησίας χωρίου τυγχάνων, ἐκ μέσου τοῦ καλοῦ σίτου τοῦτον ἐξέτιλεν, ὡς τοῦ πονηροῦ ζιζανίου ὄντα ἀληθῶς.» Καὶ μετ' ὀλίγα· «Ἐκπεσὼν οὗτος ἐπὶ τὴν γῆν οὐρανόθεν ὡς ἀστραπὴ, καθάπερ ὁ τούτου πατὴρ ὁ διάβολος, θυμοῦ πνέων πολλοῦ καὶ δεινοῦ κατὰ τῆς ἀληθείας, ἐπὶ τὴν καλουμένην Παλαιστίνην χώραν ἔπλευσε· καὶ καθίσας ἐν τῇ Καισαρέων μητροπόλει, κἀκεῖθεν τὸ προσωπεῖον ἀποκαλύψας ὅλον ἐξ ὅλου τοῦ καλύμματος, καθάπερ ὁ ἰχθὺς ἡ σηπία παρά τισι καλουμένη, ὅπερ αὐτοῦ καθ' ἡδονὴν ἐτύγχανε,

gia deflectentes, pravum iter sequimur. Hujusmodi autem improba opinio ab Origenis dementia est: quem et patres nostri, ut veri depravatorem, abdicaverunt et anathematizaverunt. Non enim sensit ut Christianus, sed paganorum secutus ineptias et nugas, in errorem incidit. Hinc autem ei contigit morbi principium. Asseverat animas ante corpora esse, et a sanctimonia abductas fuisse in cupiditates ac nequitiam, descivisseque a Deo, a quo hanc ob causam damnatæ sunt, et corpori obstrictæ, suntque in carne tanquam in carcere.»

Ejusdem ex epistola scripta ad eos qui in Phua erant, monachos: «Ecclesia vero, Scripturis obsequens a Deo inspiratis, nec animam novit ante corpora fuisse, nec ante ea peccasse. Quomodo enim quæ non subsistebat peccare potuit? At nos affirmamus, universitatis opificem corpus e terra finxisse, idque animasse intelligente anima, et hæc est hominis structura.» Et post alia: «Animam hominis nec ob præterita, ut aiunt, flagitia atque scelera esse damnatam, nec in hunc demissam mundum, sapientissimus Paulus fidem facit, ita scribens: *Omnes enim nos manifestari oportet ante tribunal Christi, ut referat unusquisque ea quæ per corpus, prout gessit, sive bonum, sive malum* (*II Cor.* v). Cur ergo propter sola propria corporis manifestari nos oportere ait, nec potius propter ea etiam quæ ante corpus, si animam ante fuisse norat, et ante peccasse? Si vero ob ea sola quæ in corpore gessimus, adducimur in judicium, non utique habemus antiquius corpore peccatum: nam omnino ante id non constitit hominis anima. Hoc porro planum facit et legalis litteræ vis. Si enim, ut dicit errabundus Origenes, ob superiora commissa in supplicii ac pœnæ loco anima corpus accepit, quamobrem flagitiosis ac sceleratis mortem comminata est? Magis enim oportuerat, bonos ac justos viros mortem oppetere, ut vinculis et supplicio liberarentur: vivere contra scelestos ac nefarios, ut pœna afficerentur, nec ulla vinculorum esset liberatio.»

Ex expositione synodicæ epistolæ episcoporum Ægypti atque Alexandriæ adversus Origenis doctrinam: «Hic ergo, de quo agitur, Origenes veluti abominationis desolatio in medio veræ Ecclesiæ exstitit; ac presbyter ordinatus a canonica, ab una, a vera manu, dignitatem presbyteri nudam ac solam habuit, quemadmodum et apostolatus habuit honorem fur ac proditor Judas. Is enim cum cœpisset blasphemas homilias habere, Heraclas [a] beatæ memoriæ tum episcopus, ut studiosus veritatis, arator ac vinitor ecclesiastici agri, eum e medio pulchri ac lætæ segetis evulsit, quod revera e malo zizanio esset.» Ac paulo post: «Quare hic e cœlo in terram decidens, tanquam fulgur, sicut et ejus pater diabolus, multæ atrocisque iracundiæ contra veritatem spirans, in Palæstinam regionem navigavit; moratusque in Cæsareensium metropoli, cum personam quam sibi induerat deposuisset, seque aperuisset, veluti piscis qui sepia apud quosdam appellatur, significans quod sibi voluptati erat, ac tenebricosum atque atrum

[a] Demetrii episcopi Alexandrini successor.

σκοτεινὸν τε καὶ μέλανα βίου ἰὸν ἐξεμέσας, ἐκεῖσε ἐγγράφως ἀπετυπώσατο, καὶ καθάπερ Ἰουδαϊκὸς κάπηλος προσχήματι ἀγαθοῦ πικρῷ γλυκὺ κατέμιξε. Τί γὰρ ὁ κακομήχανος καὶ μανιώδης λέγει; Ἦν, φησὶ, πρὸ σώματος ἡ ψυχὴ ἐν οὐρανοῖς προοῦσα· κἀκεῖσε, φησὶν, ἁμαρτήσασαν ἐν φυλακῇ κατήγγισε, τουτέστιν ἐν τῷ σώματι κατέπεμψεν, εἰς καθαρισμὸν, φησὶ, καὶ σωφρονισμὸν τῶν ἐν οὐρανοῖς αὐτῇ γεγενημένων ἁμαρτημάτων· πρῶτον ἔνθεν εὐθὺς ὁ ἀσεβέστατος μυθολογεῖ, καὶ μάχεσθαι τῇ ἀληθείᾳ θέλει.» Καὶ μετ' ὀλίγα· «Εἰ δὲ προῆν ἡ ψυχὴ ἐν τοῖς οὐρανοῖς, καὶ προημάρτηκεν ἐκεῖσε, καθὼς Ὠριγένης ὁ μανιώδης καὶ θεομάχος ἔφησεν, ἔδει μὴ λέγειν τὸν ἁγιώτατον προφήτην,— καὶ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ, — ἀλλὰ μᾶλλον, καταγγίζων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ, ἢ τάχα καταπέμπων. Νῦν δὲ μὴ τοῦτο λέγων, ἀλλὰ πλάσσων ἐν αὐτῷ, δείκνυσι τοῦτον λύκον ὄντα βαρύτατον, ἐνδεδυμένον ἔξωθεν πρὸς ἀπάτην ἀπωλείας τὰ κώδια. Ὡς οὐρανόθεν γὰρ ὁ ἐπίληπτος, καὶ τὰ ἐκεῖσε διατετυπωμένα ἐπιστάμενος προφανῶς, οὐ μόνον προοῦσαν, ἀλλὰ καὶ προημαρτηκέναι τὴν ψυχὴν λέγει.» Ἀποδέδεικται τοίνυν διά τε τῆς θείας γραφῆς, καὶ τῶν ἁγίων πατέρων, ὅτι οὐδὲ τῇ τῶν Χριστιανῶν ἀληθινῇ πίστει, οὐδὲ τῷ ὀρθῷ λόγῳ συμβαίνουσιν αἱ τῶν αἱρετικῶν περὶ προϋπάρξεως ψυχῶν φαντασίαι.

Καὶ τοῦτο δὲ πρὸς τοῖς ἄλλοις τὴν Ὠριγένους παρίστησιν ἄνοιαν, τὸ λέγειν τὸν οὐρανὸν, καὶ τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ τοὺς ἀστέρας, καὶ τὰ ὕδατα τὰ ἐπάνω τῶν οὐρανῶν ἔμψυχα, καὶ λογικάς τινας εἶναι δυνάμεις. Ταῦτα δὲ σαφῶς ἀπαγορεύει καὶ ὁ ἐν ἁγίοις Βασίλειος ἐν τῷ τρίτῳ λόγῳ τοῦ ὑπομνήματος τῆς Ἑξαημέρου, λέγων κατὰ τῶν Ὠριγένους δογμάτων οὕτως· «Ἡμῖν δὲ καὶ πρὸς τοὺς ἀπὸ τῆς ἐκκλησίας ἐστί τις λόγος περὶ τῶν διακριθέντων ὑδάτων, οἳ προφάσει ἀναγωγῆς καὶ νοημάτων δῆθεν ὑψηλοτέρων, εἰς ἀλληγορίαν κατέφυγον, δυνάμεις λέγοντες πνευματικὰς καὶ ἀσωμάτους τροπικῶς ἐκ τῶν ὑδάτων σημαίνεσθαι· καὶ ἄνω μὲν ἐπὶ τοῦ στερεώματος μεμενηκέναι τὰς κρείττους, κάτω δὲ ἐν τοῖς περιγείοις, καὶ ὑλικοῖς τόποις προσαπομεῖναι τὰς πονηράς. Διὰ τοῦτο δέ φασι, καὶ τὰ ἐπάνω τῶν οὐρανῶν ὕδατα αἰνεῖν τὸν κύριον, τουτέστι τὰς ἀγαθὰς δυνάμεις, ἀξίας οὔσας διὰ καθαρότητα τοῦ ἡγεμονικοῦ τὸν πρέποντα αἶνον ἀποδιδόναι τῷ κτίσαντι· τὰ δὲ ὑποκάτω τῶν οὐρανῶν ὕδατα πνευματικὰ εἶναι τῆς πονηρίας, ἀπὸ τοῦ κατὰ φύσιν ὕψους εἰς τὸ τῆς κακίας βάθος καταπεσόντα· ἅπερ ὡς ταραχώδη ὄντα καὶ στασιαστικὰ, καὶ τοῖς θορύβοις τῶν παθῶν κυμαινόμενα, θαλάσσας ὀνομάζεσθαι, διὰ τὸ εὐμετάβλητον, καὶ ἄστατον, τῶν κατὰ προαίρεσιν κινημάτων. Τοὺς δὲ τοιούτους λόγους ὡς ὀνειράτων συγχύσεις καὶ γραώδεις μύθους ἀποπεμψάμενοι, τὸ ὕδωρ νοήσωμεν ὕδωρ, καὶ τὴν διάκρισιν τὴν ὑπὸ τοῦ στερεώματος κατὰ τὴν ἀποδοθεῖσαν αἰτίαν δεξώμεθα, κἂν εἰς δοξολογίαν ποτὲ τοῦ κοινοῦ τῶν ὅλων δεσπότου τὰ ὑπεράνω τῶν οὐρανῶν παραλαμβάνηται ὕδατα, οὐ λογικὴν αὐτὰ φύσιν παρὰ τοῦτο τιθέμεθα. Οὔτε γὰρ οἱ οὐρανοὶ ἔμψυχοι, ἐπειδὴ διηγοῦνται δόξαν Θεοῦ, οὐδὲ τὸ στερέωμα ζῶον αἰσθητὸν, ἐπειδὴ ἀναγγέλλει ποίησιν τῶν χειρῶν αὐτοῦ.» Δεῖ δὲ προσέχειν τοὺς ἀκροατὰς, ὅτι τῷ εἰπεῖν τὸν πατέρα, «πρὸς τοὺς ἀπὸ τῆς ἐκκλησίας ἐστί τις ἡμῖν λόγος,» περὶ Ὠριγένους διαλέγεται, τῆς τοῦ Θεοῦ χάριτος καὶ τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλη-

A vitæ venenum evomens, illic scriptis expressit, et sicuti caupo Judaicus, boni specie ac simulatione, dulci amarum miscuit. Quid enim iste prave moliens atque insaniens dicit? Erat, inquit, anima ante corpus, et præexistebat in cœlis: eamque, cum ibi peccasset, in custodiam immersit Deus, id est in corpus demisit: ad purgationem, inquit, et castigationem admissorum in cœlis criminum. Hinc primum impiissimus protinus fabulatur, veritatemque oppugnare studet.» Ac paulo post: «Si ante fuit anima in cœlis, ibique prius deliquit, ut malesanus Origenes Deoque repugnans dixit, non oportuit dicere sanctissimum prophetam: *Et fingens spiritum hominis in ipso* (*Zach.* XII): sed potius, Demergens, quasi in utrem, spiritum hominis in ipso; vel fortasse, Demittens. B Jam vero cum hoc non dicat, sed *Fingens in ipso*, ostendit hunc lupum gravissimum esse, indutum extrinsecus ovis pelle ad deceptionem perditionis. Quasi enim de cœlo veniens, ibique constituta aperte sciens, non solum vecors præexstitisse, sed prius etiam peccasse animam dicit.» Quare demonstratum est tum e divina Scriptura, tum e sanctis Patribus, nec veræ Christianorum fidei, nec rectæ rationi convenire hæreticorum de animarum præexistentia imaginationes.

Præterea hoc quoque Origenis demonstrat amentiam, quod affirmat cœlum, et solem, et lunam, et stellas, et aquas quæ super cœlos sunt, animata esse, et quasdam esse virtutes ratione utentes. Hæc vero aperte refellit sanctus Basilius *in tertio sermone* commentariorum in Hexaemeron, sic contra Origenis doctrinam disputans (*Prope finem*): C «Nobis porro de separatis aquis dicendum est, et ad eos qui ab Ecclesia exciderunt, qui sub obtentu sensus anagogici et sublimiorum videlicet sententiarum, ad allegoriam confugerunt, et asserunt virtutes quasdam spirituales et incorporeas tropice ab aquis significari, ac sursum quidem in firmamento mansisse meliores, deorsum vero in terrestribus silvestribusque locis deteriores perstitisse; ac idcirco aiunt, aquas quæ supra cœlos sunt, laudare Dominum, id est bonas virtutes, quæ dignæ sunt propter potioris partis puritatem, decentem laudem reddere Creatori; aquas vero, quæ subter cœlos sunt, spiritualia esse nequitiæ, quæ e naturali sublimitate in malitiæ profundum deciderunt; eaque ut turbulenta et seditiosa, passionumque tumultibus fluctuantia, maria appellari, D propter facilem mutationem atque instabilitatem voluntariorum motuum. At nos hujusmodi rationes, tanquam confusa somnia et aniles fabulas, repudiemus; aquam esse cogitemus *, separationemque a firmamento factam accipiamus secundum redditam rationem. Ac si quando ad communis universorum Domini glorificationem *aquæ quæ super cœlos sunt* (*Psalm.* CXLVIII) assumuntur, non propterea eas ducamus esse naturam ratione utentem. Nec enim cœli idcirco animati sunt, *quod enarrant gloriam Dei* (*Psal.* XVIII); nec firmamentum animal est præditum sensu, quoniam opera manuum ejus annuntiat.» Hæc Basilius. Attendendum porro est auditoribus, Patrem illo modo loquendi usum, «Sermo quidam nobis est

* Consonantius Græco legeretur *aquam esse cogitemus aquam*. Edit.

σίας ἀπελαθέντος, καὶ τῶν ὁμοφρόνων ἐκείνῳ· οὐ γὰρ εἶπε, «πρὸς τοὺς ἐν τῇ ἐκκλησίᾳ,» ἀλλὰ «πρὸς τοὺς ἀπὸ τῆς ἐκκλησίας ἡμῖν ἐστί τις λόγος·» καὶ διὰ μὲν τοῦ εἰπεῖν «ἡμῖν,» τοὺς τῆς ἐκκλησίας ἐδήλωσε· διὰ δὲ τοῦ εἰπεῖν «τοὺς ἀπὸ τῆς ἐκκλησίας,» τοὺς ταύτης ἀποπεσόντας ἐσήμανεν.

Ἓν δὲ καὶ μόνον τῷ δυσσεβεῖ Ὠριγένει σπούδασμα γέγονε, τὸ τὴν Ἑλληνικὴν πλάνην κρατῦναι, καὶ ταῖς τῶν σαθροτέρων ψυχαῖς ζιζάνια ἐγκατασπεῖραι. Διὸ κἀκεῖνο τὸ γέλωτος μὲν ἄξιον, παρ' αὐτοῦ δὲ ὅμως εἰρημένον, περὶ τῆς τῶν ἀνθρώπων ἐκ νεκρῶν ἀναστάσεως, προσθεῖναι συνείδομεν. Λέγει γάρ, ὅτι ἐν τῇ ἀναστάσει σφαιροειδῆ ἐγείρονται τὰ σώματα τῶν ἀνθρώπων. Ὢ τῆς ἀνοίας, καὶ ἀμαθείας τοῦ φρενοβλαβοῦς τούτου, καὶ τῶν Ἑλληνικῶν δογμάτων ἐξηγητοῦ! ὅς τις τυφλώττων τὴν διάνοιαν, καὶ τῇ τῶν Χριστιανῶν πίστει μύθους ἐπιμῖξαι σπουδάσας, αὐτὴν τὴν τῶν Χριστιανῶν ἐλπίδα τε καὶ σωτηρίαν, τουτέστι τὴν ἐπηγγελμένην ἡμῖν ἀνάστασιν, ἐσπούδασεν ἐνυβρίσαι, μηδὲ τὴν τοῦ κυρίου ἀνάστασιν ἐντρεπόμενος. Ἐγερθεὶς γὰρ ὁ κύριος ἐκ νεκρῶν, καὶ ἀπαρχὴ τῶν κεκοιμημένων γενόμενος, τοῖς μαθηταῖς ὤφθη, καὶ ἔδειξεν αὐτοῖς καὶ τὰς διατρήσεις τῶν χειρῶν, καὶ τῶν ποδῶν, καὶ τὴν πληγὴν τῆς πλευρᾶς· καὶ ἔφαγε μετὰ τὴν ἀνάστασιν, οὐχ ὡς τροφῆς δεόμενος, ἀλλ' ἵνα τῷ τρόπῳ τούτῳ τὴν τοῦ ἀναστάντος σώματος φύσιν πιστώσηται. Ἀμέλει τοι, καὶ ἀναλαμβανομένου τοῦ κυρίου, ὁ ἄγγελος πρὸς τοὺς μαθητὰς ἔλεγεν· «Οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν.» Εἰ δὲ καθὼς Ὠριγένης μαίνεται, σφαιροειδὲς ἦν τὸ σῶμα τοῦ κυρίου, πῶς εἶχε δεῖξαι τὰς τῶν χειρῶν καὶ ποδῶν διατρήσεις, ἢ τὴν πληγὴν τῆς πλευρᾶς; ἢ πῶς φαγεῖν ἠδύνατο, ἢ ὅλως ὑπὸ τῶν μαθητῶν γνωρισθῆναι; Πῶς δὲ καὶ τὰ τῶν ἁγίων σώματα μετὰ τὴν τοῦ κυρίου ἀνάστασιν ἐγερθέντα, καὶ ὀφθέντα ἐν τῇ ἁγίᾳ πόλει, δυνατὸν ἦν παρὰ τῶν ἄλλων γνωσθῆναι, εἴπερ ἐν ἄλλῳ σχήματι ἦν, παρ' ὅπερ ἐτύγχανεν ἐν τῇ ζωῇ; Ἐν τῇ πέτρᾳ τοίνυν τῆς πίστεως [ἐστηριγμένος οὐδαμῶς] οὐκ ἐστηριγμένος, ἀλλὰ τοιαύτας καὶ τούτων πολλῷ χείρους βλασφημίας ὁ δυσσεβὴς Ὠριγένης ἐκθέμενος, εἰκότως ἐν τῷ καιρῷ τοῦ μαρτυρίου τὸν μὲν Χριστὸν ἀπηρνήσατο, τῇ δὲ παρ' αὐτοῦ εἰσαγομένῃ Ἑλληνικῇ πολυθεΐᾳ προσεκύνησε. Καὶ τοῦτο δὲ κατὰ Θεοῦ γέγονε πρόνοιαν, ἵνα μὴ ἀντὶ μάρτυρος ἐν τῇ ἐκκλησίᾳ δεχθῇ, καὶ ἐντεῦθεν τῇ ποίμνῃ τοῦ Χριστοῦ βλάβη προσγένηται. Εἰ γάρ τινές εἰσι καὶ νῦν ὁμολογοῦντες μὲν τὸ ἐκείνου πτῶμα, ἀντιποιούμενοι δὲ τῶν αὐτοῦ, πῶς οὐκ ἔμελλον τὰ αὐτοῦ ὡς μάρτυρος καὶ πατρὸς ἐκδικεῖν, εἴπερ συνέβη αὐτὸν μὴ προσκυνήσαντα τοῖς εἰδώλοις τελειωθῆναι; οὐδεὶς γὰρ τῆς ἀληθείας ἀντεχόμενος ἐκπίπτει τοῦ Θεοῦ, ἢ ἐγκαταλιμπάνεται ὑπ' αὐτοῦ, κατὰ τὸ εἰρημένον τῇ θείᾳ γραφῇ· «Ἐμβλέψατε εἰς ἀρχαίας γενεάς, καὶ ἴδετε, τίς ἐπίστευσε τῷ κυρίῳ, καὶ ἐγκατελείφθη; ἢ τίς ἤλπισεν εἰς αὐτόν, καὶ ὑπερεῖδεν αὐτόν;» Ὠριγένης δὲ ὁ δυσσεβὴς τὰς ἑαυτοῦ βλασφημίας οὐ μέχρις ἑαυτοῦ ἔστησεν, ἀλλὰ διὰ τῶν ἰδίων συγγραμμάτων καὶ εἰς πολλοὺς ἑτέρους τὴν οἰκείαν πλάνην παρέπεμψεν. Ὥστε πάνυ ἐπ' αὐτῷ ἁρμοδίαν εἶναι τὴν τοῦ ἁγίου ἀποστόλου Παύλου φωνὴν λέγουσαν, «ὅτι τινῶν μὲν αἱ ἁμαρτίαι

A ad eos qui sunt ab Ecclesia, » de Origene disserere, a Dei gratia et sancta Dei Ecclesia expulso, ejusque sequacibus : non enim dixit, « ad eos qui sunt in Ecclesia, » sed, « Sermo quidam nobis est ad eos qui sunt ab Ecclesia ; » et per illud quidem quod dicit, « nobis, » Ecclesiæ homines significavit; per illud autem, « qui sunt ab Ecclesia, » dejectos ab ipsa denotavit.

Unum autem ac solum impio Origeni studium fuit, paganorum errorem confirmare, et imbecilliorum animis zizania inserere. Quamobrem hoc quoque risu sane dignum, ab eo tamen dictum, de hominum ex mortuis resurrectione, adjungere decrevimus. Affirmavit, in resurrectione corpora hominum orbiculata suscitari. O dementiam atque inscitiam hominis insani, et paganorum disciplinæ explicatoris! qui mente B cæcutiens, studensque Christianorum fidei miscere fabulas, ipsam Christianorum spem ac salutem, hoc est, promissam nobis resurrectionem, nixus est contumelia violare, ne resurrectionem quidem Domini reveritus. *Resurgens enim Dominus ex mortuis, et primitiæ dormientium factus* (*I Cor*, XV), discipulis visus est, eisque ostendit foramina manuum ac pedum, et plagam lateris : et post resurrectionem comedit, non ut cibo indigens, sed ut eo modo resuscitati corporis naturam confirmaret. Et quidem cum Dominus ascenderet, angelus ad discipulos dixit : *Hic Jesus qui assumptus est a vobis in cœlum, sic veniet quemadmodum vidistis eum euntem in cœlum* (*Act.* I). Quod si, ut insanit Origenes, orbiculatum erat corpus Domini, quomodo potuit demonstrare manuum ac pe- C dum foramina, aut lateris plagam? aut quomodo comedere potuit, aut omnino a discipulis agnosci? Et quoniam * modo sanctorum corpora quæ post Domini resurrectionem surrexerunt (*Matth.* XXVII), et in sancta civitate apparuerunt, potuere ab aliis agnosci, siquidem in alia erant figura atque fuerant in vita? In fidei ergo petra nullo modo stabilitus, sed hujusmodi, atque his multo atrociores blasphemias impius Origenes cum edidisset, nihil mirum est, eum in ipso martyrii articulo Christum abnegasse, cultamque a paganis deorum multitudinem, quam ipse induxit, adorasse. Atque id Dei providentia factum est, ne in Ecclesia pro martyre acciperetur, atque inde gregi Christi inferretur aliquid detrimenti. Nam si etiam nunc sunt qui de ejus quidem ruina confiteantur, doctrinam vero asserant, an non eam tanquam D martyris ac Patris erant defensuri, si contigisset eum, nulla idolis exhibita adoratione, consummari? Nemo enim veritatis retinens excidit a Deo, ab eoque deseritur, juxta quod dicit divina Scriptura : *Respicite, filii, nationes hominum, et scietis quia nullus speravit in Domino, et confusus est. Quis enim permansit in mandatis ejus, et derelictus est? aut quis invocavit eum, et despexit illum* (*Eccli.* II)? Impius autem Origenes blasphemias suas non seipso tenus statuit, sed propriis scriptis in multos alios suum errorem transmisit, ut in eum valde conveniat sancti apostoli Pauli vox, quæ dicit : *Quorumdam hominum peccata manifesta sunt, præcedentia ad judicium; quosdam*

* Certe legendum *quonam modo*, ut constet sensus. EDIT.

A πρόδηλοί εἰσι προάγουσαι εἰς κρίσιν, τισὶ δὲ καὶ ἐπακολουθοῦσιν.» Ἡ γὰρ διαδοχὴ τῆς πλάνης αὐτοῦ ἐν ταῖς τῶν σαθροτέρων ἕρπουσα ψυχαῖς, δίδωσιν ἀκολουθεῖν αὐτῷ τὰς ἐξ ἀρχῆς ὑπ' αὐτοῦ γενομένας ἁμαρτίας. Ὡς γὰρ οὐκ ἐξαρκούσης τοῖς τὰ Ὠριγένους δοξάζουσι τῆς περὶ προϋπάρξεως τῶν ψυχῶν ἀσεβείας, καὶ τῶν ἄλλων αὐτοῦ ματαιολογιῶν, καὶ τῶν περὶ τῆς ἁγίας τριάδος βλασφημιῶν, καὶ τοῦτο τῇ οἰκείᾳ προστιθέασι πλάνῃ ἐκ τῶν ἐκείνου διεστραμμένων ὁδηγούμενοι λόγων, τὸ λέγειν, ὅτι πάντων ἀσεβῶν ἀνθρώπων, καὶ πρός γε δαιμόνων ἡ κόλασις πέρας ἔχει. Καὶ ἀποκατασταθήσονται ἀσεβεῖς τε, καὶ δαίμονες εἰς τὴν προτέραν αὐτῶν τάξιν. Ταῦτα δὲ λέγοντες, ῥᾳθύμους μὲν ποιοῦσι τοὺς ἀνθρώπους περὶ τὸ πληροῦν τὰς ἐντολὰς τοῦ Θεοῦ, τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ αὐτοὺς ἀποτρέποντες, καὶ πρὸς τὴν πλατεῖαν καὶ εὐρύχωρον ἀποπλανῶντες· ἐναντιοῦνται δὲ καθάπαξ B καὶ τοῖς παρὰ τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ λεγομένοις. Αὐτὸς γὰρ ἐν τῷ ἁγίῳ εὐαγγελίῳ διδάσκει, ὡς οἱ μὲν ἀσεβεῖς ἀπελεύσονται εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. Καὶ πάλιν λέγει τοῖς μὲν ἐκ δεξιῶν· «Δεῦτε, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου·» τοῖς δὲ ἐξ εὐωνύμων· «Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.» Φανερῶς οὖν τοῦ κυρίου διὰ τοῦ ἁγίου εὐαγγελίου ἀτελεύτητον τήν τε κόλασιν τήν τε βασιλείαν ἐπαγγελλομένου, πρόδηλοι καθεστήκασιν οὗτοι τοὺς Ὠριγένους μύθους προτιμῶντες τῶν τοῦ κυρίου ἀποφάσεων· ὅπουγε κἀκεῖθεν αὐτῶν ἡ ἄνοια διελέγχεται. Εἰ γάρ τις κατὰ τοὺς ἐκείνου λήρους ὑπόθοιτο πέρας ἔχειν τὴν κόλασιν, ἀνάγκη τὸν τοιοῦτον καὶ C τῇ ἐπηγγελμένῃ τοῖς δικαίοις αἰωνίῳ ζωῇ τέλος ἐπιθεῖναι. Ἐξίσης γὰρ ἐπ' ἀμφοτέρων τὸ αἰώνιον κεῖται· καὶ εἴπερ πέρας ἔχει κόλασίς τε καὶ ἀπόλαυσις, διατί ἡ ἐνανθρώπησις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; διατί δὲ καὶ ἡ σταύρωσις, καὶ ὁ θάνατος καὶ ἡ ταφὴ, καὶ ἡ ἀνάστασις τοῦ κυρίου; ποῖον δὲ ὄφελος τοῖς τὸν καλὸν ἀγῶνα ἀγωνισαμένοις, καὶ ὑπὲρ Χριστοῦ μαρτυρήσασιν, εἰ μέλλοιεν δαίμονές τε, καὶ ἀσεβεῖς τὴν αὐτὴν τοῖς ἁγίοις τάξιν διὰ τῆς ἀποκαταστάσεως λαμβάνειν; Ἀλλὰ καὶ ταῦτα μὲν ἐπὶ τὰς ἐκείνων τραπείη κεφαλὰς τῶν ταῦτα μυθολογούντων. Οἱ γὰρ τοῦ Χριστοῦ λόγοι διαμένουσιν ἀσάλευτοι ἐν ταῖς τῶν πιστῶν ψυχαῖς, καὶ ἐν αὐτῇ τῇ τῶν πραγμάτων ἀληθείᾳ.

Οἱ δὲ τὴν Ὠριγένους ἐκδικοῦντες κακοδοξίαν, φεύγοντες τοὺς περὶ τούτων ἀρραγεῖς ἐλέγχους, καὶ συγκρύπτειν D τὴν ἑαυτῶν πλάνην βουλόμενοι, τινὰς ῥήσεις ἐκ τῶν ἁγίων πατέρων κακῶς ἐκλαμβάνοντες, καὶ πρὸς τὸν ἴδιον νοῦν παρερμηνεύοντες, τῇ οἰκείᾳ προσαρμόζουσι νόσῳ· ὅπερ ποιοῦσι καὶ ἐπὶ τῶν θείων γραφῶν. Ἡμεῖς δὲ ἐξ αὐτῶν τῶν ἁγίων πατέρων ἀποδείξομεν ματαίους εἶναι καὶ τοὺς τοιούτους αὐτῶν λόγους. Λέγει τοίνυν ὁ ἐν ἁγίοις Γρηγόριος ὁ θεολόγος ἐν τῷ ἀπολογητικῷ λόγῳ τάδε· «Ἡμῖν δὲ, οἷς τὸ κινδυνευόμενόν ἐστι σωτηρία ψυχῆς τῆς μακαρίας τε καὶ ἀθανάτου, καὶ ἀθάνατα κολασθησομένης ἢ ἐπαινεθησομένης διὰ κακίαν ἢ ἀρετὴν, πόσον χρὴ δοκεῖν εἶναι τὸν ἀγῶνα, καὶ ὅσης δεῖ τῆς ἐπιστήμης;» Καὶ μετ' ὀλίγα· «Τίς ψευδὴς ἀπολογία; ποία πιθανότης ἔντεχνος; τίς ἐπίνοια κατὰ τῆς ἀληθείας παραλογιεῖται τὸ δικαστήριον, καὶ κλέψει τὴν ὀρθὴν κρίσιν τοῖς πᾶσι πάντα ἐν ζυγῷ τιθεῖσαν, καὶ πρᾶξιν, καὶ λόγον, καὶ διανόημα, καὶ ἀντισηκ-

A *autem et subsequuntur* (*I Tim.* v). Nam ejus erroris successio in infirmiorum irrepens animas, facit ut eum sequantur quæ a principio commissa ab ipso peccata sunt.

Quasi enim iis qui Origenis placita sequuntur, non satis sit de præexistentia animarum impietas, cæteraque ejus vaniloquentia, blasphemiæque de sancta Trinitate: hoc quoque proprio errori adjungunt, ducem et auctorem habentes perversam ejus disciplinam, ut dicant, omnium impiorum hominum, ac præterea dæmonum pœnam finem habituram esse, restitutumque iri tum impios homines, tum dæmones in pristinum ordinem suum. Hæc cum dicunt, ignavos homines efficiunt in Dei præceptis exsequendis, eos avertentes ab angusta et arcta via, et in latæ ac spa- B tiosæ errorem inducentes. Omnino autem adversantur magni Dei et Salvatoris nostri Jesu Christi dictis; ipse enim in sancto Evangelio docet, impios quidem ituros in æternum supplicium, justos vero in æternam vitam (*Matth.* xxv); rursusque dicit iis qui a dextris sunt: *Venite, benedicti Patris mei, possidete paratum vobis regnum a constitutione mundi*; iis vero qui a sinistris: *Ite a me, maledicti, in ignem æternum, qui paratus est diabolo et angelis ejus* (*Ibidem*). Cum igitur aperte Dominus in sancto Evangelio indesinens et supplicium et regnum denuntiet, perspicuum est hos Origenis deliramenta sententiis Domini anteferre. Ex hoc quoque illorum amentia redarguitur. Si quis enim juxta illius nugas ponat supplicium desiturum, necesse est hunc et promissæ justis vitæ C æternæ statuere finem: æque enim in utroque æternum ponitur. Si autem et pœna et fruitio gloriæ habent finem, cur incarnatio fuit Domini nostri Jesu Christi? cur crucifixio, et mors, et sepultura, et resurrectio Domini? quod commodum iis qui bonum certamen certaverunt, et pro Christo martyrium subierunt, si et dæmones et homines impii eumdem quem sancti ordinem redintegratione habituri sunt? Verum hoc in eorum capita vertatur, qui hæc fabulantur. Nam Christi verba in fidelium mentibus inconcussa manent, atque in ipsa rerum veritate.

Qui porro Origenis improbam opinionem tuentur, D firma hæc argumenta fugientes, suumque conantes tegere errorem, quædam sanctorum Patrum dicta male excipientes, praveque ex sententia sua interpretantes, proprio morbo accommodant: quod etiam in divinis faciunt Scripturis. Nos autem ex ipsis sanctis Patribus ostendemus inanes ac futiles eorum rationes esse. Hæc igitur scribit sanctus Gregorius Theologus in apologetica oratione: «Nobis vero, quibus periclitatur salus animæ beatæ atque immortalis, quæque sempiternam aditura est vel pœnam vel laudem, propter malitiam aut virtutem, quanti faciendum est hoc certamen, aut quanta scientia opus est?» Et post pauca: «Qua falsa defensione, qua persuasione artificiosa, quonam commento veritatem oppugnante circumvenietur jus, ac falletur rectum judicium, quod omnibus omnia in statera

A χοῦσαν τοῖς πονηροῖς τὰ βελτίονα, ἵνα τὸ ῥέπον νικήσῃ, καὶ μετὰ τοῦ πλείονος ἡ ψῆφος γένηται, μεθ' ἣν οὐκ ἔφεσις, οὐ κριτὴς ὑψηλότερος, οὐκ ἀπολογία δι' ἔργων δευτέρων, οὐκ ἔλαιον παρὰ τῶν φρονίμων παρθένων, ἢ τῶν πωλούντων ἐκλειπούσαις λαμπάσιν, οὐ μεταμέλεια πλουσίου φλογὶ τηκομένου καὶ τοῖς οἰκείοις ἐπιζητοῦντος διόρθωσιν, οὐ προθεσμία μεταποιήσεως· ἀλλὰ καὶ μόνιμον, καὶ φοβερὸν, καὶ τελευταῖον τὸ κριτήριον, καὶ δίκαιον πλέον ἢ ὅσον ἐπίφοβον, μᾶλλον δὲ διὰ τοῦτο καὶ φοβερώτερον, ὅτι δίκαιον· ἡνίκα θρόνοι τίθενται, καὶ παλαιὸς ἡμερῶν προκαθέζεται, καὶ βίβλοι ἀνοίγονται, καὶ ποταμὸς πυρὸς ἕλκεται, καὶ τὸ φῶς ἔμπροσθεν, καὶ τὸ σκότος ἡτοιμασμένον· καὶ πορεύονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς τῆς ἐν Χριστῷ νῦν κρυπτομένης, καὶ ὕστερον αὐτῷ συμφανερουμένης· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως, ἣν ἤδη παρὰ B τοῦ κρίναντος αὐτοὺς Λόγου οἱ μὴ πιστεύοντες κατεκρίθησαν. Καὶ τοὺς μὲν τὸ ἄφραστον φῶς διαδέχεται καὶ ἡ τῆς ἁγίας καὶ βασιλικῆς τριάδος χάρις ἐκλαμπούσης τρανότερόν τε καὶ καθαρώτερον, καὶ ὅλης ὅλῳ νοὶ μιγνυμένης· ἣν δὴ καὶ μόνην οὐρανῶν βασιλείαν ἐγὼ τίθημι· τοὺς δὲ μετὰ τῶν ἄλλων βάσανος, μᾶλλον δὲ πρὸ τῶν ἄλλων τὸ ἀπεῤῥίφθαι Θεοῦ, καὶ ἡ ἐν τῷ συνειδότι αἰσχύνη πέρας οὐκ ἔχουσα. »

A ponit, facta, dicta, cogitationesque omnes, ac nequiter commissa melioribus repensat, ut vincat quod propendet, sententiaque secundum plura dicatur, quam nulla excipiat provocatio, non superior judex, non defensio aliorum factorum, non oleum vel a prudentibus virginibus sumptum (*Matth.* XXV), vel ab iis qui deficientibus lampadibus vendant, non pœnitentia divitis qui flamma crucietur (*Luc.* XVI) suorumque necessariorum quærat emendationem, non ad mutationem præfinita dies : sed certum ac stabile jus, et formidolosum, et ultimum, et æquius justiusque, quam quantus est terror, quinimo propter justitiam terribile cum throni ponuntur, et Antiquus dierum sedet, et libri aperiuntur, et fluvius igneus trahitur, et lux ante ipsum, et tenebræ pa- B ratæ : et eunt qui bona fecerunt in resurrectionem vitæ (*Joan.* V), quæ nunc in Christo absconditur, postmodum vero cum eo apparet; qui vero mala egerunt in resurrectionem judicii; quod qui non credunt, jam adjudicati damnatique sunt a Verbo, quod eos judicavit ; ac alios quidem lux ineffabilis excipit, et sanctæ regnantisque Trinitatis gratia, apertius puriusque effulgentis, ac totam se toti menti inserentis : quod utique solum regnum cœlorum esse duco : alios vero una cum aliis malis tormentum, vel potius ante alia projectum esse a Deo, et conscientiæ turpitudo ac verecundia nullum finem habens. »

Βασιλείου ἐπισκόπου Καισαρείας Καππαδοκίας, ἐκ τοῦ κανονικοῦ αὐτοῦ βιβλίου. Ἐρώτησις· Εἰ ὅπου μὲν λέγει, « δαρήσεται πολλὰ, » ὅπου δὲ « ὀλίγα, » πῶς λέγουσί τινες μὴ εἶναι τέλος τῆς κολάσεως τοῖς κολαζομένοις; Ἀπόκρισις· C Τὰ ἀμφίβολα, καὶ ἐπικεκαλυμμένως εἰρῆσθαι δοκοῦντα ἔν τισι τόποις τῆς θεοπνεύστου γραφῆς, ὑπὸ τῶν ἄλλων ἐν ἄλλοις ὁμολογουμένων σαφηνίζεται. Τοῦ οὖν κυρίου ἀποφηναμένου, ὅτι ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον· ποτὲ δὲ ἐκπέμποντος ἡμᾶς εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· καὶ ἄλλοτε ὀνομάζοντος γέενναν πυρὸς, καὶ ἐπιφέροντος, « ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται· » καὶ ἔτι πάλαι διὰ τοῦ προφήτου περί τινων προειρηκότος, « ὅτι ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται· » τούτων καὶ τοιούτων πολλάκις ἐκ τῆς θεοπνεύστου γραφῆς λεγομένων, ἓν καὶ τοῦτο τῆς μεθοδείας τοῦ διαβόλου, τὸ τοὺς πολλοὺς τῶν ἀνθρώπων, ὥσπερ ἐπιλαθομένους τῶν τοιούτων καὶ τοσούτων τοῦ κυρίου ἀποφάσεων, τέλος κατατολμᾷν D κολάσεων τῆς ἁμαρτίας εἰς τὸ μέλλον ἑαυτοῖς ὑπογράφειν. Εἰ γὰρ τῆς αἰωνίου κολάσεως ἔσται ποτὲ τέλος, ἕξει πάντως καὶ ἡ αἰώνιος ζωὴ τέλος· εἰ δὲ ἐπὶ τῆς ζωῆς οὐχ οὕτως νοῆσαι τὸ ῥητὸν καταδεχόμεθα, ποῖον ἔχει λόγον τῇ κολάσει τῇ αἰωνίῳ τέλος διδόναι; ἡ γὰρ τοῦ αἰωνίου προσθήκη ἐφ' ἑκατέρων ἐπίσης κεῖται· « Ἀπελεύσονται γὰρ, φησὶν, οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. » — Τοῦ αὐτοῦ ἐκ τοῦ προτρεπτικοῦ εἰς τὸ βάπτισμα λόγου· Διὰ πρόσκαιρον ἁμαρτίας ἡδονὴν ἀθάνατα βασανίζομαι· διὰ ἡδονὴν σαρκὸς τῷ αἰωνίῳ πυρὶ παραδίδομαι. — Τοῦ ἐν ἁγίοις [ἁγίου] Ἰωάννου ἐπισκόπου Κωνσταντινουπόλεως ἐκ τῆς πρὸς Θεόδωρον τὸν μοναχὸν πρώτης ἐπιστολῆς· Ταῦτα ἐννόει διόλου, καὶ τὸν ποταμὸν τοῦ πυρός· « Ποταμὸς γὰρ πυρὸς εἷλκε πρὸ προσώπου αὐτοῦ. » Οὐκ ἔστιν ἐκείνῳ παραδοθέντα τῷ πυρὶ προσδοκῆσαι κο-

Basilii episcopi Cæsareæ Cappadociæ, ex ejus libro Regularum. *Interrogatio :* Si tum dicit, *Vapulabit multis*, tum *paucis* (*Luc.* XII) : quo pacto quidam dicunt, nullum finem supplicii fore iis qui pœna affi- C ciuntur? *Responsio :* Quæ ambigua sunt, ac videntur obscure esse dicta in quibusdam locis divinitus inspiratæ Scripturæ, alibi ab aliis quæ confessa et aperta sunt, declarantur. Cum ergo Dominus pronuntiarit : *Ibunt hi in supplicium æternum, justi autem in vitam æternam* (*Matth.* XXV); et alicubi mittat nos in ignem æternum, qui paratus est diabolo et angelis ejus; atque alias nominet gehennam ignis, et adjungat : *Ubi vermis eorum non moritur, et ignis non exstinguitur* (*Marc.* IX) : ac rursus per prophetam de quibusdam prædixerit : *Vermis eorum non morietur, et ignis non exstinguetur* (*Isa.* LXVI) : cum hæc atque hujusmodi sæpe a divinitus inspirata Scriptura proponantur, unum hoc quoque est diaboli artis et astutiæ, ut multi homines, veluti obliti talium tantarumque D Domini sententiarum, finem sibi audeant pœnarum peccati in posterum adumbrare. Nam si æterni supplicii quandoque finis est futurus, omnino habebit et vita æterna finem; si in vita non sic evangelici dicti sensum accipimus, quæ ratio est supplicio æterno finem statuere? Æterni enim adjunctio pariter in utroque ponitur. *Ibunt enim*, inquit, *hi in supplicium æternum, justi autem in vitam æternam* (*Matth.* XXV). » Ejusdem e sermone adhortatorio ad sanctum baptisma : « Propter brevem ac temporariam peccati voluptatem sempiterna crucior pœna : propter voluptatem carnis, æterno igni addicor. » Sancti Joannis episcopi Constantinopoleos e prima ad Theodorum monachum epistola : « Hæc in mente jugiter habeas, et fluvium ignis : *Fluvius enim igneus rapidusque egrediebatur a facie ejus* (*Dan.* VII). Non est

λάσεως τέλος. Ἀλλ' αἱ μὲν ἄτοποι τοῦ βίου ἡδοναὶ τῶν σκιῶν καὶ ὀνειράτων διαφέρουσιν οὐδέν· πρινὴ γὰρ τελεσθῆναι τὰ τῆς ἁμαρτίας, σβέννυνται τὰ τῆς ἡδονῆς· αἱ δὲ ὑπὲρ τούτων κολάσεις πέρας οὐκ ἔχουσιν. — Τοῦ αὐτοῦ ἐκ τοῦ ὑπομνήματος ς΄ τῆς πρὸς Κορινθίους πρώτης ἐπιστολῆς· Οὐ μικρὸν ἡμῖν τὸ προκείμενον ζήτημα ἐντεῦθεν, ἀλλὰ καὶ περὶ τῶν σφόδρα ἀναγκαίων· ἅπαντες ζητοῦσιν ἄνθρωποι, εἰ τέλος ἔχει τὸ τῆς γεέννης πῦρ· ὅτι μὲν γὰρ οὐκ ἔχει, ὁ Χριστὸς ἀπεφήνατο εἰπὼν, «Τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει·» καὶ ὁ Παῦλος δὲ δεικνὺς αὐτὸν ἀθάνατον, φησίν· «Οἱ ἁμαρτάνοντες δίκην τίσουσιν ὄλεθριον αἰώνιον.» — Τῆς τοίνυν θείας γραφῆς καὶ τῶν ἁγίων πατέρων σαφῶς ἡμᾶς ἐκδιδασκόντων μὴ εἶναι τέλος κολάσεως τῶν ἀσεβῶν, καὶ τῶν ὑπ' ἐκείνων θεραπευομένων δαιμόνων, ποίαν ἀποκατάστασιν οἱ τὰ Ὠριγένους φρονοῦντες φαντάζονται, ἐν ᾧ πέρας αἱ τιμωρίαι οὐκ ἔχουσιν; Ἡ γὰρ ἁγία τοῦ Χριστοῦ ἐκκλησία ὥσπερ τοῖς δικαίοις ἀτελεύτητον κηρύσσει τὴν αἰώνιον ζωὴν, οὕτω καὶ τοῖς ἀσεβέσιν ἀτελεύτητον τὴν κόλασιν παραδίδωσι. Καὶ ταῦτα μὲν ἐν τούτοις. Ἡμεῖς δὲ ὀλίγα μὲν ἐκ πολλῶν τῇ τε θείᾳ γραφῇ, τοῖς τε ἁγίοις πατράσιν εἰρημένων παραγαγεῖν συνείδομεν, πρὸς τὸ ἐλέγξαι τὴν τῶν Ὠριγενιστῶν δυσσέβειαν.

Βουλόμενοι δὲ πᾶν σκάνδαλον τῆς ἁγιωτάτης ἐκκλησίας ἀπελάσαι, πρὸς τὸ μηδένα ῥύπον ἐν αὐτῇ καταλειφθῆναι, καὶ ἀκολουθοῦντες ταῖς θείαις γραφαῖς, τοῖς τε ἁγίοις πατράσι τοῖς τὸν αὐτὸν Ὠριγένην καὶ τὰ τοιαῦτα μυσαρὰ καὶ ἀσεβῆ αὐτοῦ δόγματα ἐκβαλοῦσί τε, καὶ δικαίως ἀναθέματι ὑποβαλοῦσι, τὴν παροῦσαν ἡμῶν ἐπιστολὴν πρὸς τὴν σὴν ποιούμεθα μακαριότητα, δι' ἧς προτρέπομεν αὐτὴν συναγαγεῖν ἅπαντας τοὺς ἐνδημοῦντας κατὰ ταύτην τὴν βασιλίδα πόλιν ὁσιωτάτους ἐπισκόπους, καὶ τοὺς θεοφιλεστάτους τῶν ἐνταῦθα εὐαγῶν μοναστηρίων ἡγουμένους· καὶ παρασκευάσαι πάντας ἐγγράφως τὸν εἰρημένον δυσσεβῆ τε, καὶ θεομάχον Ὠριγένην, τὸν καὶ Ἀδαμάντιον, πρεσβύτερον γενόμενον τῆς κατὰ Ἀλεξάνδρειαν ἁγιωτάτης ἐκκλησίας, καὶ τὰ αὐτοῦ μυσαρὰ καὶ ἀσεβῆ δόγματα, καὶ τὰ ὑποτεταγμένα πάντα κεφάλαια πᾶσι τρόποις ἀναθεματίσαι· ἐκπέμψαι δὲ καὶ τὰ ἴσα τῶν παρὰ τῆς σῆς μακαριότητος ταύτης ἕνεκα τῆς αἰτίας πραττομένων, καὶ πρὸς τοὺς ἄλλους ἅπαντας ἁγιωτάτους ἐπισκόπους, καὶ τῶν εὐαγῶν μοναστηρίων ἡγουμένους· ἐφ' ὥτε καὶ αὐτοὺς δι' οἰκείας ὑπογραφῆς ἀναθεματίσαι Ὠριγένην, καὶ τὰ μυσαρὰ αὐτοῦ δόγματα, μετὰ πάντων τῶν δηλωθησομένων αἱρετικῶν· τοῦ λοιποῦ δὲ μὴ ἄλλως ἐπισκόπους χειροτονεῖσθαι, ἢ μοναστηρίων ἡγουμένους, εἰ μήποτε πρότερον μετὰ τῶν ἄλλων ἁπάντων αἱρετικῶν τῶν ἐξ ἔθους ἐν τοῖς γενομένοις λιβέλλοις ἀναθεματιζομένων, τουτέστι Σαβελλίου, Ἀρείου, Ἀπολλιναρίου, Νεστορίου, Εὐτυχοῦς, Διοσκόρου, Τιμοθέου τοῦ Αἰλούρου, καὶ Πέτρου τοῦ Μογγοῦ, καὶ Ἀνθίμου Τραπεζοῦντος, Θεοδοσίου τοῦ Ἀλεξανδρέως, Πέτρου τοῦ πρώην Ἀντιοχείας, καὶ Πέτρου τοῦ Ἀπαμείας, καὶ Σεβήρου τοῦ ποτε Ἀντιοχείας, καὶ τὸν εἰρημένον Ὠριγένην τὸν τὴν Ἑλληνικὴν καὶ Ἀρειανικὴν μανίαν νοσήσαντα, μετὰ τῶν αὐτοῦ μυσαρῶν καὶ

A quod quisquam ei deditus igni, supplicii finem exspectet. Verum improbæ sæculi hujus voluptates ab umbris somniisque nihil differunt; priusquam enim peccatum ad finem pervenerit, exstinguitur voluptas; suppliciorum vero, quæ pro flagitiis suscipiuntur, nullus est finis. » Ejusdem ex commentariis in primam ad Corinthios Epistolam: « Non levis nobis hinc proposita quæstio est, sed de rebus valde necessariis. Quærunt omnes homines, ignis gehennæ sitne finem habiturus: non habiturum pronuntiavit Dominus, cum diceret: *Ignis eorum non exstinguetur, et vermis eorum non morietur* (*Marc.* IX). Paulus vero eum perennem ostendens ait: *Peccatores pœnas dabunt in interitu æternas* (*II Thess.* I). » Quare cum divina nos Scriptura sanctique Patres edoceant, nullum finem B esse impiorum supplicii, dæmonumque qui ab illis coluntur: quam restitutionem imaginantur, qui cum Origene sentiunt, ubi suppliciorum nullus est exitus? Sancta enim Christi Ecclesia, quemadmodum justis indesinentem prædicat vitam æternam, ita impios perpetuo * supplicia manere tradit. Atque hæc quidem in his. Nos porro paucas e multis divinæ Scripturæ sanctorumque Patrum auctoritatibus afferendas esse perspeximus, ad confutandam Origenistarum impietatem.

Cum autem velimus omne scandalum a sanctissima Ecclesia propulsare, ut nulla in ea macula relinquatur; obsequentes divinis Scripturis sanctisque Patribus qui ipsum Origenem ac hujusmodi sceleratam impiamque ejus doctrinam profligarunt, ac jure C anathemati subjecerunt, hanc epistolam ad tuam beatitudinem dedimus, qua eam hortamur ut omnium qui in hac regia urbe nunc degunt, sanctissimorum episcoporum conventum habeat, ac Deo amabilissimorum præfectorum sanctis, quæ hic sunt, monasteriis, faciatque ut omnes in scriptis præfatum impium ac Deo repugnantem Origenem, qui et Adamantius, qui presbyter fuit sanctissimæ Ecclesiæ Alexandriæ, ac ejus nefaria impiaque dogmata, capitulaque omnia quæ inferius ponuntur, omnimodis anathematizent: exemplaque dimittas eorum quæ a beatitudine tua ob hanc causam gesta fuerint, ad alios omnes sanctissimos episcopos præfectosque venerabilium monasteriorum: ut et ipsi subscriptione propria anathematizent Origenem scelestaque ejus D dogmata, cum omnibus qui declarabuntur, hæreticis. In posterum autem, ne aliter ordinentur episcopi, aut monasteriorum præfecti, nisi prius cum aliis omnibus hæreticis, qui de more in editis libellis anathematizantur, id est, Sabellio, Ario, Apollinario, Nestorio, Eutyche, Dioscoro, Timotheo Æluro, et Petro Moggo, et Anthimo Trapezuntis, Theodosio Alexandriæ, Petro qui fuit Antiochiæ, et Petro qui Apameæ, et Severo olim Antiochiæ, prædictum etiam Origenem, qui paganorum Arianorumque insania laboravit, una cum exsecrabilibus impiisque ejus dogmatibus anathematizent. Omnibus enim prædicendum est, ne omnino quisquam audeat talem

* Ut legatur *perpetua* syntaxis et Græcus textus postulant. EDIT.

ἀσεβῶν δογμάτων ἀναθεματίσωσι· δεῖ γὰρ ἅπασι προαγορεῦσαι τοῦ μηδένα τολμᾷν παντελῶς ἀντιποιεῖσθαι τοῦ τοιούτου αἱρετικοῦ, ἢ τῶν αὐτοῦ ἐκθέσεων, ἀλλὰ ταύτας ἕκαστον ἐκ πάσης ψυχῆς, καὶ πάσης διανοίας μισεῖν τε καὶ ἀποστρέφεσθαι, καὶ ἀναθεματίζειν, οἷα τῆς Χριστιανικῆς παραδόσεως ἀλλοτρίας καθεστώσας, καὶ ταῖς τῶν ἁπλουστέρων ψυχαῖς μεγάλην ἐργαζομένας λύμην.

Ταῦτα δὲ αὐτὰ γεγραφήκαμεν οὐ μόνον πρὸς τὴν σὴν ἁγιωσύνην, ἀλλὰ καὶ πρὸς τὸν ἁγιώτατον καὶ μακαριώτατον πάπαν τῆς πρεσβυτέρας Ῥώμης, καὶ πατριάρχην Βιγίλιον, καὶ τοὺς λοιποὺς ἅπαντας ἁγιωτάτους ἐπισκόπους καὶ πατριάρχας, τουτέστιν Ἀλεξανδρείας, Θεουπόλεως, καὶ Ἱεροσολύμων, ὥστε καὶ αὐτοὺς πρόνοιαν θέσθαι τῷ ἔργῳ, καὶ πέρατι ταῦτα παραδοθῆναι. Βουλόμενοι δὲ πάντας τοὺς Χριστιανοὺς γνῶναι, ὡς τὰ Ὠριγένους συγγεγραμμένα παντελῶς ἀλλότρια τῆς ἀληθοῦς τῶν Χριστιανῶν τυγχάνει πίστεως, συνείδομεν ἐκ τῶν πολλῶν αὐτοῦ καὶ ἀμέτρων βλασφημιῶν ὀλίγας ἐπ' αὐτῆς λέξεως παραθεῖναι. Ἔχουσι δὲ οὕτως.

Ὅτι ἥττων ὁ υἱὸς τοῦ πατρὸς, καὶ τὸ πνεῦμα τοῦ υἱοῦ, ἐκ τοῦ πρώτου λόγου τοῦ περὶ ἀρχῶν βιβλίου.

Ὅτι ὁ μὲν Θεὸς καὶ πατὴρ συνέχων τὰ πάντα φθάνει εἰς ἕκαστον τῶν ὄντων, μεταδιδοὺς ἑκάστῳ ἀπὸ τοῦ ἰδίου τὸ εἶναι. Ὧ γάρ ἐστιν ἔλαττον· ὡς δὲ παρὰ [ἴσ. ὢν γάρ ἐστιν· ἐλάττων δὲ παρὰ] τὸν πατέρα ὁ υἱὸς φθάνων ἐπὶ μόνα τὰ λογικὰ, δεύτερος γάρ ἐστι τοῦ πατρός· ἔτι δὲ ἧττον τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ μόνους τοὺς ἁγίους διϊκνούμενον. Ὥστε κατὰ τοῦτο μείζων ἡ δύναμις τοῦ πατρὸς παρὰ τὸν υἱὸν, καὶ τὸ πνεῦμα τὸ ἅγιον· πλείων δὲ ἡ τοῦ υἱοῦ παρὰ τὸ πνεῦμα τὸ ἅγιον· καὶ πάλιν διαφέρουσα μᾶλλον τοῦ ἁγίου πνεύματος ἡ δύναμις παρὰ τὰ ἄλλα ἅγια.

Ὅτι πεπερασμένη ἐστὶν ἡ τοῦ Θεοῦ καὶ πατρὸς δύναμις, ἐκ τοῦ δευτέρου λόγου τοῦ αὐτοῦ βιβλίου.

Πεπερασμένην γὰρ εἶναι καὶ τὴν δύναμιν τοῦ Θεοῦ λεκτέον, καὶ οὐ προφάσει εὐφημίας τὴν περιγραφὴν αὐτῆς περιαιρετέον. Καὶ μετ' ὀλίγα· Πεποίηκε γὰρ τοσαῦτα [τοίνυν] ὅσων ἠδύνατο περιδράξασθαι, καὶ ἔχειν ὑπὸ χεῖρα, καὶ συγκρατεῖν ὑπὸ τὴν ἑαυτοῦ πρόνοιαν· ὥσπερ καὶ τοσαύτην ὕλην κατεσκεύασεν, ὅσην ἠδύνατο διακοσμῆσαι.

Τοῦ αὐτοῦ ἐκ τοῦ τετάρτου λόγου τοῦ αὐτοῦ βιβλίου.

Μηδεὶς δὲ προσκοπτέτω τῷ λόγῳ, εἰ μέτρα ἐπιτίθεμεν καὶ τῇ τοῦ Θεοῦ δυνάμει. Ἄπειρα γὰρ περιλαβεῖν τῇ φύσει ἀδύνατον τυγχάνει. Ἅπαξ δὲ πεπερασμένων ὄντων, ὧν περιδράττεται αὐτὸς ὁ Θεὸς, ἀνάγκη ὅρον εἶναι μέχρι πόσων πεπερασμένων διαρκεῖ.

Ὅτι κτίσμα, καὶ γεννητὸς ὁ υἱὸς, ἐκ τοῦ αὐτοῦ δ' λόγου.

Οὗτος δὲ ὁ υἱὸς ἐκ θελήματος τοῦ πατρὸς γεννηθεὶς, « ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, καὶ ἀπαύγασμα τῆς δόξης αὐτοῦ, χαρακτήρ τε τῆς ὑποστάσεως αὐτοῦ, πρωτότοκος πάσης κτίσεως, κτίσμα, σοφία. » Αὐτὴ γὰρ ἡ σοφία φησίν· « Ὁ Θεὸς ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ. »

A hæreticum, aut ejus expositiones defendere, sed eas unusquisque ex toto animo et tota cogitatione oderit et aversetur, et anathematizet, ut a Christiana traditione alienas, et simpliciorum animabus gravem afferentes luem ac pestem.

Hæc porro eadem scripsimus non solum ad sanctitatem tuam, sed etiam ad sanctissimum et beatissimum papam senioris Romæ et patriarcham Vigilium, et ad cæteros omnes sanctissimos episcopos et patriarchas, id est, Alexandriæ, Theopoleos, et Hierosolymorum, ut et hi huic rei prospiciant, et hæc finem adipiscantur. Cum vero cupiamus, omnes Christianos cognoscere scripta Origenis prorsus a vera
B Christianorum fide aliena esse, ex multis immensisque ejus blasphemiis paucas ad verbum apponendas esse censuimus. Sic autem habent:

Quod minor sit Filius Patre, et Spiritus Filio, e primo libro Peri archon.

Quod Deus quidem et Pater omnia continens, ad unumquodque entium pervenit, esse unicuique impertiens de suo; [a] esse enim est minus: quoad verum Patrem Filius ad sola rationabilia pervenit; est enim secundus a Patre: adhuc etiam minor est Spiritus sanctus, ad solos sanctos perveniens. Ita ex hoc major est potestas Patris præ Filio et Spiritu sancto: ampliorque Filii præ Spiritu sancto, ac rursum præstantior sancti Spiritus potestas præ aliis entibus
C sanctis.

Quod finita est Dei et Patris potestas, e secundo libro ejusdem voluminis.

Finitam enim esse et potestatem Dei dicendum: nec, prætextu laudis, circumscriptio ejus tollenda est. *Et paulo post:* Tanta enim fecit, quanta sub manum comprehendere et habere poterat, et continere sub providentia sua: quemadmodum et tantam construxit materiam, quantam administrare et exornare poterat.

Ejusdem ex quarto libro ejusdem voluminis.

Nemo autem sermone offendatur, si modum statuimus Dei etiam potestati. Infinita enim complecti,
D natura impossibile est, nam cum semel finita sint quæ Deus ipse comprehendit, necesse est terminum esse ad quot usque finita ipse sufficiat.

Quod creatura et factus Filius est, ex eodem libro.

Hic Filius de voluntate Patris generatus, *qui est imago Dei invisibilis, et splendor gloriæ ejus, et figura substantiæ ejus, primogenitus omnis creaturæ, creatura, sapientia* (*Coloss.* I; *Hebr.* I; *I Cor.* V). Ipsa enim Sapientia dicit: *Dominus creavit me initium viarum suarum in opera ipsius* (*Prov.* VIII).

[a] Legendum est, *omnibus* ex lib. I Periarchon c. 3. Sic reliqua quæ ex Origene hic afferuntur, in Græco quoque, qui ex Latino expressus est, sunt corrigenda. HARDUINUS. — Locus obscurus, et corruptus etiam in Græco; forte sic restituendus: *Ipse enim est qui est; minor vero Patre Filius ad sola rationabilia perveniens.*

Ὅτι καὶ περιέχεται μετὰ τῶν ἄλλων κτισμάτων ὁ υἱὸς ὑπὸ τοῦ πατρός· καὶ κατὰ πάντα μείζων ἐστὶν ὁ πατὴρ τοῦ υἱοῦ, καὶ ἀόρατος αὐτῷ τυγχάνει, ἐκ τοῦ αὐτοῦ περὶ ἀρχῶν δ' λόγου.

A *Quod Filius cum reliquis creaturis a Patre contineatur, et Pater per omnia sit Filio major, cui sit etiam invisibilis, ex eodem Peri archon libro quarto.*

Εἰ δὲ ὁ πατὴρ ἐμπεριέχει τὰ πάντα, τῶν δὲ πάντων γέ ἐστιν ὁ υἱός, δῆλον ὅτι καὶ τὸν υἱόν. Ἄλλος δέ τις ζητήσει, εἰ ἀληθὲς τὸ ὁμοίως τὸν Θεὸν ὑφ' ἑαυτοῦ γινώσκεσθαι, τῷ γινώσκεσθαι αὐτὸν ὑπὸ τοῦ μονογενοῦς· καὶ ἀποφανεῖται, ὅτι τὸ εἰρημένον, « Ὁ πατὴρ ὁ πέμψας με μείζων μου ἐστίν, » ἐν πᾶσιν ἀληθές. Ὥστε καὶ ἐν τῷ νοεῖν ὁ πατήρ, μειζόνως καὶ τρανοτέρως καὶ τελειοτέρως νοεῖται ἀφ' ἑαυτοῦ, ἢ ὑπὸ τοῦ υἱοῦ.

Si vero Pater omnia continet, et Filius est ex omnium numero, liquet ipsum etiam contineri. Quærat alius quispiam, num verum sit æque Deum a se ipso cognosci, atque ab Unigenito; asseretque verum esse in omnibus dictum illud : *Qui misit me Pater, major me est* (*Joan.* XIV,28). Quare intelligendo etiam Pater, amplius, clarius, perfectiusque a seipso intelligitur quam a Filio.

Ἐκ τοῦ πρώτου λόγου τοῦ αὐτοῦ βιβλίου.

Ex primo ejusdem libri volumine.

Γενόμενοι τοίνυν ἡμεῖς κατ' εἰκόνα, τὸν υἱὸν πρωτότυπον ὡς ἀλήθειαν ἔχομεν τῶν ἐν ἡμῖν καλῶν τύπων. Αὐτὸς δὲ ὁ υἱὸς ὅπερ ἡμεῖς ἐσμεν πρὸς αὐτὸν, τοιοῦτός ἐστι πρὸς τὸν πατέρα, ἀλήθειαν τυγχάνοντα.

B Itaque nos facti ad imaginem habemus Filium, utpote veritatem, pulchrarum in nobis formationum exemplar. Quod porro nos sumus ad ipsum Filium, est ipse ad Patrem, qui veritas est.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Ejusdem ex eodem libro.

Οὕτω τοίνυν ἡγοῦμαι καὶ ἐπὶ τοῦ σωτῆρος καλῶς ἂν λεχθήσεσθαι, ὅτι εἰκὼν ἀγαθότητος τοῦ Θεοῦ ἐστιν, ἀλλ' οὐκ αὐτὸ ἀγαθόν. Καὶ τάχα καὶ υἱὸς ἀγαθὸς, ἀλλ' οὐχ ὡς ἁπλῶς ἀγαθός. Καὶ ὥσπερ εἰκών ἐστι τοῦ Θεοῦ τοῦ ἀοράτου, καὶ κατὰ τοῦτο Θεὸς, ἀλλ' οὐ περὶ οὗ λέγει αὐτὸς ὁ Χριστὸς, « Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν· » οὕτως εἰκὼν ἀγαθότητος, ἀλλ' οὐχ ὡς ὁ πατὴρ ἀπαραλλάκτως ἀγαθός.

Ita igitur censeo de Salvatore etiam commode dici posse, quod sit Dei bonitatis imago, non autem ipsa bonitas, fortassis etiam Filius bonus, sed non simpliciter bonus. Et quemadmodum Dei invisibilis est imago, et propterea Deus, non tamen is, de quo Christus ipse ait : *Ut cognoscant te solum verum Deum* (*Joan.* XVII) : ita bonitatis imago, non tamen ut Pater incommutabiliter.

Ὅτι μετὰ τοῦ υἱοῦ καὶ τὸ ἅγιον πνεῦμα κτίσμα εἰπὼν, συνηρίθμησε τοῖς ἄλλοις κτίσμασι, διὸ καὶ λειτουργικὰ αὐτὰ' ζῶα καλεῖ. Ἐκ τοῦ δ' λόγου τοῦ περὶ ἀρχῶν βιβλίου.

Quod Filium cum Spiritu sancto creaturam vocans, annumeraverit aliis creaturis; idcirco ministratoria vocaverit ipsos animalia, ex quarto Peri archon libro.

Ὅτι μὲν οὖν πᾶν, ὅ τι ποτὲ παρὰ τὸν πατέρα καὶ Θεὸν τῶν ἄλλων [ὅλων] γεννητόν ἐστιν, ἐκ τῆς αὐτῆς ἀκολουθίας πειθόμεθα. Καὶ μετά τινα· Ἔλεγε δὲ ὁ Ἑβραῖος τὰ ἐν τῷ Ἡσαΐᾳ δύο σεραφὶμ ἑξαπτέρυγα, κεκραγότα ἕτερον πρὸς τὸ ἕτερον, καὶ λέγοντα, « Ἅγιος, ἅγιος, ἅγιος κύριος σαβαώθ, » τὸν μονογενῆ εἶναι τοῦ Θεοῦ, καὶ τὸ πνεῦμα τὸ ἅγιον. Ἡμεῖς δὲ οἰόμεθα ὅτι καὶ ἐν τῇ ᾠδῇ Ἀμβακοὺμ, « Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, » περὶ Χριστοῦ καὶ ἁγίου πνεύματος.

C Quod igitur quæcunque alia res præter Patrem ac Deum universorum, creata est, eadem consequentia suademur. *Et post pauca* : Aiebat autem Hebræus, duo illa seraphim apud Isaiam sex alas habentia, clamantia alterum ad alterum, et dicentia . *Sanctus, sanctus, sanctus, Dominus Deus sabaoth* (*Isa.* VI), esse Dei unigenitum, et Spiritum sanctum. Nos autem arbitramur, illud etiam quod habetur in cantico Habacuc : *In medio duorum animalium cognosceris* (*Habac* III), referendum esse in Christum et Spiritum sanctum.

Ἐκ τοῦ δευτέρου λόγου τοῦ περὶ ἀρχῶν βιβλίου, ὅτι ἄνθρωπον ψιλὸν λέγει τὸν κύριον.

Ex secundo libro Peri archon : quod purum hominem Dominum vocet.

Διὰ τοῦτο καὶ ἄνθρωπος γέγονε Χριστὸς, ἐξ ἀνδραγαθήματος τούτου τυχὼν, ὡς μαρτυρεῖ ὁ προφήτης λέγων, « Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου ἔλεον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου· » ἔπρεπε δὲ [τὸν μηδέποτε κεχαρισμένον] τοῦ μηδέποτε κεχωρισμένου τοῦ μονογενοῦς συγχρηματίσαι τῷ μονογενεῖ, καὶ συνδοξασθῆναι αὐτῷ.

Idcirco et homo factus est Christus, suo merito hoc sortitus, ut propheta testatur, inquiens : *Dilexisti justitiam, et odisti iniquitatem; propterea unxit te* D *Deus, Deus tuus oleo lætitiæ præ participibus tuis* (*Psal.* XLIV). Decebat siquidem illum, qui nunquam ab Unigenito separatus est, coexistere Unigenito, et una cum ipso conglorificari.

Ὅτι συναΐδια [τῷ θεῷ] τοῦ Θεοῦ τὰ κτίσματα, ἐκ τοῦ πρώτου λόγου τοῦ περὶ ἀρχῶν βιβλίου.

Quod creaturæ coæternæ sint Deo, ex primo libro Peri archon.

Πῶς δὲ οὐκ ἄτοπον τὸ μὴ ἔχοντά τι τῶν πρεπόντων αὐτῷ τὸν Θεὸν, εἰς τὸ ἔχειν ἐληλυθέναι; ἐπεὶ δὲ οὐκ ἔστιν ὅτε παντοκράτωρ οὐκ ἦν, ἀεὶ εἶναι δεῖ ταῦτα, δι' ἃ παντοκράτωρ ἐστί. Καὶ ἀεὶ ἦν ὑπ' αὐτοῦ κρατούμενα, ἄρχοντι αὐτῷ χρώμενα.

Qui vero absurdum non sit, ut Deus ex non habente aliquid eorum quæ sibi conveniunt, fiat habens? Quoniam igitur nunquam non fuit omnipotens, æterna hæc esse decet, propter quæ omnipotens est. Erant igitur semper ipsius dominio subjecta, ipso utentia principe.

' Legendum αὐτοὺς, id est Patrem et Filium, quod Latino *ipsos* consonabit. EDIT.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Πάντα τὰ γένη καὶ τὰ εἴδη ἀεὶ ἦν· [ἀλλ' οὐ δή τις] ἄλλος δέ τις ἐρεῖ καὶ τὸ καθ' ἓν ἀριθμῷ· πλὴν ἑκατέρως [δηλοῦται] δηλοῦνται, ὅτι οὐχ ἤρξατο ὁ Θεὸς δημιουργεῖν ἀργήσας ποτέ.

Περὶ τῆς προϋπάρξεως τῶν ψυχῶν, ἐκ τοῦ πρώτου λόγου περὶ ἀρχῶν βιβλίου.

Ἐξ ἰδίας αἰτίας τῶν μὴ προσεχόντων ἑαυτοῖς ἀγρύπνως γίνονται τάχιον ἢ βράδιον [μεταπτώσεις] μεταπιπτούσης, καὶ ἐπὶ πλεῖον ἢ ἐπ' ἔλαττον· ὡς ἀπὸ ταύτης τῆς αἰτίας κρίσει θείᾳ συμπαραμετρούσῃ τοῖς ἑκάστου βελτίοσιν, ἢ χείροσι κινήμασι καὶ τὸ κατ' ἀξίαν· ὁ μέν τις ἕξει ἐν τῇ ἐσομένῃ διακοσμήσει τάξιν ἀγγελικὴν, ἢ δύναμιν ἀρχικὴν, ἢ ἐξουσίαν τὴν ἐπί τινων, ἢ θρόνον τῶν ἐπιβασιλευομένων, ἢ κυρείαν τὴν κατὰ δούλων. Οἱ δὲ οὐ πάνυ τι ἐκπεσόντες, τὴν ἐπὶ τοῖς εἰρημένοις οἰκονομίαν τε καὶ βοήθειαν ἕξουσι. Καὶ οὕτως κατὰ μὲν τὸ πλεῖστον ἀπὸ τῶν ὑπὸ τὰς ἀρχὰς, καὶ ἐξουσίας, καὶ τοὺς θρόνους, καὶ τὰς κυριότητας, τάχα δὲ ἔσθ' ὅτε καὶ ἀντ' αὐτῶν συστήσεται τὸ τῶν ἀνθρώπων γένος ἐν τῷ καθ' ἕνα κόσμῳ.

Ἐκ τοῦ αὐτοῦ λόγου, ὅτι εἰ μεταβάλλοιεν ἐπὶ τὸ κρεῖττον οἱ δαίμονες, συμπληρώσουσί ποτε ἀνθρωπότητα.

Οἶμαι δὲ δύνασθαι ἀπὸ τῶν ὑποτεταγμένων τοῖς χείροσιν, ἀρχαῖς καὶ ἐξουσίαις, καὶ κοσμοκράτορσι καθ' ἕκαστον κόσμον, ἢ [ἴσ. τινος κόσμου νόους] τινας κόσμους ἐνίους τάχιον εὐεργετουμένους, καὶ βουλησομένους ἐξ αὐτῶν μεταβαλεῖν, συμπληρώσειν ποτὲ ἀνθρωπότητα.

Περὶ τῆς τῶν ἄνωθεν εἰς σῶμα καταγωγῆς.

Οὕτω δὴ ποικιλωτάτου κόσμου τυγχάνοντος, καὶ τοσαῦτα διάφορα λογικὰ περιέχοντος, τί ἄλλο χρὴ λέγειν αἴτιον γεγονέναι τοῦ ὑποστῆναι αὐτὸν, ἢ τὸ ποικίλον τῆς ἀποπτώσεως τῶν οὐχ ὁμοίως τῆς ἑνάδος ἀποῤῥεόντων; καὶ τὸν ἔνυδρον ἔσθ' ὅτε αἱρεῖται βίον ἡ ψυχή.

Ἐκ τοῦ δευτέρου λόγου τοῦ περὶ ἀρχῶν βιβλίου.

Ἡ ψυχὴ ἀποῤῥέουσα τοῦ καλοῦ, καὶ τῇ κακίᾳ προσκλιναμένη, καὶ ἐπὶ πλεῖον ἐν ταύτῃ γινομένη, εἰ μὴ ὑποστρέφοι, ὑπὸ τῆς ἀνοίας ἀποκτηνοῦται καὶ ὑπὸ τῆς πονηρίας ἀποθηριοῦται. Καὶ μετ' ὀλίγα· Καὶ αἱρεῖται πρὸς τὸ ἀλογωθῆναι, καὶ τὸν ἔνυδρον, ἵν' οὕτως εἴπω, βίον· καὶ τάχα κατ' ἀξίαν τῆς ἐπὶ πλεῖον πτώσεως [ἐκπτώσεως] τῆς κακίας ἐνδύεται σώματα [σῶμα] οὐ δεῖ [ἴσ. ὑδαρῆ] τοιοῦδε ζώου ἀλόγου.

Ἐκ τοῦ αὐτοῦ λόγου, ὅτι ἔσται τελεία ἡ τῶν σωμάτων ἀπόθεσις.

Εἰ δὲ τὰ [ὑποταγέντα] ὑποτεταγμένα τῷ Χριστῷ ὑποταγήσεται ἐπὶ τέλει καὶ τῷ Θεῷ, πάντες ἀποθήσονται τὰ σώματα· καὶ οἶμαι ὅτι τότε εἰς τὸ μὴ ὂν ἔσται ἀνάλυσις, τῆς τῶν σωμάτων φύσεως ὑποστησομένης δεύτερον, ἐὰν πάλιν λογικὰ ὑποκαταβῇ.

Ἐκ τοῦ τρίτου λόγου τοῦ αὐτοῦ βιβλίου, περὶ τοῦ αὐτοῦ.

Λεγομένου τοῦ Θεοῦ πάντα γενέσθαι ἐν πᾶσιν, ὥσπερ

A *Ex eodem libro.*

Genera omnia et species semper erant : non ita de singularibus differentibus numero dixerit quispiam. Verumtamen utrinque declarantur, Deum non fecisse creandi initium, cum aliquando fuerit in otio [a].

De animarum præexistentia, ex primo libro Periarchon.

Ex propria culpa minime sibi vigilanter attendentium fiunt citius aut serius delapsiones, idque vel ad longiora tempora, vel ad breviora; quod judicium divinum propter hanc causam bonis aut malis uniuscujusque motionibus dignam commensuret retributionem. Hic quidem in futura mundi dispositione habebit ordinem angelicum, aut virtutem principatus,
B aut potestatem in aliquos, aut thronum regno subditorum, aut dominationem in servos. Qui vero non multum exciderunt, habebunt, quam diximus, œconomiam, et adjumentum. Atque ita ut plurimum ex iis qui sunt sub principatibus, et potestatibus, et thronis et dominationibus, forte etiam aliquando loco ipsorum constituetur genus humanum uno in mundo.

Ex eodem libro : Quod si dæmones mutentur in melius, naturam aliquando complebunt humanam.

Puto autem posse ex iis qui subditi sunt pejoribus, principatibus et potestatibus, mundique rectoribus per singulos mundos, aut mentes alicujus mundi citius beneficium accipientes, volentesque in posterum ab ipsis mutari, complere aliquando genus huma-
C num.

De eo qui desuper factus est in corpus delapsu.

Ita cum mundus ex summa constet varietate, tantamque rationem utentium contineat differentiam, quid aliud dicendum est fuisse causæ ut subsistat, quam varios delabendi modos eorum qui non similiter defluunt ab unitate? Et aquaticam nonnunquam anima eligit vitam.

Ex secundo Periarchon libro.

Anima defluens a bono, et vergens ad nequitiam, diutiusque ipsam amplectens, nisi se ab insipientia reducat, transit ad jumenta, atque ob pravitatem efferatur. *Et paulo post :* Eligitque ut brutescat, vitam etiam, ut ita dicam, aquatilem. Et forte pro merito
D majoris ad vitiositatem prolapsionis induit corpora aquatica talis bruti animalis.

Ex eodem libro : Quod erit perfecta corporum depositio.

Quod si subjecta Christo tandem subjicientur et Deo, corpora deponentur ab omnibus (*I Cor.* XV) : arbitrorque futuram tunc in non ens resolutionem ; natura corporum rursus incœptura, si ratione utentia iterum descendant.

Ex tertio ejusdem tractatus libro, de eodem.

Cum Deus dicatur fieri omnia in omnibus (*Ibidem*),

[a] *Quasi aliquando fuerit otiosus.* Vide Pagan. Gaudentium, cap. 25.

οὐ δυνάμεθα πάλιν καταλιπεῖν, οὔτε Θεὸς πάντα γίνεται ἐν πᾶσιν, οὐδὲ ἄλογα ζῶα, ἵνα μὴ καὶ ἐν κακίᾳ ὁ Θεὸς γίνηται, καὶ ἐν ἀλόγοις ζώοις· ἀλλ' οὐδὲ ἄψυχα, ἵνα μὴ καὶ ἐν αὐτοῖς ὁ Θεός, ὅτε πάντα γίνεται· οὕτως οὐδὲ σώματα, ἅ τινα τῇ ἰδίᾳ φύσει ἄψυχά ἐστιν.

A quemadmodum non possumus deserere nequitiam, ita neque Deus fit omnia in omnibus, neque quod sunt bruta, ne Deus fiat quod nequitia est, et quod bruta; sed neque quod inanimata sunt, ne cum fit omnia Deus, fiat etiam quod ipsa: ita neque quod corpora, quæ propria ipsorum natura inanima sunt.

Ἐκ τοῦ δευτέρου λόγου τοῦ περὶ ἀρχῶν βιβλίου.

Παρὰ τὴν ἀπόπτωσιν καὶ τὴν ψύξιν τὴν ἀπὸ τοῦ ζῆν τῷ πνεύματι, γέγονεν ἡ νῦν γενομένη ψυχή, οὖσα καὶ δεκτικὴ τῆς ἐπανόδου τῆς ἐφ' ὅπερ ἦν ἐν ἀρχῇ, ὅπερ νομίζω λέγεσθαι ὑπὸ τοῦ προφήτου ἐν τῷ, « Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, » ὥστε ὅλον τοῦτο εἶναι νοῦς [ἴσ. νοῦς ἦν]· πῶς (sic) οὖν γέγονε ψυχή, καὶ ψυχὴ κατορθωθεῖσα γίνεται νοῦς.

Ex secundo Peri archon libro.

Ex eo quod decidit et refrixit, pássa scilicet Græce vocatam psyxin a spiritali vita, facta est quæ nunc anima, Græce psyche: quæ reditum quoque in id quod ab initio fuit, admittit. Quod a propheta significari arbitror, dum ait: *Revertere, anima mea, in requiem tuam* (*Psal.* CXIX), ut totum hoc sit mens. Mens igitur facta est anima, anima vero recte factis B integrata fit mens.

Ἐκ τοῦ αὐτοῦ λόγου περὶ τοῦ αὐτοῦ.

Ὥσπερ σῶσαι τὸ ἀπολωλὸς ἦλθεν ὁ σωτήρ, ὅτε μέντοι σώζεται τὸ ἀπολωλός, οὐκέτι ἐστὶν ἀπολωλός· οὕτως ἣν σῶσαι ἦλθε ψυχήν, ὡς σῶσαι τὸ ἀπολωλός, οὐκέτι μένει ψυχή, ἡ σωθεῖσα ψυχή, οὔτε τὸ ἀπολωλὸς ἀπολωλός. Ἔτι βασανιστέον. Εἰ ὥσπερ τὸ ἀπολωλὸς ἦν ὅτε οὐκ ἀπολώλει, καὶ ἔσται ποτὲ ὅτε οὐκ ἔσται ἀπολωλός· οὕτω καὶ ἡ ψυχὴ ἦν ὅτε οὐκ ἦν ψυχή, καὶ ἔσται ὅτε οὐκ ἔσται ψυχή.

Ex eodem libro, de eodem.

Quemadmodum ad salvandum quod perierat venit Salvator (*Luc.* XIX); idque quod perierat, ubi salvum est, non dicitur amplius periisse: ita anima quam salvare venit, ut salvaret quod perierat, non est amplius anima jam salvata, neque dici potest periisse quod prius dici poterat. Expendendum adhuc. Si quemadmodum quod periit, fuit aliquando res quæ non perierit, et erit aliquando cum non erit res quæ perierit; ita et anima non fuerit olim anima et erit quando non erit anima.

Ἐκ τοῦ τετάρτου λόγου.

C

Ἀνάγκη μὴ προηγουμένην τυγχάνειν τὴν τῶν σωμάτων φύσιν, ἀλλὰ ἐκ διαλειμμάτων ὑφίστασθαι διά τινα συμπτώματα γινόμενα περὶ τὰ λογικά, δεόμενα σωμάτων· καὶ πάλιν τῆς ἐπανορθώσεως τελείως γινομένης εἰς τὸ μὴ εἶναι ἀναλύεσθαι ταῦτα, ὥστε τοῦτο ἀεὶ γίνεσθαι.

Ex quarto libro.

Necesse est non præexistentem esse corporum naturam, sed per intervalla subsistere propter aliquos casus, ambientium res, quæ ratione utuntur, corporibus indigentes: facta vero emendatione perfecta, iterum hæc resolvi in nihilum, ita ut hoc fiat semper.

Ἐκ τοῦ πρώτου λόγου τοῦ αὐτοῦ βιβλίου, ὅτι ἔμψυχος ὁ ἥλιος, καὶ ἡ σελήνη, καὶ οἱ ἀστέρες.

Ὅτι δὲ πρεσβυτέρα ἡ ψυχὴ τοῦ ἡλίου τῆς ἐνδέσεως αὐτοῦ τῆς εἰς τὸ σῶμα, μετὰ τὸ συλλογίσασθαι ἐκ συγκρίσεως ἀνθρώπου τῆς πρὸς αὐτόν, καὶ ἐντεῦθεν ἀπὸ τῶν γραφῶν οἶμαι ἀποδεῖξαι δύνασθαι.

Ex primo ejusdem libri volumine: Quod sol et luna et stellæ animata sunt.

Quod porro solis anima antiquior sit alligatione ipsius ad corpus, conclusum jam est ex comparatione hominis ad ipsum: verum et e Scripturis arbitror posse hoc demonstrari.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Κάλλιον ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι, πολλῷ γὰρ μᾶλλον κρεῖσσον· νομίζω γὰρ ὅτι λέγοι ἂν ὁ ἥλιος, « Κάλλιον ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι· πολλῷ γὰρ μᾶλλον κρεῖσσον. » Καὶ ὁ μὲν Παῦλος, « Ἀλλὰ τὸ ἐπιμένειν τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς· » ὁ δὲ ἥλιος, « Τὸ ἐπιμένειν τῷ οὐρανίῳ τούτῳ σώματι ἀναγκαιότερον διὰ τὴν ἀποκάλυψιν τῶν τέκνων τοῦ Θεοῦ. » Τὰ δὲ αὐτὰ καὶ περὶ σελήνης, καὶ περὶ τῶν λοιπῶν ἀστέρων λεκτέον.

Ex eodem libro.

D *Præstat dissolvi, et esse cum Christo* (*Phil.* I): multo enim hoc melius. Sol quoque hoc ipsum, puto, dixerit: Præstat dissolvi, et esse cum Christo, multo enim hoc melius. Cæterum Paulus quidem, *Sed manere*, inquit, *in carne magis necessarium propter vos* (*Ibidem*); Sol vero dixerit: Sed permanere in hoc cœlesti corpore magis necessarium est propter revelationem filiorum Dei. Hæc eadem de luna cæterisque stellis dicendum.

Ἐκ τοῦ τετάρτου λόγου τοῦ αὐτοῦ βιβλίου, ὅτι καὶ ὑπὲρ δαιμόνων δεῖ τὸν Χριστὸν σταυρωθῆναι, καὶ πολλάκις τοῦτο εἰς τοὺς ἐσομένους αἰῶνας.

Ἀλλὰ κἂν μέχρι τοῦ πάθους τις ζητήσῃ, τολμηρὸν δόξει ποιεῖν περὶ [τῶν οὐρανίων τόπων] τὸν οὐράνιον τόπον αὐτὸ ζητῶν. Ἀλλ' εἴ ἐστι πνευματικὰ τῆς πονηρίας ἐν τοῖς οὐρανίοις, ἄρα εἰ ὥσπερ ἐνθάδε οὐκ αἰδούμεθα σταυρούμενον ὁμολογεῖν ἐπὶ καθαιρέσει ὧν καθεῖλε διὰ τοῦ

Ex quarto ejusdem libri volumine: Quod pro dæmonibus etiam oportet Christum crucifigi, idque sæpenumero per sæcula futura.

Atqui si vel de passione ipsa quæstionem quis moveat, audacter profecto videbitur circa loca cœlestia id quærere. Verum si in cœlestibus sunt spiritualia nequitiæ, sicut certe hic non erubescimus fateri crucifixum ad demolienda quæ patiendo demolitus

πεπονθέναι, οὕτω κἀκεῖ τὸ παραπλήσιον διδόντες γίνεσθαι καὶ τὰ ἑξῆς ἕως [1] τῆς συντελείας τοῦ παντὸς αἰῶνος, οὐ φοβηθησόμεθα.

A est; ita ibi quoque simile fieri concedentes, et reliqua usque ad totius sæculi consummationem nihil formidabimus.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Τίς νοῦν ἔχων ὁρίσεται πρώτην καὶ δευτέραν καὶ τρίτην ἡμέραν, ἑσπέραν τε καὶ πρωΐαν χωρὶς ἡλίου γεγενῆναι, καὶ σελήνης, καὶ ἀστέρων;

Τούτων τοίνυν οὕτως ἐχόντων, καὶ πᾶσι δήλων γενομένων τῶν παρὰ Ὠριγένους εἰρημένων βλασφημιῶν, προσήκει τὸν ἐπ' αὐτῷ ἀναθεματισμὸν οὕτως γίνεσθαι.

Εἴ τις λέγει ἢ ἔχει, προϋπάρχειν τὰς τῶν ἀνθρώπων ψυχάς, οἷα πρώην νόας οὔσας καὶ ἁγίας δυνάμεις, κόρον δὲ λαβούσας τῆς θείας θεωρίας, καὶ πρὸς τὸ χεῖρον τραπείσας, καὶ διὰ τοῦτο ἀποψυγείσας μὲν τῆς τοῦ Θεοῦ ἀγάπης, ἐντεῦθεν δὲ ψυχὰς ὀνομασθείσας, καὶ τιμωρίας χάριν εἰς σώματα καταπεμφθείσας, ἀνάθεμα.

Εἴ τις λέγει ἢ ἔχει τὴν τοῦ κυρίου ψυχὴν προϋπάρχειν, καὶ ἡνωμένην γεγενῆσθαι τῷ Θεῷ λόγῳ πρὸ τῆς ἐκ παρθένου σαρκώσεώς τε καὶ γεννήσεως, ἀνάθεμα ἔστω.

Εἴ τις λέγει ἢ ἔχει, πρῶτον πεπλάσθαι τὸ σῶμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ μήτρᾳ τῆς ἁγίας παρθένου, καὶ μετὰ ταῦτα ἑνωθῆναι αὐτῷ τὸν Θεὸν λόγον, καὶ τὴν ψυχὴν ὡς προϋπάρξασαν, ἀνάθεμα ἔστω.

Εἴ τις λέγει ἢ ἔχει, πᾶσι τοῖς ἐπουρανίοις τάγμασιν ἐξομοιωθῆναι τὸν τοῦ Θεοῦ λόγον, γενόμενον τοῖς Χερουβὶμ Χερουβίμ, καὶ τοῖς Σεραφὶμ Σεραφίμ, καὶ πάσαις ἁπλῶς ταῖς ἄνω δυνάμεσιν ἐξομοιωθέντα, ἀνάθεμα ἔστω.

Quis sana mente statuat primum, et secundum, et tertium diem, vespereque et mane fuisse sine sole, luna, et stellis?

His igitur ita se habentibus, factisque omnibus palam Origenis blasphemiis, anathematismum in ipsum sic fieri convenit.

I. Si quis dicit aut sentit præexistere hominum animas, utpote quæ antea mentes fuerint et sanctæ virtutes, satietatemque cepisse divinæ contemplationis, et in deterius conversas esse, atque idcirco refrixisse a Dei charitate, et inde ψυχὰς Græce, id est B animas esse nuncupatas, demissasque esse in corpora supplicii causa : anathema sit.

II. Si quis dicit aut sentit Domini animam prius exstitisse, atque unitam fuisse Deo Verbo ante incarnationem et generationem ex Virgine : anathema sit.

III. Si quis dicit aut sentit primum conformatum esse corpus Domini nostri Jesu Christi in utero beatæ Virginis, ac postea unitum ei esse Deum Verbum, et animam utpote quæ ante fuisset : anathema sit.

IV. Si quis dicit aut sentit omnibus cœlestibus ordinibus assimilatum esse Deum Verbum, cherubimque factum esse ipsis cherubim, et seraphim ipsis seraphim, ac omnibus plane supernis virtutibus similem esse factum : anathema sit.

Εἴ τις λέγει ἢ ἔχει, ἐν τῇ ἀναστάσει σφαιροειδῆ τὰ τῶν ἀνθρώπων ἐγείρεσθαι σώματα, καὶ οὐχ ὁμολογεῖ ὀρθίους ἡμᾶς ἐγείρεσθαι, ἀνάθεμα ἔστω.

Εἴ τις λέγει οὐρανὸν καὶ ἥλιον καὶ σελήνην, καὶ ἀστέρας καὶ ὕδατα τὰ ὑπεράνω τῶν οὐρανῶν ἐμψύχους καὶ [λογικάς, ut bene observavit Paganinus Gaudentius] ὑλικὰς εἶναί τινας δυνάμεις, ἀνάθεμα ἔστω.

Εἴ τις λέγει ἢ ἔχει, ὅτι ὁ δεσπότης Χριστὸς ἐν τῷ μέλλοντι αἰῶνι σταυρωθήσεται ὑπὲρ δαιμόνων, καθὰ καὶ ὑπὲρ ἀνθρώπων, ἀνάθεμα ἔστω.

Εἴ τις λέγει ἢ ἔχει, ἢ πεπερασμένην εἶναι τὴν τοῦ Θεοῦ δύναμιν, καὶ [leg. ἢ] τοσαῦτα αὐτὸν δημιουργῆσαι, ὅσον περιδράξασθαι, ἀνάθεμα ἔστω.

Εἴ τις λέγει ἢ ἔχει, πρόσκαιρον εἶναι τὴν τῶν δαιμόνων καὶ ἀσεβῶν ἀνθρώπων κόλασιν, καὶ τέλος κατά τινα χρόνον αὐτὴν ἕξειν, ἤγουν ἀποκατάστασιν γενέσθαι δαιμόνων, ἢ ἀσεβῶν ἀνθρώπων, ἀνάθεμα ἔστω.

C V. Si quis dicit aut sentit, in resurrectione corpora hominum orbiculata suscitari, nec confitetur nos suscitari rectos : anathema sit.

VI. Si quis dicit cœlum, et solem, et lunam, et stellas, et aquas quæ super cœlos sunt, animatas et materiales [ratione præditas] esse quasdam virtutes : anathema sit.

VII. Si quis dicit aut sentit Dominum Christum in futuro sæculo crucifixum iri pro dæmonibus, sicuti et pro hominibus : anathema sit.

VIII. Si quis dicit aut sentit, vel finitam esse Dei potestatem, vel eum tanta fecisse, quanta comprehendere potuit : anathema sit.

IX. Si quis dicit aut sentit, ad tempus esse dæmonum et impiorum hominum supplicium, ejusque finem aliquando futurum, sive restitutionem et redintegratio- D nem fore dæmonum aut impiorum hominum : anathema sit.

Ἀνάθεμα καὶ Ὠριγένει τῷ καὶ Ἀδαμαντίῳ τῷ ταῦτα ἐκθεμένῳ μετὰ τῶν μυσαρῶν αὐτοῦ καὶ ἐπικαταράτων ἐναγῶν τε δογμάτων, καὶ παντὶ προσώπῳ φρονοῦντι ταῦτα, ἢ ἐκδικοῦντι, ἢ [κατά τινα τρόπον] κατά τι παντελῶς ἐν οἱῳδήποτε χρόνῳ τούτων ἀντιποιεῖσθαι τολμῶντι.

Anathema et Origeni, qui et Adamantius, qui hæc exposuit una cum nefaria atque exsecrabili scelestaque ejus doctrina, et cuivis qui ea sentiat, aut defendat, aut ullo modo prorsus quocunque tempore tueri præsumat.

Γράμμα τοῦ βασιλέως Ἰουστινιανοῦ πρὸς τὴν ἁγίαν σύνοδον περὶ Ὠριγένους, καὶ τῶν ὁμοφρόνων αὐτοῦ.

Σπουδὴ γέγονεν ἡμῖν καὶ ἔστιν, ἀτάραχον τὴν ἁγίαν τοῦ Θεοῦ καὶ ἀποστολικὴν ἐκκλησίαν διαφυλάττεσθαι, ὡς

[a] Litteræ Justiniani imperatoris ad sanctam synodum C.P. de Origene et sectatoribus ejus.

Studium nostrum fuit et est, sanctam Dei et apostolicam Ecclesiam a turbis securam custodire, prout

[1] Sunt qui hic legi velint, ἐπὶ τῆς συντελείας : sed nihil mutandum. HARDUINUS.

[a] Pertinent hæ litteræ ad synodum a Menna celebratam cir. an. Ch. 543.

δίκαιον, καὶ τὰ ὁπωσοῦν ἀναφυόμενα τῇ ὀρθοδόξῳ πίστει ἐναντία κατακρίνεσθαι.

Ἐπεὶ τοίνυν διέγνωσται ἡμῖν, ὥς τινες ἐν Ἱεροσολύμοις εἰσὶ μοναχοὶ δήπουθεν, Πυθαγόρᾳ, καὶ Πλάτωνι, καὶ Ὠριγένει τῷ Ἀδαμαντίῳ, καὶ τῇ τούτων δυσσεβείᾳ καὶ πλάνῃ κατακολουθοῦντες, καὶ διδάσκοντες· δεῖν ᾠήθημεν φροντίδα καὶ ζήτησιν ποιήσασθαι περὶ τούτων, ἵνα μὴ πλέον διὰ τῆς Ἑλληνικῆς καὶ Μανιχαϊκῆς ἀπάτης αὐτῶν πολλοὺς ἀπολέσωσι. Λέγουσι γάρ, ἵνα ἐκ τῶν πολλῶν ὀλίγα μνημονεύσωμεν, ὅτι νόες ἦσαν δίχα παντὸς ἀριθμοῦ τε καὶ ὀνόματος, ὡς ἑνάδα πάντων εἶναι τῶν λογικῶν τῇ ταυτότητι τῆς οὐσίας καὶ ἐνεργείας, καὶ τῇ δυνάμει τῇ πρὸς τὸν Θεὸν λόγον ἑνώσει τε καὶ γνώσει. Καὶ ὡς κόρον αὐτῶν λαμβανόντων τῆς θείας ἀγάπης καὶ θεωρίας κατὰ ἀναλογίαν, ἐπὶ τὸ χεῖρον τῆς ἑκάστου τροπῆς λεπτομερέστερα, ἢ καὶ παχύτερα σώματα ἀμφιάσασθαι, καὶ ὀνόματα κληρώσασθαι, κἀντεῦθεν τὰς οὐρανίους καὶ λειτουργικὰς ὑποστῆναι δυνάμεις. Ἀλλὰ μὴν καὶ ἥλιον, καὶ σελήνην, καὶ τοὺς ἀστέρας, καὶ αὐτὰ τῆς αὐτῆς τῶν λογικῶν ἑνάδος ὄντα, ἐκ τῆς ἐπὶ τὰ χείρω τροπῆς τοῦτο γεγονέναι, ὅπερ εἰσί. Τὰ δὲ ἐπὶ πλεῖον τῆς θείας ἀγάπης ἀποψυγέντα λογικά, ψυχὰς ὀνομασθῆναι, καὶ σώμασι παχυτέροις τοῖς καθ' ἡμᾶς ἐμβληθῆναι. Τὰ δὲ ἐπὶ τὸ ἄκρον τῆς κακίας ἐληλακότα, ψυχροῖς καὶ ζοφεροῖς ἐνδεθῆναι σώμασι, καὶ δαίμονας ὀνομασθῆναι γενόμενα. Καὶ ὅτι ἐξ ἀγγελικῆς μὲν καταστάσεως ψυχικὴ γίνεται κατάστασις, ἐκ δὲ τῆς ψυχικῆς δαιμονιώδης τε καὶ ἀνθρωπίνη. Ἕνα δὲ μόνον νοῦν ἐκ πάσης τῆς ἑνάδος τῶν λογικῶν ἀκλόνητον μεῖναι καὶ ἀκίνητον τῆς θείας ἀγάπης καὶ θεωρίας, ὃς καὶ Χριστὸς βασιλεὺς Θεὸς καὶ ἄνθρωπος, γεγονέναι. Καὶ ὅτι παντελής ἐστι τῶν σωμάτων ἀναίρεσις, αὐτοῦ τοῦ κυρίου πρώτου ἀποτιθεμένου τὸ ἴδιον σῶμα, καὶ τῶν λοιπῶν ἁπάντων· καὶ ὅτι ἀνακομίζονται πάλιν ἅπαντες εἰς τὴν αὐτὴν ἑνάδα, καὶ γίνονται νόες, καθὰ καὶ ἐν ᾗ προϋπάρξει ἐτύγχανον· ἀποκαθισταμένου δηλονότι καὶ αὐτοῦ τοῦ διαβόλου καὶ τῶν λοιπῶν δαιμόνων εἰς τὴν αὐτὴν ἑνάδα, καὶ τῶν ἀσεβῶν καὶ ἀθέων ἀνθρώπων μετὰ τῶν θείων καὶ θεοφόρων ἀνδρῶν, καὶ τῶν οὐρανίων δυνάμεων, καὶ τὴν αὐτὴν ἑξόντων ἕνωσιν πρὸς τὸν Θεόν, ὁποίαν ἔχει καὶ ὁ Χριστός, καθὼς καὶ προϋπῆρχον, ὡς μηδεμίαν εἶναι διαφορὰν τῷ Χριστῷ πρὸς τὰ λοιπὰ λογικὰ παντελῶς, οὔτε τῇ οὐσίᾳ, οὔτε τῇ γνώσει, οὔτε τῇ δυνάμει, οὔτε τῇ ἐνεργείᾳ. Ὁ γάρ τοι Πυθαγόρας ἀρχὴν τῶν πάντων ἔφησεν εἶναι τὴν μονάδα. Καὶ πάλιν Πυθαγόρας καὶ Πλάτων δῆμόν τινα ψυχῶν ἀσωμάτων εἰπόντες, καὶ τὰς ἁμαρτάδι τινὶ περιπεσούσας, τιμωρίας χάριν εἰς σώματα καταπέμπεσθαι λέγουσιν. Ὅθεν ὁ Πλάτων δέμας τὸ σῶμα, καὶ σῆμα ἐκάλεσεν, ὡς οἱονεὶ τῆς ψυχῆς ἐν τούτῳ δεδεμένης καὶ τεθαμμένης. Εἶτα περὶ τῆς ἐσομένης κρίσεως καὶ ἀνταποδόσεως τῶν ψυχῶν αὖθις φησίν· « Ἡ μὲν παιδεραστήσαντος, καὶ [ἀδόλως] κακῶς βιώσαντος μετὰ φιλοσοφίας ψυχὴ τρίτῃ περιόδῳ τῇ χιλιετεῖ ἐᾶται κολασθῆναι, καὶ οὕτω πτερωθεῖσα τῷ τρισχιλιοστῷ ἔτει ἐκβάλλεται καὶ ἀπέρχεται. Αἱ δὲ ἄλλαι ὁπόταν τόνδε τὸν βίον τελέσωσιν, αἱ μὲν εἰς τὰ ὑπὸ γῆς δικαιωτήρια ἐλθοῦσαι δίκην ἅμα καὶ λόγον τίσουσιν, αἱ δὲ εἰς οὐράνιόν τινα τόπον κουφισθεῖσαι ὑπὸ τῆς δίκης διάξουσιν ἀξίως, καθὼς ἐβίωσαν. » Οὐ τὴν ἀτοπίαν τοῦ λόγου καταμαθεῖν

par est et ea quæ quocunque modo contra orthodoxam fidem enascuntur, condemnare.

Cum ergo compertum habeamus, esse Hierosolymis quosdam nimirum monachos qui Pythagoræ, Platonis Origenisque Adamantii impios errores sectentur ac doceant; existimavimus curam et inquisitionem de iis adhibendam, ne ii tandem paganicis et Manichaicis suis imposturis multos perdant. Dicunt enim (ut de multis pauca commemoremus) mentes fuisse prorsus et numeri et nominis expertes; omniaque rationalia unum esse identitate substantiæ et operationis, et virtute apud Deum Verbum per unitionem et cognitionem. Has vero mentes, ubi susceperint juxta uniuscujusque captum satietatem divinæ dilectionis et contemplationis, per mutationem ipsarum in deterius, vel crassiora, vel tenuiora corpora induere et nomina sortiri, ac inde cœlestes et administras substitisse virtutes. Imo et solem, et lunam, et stellas, utpote quæ et ipsa in rationabilium unitate sint, ex mutatione in deterius facta, hoc esse cœpisse quod sunt. Ea vero rationabilia, in quibus magis Dei amor refrixerit, ψυχάς, hoc est animas nuncupari, et crassioribus, qualia nostra sunt corpora, immitti. Quæ autem ad extremum perversitatis venerint, ea frigidis ac caliginosis inseri corporibus, et dæmones fieri et nuncupari; ac proinde ex angelico quidem statu fieri animalem, ex animali vero dæmoniacum et humanum. Unam autem duntaxat mentem, ex tota unitate rationalium, imperturbatam perstitisse, et immotam a dilectione divina et contemplatione, eamque fuisse Christum regem, Deum et hominem. Affirmant etiam, corpora penitus interire: ipso Domino primum, deinde reliquis omnibus suum corpus abjicientibus: et quod rursum omnes redeuntes ad ipsam veritatem, mentes fiunt juxta illud esse quod prius habebant: ac videlicet ipsum etiam diabolum restituendum esse, et reliquos dæmones in ipsam unitatem, atque impios et nefarios homines una cum divinis ac Deo plenis viris, cœlestibusque virtutibus, eodemque modo, quo et Christus, cum Deo esse uniendos, sicuti et prius uniti erant, atque adeo Christum plane nihil a reliquis ratione præditis differre, neque substantia, neque cognitione, neque virtute, neque operatione. Pythagoras etenim principium omnium rerum unitatem esse dixit, et rursum Pythagoras et Plato multitudinem quamdam animarum incorporearum esse dicentes, dicunt etiam, quod si in peccatum aliquod inciderint, in pœnam demittuntur in corpora. Quocirca Plato corpus appellavit δέμας (hoc est vinculum), et σῆμα (hoc est sepulcrum), eo quod anima in ipso corpore quasi vincta et sepulta sit; deinde de futuro judicio et retributione animarum rursus inquit: Anima illius qui una cum sapientiæ studio puerorum amore et flagitiosa vita se polluit, per tres millenarias circuitiones pœnas luet: et sic recuperatis alis post annorum millia [a] educitur et abit: reliquæ vero cum ex hac vita discesserint, aliæ quidem sub terra in judicii locum delatæ

[a] Plato in Phædro, *post tria annorum millia*.

ῥᾴδιον. Τίς γὰρ αὐτὸν ἐδίδαξε τὰς τῶν ἐτῶν περιόδους καὶ χιλιάδας; καὶ ὅτι χιλίων διεληλυθότων ἐτῶν, τότε τῶν ψυχῶν ἑκάστη εἰς τὸν ἴδιον τόπον ἀπέρχεται; τὰ δὲ μεταξὺ τούτων οὐδὲ τοῖς ἄγαν ἀσελγεστάτοις ἥρμοττε λέγειν, μή τοιγε φιλοσόφῳ τοιούτῳ. Τοῖς γὰρ τὴν ἀκραιφνῆ πολιτείαν κατωρθωκόσι, τοὺς ἀκολάστους καὶ παιδεραστὰς συνέζευξε, καὶ τούτους κἀκείνους τῶν αὐτῶν ἔφησεν ἀπολαύσεσθαι. Πυθαγόρας τοίνυν, καὶ Πλάτων, καὶ Πλωτῖνος, καὶ οἱ τῆς ἐκείνων συμμορίας, ἀθανάτους εἶναι τὰς ψυχὰς συνομολογήσαντες, προϋπάρχειν ταύτας ἔφησαν τῶν σωμάτων, καὶ δῆμον εἶναι ψυχῶν, καὶ τὰς πλημμελούσας εἰς σώματα καταπίπτειν, ὡς ἔφην. Καὶ τοὺς μὲν πικροὺς εἰς πονηροὺς [ἴσ. ὀκνηρούς, εἰς ὄνους], τοὺς δὲ ἁρπακτικοὺς εἰς λύκους, τοὺς δὲ δολεροὺς εἰς ἀλώπεκας, τοὺς δὲ θηλυμανεῖς εἰς ἵππους. Ἡ δὲ ἐκκλησία τοῖς θείοις ἑπομένη λόγοις, φάσκει τὴν ψυχὴν συνδημιουργηθῆναι τῷ σώματι, καὶ οὐ τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον κατὰ τὴν Ὠριγένους φρενοβλάβειαν. Διὰ ταῦτα γοῦν τὰ πονηρὰ καὶ ὀλέθρια δόγματα, μᾶλλον δὲ ληρήματα, προτρέπομεν τοὺς ὁσιωτάτους ὑμᾶς, εἰς ἓν συνηγμένους, ἐπιμελῶς ἐντυχεῖν τῇ ὑποτεταγμένῃ ἐκθέσει, καὶ ἕκαστον τῶν αὐτοῦ κεφαλαίων κατακρῖναί τε, καὶ ἀναθεματίσαι μετὰ τοῦ δυσσεβοῦς Ὠριγένους καὶ πάντων τῶν τὰ τοιαῦτα φρονούντων, ἢ φρονησόντων εἰς τέλος.

pœnas simul et rationem dabunt : aliæ in cœlestem quemdam locum per judicium elatæ, felicitate fruentur pro vitæ meritis. Est autem in promptu hujus sententiæ absurditatem perspicere. Quis enim eum docuit millenarias istas annorum conversiones, et quod post millium annorum decursum [a] unaquæque anima ad suum perveniat locum? Quæ vero his interserit, ne a procacibus ipsis, quamvis libidinosis, congruum esset dici, nedum a tali ac tanto philosopho : quippe eos qui vitam puritate plenam ad extremum usque duxerunt, cum intemperantibus et puerorum amatoribus conjunxit, eisdem bonis utrosque frui dixit. Pythagoras ergo, et Plato, et Plotinus, aliique horum sectatores, qui unico consensu animas immortales esse fatentur, eas corporibus priores affirmant, et esse quamdam animarum multitudinem, et quæ delinquunt, in corpora demitti, ut dixi, et pigrorum quidem animas abire in asinos, rapacium vero in lupos, dolosorum in vulpes, mulierum amore fruentium in equos. Sed Ecclesia divinis astipulans Scripturis, animam una cum corpore creatam affirmat, non alterum altero prius, ut vecordi Origeni visum est. Propter has igitur nefarias et perniciosas opiniones, imo potius nugas, vos hortamur, o sanctissimi Patres, ut in unum collecti, subjectam expositionem diligenter perlegatis, et singula ejus capita damnetis, et anathematizetis una cum Origene omnes qui idem sentiunt, aut sentient ad finem.

[a] Plato, *post trium millium annorum decursum.*

---

[a] CONFESSIO RECTÆ FIDEI

JUSTINIANI IMPERATORIS

ADVERSUS TRIA CAPITULA.

Ἐν ὀνόματι Θεοῦ καὶ πατρὸς, καὶ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, καὶ τοῦ ἁγίου πνεύματος. Αὐτοκράτωρ Καῖσαρ Φιλόχριστος Ἰουστινιανὸς, Ἀλαμανικὸς, Γοτθικὸς, Φραγκικὸς, Γερμανικὸς, Ἀντικὸς, Ἀλανικὸς, Οὐανδαλικὸς, Ἀφρικανὸς, εὐσεβὴς, εὐτυχὴς, ἔνδοξος, νικητὴς, τροπαιοῦχος, ἀεισέβαστος, Αὔγουστος, ἅπαντι τῷ πληρώματι τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας.

Εἰδότες ὡς οὐδὲν οὕτω θεραπεύει τὸν φιλάνθρωπον Θεὸν, ὡς τὸ ἓν καὶ τὸ αὐτὸ φρονεῖν πάντας τοὺς Χριστιανοὺς περὶ τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν, καὶ μὴ εἶναι σχίσματα ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ· ἀναγκαῖον ἡγησάμεθα πᾶσαν πρόφασιν ἀναιροῦντες τοῖς σκανδαλιζομένοις, ἢ σκανδαλίζουσι τὴν τῆς ὀρθῆς πίστεως ὁμολογίαν, τὴν ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ κηρυττομένην, φανερὸν διὰ τοῦ παρόντος ἠδίκτου ποιήσασθαι, πρὸς τὸ καὶ τοὺς τὴν ὀρθὴν πίστιν ὁμολογοῦντας ἐν βεβαίῳ ταύτην φυλάττειν, καὶ τοὺς πρὸς ταύτην φιλονεικοῦντας, μανθάνοντας τὴν ἀλήθειαν, σπουδάσαι ἑνωθῆναι τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ.

Ὁμολογοῦμεν τοίνυν πιστεύειν εἰς πατέρα, καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον, μίαν θεότητα, ἤτοι

[b] *In nomine Dei Patris, et unigeniti ipsius Filii Jesu Christi Domini nostri, et sancti Spiritus. Imperator Cæsar Christi amans, Justinianus, Alamanicus, Gotthicus, Francicus, Germanicus, Anticus, Alanicus, Vandalicus, Africanus, pius, felix, inclytus, victor, triumphator, semper venerabilis, Augustus, universo cœtui catholicæ et apostolicæ Ecclesiæ.*

Scientes quod nihil aliud sic potest misericordem Deum placare, quam ut omnes Christiani unum idemque sapiant in recta et immaculata fide, nec sint dissensiones in sancta Dei Ecclesia : necessarium putavimus, omnem occasionem interimentes eis qui scandalizantur vel qui scandalizant, rectæ fidei confessionem, quæ in sancta Dei Ecclesia prædicatur, præsenti edicto facere manifestam : ut et illi qui rectam fidem confitentur, firmiter eam custodiant; et illi qui adversus illam contendunt, discentes veritatem, festinent semetipsos unire sanctæ Dei Ecclesiæ.

Confitemur igitur credere in Patrem, et Filium, et Spiritum sanctum, Trinitatem consubstantialem,

[a] *In cod. Bohierii : Edictum piissimi imperatoris Justiniani rectæ fidei confessionem continens et refutationem hæresium quæ adversantur catholicæ Dei Ecclesiæ. At pag. 794 Chronici Alexandrini, ut vocant, a Radero nostro editi :* Πρόγραμμα ἤτοι διδασκαλία καὶ ἔκδοσις ἀκριβὴς περὶ τῆς ἀμωμήτου καὶ ὀρθοδόξου πίστεως ἡμῶν τῶν χριστιανῶν : ubi et alia versio a sequente distincta.

[b] Est hæc versio veteris interpretis, quam ex ms. cod. Colbertino emendatiorem edidit vir clarus Ducangius. Græce primus edidit Leunclavius ex Chronico Alexandrino, tunc nondum edito. HARDUINUS.

φύσιν καὶ οὐσίαν καὶ δύναμιν καὶ ἐξουσίαν ἐν τρισὶν ὑποστάσεσιν, ἤτοι προσώποις δοξάζοντες, εἰς ἃ βεβαπτίσμεθα, εἰς ἃ πεπιστεύκαμεν, καὶ εἰς συντετάγμεθα, τὰς μὲν ἰδιότητας χωρίζοντες, ἑνοῦντες δὲ τὴν θεότητα. Μονάδα γὰρ ἐν τριάδι, καὶ τριάδα ἐν μονάδι προσκυνοῦμεν, παράδοξον ἔχουσαν τὴν διαίρεσιν καὶ τὴν ἕνωσιν· μονάδα μὲν κατὰ τὸν τῆς οὐσίας ἤγουν θεότητος λόγον· τριάδα δὲ κατὰ τὰς ἰδιότητας ἤγουν ὑποστάσεις, ἤτοι πρόσωπα· διαιρεῖται γὰρ ἀδιαιρέτως, ἵν' οὕτως εἴπωμεν, καὶ συνάπτεται διῃρημένως, ἓν γὰρ ἐν τρισὶν ἡ θεότης, καὶ τὰ τρία ἕν, ἐν οἷς ἡ θεότης· ἢ τόγε ἀκριβέστερον εἰπεῖν, ἃ ἡ θεότης, Θεὸν ἕκαστον, ἂν θεωρῆται μόνον τοῦ νοῦ χωρίζοντος τὰ ἀχώριστα. Θεὸν τὰ τρία μετ' ἀλλήλων νοούμενα τῷ ταυτῷ τῆς [ἴσ. δυνάμεως] κινήσεως καὶ τῆς φύσεως· ἐπειδὴ χρὴ καὶ τὸν ἕνα Θεὸν ὁμολογεῖν, καὶ τὰς τρεῖς ὑποστάσεις κηρύττειν, ἤγουν τρία πρόσωπα, καὶ ἑκάστην μετὰ τῆς ἰδιότητος. Καὶ οὔτε τὴν ἕνωσιν [ἴσ. ὁμολογοῦντες] σύγχυσιν ἐργαζόμεθα κατὰ Σαβέλλιον, ἓν πρόσωπον τριώνυμον λέγοντα τὴν τριάδα, τὸν αὐτὸν πατέρα, καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα, οὔτε διαιροῦντες [ἴσ. τὰς ἰδιότητας] ἀλλοτριοῦμεν τῆς τοῦ Θεοῦ πατρὸς οὐσίας τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον, κατὰ τὴν Ἀρείου μανίαν, εἰς τρεῖς διαφόρους οὐσίας κατατέμνοντες τὴν θεότητα. Εἷς τοίνυν Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς υἱὸς μονογενὴς, δι' οὗ τὰ πάντα· καὶ ἓν πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα.

A unam deitatem, sive naturam et substantiam et virtutem et potestatem in tribus subsistentiis sive personis adorantes, in quibus baptizati sumus, in quas credimus, in quibus confessionem dedimus, proprietates quidem separantes, deitatem autem unientes. Unitatem enim in Trinitate, et Trinitatem in unitate adoramus, mirabilem habentem et divisionem et unitionem; unitatem quidem, secundum rationem substantiæ seu deitatis; Trinitatem autem, secundum proprietates, vel subsistentias, sive personas. Dividitur enim sine divisione (ut sic dicamus) et conjungitur divise. Unum enim est deitas in tribus, et tria unum, in quibus deitas est: aut (ut subtilius dicamus) ipsa tria est deitas, quæ tria Deus Pater, Deus Filius, Deus Spiritus sanctus, cum unaquæque persona B solum intelligitur, mente separante inseparabilia, et tria unus Deus, cum simul intelliguntur propter eamdem virtutem eamdemque naturam: quoniam oportet et unum Deum confiteri, et tres subsistentias prædicare, seu tres personas, et unamquamque cum sua proprietate. Et unitatem confitentes, confusionem non facimus secundum Sabellium, dicentem, Trinitatem unam esse personam trinomium [trinonymum] eumdem Patrem, et Filium, et Spiritum sanctum: nec dividentes proprietates, alienamus a Dei Patris substantia Filium et Spiritum sanctum, secundum Arii furorem, in tres diversas naturas incidentes deitatem. Unus igitur Deus Pater, ex quo omnia: et unus unigenitus Filius, per quem omnia: et unus Spiritus sanctus, in quo omnia.

Ὁμολογοῦμεν δὲ αὐτὸν τὸν μονογενῆ υἱὸν τοῦ Θεοῦ, Θεὸν λόγον, τὸν πρὸ αἰώνων καὶ ἀχρόνως ἐκ τοῦ πατρὸς γεννηθέντα, οὐ ποιηθέντα, ἐπ' ἐσχάτων τῶν ἡμερῶν δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου, καὶ τῆς ἁγίας ἐνδόξου θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, καὶ γεννηθέντα ἐξ αὐτῆς, ὅς ἐστι κύριος Ἰησοῦς Χριστὸς εἷς τῆς ἁγίας τριάδος, ὁμοούσιος τῷ Θεῷ καὶ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιος ἡμῖν ὁ αὐτὸς κατὰ τὴν ἀνθρωπότητα, παθητὸς σαρκὶ, ἀπαθὴς ὁ αὐτὸς θεότητι. Οὔτε γὰρ ἕτερός τίς ἐστι παρὰ τὸν Θεὸν λόγον ὁ τὸ πάθος καὶ τὸν θάνατον ἀναδεδεγμένος· ἀλλ' αὐτὸς ὁ ἀπαθὴς καὶ ἀΐδιος τοῦ Θεοῦ λόγος γεννήσεως σαρκὸς ἀνθρωπίνης ἀνασχόμενος, τὰ πάντα πεπλήρωκε. Διὸ οὐκ ἄλλον τὸν Θεὸν λόγον τὸν θαυματουργήσαντα, καὶ ἄλλον τὸν Χριστὸν τὸν παθόντα ἐπιστάμεθα· ἀλλ' ἕνα καὶ τὸν αὐτὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ λόγον σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, καὶ τοῦ αὐτοῦ τά τε θαύματα, καὶ τὰ πάθη, ἅπερ ἑκουσίως ὑπέμεινε σαρκὶ, ὁμολογοῦμεν· οὔτε γὰρ ἄνθρωπός τις ὑπὲρ ἡμῶν ἑαυτὸν δέδωκεν, ἀλλ' αὐτὸς ὁ Θεὸς λόγος τὸ ἴδιον σῶμα δέδωκεν ὑπὲρ ἡμῶν, ἵνα μὴ εἰς ἄνθρωπον ἡ πίστις καὶ ἡ ἐλπὶς ἡμῶν ᾖ, ἀλλ' εἰς αὐτὸν τὸν Θεὸν λόγον τὴν ἡμετέραν πίστιν ἔχωμεν. Καὶ Θεὸν τοίνυν αὐτὸν ὁμολογοῦντες οὐκ ἀθετοῦμεν τὸ εἶναι αὐτὸν καὶ ἄνθρωπον· καὶ ἄνθρωπον λέγοντες αὐτὸν, οὐκ ἀρνούμεθα τὸ εἶναι αὐτὸν καὶ Θεόν. Εἰ γὰρ Θεὸς μόνον ἦν, πῶς ἔπασχε; πῶς ἐσταυροῦτο καὶ ἀπέθνησκεν; ἀλλότρια γὰρ ταῦτα Θεοῦ. Εἰ δὲ ἄνθρωπος μόνον, πῶς διὰ τοῦ πάθους ἐνίκα; πῶς ἔσωζε; πῶς ἐζωοποίει; ταῦτα γὰρ ὑπὲρ ἄνθρωπον ἦν. Νῦν δὲ ὁ αὐτὸς πάσχει, καὶ σώζει, καὶ διὰ τοῦ πάθους νικᾷ, ὁ αὐτὸς Θεὸς, ὁ αὐτὸς ἄνθρωπος τὸ συν-

C Confitemur autem ipsum unigenitum Filium Dei, Deum Verbum, ante sæcula et sine tempore ex Patre natum, non factum, in ultimis diebus propter nos et propter nostram salutem descendisse de cœlis, et incarnatum esse ex Spiritu sancto, et sancta gloriosa Dei Genitrice semper virgine Maria, et natum ex ipsa, qui est Dominus Jesus Christus, unus de sancta Trinitate, consubstantialis Deo Patri secundum deitatem, et consubstantialis nobis idem ipse secundum humanitatem, passibilis carne, impassibilis idem ipse deitate. Non enim alius quidam est præter Deum Verbum, qui passionem et mortem suscepit: sed ipse impassibilis et sempiternus Deus Verbum generationem carnis humanæ sustinere dignatus, implevit omnia. Ideo non alium Deum Verbum esse qui mira- D cula operatus est, et alium Christum qui passus est, cognoscimus: sed unum eumdemque Dominum nostrum Jesum Christum, Dei Verbum incarnatum, et hominem factum, et ejusdem ipsius miracula et passiones, quas carne voluntarie sustinuit, confitemur. Non enim homo aliquis pro nobis semetipsum dedit, sed ipse Deus Verbum suum corpus pro nobis dedit, ne in hominem fides et spes nostra sit, sed in ipsum Deum Verbum nostram fidem habeamus. Et Deum igitur eum confitentes, non abnegamus ipsum esse et hominem: et hominem dicentes eum, non abnegamus ipsum esse et Deum. Si enim Deus tantummodo esset, quomodo patiebatur? quomodo crucifigebatur et moriebatur? Aliena enim ista sunt Deo. Sin autem homo solum, quomodo per passionem vincebat? quomodo salvos faciebat? Quomodo vivificabat?

ἀμφότερον, οὕτως ἓν ἑκάτερον, ὡς μόνον. Ὅθεν ἐξ ἑκατέρας φύσεως, τουτέστιν ἐκ θεότητος καὶ ἀνθρωπότητος, ἕνα Χριστὸν σύνθετον λέγοντες, σύγχυσιν τῇ ἑνώσει οὐκ ἐπεισάγομεν. Καὶ ἐν ἑκατέρᾳ δὲ φύσει, τουτέστιν ἐν θεότητι καὶ ἀνθρωπότητι, τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ λόγον σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα γινώσκοντες, διαίρεσιν μὲν τινα [ἴσ. ἀνὰ μέρος] ἀμερὸς, ἢ τομὴν οὐκ ἐπιφέρομεν τῇ μιᾷ αὐτοῦ ὑποστάσει· τὴν δὲ διαφορὰν τῶν φύσεων, ἐξ ὧν καὶ συνετέθη, σημαίνομεν, οὐκ ἀνῃρημένην διὰ τὴν ἕνωσιν, ἐπειδὴ ἑκατέρα φύσις ἐστὶν ἐν αὐτῷ. Συνθέσεως γὰρ ὁμολογουμένης, καὶ τὰ μέρη ἐν τῷ ὅλῳ ὑπάρχει, καὶ τὸ ὅλον ἐν τοῖς μέρεσι γινώσκεται. Οὔτε γὰρ ἡ θεία φύσις εἰς τὴν ἀνθρωπίνην μετεβλήθη, οὔτε δὲ ἡ ἀνθρωπίνη φύσις εἰς τὴν θείαν ἐτράπη· νοουμένης δὲ μᾶλλον, καὶ ὑπαρχούσης ἑκατέρας ἐν τῷ τῆς ἰδίας φύσεως ὅρῳ τε καὶ λόγῳ πεπρᾶχθαί φαμεν τὴν ἕνωσιν καθ' ὑπόστασιν. Ἡ δὲ καθ' ὑπόστασιν ἕνωσις δηλοῖ, ὅτι ὁ Θεὸς λόγος, τουτέστιν ἡ μία ὑπόστασις ἐκ τῶν τριῶν τῆς θεότητος ὑποστάσεων, οὐ προϋποστάντι ἀνθρώπῳ ἡνώθη, ἀλλ' ἐν τῇ γαστρὶ τῆς ἁγίας παρθένου ἐδημιούργησεν ἑαυτῷ ἐξ αὐτῆς ἐν τῇ ἰδίᾳ ὑποστάσει σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ, ὅπερ ἐστὶ φύσις ἀνθρωπίνη· ταύτην δὲ τὴν καθ' ὑπόστασιν τοῦ Θεοῦ λόγου πρὸς τὴν σάρκα ἕνωσιν διδάσκων ἡμᾶς καὶ ὁ θεῖος ἀπόστολος, λέγει, «Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών.» Διὰ γὰρ τοῦ εἰπεῖν, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, τὴν τοῦ λόγου ὑπόστασιν ὑπάρχουσαν ἔδειξεν ἐν οὐσίᾳ Θεοῦ. Διὰ δὲ τοῦ εἰπεῖν, μορφὴν δούλου ἔλαβεν, οὐσίᾳ ἀνθρώπου, καὶ οὐχ ὑποστάσει, ἤτοι προσώπῳ ἑνωθῆναι τὸν Θεὸν λόγον ἐσήμανεν. Οὔτε γὰρ εἶπε, τὸν ἐν μορφῇ δούλου ὑπάρχοντα ἔλαβεν, ἵνα μὴ προϋποστάντι ἀνθρώπῳ ἑνωθῆναι δείξῃ τὸν λόγον, καθὼς Θεόδωρος καὶ Νεστόριος ἀσεβοῦντες ἐβλασφήμησαν, σχετικὴν τὴν ἕνωσιν λέγοντες. Ἡμεῖς δὲ τῇ θείᾳ γραφῇ, καὶ τοῖς ἁγίοις πατράσιν ἑπόμενοι ὁμολογοῦμεν, ὅτι ὁ Θεὸς λόγος σὰρξ ἐγένετο, ὅπερ ἐστὶ καθ' ὑπόστασιν ἑαυτῷ ἑνῶσαι φύσιν ἀνθρωπίνην. Διὸ καὶ εἷς ὑπάρχει ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἐν ἑαυτῷ ἔχων τὸ τέλειον τῆς θεϊκῆς φύσεως, καὶ τὸ τέλειον τῆς ἀνθρωπίνης φύσεως· καὶ ἔστι μονογενὴς μὲν καὶ λόγος ὡς ἐκ Θεοῦ πατρὸς γεννηθεὶς, καὶ πρωτότοκος δὲ ἐν πολλοῖς ἀδελφοῖς ὁ αὐτὸς, ὅτε γέγονεν ἄνθρωπος· ὁ γὰρ υἱὸς τοῦ Θεοῦ υἱὸς ἀνθρώπου γέγονε. Καὶ μείνας ὅπερ ἦν, οὐ μετέβαλεν ὅπερ γέγονεν. Ὅθεν καὶ δύο γεννήσεις τοῦ αὐτοῦ μονογενοῦς Θεοῦ λόγου ὁμολογοῦμεν· τὴν μὲν πρὸ αἰώνων ἐκ τοῦ πατρὸς ἀσωμάτως, τὴν δὲ ἐπ' ἐσχάτων τῶν ἡμερῶν τοῦ αὐτοῦ ἐκ τῆς ἁγίας ἐνδόξου θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας σαρκωθέντος, καὶ ἐνανθρωπήσαντος. Ὁ γὰρ ἐκ πατρὸς ἐκλάμψας ὑπὲρ ἔννοιαν, ἐκ μητρὸς ἀνέτειλεν ὑπὲρ λόγον. Καὶ ὢν Θεὸς ἀληθὴς ἄνθρωπος γέγονεν ἀληθῶς. Διὰ τοῦτο κυρίως καὶ κατὰ ἀλήθειαν θεοτόκον τὴν ἁγίαν, ἔνδοξον, καὶ ἀειπάρθενον Μαρίαν ὁμολογοῦμεν. Οὐχ ὡς τοῦ Θεοῦ λόγου τὴν ἀρχὴν ἐξ αὐτῆς λαβόντος, ἀλλ' ὅτι ἐπ' ἐσχάτων τῶν ἡμερῶν ὁ πρὸ τῶν αἰώνων μονογενὴς Θεὸς λόγος σαρκωθεὶς ἐξ αὐτῆς ἄτρεπτος ἐνηνθρώπησε· καὶ ἀόρατος ὢν ἐν τοῖς ἑαυτοῦ, ὁρατὸς γέγονεν ἐν τοῖς παρ' ἡμῖν· καὶ ἀπαθὴς ὢν Θεὸς οὐκ ἀπηξίωσε παθητὸς εἶναι ἄνθρω-

Hæc enim supra hominis naturam erant. Nunc autem idem ipse patitur, et salvos facit, et per passionem vincit, idem ipse Deus, ipse homo, utrumque [a] tanquam unum, utrumque tanquam solum. Unde ex utraque natura, id est ea deitate et humanitate, unum Christum compositum dicentes, confusionem unitioni non introducimus. Et in utraque autem natura, id est in divinitate et humanitate, unum Dominum nostrum Jesum Christum Dei Verbum incarnatum, et hominem factum cognoscentes, divisionem quidem per partes, vel incisionem non inferimus uni ejus subsistentiæ: differentiam autem naturarum, ex quibus compositus est, significamus, non interemptam propter unitatem [unitionem], quoniam utraque natura in ipso est. Cum enim compositionem dicamus, necesse est confiteri et partes in toto esse, et totum in partibus cognosci. Nec enim divina natura in humanam transmutata est, nec humana natura in divinam conversa est. Magis autem intelligitur, quod utraque in proprietate et ratione suæ naturæ manente, facta est unitas [unitio] secundum subsistentiam. Unitas autem secundum subsistentiam significat, quod Deus Verbum, id est una subsistentia ex tribus deitatis subsistentiis, non ante plasmato homini unitus est, sed in utero sanctæ Virginis creavit sibi ex ipsa in sua subsistentia carnem animatam anima rationali et intellectuali, quod est natura humana. Hanc autem secundum subsistentiam unitatem [unitionem] Dei Verbi ad carnem docens nos et divinus Apostolus dicit: *Qui cum in forma Dei esset, non rapinam arbitratus est æqualem sese esse Deo, sed semetipsum exinanivit, formam servi accipiens* (*Philipp.* II). Per hoc enim quod dixit, *Qui cum in forma Dei esset*, Verbi subsistentiam in natura Dei esse ostendit: per hoc autem quod dixit, *Formam servi accepit*, naturæ hominis, et non subsistentiæ sive personæ, unitum esse Deum Verbum significavit. Nec enim dixit, quod eum qui in forma servi erat, accepit, ne ante plasmato homini unitum esse Deum Verbum ostenderet, sicut Theodorus et Nestorius impii blasphemaverunt, affectualem dicentes unitatem. Nos autem sequentes divinas Scripturas et sanctos Patres, confitemur quod Deus Verbum caro factus est, quod est secundum subsistentiam sibi unire naturam humanam: ideo et unus est Dominus noster Jesus Christus, habens in semetipso perfectionem divinæ naturæ, et perfectionem naturæ humanæ. Et est unigenitus quidem Verbum, utpote ex Deo Patre natus, et primogenitus autem in multis fratribus; idem ipse cum factus est homo (Filius enim Dei, filius hominis factus est), et manens quod erat, non transmutavit quod factus est. Unde et duas nativitates ejusdem ipsius unigeniti Dei Verbi confitemur: ante sæcula quidem ex Patre incorporaliter nati, in ultimis autem diebus ejusdem ipsius incarnati et nati [humanati *Græc.*] de sancta gloriosa Dei Genitrice et semper Virgine Maria. Qui enim de Patre splenduit supra intellectum, ex matre ortus est supra rationem [orationem]. Et cum Deus verus esset, factus est vere

[a] Simul utrumque, ita unum utrumque ut unicus.

πτη, καὶ ὁ ἀθάνατος, νόμοις ὑποκεῖσθαι θανάτου. Τοῦτον A τὸν ἐν Βηθλεὲμ γεννηθέντα ἐκ σπέρματος Δαυῒδ κατὰ σάρκα, ὁμοιωθέντα ἀνθρώποις, καὶ σταυρωθέντα ὑπὲρ ἡμῶν τῶν ἀνθρώπων ἐπὶ Ποντίου Πιλάτου, ἐκήρυξαν οἱ ἅγιοι ἀπόστολοι αὐτὸν εἶναι Θεὸν, αὐτὸν ἄνθρωπον, αὐτὸν υἱὸν ἀνθρώπου, αὐτὸν ἐξ οὐρανοῦ, αὐτὸν ἀπὸ γῆς, αὐτὸν ἀπαθῆ, αὐτὸν παθητόν. Ὁ γὰρ γεννηθεὶς ἄνωθεν ἐκ τοῦ πατρὸς λόγος ἀῤῥήτως, ἀφράστως, ἀκαταλήπτως, ἀϊδίως αὐτὸς ἐν χρόνῳ γεννᾶται κάτωθεν ἐκ παρθένου Μαρίας, ἵνα οἱ κάτωθεν πρότερον γεννηθέντες, ἄνωθεν ἐκ δευτέρου γεννηθῶσι, τουτέστιν ἐκ Θεοῦ. Αὐτὸς οὖν μητέρα μόνον ἔχει ἐπὶ τῆς γῆς, καὶ ἡμεῖς πατέρα μόνον ἔχομεν ἐν οὐρανῷ. Λαβὼν γὰρ τὸν θνητὸν πατέρα τῶν ἀνθρώπων τὸν Ἀδὰμ, ἔδωκε τοῖς ἀνθρώποις τὸν ἑαυτοῦ πατέρα ἀθάνατον κατὰ τὸ λεγόμενον, « Δέδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι. » Ὅθεν καὶ θανάτου κατὰ σάρκα γεύεται ὁ B υἱὸς τοῦ Θεοῦ διὰ τὸν σαρκικὸν αὐτοῦ πατέρα, ἵνα οἱ υἱοὶ τοῦ ἀνθρώπου τῆς ζωῆς αὐτοῦ μεταλάβωσι διὰ τὸν κατὰ πνεῦμα αὐτῶν πατέρα τὸν Θεόν. Αὐτὸς οὖν κατὰ φύσιν υἱός ἐστι τοῦ Θεοῦ, ἡμεῖς κατὰ χάριν. Καὶ πάλιν αὐτὸς κατ' οἰκονομίαν καὶ δι' ἡμᾶς υἱὸς γέγονε τοῦ Ἀδὰμ, ἡμεῖς δὲ κατὰ φύσιν ἐσμὲν υἱοὶ τοῦ Ἀδάμ. Πατὴρ γὰρ αὐτοῦ ἐστιν ὁ Θεὸς κατὰ φύσιν, ἡμῶν δὲ κατὰ χάριν. Καὶ Θεὸς αὐτοῦ γέγονε κατ' οἰκονομίαν, διότι ἄνθρωπος, ἡμῶν δὲ κατὰ φύσιν δεσπότης ἐστὶ καὶ Θεός. Καὶ διὰ τοῦτο ὁ λόγος, ὅς ἐστιν υἱὸς τοῦ Θεοῦ πατρὸς, ἑνωθεὶς σαρκὶ γέγονε σὰρξ, ἵνα οἱ ἄνθρωποι ἑνωθέντες τῷ πνεύματι, γένωνται ἓν πνεῦμα. Αὐτὸς οὖν ὁ ἀληθινὸς υἱὸς τοῦ Θεοῦ τοὺς πάντας ἡμᾶς φορεῖ, ἵνα οἱ πάντες ἕνα φορέσωμεν Θεόν· καὶ ἔστι καὶ μετὰ τὴν ἐνανθρώπησιν εἷς τῆς ἁγίας τριάδος ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ ὁ κύριος ἡμῶν C Ἰησοῦς Χριστὸς, σύνθετος ἐξ ἑκατέρας φύσεως. Σύνθετον δὲ τὸν Χριστὸν ὁμολογοῦμεν τῇ τῶν ἁγίων πατέρων ἀκολουθοῦντες διδασκαλίᾳ. Ἐπὶ γὰρ τοῦ κατὰ Χριστὸν μυστηρίου ἡ κατὰ σύνθεσιν ἕνωσις τὴν σύγχυσιν καὶ διαίρεσιν ἀποβάλλεται· καὶ φυλάττει μὲν τὴν ἑκατέρας φύσεως ἰδιότητα, μίαν δὲ ὑπόστασιν, ἤτοι πρόσωπον τοῦ Θεοῦ λόγου καὶ μετὰ τῆς σαρκὸς δείκνυσι, καὶ ἔστιν εἷς καὶ ὁ αὐτὸς τέλειος ἐν θεότητι, καὶ τέλειος ἐν ἀνθρωπότητι, οὐχ ὡς δυσὶν ὑποστάσεσιν ἤτοι προσώποις, ἀλλ' ἐν θείᾳ φύσει καὶ ἀνθρωπίνῃ γνωριζόμενος· ἵνα εἷς ᾖ καθ' ἑκάτερα, τέλειος Θεὸς, καὶ τέλειος ἄνθρωπος, ὁ αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ εἷς τῆς ἁγίας τριάδος συνδοξαζόμενος τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι. Οὔτε γὰρ τετάρτου προσώπου προσθήκην ἐπεδέξατο ἡ ἁγία τριὰς καὶ σαρκωθέντος τοῦ ἑνὸς τῆς ἁγίας τριάδος Θεοῦ λόγου. Ταύτην τὴν D καλὴν παρακαταθήκην, ἣν παρὰ τῶν ἁγίων πατέρων εἰλήφαμεν, φυλάττομεν, ἐν ᾗ ζῶμέν καὶ πολιτευόμεθα, καὶ ἣν συνέκδημον λάβοιμεν, εἰς πατέρα, καὶ Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ ἅγιον πνεῦμα ὁμολογίαν.

A homo. Ideo proprie et vere Dei Genitricem sanctam gloriosam et semper virginem Mariam confitemur: non quia Deus Verbum initium ex ipsa accepit, sed quod in ultimis diebus unigenitus Deus Verbum, qui ante sæcula erat, incarnatus ex ipsa, immutabiliter homo factus est: et cum invisibilis in suis esset, visibilis factus est in nostris: et cum impassibilis Deus esset, non dedignatus est passibilis esse homo, et immortalis, mortis legibus subjacere. Istum, qui in Bethlehem de semine David natus est secundum carnem, et similis factus hominibus, et crucifixus est pro hominibus sub Pontio Pilato, prædicaverunt sancti apostoli ipsum esse Deum, ipsum hominem; ipsum Filium Dei, ipsum filium hominis; ipsum de cœlo, ipsum de terra; ipsum impassibilem, ipsum B passibilem. Deus enim Verbum, qui natus est desursum ex Patre ineffabiliter, inenarrabiliter, incomprehensibiliter, sempiterne, ipse in tempore nascitur deorsum de Virgine Maria, ut illi qui deorsum prius nati sunt, desursum secundum nascerentur, id est ex Deo. Ipse igitur matrem tantummodo habet super terram, et nos tantummodo patrem habemus in cœlo. Cum enim accepisset mortalem patrem hominum Adam, dedit hominibus suum Patrem immortalem, secundum hoc quod dicitur: *Dedit eis potestatem filios Dei fieri* (*Joan.* I). Unde et mortem secundum carnem gustat Filius Dei, propter carnalem suum patrem, ut filii hominis vitæ ejus participes fierent, propter suum secundum spiritum Patrem Deum. Ipse igitur secundum naturam Filius est Dei, nos autem C secundum gratiam; et iterum ipse secundum dispensationem et propter nos filius fuit Adam, nos autem secundum naturam sumus filii Adam. Pater enim est ejus Deus secundum naturam, noster autem secundum gratiam. Et Deus ei fuit secundum dispensationem, eo quod homo factus est, noster autem secundum naturam Dominus est et Deus. Et ideo Deus Verbum, qui est Filius Dei Patris, unitus carni, factus est caro, ut homines uniti spiritui, fierent unus spiritus. Ipse igitur verus Filius Dei omnes nos indutus est, ut omnes induamur unum Deum. Et est etiam post incarnationem unus de sancta Trinitate, unigenitus Filius Dei Dominus noster Jesus Christus, compositus ex utraque natura. Compositum autem Christum confitemur, sanctorum Patrum doctrinam se- D quentes. In mysterio enim Christi unitas secundum compositionem, confusionem et divisionem rejicit, et servat quidem utriusque naturæ proprietatem; unam autem subsistentiam seu personam Dei Verbi et cum carne ostendit, et est unus idemque perfectus in deitate, et perfectus in humanitate, non tanquam in duabus subsistentiis sive personis, sed in divina natura et humana cognoscendus, ut unus sit in utraque, perfectus Deus et perfectus homo; idem ipse Dominus Jesus Christus, unus de sancta Trinitate conglorificandus Patri et sancto Spiritui. Nec enim quartæ personæ adjectionem suscepit sancta Trinitas et incarnato uno de sancta Trinitate Deo Verbo. Istam igitur bonam traditionem, quam a sanctis Patribus accepimus, custodimus, in qua vivimus et conversamur, et quam, ab hac vita proficiscentes, oramus nobiscum habere, quæ est in Patrem et Christum Filium Dei vivi, et sanctum Spiritum confessio.

Ταῦτα οὕτως ὁμολογοῦντες πρὸς ταῖς ἄλλαις τοῦ ἐν ἁγίοις Κυρίλλου περὶ τῆς ὀρθῆς πίστεως διδασκαλίας, καὶ

Hæc ita confitentes super alias sancti Cyrilli de fide recta doctrinas, et hoc quod dictum est ab ipso,

τὸ εἰρημένον παρ' αὐτοῦ, μίαν φύσιν τοῦ Θεοῦ λόγου A σεσαρκωμένην, δεχόμενοι ὁμολογοῦμεν, ὅτι ἐκ τῆς θείας φύσεως, καὶ τῆς ἀνθρωπίνης εἷς Χριστὸς ἀπετελέσθη, καὶ οὐ μία φύσις, καθὼς τινὲς κακῶς τὴν λέξιν ἐκλαμβάνοντες λέγειν ἐπιχειροῦσιν. Ἀμέλει τοι καὶ αὐτὸς ὁ πατὴρ, ὁσάκις μίαν φύσιν εἶπε τοῦ λόγου σεσαρκωμένην, ἐπὶ τούτου τῷ τῆς φύσεως ὀνόματι ἀντὶ ὑποστάσεως ἐχρήσατο. Καὶ ἐν οἷς λόγοις εἶπε ταύτην τὴν λέξιν, ἐν τοῖς ἐφεξῆς ὡς ἐπὶ τὸ πλεῖστον ἐπήγαγε, ποτὲ μὲν υἱὸν, ποτὲ δὲ λόγον ἢ μονογενῆ· ἅπερ οὐ φύσεως, ἀλλ' ὑποστάσεως ἤτοι προσώπου ἐστὶ δηλωτικά. Ἡ τοίνυν ὑπόστασις τοῦ λόγου σαρκωθεῖσα οὐ μίαν φύσιν, ἀλλ' ἕνα Χριστὸν σύνθετον ἀπετέλεσε τὸν αὐτὸν Θεόν τε καὶ ἄνθρωπον· Θεὸν δὲ καὶ ἄνθρωπον τὸν Χριστὸν ὁμολογοῦντας, μίαν φύσιν ἤτοι οὐσίαν ἐπ' αὐτῷ λέγειν ἀσεβές· ἀδύνατον γὰρ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν κατὰ μίαν καὶ τὴν αὐτὴν φύσιν, ἤτοι B οὐσίαν, καὶ πρὸ αἰώνων εἶναι καὶ ἐν χρόνῳ, ἢ ἀπαθῆ καὶ παθητὸν, ὅπερ ἐπὶ τῆς μιᾶς αὐτοῦ ὑποστάσεως ἤτοι προσώπου ὀρθῶς ὁμολογοῦμεν. Ἐξ αὐτῶν δὲ τῶν εἰρημένων τοῦ αὐτοῦ ἐν ἁγίοις Κυρίλλου ἀποδείξομεν τὴν περὶ τῆς εἰρημένης λέξεως σαφεστάτην αὐτοῦ διδασκαλίαν· ἐν γὰρ τῇ πρώτῃ πρὸς Σούκενσον ἐπιστολῇ εἰπὼν μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, εὐθὺς ἐπήγαγεν· « Οὐκοῦν ὅσον μὲν ἧκεν εἰς ἔννοιαν, εἴς γε μόνον τὸ ὁρᾷν τοῖς τῆς ψυχῆς ὄμμασι, τίνα τρόπον ἐνηνθρώπηκεν ὁ μονογενὴς, δύο τὰς φύσεις εἶναί φαμεν τὰς ἑνωθείσας, ἕνα δὲ υἱὸν καὶ Χριστὸν καὶ κύριον τὸν τοῦ Θεοῦ πατρὸς λόγον ἐνανθρωπήσαντα, καὶ σεσαρκωμένον. » Διὰ τούτων δὲ ὁ πατὴρ τὸν τρόπον τῆς ἐνανθρωπήσεως παραστῆσαι βουλόμενος, καὶ τὸ ἀδιαίρετον καὶ ἀσύγχυτον φυλάττων, καὶ τὸν ἀριθμὸν τῶν συνελθουσῶν φύσεων ἔδειξε, καὶ ἕνα Χριστὸν ἐκή- C ρυξεν, ἀλλ' οὐχὶ μίαν φύσιν θεότητος καὶ σαρκός. Καὶ ἐν τῇ δευτέρᾳ πρὸς τὸν αὐτὸν Σούκενσον ἐπιστολῇ τὰ παραπλήσια διδάσκων [λέγει] γράφει οὕτως· « Εἰ μὲν γὰρ μίαν εἰπόντες τὴν τοῦ λόγου φύσιν σεσιγήκαμεν, οὐκ ἐπενεγκόντες τὸ, σεσαρκωμένην, ἀλλ' οἷον ἔξω θέντες τὴν οἰκονομίαν, ἦν αὐτοῖς τάχα που καὶ οὐκ ἀπίθανος ὁ λόγος προσποιουμένοις ἐρωτᾷν, ποῦ τὸ τέλειον ἐν ἀνθρωπότητι, ἢ τὸ, πῶς ὑφέστηκεν ἡ καθ' ἡμᾶς οὐσία; Ἐπειδὴ δὲ καὶ ἡ ἐν ἀνθρωπότητι τελειότης, καὶ τῆς καθ' ἡμᾶς οὐσίας ἡ δήλωσις εἰσκεκόμισται διὰ τοῦ λέγειν, σεσαρκωμένην, παυσάσθωσαν καλαμίνην ῥάβδον ἑαυτοῖς ὑποστήσαντες. Τοῦ γὰρ ἐκβάλλοντος τὴν οἰκονομίαν, καὶ ἀρνουμένου τὴν σάρκωσιν ἦν τὸ ἐγκαλεῖσθαι δικαίως ἀφαιρουμένου τὸν υἱὸν τῆς τελείας ἀνθρωπότητος. Εἰ δὲ, ὡς ἔφην, ἐν τῷ σεσαρκῶσθαι λέγειν αὐτὸν, σαφής ἐστι καὶ ἀναμφίβολος D ὁμολογία τοῦ, ὅτι γέγονεν ἄνθρωπος, οὐδὲν ἔτι κωλύει νοεῖν, ὡς εἷς ὑπάρχων καὶ μόνος υἱὸς ὁ Χριστὸς, ὁ αὐτὸς Θεός ἐστι καὶ ἄνθρωπος, ὥσπερ ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος· ὀρθότατα δὲ καὶ πάνυ συνετῶς ἡ σὴ τελειότης τὸν περὶ τοῦ σωτηρίου πάθους ἐκτέθεικε λόγον, οὐκ αὐτὸν τὸν μονογενῆ υἱὸν τοῦ Θεοῦ, καθὸ νοεῖται καὶ ἔστι Θεὸς, παθεῖν εἰς ἰδίαν φύσιν τὰ σώματος, ἰσχυριζομένη, παθεῖν δὲ μᾶλλον τῇ χοϊκῇ φύσει. Δεῖ γὰρ ἀναγκαίως ἀμφότερα σώζεσθαι τῷ ἑνὶ καὶ κατὰ ἀλήθειαν υἱῷ, τὸ καὶ μὴ πάσχειν θεϊκῶς, καὶ τὸ λέγεσθαι παθεῖν ἀνθρωπίνως. Ἡ αὐτοῦ γὰρ πέπονθε σάρξ. » Καὶ ἐν τῷ τρισκαιδεκάτῳ δὲ κεφαλαίῳ τῶν σχολίων ὁ αὐτὸς ἐν ἁγίοις Κυ-

unam naturam Dei Verbi incarnatam, suscipientes, confitemur quod ex divina natura et humana unus Christus effectus est, et non in una natura, prout quidam male intelligentes dictionem, conantur dicere. Unde et ipse Pater, quoties unam naturam dixit Verbi incarnatam, in hoc naturæ nomine pro subsistentia usus est. Et in quibus libris dixit hanc dictionem, in sequentibus sæpius intulit, [1] et quando Filium, et quando Verbum, aut Unigenitum, quæ non naturam, sed subsistentiam seu personam significant. Subsistentia igitur Verbi incarnata non unam naturam, sed unum Christum compositum effecit, eumdem ipsum Deum et hominem. Eos autem qui Christum Deum et hominem confitentur, unam naturam sive substantiam ipsius dicere, impium est. Impossibile enim est Dominum nostrum Jesum Christum secundum unam eamdemque naturam seu substantiam et ante sæcula esse, et in tempore, aut impassibilem et passibilem : quod in una subsistentia sive persona ejus recte confitemur. Ex ipsis autem dictis ejusdem sancti Cyrilli ostendemus de memorata dictione manifestam ipsius doctrinam. In prima enim ad Successum epistola, cum dixisset, unam naturam Dei Verbi incarnatam, statim intulit : « Ergo quantum quidem ad intellectum pertinet, et ad videndum tantummodo oculis animæ, quemadmodum incarnatus est Unigenitus, duas naturas unitas esse dicimus, unum autem Filium, et Christum, et Dominum, Dei Patris Verbum incarnatum, et hominem factum. » Per ista autem Pater modum incarnationis volens manifestare, et indivisam et inconfusam custodiens unitionem, et numerum naturarum quæ convenerunt demonstravit, et unum Christum prædicavit, at non unam naturam deitatis et carnis. Et in secunda ad eumdem Successum epistola similia docens, ita scribit : « Nam siquidem unam dicentes Verbi naturam tacuissemus, non inferentes, Incarnatam, sed quasi extra ponentes dispensationem ; erat illis forsitan et verisimilis ratio confingentibus interrogare, ubi perfectio in humanitate, vel quomodo subsistit [substitit] humana nostra substantia? Quoniam autem et perfectio in humanitate, et nostræ substantiæ demonstratio introducta est, dicendo, Incarnatum ; cessent arundineam virgam sibi supponentes. Ejicientem enim dispensationem, et abnegantem incarnationem, oportebat juste accusari, auferentem a Filio perfectam humanitatem. Sin autem (ut dixi) incarnatum esse dicendo ipsum, manifesta est et indubitabilis confessio, quod factus est homo ; nihil jam prohibet intelligere, quia cum unus sit et solus filius Christus, idem ipse Deus est et homo, sicut in deitate perfectus, ita et in humanitate perfectus. Rectissime autem et nimis prudenter tua perfectio de salutari passione rationem exponit, non ipsum unigenitum Filium Dei, secundum quod intelligitur et est Deus, passum esse in sua natura quæ sunt corporis affirmans, magis autem passum esse terrena natura. Oportet enim necessario utra-

[1] Aliquando quidem Filium, aliquando vero Verbum, est quando Filium, est quando Verbum.

ριλλος ὁμοίως ἀποβαλλόμενος τούς τε δύο υἱοὺς εἰσάγοντας, τούς τε μίαν φύσιν λέγοντας θεότητος καὶ τῆς σαρκὸς τοῦ Χριστοῦ, γράφει οὕτως· « Οὐ διοριστέον οὖν ἄρα τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν εἰς ἄνθρωπον ἰδικῶς, καὶ εἰς Θεὸν ἰδικῶς, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν Ἰησοῦν Χριστὸν κύριόν φαμεν, τὴν τῶν φύσεων εἰδότες διαφοράν, καὶ ἀσυγχύτως ἀλλήλαις τηροῦντες αὐτάς. » Εἰ τοίνυν, καθὼς διδάσκει ὁ ἐν ἁγίοις Κύριλλος, εἷς ἐστιν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, τέλειος ἐν θεότητι, καὶ τέλειος ὁ αὐτὸς ἐν ἀνθρωπότητι, καὶ οὐκ ἔπαθε τῇ θείᾳ φύσει, ἀλλὰ τῇ χοϊκῇ φύσει, οἶδε δὲ καὶ τὴν τῶν φύσεων διαφορὰν, καὶ τὸ ἀσυγχύτους αὐτὰς ἀλλήλαις ἐν μιᾷ ὑποστάσει φυλάττεσθαι, δῆλον ὅτι τὸν αὐτὸν ἐν τῇ θείᾳ φύσει καὶ τῇ ἀνθρωπίνῃ λέγει ὁ πατὴρ γνωρίζεσθαι, καὶ ἑκατέραν φύσιν ἐν αὐτῷ εἶναι, ἐξ ὧν καὶ συνετέθη. Καὶ οὐκ ἄν τις οὕτω μανείη, ὡς ὀρθῶς νομίσαι φρονεῖν τοὺς λέγοντας μίαν εἶναι φύσιν, ἤτοι οὐσίαν σαρκὸς καὶ θεότητος τοῦ Χριστοῦ, τὴν αὐτὴν θείαν καὶ χοϊκὴν, παθητὴν καὶ ἀπαθῆ.

A que servari uni et vero Filio, et non pati secundum deitatem, et dici passum esse eumdem ipsum secundum humanitatem : ipsius enim passa est caro. » Et in tertiodecimo capite scholiorum idem S. Cyrillus similiter rejiciens eos qui duos filios introducunt, et eos qui unam dicunt naturam deitatis et carnis Christi, ita scribit : « Non discernendum unum Dominum Jesum Christum in hominem separatim, et in Deum separatim ; sed unum eumdemque Dominum Jesum Christum dicimus, naturarum scientes differentiam, et inconfusas eas sibi invicem conservantes. » Si igitur (prout docet nos sanctus Cyrillus) unus est Dominus noster Jesus Christus, perfectus in deitate, et perfectus idem ipse in humanitate, et non est passus divina natura, sed terrena, scit autem B et naturarum differentiam, et quod inconfusæ sibi invicem in una subsistentia conservantur : certum est, quod eumdem ipsum in divina natura et in humana dicit Pater cognosci, et utramque naturam in ipso esse, ex quibus et compositus est. Et non aliquis sic insaniat, ut arbitretur eos recte sapere qui dicunt unam esse naturam sive substantiam carnis et deitatis Christi, eamdem et divinam et terrenam, passibilem et impassibilem.

Ἐπειδὴ δὲ καὶ ἑτέρωθεν κατασκευάζειν ἐπιχειροῦσί τινες τὸ μίαν εἶναι φύσιν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ, τὸ τοῦ ἀνθρώπου παράδειγμα προβαλλόμενοι, καὶ λέγοντες, ὥσπερ ἐξ ἑτεροφυῶν ψυχῆς καὶ σώματος συνεστὼς ὁ ἄνθρωπος μία φύσις λέγεται, οὕτω καὶ ἐκ δύο φύσεων, θεότητος καὶ ἀνθρωπότητος, τὸν Χριστὸν λέγοντες, ὀφείλομεν μίαν φύσιν ἐπ' αὐτῷ λέγειν· ἐκεῖνο πρὸς αὐτοὺς ἐροῦμεν, ὅτι ὁ μὲν ἄνθρωπος κἂν ἐκ διαφόρων συνέστηκε, τουτέστι ψυχῆς καὶ σώματος, ὅμως διὰ τοῦτο μία φύσις λέγεται, ἐπειδὴ κοινῶς κατὰ πασῶν τῶν ὑποστάσεων, ἤγουν προσώπων τῶν ὑπὸ τὸ αὐτὸ εἶδος ἀναγομένων κατηγορεῖται. Εἰ καὶ τὰ μάλιστα γὰρ ἑκάστη ὑπόστασις, ἤτοι πρόσωπον, οἷον Πέτρος, καὶ Παῦλος, τοῖς ἰδιώμασιν ἀπ' ἀλλήλων διαχωρίζονται, ἀλλ' ὅμως οὐ τῇ φύσει διαιροῦνται· ἀμφότεροι γὰρ ἄνθρωποι· καὶ πάλιν οὔτε ψυχὴ χωρὶς σώματος, οὔτε σῶμα χωρὶς ψυχῆς [ἄνθρωπός ἐστιν] ἀνθρωπότητος, ἀλλ' ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἐκ ψυχῆς καὶ σώματος ἐδημιουργήθη. Πᾶν δὲ κτίσμα, εἰ καὶ ἐκ διαφόρων συνέστηκεν, ἀλλ' οὖν μίαν ἐκείνην ἔχειν λέγεται φύσιν, καθ' ἣν παρὰ τοῦ Θεοῦ ἐδημιουργήθη. Ὁ δὲ Χριστὸς οὐχ οὕτως· οὔτε γὰρ μίαν φύσιν, ἤγουν οὐσίαν δηλοῖ κοινῶς κατὰ πολλῶν ὑποστάσεων, ἤτοι προσώπων κατηγορουμένην, ὥσπερ ὁ ἄνθρωπος· εἰ γὰρ τοῦτο ἦν, πολλοὶ Χριστοὶ εὑρεθήσονται, καθ' ὧν τὸ κοινὸν τῆς φύσεως κατηγορῆται, ὅπερ καὶ λέγειν ἐστὶν ἀσεβές· ἀλλ' οὔτε ἀπ' ἀρχῆς ἐκ θεότητος καὶ ἀνθρωπότητος, ὥσπερ ὁ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος, ὁ Χριστὸς ἐδημιουργήθη, ἵνα τοῦτο ἡ φύσις Χριστοῦ· ἀλλὰ Θεὸς ὢν πρὸ αἰώνων ὁ λόγος, καὶ τῆς αὐτῆς φύσεως, ἤτοι οὐσίας ὑπάρχων τῷ πατρὶ, καὶ δημιουργὸς ἁπάντων, ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἀνθρώπου φύσιν καθ' ὑπόστασιν ἑνώσας ἑαυτῷ, γέγονεν ἄνθρωπος, μὴ ἐκστὰς τοῦ εἶναι Θεός.

Quoniam autem et alio modo quidam ostendere conantur, unam esse naturam deitatis et humanitatis Christi, exemplum hominis proponentes, et dicentes, quod sicut ex diversis naturis, anima et corpore C consistens homo, una natura dicitur, sic et ex duabus naturis deitatis et humanitatis Christum dicentes, debemus unam ipsius dicere naturam : illud ad eos dicemus, quod homo quidem licet ex diversis constet, id est, anima et corpore, tamen ideo una natura dicitur, quoniam de omnibus subsistentiis sive personis, quæ sub eadem specie referuntur, communiter prædicatur. Licet enim unaquæque subsistentia sive persona, sicut Petrus et Paulus, proprietatibus a se invicem separentur, sed tamen non natura dividuntur : ambo enim homines ; et iterum, nec anima sine corpore, nec corpus sine anima homo est, sed ex eo quod non erat, ad hoc quod est, ex anima et corpore creatus est. Unaquæque autem creatura licet ex diversis constet, sed tamen unam D illam habere dicitur naturam, secundum quam a Deo creata est. Christus autem non sic : nec enim unam naturam sive substantiam significat, quæ communiter de plurimis subsistentiis sive personis prædicatur, sicut homo. Si enim hoc esset, multi christi invenirentur in [de] quibus communitas unius naturæ prædicabitur ; quod et dicere impium est. Sed neque ab initio ex deitate et humanitate sicut homo ex anima et corpore, Christus creatus est, ut hoc sit natura Christi : sed cum Deus esset ante sæcula Verbum, et esset ejusdem naturæ sive substantiæ cum Patre, et creator omnium, in ultimis diebus hominis naturam secundum subsistentiam sibi uniens, factus est homo manens Deus.

Ἔστιν οὖν ὁ Χριστὸς μία ὑπόστασις, ἤτοι πρόσωπον, καὶ ἔχει τὸ τέλειον ἐν ἑαυτῷ τῆς τε θείας καὶ ἀκτίστου φύσεως, καὶ τὸ τέλειον τῆς ἀνθρωπίνης καὶ κτιστῆς φύσεως. Πῶς οὖν, ἐν ᾧ δύο φύσεις γνωρίζονται, ἄκτιστος καὶ κτιστὴ, ἐπὶ τούτου μίαν φύσιν ἤτοι οὐσίαν λέγεσθαι δυ-

Est igitur Christus una subsistentia, sive persona, et habet in semetipso perfectionem divinæ et increabilis naturæ, et perfectionem humanæ et creabilis naturæ. Quomodo igitur, in quo duæ naturæ cognoscuntur, increabilis, et creabilis, in eo unam natu-

κτόν; Εἰ γὰρ καὶ μία ὑπόστασις ἤτοι πρόσωπον ὁ Χριστὸς, ἀλλ' ὁμοούσιος τῷ πατρὶ Θεῷ, καὶ ὁμοούσιος ἡμῖν ὁ αὐτὸς, οὐ μὴν κατὰ μίαν καὶ τὴν αὐτὴν φύσιν, ἤτοι οὐσίαν· εἰ δὲ μία φύσις ἤτοι οὐσία ἦν Χριστὸς, ἢ ἄσαρκος ὢν μόνῳ τῷ Θεῷ καὶ [πατρὶ L. sic leg. in chro ico Alex.] πνεύματί ἐστιν ὁμοούσιος, ἐπειδὴ μία τῆς θεότητος οὐσία, ἤτοι φύσις· ἢ ψιλὸς ὢν ἄνθρωπος, μόνοις ἡμῖν ἐστιν ὁμοούσιος, ἐπειδὴ μία φύσις τῆς ἀνθρωπότητος· ἢ τραπεῖσα ἑκατέρα φύσις ἑτεροφυὴς ἐστιν. Ἀπετέλεσε παρὰ τὰς συνελθούσας, καὶ κατ' αὐτοὺς οὔτε Θεὸς ἔμεινεν, οὔτε ἄνθρωπος γέγονεν ὁ Χριστός· καὶ διὰ τοῦτο οὔτε τῷ πατρὶ, οὔτε ἡμῖν ἐστιν ὁ αὐτὸς ὁμοούσιος. Τὸ δὲ οὕτω φρονεῖν πάσης πεπλήρωται ἀσεβείας. Καὶ ταῦτα λέγομεν οὐκ ἀγνοοῦντες, ὅτι καί τινες τῶν ἁγίων πατέρων τῷ τοῦ ἀνθρώπου ὑποδείγματι ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου ἐχρήσαντο· ἀλλ' ἐκεῖνοι μὲν, ἵνα δείξωσιν, ὅτι καθάπερ ὁ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος εἷς ἀποτελεῖται, καὶ οὐχὶ δύο ἄνθρωποι, οὕτω καὶ ὁ Χριστὸς ἐκ θεότητος καὶ ἀνθρωπότητος συντεθεὶς εἷς ἐστι, καὶ οὐκ εἰς δύο Χριστοὺς, ἢ δύο υἱοὺς μερίζεται. Οὗτοι δὲ τῷ τοῦ ἀνθρώπου ὑποδείγματι κέχρηνται, ἵνα μίαν φύσιν ἤτοι οὐσίαν θεότητος καὶ ἀνθρωπότητος τοῦ Χριστοῦ εἰσάγωσιν, ὅπερ ἀπεδείξαμεν ἀλλότριον εἶναι τῆς εὐσεβείας. Ἀλλὰ διὰ τοῦτο ἐλεγχόμενοι, ὡς παρὰ τὴν ὀρθὴν τῶν πατέρων διδασκαλίαν ἀναπλάττουσιν ἐν ἑαυτοῖς μίαν φύσιν, ἤτοι οὐσίαν θεότητος καὶ σαρκὸς, ἐφ' ἕτερα μεταβαίνουσι λέγοντες, μὴ δεῖν ἀριθμὸν φύσεων ἐπὶ Χριστοῦ λέγειν, ὡς τοῦ ἀριθμοῦ διαίρεσιν εἰσάγοντος. Ἴστωσαν τοίνυν ὅτι ὁ ἀριθμὸς ὅταν μὲν ἐπὶ διαφόρων προσώπων, ἢ ὑποστάσεων λέγεται, τῶν πραγμάτων αὐτῶν τὴν ἀνὰ μέρος ἔχει διαίρεσιν, οἷον ὡς ἐπὶ δύο ἢ πλειόνων ἀνθρώπων· ὅταν δὲ ἐπὶ ἡνωμένων πραγμάτων, τηνικαῦτα μόνῳ λόγῳ καὶ θεωρίᾳ, οὐ μὴν αὐτῶν τῶν πραγμάτων ἔχει τὴν διαίρεσιν, οἷον ἐπὶ μιᾶς ὑποστάσεως ἀνθρώπου ἐκ ψυχῆς καὶ σώματος συνεστώσης· δύο γὰρ καὶ ἐνταῦθα φύσεις θεωροῦνται, ἑτέρα μὲν τῆς ψυχῆς, καὶ ἑτέρα τοῦ σώματος· καὶ ὅμως οὐ διὰ τοῦτο εἰς δύο ἀνθρώπους διαιρεῖται, ἀλλ' ἕνα ἴσμεν τὸν ἄνθρωπον, καὶ μίαν αὐτοῦ τὴν ὑπόστασιν. Καὶ ἐπὶ τοῦ κατὰ Χριστὸν τοίνυν μυστηρίου τῆς ἑνώσεως γενομένης, εἰ καὶ διάφορα θεωρεῖται τὰ ἑνωθέντα, ἀλλ' οὖν οὐ πραγματικῶς, καὶ ἀνὰ μέρος ἀλλήλων διΐστανται τὰ ἐξ ὧν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς συνετέθη· τὴν μέν τοι διαφορὰν κατανοοῦντες, καὶ ταύτην σημᾶναι βουλόμενοι, τὸν ἀριθμὸν παραλαμβάνομεν, καὶ δύο τὰς ἐν Χριστῷ φύσεις εἶναί φαμεν, καὶ οὐ διὰ τοῦτο ὁ εἷς Χριστὸς εἰς δύο Χριστοὺς, ἢ δύο υἱοὺς διαιρεῖται· καὶ μαρτυρεῖ τοῖς παρ' ἡμῶν εἰρημένοις ὁ ἐν ἁγίοις Γρηγόριος ὁ Θεολόγος ἐν τῷ πρὸς Κληδόνιον πρώτῳ λόγῳ γράφων οὕτως· « Εἴ τις εἰσάγει δύο υἱοὺς, ἕνα μὲν τὸν ἐκ τοῦ Θεοῦ καὶ πατρὸς, δεύτερον δὲ ἐκ τῆς μητρὸς, ἀλλ' οὐχὶ ἕνα καὶ τὸν αὐτὸν, τῆς υἱοθεσίας ἐκπέσοι τῆς ἐπηγγελμένης τοῖς ὀρθῶς πιστεύουσι. Φύσεις μὲν γὰρ δύο, Θεὸς καὶ ἄνθρωπος, ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα· υἱοὶ δὲ οὐ δύο, οὐδὲ θεοί. Οὐδὲ γὰρ ἐνταῦθα δύο ἄνθρωποι· εἰ καὶ οὕτως ὁ Παῦλος τὸ ἐντὸς τοῦ ἀνθρώπου, καὶ τὸ ἐκτὸς προσηγόρευσε· καὶ εἰ δεῖ συντόμως εἰπεῖν, ἄλλο μὲν καὶ ἄλλο τὰ ἐξ ὧν ὁ σωτὴρ, εἴπερ μὴ ταυτὸν τὸ ἀόρα-

A ram sive substantiam dici possibile est? Licet enim una subsistentia sive persona Christus sit, sed consubstantialis Deo Patri, et consubstantialis nobis idem ipse est, non tamen secundum unam eamdemque naturam, seu substantiam. Sin autem una natura sive substantia esset Christus, aut sine carne est, et soli Deo Patri [et Spiritui *Græc.*] consubstantialis, quoniam una deitatis substantia sive natura est: aut purus homo existens, nobis est solum consubstantialis, quoniam una natura humanitatis est: aut immutata utraque natura alteram effecit naturam, præter eas quæ convenerunt, et secundum illos neque Deus mansit, neque homo factus est Christus, et ideo neque Patri, neque nobis idem ipse consubstantialis est. Sic autem sapere omni plenum est B impietate. Et ista dicimus, non ignorantes quod et quidam sanctorum Patrum hominis exemplo in mysterio Christi usi sunt [1]: sed illi quidem ut ostenderent, quod sicut homo ex anima et corpore unus efficitur, et non duo homines, sic et Christus ex deitate et humanitate compositus, unus est, non in duos christos vel in duos filios dividendus. Isti autem hominis exemplo utuntur, ut unam naturam sive substantiam deitatis et humanitatis Christi introducant: quod demonstravimus alienum esse pietatis. Sed cum per hæc convincuntur, quod præter rectam Patrum doctrinam sibi confingunt unam naturam seu substantiam deitatis et carnis, ad alia transeunt, dicentes non oportere numerum naturarum in Christo dicere, ut pote numero divisionem introducente. C Sciant igitur, quod numerus quando in diversis personis, sive subsistentiis dicitur, rerum ipsarum per partes habet divisionem, sicut in duobus vel etiam pluribus hominibus: quando autem in rebus unitis, tunc verbo solo [ratione sola] et intellectu, non tamen ipsarum rerum habet divisionem, sicut in una subsistentia hominis ex anima et corpore constituta. Duæ enim et hic naturæ intelliguntur, altera animæ, et altera corporis: et tamen non propter hoc in duos homines dividitur, sed unum scimus hominem esse, et unam subsistentiam ejus. Et in mysterio igitur Christi facta unitione, licet diversa intelligantur quæ unita sunt, sed non ipsa re et per partes a se invicem separantur ea, ex quibus dominus noster Jesus Christus compositus est, differentiam tamen considerantes D et hanc significare volentes, numerum assumimus, et duas in Christo naturas esse dicimus: nec ideo unus Christus in duos christos, vel in duos filios dividitur. Et testimonium præstat nostris dictis sanctus Gregorius Theologus, scribens in primo libro ad Cledonium sic: « Si quis introducit duos filios, unum quidem ex Deo et Patre, secundum autem ex matre, sed non unum eumdemque, ex adoptione cadat, quæ promissa est credentibus recte. Naturæ enim duæ, Deus et homo, quomodo et anima et corpus; non autem duo filii, nec dii duo. Nec enim hic duo homines, licet Paulus sic appellaverit (*II Cor.* IV)

[1] S. Athanasius in symbolo quod ejus nomine inscribitur.

A τον τῷ ὁρατῷ, καὶ τὸ ἄχρονον τῷ ὑπὸ χρόνον, οὐκ ἄλλος δὲ καὶ ἄλλος, μὴ γένοιτο.»

Ἰδοὺ διὰ τούτων σαφῶς διδάσκει ὁ ἐν ἁγίοις Γρηγόριος, ὅτι ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου ὁ μὲν ἐπὶ προσώπων τὸν ἀριθμὸν λέγων, ὡς ἀσεβὴς κατακρίνεται· ὁ δὲ ἐπὶ τῶν φύσεων ἐξ ὧν ὁ εἷς συνετέθη Χριστὸς, τοῦτον παραλαμβάνων ὀρθῶς ὁμολογεῖ· ὡς τὴν μὲν διαφορὰν τῶν συνελθουσῶν φύσεων διὰ τούτου σημαίνων, διαίρεσιν δὲ τὴν ἀνὰ μέρος κατ' οὐδένα τρόπον ποιούμενος. Ὥσπερ γὰρ ἑτέρα φύσις τῆς ψυχῆς, καὶ ἑτέρα σώματος, καὶ ὅμως εἷς κατὰ σύνθεσιν ἄνθρωπος ἀποτελεῖται, καὶ οὐ δύο· οὕτω καὶ ἐν Χριστῷ εἰ καὶ δύο φύσεις θεωροῦνται, ἑτέρα μὲν τῆς θεότητος, ἑτέρα δὲ τῆς ἀνθρωπότητος, ἀλλ' οὐ διὰ τοῦτο δύο Χριστοὶ, ἢ δύο υἱοὶ εἰσάγονται. B Ὥστε τὸν ἀριθμὸν τῶν ἐν Χριστῷ φύσεων κατὰ τὸν εἰρημένον τρόπον παραιτούμενοι λέγειν, δῆλοί εἰσι τὴν διαφορὰν τούτων ἀρνούμενοι, καὶ σύγχυσιν ἐπεισάγοντες τῇ οἰκονομίᾳ. Εἰ δὲ τὴν διαφορὰν ὁμολογοῦσιν, ἀνάγκη πάντως ἐπὶ ταύτῃ καὶ τὸν ἀριθμὸν τῶν ἀσυγχύτως συνελθουσῶν φύσεων εἰς μίαν ὑπόστασιν λέγειν αὐτούς. Ὅπου γὰρ διαφορὰ φυλάττεται, ταύτῃ πάντως καὶ ἀριθμὸς ἕπεται. Εἰς σύστασιν δὲ τῶν παρ' ἡμῶν εἰρημένων τῇ τῶν ἁγίων πατέρων μαρτυρίᾳ χρώμενοι, δείξομεν αὐτοὺς λέγειν, ὅτι ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου οἱ μὲν λόγοι διαιροῦνται κατὰ τὴν διαφορὰν τῶν φύσεων, θεότητος καὶ ἀνθρωπότητος, ἐξ ὧν καὶ συνετέθη, καὶ τὸν ἀριθμὸν ἐπὶ τούτου παραλαμβάνουσιν, οὐ μὴν πραγματικῶς ἀνὰ μέρος τὴν τῶν φύσεων ποιοῦνται διαίρεσιν εἰς δύο ὑποστάσεις, ἤτοι δύο πρόσωπα. C

Λέγει γὰρ ὁ ἐν ἁγίοις Κύριλλος ἐν τῇ ἑρμηνείᾳ τοῦ Λευιτικοῦ οὕτως· «Ὅλον δὴ πάλιν ἐν τούτοις περιάθρει σαφῶς τοῦ σωτῆρος ἡμῶν τὸ μυστήριον, καὶ τὸν διὰ τοῦ ἁγίου βαπτίσματος καθαρισμόν. Δύο μὲν γὰρ ὀρνίθια ληφθῆναι κελεύει ζῶντα καὶ καθαρὰ, ἵνα νοήσῃς διὰ τῶν πετεινῶν τὸν οὐράνιον ἄνθρωπόν τε ὁμοῦ καὶ Θεὸν εἰς δύο φύσεις, ὅσον ἧκεν εἰς τὸν ἑκάστῃ πρέποντα λόγον, διαιρούμενον· λόγος γὰρ ἦν ὁ ἐκ Θεοῦ πατρὸς ἀναλάμψας ἐν σαρκὶ τῇ ἐκ γυναικὸς, πλὴν οὐ μεριζόμενος· εἷς γὰρ ἐξ ἀμφοῖν ὁ Χριστός.» Καὶ πάλιν ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος ἐν τῇ πρὸς Σούκενσον δευτέρᾳ ἐπιστολῇ γράφει οὕτως· «Ἀλλ' ἠγνόησαν, ὅτι ὅσα κατὰ μόνην τὴν θεωρίαν διαιρεῖσθαι φιλεῖ, ταῦτα οὐ πάντως καὶ εἰς ἑτερότητα τὴν ἀνὰ μέρος ὁλοτρόπως καὶ ἰδικῶς ἀποφοιτήσειεν ἂν ἀπ' ἀλλήλων.» Καὶ ὁ ἐν ἁγίοις Βασίλειος ἐν τῷ τετάρτῳ κατ' Εὐνομίου λόγῳ ἑρμηνεύων τὸ — Κύριος ἔκτισέ με, καὶ πρὸ πάντων βουνῶν γεννᾷ με — γράφει οὕτως· «Ληπτέον οὖν τὸ μὲν ἐγέννησεν, ἐπὶ τοῦ Θεοῦ υἱοῦ· τὸ δὲ ἔκτισεν, ἐπὶ τοῦ τὴν μορφὴν τοῦ δούλου λαβόντος. D Ἐν πᾶσι δὲ τούτοις οὐ δύο λέγομεν, Θεὸν ἰδίᾳ, καὶ ἄνθρωπον ἰδίᾳ· εἷς γὰρ ἦν· ἀλλὰ κατ' ἐπίνοιαν τὴν ἑκάστου φύσιν λογιζόμενοι.» Καὶ ὁ ἐν ἁγίοις δὲ Γρηγόριος ὁ θεολόγος ἐν τῷ περὶ υἱοῦ δευτέρῳ λόγῳ διδάσκων ἡμᾶς, ὅπως δεῖ τὰς ἐν τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ φύσεις κατ' ἐπίνοιαν διακρίνειν, γράφει οὕτως· «Ἡνίκα αἱ φύσεις διΐστανται ταῖς ἐπινοίαις, συνδιαιρεῖται καὶ τὰ ὀνόματα. Παύλου λέγοντος ἄκουσον· — Ἵνα ὁ Θεὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ πατὴρ τῆς

A quod est intus hominis, et quod est extrinsecus: et ut compendiose dicamus, aliud quidem et aliud ea ex quibus Salvator est, cum non idem sit invisibile et visibile, et hoc quod sine tempore est, et hoc quod sub tempore: non autem alius et alius: absit.»

Ecce per hæc evidenter docet sanctus Gregorius, quod in mysterio Christi ille quidem qui in personis numerum dicit, ut impius condemnatur: ille autem qui in naturis, ex quibus unus Christus compositus est, numerum accipit, recte confitetur, ut pote differentiam quidem naturarum quæ convenerunt, per hoc significans: divisionem autem, quæ per partem est, nullo modo faciens. Sicut enim altera natura est animæ, et altera corporis, et tamen unus secundum compositionem homo efficitur, et non duo homines; sic et in Christo licet duæ intelligantur B naturæ, altera quidem deitatis, altera vero humanitatis, sed non propter hoc duo christi, aut duo filii introducuntur. Ergo qui numerum naturarum quæ in Christo sunt, secundum prædictum modum dicere recusant, manifesti sunt differentiam naturarum abnegantes, et confusionem introducentes dispensationi. Si vero differentiam confitentur, necesse est omnimodo ad eam significandam, et numerum dicere naturarum quæ sine confusione in unam subsistentiam convenerunt. Ubi enim differentia servatur, ibi omni modo et numerus sequitur. Ad confirmanda autem ea quæ diximus, sanctorum patrum testimonio utentes, ostendemus eos dicere, quod in [mysterio Christi *Græc.*] uno Domino nostro Jesu Christo rationes quidem dividuntur secundum differentiam C naturarum deitatis et humanitatis ex quibus et compositus est, et numerum in hoc assumunt, non tamen ipsa re et per partes naturarum faciunt divisionem in duas subsistentias sive personas.

Dicit enim sanctus Cyrillus in Levitici interpretatione (*Levit.* I) sic: «Totum in his iterum circumspice aperte Salvatoris nostri mysterium, et emundationem quæ per sanctum baptisma fit. Duas enim aviculas sumi jubet vivas et mundas, ut intelligas per volatilia cœlestem hominem simul et Deum, in duas naturas, quantum pertinet ad rationem unicuique convenientem, dividendum. Deus enim Verbum, quia ex Deo Patre est, splenduit in carne quæ ex muliere est, verumtamen non partiendum; unus enim ex utrisque Christus.» Et iterum idem sanctus Cyrillus in secunda ad Successum epistola ita dicit: «Sed ignoraverunt quod quæ per solum intellectum dividi solent, non hæc necessario etiam in alteritatem, D quæ est per partes, omnimodo et specialiter a se invicem separabuntur.» Sed et sanctus Basilius in quarto libro contra Eunomium, interpretans hoc quod est: *Dominus creavit me, et ante omnes colles genuit me* (*Prov.* VIII); ita scribit: «Intelligendum hoc quidem quod dicit, *creavit*, de eo qui formam servi accepit. In his autem omnibus non duo dicimus, Deum separatim, et hominem separatim, unus enim erat: sed secundum intellectum, utriusque naturam existimantes.» Sed et sanctus Gregorius Theologus in libro secundo de Filio, docens nos quomodo in Domino nostro Jesu Christo oportet naturas quæ in eo sunt, secundum intellectum discernere, ita scribit: «Cum

δόξης· Χριστοῦ μὲν Θεὸς, τῆς δὲ δόξης πατήρ. Εἰ γὰρ καὶ τὸ συναμφότερον ἓν, ἀλλ' οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ.» Καὶ ὁ ἐν ἁγίοις δὲ Γρηγόριος ὁ Νύσσης ἐπίσκοπος ἐν τῷ κατ' Εὐνομίου τετάρτῳ λόγῳ τὰ αὐτὰ ἡμᾶς διδάσκων, γράφει οὕτως· «Καὶ ὡς ἂν μή τις τῇ ἀκηράτῳ φύσει τὸ κατὰ τὸν σταυρὸν πάθος προστρίβοιτο, δι' ἑτέρων τρανότερον τὴν τοιαύτην ἐπανορθοῦται πλάνην, μεσίτην αὐτὸν Θεοῦ καὶ ἀνθρώπου, Θεὸν καὶ ἄνθρωπον αὐτὸν ὀνομάζων, ἵνα ἐκ τοῦ τὰ δύο περὶ τὸ ἓν λέγεσθαι τὸ πρόσφορον νοοῖτο περὶ ἑκάτερον, περὶ μὲν τὸ θεῖον ἡ ἀπάθεια, περὶ δὲ τὸ ἀνθρώπινον ἡ κατὰ τὸ πάθος οἰκονομία. Τῆς οὖν ἐπινοίας διαιρούσης τὸ κατὰ φιλανθρωπίαν μὲν ἡνωμένον, τῷ δὲ λόγῳ διακρινόμενον, ὅταν μὲν τὸ ὑπερκείμενον, καὶ ὑπερέχον πάντα νοῦν κηρύσσῃ, τοῖς ὑψηλοτέροις κέχρηται τῶν ὀνομάτων, ἐπὶ πάντων Θεὸν, καὶ μέγαν Θεὸν, καὶ δύναμιν Θεοῦ, καὶ σοφίαν, καὶ τὰ τοιαῦτα καλῶν. Ὅταν δὲ τὴν ἀναγκαίως διὰ τὸ ἡμέτερον ἀσθενὲς συμπαραληφθεῖσαν τῶν παθημάτων πεῖραν περιγράφῃ τῷ λόγῳ, ἐκ τοῦ ἡμετέρου κατονομάζει τὸ συναμφότερον, ἄνθρωπον αὐτὸν προσαγορεύων, οὐ κοινοποιῶν πρὸς τὴν λοιπὴν φύσιν διὰ τῆς φωνῆς τὸν δηλούμενον, ἀλλ' ὥστε περὶ ἑκάτερον τὸ εὐσεβὲς φυλαχθῆναι.»

Τούτων οὕτως ἀποδεδειγμένων διὰ τῆς τῶν πατέρων διδασκαλίας, παυσάσθωσαν οἱ τὸν ἀριθμὸν τῶν ἐν Χριστῷ φύσεων πρόφασιν τῆς οἰκείας πλάνης ποιούμενοι, καὶ τῷ διὰ τούτου τὴν διαφορὰν ἀρνεῖσθαι, σύγχυσιν εἰσάγειν ἐπιχειροῦντες. Πῶς γὰρ οὐκ ἀναγκαῖος ὁ ἀριθμὸς, ᾧ ἐπὶ σημασίᾳ τῆς διαφορᾶς τῶν ἑνωθεισῶν εἰς μίαν ὑπόστασιν φύσεων, καὶ οὐκ ἐπὶ τῇ ἀνὰ μέρος διαιρέσει αὐτῶν, οἱ πατέρες ἐχρήσαντο; Ἀποδεδειγμένου τοίνυν πανταχόθεν, ὡς ἀσεβές ἐστι τὸ λέγειν μίαν φύσιν, ἤτοι οὐσίαν θεότητος καὶ τῆς σαρκὸς τοῦ Χριστοῦ, κἀκεῖνο ἐροῦμεν, ὡς οὐδὲ καθὸ μίαν ὑπόστασιν λέγομεν τῆς θεότητος, καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ, οὕτω δυνατὸν καὶ μίαν φύσιν λέγειν Χριστοῦ. Ἐπειδὴ μὴ ταυτὸν φύσις τε καὶ ὑπόστασις. Πάντες γὰρ οἱ ἅγιοι πατέρες συμφώνως ἡμᾶς διδάσκουσιν, ἄλλο εἶναι φύσιν ἤτοι οὐσίαν, καὶ μορφὴν, καὶ ἄλλο ὑπόστασιν ἤτοι πρόσωπον· καὶ τὴν μὲν φύσιν, ἤτοι οὐσίαν καὶ μορφὴν τὸ κοινὸν σημαίνειν, τὴν δὲ ὑπόστασιν ἤτοι πρόσωπον, τὸ ἰδικόν· εἰ δὲ φήσωσί τινες, ὅτι ὥσπερ μία ὑπόστασις σύνθετος εἴρηται ἐπὶ Χριστοῦ, οὕτω δεῖ καὶ μίαν φύσιν σύνθετον λέγειν, ἀποδείξομεν καὶ τοῦτο ἀλλότριον εἶναι τῆς εὐσεβείας. Μίαν γὰρ φύσιν θεότητος, ἤτοι οὐσίαν λέγοντες, τρεῖς ἐπ' αὐτῆς δοξάζομεν ὑποστάσεις ἐν ἑκάστῃ ὑποστάσει τὴν αὐτὴν φύσιν, ἤτοι οὐσίαν γνωρίζοντες· καὶ εὐσεβῶς ἐκ τῶν τριῶν ὑποστάσεων μίαν ὑπόστασιν τὴν τοῦ λόγου πρὸς τὴν σάρκα συντεθεῖσθαί φαμεν. Οὐδεὶς γάρ ποτε ἐτόλμησεν ἐν τῇ καθολικῇ ἐκκλησίᾳ εἰπεῖν, ὅτι ὥσπερ τρεῖς ὑποστάσεις, οὕτω καὶ τρεῖς φύσεις εἰσὶ τῆς ἁγίας τριάδος, ὥστε καὶ δύνασθαι λέγειν μίαν φύσιν ἐκ τῶν τριῶν φύσεων συντεθεῖσθαι πρὸς σάρκα· τρεῖς γὰρ φύσεις ἐπὶ τῆς ἁγίας τριάδος μόνος Ἄρειος τολμήσας εἰπεῖν ὡς βλάσφημος κατεκρίθη. Διὰ τοῦτο τοίνυν κατὰ τὸν ὀρθὸν λόγον δύο φύσεων ἕνωσιν λέγομεν, καὶ μίαν ὑπόστασιν. Ἐπειδὴ ὁ τοῦ Θεοῦ υἱὸς κατὰ τὴν ὑπόστασιν ἕτερος

A naturæ intellectu distant, simul dividuntur etiam nomina. Paulum dicentem audi: *Ut Deus Domini nostri Jesu Christi, Pater gloriæ* (*Ephes.* I): Christi quidem Deus, gloriæ autem Pater. Nam etsi utrumque unum est, tamen non natura, sed conventu.» Et sanctus autem Gregorius Nyssenus [Episcopus Nyssæ] in quarto libro contra Eunomium, eadem nos docens, ita scribit: «Et ne aliquis incorruptibili naturæ crucis passionem applicaret, per alia manifestius talem emendat errorem, mediatorem ipsum Dei et hominum (*I Tim.* II), et hominem et Deum ipsum nominans: ut cum duo de uno dicantur, congruum intelligatur circa utrumque, circa deitatem quidem impassibilitas, circa humanitatem autem dispensatio passionis. Intellectu igitur dividente hoc quod per misericordiam B quidem unitum est, ratione autem discernitur, cum hoc quidem, quod superpositum est et supereminens omnem sensum, prædicat, altioribus utitur nominibus, super omnia Deum, et magnum Deum, et virtutem Dei, et sapientiam (*Rom.* X; *Tit.* II; *I Cor.* I), et talia vocans: cum autem passionum experimentum necessario propter nostram infirmitatem acceptum verbis significat, ex nostro nominans utrumque hominem ipsum appellat, non communicans per vocem ad cæteram naturam eum qui significatur, sed ut circa utrumque pietas conservetur.»

His ita demonstratis per sanctorum Patrum doctrinam, cessent qui numerum naturarum quæ in Christo sunt, occasionem sui erroris faciunt, et earum differentiam [ob id differentiam negando, *Græc.*] numeri C recusatione negando, confusionem introducere conantur. Quomodo enim non est necessarius numerus, quo, ad significandam differentiam naturarum quæ in unam subsistentiam unitæ sunt, et non ad divisionem per partes earum, usi sunt Patres? Demonstrato igitur undique, quod impium est dicere unam naturam sive substantiam deitatis et carnis Christi, et illud dicimus, quia nec secundum quod unam subsistentiam dicimus deitatis et humanitatis Christi, sic possibile est et unam naturam Christi dicere: quoniam non idem est natura et subsistentia. Omnes enim sancti Patres consonanter nos docent aliud esse naturam sive substantiam et formam, et aliud subsistentiam sive personam; et naturam quidem vel substantiam et formam, hoc quod est commune, D significare; subsistentiam autem sive personam, hoc quod est speciale. Sin vero dixerint quidam, quod sicut una subsistentia composita dicitur Christi, sic oportet et unam naturam compositam dicere: ostendemus et hoc alienum esse a pietate. Unam enim naturam sive substantiam deitatis dicentes, tres ipsius confitemur [glorificamus, *Græc.*] subsistentias, in unaquaque subsistentia eamdem naturam sive substantiam cognoscentes. Et recte ex tribus subsistentiis unam subsistentiam Verbi ad carnem compositam esse dicimus. Nemo enim unquam ausus est in catholica Ecclesia dicere, quod sicut tres subsistentiæ, sic et tres naturæ sunt sanctæ Trinitatis: ut possibile sit dicere, unam naturam ex tribus naturis compositam esse ad carnem. Tres enim naturas in sancta

ὢν παρὰ τὸν πατέρα, τῆς αὐτῆς δὲ φύσεως ὢν τῷ πατρὶ, ἐν τῇ ἰδίᾳ ὑποστάσει ἐδημιούργησεν ἑαυτῷ σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ, ὅπερ δηλοῖ ἀνθρωπίνῃ φύσει ἑνωθῆναι τὸν τοῦ Θεοῦ λόγον, καὶ οὐχ ὑποστάσει ἤτοι προσώπῳ τοῦδέ τινος· ἔστι τοίνυν ὁ τοῦ Θεοῦ λόγος καὶ σαρκωθεὶς μία ὑπόστασις ἐν ἑκατέρᾳ φύσει γνωριζόμενος, ἐν δὲ τῇ θείᾳ, ἐν ᾗ ὑπῆρχε κατὰ τὸ, — Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, — καὶ ἐν τῇ ἀνθρωπίνῃ κατὰ τὸ, — Ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος. — Καὶ διὰ τοῦτο εὐσεβῶς εἴποι τις ἂν μίαν ὑπόστασιν τοῦ Θεοῦ λόγου σύνθετον, ἤπερ μίαν φύσιν σύνθετον· ἐπειδὴ ὅτε καθ' ἑαυτὴν ἁπλῶς φύσις λέγεται, μὴ προσκειμένου ταύτῃ ἰδικοῦ τινος προσώπου, ἀόριστόν τι, καὶ ἀνυπόστατον δηλοῖ· τὸ δὲ ἀόριστον πρὸς οὐδὲν συντεθῆναι δύναται. Εἰ δέ τις καὶ μετὰ τοὺς τοιούτους λόγους πρὸς φιλονεικίαν μόνην ὁρῶν, ἀντιθεῖναι ἐπιχειρήσει λέγων, ὅτι κατὰ τὸν ἀποδοθέντα τῆς φύσεως λόγον χρὴ καὶ τὴν ἀνθρωπίνην φύσιν τοῦ Χριστοῦ ἰδίαν ὑπόστασιν, ἤτοι πρόσωπον ἴδιον ἔχειν, πρόδηλός ἐστιν ὁ τοιοῦτος, ὅτι προϋποστάντι ἀνθρώπῳ ἑνωθῆναι λέγει τὸν λόγον, καὶ σχετικὴν γεγενῆσθαι τὴν ἕνωσιν. Δύο γὰρ ὑποστάσεων, ἤτοι προσώπων καθ' ὑπόστασιν γενέσθαι ἕνωσιν ἀδύνατον. Ὥστε ὁ ταῦτα λέγων, τὸ δυνατὸν τοῦ Θεοῦ λόγοις ἀνθρωπίνης σοφίας κενῶσαι σπουδάζων, ἀγνοεῖ τὸ μέγα τῆς εὐσεβείας μυστήριον, ὅπερ καρδίᾳ μὲν πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν· οὔτε γὰρ ἡ ἀνθρωπίνη φύσις τοῦ Χριστοῦ ἁπλῶς ποτε λέγεται, ἀλλ' οὔτε ἰδίαν ὑπόστασιν, ἤτοι πρόσωπον ἔσχεν, ἀλλ' ἐν τῇ ὑποστάσει τοῦ λόγου τὴν ἀρχὴν τῆς ὑπάρξεως ἔλαβεν. Ὅθεν αὐτὸν τὸν Θεὸν λόγον ἀτρέπτως ἄνθρωπον γεγενῆσθαι ὁμολογοῦμεν, καὶ οὐκ εἰς ἄνθρωπόν τινα αὐτὸν ἐληλυθέναι· καὶ τοῦ αὐτοῦ Θεοῦ λόγου σαρκωθέντος τὴν ἐκ παρθένου γέννησιν εἶναι, καὶ διὰ τοῦτο θεοτόκον εἶναι τὴν ἁγίαν ἔνδοξον ἀειπάρθενον Μαρίαν. Διὰ τοῦτο καὶ πρὸ τῆς σαρκώσεως τοῦ Θεοῦ λόγου, καὶ μετὰ τὴν αὐτοῦ σάρκωσιν τρεῖς ὑποστάσεις λέγομεν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, τῆς ἁγίας τριάδος τετάρτης ὑποστάσεως, ἤτοι προσώπου προσθήκην μὴ ἐπιδεξαμένης. Ἐκ τούτων τοίνυν πάντων διελέγχονται οἱ λέγοντες πρὸ τῆς ἑνώσεως δύο φύσεις, ὡς προϋποστάντα λέγουσιν ἄνθρωπον, καὶ οὕτως ἑνωθῆναι τῷ Θεῷ λόγῳ, κατὰ τὴν μανίαν Θεοδώρου, καὶ Νεστορίου τῶν ἀσεβῶν· οἱ δὲ λέγοντες μὴ χρῆναι λέγειν μετὰ τὴν ἕνωσιν δύο φύσεις ἐπὶ Χριστοῦ, ἀλλὰ μίαν φύσιν, σύγχυσιν, καὶ φαντασίαν εἰσάγοντες [εἰσάγουσι] κατὰ Ἀπολινάριον, καὶ Εὐτυχέα τοὺς ἀσεβεῖς. Ἀλλ' οὗτοι μὲν ταῦτα. Οἱ δὲ ἅγιοι πατέρες μετὰ τὴν τοῦ λόγου ἐνανθρώπησιν θεωρήσαντες τὰ ἐξ ὧν ὁ Χριστὸς, καὶ ὅτι ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις, ὀρθότατα τὰς δύο φύσεις τήν τε θείαν, καὶ ἀνθρωπίνην ἐν τῷ Χριστῷ εἶναι εἰρήκασιν. Οὔτε γὰρ πρὸ τῆς ἐνανθρωπήσεως δύο φύσεις ἦσαν τοῦ κυρίου, οὐδὲ μετὰ τὴν ἐνανθρώπησιν αἱ δύο μία γεγόνασιν, εἰ καὶ ἐν μιᾷ ὑποστάσει γνωρίζονται.

A Trinitate solus Arius ausus dicere, tanquam blasphemus condemnatus est. Ideo igitur secundum rectam rationem, duarum naturarum dicimus unitionem, et unam subsistentiam: quoniam Dei Filius, cum esset secundum subsistentiam alter præter Patrem, eamdem autem naturam habens Patris, in sua subsistentia plasmavit sibi carnem animatam anima rationali et intellectuali: quod significat, humanæ naturæ unitum esse Deum Verbum, et non subsistentiæ seu personæ cujusdam. Est igitur Deus Verbum et incarnatus, una subsistentia in utraque natura cognoscendus: in divina, in qua erat, prout dictum est, *Qui cum in forma Dei esset* (*Philip.* II); et in humana secundum hoc quod est *in similitudinem hominum factus* (*Ibidem*). Et ideo [pie, *Græc.*] rectius dicat aliquis B unam subsistentiam Dei Verbi compositam, quam unam naturam compositam: quoniam cum per se absolute natura dicitur, non adjecta ei speciali cujusdam persona, infinitum, et non subsistens aliquid significat: infinitum autem ad nihil potest componi. Sin autem aliquis et post tales rationes ad contentionem solam respiciens, opponere conatur, dicens quod secundum redditam naturæ rationem oportet et humanam naturam Christi suam subsistentiam seu personam propriam habere: manifestus est talis, quod ante subsistenti homini unitum esse dicit Deum Verbum, et affectualem factam esse unitatem. Duæ enim subsistentiæ seu personæ secundum subsistentiam uniri non possunt. Qui igitur hæc dicit, Dei potentiam verbis humanæ sapientiæ evacuare festinans, C ignorat magnum pietatis mysterium, quod corde quidem creditur ad justitiam, ore autem confessio fit ad salutem. Neque enim humana Christi natura per se absolute unquam dicitur, sed nec suam subsistentiam seu personam habuit: sed in subsistentia Dei Verbi, natura humana initium [initium existentiæ accepit, *Græc.*] ut esset, habuit: unde ipsum Deum Verbum immutabiliter hominem factum esse confitemur, et non in hominem quemdam venisse; et ejusdem Dei Verbi incarnati esse nativitatem ex virgine, et propter hoc Dei Genitricem sanctam gloriosam semper virginem Mariam esse. Ideo et ante incarnationem Dei Verbi, et post ejus incarnationem, tres subsistentias dicimus Patris, et Filii, et Spiritus sancti. Non enim sancta Trinitas quartæ subsistentiæ vel D personæ adjectionem suscepit. Ex his igitur omnibus convincuntur qui dicunt, ante unitionem duas naturas esse, quod ante plasmatum [subsistentem] dicunt hominem, et sic unitum esse Deo Verbo, secundum insaniam Theodori et Nestorii impiorum. Qui autem dicunt, quod non oportet post unitatem duas naturas in Christo, sed unam dicere, confusionem et phantasiam introducunt secundum Apollinarium et Eutychen impios. Sed isti quidem hæc. Sancti vero Patres, post Dei Verbi incarnationem considerantes ea ex quibus Christus est, et quod inconfusæ manserunt naturæ, rectissime duas naturas, divinam et humanam, in Christo esse dixerunt. Nec enim ante incarnationem duæ naturæ erant Domini, nec post incarnationem duæ naturæ una factæ sunt, licet in una subsistentia cognoscantur.

Ταῦτα δὲ καὶ ἐκ τῶν θείων γραφῶν, καὶ ἐκ τῆς τῶν πατέρων διδασκαλίας διδαχθέντες πρὸς ἀντροπὴν τῶν

Hæc autem et ex divinis Scripturis et Patrum doctrina edocti, ad refutandos eos qui confundunt et

συγχεόντων, καὶ τεμνόντων τὸ τῆς θείας οἰκονομίας μυστήριον, εἰκότως ἐγράψαμεν, καὶ οὐ τῷ σαφηνίζειν τὰ ἐξ ὧν ἐστι, καὶ ἐν οἷς γνωρίζεται ὁ Χριστὸς, σύγχυσιν ἢ διαίρεσιν τῇ θείᾳ οἰκονομίᾳ εἰσάγομεν. Ἀμέλει δοξολογίαν καὶ τὸν τῆς ἑνώσεως λόγον προφέροντες, ἕνα Χριστὸν καὶ υἱὸν καὶ κύριον τὸν τοῦ Θεοῦ λόγον σεσαρκωμένον, καὶ ἐνανθρωπήσαντα ὁμολογοῦμέν τε, καὶ προσκυνοῦμεν σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι. Τούτων οὕτως ὑπὸ τῆς τοῦ Θεοῦ καθολικῆς ἐκκλησίας ὁμολογουμένων, γινώσκειν βουλόμεθα πάντας τοὺς Χριστιανοὺς, ὅτι ὥσπερ ἕνα Θεὸν καὶ κύριον ἔχομεν, οὕτω καὶ μίαν πίστιν. Εἷς γάρ ἐστιν ὅρος πίστεως, τὸ ὁμολογεῖν καὶ ὀρθῶς δοξάζειν πατέρα, καὶ Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ, καὶ ἅγιον πνεῦμα. Ταύτην τὴν ὁμολογίαν φυλάττομεν, εἰς ἣν καὶ ἐβαπτίσθημεν, δωρηθεῖσαν μὲν παρὰ τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, παρ' αὐτῶν δὲ κηρυχθεῖσαν ἐν ὅλῳ τῷ κόσμῳ. Οἱ δὲ τριακόσιοι δέκα καὶ ὀκτὼ πατέρες ἅγιοι οἱ συναχθέντες ἐν Νικαίᾳ κατὰ Ἀρείου, καὶ τοῦτον μετὰ τῆς αὐτοῦ ἀσεβείας καταδικάσαντες, τὴν αὐτὴν ὁμολογίαν, ἢ σύμβολον καὶ [ἅγιον L.] μάθημα τῆς πίστεως παραδεδώκασι τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ· καὶ μετ' ἐκείνους οἱ ἑκατὸν πεντήκοντα ἅγιοι πατέρες οἱ συναχθέντες ἐν Κωνσταντινουπόλει κατὰ Μακεδονίου τοῦ πνευματομάχου, καὶ Μάγνου τοῦ Ἀπολιναριστοῦ, καὶ τούτους καταδικάσαντες μετὰ τῆς αὐτῶν ἀσεβείας, ἀκολουθοῦντές τε κατὰ πάντα τῷ αὐτῷ ἁγίῳ συμβόλῳ τῷ παρὰ τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων παραδοθέντι, ἐτράνωσαν τὰ περὶ τῆς θεότητος τοῦ ἁγίου πνεύματος. Ἔτι δὲ καὶ οἱ ἐν Ἐφέσῳ συναχθέντες τὸ πρότερον ἅγιοι πατέρες κατὰ Νεστορίου τοῦ δυσσεβοῦς, καὶ οἱ ἐν Χαλκηδόνι ἅγιοι πατέρες κατὰ Εὐτυχοῦς τοῦ δυσσεβοῦς, ἀκολουθήσαντες κατὰ πάντα τῷ εἰρημένῳ ἁγίῳ συμβόλῳ, ἤτοι μαθήματι τῆς πίστεως, κατεδίκασαν τοὺς προειρημένους αἱρετικοὺς μετὰ τῆς αὐτῶν ἀσεβείας, καὶ τῶν ὅμοια αὐτοῖς φρονησάντων, ἢ καὶ φρονούντων. Καὶ πρὸς τούτοις ἀνεθεμάτισαν τοὺς ἕτερον ὅρον πίστεως ἤτοι σύμβολον καὶ μάθημα παραδιδόντας τοῖς προσιοῦσι τῷ ἁγίῳ βαπτίσματι, ἢ ἐξ οἱασδήποτε αἱρέσεως ἐπιστρέφουσι παρὰ τὸν παραδοθέντα, ὡς εἴρηται, ὑπὸ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων, καὶ τρανωθέντα ὑπὸ τῶν ἑκατὸν πεντήκοντα ἁγίων πατέρων. Τούτων οὕτως ἐχόντων συνείδομεν καὶ κεφάλαια ὑποτάξαι τήν τε τῆς πίστεως ὀρθὴν ὁμολογίαν ἐν συντόμῳ, τήν τε τῶν αἱρετικῶν κατάκρισιν περιέχοντα.

Εἴ τις οὐχ ὁμολογεῖ πατέρα, καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον, μίαν θεότητα, ἤγουν φύσιν καὶ οὐσίαν, μίαν τε δύναμιν καὶ ἐξουσίαν ἐν τρισὶν ὑποστάσεσιν, ἤγουν προσώποις προσκυνουμένην, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις οὐχ ὁμολογεῖ τὸν πρὸ αἰώνων, καὶ ἀχρόνως ἐκ τοῦ πατρὸς γεννηθέντα Θεὸν λόγον ἐπ' ἐσχάτων τῶν ἡμερῶν [κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ L.] σαρκωθέντα ἐκ τῆς ἁγίας [ἐνδόξου L.] θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ ἄνθρωπον γενόμενον γεννηθέντα ἐξ αὐτῆς, καὶ διὰ τοῦτο τοῦ αὐτοῦ Θεοῦ λόγου εἶναι τὰς δύο γεννήσεις, τήν τε πρὸ αἰώνων ἀσωμάτως, καὶ τὴν ἐπ' ἐσχάτων τῶν ἡμερῶν κατὰ σάρκα, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις λέγει ἄλλον εἶναι τὸν Θεὸν λόγον τὸν θαυματουρ-

A dividunt divinæ dispensationis mysterium, merito scripsimus, et non eo quod declaramus ea ex quibus est, et in quibus cognoscitur Christus, confusionem vel divisionem divinæ dispensationi facimus. Itaque glorificationem et unitionis rationem proferentes, unum Christum et Filium et Dominum, Verbum Dei incarnatum et hominem factum confitemur et adoramus cum Patre et Spiritu sancto. Hæc ita cum universali Dei Ecclesia confitentes [1], scire volumus omnes Christianos, quod sicut unum Deum et Dominum habemus, ita et unam fidem. Una enim definitio fidei est, confiteri et recte glorificare Patrem, et Christum Filium Dei, et Spiritum sanctum. Istam confessionem conservamus, in qua et baptizati sumus, donatam quidem a magno Deo et Salvatore no-
B stro Jesu Christo sanctis suis discipulis et apostolis, ab eis autem prædicatam in toto mundo. Trecenti autem decem et octo sancti Patres collecti in Nicæa adversus Arium, illo cum sua impietate condemnato, eamdem confessionem, id est, sanctum mathema et symbolum fidei tradiderunt sanctæ Dei Ecclesiæ; et post illos, centum quinquaginta sancti Patres Constantinopoli collecti adversus Macedonium sancto Spiritui repugnantem, et Magnum Apollinaristam, illis condemnatis cum sua perfidia, secuti per omnia idem sanctum symbolum traditum a trecentis decem et octo sanctis Patribus, explanaverunt quæ sunt de deitate sancti Spiritus (*Act.* 5). Insuper autem et qui in Epheso prius collecti sunt sancti Patres adversus Nestorium impium, et qui in Chalcedone
C convenerunt sancti Patres adversus Eutychem impium, secuti per omnia prædictum sanctum symbolum sive mathema fidei, condemnaverunt prædictos hæreticos una cum eorum impietate, et hos qui similia illis sapuerunt, vel sapiunt. Et super hæc anathematizaverunt eos qui aliam definitionem fidei, sive symbolum, sive mathema tradunt accedentibus ad sanctum baptisma, vel ex quacunque hæresi conversis, præter traditum (sicut dictum est) a trecentis decem et octo sanctis Patribus, et explanatum a centum quinquaginta sanctis Patribus. His ita se habentibus, perspeximus et capitula supponere, quibus tam rectæ fidei compendiosa confessio, quam hæreticorum condemnatio continetur.

I. Si quis non confitetur Patrem, et Filium, et
D Spiritum sanctum, et Trinitatem consubstantialem, unam deitatem, seu naturam, et substantiam, et unam virtutem et potestatem in tribus subsistentiis seu personis adorandam, talis anathema sit.

II. Si quis non confitetur eum, qui ante sæcula et sine tempore ex Patre natus est, Deum Verbum in ultimis diebus descendisse de cœlis, et incarnatum esse de sancta gloriosa Dei Genitrice et semper virgine Maria, et hominem factum, natum esse ex ipsa, et propter hoc ejusdem Dei Verbi duas esse nativitates, [*Suppl.* æternam scilicet et] eam quæ est in ultimis diebus secundum carnem, talis anathema sit.

III. Si quis dicit alium esse Deum Verbum qui mi-

[1] *Universalis D. e. confiteatur.* Græc. Atque ita ms. codex Bohierii.

γήσαντα, καὶ ἄλλον τὸν Χριστὸν τὸν παθόντα· ἢ τὸν Θεὸν λόγον συνεῖναι τῷ Χριστῷ λέγει γενομένῳ ἐκ γυναικὸς, ἢ ἐν αὐτῷ εἶναι ὡς ἄλλον ἐν ἄλλῳ, ἀλλ' οὐχὶ ἕνα καὶ τὸν αὐτὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ λόγον σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, καὶ τοῦ αὐτοῦ τὰ θαύματα καὶ τὰ πάθη, ἅπερ ἑκουσίως ὑπέμεινε σαρκὶ, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις λέγει κατὰ χάριν, ἢ κατ' ἐνέργειαν, ἢ κατ' ἀξίαν, ἢ κατ' ἰσοτιμίαν, ἢ κατ' αὐθεντίαν, ἢ ἀναφορὰν, ἢ σχέσιν, ἢ δύναμιν, τὴν ἕνωσιν τοῦ Θεοῦ λόγου πρὸς ἄνθρωπον γεγενῆσθαι, ἢ καθ' ὁμωνυμίαν, καθ' ἣν οἱ Νεστοριανοὶ καὶ τὸν Θεὸν λόγον Χριστὸν καλοῦντες, καὶ τὸν ἄνθρωπον κεχωρισμένως Χριστὸν ὀνομάζοντες κατὰ μόνην τὴν προσηγορίαν ἕνα Χριστὸν λέγουσιν· ἢ εἴ τις λέγει κατ' εὐδοκίαν τὴν ἕνωσιν γεγενῆσθαι, καθὼς Θεόδωρος ὁ αἱρετικὸς αὐταῖς λέξεσι λέγει, ὡς ἀρεσθέντος τοῦ Θεοῦ λόγου τῷ ἀνθρώπῳ ἀπὸ τοῦ εὖ καὶ καλὰ δόξαι αὐτῷ περὶ αὐτοῦ, οὐχὶ καθ' ὑπόστασιν τοῦ Θεοῦ λόγου πρὸς τὴν σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ τὴν ἕνωσιν ὁμολογεῖ, καὶ διὰ τοῦτο μίαν αὐτοῦ τὴν ὑπόστασιν σύνθετον, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις κατὰ ἀναφορὰν, ἢ καταχρηστικῶς θεοτόκον λέγει τὴν ἁγίαν ἔνδοξον ἀειπάρθενον Μαρίαν, ἢ ἀνθρωποτόκον, ἢ Χριστοτόκον, ὡς τοῦ Χριστοῦ μὴ ὄντος Θεοῦ, ἀλλὰ μὴ κυρίως καὶ κατ' ἀλήθειαν θεοτόκον αὐτὴν ὁμολογεῖ, διὰ τὸ τὸν πρὸ αἰώνων ἐκ τοῦ πατρὸς γεννηθέντα Θεὸν λόγον ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐξ αὐτῆς σαρκωθῆναι καὶ γεννηθῆναι, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις οὐχ ὁμολογεῖ τὸν ἐσταυρωμένον σαρκὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν Θεὸν εἶναι ἀληθινὸν, καὶ κύριον τῆς δόξης, καὶ ἕνα τῆς ἁγίας τριάδος, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις ἐν δυσὶ φύσεσι λέγων μὴ ὡς ἐν θεότητι καὶ ἐν ἀνθρωπότητι τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ λόγον σαρκωθέντα ὁμολογεῖ, μηδὲ ἐπὶ τῷ σημᾶναι τὴν διαφορὰν τῶν φύσεων, ἐξ ὧν καὶ συνετέθη, ἀλλ' ἐπὶ διαιρέσει τῇ ἀνὰ μέρος τὴν τοιαύτην λαμβάνει φωνὴν ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου· ὡς κεχωρισμένας καὶ ἰδιοϋποστάτους εἶναι τὰς φύσεις, καθὼς Θεόδωρος καὶ Νεστόριος βλασφημοῦσιν, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις ἐπὶ τοῦ ἑνὸς κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τουτέστι τοῦ σαρκωθέντος Θεοῦ λόγου τὸν ἀριθμὸν τῶν φύσεων ὁμολογῶν μὴ τῇ θεωρίᾳ τὴν διαφορὰν τούτων, ἐξ ὧν καὶ συνετέθη, λαμβάνει, ὡς ταύτης οὐκ ἀνῃρημένης διὰ τὴν ἕνωσιν, ἀλλ' ἐπὶ διαιρέσει τῇ ἀνὰ μέρος τῷ ἀριθμῷ κέχρηται, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις λέγων, μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην, οὐχ οὕτως αὐτὸ ἐκλαμβάνει, ὡς ὅτι ἐκ τῆς θείας φύσεως, καὶ τῆς ἀνθρωπίνης εἷς Χριστὸς ἀπετελέσθη ὁμοούσιος τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιος ἡμῖν ὁ αὐτὸς κατὰ τὴν ἀνθρωπότητα, ἀλλ' ὅτι τῆς θεότητος, καὶ τῆς σαρκὸς τοῦ Χριστοῦ μία φύσις, ἤτοι οὐσία ἀπετελέσθη, κατὰ τὴν Ἀπολιναρίου καὶ Εὐτυχοῦς κακοπιστίαν, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

A racula operatus est, et alium Christum qui passus est, aut dicit Deum Verbum cum Christo esse nascente ex muliere, vel in ipso esse tanquam alterum in altero, sed non unum eumdemque Dominum nostrum Jesum Christum, Deum Verbum incarnatum et hominem factum, et ejusdem ipsius miracula et passiones, quas carne sponte sustinuit, talis anathema sit.

IV. Si quis dicit, secundum gratiam, vel secundum operationem, vel secundum dignitatem, vel secundum æqualitatem honoris, vel secundum auctoritatem, vel relationem, vel affectum, vel virtutem, unitionem Dei Verbi ad hominem factam esse, vel secundum homonymiam, per quam Nestoriani et Deum Verbum vocantes Christum, et hominem separatim Christum nominantes, solo vocabulo unum Christum dicunt: aut si quis per bonam voluntatem dicit unitionem factam esse, sicut Theodorus hæreticus ipsis verbis dicit, quasi placuerit Deo Verbo homo, eo quod bene visum est ei de ipso, sed non secundum subsistentiam Dei Verbi ad carnem animatam anima rationali et intellectuali unitionem confitetur, et ideo unam ejus subsistentiam compositam esse, talis anathema sit.

B

V. Si quis per relationem, aut abusive, Dei genitricem dicit sanctam gloriosam semper virginem Mariam, aut hominis genitricem, aut Christotocon, tanquam Christo Deo non existente, sed non proprie et vere Dei genitricem ipsam confitetur, eo quod ipse qui ante sæcula ex Patre natus est Deus Verbum, in ultimis diebus ex ipsa incarnatus et natus est, talis anathema sit.

C

VI. Si quis non confitetur Dominum nostrum Jesum Christum qui carne crucifixus est, Deum esse verum, et Dominum gloriæ, et unum de sancta Trinitate, talis anathema sit.

VII. Si quis in duabus naturis dicens non tanquam in deitate et humanitate unum Dominum nostrum Jesum Christum, Deum Verbum incarnatum confitetur, nec ad significandam differentiam naturarum, ex quibus compositus est, sed pro divisione per partem, talem excipit vocem in mysterio Christi, quasi separatim unaquaque natura suam habente subsistentiam, sicut Theodorus et Nestorius blasphemaverunt, talis anathema sit.

D

VIII. Si quis in uno Domino Jesu Christo, hoc est Deo Verbo incarnato, numerum confitens naturarum, non intellectu differentiam earum, ex quibus et compositus est, excipit, ut pote non interemptam propter unitatem, sed pro divisione per partem numero utitur, talis anathema sit.

IX. Si quis dicens unam naturam Dei Verbi incarnatam, non sic hoc intelligit, quod ex divina natura et humana unus Christus effectus est, consubstantialis Patri secundum deitatem, et consubstantialis nobis idem ipse secundum humanitatem, sed quod deitatis et carnis Christi una natura sive substantia effecta est secundum Apollinarii et Eutychetis perfidiam, talis anathema sit.

Ἐπίσης γὰρ καὶ τοὺς ἀνὰ μέρος διαιροῦντας, ἤτοι τέμνοντας, καὶ τοὺς συγχέοντας τὸ τῆς θείας οἰκονομίας μυστήριον τοῦ Χριστοῦ ἀποστρέφεται, καὶ ἀναθεματίζει ἡ καθολικὴ ἐκκλησία.

Εἴ τις μὴ ἀναθεματίζει Ἄρειον, Εὐνόμιον, Μακεδόνιον, Ἀπολινάριον, Νεστόριον, Εὐτυχέα, καὶ τοὺς τὰ ὅμοια τούτοις φρονοῦντας, ἢ φρονήσαντας, ἀνάθεμα ἔστω.

Εἴ τις ἀντιποιεῖται Θεοδώρου τοῦ Μοψουεστίας τοῦ εἰπόντος, ἄλλον εἶναι τὸν Θεὸν λόγον, καὶ ἄλλον τὸν Χριστὸν, ὑπὸ παθῶν ψυχῆς καὶ τῶν τῆς σαρκὸς ἐπιθυμιῶν ἐνοχλούμενον, καὶ ἐκ προκοπῆς ἔργων βελτιωθέντα, καὶ βαπτισθέντα εἰς ὄνομα πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος, καὶ διὰ τοῦ βαπτίσματος τὴν χάριν τοῦ ἁγίου πνεύματος λαβεῖν, καὶ υἱοθεσίας ἀξιωθῆναι, καὶ κατ' ἰσότητα βασιλικῆς εἰκόνος εἰς πρόσωπον τοῦ Θεοῦ λόγου προσκυνούμενον, καὶ μετὰ τὴν ἀνάστασιν ἄτρεπτον ταῖς ἐννοίαις, καὶ ἀναμάρτητον παντελῶς γενόμενον· καὶ πάλιν εἰρηκότος τὴν ἕνωσιν τοῦ Θεοῦ λόγου πρὸς τὸν Χριστὸν τοιαύτην γεγενῆσθαι, οἵαν εἶπεν ὁ ἀπόστολος ἐπὶ ἀνδρὸς καὶ γυναικός· « Ἔσονται οἱ δύο εἰς σάρκα μίαν. » Καὶ πρὸς ταῖς ἄλλαις ἀναριθμήτοις αὐτοῦ βλασφημίαις τολμήσαντος εἰπεῖν, ὅτι μετὰ τὴν ἀνάστασιν ἐμφυσήσας ὁ κύριος τοῖς μαθηταῖς, καὶ εἰπὼν, « Λάβετε πνεῦμα ἅγιον, » οὐ δέδωκεν αὐτοῖς πνεῦμα ἅγιον, ἀλλὰ σχήματι μόνον ἐνεφύσησεν. Οὗτος δὲ καὶ τὴν ὁμολογίαν Θωμᾶ, τὴν ἐπὶ τῇ ψηλαφήσει τῶν χειρῶν καὶ τῆς πλευρᾶς τοῦ κυρίου μετὰ τὴν ἀνάστασιν, λέγων τὸ, « Ὁ κύριός μου καὶ Θεός μου, » εἶπε μὴ εἰρῆσθαι περὶ τοῦ Χριστοῦ παρὰ τοῦ Θωμᾶ, οὐδὲ γὰρ εἶναι λέγει τὸν κύριον Θεὸν, ἀλλ' ἐπὶ τῷ παραδόξῳ τῆς ἀναστάσεως ἐκπλαγέντα τὸν Θωμᾶν ὑμνῆσαι τὸν Θεὸν τὸν ἐγείραντα τὸν Χριστόν. Τὸ δὲ χεῖρον, ὅτι καὶ ἐν τῇ τῶν πράξεων τῶν ἀποστόλων γενομένῃ παρ' αὐτοῦ δῆθεν ἑρμηνείᾳ συγκρίνων ὁ αὐτὸς Θεόδωρος τὸν Χριστὸν Πλάτωνι, καὶ Μανιχαίῳ, καὶ Ἐπικούρῳ, καὶ Μαρκίωνι, λέγει, ὅτι ὥσπερ ἐκείνων ἕκαστος εὑράμενος οἰκεῖον δόγμα τοὺς αὐτῷ μαθητεύσαντας πεποίηκε καλεῖσθαι Πλατωνικοὺς, καὶ Μανιχαίους, καὶ Ἐπικουρείους, καὶ Μαρκιωνιστὰς, τὸν ὅμοιον τρόπον καὶ τοῦ Χριστοῦ εὑραμένου τὸ δόγμα, ἐξ αὐτοῦ τοὺς Χριστιανοὺς καλεῖσθαι. Εἴ τις τοίνυν ἀντιποιεῖται Θεοδώρου τοῦ τὰ τοιαῦτα βλασφημήσαντος, ἀλλὰ μὴ ἀναθεματίζει αὐτὸν, καὶ τὰ αὐτοῦ συγγράμματα, καὶ τοὺς τὰ ὅμοια αὐτῷ φρονοῦντας, ἢ φρονήσαντας, ἀνάθεμα ἔστω.

Εἴ τις ἀντιποιεῖται τῶν συγγραμμάτων Θεοδωρίτου, ἅπερ ἐξέθετο ὑπὲρ Νεστορίου τοῦ αἱρετικοῦ, καὶ κατὰ τῆς ὀρθῆς πίστεως, καὶ τῆς ἐν Ἐφέσῳ πρώτης ἁγίας συνόδου, καὶ τοῦ ἐν ἁγίοις Κυρίλλου, καὶ τῶν ιβ' αὐτοῦ κεφαλαίων, ἐν οἷς ἀσεβέσι συγγράμμασι σχετικὴν λέγει τὴν ἕνωσιν τοῦ Θεοῦ λόγου πρός τινα ἄνθρωπον· περὶ οὗ βλασφημῶν λέγει, ὅτι ἐψηλάφησε Θωμᾶς τὸν ἀναστάντα, καὶ προσεκύνησε τὸν ἐγείραντα, καὶ διὰ τοῦτο ἀσεβεῖς καλεῖ τοὺς τῆς ἐκκλησίας διδασκάλους, τοὺς καθ' ὑπόστασιν τὴν ἕνωσιν τοῦ Θεοῦ λόγου πρὸς τὴν σάρκα ὁμολογοῦντας· καὶ πρὸς τούτοις θεοτόκον ἀπαρνεῖται τὴν ἁγίαν ἔνδοξον ἀειπάρθενον Μαρίαν. Εἴ τις τοίνυν τὰ εἰρημένα συγγράμματα Θεοδωρίτου ἐπαινεῖ, ἀλλὰ μὴ ἀναθεματίζει αὐτὰ, ἀνάθεμα ἔστω· διὰ ταύτας γὰρ τὰς βλασφημίας τῆς ἐπισκοπῆς ἐξεβλήθη, καὶ μετὰ ταῦτα ἐν τῇ ἁγίᾳ συν-

A X. Æqualiter enim et eos qui per partem incidunt vel dividunt, et eos qui confundunt divinæ dispensationis mysterium Christi, rejicit et condemnat universalis Dei Ecclesia.

Si quis non anathematizat Arium, Eunomium, Macedonium, Apollinarium, Nestorium, Eutychem, et eos qui similiaeissapuerunt vel sapiunt, talis anathema sit.

XI. Si quis defendit Theodorum Mopsuestenum, qui dixit alium esse Deum Verbum, et alium Christum a passionibus animæ et desideriis carnis molestias patientem, et ex profectu operum melioratum, et baptizatum in nomine Patris, et Filii, et Spiritus sancti, et per baptisma gratiam sancti Spiritus accepisse, et affiliationem meruisse, et ad similitudinem B imperialis imaginis in personam Dei Verbi adorari [adoratum], et post resurrectionem immutabilem cogitationibus, et impeccabilem omnino factum fuisse; et iterum dixit talem factam esse unitionem Dei Verbi ad Christum, qualem dixit Apostolus de viro et muliere : *Erunt duo in carne una* (*Eph.* v) : et super alias suas innumerabiles blasphemias ausus est dicere, quod post resurrectionem cum insufflasset Dominus discipulis suis, et dixisset : *Accipite Spiritum sanctum* (*Joan.* xx) : non dedit eis Spiritum sanctum, sed figuratim tantummodo insufflavit : sed et [Hic autem etiam *Gr.*] confessionem, quam fecit Thomas cum palpasset manus et latus Domini post resurrectionem, dicens, *Dominus meus et Deus meus* (*Ibidem*), inquit non esse dictam a Thoma de C Christo (nec enim dixit Theodorus Deum esse Christum), sed ad miraculum resurrectionis stupefactum Thomam glorificasse Deum, qui Christum resuscitavit : et quod pejus est, etiam in interpretatione quam in Actus apostolorum scripsit Theodorus, similem fecit Christum Platoni, et Manichæo, et Epicuro, et Marcioni, dicens quod sicut illorum unusquisque ex dogmate quod invenit, suos discipulos fecit vocari Platonicos, et Manichæos, et Epicureos, et Marcionistas, simili modo et cum Christus dogma invenisset, ex ipso Christianos vocari. Si quis igitur defendit eumdem Theodorum, qui talia blasphemavit, et non anathematizat eum, et ejus conscripta, et eos qui similia illi sapuerunt, vel sapiunt, talis anathema sit.

D XII. Si quis defendit conscripta Theodoreti quæ exposuit pro Nestorio hæretico adversus rectam fidem, et Ephesinam primam sanctam synodum, et S. Cyrillum, et duodecim ejus capitula, in quibus sceleratis conscriptis idem Theodoretus affectualem dicit unitatem Dei Verbi ad hominem quemdam, de quo blasphemans dixit, quod palpavit Thomas eum qui resurrexit, et adoravit eum qui resuscitavit; et propter hoc impios vocat doctores Ecclesiæ qui unitatem secundum subsistentiam Dei Verbi ad carnem confitentur; et super hæc Dei Genitricem abnegat sanctam et gloriosam semper virginem Mariam. Si quis igitur memorata conscripta Theodoreti defendit, et non anathematizat ea, talis anathema sit. Propter tales enim blasphemias ab episcopatu

όδῳ τῇ ἐν Χαλκηδόνι συνωθήθη πάντα τὰ ἐναντία τοῖς μνημονευθεῖσιν αὐτοῦ συγγράμμασι ποιῆσαι, καὶ τὴν ὀρθὴν πίστιν ὁμολογῆσαι.

Εἴ τις ἀντιποιεῖται τῆς ἀσεβοῦς ἐπιστολῆς τῆς λεγομένης παρὰ Ἴβα γεγράφθαι πρὸς Μάριν τὸν Πέρσην τὸν αἱρετικὸν, τῆς ἀρνουμένης τὸν Θεὸν λόγον ἄνθρωπον γεγενῆσθαι, καὶ λεγούσης μὴ τὸν Θεὸν λόγον ἐκ τῆς παρθένου σαρκωθέντα γεννηθῆναι, ἀλλὰ ψιλὸν ἄνθρωπον ἐξ αὐτῆς γεννηθῆναι, ὃν ναὸν ἀποκαλεῖ, ὡς ἄλλον εἶναι τὸν Θεὸν λόγον, καὶ ἄλλον τὸν ἄνθρωπον· πρὸς τούτοις δὲ ἐνυβριζούσης τὴν ἐν Ἐφέσῳ πρώτην σύνοδον, ὡς χωρὶς ζητήσεως καὶ κρίσεως Νεστόριον καταδικασάσης, καὶ τὸν ἐν ἁγίοις Κύριλλον αἱρετικὸν ἀποκαλούσης, καὶ ἀσεβῆ τὰ ιβʹ αὐτοῦ κεφάλαια· Νεστόριον δὲ καὶ Θεόδωρον μετὰ τῶν αὐτοῦ ἀσεβῶν συγγραμμάτων ἐπαινούσης, καὶ ἐκδικούσης. Εἴ τις τοίνυν τὴν εἰρημένην ἀσεβῆ ἐπιστολὴν ἐκδικεῖ, ἢ ὀρθὴν αὐτὴν εἶναι λέγει, ἢ μέρος αὐτῆς, ἀλλὰ μὴ ἀναθεματίζει αὐτὴν, ἀνάθεμα ἔστω.

Τῆς τοιαύτης τοίνυν ἐπιστολῆς δικαίως ἀναθεματισθείσης διὰ τὰς περιεχομένας ἐν αὐτῇ βλασφημίας, οἱ τὰ Νεστορίου, ἢ Θεοδώρου ἀσεβῶς φρονοῦντες ἐπιχειροῦσι λέγειν ταύτην δεδέχθαι παρὰ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου, τοῦτο δὲ λέγουσι τὴν μὲν ἁγίαν σύνοδον συκοφαντοῦντες, τῷ δὲ ταύτης προσχήματι σπουδάζοντες τῆς ὀφειλομένης κατακρίσεως ἐλευθερῶσαι Θεόδωρον καὶ Νεστόριον, καὶ τὴν ἀσεβῆ ἐπιστολὴν, περὶ ἧς Ἴβας πολλάκις κατηγορηθεὶς οὐκ ἐτόλμησεν οἰκειώσασθαι διὰ τὰς περιεχομένας ἐν αὐτῇ βλασφημίας. Καὶ ταῦτα ἀποδείξομεν ἐκ τῶν διαφόρως περὶ τούτου κεκινημένων. Ἐν γὰρ τοῖς παρὰ Φωτίου, καὶ Εὐσταθίου πεπραγμένοις ἐν Τύρῳ κατηγορουμένος ὁ προλεχθεὶς Ἴβας περὶ τῶν ὕβρεων τοῦ ἐν ἁγίοις Κυρίλλου φανερῶς κατέθετο, μετὰ τὴν ἕνωσιν τῶν ἀνατολικῶν πρὸς τὸν ἐν ἁγίοις Κύριλλον μηδὲν ὕβρεως ἐχόμενον εἰρηκέναι περὶ αὐτοῦ· ἡ δὲ ἐπιστολὴ ἡ πεπληρωμένη τῶν εἰρημένων βλασφημιῶν, ἐφ' αἷς κατηγορεῖται Ἴβας, πολλὰς κατὰ τοῦ ἐν ἁγίοις Κυρίλλου περιέχουσα παρίστησιν, ὅτι μετὰ τὴν ἕνωσιν τὴν πρὸς τοὺς ἀνατολικοὺς γέγονεν, ἐξ οὗ δείκνυται Ἴβας ἀπαρνησάμενος ταύτην. Ὅθεν οἱ μνημονευθέντες Φώτιος, καὶ Εὐστάθιος διὰ τὴν τῶν ἐγκαλούντων πληροφορίαν ἐγγράφως διετύπωσαν, τὸν εἰρημένον Ἴβαν πάντα τὰ ἐναντία τῇ ἐπιστολῇ πρᾶξαι, καθὼς ἡ περὶ τούτου δοθεῖσα παρ' αὐτῶν ἐπίκρισις δείκνυσιν. Ἀλλὰ μὴ πληρώσας Ἴβας τὰ παρ' ἐκείνων ἐπικριθέντα ἐξεβλήθη τῆς ἐπισκοπῆς διὰ τὰς βλασφημίας τῆς εἰρημένης ἐπιστολῆς, καὶ Νόννος ἀντ' αὐτοῦ ἐχειροτονήθη, ὃς καὶ συνεκαθέσθη τῇ ἁγίᾳ ἐν Χαλκηδόνι συνόδῳ. Περὶ τῶν αὐτῶν τοίνυν καὶ ἐν Χαλκηδόνι κατηγορηθεὶς ὁ μνημονευθεὶς Ἴβας μετὰ τὴν ἀνάγνωσιν τῆς ἀσεβοῦς ἐπιστολῆς οὐκ ἐτόλμησε ταύτην οἰκειώσασθαι, ἀλλ' εὐθὺς αὐταῖς λέξεσιν ἐπήγαγεν, ὅτι ἀλλότριός εἰμι τῶν ἐπαγομένων μοι. Ὅθεν ἡ ἁγία σύνοδος, μὴ ἀρκεσθεῖσα τῇ ἀρνήσει Ἴβα τῇ ἐπὶ τῇ ἀσεβεῖ ἐπιστολῇ συνώθησεν αὐτὸν τἀναντία ταύτῃ πρᾶξαι, τουτέστι τὴν ἐν αὐτῇ ἀθετουμένην πίστιν ὀρθὴν ὁμολογῆσαι, καὶ τὴν ἁγίαν ἐν Ἐφέσῳ πρώτην σύνοδον δέξασθαι, καὶ τὸν ἐν ἁγίοις Κύριλλον πατέρα καὶ διδάσκαλον ἐπιγράψασθαι, τὰ ἐν τῇ ἀσεβεῖ ἐπιστολῇ ὑβριζόμενα· καὶ Νεστόριον καὶ τὸ ἀσεβὲς αὐτοῦ δόγμα ἀναθεματίσαι. Ἅπερ ἡ ἀσεβὴς ἐπιστολὴ ἐπαινεῖ καὶ ἐκδικεῖ. Εἰ τοίνυν καὶ αὐτὸς Ἴβας διαφόρως κατηγορηθεὶς περὶ τῆς ἀσεβοῦς ἐπιστολῆς, οὐκ ἐτόλμησεν αὐτὴν οἰκειώσασθαι, ἀλλὰ καὶ

A dejectus est, et postea in sancto Chalcedonensi concilio compulsus est omnia contraria memoratis suis conscriptis facere, et rectam fidem confiteri.

XIII. Si quis defendit impiam epistolam quam ad Marim Persam hæreticum Ibas scripsisse dicitur, quæ abnegat Deum Verbum hominem factum esse, et dicit non Deum Verbum ex virgine incarnatum, natum esse, sed purum hominem ex ipsa esse natum, quem templum vocat, ut alius sit Deus Verbum, et alius homo; et super hæc injuriat Ephesinam primam synodum, quasi sine inquisitione et examinatione ab ipsa Nestorio condemnato, et sanctum Cyrillum vocat hæreticum, et duodecim ejus capitula impia dicit, Nestorium autem et Theodorum cum impiis eorum conscriptis collaudat et defendit. Si quis igitur, sicut dictum est, eamdem ipsam epistolam vindicat, vel rectam esse dicit ipsam vel partem B ipsius, sed non anathematizat eam, anathema sit.

Tali ergo impia epistola juste anathematizata propter insertas ei blasphemias, Theodori et Nestorii impiorum sequaces conantur dicere, susceptam esse eam a sancto Chalcedonensi concilio. Hoc autem dicunt, sanctam quidem Chalcedonensem synodum calumniantes, nomine autem ejus festinantes debita condemnatione liberare Theodorum, et Nestorium, et impiam epistolam, pro qua Ibas sæpius accusatus, non est ausus eam suam dicere propter insertas ei blasphemias. Et hæc demonstrabimus ex his quæ diverse de ista causa mota sunt. In his enim quæ apud Photium et Eustathium [a Photio et Eustathio] Tyri acta sunt, cum accusaretur prædictus Ibas de C injuriis S. Cyrilli, manifeste confessus est, post unitatem Orientalium, quæ ad sanctæ memoriæ Cyrillum facta est, nihil injuriosum de eo dixisse. Epistola autem plena prædictis blasphemiis, pro quibus accusabatur Ibas, multas contra S. Cyrillum injurias continens, facta esse ostenditur post unitatem ad Orientales factam, ex quo demonstratur Ibas eam abnegasse. Unde prædicti Photius et Eustathius satisfacientes accusatoribus in scriptis definierunt, prædictum Ibam omnia contraria epistolæ peragere, sicut judicium ab eis de hoc datum significat. Sed cum Ibas non adimplesset ea quæ illi judicaverunt, ejectus est ab episcopatu propter blasphemias prædictæ epistolæ, et Nonnus pro illo ordinatus est, qui et consedit in sancto Chalcedonensi D concilio. De eisdem igitur etiam Chalcedone accusatus memoratus Ibas, post lectionem impiæ epistolæ non est ausus eam suam esse confiteri, sed statim ipsis verbis intulit, alienum se esse eorum quæ ei inferebantur. Unde sancta synodus, cum ei non sufficeret abnegatio Ibæ, quæ facta est de impia epistola, compulit eum contraria ei peragere, id est reprobatam in ea rectam fidem confiteri, et Ephesinam primam sanctam synodum suscipere, et sanctum Cyrillum Patrem et doctorem ascribere quæ, in eadem impia epistola injuriantur, et Nestorium impiumque ejus dogma anathematizare, quæ et impia epistola defendit et collaudat. Si igitur et ipse Ibas propter impiam epistolam sæpius accusatus, non est ausus eam suam

ἡ ἁγία ἐν Χαλκηδόνι σύνοδος πάντα τὰ ἐναντία ταύτης παρεσκεύασεν αὐτὸν πρᾶξαι, πῶς εἶχεν ἡ αὐτὴ ἁγία σύνοδος τὴν εἰρημένην ἐπιστολὴν δέξασθαι, καὶ τῷ κρίματι τῆς περιεχομένης αὐτῇ ἀσεβείας ὑποπεσεῖν, ἀφ' ἧς Ἴβαν ἐλευθερῶσαι ἐσπουδάσεν; ἐπειδὴ δὲ πάσας ὑπερβαίνοντες τὰς περιεχομένας τῇ ἐπιστολῇ βλασφημίας οἱ αἱρετικοί, τοῦτο μόνον ἐξ αὐτῆς προφέρουσι τὸ πρὸς ἀπάτην τῶν ἁπλουστέρων παρὰ τοῦ τὴν ἐπιστολὴν γράψαντος εἰρημένον, τουτέστι δύο φύσεις, μίαν δύναμιν, ἓν πρόσωπον, ἀποδείξομεν αὐτὸν, καὶ ἐν τούτῳ τὴν ἰδίαν ἀσέβειαν παραμιγνῦντα. Τίνος γὰρ ἂν λέγοι δύο φύσεις, καὶ ἓν πρόσωπον ὁ ἀπαρνούμενος τὸν Θεὸν λόγον σαρκωθῆναι ἐκ τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ τεχθῆναι ἐξ αὐτῆς; ἀλλὰ πρόδηλον ὡς ἑκάστῃ φύσει ἴδιον πρόσωπον ἀπονέμει, καθὼς Θεόδωρος καὶ Νεστόριος ἐν τοῖς ἰδίοις λόγοις βλασφημοῦντες ἐξέθεντο, οὓς καὶ ἐκδικεῖ ὁ γράψας τὴν ἐπιστολὴν μετὰ τῆς αὐτῶν ἀσεβείας. Ἐκεῖνοι γὰρ φανερῶς λέγουσι δύο πρόσωπα τοῦ Θεοῦ λόγου, καὶ τοῦ Χριστοῦ, ὃν ψιλὸν ἄνθρωπον ἀποκαλοῦσι. Κατὰ σχετικὴν δὲ συνάφειαν, καὶ τὴν αὐτὴν ἀξίαν τε καὶ τιμὴν ἓν πρόσωπον ἀναφαίνεσθαι λέγουσιν. Ἀλλὰ καὶ τῶν δύο φύσεων μίαν δύναμιν, ἤτοι δυναστείαν λέγων ὁ γράψας τὴν ἐπιστολὴν φανερός ἐστιν, ὡς καὶ ἐν τούτῳ ἀκολουθεῖ τοῖς εἰρημένοις αἱρετικοῖς, Θεοδώρῳ μὲν λέγοντι ἐν τοῖς περὶ ἐνανθρωπήσεως αὐτοῦ διαφόροις λόγοις ἀσεβῶς ἐκτεθεῖσι, Νεστορίῳ δὲ ἐν πολλοῖς συγγράμμασι, μάλιστα δὲ ἐν τῇ ἐπιστολῇ τῇ γραφείσῃ πρὸς Ἀλέξανδρον τὸν αἱρετικὸν Ἱεραπολίτην, ὅτι τῶν δύο φύσεων μία ἐστὶν αὐθεντία, καὶ μία δύναμις, ἤτοι δυναστεία καὶ ἓν πρόσωπον κατὰ μίαν ἀξίαν, καὶ τὴν αὐτὴν τιμήν. Ἀφ' ὧν ἀποδείκνυται ὁ τὴν ἐπιστολὴν γράψας κατὰ τὴν ἐκείνων κακοδοξίαν ἀντὶ προσώπων τῇ τῶν φύσεων προσηγορίᾳ χρησάμενος. Μία γὰρ αὐθεντία, καὶ μία δύναμις ἤτοι δυναστεία, καὶ μία ἀξία, καὶ ἡ αὐτὴ τιμὴ οὐκ ἐπὶ διαφόρων φύσεων, ἀλλ' ἐπὶ διαφόρων προσώπων καὶ τῆς αὐτῆς οὐσίας λέγεται, ὅπερ ἐπὶ τῆς ἁγίας τριάδος ὁμολογοῦμεν. Ὅθεν καὶ οἱ ἅγιοι πατέρες ἀνεθεμάτισαν τοὺς κατ' αὐθεντίαν, ἢ δύναμιν, ἤτοι δυναστείαν, ἢ ἀξίαν, ἢ ἰσοτιμίαν λέγοντας τὸν Θεὸν λόγον τῷ Χριστῷ ἡνῶσθαι, ὃν ψιλὸν ἄνθρωπον οἱ ἀπὸ Θεοδώρου καὶ Νεστορίου καλοῦσιν, ἀλλ' οὐχὶ καθ' ὑπόστασιν τὴν τοῦ λόγου πρὸς τὴν σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ τὴν ἕνωσιν γεγενῆσθαι ὁμολογοῦντας.

A dicere, sed etiam Chalcedonense sanctum concilium omnia ei contraria compulit eum peragere: quomodo eadem sancta synodus memoratam epistolam susciperet, et condemnationi impietatis quæ in ea continetur, sese subjiceret, a qua Ibam liberare festinavit? Quoniam autem omnes blasphemias epistolæ prætermittentes hæretici, hoc solum ex ipsa proferunt, quod ad decipiendos simpliciores scriptor epistolæ dixit, hoc est, duas naturas, unam virtutem, unam personam; demonstrabimus quod ipse etiam in hoc suam commiscuit impietatem. Cujus enim diceret duas naturas et unam personam, qui abnegat Deum Verbum incarnatum de sancta et gloriosa Dei Genitrice et semper virgine Maria, et natum esse ex ipsa? Sed certum est, quod unicuique naturæ suam personam attribuit, sicut Theodorus et Nestorius in suis libris B blasphemantes exposuerunt, quos defendit scriptor epistolæ cum eorum impietate. Illi enim aperte dicentes duas personas Dei Verbi et Christi, quem purum hominem vocant, per affectualem conjunctionem, et per eamdem dignitatem et honorem unam personam apparere dicunt; sed et duarum naturarum unam virtutem sive potentiam dicens scriptor epistolæ, manifestus est quod et in hoc memoratos hæreticos sequitur, Theodorum quidem dicentem in diversis libris de incarnatione impie expositis, Nestorium autem in multis quidem scriptis, et maxime in epistola scripta ad Alexandrum Hierapolitanum hæreticum, quod duarum naturarum una est auctoritas, et una virtus, sive potentia, et una persona [secun- C dum unam] per dignitatem eumdemque honorem: ex quo ostenditur, qui scripsit epistolam, secundum illorum perfidiam pro personis usus vocabulo naturarum. Una enim auctoritas, et una virtus sive potentia, et una dignitas et idem honor, non in diversis naturis, sed in diversis personis ejusdem substantiæ dicitur, quod in sancta Trinitate confitemur. Unde et sancti Patres anathematizaverunt eos qui per auctoritatem, aut virtutem, sive potentiam, aut dignitatem, aut æqualitatem honoris, dicunt Deum Verbum unitum esse Christo; quem purum hominem vocant Theodori et Nestorii sequaces, sed non secundum subsistentiam Dei Verbi ad carnem animatam anima rationali et intellectuali, unitatem factam esse confitentur.

Καὶ ἤρκει μὲν ταῦτα πρὸς τὸ διελέγξαι τὴν ἀσέβειαν τῶν ἐκδικούντων τὴν μυσαρὰν ἐκείνην ἐπιστολήν. Πλὴν ὅμως καὶ πρὸς τῷ τέλει τῆς αὐτῆς ἐπιστολῆς ὁ ταύτην γράψας τὴν ἰδίαν δείκνυσι κακοδοξίαν λέγων, ὅτι δεῖ πιστεύειν εἰς τὸν ναὸν καὶ εἰς τὸν ἐνοικοῦντα ἐν τῷ ναῷ, ἐν οἷς φανερῶς δύο εἰσάγει πρόσωπα. Ἀλλὰ καὶ ταύτην τὴν ἀσέβειαν ὁ γράψας τὴν ἐπιστολὴν παρὰ Θεοδώρου, καὶ Νεστορίου ἐδιδάχθη. Ἡ μέντοι καθολικὴ ἐκκλησία τὴν τοιαύτην κακοδοξίαν κατακρίνουσα οὐχὶ εἰς τὸν ναὸν καὶ εἰς τὸν ἐνοικοῦντα ἐν τῷ ναῷ, ἀλλ' εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ λόγον σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα ὁμολογεῖν, καὶ πιστεύειν παραδίδωσιν. Οὐδὲν δὲ θαυμαστὸν, εἰ τῇ τῶν φύσεων ὀνομασίᾳ ἐχρήσατο ὁ τὴν ἀσεβῆ ἐκείνην ἐπιστολὴν γράψας· ἔθος γὰρ τοῖς αἱρετικοῖς πρὸς ἀπάτην τῶν ἁπλουστέρων ταῖς παρὰ τῶν ὀρθοδόξων εὐσεβῶς λεγομέναις φωναῖς κεχρῆσθαι, καὶ τὴν εὐ-

Et hæc quidem sufficiebant ad convincendam impietatem eorum qui sceleratam epistolam vindicant: D tamen et in fine scriptor ejusdem epistolæ ostendit suam perfidiam, dicendo quod oportet credere in templum, et in eum qui habitat in templo: per quæ aperte duas introducit personas. Sed et istam impietatem a Theodoro et Nestorio scriptor epistolæ edoctus est. Catholica autem Ecclesia talem condemnans perfidiam, non in templum, et in eum qui habitat in templo, sed in unum Dominum nostrum Jesum Christum, Dei Verbum incarnatum et hominem factum confiteri et credere tradit. Nihil autem mirandum est, si vocabulo naturarum usus est scriptor illius impiæ epistolæ. Solent enim hæretici, ut simpliciores decipiant, vocibus quidem uti quæ ab orthodoxis pie dicuntur, rectum autem earum intellectum

εἰδῆ τούτων ἔννοιάν τε καὶ ἐξήγησιν πρὸς τὴν οἰκείαν μεταφέρειν ἀσέβειαν· ἐπειδή ἐστιν ὅτε αἱ αὐταὶ φωναὶ καλῶς μὲν ἐξηγούμεναι, καὶ νοούμεναι, μετὰ τῆς εὐσεβείας εἰσί, κακῶς δὲ παρὰ τῶν αἱρετικῶν ἑρμηνευόμεναι, καὶ προφερόμεναι τὸ ἀσεβὲς ἔχουσιν· ἀμέλει Νεστόριον εἰπόντα μὲν δύο φύσεις καὶ ἓν πρόσωπον, μὴ ὁμολογοῦντα δὲ τούτων τὴν καθ' ὑπόστασιν ἕνωσιν, ἡ ἐν Ἐφέσῳ πρώτη ἁγία σύνοδος, ἧς ἐξῆρχον Κελεστῖνος καὶ Κύριλλος οἱ ἐν ὁσίᾳ τῇ μνήμῃ, οὐ προσεδέξατο, ἀλλὰ καὶ κατεδίκασεν. Ἡμεῖς δὲ τῇ τῶν ἁγίων πατέρων διδασκαλίᾳ διὰ πάντων ἀκολουθοῦντες, καὶ τὴν τῶν δύο φύσεων ἕνωσιν, ἐξ ὧν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ εἷς τῆς ἁγίας τριάδος, ὁ Θεὸς λόγος σαρκωθεὶς συνετέθη, καὶ τὴν τούτων διαφορὰν οὐκ ἀνῃρημένην διὰ τὴν ἕνωσιν ἀνωτέρω σαφέστερον ἀπεδείξαμεν. Καὶ ἤρκει μὲν τὰ παρ' ἡμῶν εἰρημένα πληροφορῆσαι τοὺς μὴ βουλομένους φιλονεικεῖν. Ἀλλ' ἐπειδὴ πρὸς ἀσέβειαν ἅπαξ ἐκκλίναντες καὶ ἑτέροις ἐπιχειροῦσιν, ἀναγκαίως ἡμεῖς καὶ τὰς τοιαύτας αὐτῶν προφάσεις ματαίας ἀποδείξομεν. Φασὶ γὰρ μὴ δεῖν ὑπὸ μέμψιν γενέσθαι τὴν ἀσεβῆ ἐπιστολὴν διὰ τὸ φέρεσθαι ἔν τισι βιβλίοις. Ἀλλ' εἰ τοῦτό τις κατὰ τὴν αὐτῶν ἄνοιαν προσδέξηται, δεῖ καὶ Εὐτυχέα καὶ Νεστόριον δέχεσθαι, ἐπειδὴ πολλὰ καὶ περὶ τούτων τοῖς ἐν τῇ συνόδῳ πεπραγμένοις ἐμφέρεται. Ἀλλ' οὐδεὶς τῶν εὖ φρονούντων τοῖς παρ' αὐτῶν λεγομένοις προσέξει τὸν νοῦν. Τὰ γὰρ περὶ τῶν αἱρετικῶν ἐν ταῖς συνόδοις προφερόμενα, καὶ μέρος τῶν ὑπομνημάτων γινόμενα οὐκ ἐπὶ τῷ ἐλευθερωθῆναι, ἀλλ' εἰς ἔλεγχον αὐτῶν, καὶ ἐπὶ μείζονι κατακρίσει αὐτῶν τε, καὶ τὰ ὅμοια αὐτοῖς φρονούντων παραλαμβάνεται. Εἰ καὶ ὅτι τὰ τῆς ἀσεβοῦς ἐπιστολῆς φερόμενα ὑπομνήματα ἔν τισι μὲν βιβλίοις, ὡς εἴρηται, ἐντέτακται, ἐν δὲ τοῖς αὐθεντικοῖς, ἐν οἷς ὑπέγραψαν οἱ ὁσιώτατοι ἐπίσκοποι, οὐδαμῶς εὕρηται. Πλὴν κἀκείνῳ δεῖ προσέχειν τοὺς τὴν ἀλήθειαν ἐρευνῶντας· ὅτι πολλάκις τινὰ ἐν ταῖς συνόδοις παρά τινων ἐν αὐταῖς εὑρισκομένων λέγεται ἢ κατὰ προσπάθειαν, ἢ κατ' ἐναντίωσιν, ἢ κατ' ἄγνοιαν, οὐδεὶς δὲ προσέχει τοῖς κατὰ μέρος παρά τινων λεγομένοις, ἀλλὰ μόνοις τοῖς κατὰ κοινὴν συναίνεσιν παρὰ πάντων ὁριζομένοις. Εἰ γὰρ κατ' ἐκείνους βουληθείη τις προσέχειν ταῖς τοιαύταις ἐναντιώσεσιν, ἑκάστη σύνοδος εὑρίσκεται ἑαυτὴν ἀνατρέπουσα. Διὰ ταῦτα τοίνυν ἔδει αὐτούς, εἴπερ ὀρθῶς ἐδέχοντο τὴν ἁγίαν σύνοδον, μὴ τοιαύτας αὐτῇ μέμψεις περιάπτειν, ἀλλὰ ἀκολουθῆσαι τοῖς διδασκάλοις τῆς καθολικῆς ἐκκλησίας, καὶ μάλιστα τῷ ἐν ἁγίοις Ἀθανασίῳ τῷ γενομένῳ τῆς Ἀλεξανδρέων ἐκκλησίας ἐπισκόπῳ, καὶ πολλοὺς καὶ μεγάλους ἀγῶνας ἀναδεξαμένῳ ὑπὲρ τῆς τῶν Χριστιανῶν πίστεως ὀρθῆς κατὰ πάσης αἱρέσεως, καὶ μάλιστα τῶν ἀσεβεστάτων Ἀρειανῶν· τῶν γὰρ αὐτῶν Ἀρειανῶν πρὸς ἀπάτην τῶν λαῶν εἰς τὴν ἑαυτῶν μερίδα ἐπισπωμένων Διονύσιον, πρὸ πολλῶν ἐτῶν τοῦ ἐν ἁγίοις Ἀθανασίου τῆς Ἀλεξανδρείας γενόμενον ἐπίσκοπον, καὶ λεγόντων, ὡς καὶ αὐτὸς ὁ Διονύσιος τὰ ὅμοια αὐτοῖς ἐφρόνησεν, Ἀθανάσιος ὁ μέγας τῆς ἐκκλησίας διδάσκαλος πολλοῖς τρόποις ἐγγράφως ἀπέδειξε, τὴν ὀρθὴν πίστιν Διονύσιον ἐξ ἀρχῆς κηρύξαι, καὶ μηδαμῶς ἐπικοινωνῆσαι τῇ τῶν Ἀρειανῶν ἀσεβείᾳ. Οὗτοι δὲ τὰ τῶν αἱρετικῶν φρονοῦντες τὴν οἰκείαν ἀσέβειαν ταύτῃ περιάπτειν σπουδάζουσιν. Ὁποῖον δέ ἐστι κατάκριμα, καὶ ποία ἐπίκειται

A et expositionem ad suam impietatem transferre: siquidem [interdum] eædem voces, quando bene exponuntur et intelliguntur, cum pietate sunt; quando autem male ab hæreticis intelliguntur et proferuntur, impietatem habent. Itaque Nestorium duas quidem naturas et unam personam dicentem, non confitentem autem earum unitatem secundum subsistentiam, Ephesina prima synodus, cujus auctores erant Cœlestinus et Cyrillus sanctæ memoriæ, non suscepit, sed condemnavit. Nos autem sanctorum Patrum doctrinam per omnia sequentes, et unitatem duarum naturarum, ex quibus Dominus noster Jesus Christus unus sanctæ Trinitatis, Deus Verbum incarnatus, compositus est, et quod earum differentia non interempta est propter unitatem, in superioribus B apertius demonstravimus. Et sufficiebant quidem quæ prædiximus, satisfacere eis qui nolunt contendere. Sed quoniam illi qui semel ad impietatem declinaverunt, et alia proponere conantur, necessario nos et tales eorum occasiones vanas ostendemus. Dicunt enim non oportere vituperare impiam epistolam, eo quod in aliquantis fertur codicibus. Sed si hoc aliquis secundum eorum dementiam sufficiat [F. suscipiat], oportet et Nestorium et Eutychem suscipi, quoniam plurima et de his in gestis continentur quæ apud synodum acta sunt. Sed nemo sapiens dictis eorum animum intendet. Quæ enim de hæreticis proferuntur in synodis et pars gestorum fiunt, non ad liberationem inseruntur, sed ad majorem condemnationem C eorum, et qui eis similia sapiunt. [1] Quamvis autem exemplaria impiæ epistolæ quæ circumferuntur, in aliquibus codicibus, ut dictum est, inserta sint, tamen in authenticis in quibus sanctissimi episcopi subscripserunt, nullatenus inveniuntur. Oportet autem etiam illud attendere eos qui veritatem perscrutantur, quod forsitan in conciliis quædam a certis ibi convenientibus dicuntur, aut per favorem, aut per contrarietatem, aut per ignorantiam. Nemo autem attendit ea quæ per partem a quibusdam dicuntur: sed sola illa quæ ab omnibus communi consensu definiuntur. Si enim aliquis secundum illos voluerit attendere ejusmodi contrarietates, unaquæque synodus invenietur semetipsam destruens. Propter hæc igitur oportebat D eos, si sanctum concilium recte susciperent, non tales blasphemias ei applicare, sed sequi doctores catholicæ Ecclesiæ, et maxime sanctum Athanasium, qui fuit Alexandriæ episcopus, et plurimos et magnos labores suscepit pro recta Christianorum fide adversus omnem hæresin, et maxime contra impiissimos Arianos. Ipsis enim Arianis ad decipiendos populos suo errori conjungentibus Dionysium, qui ante multos annos Athanasii [multis annis ante Athanasium] fuit Alexandriæ episcopus, et dicentibus quod et ipse Dionysius similia eis sapuit, Athanasius magnus Ecclesiæ doctor multis modis ostendit in scriptis, rectam fidem Dionysium ab initio prædicasse, nulloque modo participem Arianæ impietatis fuisse. Isti autem hæretica sapientes, suam impietatem eidem synodo ap-

[1] Hæc absunt a ms. Bohiciano, et apud Leunclavium.

ἀρὰ τοῖς εἰς πατέρας ἁμαρτάνουσι, διδάσκει ἡμᾶς καὶ ἡ θεία γραφή. Εἰ γὰρ Χὰμ ὁ υἱὸς τοῦ Νῶε θεασάμενος γυμνὸν τὸν ἴδιον πατέρα, καὶ μὴ καλύψας τὴν τοῦ πατρὸς σωματικὴν γύμνωσιν, ἐξελθὼν ἐπήγγειλε ταύτην τοῖς ἀδελφοῖς, καὶ ἐκεῖνοι ἱματίῳ ταύτην περιεσκέπασαν, αὐτὸς δὲ Χὰμ καὶ οἱ ἐξ αὐτοῦ γεννηθέντες ὑπὸ κατάραν γεγόνασιν, οἱ δὲ σκεπάσαντες εὐλογίας μεγάλης ἠξιώθησαν· πολλῷ μᾶλλον οὗτοι μείζονος καὶ ἔτι πλείονος κατακρίσεώς εἰσιν ἄξιοι, οἱ τὴν μηδαμῶς προσοῦσαν ἀτιμίαν τῇ συνόδῳ σπουδάζοντες διὰ τῆς ἀσεβείας τῆς ἐπιστολῆς καὶ Θεοδώρου περιάπτειν αὐτῇ. Ἀλλ' οὐ διὰ τοῦτο ἡ ἀσεβὴς ἐπιστολή, ἢ οἱ ταύτης ἀντιποιούμενοι ἐκφεύξονται τὴν ἐπὶ τῇ αὐτῶν ἀσεβείᾳ κατάκρισιν. Ἀλλ' οὐδὲ Θεόδωρος ὁ Ἕλληνάς τε καὶ Ἰουδαίους καὶ πάντας αἱρετικοὺς τῇ ἀσεβείᾳ ὑπερβαλλόμενος. Οὗτος γὰρ πρὸς ταῖς ἄλλαις αὐτοῦ βλασφημίαις οὐκ ἠρκέσθη τῷ πρὸς τὴν ἰδίαν πλάνην παρερμηνεῦσαι τὸ σύμβολον τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων, ἀλλὰ καὶ περιφρονήσας τοῦτο ἕτερον σύμβολον ἐξέθετο πάσης ἀσεβείας πεπληρωμένον, ἐν ᾧ ἀναθεματίσαι τοὺς ἑτέρως φρονοῦντας, ἢ παραδιδόντας ἐτόλμησεν· ὥστε ὅσον κατὰ τὴν ἐκείνων μανίαν πάντας τοὺς ἁγίους ἀποστόλους, καὶ πατέρας κατακεκρίσθαι· τοῦτο δὲ τὸ ἀσεβὲς Θεοδώρου σύμβολον καὶ ἐν τῇ κατ' Ἔφεσον πρώτῃ συνόδῳ προκομισθέν, καὶ ἐν Χαλκηδόνι ἀναγνωσθὲν ὑφ' ἑκατέρας συνόδου μετὰ τοῦ ἐκθεμένου καὶ τῶν δεξαμένων αὐτὸ κατεκρίθη.

Ἐπειδὴ δέ τινες τὸν ὑπὲρ Θεοδώρου λόγον ποιούμενοι προφερομένων τῶν ἀσεβῶν αὐτοῦ συγγραμμάτων διὰ τὴν ἐνοῦσαν αὐτοῖς βλασφημίαν προσποιοῦνται μὲν λέγειν, ὅτι ἀσεβῆ ταῦτα τυγχάνει, αὐτὸν δὲ τὸν τοιαύτην ἀσέβειαν ἐξεμέσαντα παραιτοῦνται ἀναθεματίζειν, θαυμάζομεν τὴν τούτων ἄνοιαν, ὅτι τῇ θείᾳ τολμῶσιν ἐναντιοῦσθαι γραφῇ φανερῶς λεγούσῃ, ὅτι « ἐν ἴσῳ μισητὰ Θεῷ καὶ ὁ ἀσεβῶν καὶ ἡ ἀσέβεια αὐτοῦ. » Καὶ γὰρ τὸ πραχθὲν σὺν τῷ δράσαντι κολασθήσεται. Εἰ δὲ ὁμοίως τῇ αὐτοῦ ἀσεβείᾳ μισητὸς Θεῷ καὶ ὁ ἀσεβῶν, πρόδηλον ὡς ὁ τοιοῦτος κεχώρισται τοῦ Θεοῦ, καὶ τῷ ἀναθέματι δικαίως ὑποβάλλεται. Τὸ γὰρ ἀνάθεμα οὐδὲν ἕτερον σημαίνει, ἢ τὸν ἀπὸ τοῦ Θεοῦ χωρισμόν, ὡς ἐν τῇ παλαιᾷ καὶ καινῇ διαθήκῃ τὸ περὶ τοῦ ἀναθέματος κρίμα δηλοῖ. Ὅτι δὲ ὁ κύριος τοὺς μὴ ὄντας ἐν τῷ τῆς ἀληθείας αὐτοῦ λόγῳ, κεχωρισμένους εἶναι λέγει τῆς ἐκκλησίας, ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ πρὸς τοὺς Ἰουδαίους διαλεγόμενος οὕτω φησί· « Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας. Ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα, ὁ δὲ υἱὸς μένει εἰς τὸν αἰῶνα. » Ὅτι δὲ τὴν παρὰ τοῦ κυρίου ὠνομασμένην οἰκίαν ἡ θεία γραφὴ ἐκκλησίαν Θεοῦ ζῶντος καλεῖ, ὁ ἀπόστολος μαρτυρεῖ ἐν τῇ πρὸς Τιμόθεον πρώτῃ ἐπιστολῇ.

Εἰ δὲ λέγουσί τινες μὴ δεῖν Θεόδωρον μετὰ θάνατον ἀναθεματίζεσθαι, ἴστωσαν οἱ τὸν τοιοῦτον αἱρετικὸν ἐκδικοῦντες, ὡς πᾶς αἱρετικὸς μέχρι τέλους τῇ οἰκείᾳ πλάνῃ ἐμμείνας δικαιότερον διηνεκεῖ ἀναθεματισμῷ καὶ μετὰ θάνατον ὑποβάλλεται. Καὶ τοῦτο ἐπὶ πολλοῖς γέγονεν αἱρετικοῖς ἀρχαιοτέροις τε καὶ τοῖς ἐγγυτέρω· τουτέστι Βαλεντίνῳ, Βασιλείδῃ, Μαρκίωνι, Κηρίνθῳ, Μανιχαίῳ, Εὐνομίῳ, καὶ Βονόσῳ· τοῦτο δὲ αὐτὸ καὶ ἐπὶ Θεοδώρῳ γέγονε καὶ ἐν ζωῇ κατηγορηθέντι, καὶ μετὰ θάνατον

A plicare festinant. Qualis autem est condemnatio, et qualis imminet maledictio eis qui in Patres peccant, docet nos et divina Scriptura. Si enim Cham filius Noe (*Genes.* IX) cum vidisset nudum suum patrem, quoniam non cooperuit patris corporalem nuditatem, sed egressus nuntiavit eam fratribus, et illi vestimento eam cooperuerunt, ipse quidem Cham, et illi qui ex ipso nati sunt, sub maledictione facti sunt; qui autem cooperuerunt, magnam benedictionem meruerunt : multo magis isti majore et ampliore condemnatione digni sunt, qui ad synodum minime pertinentem infamiam, festinant per impietatem epistolæ, et Theodori, eidem sanctæ synodo applicare. Sed non ideo impia epistola, vel defendentes eam, condemnationem suæ impietatis effugient : sed neque
B Theodorus, qui paganos et Judæos, et omnes hæreticos impietate superat. Impio enim Theodoro non suffecit super alias ejus blasphemias ad suum errorem male interpretari symbolum trecentorum decem et octo sanctorum Patrum, sed etiam contempto eo, aliud symbolum exposuit omni impietate plenum, in quo anathematizare ausus est eos qui aliter sapiunt vel tradunt, ut, quantum ad illius insaniam pertinet, omnes sancti apostoli et Patres condemnarentur. Hoc autem Theodori impium symbolum et in Ephesina prima synodo prolatum, et in Chalcedonensi recitatum, ab utraque synodo cum ejus expositore, et eis qui illud suscipiunt, condemnatum est.

Quoniam autem quidam, verba pro Theodoro facientes, cum proferuntur impia ejus conscripta, pro-
C pter insertam eis blasphemiam confingunt quidem dicere quod impia sunt, ipsum autem qui talem impietatem evomuit, recusant anathematizare : miramur eorum dementiam, quod divinæ Scripturæ contraria agunt, evidenter dicenti, quia *æqualiter horribilia sunt apud Deum impius et impietas ejus* (*Sap.* XIV). Actio enim cum auctore [actore] punietur : si autem similiter impietati horribilis est Deo et ille qui impie agit, certe separatus est talis a Deo, et anathemati juste subjicitur. Anathema enim nihil aliud significat, nisi a Deo separationem; sicut in Veteri et Novo Testamento judicium de anathemate significat. Quod autem et Dominus eos qui non permanent in verbo veritatis ipsius, separatos esse ab Ecclesia dicit, in Evangelio secundum Joannem Judæos allo-
D quens, sic ait : *Omnis qui facit peccatum, servus est peccati. Servus autem non manet in domo in æternum; filius autem permanet in æternum* (*Joan.* VIII). Quod autem, quam Dominus nominat domum, divina Scriptura Ecclesiam Dei vivi vocat, Apostolus testatur in Epistola prima ad Timotheum (*Cap.* III).

Si vero quidam dicunt, non oportere Theodorum post mortem anathematizari, sciant qui talem hæreticum defendunt, quod omnis hæreticus usque ad finem vitæ in suo errore permanens, juste perpetuo anathemati et post mortem subjicitur. Et hoc in multis hæreticis et antiquioribus et propioribus factum est, id est Valentino, Basilide, Marcione, Cerintho, Manichæo, Eunomio, et Bonoso. Hoc autem idem et in Theodoro factum est, et in vita accusato,

ἀναθεματισθέντι ὑπὸ τῶν ἁγίων πατέρων. Οἷς εἰ μὴ βούλονται πείθεσθαι ὡς αἱρετικοὶ οἱ τούτου ἀντιποιούμενοι, τῇ γοῦν παρ' αὐτῶν ἐκδικουμένῃ ἀσεβεῖ ἐπιστολῇ πιστευσάτωσαν, ἥτις εἰ καὶ τὰ μάλιστα Θεόδωρον ἐκδικεῖ, ὅμως φανερῶς λέγει, ὅτι καὶ ἐπὶ ἐκκλησίας παρ' ἁγίων πατέρων ἀνεθεματίσθη, καὶ ἐξ ἐκείνου πολλὴ ζήτησις γέγονε περὶ τῶν αὐτοῦ συγγραμμάτων, ὡς ἀσεβείας δηλονότι πεπληρωμένων· τοῦτο δὲ ἐποίουν τηνικαῦτα οἱ τῆς καθολικῆς ἐκκλησίας, ἐφ' ᾧ μὴ τοὺς ἁπλουστέρους ἐντυγχάνοντας τοῖς ἐκείνου ἀσεβέσι συγγράμμασι τῆς ὀρθῆς παρατρέπεσθαι πίστεως. Ὅτι δὲ οἱ ἀσεβεῖς εἰ καὶ μὴ κατὰ πρόσωπον μὲν ἐν ζωῇ δέξωνται ἀναθεματισμὸν, ὅμως καὶ μετὰ θάνατον ἀναθεματίζονται ὑπὸ τῆς καθολικῆς ἐκκλησίας, δείκνυται ἐκ τῶν ἁγίων συνόδων. Ἡ μὲν γὰρ ἐν Νικαίᾳ τοὺς τὸ ἀσεβὲς Ἀρείου φρόνημα πρεσβεύοντας ἀνωνύμως ἀνεθεμάτισεν. Ἡ δὲ ἐν Κωνσταντινουπόλει τὴν Μακεδονίου ἀσεβεστάτην αἵρεσιν ὁμοίως ἀνεθεμάτισεν· ἀλλ' ὅμως ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία καὶ μετὰ θάνατον Ἄρειον, καὶ Μακεδόνιον ὀνομαστὶ ἀναθεματίζει. Ἐκ πολλῶν δὲ τῶν ἀποδείξεων ἐλεγχόμενοι, ὡς ἀσεβοῦσι διακενῆς οἱ Θεοδώρου καὶ τῆς ἀσεβείας αὐτοῦ ἀντιποιούμενοι, ἐφ' ἑτέραν ματαίαν πρόφασιν καταφεύγουσι λέγοντες, μὴ δεῖν αὐτὸν ἀναθεματισθῆναι διὰ τὸ ἐν τῇ κοινωνίᾳ τῶν ἐκκλησιῶν τετελευτηκέναι. Ἔδει δὲ αὐτοὺς εἰδέναι, ὡς ἐκεῖνοι τελευτῶσιν ἐν τῇ κοινωνίᾳ τῶν ἐκκλησιῶν, οἱ τὸ κοινὸν τῆς εὐσεβείας δόγμα τὸ ἐπὶ τῆς καθολικῆς ἐκκλησίας κηρυττόμενον μέχρι τέλους φυλαξάμενοι. Οὗτος δὲ τῇ οἰκείᾳ ἐντελευτήσας ἀσεβείᾳ ἀπὸ πάσης ἐκκλησίας ἐξεβλήθη. Ἀμέλει τοι καὶ πᾶν τὸ πλήρωμα τῆς ἐν Μοψουεστίᾳ ἐκκλησίας, ἐν ᾗ λέγεται ἐπίσκοπος γεγενῆσθαι, διὰ τὰς βλασφημίας, δι' ἅσπερ Ἕλλησί τε, καὶ Ἰουδαίοις, καὶ Σοδομίταις παρὰ τῶν ἁγίων πατέρων συνηριθμήθη, ἀπήλειψαν ἐξ ἐκείνου τῶν ἱερῶν τῆς ἐκκλησίας διπτύχων τὴν τούτου προσηγορίαν, ὡς τὰ περὶ τούτου συστάντα κατὰ τὴν αὐτὴν πόλιν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας ὑπομνήματα δείκνυσι. Θαυμάζομεν τοίνυν τοὺς ἐκδικοῦντας Θεόδωρον, οἰκειουμένους αὐτόν τε καὶ τὴν αὐτοῦ ἀσέβειαν, ὅπου γε ἡ ἐκκλησία, ἐν ᾗ γέγονεν ἐπίσκοπος, ὡς αἱρετικὸν ἐκ πολλῶν τῶν χρόνων αὐτὸν ἀπεβάλετο. Ὅτι δὲ ἐπὶ κατακρίσει οἰκείᾳ τὴν τοιαύτην προβάλλονται πρόφασιν οἱ Θεόδωρον ἐκδικοῦντες, ἔξεστι γνῶναι καὶ ἐξ αὐτοῦ τοῦ ἐπὶ Ἰούδα γενομένου φοβεροῦ κρίματος. Ἐκεῖνος γὰρ νομίσας λανθάνειν τὸν τὰ κρυπτὰ τῶν ἀνθρώπων γινώσκοντα, ἐκοινώνησε τῶν μυστηρίων τοῖς ἀποστόλοις, ἀλλ' ὅμως οὐδὲν αὐτὸν ὤνησε, καὶ ἡ μετὰ ὑποκρίσεως κοινωνία. Ἀλλὰ οὐδὲ καὶ τὸ μετὰ θάνατον αὐτοῦ δώδεκα ὀνομασθῆναι τοὺς μαθητὰς, ὥς φησιν Ἰωάννης ὁ εὐαγγελιστὴς λέγων, « Θωμᾶς δὲ ὁ λεγόμενος Δίδυμος, εἷς τῶν δώδεκα, οὐκ ἦν μετ' αὐτῶν, ὅτε ἦλθεν ὁ Ἰησοῦς, » ἢ ἐξαιρεῖ τὸν Ἰούδαν τῆς κατακρίσεως, ἢ συναριθμεῖσθαι ποιεῖ τοῖς ἀποστόλοις. Ἀμέλει τοι μετὰ τὴν τοῦ κυρίου ἀνάληψιν οἱ ἀπόστολοι δι' οἰκείας ψήφου τὸν αὐτὸν Ἰούδαν καὶ μετὰ θάνατον κατεδίκασαν, καὶ ἕτερον ἀντεισήγαγον. Ὅτι δὲ ματαίαν πρόφασιν προβάλλονται λέγοντες, μὴ δεῖν τοὺς τελευτῶντας αἱρετικοὺς ἀναθεματίζεσθαι, καὶ ἐξ αὐτῶν τῶν τοῦ κυρίου ῥημάτων ἀποδείξομεν. Τοὺς γὰρ ἀσεβεῖς καὶ ἔτι ζῶντας νεκροὺς ὀνομάζει λέγων· « Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς αὐτῶν νεκρούς· » ὥσπερ οὖν καὶ τοὺς δικαίους τελευτήσαντας ζῶν-

A et post mortem anathematizato a sanctis Patribus, quibus si credere noluerint ut hæretici ejus defensores, vel impiæ epistolæ, quam ipsi defendunt, credant. Quæ licet Theodorum collaudet, manifeste tamen dicit, quod in Ecclesia a sanctis Patribus anathematizatus est, et ex illo plurima inquisitio facta est de ejus conscriptis, ut pote plenis impietate. Hoc autem tunc faciebant catholicæ Ecclesiæ doctores, ne simpliciores legentes illius impia conscripta, a recta fide declinarent. Quod autem impii, licet non in vita in suam personam anathema susceperint, tamen et post mortem anathematizentur a catholica Ecclesia, ostenditur a sanctis synodis. Nicæna enim synodus eos qui impii [impiam] Arii sectam colunt, sine nomine anathematizavit. Quæ autem Constanti-
B nopoli congregata est, impiam Macedonii hæresim similiter condemnavit; sed tamen sancta Dei Ecclesia et post mortem Arium et Macedonium nominatim anathematizat. Cum autem ex multis probationibus convincuntur, quod supervacue et impie agunt qui Theodorum et impietatem ejus defendunt, ad aliam vanam occasionem confugiunt, dicentes non oportere eum anathematizari eo quod in communicatione Ecclesiarum mortuus est. Oportebat autem scire eos quod illi moriuntur in communicatione Ecclesiarum, qui commune pietatis dogma, quod in universali Ecclesia prædicatur, usque ad finem servaverunt. Iste autem usque ad mortem in sua permanens impietate, ab omni Ecclesia ejectus est. *Itaque et omnis plenitudo Mopsuestenæ Ecclesiæ*, in qua
C episcopus dicitur fuisse [propter blasphemias, ob quas paganis] cum invenisset quod paganis et Judæis et Sodomitanis a sanctis Patribus connumeratus est, deleverunt ipsi ex illo a sacris Ecclesiæ diptychis ejus nomen, sicut gesta de hoc in eadem civitate apud concilium episcoporum illius provinciæ confecta ostendunt. Miramur igitur Theodori sequaces, qui eum et impietatem ejus tanquam suam defendunt, cum Ecclesia, in qua fuit episcopus, ut pote hæreticum ex multis temporibus eum ejecerit. Quod autem ad condemnationem suam talem occasionem [prætextum] proponunt defensores Theodori, scire licet et ex ipso adversus Judam facto tremendo judicio. Ille enim cum putasset latere eum qui occulta hominum cognoscit, sacramentis communicavit
D cum apostolis : sed tamen nihil ei profuit quod cum dolo communicavit. Sed licet post mortem ejus duodecim nominati sint discipuli, sicut Joannes evangelista dicit : *Thomas autem, qui Didymus dicebatur, unus ex duodecim, non erat cum ipsis quando venit Jesus* (*Joan.* xx) : tamen hoc non liberat Judam a condemnatione, aut connumerari facit apostolis. Unde post ascensionem Domini, apostoli per suam sententiam eumdem Judam etiam post mortem condemnaverunt, et alium pro illo introduxerunt (*Act.* I). Quod autem vanam occasionem proponunt, dicentes non oportere hæreticos mortuos anathematizari, et ex ipsis Domini verbis ostendemus. Impios enim et adhuc vivos, mortuos nominat, dicens : *Dimitte mortuos sepelire mortuos suos* (*Matth.* VIII) : sicut justos et jam

τας ἀποκαλεῖ. Λέγει γὰρ περὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ὅτι ὁ Θεὸς οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων. Εἰ τοίνυν κατὰ τοὺς ἐκείνων λόγους οὐ χρὴ τοὺς αἱρετικοὺς τελευτῶντας ἀναθεματίζεσθαι, οὐδὲ ζῶντες αἱρετικοὶ ἀναθεματισθήσονται, οὓς νεκροὺς ὁ κύριος ἀποκαλεῖ, διὰ τὸ ἀποκεχωρισμένους εἶναι αὐτοῦ εἰπόντος, « Ἐγώ εἰμι ἡ ζωή· » καὶ κατ' αὐτοὺς λοιπὸν οὔτε ζῶντες, οὔτε τελευτῶντες αἱρετικοὶ ἀναθεματισθήσονται· καὶ μάτην κατ' ἐκείνους ἡ ἀποστολικὴ διδασκαλία παραδέδωκεν ἀναθεματίζεσθαι τοὺς παραδιδόντας παρ' ὃ παρελάβομεν· μάτην αἱ ἅγιαι σύνοδοι τοὺς αἱρετικοὺς κατέκριναν· μάτην καὶ οἱ ἄλλοι ἅγιοι πατέρες καὶ διδάσκαλοι τῆς ἐκκλησίας τοὺς αἱρετικοὺς ἀνεθεμάτισαν. Μεμψάσθωσαν δὲ καὶ Ἱερεμίᾳ τῷ προφήτῃ λέγοντι, « Ἐπικατάρατος ὁ ποιῶν τὰ ἔργα τοῦ κυρίου ἀμελῶς· » καὶ Δαυὶδ τῷ προφήτῃ εἰπόντι, « Ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου· » καὶ συντόμως εἰπεῖν, πάσῃ τῇ θείᾳ γραφῇ πολλαχοῦ τὰς τοιαύτας κατακρίσεις ἐπαγούσῃ τοῖς ἀσεβέσιν. Εἰ δὲ οἱ ἀμελῶς ποιοῦντες τὰ ἔργα κυρίου, καὶ ἁμαρτάνοντες περὶ τὰς αὐτοῦ ἐντολάς, τοιαύταις κατακρίσεσιν ὑποβάλλονται, πόσῳ μᾶλλον Θεόδωρος ὁ ἀσεβής, ὁ τοιαῦτα κατ' αὐτοῦ τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ βλασφημήσας, δικαιότερον κατακέκριται, καὶ ἀναθεματίζεται;

Καὶ ἤρκει μὲν ταῦτα πρὸς ταῖς παρατεθείσαις ἀνωτέρω τε, καὶ ἐν ἑτέροις ἡμῶν λόγοις ἀποδείξεσι, περὶ τοῦ δεῖν καὶ μετὰ τελευτὴν τοὺς αἱρετικοὺς κατακρίνεσθαι, καταισχύνειν τοὺς Θεοδώρου μεταποιουμένους, καὶ παύειν τῆς τοιαύτης ἀσεβείας. Διὰ δὲ τὸ ἐμφιλονείκως τοῖς αὐτοῖς ἐπιμένειν, καὶ τὸ πλέον ἐροῦμεν, ὅτι τινὲς τῶν συναχθέντων ἐν τῇ κατὰ Νίκαιαν ἁγίᾳ συνόδῳ, καὶ ὑπογράψαντες τῷ ἐκτεθέντι παρ' αὐτῆς ὅρῳ, ἤτοι συμβόλῳ τῆς πίστεως, ἐπειδὴ μετὰ ταῦτα ἐναντία φρονήσαντες ἐφάνησαν, οἱ μὲν ζῶντες, οἱ δὲ μετὰ θάνατον ἀνεθεματίσθησαν παρὰ Δαμάσου τοῦ τῆς ὁσίας μνήμης πάπα τῆς πρεσβυτέρας Ῥώμης, καὶ τῆς ἐν Σαρδικῇ συνόδου, καθὰ μαρτυρεῖ καὶ ὁ ἐν ἁγίοις Ἀθανάσιος. Ἀλλὰ καὶ ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος Δόμνον τὸν Ἀντιοχείας γενόμενον ἐπίσκοπον μετὰ θάνατον κατεδίκασε, τολμήσαντα μόνον γράψαι, δεῖν παρασιωπηθῆναι τὰ δώδεκα κεφάλαια τοῦ ἐν ἁγίοις Κυρίλλου.

Ἐπειδὴ δὲ οἱ Θεοδώρου ἀντιποιούμενοι αἱρετικοὶ πάσης προτάσεως καὶ ἐγχειρήσεως ἐκπεπτωκότες ἐπεχείρησαν λέγειν πρὸς ἀπάτην τῶν ἀγνοούντων, ὡς ὁ τῆς ὁσίας μνήμης Κύριλλος ἔν τινι μέρει ἐπιστολῆς τοῦτον ἐπῄνεσεν· ἐκ πολλῶν ἀποδείκνυται, ὅτι οὐ συμβαίνει τὸ αὐτῶν ἐγχείρημα τοῖς εἰρημένοις παρὰ τοῦ ἐν ἁγίοις Κυρίλλου ἐν διαφόροις αὐτοῦ λόγοις κατὰ τοῦ δυσσεβοῦς Θεοδώρου, ἐν οἷς ἀσεβέστερον αὐτὸν πάντων τῶν ἄλλων αἱρετικῶν ἀποδείξας εἶναι, οὐκ ἐνεγκὼν τό πλῆθός τε, καὶ τὸ μέγεθος τῶν αὐτοῦ βλασφημιῶν τῶν εἰρημένων κατὰ τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπεφθέγξατο οὕτως εἰπών· « Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπὶ πλεῖον σφόδρα, λέγει κύριος. Ὢ τῆς ἀπορρήτου σκαιότητος, ὢ γλώσσης λαλούσης ἀδικίαν κατὰ τοῦ Θεοῦ, καὶ τὸ κέρας αἱρούσης. » Καὶ πάλιν· « Ἐπίθες, ἄνθρωπε, τῇ σαυτοῦ γλώττῃ θύραν καὶ μοχλόν. Παῦσαι τὸ κέρας εἰς ὕψος ἐπαίρων, καὶ λαλῶν ἀδικίαν κατὰ τοῦ Θεοῦ. Μέχρι τίνος ἐπιπηδᾷς ἀνεξικακοῦντι Χριστῷ; εἰς νοῦν ἔχε τὸ γεγραμ-

A defunctos, vivos nominat. Dicit enim de Abraham et Isaac et Jacob, quod Deus non est Deus mortuorum, sed viventium (*Matth.* XXII). Si ergo secundum verba illorum non oportet hæreticos mortuos anathematizari, nec vivi hæretici anathematizabuntur, quos Dominus mortuos vocat, quia separati sunt ab ipso qui dixit : *Ego sum vita* (*Joan.* XI *et* XIV), et secundum eos jam nec vivi, nec mortui hæretici anathematizabuntur; et sine causa, secundum illos, apostolica doctrina (*Galat.* I) tradit anathematizari eos qui tradunt præter quod accepimus : sine causa sanctæ synodi hæreticos condemnaverunt, sine causa et alii sancti Patres et doctores Ecclesiæ hæreticos anathematizaverunt. Inculpent autem et Jeremiam prophetam dicentem : *Exsecrandus qui opera Domini facit*
B *negligenter* (*Jer.* XLVIII) ; et David prophetam dicentem : *Exsecrandi qui declinant a mandatis tuis* (*Psal.* CXVIII) ; et ut compendiose dicamus, omnem divinam Scripturam in diversis locis tales condemnationes impiis inferentem. Sin autem illi qui negligenter opera Dei faciunt, et peccant in mandatis ejus, talibus condemnationibus subjiciuntur : quanto magis impius Theodorus, qui talia adversus ipsum magnum Deum et Salvatorem nostrum Jesum Christum blasphemavit, juste condemnatus est et anathematizatus?

Et hæc quidem sufficiebant, super [superius] memoratas et aliis nostris libris insertas probationes, quas protulimus, ostendentes, quod oportet etiam post mortem hæreticos condemnari, confundere eos qui Theodorum defendunt, et compescere a tali im-
C pietate. Quoniam autem contentiose in iisdem permanent, etiam quod est amplius dicimus, quia quidam ex ipsis qui in Nicæna sancta synodo convenerunt, et expositæ ab ea fidei definitioni vel symbolo subscripserunt, quoniam postea contraria sapientes apparuerunt, alii quidem vivi, alii autem post mortem anathematizati sunt a Damaso sanctæ memoriæ papa antiquioris Romæ, et ab universali Sardicensi synodo, prout testatur sanctus Athanasius. Sed et Chalcedonensis sancta synodus Domnum Antiochiæ factum episcopum post mortem condemnavit, quod solum ausus est scribere, oportere taceri duodecim capitula sancti Cyrilli.

Quoniam autem Theodori defensores hæretici, omni propositione et conatu excidentes, præsumunt dicere ad deceptionem ignorantium, quod sanctæ
D memoriæ Cyrillus in aliqua parte epistolæ illum collaudavit; ex multis ostenditur, quod non convenit eorum conamen dictis a S. Cyrillo in diversis ejus libris contra impium Theodorum, in quibus magis impium omnibus aliis hæreticis eum ostendens, deinde non sustinens plurimas et maximas ejus blasphemias contra magnum Deum et Salvatorem nostrum Jesum Christum dictas, exclamavit, ita dicens : « Expavit cœlum super hoc, et horruit amplius vehementer, dicit Dominus. O intolerabilem malignitatem, o linguam loquentem iniquitatem contra Deum, et in altitudinem cornu extollentem! » (Et iterum : « Impone, homo, tuæ linguæ ostium et seram, cessa cornu in altitudinem extollens, et loquens iniquitatem adversus Deum. Quousque insultas patienti Christo? In mente habe

μενον παρὰ τοῦ θεσπεσίου Παύλου· — Οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ πλήττοντες αὐτῶν ἀσθενοῦσαν τὴν συνείδησιν εἰς Χριστὸν ἁμαρτάνετε. — Καὶ ἵνα τι καὶ ἐκ προφητικῶν φθέγξωμαι βιβλίων, — Ἐδικαιώθη Σόδομα ἐκ σοῦ. — Νενίκηκας τὰς τῶν Ἑλλήνων ἀθυροστομίας, ἅς ἐποιήσαντο κατὰ Χριστοῦ, μωρίαν ἡγούμενοι τὸν σταυρόν. Οὐδὲν ὄντα διέδειξας τὰ τῆς Ἰουδαϊκῆς ἀπονοίας ἐγκλήματα. » Τούτων τοίνυν οὕτως ἐπὶ καταχρίσει τοῦ ἀσεβοῦς Θεοδώρου ὑπὸ τοῦ ἐν ἁγίοις Κυρίλλου εἰρημένων, εἰ καὶ δοίη τις κατὰ τοὺς ἐκείνων λόγους τὸν ἐν ἁγίοις Κύριλλον εἰρηκέναι τι ὑπὲρ Θεοδώρου, οὐδὲ τοῦτο ἐξαιρεῖται αὐτὸν τῆς κατακρίσεως. Εὑρίσκομεν γὰρ, ὡς πολλοὶ τῶν ἁγίων πατέρων τινὰς τῶν αἱρετικῶν ἀπεδέξαντο. ὥσπερ καὶ ὁ ἐν ἁγίοις Δάμασος, καὶ Ἀθανάσιος, καὶ Βασίλειος Ἀπολινάριον, καὶ Λέων δὲ ὁ τῆς ἁγίας μνήμης Εὐτυχέα. Καὶ ὅμως ἐπειδὴ φανερὰ γέγονεν ἡ τούτων ἀσέβεια, οὐκ ἐξέφυγον διὰ τὴν τοιαύτην ἀποδοχὴν αἱρετικοὶ τὴν μετὰ ταυτα εἰς οἰκεῖον πρόσωπον καὶ τὴν αὐτῶν ἀσέβειαν γενομένην κατάκρισίν τε καὶ ἀναθεματισμόν. Τοσαύτη δέ ἐστιν ἡ μανία τῶν Θεόδωρον ἐκδικούντων, ὅτι τολμῶσι καταψεύδεσθαι καὶ Γρηγορίου τοῦ θεολόγου, καὶ Ἰωάννου τοῦ Κωνσταντινουπόλεως, ὡς ἐπιστολὰς πρὸς αὐτὸν Θεόδωρον ἀποστειλάντων πεπληρωμένας ἐπαίνου· ὅπερ ψεύδους ἐστὶ μεστόν. Γρηγόριος μὲν γὰρ, ὅτε ὑπὲρ τῆς ἀληθείας ἐν Κωνσταντινουπόλει ἀγωνισάμενος, καὶ τοὺς λαοὺς ἀπὸ τῆς τῶν Ἀρειανῶν πλάνης εἰς τὴν ὀρθόδοξον πίστιν ἐπιστρέψας εἰς τὴν οἰκείαν ἐπανῆλθε πατρίδα, τὰς παρὰ τῶν αἱρετικῶν κακούργως προφερομένας ἐπιστολὰς οὐ πρὸς Θεόδωρον τὸν Μοψουεστίας ἔγραψεν, ἀλλὰ πρὸς Θεόδωρον ἐπίσκοπον Τυάνων, ἥτις ἐστὶ τῆς δευτέρας Καππαδόκων μητρόπολις. Τῆς δὲ αὐτῆς χώρας ἐστὶν ἡ Ναζιανζὸς, ἧς γέγονεν ἐπίσκοπος ὁ αὐτὸς ἐν ἁγίοις Γρηγόριος, καὶ Ἀριανζὸς τὸ χωρίον, ὅθεν ὡρμᾶτο. Τοῦτο γὰρ καὶ αὐταὶ σαφῶς δηλοῦσιν αἱ ἐπιστολαὶ, μεμνημέναι ἐθνῶν, καὶ συνόδων, καὶ τοῦ αὐτοῦ χωρίου Ἀριανζοῦ, καὶ ἑτέρων χωρίων τῆς αὐτῆς ἐπαρχίας, καὶ μηνὸς τῇ ἐπιχωρίῳ διαλέκτῳ Καππαδόκων ὠνομασμένων, καὶ Βοσπορίου ἐπισκόπου ὑπ' αὐτὸν τελοῦντος Κολωνίας τῆς πόλεως, καὶ ἑτέρων ἐπισκόπων, καὶ χωρεπισκόπων, καὶ μοναστηρίων ὑπὸ τὸν αὐτὸν τελούντων Θεόδωρον μνημονεύουσαι, ὧν καὶ μέχρι νῦν σώζεται τὰ ὀνόματα. Ποία δὲ μετουσία Καππαδόκαις πρὸς τοὺς τῆς δευτέρας Κιλικίας ἢ τότε ἢ νῦν ὑπάρχει, διαμεμερισμένης τῆς τῶν ἐπαρχιῶν τούτων διοικήσεως; ἢ ποίους ἐπισκόπους ὑφ' ἑαυτὸν ἔχειν ἠδύνατο ὁ Μοψουεστίας ἐπίσκοπος, αὐτὸς ὑπὸ τὸν τῆς αὐτῆς δευτέρας Κιλικίας μητροπολίτην τελῶν; Ἰωάννης δὲ ὁ Κωνσταντινουπόλεως ἔγραψεν ἐπιστολὴν πρὸς Θεόδωρον τὸν Μοψουεστίας, οὐκ ἐπαίνων δὲ, ἀλλὰ μέμψεων καὶ ἐπιτιμήσεων οὖσαν μεστὴν, ὡς ἐκπεσόντος αὐτοῦ τῆς θεοσεβείας. Συνασκήσας γὰρ αὐτῷ τὸν μονήρη βίον ἐν ἑνὶ καὶ τῷ αὐτῷ μοναστηρίῳ, τῆς ἐκεῖσε συνδιαγωγῆς ἀναμιμνήσκει αὐτόν. Καὶ ταῦτα μαρτυρεῖ Σωζόμενος, καὶ Ἡσύχιος, καὶ Σωκράτης, καὶ Θεοδώριτος ὁ πολλοὺς ὑπὲρ Θεοδώρου λόγους τε καὶ ἐπαίνους ἐκτείνας. Εἰ δὲ προφέρουσι μαρτυρίας Ἰωάννου τοῦ Ἀντιοχείας καὶ τῆς ὑπ' αὐτὸν ἀνατολικῆς συνόδου, ὑπὲρ Θεοδώρου καὶ τῆς αὐτοῦ ἀσεβείας γενομένης, ἀνάγκη αὐτοὺς κἀκεῖνα δέξασθαι, ἅπερ ὅσον τό γε ἐπ' αὐτοῖς εἰς κατάκρισιν τοῦ ἐν ἁγίοις Κυρίλλου, καὶ ἀθέτησιν τῆς ὀρθῆς πίστεως οἱ περὶ Ἰωάννην ἐτόλμησαν· καὶ ἅπερ ἔγραψαν, Νεστόριον

A scriptum a divino Paulo : *Sic autem peccantes in fratres, et percutientes eorum infirmam conscientiam, in Christum peccatis* (*I Cor.* VIII). Et ut aliquid etiam ex propheticis loquar codicibus : *Justificata est Sodoma ex te* (*Ezech.* XVI), superasti paganorum verbositates, quas contra Christum fecerunt, stultitiam existimantes crucem (*I Cor.* VIII), nihil esse ostendisti Judaicæ superbiæ crimina. » His igitur ad condemnationem Theodori sic a sancto Cyrillo dictis, licet aliquis concedat, secundum illorum verba sanctum Cyrillum aliquid pro Theodoro dixisse, neque hoc liberat illum a condemnatione. Invenimus enim, quod multi sanctorum Patrum quosdam hæreticos collaudaverunt, sicut et sancti Damasus et Athanasius et Basilius Apollinarium, et sanctus [sanctæ memoriæ] Leo Eu- B tychen : et tamen cognita eorum impietate, non propter hoc evaserunt hæretici condemnationem et anathema, quod postea contra eorum personam et impietatem factum est. Tantus autem est furor defendentium Theodorum, quia præsumunt adversus Gregorium theologum, et Joannem Constantinopolitanum mentiri, dicentes epistolas ad eumdem Theodorum plenas laudis eos direxisse : quod falsum est. Gregorius enim, cum in Constantinopoli pro veritate laborans, conversis per eum ab Ariana insania ad catholicam fidem populis, ad suam patriam reversus est, epistolas quas hæretici dolose proferunt, non ad Theodorum Mopsuestenum scripsit, sed ad Theodorum episcopum Tyanensem, quæ est secundæ Cappadociæ metropolis. Ejusdem autem provinciæ sunt et C Nazianzus civitas, cujus fuerat episcopus idem sanctæ memoriæ Gregorius, et Arianzus prædium, unde ortus fuerat. Hoc enim et ipsæ epistolæ aperte significant, memoriam facientes consuetudinum et collectionum, et ejusdem prædii Arianzi, et aliorum prædiorum ejusdem provinciæ, et mensis vernacula lingua Cappadocum nominati, et Bosphorii [Bospori] episcopi sub eodem Theodoro constituti, qui tunc temporis Coloniæ civitatis ejusdem provinciæ episcopus erat, et aliorum episcoporum, et chorepiscoporum, et monasteriorum, quæ sub Theodori jurisdictione erant, quorum usque nunc eadem nomina servantur. Qualis porro communio Cappadocibus ad secundam Ciliciam, vel tunc, vel modo divisa earum provinciarum gubernatione ? Et quos episcopos sub D se habere poterat Mopsuestenus episcopus, cum ipse sub metropolitano secundæ Ciliciæ constitutus esset? Joannes autem Constantinopolitanus scripsit quidem epistolam ad Theodorum Mopsuestenum, non tamen laudibus, sed querimoniis et increpationibus plenam, ut pote illo a bona conversatione [pietate] lapso. Quoniam enim cum eo monachicam vitam in uno eodemque monasterio exercuit, conversationis ibi factæ eum admonuit : et pro his testimonium præbent Sozomenus, et Hesychius, et Socrates, et Theodoretus, qui multas pro Theodoro orationes et laudes fecit. Si autem testimonia proferunt Joannis Antiocheni, et Orientalis concilii sub eo constituti, facta pro Theodoro, et ejus impietate, necesse est eos et illa suscipere, quæ (quantum ad illos pertinet) ad

καὶ τὴν αὐτοῦ κακοδοξίαν ἐπὶ πλεῖστον χρόνον ἐκδικοῦντες. Καὶ τοῦτο δείκνυται ἐκ διαφόρων αὐτῶν λόγων τε καὶ ἐπιστολῶν πρὸς Θεοδόσιον τὸν τῆς εὐσεβοῦς λήξεως, καὶ ἑτέρους διαφόρους γραφεισῶν.

A condemnationem sancti Cyrilli, et reprobationem rectæ fidei fecerunt Joannes et qui cum illo erant, nec non etiam quæ scripserunt. Nestorium et ejus perfidiam diutius defendentes. Et hoc ostenditur ex diversis eorum libris et epistolis, quas ad Theodosium piæ recordationis, et ad alios diversos scripserunt.

Καὶ ταῦτα μὲν οὕτως· ἵνα δὲ μηδὲν τῆς ἀκριβείας παραλείψωμεν, ἀναγκαῖον ἐνομίσαμεν μνησθῆναι καὶ τῶν γραφέντων παρὰ Αὐγουστίνου τοῦ τῆς ὁσίας μνήμης ἐπισκόπου ἐν Ἀφρικῇ γενομένου. Ζητήσεως γάρ τινος περὶ Καικιλιανοῦ μετὰ θάνατον αὐτοῦ κινηθείσης, ὡς τῆς ἐκκλησιαστικῆς παρατραπέντος παραδόσεως, καί τινων τούτου χάριν χωρισάντων ἑαυτοὺς ἀπὸ τῆς καθολικῆς ἐκκλησίας, γράφει πρὸς Βονιφάτιον ὁ αὐτὸς τῆς ὁσίας μνήμης Αὐγουστῖνος, ὡς οὐκ ἔδει τινὰς διὰ τοῦτο χωρίσαι ἑαυτοὺς τῆς καθολικῆς ἐκκλησίας. Εἰ γὰρ ἀληθῆ ὑπῆρχε τὰ ἐπαγόμενα Καικιλιανῷ, καὶ ἐφανερώθη ἐναντία φρονήσας τῆς καθολικῆς καταστάσεως, καὶ μετὰ θάνατον ἂν τοῦτον ἀναθέματι ὑπέβαλον. Ἀλλὰ καὶ κανὼν τῆς ἁγίας ἐν Ἀφρικῇ συνόδου διαγορεύει τοὺς ἐπισκόπους, τοὺς τὴν οἰκείαν ἢ ἐν διαθήκῃ, ἢ ἐξ ἀδιαθέτου αἱρετικῷ παραπέμποντας χρῆναι καὶ μετὰ θάνατον ἀναθεματίζεσθαι. Πρὸς τούτοις δὲ ἅπασι, τίς ἀγνοεῖ τὰ ἐν τοῖς ἡμετέροις χρόνοις ἐν τῇ ἐκκλησίᾳ τῆς πρεσβυτέρας Ῥώμης γενόμενα κατὰ Διοσκόρου; ὃς οὐδὲν ἐπὶ πίστιν ἡμαρτηκὼς, διὰ μόνην ἐκκλησιαστικὴν κατάστασιν μετὰ θάνατον παρ' αὐτῆς τῆς κατὰ Ῥώμην ἁγιωτάτης ἐκκλησίας ἀνεθεματίσθη. Εἰ τοίνυν οἱ μηδὲν εἰς πίστιν πταίσαντες ἐπίσκοποι διὰ κατάστασιν ἐκκλησιαστικὴν, καὶ διὰ χρηματικὴν αἰτίαν ἀναθέματι καὶ μετὰ θάνατον ὑποβάλλονται, πόσῳ μᾶλλον Θεόδωρος ὁ εἰς αὐτὸν τὸν Θεὸν ἀσεβήσας; ὅσον δὲ πρὸς τὴν ἄνοιαν τῶν λεγόντων, μὴ δεῖν ἀναθεματίζεσθαι μετὰ θάνατον τοὺς ἐν τῇ οἰκείᾳ ἀσεβείᾳ τελευτῶντας, οὐ δεῖ μηδὲ τοὺς ἀδίκως κατακριθέντας πατέρας μετὰ θάνατον ἀνακαλεῖσθαι, ὅπερ συμβέβηκε καὶ ἐπὶ Ἰωάννῃ τῷ ἐν ὁσίᾳ τῇ μνήμῃ ἐπισκόπῳ γενομένῳ Κωνσταντινουπόλεως ὑπὸ τῆς καθολικῆς ἐκκλησίας μετὰ θάνατον ἀνακληθέντι· καὶ ἐπὶ Φλαυιανῷ τῷ τῆς ὁσίας μνήμης καὶ αὐτῷ Κωνσταντινουπόλεως γενομένῳ ἐπισκόπῳ, ἀδίκως μὲν ἐν ζωῇ κατακριθέντι, δικαίως δὲ μετὰ θάνατον ἀνακληθέντι ὑπό τε τοῦ τῆς ὁσίας μνήμης Πάπα Λέοντος, καὶ τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου. Ἐντεῦθεν δὲ συμβαίνει κατὰ τοὺς ἐκείνων λόγους, τοὺς μὲν αἱρετικοὺς τοῖς ἁγίοις πατράσι συναριθμεῖσθαι, οἷα ἐλευθέρους ἀφιεμένους τῆς ὀφειλομένης αὐτοῖς κατακρίσεως· τοὺς δὲ ἁγίους πατέρας ἀδίκως καταδικασθέντας τοῖς αἱρετικοῖς συνάπτεσθαι, οἷα μὴ λυομένης τῆς ἐπ' αὐτοῖς ἀδίκου κατακρίσεως. Ἀξιοπιστότερος δὲ πάντων ἐστὶ διδάσκαλος ὁ κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς περὶ ἑαυτοῦ λέγων « Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. Ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται· ὁ δὲ μὴ πιστεύων εἰς αὐτὸν ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ. » Καὶ τὸ πνεῦμα τὸ ἅγιον διὰ τοῦ προφήτου Δαυὶδ λέγει, τοὺς ἀσεβεῖς μὴ ἀναστήσεσθαι ἐν κρίσει. Τῆς οὖν τοιαύτης τοῦ κυρίου ἀποφάσεως ἐξενεχθείσης κατὰ παντὸς ἀσεβοῦς, καὶ μηδὲν διαστελλούσης

Et hæc quidem sic se habent. Ut autem nihil subtilitatis prætermittamus, necessarium putavimus memorare etiam illa quæ ab Augustino sanctæ memoriæ Africano episcopo scripta sunt. Quæstione enim aliqua post mortem Cæciliani de eo mota, quod ab ecclesiastica traditione declinasse dicebatur, et propter hoc quibusdam a catholica Ecclesia separatis, scribit ad Bonifacium idem sanctus Augustinus, quod non oportebat aliquos ideo separare sese a catholica Ecclesia. B Si enim vera essent ea quæ Cæciliano inferebantur, et manifestatus esset contrarium aliquid ecclesiastico statui sapuisse, etiam post mortem eum anathemati subjicerem. Sed et regula sanctæ synodi Africanæ statuit, episcopos qui suas facultates in testamento, vel ex intestato hæretico relinquunt, oportere et post mortem anathematizari. Super hæc autem omnia, quis ignorat ea quæ nostris temporibus in Ecclesia antiquioris Romæ contra Dioscorum acta sunt? Qui cum nihil in fidem peccasset, tamen propter solum ecclesiasticum ordinem post mortem ab eadem sancta Ecclesia Romana anathematizatus est. Si igitur nihil in fidem peccantes episcopi, propter solum ecclesiasticum ordinem, et propter causam pecuniariam anathemati et post mortem subjiciuntur, quanto magis Theodorus, C qui in ipsum Deum peccavit? Quantum autem ad insipientiam dicentium non oportere anathematizari post mortem eos qui in sua impietate mortui sunt : oportebat nec eos qui injuste condemnati sunt Patres post mortem revocari, quale contigit in Joanne sanctæ recordationis episcopo Constantinopolitanæ civitatis, ab universali Ecclesia post mortem revocato, et in Flaviano sanctæ memoriæ et ipso episcopo Constantinopolitanæ civitatis, injuste quidem in vita condemnato, juste autem post mortem revocato, tam a sanctæ memoriæ papa Leone quam a sancta Chalcedonensi synodo. Ex hoc autem contingit secundum illorum verba, hæreticos quidem sanctis Patribus connumerari, ut pote liberatos debita eis condemnatione, sanctos autem Patres D injuste condemnatos, hæreticis conjungi, ut pote non soluta contra eos facta iniqua damnatione. Omnibus autem magis credendus [fide dignus] est Doctor Dominus et Deus noster Jesus Christus, de se dicens : *Sic enim dilexit Deus mundum, ut Filium suum unigenitum daret, ut omnis qui credit in eum, non pereat, sed habeat vitam æternam. Non enim misit Deus Filium suum in mundum ut judicet mundum, sed ut salvetur mundus per ipsum. Qui credit in eum, non judicatur : qui autem non credit, jam judicatus est, quia non credit in nomine unigeniti Fili Dei* (*Joan.* III). Et Spiritus autem sanctus per prophetam David dicit (*Psal.* I), impios non resurrecturos in judicio. Tali igitur Domini sententia prolata adversus omnem impium, et nihil discernente inter vivos et mortuos hæ-

μεταξὺ ζώντων καὶ νεκρῶν αἱρετικῶν, πῶς τολμῶσιν ἀντιπίπτειν τῇ τοιαύτῃ ἀποφάσει, καὶ τοὺς ἅπαξ ἀσεβήσαντας, καὶ διὰ τοῦτο ἤδη ὑπὸ τοῦ κυρίου κατακεκριμένους, λέγειν, μὴ δεῖν μετὰ θάνατον κατακρίνεσθαι; Καὶ ὁ θεῖος δὲ ἀπόστολος τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα, οὐ μόνον κατὰ ἀνθρώπων, ἀλλὰ καὶ κατ' ἀγγέλων τὴν τοιαύτην ἐπήγαγεν ἀπόφασιν, εἰπὼν ἐν τῇ ἐπιστολῇ τῇ πρὸς Γαλάτας· « Ἀλλὰ καὶ ἐὰν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται ὑμᾶς παρ' ὃ εὐαγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. Ὡς προειρήκαμεν, καὶ ἄρτι πάλιν λέγω· εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. » Καὶ τίς οὕτως ἀσεβής, ὡς τολμῆσαι εἰπεῖν, ὡς τὰ παρὰ Θεοδώρου ἀσεβῶς συγγραφέντα, ἢ μέρος αὐτῶν παρεδόθη ποτὲ τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ, ἀλλ' οὐκ εὐθὺς ὁ τολμήσας τι τοιοῦτον παραφθέγξασθαι ἀναθέματι καθυπεβλήθη παρὰ τῶν ἁγίων πατέρων;

Εἴ τις τοίνυν μετὰ τὴν τοιαύτην ὀρθὴν ὁμολογίαν καὶ κατάκρισιν τῶν αἱρετικῶν, τῆς εὐσεβοῦς ἐννοίας σωζομένης, περὶ ὀνομάτων, ἢ συλλαβῶν, ἢ λέξεων ζυγομαχῶν, χωρίζει ἑαυτὸν τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, ὥσπερ ἐν ὀνόμασι μόνοις καὶ λέξεσι κειμένης ἡμῖν τῆς εὐσεβείας, ἀλλ' οὐκ ἐν πράγμασιν, ὁ τοιοῦτος ὡς τοῖς σχίσμασι χαίρων λόγον ὑφέξει ὑπὲρ ἑαυτοῦ, καὶ τῶν ὑπ' αὐτοῦ ἀπατωμένων, ἢ ἀπατηθησομένων τῷ μεγάλῳ Θεῷ καὶ σωτῆρι ἡμῶν Ἰησοῦ Χριστῷ ἐν ἡμέρᾳ κρίσεως. Ἀμήν.

Τύπος τοῦ βασιλέως Ἰουστινιανοῦ πρὸς τὴν ἁγίαν σύνοδον περὶ Θεοδώρου τοῦ Μοψουεστίας καὶ τῶν λοιπῶν.

Σπουδὴ μὲν γέγονεν ἀεὶ τοῖς ὀρθοδόξοις, καὶ εὐσεβῶς προβεβασιλευκόσι τοῖς ἡμετέροις πατράσι, τὰς κατὰ καιρὸν ἀναφυομένας αἱρέσεις διὰ συνόδων ὁσιωτάτων ἱερέων ἐκκόπτειν, καὶ τῆς ὀρθῆς πίστεως καθαρῶς κηρυττομένης ἐν εἰρήνῃ τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν διαφυλάττειν· διόπερ καὶ Κωνσταντῖνος ὁ μέγας, Ἀρείου βλασφημοῦντος καὶ λέγοντος, μὴ εἶναι τὸν υἱὸν ὁμοούσιον τῷ Θεῷ καὶ πατρί, ἀλλὰ κτίσμα καὶ ἐξ οὐκ ὄντων γεγενῆσθαι, συναγαγὼν ἐν Νικαίᾳ τοὺς τριακοσίους δέκα καὶ ὀκτὼ πατέρας, καὶ αὐτὸς ἐκεῖ παραγενόμενος, καὶ τοῦ Ἀρείου καταδικασθέντος καὶ ἀναθεματισθέντος, ἐσπούδασε τὴν ὀρθόδοξον κρατῦναι πίστιν. Δι' ἧς ὁμολογήσαντες οἱ θεῖοι πατέρες ὁμοούσιον εἶναι τὸν υἱὸν τῷ Θεῷ καὶ πατρί, ἀλλὰ μὴ κτίσμα καὶ ἐξ οὐκ ὄντων γεγενῆσθαι, μέχρι νῦν ᾄδεται [ἴσ. ᾄδονται]. Καὶ Θεοδόσιος δὲ ὁ πρεσβύτερος, Μακεδονίου ἀρνουμένου τὴν θεότητα τοῦ ἁγίου πνεύματος, καὶ Ἀπολιναρίου τοῦ μαθητοῦ αὐτοῦ βλασφημοῦντος εἰς τὴν οἰκονομίαν τοῦ Θεοῦ λόγου, καὶ φάσκοντος, νοῦν ἀνθρώπινον μὴ εἰληφέναι τὸν τοῦ Θεοῦ λόγον, ἀλλὰ σαρκὶ ἑνωθῆναι ψυχὴν ἄλογον ἐχούσῃ, συναγαγὼν ἐν Κωνσταντινουπόλει τοὺς ρν' πατέρας καὶ μετασχὼν καὶ αὐτὸς τῆς συνόδου, καὶ τῶν εἰρημένων καθαιρεθέντων, καὶ ἀναθεματισθέντων αἱρετικῶν, μετὰ καὶ τῶν ἀσεβῶν αὐτῶν δογμάτων καὶ ὁμοφρόνων, παρεσκεύασε τὴν ὀρθόδοξον πίστιν κηρύττεσθαι. Καὶ Θεοδόσιος δὲ ὁ νέος, τοῦ ἀσεβοῦς Νεστορίου λέγοντος, ἄλλον εἶναι τὸν Θεὸν λόγον, καὶ ἄλλον τὸν Χριστόν, καὶ τὸν μὲν φύσει υἱὸν τοῦ Θεοῦ καὶ πατρός, τὸν δὲ χάριτι υἱὸν ἀσεβῶς εἰσάγοντος, καὶ τὴν ἁγίαν Μαρίαν εἶναι θεοτόκον ἀρνουμένου, συναγαγὼν τὴν προτέραν ἐν Ἐφέσῳ τῶν διακοσίων ἁγίων πατέρων σύνοδον, καὶ ἀποστείλας ἄρχοντας ὀφείλοντας παρεῖναι τῇ συνόδῳ, προσέταξε καὶ τὸν Νεστόριον παραγενέσθαι, καὶ κρίσιν ἐπ' αὐτῷ γενέ-

A reticos, quomodo audent resistere tali sententiæ, et eos qui semel impie egerunt, et propter hoc jam a Domino condemnati sunt, dicere, non oportere post mortem condemnari? Et divinus autem [etiam] Apostolus, qui Christum in semetipso habet loquentem, non solum adversus homines, sed etiam adversus angelos talem protulit sententiam, dicens in epistola ad Galatas (*Cap.* I) : *Sed licet nos aut angelus de cœlo evangelizaverit præterquam quod evangelizavimus vobis, anathema sit. Sicut prædiximus, et nunc iterum dico : Si quis vobis evangelizaverit præter id quod accepistis, anathema sit.* Et quis ita impius est, ut præsumat dicere, quod Theodori impia scripta, vel pars eorum, tradita est aliquando sanctæ Dei Ecclesiæ, et non statim, qui ausus est aliquid tale loqui anathe-
B mati subjectus est a sanctis Patribus?

Si quis igitur post ejusmodi rectam confessionem, et hæreticorum condemnationem, salvo manente pio intellectu, de nominibus vel syllabis vel dictionibus contendens, separat se a sancta Dei Ecclesia, tanquam non in rebus, sed in nominibus solis et dictionibus posita nobis pietate : talis ut pote dissensionibus gaudens, rationem pro semetipso, et pro deceptis et decipiendis ab eo, reddet magno Deo et Salvatori nostro Jesu Christo in die judicii. Amen.

Justiniani imperatoris ad sanctam synodum epistola de Theodosio Mopsuesteno et reliquis.

Semper quidem studium fuit orthodoxis et piis imperatoribus patribus nostris, pro tempore exortas
C hæreses per congregationem religiosissimorum sacerdotum amputare, et recta fide sincere prædicata, in pace sanctam Dei Ecclesiam custodire. Quapropter et Constantinus Magnus, Ario blasphemante et dicente Filium non esse consubstantialem Deo et Patri, sed creaturam, et ex non exstantibus factum esse, congregavit Nicææ trecentos decem et octo Patres, et cum ipse concilio interfuisset, damnato et anathematizato Ario rectam fidem confirmare studuit : per quam divini illi Patres confitentes Filium consubstantialem esse Deo et Patri, non vero creaturam et ex non exstantibus factum, usque ad hodiernum diem canitur. Theodosius autem senior, Macedonio negante deitatem sancti Spiritus, et Apollinario ejus discipulo blasphemante incarnati Dei Verbi dispensa-
D tionem, et dicente Dei Verbum non assumpsisse mentem humanam, sed carni animam rationalem habenti fuisse unitum, congregatis in Constantinopolitana urbe centum quinquaginta Patribus, ac ipse particeps conciiii effectus, damnatis et anathemate perculsis prædictis hæreticis una cum impiis eorum dogmatibus ac sectatoribus, curam adhibuit ut recta fides prædicaretur. Theodosius vero Junior, impio Nestorio dicente alium esse Deum Verbum, et alium Christum, ac Verbum quidem natura esse Filium Dei et Patris, Christum vero tantum ex gratia Filium impie introducente, et sanctam Mariam Dei genitricem esse negante ; congregavit priorem Ephesinam synodum ducentorum sanctorum Patrum, et directis principibus qui deberent concilio interesse, jussit et

σθαι. Καὶ δὴ γενομένης ἀκριβοῦς ἐξετάσεως κατεδίκασαν Νεστόριον, ἀναθεματίσαντες σὺν τοῖς ὁμόφροσιν αὐτοῦ. Τούτων δὲ οὕτω προελθόντων, ἐπαναστάντες Κυρίλλῳ τῷ πανοσιωτάτῳ οἱ τῆς ἐξαγίστου Νεστορίου μερίδος, ἐσπούδασαν, τό γε ἐπ' αὐτοῖς, ἀνατρέψαι τὴν κατὰ Νεστορίου γεγενημένην κρίσιν. Ἀλλ' οὖν γε Θεοδόσιος ὁ βασιλεὺς ἀντιλαμβανόμενος τῶν ὄντως ὀρθῶς κατὰ Νεστορίου καὶ τῶν πονηρῶν αὐτοῦ δογμάτων κριθέντων, παρεσκεύασε κρατεῖν γενναίως [Latinus interpres legit οὕτως] τὴν ἐπ' αὐτῷ γεγενημένην κρίσιν. Καὶ γὰρ πρὸς τούτοις καὶ ἄλλα τινὰ κατὰ τοῦ θείου Κυρίλλου καταφλυαρησάντων, γράφει πρὸς τὸν βασιλέα Κύριλλος τοιαῦτα· « Ἐπειδήπερ ἐπυθόμην, ὦ εὐσεβέστατε βασιλεῦ, τῶν φιλολογεῖν εἰωθότων τινὰς ἀγρίων σφηκῶν δίκην περιβομβεῖν, καὶ μοχθηροὺς ἐρεύγεσθαι κατ' ἐμοῦ λόγους, ὡς ἐξ οὐρανοῦ κατακομισθέν, καὶ οὐκ ἐκ τῆς ἁγίας παρθένου λέγοντος τὸ θεῖον σῶμα Χριστοῦ, καὶ μέν τοι καὶ δύο υἱοὺς κατὰ Νεστόριον ὁμολογεῖν ἡμᾶς κατεφλυάρησαν, δεῖν ᾠήθημεν ὀλίγα περὶ τούτου πρὸς αὐτοὺς εἰπεῖν οὕτως· Ὦ ἀνόητοι καὶ μόνον εἰδότες συκοφαντεῖν, πῶς εἰς τοῦτο παρήχθητε γνώμης, καὶ τοσαύτην νενοσήκατε μανίαν; ἔδει σαφῶς ἐννοεῖν, ὅτι σχεδὸν ἅπας ἡμῖν ὁ ὑπὲρ τῆς πίστεως ἀγὼν συνεκεκρότητο διαβεβαιουμένοις, ὅτι θεοτόκος ἐστὶν ἡ ἁγία Μαρία. Ἀλλ' ἐπείπερ ἐξ οὐρανοῦ, καὶ οὐκ ἐξ αὐτῆς γεγεννῆσθαι τὸ θεῖον σῶμα τοῦ Χριστοῦ λέγομεν, ὥς φασι, πῶς ἂν νοοῖτο θεοτόκος; τίνα γὰρ ὅλως τέτοκεν, εἰ μὴ ἔστιν ἀληθὲς ὅτι γεγέννηκε κατὰ σάρκα τὸν Ἐμμανουήλ; γελάσθωσαν τοίνυν οἱ ταῦτα καὶ τὰ τοιαῦτα κατ' ἐμοῦ πεφλυαρηκότες. Οὐ γὰρ ψεύδεται λέγων ὁ μακάριος Ἡσαΐας· — Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι, μεθ' ἡμῶν ὁ Θεός. — Ἀληθεύει δὲ πάντως καὶ ὁ ἀρχάγγελος Γαβριὴλ πρὸς τὴν παρθένον εἰπών· — Μὴ φοβοῦ, Μαριάμ, εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ· καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρί, καὶ τέξεις υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. — Ὅταν δὲ λέγομεν, ἄνωθεν ἐξ οὐρανοῦ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, οὐχ ὡς ἄνωθεν ἐξ οὐρανοῦ κατενεχθείσης τῆς ἁγίας αὐτοῦ σαρκὸς ταῦτά φαμεν, ἀλλ' ὡς ἑπόμενοι τῷ ἱερῷ Παύλῳ φάσκοντι, — Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ὁ κύριος ἐξ οὐρανοῦ. — Μεμνήμεθα δὲ καὶ αὐτοῦ τοῦ κυρίου λέγοντος, — Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου. — Καίτοι γεγέννηται κατὰ σάρκα, ὡς εἴρηται, ἐκ τῆς ἁγίας παρθένου, ἐπειδὴ δὲ ὁ ἄνωθεν ἐξ οὐρανοῦ καταφοιτήσας Θεὸς λόγος κεκένωκεν ἑαυτόν, μορφὴν δούλου λαβών, καὶ κεχρημάτικεν ἀνθρώπου υἱὸς μετὰ τοῦ μεῖναι ὃ ἦν, τουτέστι Θεός· ἄτρεπτος γὰρ καὶ ἀναλλοίωτος κατὰ φύσιν ἐστίν· ὡς εἷς ἤδη νοούμενος μετὰ τῆς ἰδίας σαρκός, ἐξ οὐρανοῦ λέγεται κατελθεῖν, ὠνόμασται δὲ καὶ ἄνθρωπος ἐξ οὐρανοῦ, τέλειος ὢν ἐν θεότητι, καὶ τέλειος ὁ αὐτὸς ἐν ἀνθρωπότητι, καὶ ὡς ἐν ἑνὶ προσώπῳ νοούμενος. Εἷς γὰρ κύριος Ἰησοῦς Χριστός, κἂν ἡ τῶν φύσεων διαφορὰ μὴ ἀγνοῆται, ἐξ ὧν τὴν ἀπόρρητον ἕνωσίν φαμεν πεπρᾶχθαι. Τοιγαροῦν ὁμολογοῦμεν τὸν μονογενῆ υἱὸν τοῦ Θεοῦ λόγον, Θεὸν τέλειον, καὶ ἄνθρωπον τέλειον, ἐκ ψυχῆς λογικῆς καὶ σώματος, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρ-

A ipsum Nestorium adesse, et judicium de eo fieri: diligentique examinatione facta, damnarunt et anathematizarunt Nestorium una cum sectatoribus ejus. His autem ita subsecutis, cum insurrexissent contra sanctissimum Cyrillum sectatores impii Nestorii, conati sunt (quantum in ipsis fuit) rescindere sententiam contra Nestorium latam. Sed Theodosius imperator, defendens ea quæ ita recte contra Nestorium et impia ejus dogmata fuerant judicata, damnationis sententiam in eum factam ratam haberi curavit. Insuper autem cum et quædam alia crimina divino Cyrillo apud imperatorem nugaciter impingerent, ad imperatorem Cyrillus in hanc sententiam scripsit: « Postquam mihi, piissime imperator, renuntiatum est, quosdam garrulos instar vesparum ferarum susurris suis aures tuas personare, et maledicta in me B eructare, nugantes me asserere Christi divinum corpus cœlo delatum, et non de sancta Virgine assumptum; itemque duos filios de sententia Nestorii confiteri: existimavi debere me adversus ipsos pauca in hanc sententiam dicere: O fatui, et nullius rei nisi calumniandi gnari, quomodo in hanc devenistis sententiam, tantumque insaniæ concepistis? Omnino enim oportebat hoc vos perspicue sentire, totam fere nostram de fide disputationem inde ortam, quod nos sanctam Mariam Deiparam esse contendimus. Atqui si, ut illi dicunt, nos corpus Christi divinum cœlitus venisse, non ex ipsa natum dicimus, quomodo Deipara dici poterit? Quem enim peperit, si hoc verum non est, quod secundum carnem pepererit Emmanuelem? Rideantur ergo qui hæc et talia de me bla- C terant. Non enim mentitur sanctus Isaias cum ita vaticinatur: *Ecce virgo in utero habebit, et pariet filium, et vocabunt eum Emmanuel, quod est, nobiscum Deus* (*Isa.* VII). Et haud dubie verum dixit Gabriel archangelus ita Mariam alloquens: *Ne timeas, Maria, invenisti enim gratiam apud Deum. Ecce concipies in utero, et paries filium, et vocabis nomen ejus Jesum: ipse enim salvum faciet populum suum a peccatis eorum* (*Luc.* I; *Matth.* I). Cum autem Dominum nostrum Jesum Christum dicimus desuper de cœlo venisse, non eo sensu dicimus, quasi putemus eum sanctam suam carnem de cœlo detulisse; sed sequimur sanctum Paulum, qui ita ait: *Primus homo de terra terrenus; secundus, Dominus e cœlo* (*I Cor.* XV). D Imitamur etiam et ipsum Dominum dicentem: *Nemo ascendit in cœlum, nisi qui descendit de cœlo, Filius hominis* (*Joan.* III). At vero quod ad carnem attinet, natus est, sicut diximus, ex beata Virgine. Sed quoniam Verbum Dei de cœlo descendens, *seipsum exinanivit, formam servi assumendo*, filiusque hominis exstitit, cum tamen idem permaneret qui antea fuerat, scilicet Deus (est enim immutabilis, et nulli alterationi obnoxiæ naturæ), cum jam unus intelligatur esse cum propria carne, dicitur de cœlo venisse Et nominatur etiam homo de cœlo, cum sit perfectus in deitate, idemque perfectus in humanitate: intelligiturque una esse persona. Unus enim est Dominus Jesus Christus, tametsi naturarum discrimen non ignoretur, ex quibus ineffabilem illam dicimus factam

θένου κατὰ τὴν ἀνθρωπότητα· ὁμοούσιον τῷ πατρὶ τὸν αὐτὸν κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. Δύο γὰρ φύσεων ἕνωσις γέγονεν· ὅθεν ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα κύριον ὁμολογοῦμεν. Καὶ τὴν ἁγίαν παρθένον ἀληθῶς θεοτόκον, διὰ τὸ τὸν Θεὸν λόγον σαρκωθῆναι, καὶ ἐνανθρωπῆσαι, καὶ ἐξ αὐτῆς συλλήψεως ἑνῶσαι αὐτῷ τὸν ἐξ αὐτῆς ληφθέντα ναόν. Καί, εἰ δοκεῖ, δεξώμεθα εἰς παράδειγμα τὴν καθ' ἡμᾶς αὐτοὺς σύνθεσιν, καθ' ἣν ἐσμεν ἄνθρωποι. Συντεθείμεθα γὰρ ἐκ ψυχῆς καὶ σώματος, καὶ ὁρῶμεν φύσεις δύο, ἑτέραν μὲν τοῦ σώματος, ἑτέραν δὲ τῆς ψυχῆς. Ἀλλ' εἷς ἐξ ἀμφοῖν καθ' ἕνωσιν ἄνθρωπος, καὶ οὐχὶ τὸ ἐκ δύο φύσεων συντεθεῖσθαι, δύο ἀνθρώπους τὸν ἕνα νοεῖσθαι παρασκευάζει. Ἀλλ' ἕνα τὸν ἄνθρωπον κατὰ σύνθεσιν, ὡς ἔφην, τὸν ἐκ ψυχῆς καὶ σώματος. Ἐὰν γὰρ ἀνέλωμεν τό, ὅτι ἐκ δύο καὶ διαφόρων φύσεων ὁ εἷς καὶ μόνος ἐστὶ Χριστός, ἀδιάσπαστος ὢν μετὰ τὴν ἕνωσιν, ἐροῦσιν οἱ δι' ἐναντίας· — Εἰ μία φύσις τὸ ὅλον, πῶς ἐνηνθρώπησεν, ἢ ποίαν ἰδίαν ἐποιήσατο σάρκα; — Τοὺς δὲ λέγοντας, ὅτι κρᾶσις, ἢ σύγχυσις, ἢ φυρμὸς ἐγένετο τοῦ Θεοῦ λόγου πρὸς τὴν σάρκα, καταξιωσάτω σου ἡ θεοσέβεια προδήλως ἐπιστομίζειν. » Μετὰ δὲ ταῦτα Κυρίλλου τελευτήσαντος, ἐπιφύεται μοναχός τις καὶ ἀρχιμανδρίτης Εὐτυχὴς ὀνομαζόμενος, καὶ ἀποσπᾷ κατόπιν αὐτοῦ μέρος οὐκ ὀλίγον τοῦ λαοῦ, κυρῶν τὰ Νεστορίου καὶ τὸ αὐτοῦ πονηρὸν δόγμα, φάσκων μὴ εἶναι τὴν σάρκα τοῦ κυρίου ἡμῖν ὁμοούσιον. Καὶ δὴ πάλιν μετ' ὀλίγον διαβολικῆς ἰσχυσάσης χειρός, ἑτέρα σύνοδος ἐν Ἐφέσῳ λῃστρικὴ καὶ οὐχ ὁσία γίνεται, παραπεμφθέντος ἐκεῖσε καὶ Φλαβιανοῦ Κωνσταντινουπόλεως, τὴν πᾶσαν ἐξουσίαν Διοσκόρου Ἀλεξανδρείας ἔχοντος. Καὶ φονεύεται μὲν Φλαβιανὸς ὁ θεῖος ὑπερμαχῶν τῆς ὀρθοδόξου πίστεως, ἀνατρέπεται δὲ ἡ ἐν Ἐφέσῳ πρώτη σύνοδος, ὑπογραψάντων φονικῇ βίᾳ τινῶν ἐπισκόπων, ἐξ ὧν ὑπῆρχε Βασίλειος ὁ Σελευκείας. Κἀντεῦθεν τῶν τοῦ Νεστορίου καὶ Διοσκόρου καὶ Εὐτυχοῦς δημοσιευομένων πονηρῶν δογμάτων, καὶ πολλῆς ταραχῆς γενομένης, μάλιστα ἐν τῇ ἀνατολῇ, φονεύεται Προτέριος ὁ μέγας ἱερεύς, καὶ ἕτεροι πλεῖστοι. Τούτων οὖν οὕτως ἐχόντων ἀνίσταται θεόθεν Μαρκιανὸς ὁ βασιλεύς, καὶ συναγαγὼν ἐν Χαλκηδόνι τὴν τῶν χλ' πατέρων σύνοδον, παρόντων Διοσκόρου καὶ Εὐτυχοῦς, καὶ αὐτὸς ἐπορεύθη. Καὶ καταδικάζονται μὲν Διόσκορος καὶ Εὐτυχής, καὶ Νεστόριος πάλιν ἀναθεματίζεται. Θεοδώριτον δέ, καὶ Ἴβαν, καὶ Βασίλειον Σελευκείας ἐδέξαντο καθυπογράψαντας, καὶ τῆς λῃστρικῆς συνόδου ἀνατραπείσης καὶ ἀναθεματισθείσης, εἰς μίαν συμφωνίαν ἤγαγον πάντας οἱ θεῖοι πατέρες. Τούτων δὲ τῶν τεσσάρων συνόδων οὕτω γενομένων καὶ ἐπιβεβαιωθεισῶν, καὶ κρατουσῶν ἐν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ, οἱ τὰ Νεστορίου φρονοῦντες ἐσπούδασαν αὖθις τὴν αἵρεσιν αὐτῶν κρατῦναι διὰ τῆς Θεοδώρου τοῦ Μοψουεστίας ἀφορμῆς, πολλῷ χείρονα τοῦ μαθητοῦ αὐτοῦ Νεστορίου βλασφημήσαντος. Ὅθεν τοίνυν καὶ ἡμεῖς ἀκολουθοῦντες τοῖς ἡμετέροις πατράσι, καὶ βουλόμενοι τὴν ὀρθὴν πίστιν ἀλώβητον διαφυλάττεσθαι, προτρέπομεν καὶ τούτου τὰς βλασφημίας διεξετάσαντας, κατ' αὐτοῦ καὶ τῶν ὁμοφρόνων αὐτοῦ ἀποφήνασθαι. Πρὸς γὰρ ταῖς ἄλλαις ἀναριθμήτοις αὐτοῦ δυσφημίαις εἰς Χριστὸν τὸν Θεὸν ἡμῶν γενομέναις, ἄλλον εἶναι τὸν Θεὸν λόγον καὶ ἄλλον τὸν Χριστὸν ἀπὸ τῶν τῆς ψυχῆς παθῶν, καὶ τῶν τῆς σαρκὸς ἐπιθυμιῶν ἐνοχλούμενον, καὶ

A unitionem. Fatemur itaque Verbum, unigenitum Dei Filium, Deum esse perfectum, et perfectum hominem corpore et anima ratione prædita constantem; quod ad deitatem attinet, ex Patre natum ante sæcula, eumdem autem ultimis temporibus propter nos et propter nostram salutem ex Maria Virgine secundum humanitatem: consubstantialem Patri secundum divinitatem, et consubstantialem nobis secundum humanitatem. Duarum enim naturarum facta est unio. Inde est, quod unum Christum, unum Filium, unum Dominum confitemur, atque etiam sanctam Virginem vere fuisse Deiparam, ideo quod Deus Verbum carnem induit et homo factus est, atque in ipsa conceptione sibi univit templum, quod ex ipsa assumebat. Si placet, exempli loco accipiamus nostrum
B ipsorum compositionem, quatenus homines sumus. Constamus nimirum anima et corpore. Ac videmus duas naturas, aliam corporis, aliam animæ; hominem vero, ex utriusque unitione facta, unum: neque compositio ex duabus naturis efficit, ut pro uno homines duos cogitemus; sed unum (ut dixi) intelligimus hominem ex anima et corpore compositum. Si enim hoc tollamus, ex duabus et differentibus naturis unum et indivulsum Christum ab unitione existere, dicent adversarii: Si una natura totius Christi est, quomodo potuit humanam naturam induere, aut quam carnem sibi propriam asciscere? Eos autem qui dicunt contemperationem, confusionem aut mixtionem naturarum Verbi Dei cum carne factam, palam iis ora obturare tua pietas dignetur. » Post hæc autem
C Cyrillo mortuo, emersit monachus quidam et archimandrita nomine Eutyches. Hic non exiguam populi partem sibi adjunxit, Nestorii sectam et impium ejus dogma approbans, ac dicens carnem Domini non esse consubstantialem nobis. Et rursum quidem non multo post diabolica manu prævalente, aliud Ephesi concilium latronum, et nequaquam sanctum cogitur: misso ad id etiam Flaviano Constantinopolitano, cum penes Dioscorum Alexandrinæ episcopum summa rerum ibi esset. Divinus autem Flavianus defendens orthodoxam fidem, occiditur: priori vero Ephesinæ synodo auctoritas abrogatur, subscribentibus quibusdam episcopis lethali vi compulsis, inter quos fuit etiam Basilius Seleuciæ episcopus. Hinc cum publice docerentur Nestorii, Dioscori et Eutychis per-
D niciosa dogmata, magnique præsertim in Oriente existerent tumultus, occisi sunt Proterius sacerdos magnus, et alii plurimi. Eo rerum statu Marcianus divinitus creatur imperator: qui coacto Chalcedone sexcentorum triginta Patrum concilio, præsentibus Dioscoro et Eutyche, in eo una cum ipsis interfuit: ibique damnantur quidem Dioscorus et Eutyches, et iterum Nestorius anathematizatur: Theodoretus autem, Ibas et Basilius Seleuciæ episcopus recepti sunt, cum tamen priori [*lege* prius, *ut infra*] concilio subscripsissent. Et ita abolitis prædatoriæ synodi actis et damnatis, concordia a sanctis Patribus inter omnes conciliata est. His quatuor conciliis sic actis et confirmatis, et auctoritatem in Ecclesia Dei obtinentibus, Nestorii sequaces denuo suam hæresim confir-

τῶν χειρόνων κατὰ μικρὸν ἀφιστάμενον πρὸς τὰ κρείττονα τῇ προκοπῇ τῶν ἔργων ἐληλυθέναι, καὶ τῇ ἀρίστῃ πολιτείᾳ γενόμενον ἄμωμον. Καὶ ὡς ψιλὸν ἄνθρωπον ἐν ὀνόματι πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος βαπτισθῆναι, καὶ διὰ τοῦ βαπτίσματος τὴν χάριν τοῦ ἁγίου πνεύματος εἰληφέναι καὶ υἱοθεσίας ἠξιῶσθαι, καὶ καθ' ὁμοίωσιν βασιλικῆς εἰκόνος εἰς πρόσωπον τοῦ Θεοῦ λόγου τὸν Χριστὸν προσκυνεῖσθαι, καὶ μετὰ τὴν ἀνάστασιν ἄτρεπτον ταῖς ἐννοίαις καὶ ἀναμάρτητον γεγενῆσθαι. Καὶ πρὸς τούτοις εἶπε, τοιαύτην γεγενῆσθαι τὴν ἕνωσιν τοῦ Θεοῦ λόγου πρὸς τὸν Χριστὸν, ὁποίαν ὁ ἀπόστολος ἔφη περὶ τοῦ ἀνδρὸς καὶ τῆς γυναικός· « Ἔσονται οἱ δύο εἰς σάρκα μίαν· » ἔτι δὲ προτρέπομαι ὑμᾶς ἐξετάσαι καὶ τὰ κακῶς γραφέντα παρὰ Θεοδωρίτου καὶ Ἴβα κατὰ τῆς ἐν Ἐφέσῳ πρώτης ἁγίας συνόδου, καὶ ὁμοίως τὰ κατ' αὐτοῦ ἀποφήνασθαι.

A maverunt opera Theodori Mopsuesteni, qui multo pejora quam Nestorius ejus discipulus blasphemavit. Nos igitur sequentes sanctos patres nostros, et volentes rectam fidem sine ulla macula conservare, hortamur vos, ut hujus quoque blasphemias examinantes, de eo et sectatoribus ejus sententiam feratis. Nam præter innumera alia quæ impie in Christum Deum nostrum maledicta evomuit, id quoque protulit, alium esse Deum Verbum, alium Christum, qui animi perturbationibus et carnis cupiditatibus molestiam ipsi exhibentibus, paulatim a deterioribus desistens, factorum profectu in melius evaserit, inculpataque optimæ vitæ ratione usus sit. Qui, ut purus homo, in nomine Patris, et Filii, et Spiritus sancti baptizatus, per baptismum gratiam Spiritus B sancti consecutus, adoptione sit dignatus; et ad similitudinem regiæ imaginis Christus in persona Verbi Dei adoratus, post resurrectionem animo constanti et peccatorum vacuo fuerit. Præterea pronuntiavit eam fuisse Verbi cum Christo unitionem, quæ est ab Apostolo dicta viri cum muliere : *Et erunt duo in una carne* (*I Cor.* IX). Ad hæc vos hortor, ut ea etiam examinetis quæ a Theodoreto et Iba male scripta sunt contra prius Ephesinum sanctum concilium, contraque eos eodem modo sententiam feratis.

Καὶ ταῦτα πάλιν ὡσαύτως οἱ θεῖοι πατέρες πολυπραγμονήσαντες ἀπεκρίθησαν· ἡ μὲν ἐν Χαλκηδόνι θεία σύνοδος Θεοδωρίτου καὶ Ἴβα πολλὰ καταβοήσασα, οὐκ ἄλλως αὐτοὺς ἐδέξατο, εἰ μὴ πρότερον ἀνεθεμάτισαν τὰ ἴδια πονηρὰ συγγράμματα, καὶ Θεόδωρον καὶ Νεστόριον. Ἡμεῖς δὲ κατακρίνομεν καὶ ἀναθεματίζομεν πρὸς τοῖς ἄλλοις ἅπασιν αἱρετικοῖς τοῖς κατακριθεῖσι καὶ ἀναθεματισθεῖσιν ὑπὸ τῶν εἰρημένων ἁγίων τεσσάρων συνόδων, καὶ Θεόδωρον γενόμενον ἐπίσκοπον Μοψουεστίας, καὶ τὰ δυσσεβῆ συγγράμματα αὐτοῦ. Καὶ μέν τοι καὶ τὰ κακῶς παρὰ Θεοδωρίτου συγγραφέντα κατά τε τῆς ὀρθῆς πίστεως καὶ τῶν δώδεκα κεφαλαίων τοῦ ἐν ἁγίοις Κυρίλλου, καὶ τῆς ἐν Ἐφέσῳ πρώτης ἱερᾶς συνόδου, καὶ ὅσα ὑπὲρ συνηγορίας Θεοδώρου καὶ Νεστορίου αὐτῷ γέγραπται. Πρὸς τούτοις ἀναθεματίζομεν καὶ τὴν ἀσεβῆ ἐπιστολὴν τὴν λεγομένην παρὰ Ἴβα γεγράφθαι πρὸς Μάριν τὸν Πέρσην, τὴν ἀρνουμένην τὸν Θεὸν λόγον ἐκ τῆς ἁγίας παρθένου τῆς θεοτόκου Μαρίας σαρκωθέντα ἄνθρωπον γεγενῆσθαι, καὶ τὸν θεσπέσιον Κύριλλον ὡς αἱρετικὸν διαβάλλουσαν, καὶ μεμφομένην μὲν τὴν ἐν Ἐφέσῳ πρώτην ἁγίαν σύνοδον, ὡς χωρὶς κρίσεως καὶ ζητήσεως τὸν Νεστόριον καθελοῦσαν, καὶ τὰ δώδεκα κεφάλαια τοῦ μακαρίου Κυρίλλου διαπτύουσαν, ἐκδικοῦσαν δὲ Θεόδωρον καὶ Νεστόριον, καὶ τὰ θεοστυγῆ αὐτῶν συγγράμματά τε καὶ δόγματα. Διὸ δὴ τοίνυν τὰς μὲν τῶν αἱρετικῶν τούτων, καὶ πάντων ἀθυροστόμους γλώσσας, καὶ τὰς τούτων ἀσεβεστάτας συγγραφὰς, αὐτούς τε τοὺς αἱρετικοὺς τοὺς μέχρι τέλους ἐμμείναντας τῇ οἰκείᾳ κακοδοξίᾳ καὶ πονηρίᾳ, μετὰ τοῦ πατρὸς τοῦ ψεύδους εἰκότως διαβόλου συναριθμοῦντες ἐροῦμεν· Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ, ᾗ ἐξεκαύσατε.

Patres, his rursum accurate consideratis, responderunt : Chalcedonense sacrum concilium Theodoretum et Ibam graviter verbis insectatum, non alia conditione in gratiam recepit, quam ut prius sua damnarent mala scripta, et Theodorum ac Nestorium. Nos autem præter reliquos omnes hæreticos a dictis quatuor sanctis conciliis damnatos, atque Ecclesia exclusos, damnamus etiam atque proscribimus Theodorum, qui fuit Mopsuestiæ episcopus, ejusque impios libros : nec non ea quæ Theodoretus male C scripsit contra veram fidem, et duodecim sancti Cyrilli capita, ac primam sanctam Ephesinam synodum, et pro defensione Theodori ac Nestorii. Præterea damnamus etiam epistolam quam Ibas fertur scripsisse ad Marim Persam, quæ negat Verbum Dei ex sancta Virgine Deipara Maria incarnatum hominem esse factum, et divum Cyrillum pro hæretico traducit; ac primam quidem Ephesinam sacram synodum reprehendit, ut quæ incognita causa Nestorium damnaverit; duodecim autem capitula sancti Cyrilli conspuit, Nestorio vero et Theodoro eorumque impiis scriptis et opinionibus patrocinatur. Quapropter effrenes hæreticorum istorum linguas, impiissimaque scripta, ipsosque ad extremum in falsis suis opinionibus ac D malitia perseverantes, optimo jure patri mendaciorum diabolo annumerantes, dicemus : *Vadite in lumine ignis vestri, et in flamma quam concepistis* (*Isai.* L).

JUSTINIANI IMPERATORIS EPISTOLA

ADVERSUS NONNULLOS IMPIUM THEODORUM ATQUE INIQUA EJUS DOGMATA, ET EPISTOLAM IBÆ DICTAM, NEC NON THEODORI LIBROS CONTRA CATHOLICAM FIDEM, SCRIPTIS PROPUGNANTES.

Ἴσον ἐπιστολῆς ἀντιγραφείσης παρὰ τοῦ εὐσεβεστάτου καὶ χριστιανικωτάτου Βασιλέως Ἰουστινιανοῦ πρός τινας γράψαντας καὶ ἐκδικήσαντας Θεόδωρον τὸν δυσσεβῆ,

Exemplar epistolæ a piissimo atque Christianissimo imperatore Justiniano perscriptæ adversus nonnullos impium Theodorum atque iniqua ejus dogmata,

καὶ τὰ αὐτοῦ πονηρὰ δόγματα, καὶ τὴν λεγομένην Ἴβα ἐπιστολὴν, καὶ τὰ συγγράμματα Θεοδωρίτου τὰ κατὰ τῆς ὀρθῆς πίστεως γεγραμμένα.

Γράμματα ὑμῶν ἐδεξάμεθα, ἅπερ ἀναγνόντες ἐθαυμάσαμεν, ὑμᾶς μὴ ἐννοήσαντας τὴν τοῦ κυρίου διδασκαλίαν λέγοντος, « Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, » ἀλλ' εἰς τοσοῦτον ὑπερηφανείας ἀρθέντας, ὡς πάντας τοὺς ἱερεῖς τῆς τοῦ Θεοῦ ἐκκλησίας ἐξουδενῶσαι, καὶ μόνους ὑμᾶς αὐτοὺς ἐκ πάντων δικαιῶσαι καθάπερ ἐκεῖνος ὁ Φαρισαῖος, ὃς οὐδὲ τὸν τελώνην κατακρίνας ἐδικαιώθη· καὶ ἐν ὅσῳ ἠλπίζομεν ὑμᾶς, ὅμοια τοῖς λοιποῖς ἱερεῦσι φρονεῖν, ηὕρομεν παρ' ἐλπίδας ἐκεῖνα ὑμᾶς ἐκδικοῦντας τὰ καὶ τῷ Θεῷ, καὶ τῇ ὀρθῇ πίστει ἐναντιούμενα· καὶ ὅμως τοιαύτην ἀσέβειαν ἐκδικοῦντες, ἴσους ὑμᾶς αὐτοὺς εἶναι τοῖς ἀποστόλοις ὑπελάβετε λέγοντες, μὴ ὀφείλειν τινὰ ὡς ἀγροίκους ὑμᾶς ὀνειδίζειν· ἐπειδὴ καὶ ὁ Θεὸς ἀγροίκοις προσέταξεν κηρύττειν τὸ εὐαγγέλιον· καὶ ἡμεῖς μὲν εἰ καὶ ἀγροίκους, ὡς λέγεται, ὑμᾶς ἐκαλέσαμεν, διὰ τοῦτο οὕτως εἴπομεν, ἐπειδὴ ἀγνοοῦντες τὴν ἐκκλησιαστικὴν τάξιν τε καὶ παράδοσιν καὶ τὴν ὀρθόδοξον πίστιν, τοιαύτην ἀσέβειαν ἐκδικεῖται [*F.* ἐκδικεῖτε]· τοὺς ἀποστόλους δὲ, οὓς ὑμεῖς ἀγροίκους καλεῖται [*F.* καλεῖτε], ὁ Θεὸς ἐπελέξατο ἑαυτῷ, καὶ τοῦ ἰδίου πνεύματος καὶ χάριτος καὶ σοφίας ἐπλήρωσε, καὶ οὕτως αὐτοὺς ἀπέστειλεν, ἵνα τὰ ἔθνη τὰ τὸν Θεὸν ἀγνοοῦντα πρὸς τὴν τῆς ἀληθείας ὁδὸν ὁδηγήσωσιν· ὅθεν καὶ αὐτοῖς μόνοις τοῖς ἀποστόλοις εἶπεν, « Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου· » φανεροὶ τοίνυν ἐστὲ, καθάπερ ὁ ἀπόστολος εἶπεν, « μὴ νοοῦντες, μήτε ἃ λέγετε, μήτε περὶ τίνων διαβεβαιοῦσθε· » ὅτι ἐτολμήσατε καὶ τοῖς ἀποστόλοις ἑαυτοὺς ἐξισῶσαι, καὶ τοὺς πατριάρχας καὶ πάντας τοὺς ἱερεῖς ἐνυβρίσαι. Τοσοῦτον δὲ τὴν ἐκκλησιαστικὴν κατάστασιν οὐκ ἐφυλάξατε, ὅτι [*F.* ὥστε] τὸ ἐν μηδενὶ χρόνῳ γενόμενον ὑπὸ Χριστιανῶν ἐτολμήσατε ποιῆσαι. Πάντων γὰρ τῶν μακαριωτάτων πατριαρχῶν τὴν πρὸς ἀλλήλους ἕνωσιν ἐχόντων οὐδεὶς ἑαυτὸν τῆς καθολικῆς ἐκκλησίας ἐχώρισεν, εἰ μὴ φανερῶς αἱρετικὴ μανία κατείχετο· ὅπερ ὑμεῖς ἐπὶ τοῦ παρόντος ποιεῖν ἐσπουδάσατε· ἀλλ' εἰ καὶ τοῦτο γέγονεν παρ' ὑμῶν, ὅμως ἡμεῖς οὐ παυόμεθα πᾶν ὅ τι οὖν πρὸς ἐπανόρθωσιν ὑμετέραν καὶ ποιοῦντες καὶ γράφοντες. Ἐπειδὴ τοίνυν ἐγράψατε λέγοντες, διὰ τοῦτο ἡμᾶς σπουδὴν ποιήσασθαι τὰ τρία ταῦτα κεφάλαια καταδικασθῆναι, τουτέστι Θεόδωρον μετὰ τῶν οἰκείων συγγραμμάτων, καὶ τὴν λεγομένην Ἴβα ἐπιστολὴν, καὶ τὰ Θεοδωρίτου συγγράμματα, ἵνα τὸ θέλημα πληρωθῇ τῶν ἀπὸ τῆς καθολικῆς ἐκκλησίας ἑαυτοὺς χωρισάντων, γινώσκετε ὅτι ἡμεῖς οὐ δι' ἐκείνους ἐποιήσαμεν τοῦτο, ἀλλὰ πρῶτον μὲν διὰ τὴν ἀσέβειαν τῶν προειρημένων κεφαλαίων, ἔπειτα δὲ, ὅτι τινὲς τὸ Νεστορίου ὄνομα σιωπᾷν προσποιούμενοι διὰ τῶν προειρημένων, αὐτὸν Νεστόριον καὶ τὴν κακοδοξίαν αὐτοῦ εἰσαγαγεῖν ἐπεχείρουν τὴν ἀσέβειαν τῶν κεφαλαίων τούτων τῇ καθολικῇ ἐκκλησίᾳ προσάπτοντες.

et epistolam Ibæ dictam, nec non Theodoriti libros contra catholicam fidem, scriptis propugnantes [a].

Litteras vestras accepimus, quas cum legeremus, vehementer mirati sumus, vos minime ad eam dominicam institutionem advertentes animum, qua dictum est : *Discite a me quia mitis sum et humilis corde* (*Matth.* XI, 29), in id fastigii esse sublatos, ut nihili faciendos universos Ecclesiæ Dei antistites judicetis, vos autem solum præ cæteris justitiam consecutos esse arbitremini; ejus propterea Pharisæi similes, *qui justificatus non est, quod publicanum condemnasset iniquitatis* (*Luc.* XVIII, 14). Cumque vos haud ab cæteris sacerdotibus dissimilia sapienter sentire speraremus, inopinato invenimus, dogmata a vobis cum Deo rectaque fide ejus pugnantia sustineri, simulque ejusmodi impietatem omni conatu defendentes, id vobis præsidio sumere, quod apostolis pares vos esse jactetis, neque fas esse, ut a quopiam imperitiæ atque ruditatis reprehendamini, propterea quod Deus etiam ipse rudibus atque agrestibus hominibus mandaverit Evangelii sui prædicationem. Ac nos quidem, cum agrestes vos nominaremus, ea usi sumus loquendi ratione, propterea quod ecclesiasticas regulas atque traditiones negligentes, ipsiusque orthodoxæ fidei imperiti, eam impietatem propugnaretis. Apostolos namque, quos vobis agrestes appellare libuit, sibi præelegit Deus, Spirituque suo atque sapientia replevit, eaque ratione præparatos misit, ut gentibus quæ ignorant Deum, duces essent ad semitam veritatis. Itaque Apostolis ipsis unice dictum est : *Vos estis lux mundi* (*Matth.* V, 14), lucidi ergo estote, quemadmodum ipsis iterum subjectum est a Domino : *Nolite cogitare, neque quid loquamini, neque qua de re laturi sitis testimonium* (*Matth.* X, 19). Ausi estis vosmetipsos apostolis comparare, omnesque sacerdotes injuria lacessere non estis veriti, atque adeo a vobis neglectæ sunt ecclesiasticæ sanctiones, ut id moliri per summam audaciam institueritis, quod nulla unquam Christianæ religionis ætate fieri a quopiam tentatum est. Beatissimis videlicet patriarchis mutuam traditionem omni tempore inviolatam vicissim custodientibus, nemo unquam, nisi qui palam hæretica vesania captus esset, Ecclesiam schismate divisit, quod vos impræsentiarum ut fieret curavistis. Cui quidem malo quod patrare aggressi estis, ut ipsi medeamur, vehementi flagramus desiderio, qui nimirum opere ac scriptis id unum contendimus, ut resipiscatis. Jam vero, cum in hanc sententiam scripseritis, a nobis diligenter curatum esse, ut tria hæc capitula, Theodorus scilicet cum scriptis suis, epistola quæ Ibæ dicitur, Theodoritique pariter scripta condemnarentur, hoc animo, ut voluntati nostræ fieret satis, quod incredibili cupiditate incenderemur, ut a catholica separarentur Ecclesia : cognoscite, id minime a nobis eorum causa factum fuisse; sed primo quidem quod graviter commoti essemus eorum capitulorum impietate, post autem, quia non defuerunt, qui suppresso Nestorii nomine, Nestorii tamen studentes partibus, erroneam ejus fidem inducere niterentur, Ecclesiæque tribuere non vererentur eorum capitum impietatem.

[a] Quæ quidem epistola, cum omnibus adhuc ignota latuerit, plurimumque rei ecclesiasticæ promovendæ contulerat, nunc addita Latina versione, quam eleganter confecit Clariss. Dominicanæ familiæ Monachus Jo. Dominicus Stratico, in lucem prodit, ex recensione V. Cl. Angeli Mar. Bandini, I. U. D. et Cæsareæ Mediceæ bibliothecæ præfecti.

Διὰ τοῦτο ἡμεῖς, εἰ καὶ φανερὰ ἦν ἡ τῶν αὐτῶν κεφαλαίων ἀσέβεια, ὅμως ἠρωτήσαμεν τοὺς ἱερεῖς τῆς τοῦ Θεοῦ ἐκκλησίας, τί περὶ τούτων φρονοῦσιν· οἵτινες δεῖξαι βουλόμενοι, ὅτι τὴν τοιαύτην ἀσέβειαν ἡ καθολικὴ ἐκκλησία οὐδὲ ἔσχε ποτὲ, οὐδὲ ἔχει, κατεδίκασαν καὶ αὐτοὶ τὴν τοιαύτην δυσσέβειαν, ἐξ ἀρχῆς ὑπὸ τῶν ἁγίων πατέρων καταδεδικασμένην· οὐδὲ γὰρ οἱ τῆς καθολικῆς ἐκκλησίας κεχωρισμένοι περὶ τούτων τῶν κεφαλαίων λόγον τινὰ ποιοῦνται, εἰδότες ὅτι ταῦτα οὐδεὶς δύναται χριστιανοῦ προσηγορίαν ἔχων ἐκδικεῖν, ἀλλὰ τῷ ὅρῳ ἐναντιοῦνται τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου, τῷ περὶ τῆς πίστεως προενεχθέντι πρὸς κατάκρισιν Νεστορίου, καὶ Εὐτυχοῦς, καὶ τῆς αὐτῶν ἀπιστίας. Οἱ γὰρ τοῖς ὀρθοῖς τῆς ἐκκλησίας ἐναντιούμενοι δόγμασιν, ἐπιθυμοῦσιν μᾶλλον τὰ μνημονευθέντα ἀσεβῆ κεφάλαια ἐκδικεῖν τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν, ἵνα διὰ ταύτης τῆς προφάσεως τοὺς ἁπλουστέρους ἀπατήσωσι, καὶ τὸν Χριστιανὸν λαὸν τῆς ἐκκλησίας χωρίσωσιν. Ἐπειδὴ δὲ ἐγράψατε δύο, εἰ δὴ [*F.* εἰ δεῖ *sive* εἰ χρὴ] τὴν ἀσεβῆ ἐκείνην περιέχειν ἐπιστολήν· ἓν μὲν, ὅτι ὀρθῶς, ὡς λέγεται, κατὰ Ἀπολιναρίου ἠγωνίσατο· ἕτερον δὲ, ὅτι κἂν ἔδοξεν ὁ γράψας τὴν ἐπιστολὴν τὸν ἐν ἁγίοις Κύριλλον διασύρειν, ὅμως τοῦτον τὸν σπῖλον τῆς ὕβρεως ἐν τῷ τῆς ἐπιστολῆς ἀνέτρεψε τέλει, καὶ διὰ τοῦτο λέγεται, ὀφείλειν τὴν αὐτὴν ἀσεβῆ ἐπιστολὴν ὀρθόδοξον κρίνεσθαι· δῆλοι καθεστήκατε, ὅτι οὔτε τὸ ὕφος, οὔτε τὴν δύναμιν ἔγνωτε τῆς αὐτῆς ἀσεβοῦς ἐπιστολῆς, κατὰ Ἀπολιναρίου γὰρ οὐδὲν περιέχει, ἀλλ' αὐτὸν τὸν ἐν ἁγίοις Κύριλλον Ἀπολιναριαστὴν καλεῖ· καὶ οὐδὲ ἐν τῷ τέλει ἡ αὐτὴ ἀσεβὴς ἐπιστολὴ ἀνέτρεψε τὰ κατὰ τοῦ αὐτοῦ ἐν ἁγίοις εἰρημένα Κυρίλλου, μᾶλλον μὲν οὖν τὰ χείρονα κατ' αὐτοῦ ἐν τοῖς τελευταίοις εἶπεν· προϊόντες δὲ ὅμως καὶ πᾶσαν τὴν ἀσέβειαν τῆς λεγομένης Ἴβα ἐπιστολῆς, καὶ τὴν ματαιότητα τῶν κεφαλαίων, ὧνπερ ἐπέμψατε, ἀποδείξομεν. Πάντων γὰρ ἀναγνωσθέντων τῶν παρ' ὑμῶν γεγραμμένων, σφόδρα ἐλυπήθημεν, ὅτι εἰς τοιαύτην ἐνεπέσατε πλάνην, ἄνθρωποι ἐξ ἐκείνης ὄντες τῆς χώρας, ὅπου ἀεὶ πρὸ ὑμῶν ἡ ὀρθὴ πίστις ἀμώμητος ἐφυλάχθη. Ὅθεν ἀναγκαῖον ἐνομίσαμεν εἶναι καὶ πρὸς τὰ ῥηθέντα ὑμῶν κεφάλαια ἀντιγράψαι, καὶ παραινέσαι ὑμῖν ταύτης τῆς ἀσεβείας, καὶ τοῦ ἀσεβοῦς ὑμῶν διδασκάλου ἀποστῆναι, τοῦ τὰ προειρημένα κεφάλαια συγγραψαμένου. Ἀπατῆσαι γὰρ θέλων ὑμᾶς ῥήματά τινα προήγαγεν ἐκ τῶν θείων γραφῶν, ἃ τινα νοήσας κακῶς προσαρμόσαι ῥήμασί τισι τῆς προειρημένης ἀσεβοῦς ἐπιστολῆς ἐπεχείρησεν· ὅπερ οἱ αἱρετικοὶ πάντες ποιοῦσι, ῥήματά τινα τῶν θείων γραφῶν παρερμηνεύοντες, καὶ πρὸς τὴν διεστραμμένην ἑαυτῶν μεταφέροντες ἔννοιαν· καὶ δοκεῖ ἡμῖν ὁ ἀσεβὴς ὑμῶν διδάσκαλος, ἢ μὴ ἀνεγνωκέναι τὴν ἀνώνυμον ἐκείνην ἐπιστολὴν, ἢ ἀνεγνωκέναι μὲν κακούργως καὶ ῥήματά τινα ταύτης προαγαγεῖν, τὰ πλείονα δὲ καὶ χείρονα σιωπῆσαι. Λεγούσης γὰρ τῆς αὐτῆς ἐπιστολῆς περὶ τοῦ μακαρίου Κυρίλλου, καὶ τοῦ ἀσεβοῦς Νεστορίου, ὅτι ἑκάτεροι κατ' ἀλλήλων βλαβεροὺς λόγους ἔγραψαν, καὶ ὅτι Νεστόριος μὲν ἔλεγε, τὴν μακαρίαν Μαρίαν μὴ εἶναι Θεοτόκον, ὡς νομισθῆναι τοῖς πολλοῖς ἐκ τῆς Παύλου τοῦ Σαμοσατέως αἱρέσεως εἶναι· Κύριλλος δὲ βουλόμενος τοὺς Νεστορίου ἀνατρέψαι λόγους, ὤλισθε καὶ ἐνέπεσεν εἰς τὸ Ἀπολιναρίου δόγμα· φανερόν ἐστιν ὅτι ὁ γράψας τὴν ἐπιστολὴν τῇ Νεστορίου μανίᾳ κεκρατημένος δείκνυται· ὃς αὐτὸν μὲν Νεστόριον ἀρνούμενον Θεοτόκον εἶναι τὴν ἁγίαν παρθένον

Quanquam igitur capitulorum iniquitas manifesto pateret, tamen nihilo secius Ecclesiæ Dei antistites in unum congregatos interrogavimus quid de his decernerent esse sentiendum; qui cum perspicuo testimonio ostendere vellent ejusmodi errores, neque Ecclesiæ probari, neque ullo unquam tempore probatos esse; eam impietatem initio a sanctis Patribus prædamnatam suo omnes suffragio rursus proscripserunt. Qui porro ob trium capitulorum defensionem, ab Ecclesia divisi sunt, ii tacent omnino: plane namque intelligunt, minime posse hæc ab eo qui Christianus nominetur defendi; cæterum aperte sanctæ Chalcedonensi synodo adversantur, quæ Fidei doctrinam definivit in Nestorii, Eutychetis errorumque ab ipsis invectorum condemnationem. Qui vero rectis Ecclesiæ dogmatibus adversantur, omni contentione nituntur, ut præfata tria iniqua capita, ceu ab Ecclesia Dei admissa sustineri judicentur, ut hac videlicet ratione simpliciores decipiant, populusque Christianus schismate dividatur. Itaque cum duo potissimum (si omnia quæ impiis illis litteris continentur contrahantur in pauca) scripseritis: alterum nempe, recte inibi contra Apollinarium disputatum esse; alterum vero, epistolæ scriptorem, et si videatur S. Cyrillum principio injuria lacessere, hanc tamen irrogatæ ab se injuriæ labem circa finem depulisse; quapropter operæ pretium esse, ut impia ea epistola catholica esse judicetur: hoc primum pro certo habetote, vos neque verborum contextum, neque sententiarum vim illius impiæ epistolæ percepisse. Non enim adversus Apollinarem concludit, sed sanctum Cyrillum ipsum Apollinaristis annumerat, atque tantum abest ut circa ejus finem quidpiam ex iis quæ adversus sanctum Cyrillum pronuntiata sunt, revocatione castigetur, ut circa extremum potius ejus scriptor in Cyrillum deterius debacchatus esse videatur. Quamobrem id ipsum principio, simulque universam hujus quæ Ibæ nuncupatur epistolæ impietatem, eorumque quæ ad nos misistis capitum insaniam argumentis ostendemus. Cum enim ea omnia quæ scripsistis, legissemus, gravissimo affecti sumus dolore, vos ejus urbis cives, in qua semper ad hæc usque tempora unice servata fuit recta fides, in tantum errorem esse prolapsos. Quapropter necessarium esse existimavimus adversus prædicta capitula ad vos scribere, atque de eorum impietate vos ipsos admonere, ut ab iniquo præceptore vestro, qui ea monumentis mandavit litterarum, recedatis. Etenim cum is sibi proposuisset in animo vos in deceptionem inducere, nonnullas ex divinis litteris sententias hausit, quibus in pravam significationem contortis, impiæ illius epistolæ opiniones nonnullas confirmare aggressus est, quemadmodum hæreticis fuit semper in more positum, quædam divinarum litterarum testimonia pervertere, atque in contrariam intelligentiam detorquere. Itaque vel præceptorem vestrum minime anonymam eam epistolam perlegisse existimamus, vel mala admodum fide, nonnulla legisse quidem ipsum, reliqua vero, quæ multo deteriora essent, silentio præ-

Μαρίαν, μέχρι μόνης τῆς τινων ὑποψίας ἐληλυθέναι φησίν, οὐ μὴν αἱρετικὸν ἐκ τούτου φανῆναι· τὸν ἐν ἁγίοις δὲ Κύριλλον τὸν τῆς ἐκκλησίας διδάσκαλον, εἰς τὸ Ἀπολιναρίου δόγμα ὀλισθῆσαι διισχυρίζεται καὶ πεσεῖν. Διότι εἶπεν αὐτὸν τὸν Θεὸν λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι· καὶ ταῦτα μὲν τὰ ῥήματα παραλέλοιπεν, ὡς εἰρήκαμεν, ὁ διδάσκαλος ὑμῶν, γινώσκων ὅτι ὁ λέγων τὸν ἐν ἁγίοις Κύριλλον ὀλισθῆσαι καὶ πεσεῖν, καὶ αἱρετικοὺς καλῶν τοὺς τούτου λόγους, πᾶσαν καταδικάζει τὴν ἐκκλησίαν, τὴν πατέρα καὶ διδάσκαλον εἰκότως Κύριλλον ἔχουσαν. Πῶς δὲ οὐκ ἔφριξε λέγων, ὡς ὁ ἐν ἁγίοις Κύριλλος αἱρετικός ἐστιν, ἐπειδὴ εἶπεν, ὅτι αὐτὸς ὁ Θεὸς λόγος ἄνθρωπος γέγονε, καὶ ὅτι οὕτω λέγων διαφορὰν τοῦ ναοῦ καὶ τοῦ ἐνοικοῦντος ἐν αὐτῷ οὐχ ὁμολογεῖ; Διὰ τούτων γὰρ τῶν λόγων οὐ μόνον τὸν ἐν ἁγίοις Κύριλλον μέμφεται, ἀλλὰ καὶ τὸν εὐαγγελιστὴν τὸν λέγοντα, ὅτι « ὁ λόγος σὰρξ ἐγένετο, » καὶ πάντας τοὺς προφήτας τὴν διὰ σαρκὸς ἐπιδημίαν αὐτοῦ τοῦ Θεοῦ λόγου κηρύξαντας, καὶ μάλιστα Ἱερεμίαν τὸν λέγοντα· « Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· » καὶ πάλιν Ἡσαΐαν λέγοντα, « Τὸ παιδίον Θεὸν ἰσχυρόν (Ἡσαΐ. IX, 6)· » καὶ πρὸς τούτοις τὸν ἀπόστολον Παῦλον λέγοντα ἐν τῇ πρὸς Ἐφεσίους ἐπιστολῇ, « Ὁ καταβὰς αὐτός ἐστι, καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα. » Καὶ γὰρ, ὡς ἐκεῖνος ὑμῶν ὁ διδάσκαλος παραφρονῶν λέγει, μέμψεώς εἰσιν ἄξιοι καὶ οἱ προφῆται, καὶ οἱ εὐαγγελισταὶ, καὶ οἱ ἀπόστολοι λέγοντες, ὅτι αὐτὸς ὁ Θεὸς λόγος ἐνηνθρώπησεν, ὡς διὰ τούτων τῶν ῥημάτων τροπὴν τῆς θεότητος εἰς τὴν ἀνθρωπότητα λέγοντες γεγενῆσθαι· οἱ δὲ αὐτὸν τὸν Θεὸν λόγον ἐνανθρωπῆσαι μὴ ὁμολογοῦντες, φανεροί εἰσι τὸν Χριστὸν ψιλὸν ἄνθρωπον εἶναι, καὶ κατὰ χάριν υἱὸν Θεοῦ ὀνομάζεσθαι λέγοντες, ὡς ἡ κακοδοξία Νεστορίου καὶ Θεοδώρου τοῦ διδασκάλου αὐτοῦ λέγει.

A teriisse. Cum enim in ea epistola de beato Cyrillo atque impio Nestorio narretur, proscidisse eos sese invicem conviciis; atque affirmasse Nestorium minime Deiparam esse beatam Virginem, ut ipsam nominari permultis ex Pauli Samosateni hæresi placebat; Cyrillum contra, qui Nestorii errorem refutare niteretur, lapsum pariter esse, inque Apollinarii dogmata descendisse : luce clarius est epistolæ ejusdem scriptorem Nestoriana dementia præoccupatum agnosci, qui Nestorium sanctam Mariam Virginem Deiparam fateri detrectantem, suspicionis tantum adversus se locum quibusdam tribuisse, minime vero exinde hæreticum demonstrari contendat : Cyrillum autem sanctum Ecclesiæ doctorem in Apollinarii hæresim incidisse diserte tradat, propterea quod B ipsum Deum Verbum incarnatum esse dixerit, atque assumpsisse humanitatem. Hæc autem verba, ut superius animadvertimus, præteriit præceptor vester, plane perspiciens, eum qui Cyrillum lapsum esse in hæresim tradat, contendatque hæreticas ipsum defendisse sententias, in universam Ecclesiam damnationis ferre judicium, cum universa scilicet Cyrillum ut Patrem colat atque doctorem. Cæterum qui fieri potuit ut non exhorresceret hæreticum dicens Cyrillum, propterea quod Deum Verbum hominem factum esse docuerit : indeque consequi subjungens, ab Cyrillo hæc docente discrimen inter templum in eoque inhabitantem non admitti? Hac quippe aiendi ratione non sanctum Cyrillum criminatur, sed Evangelistam, *Verbum carnem factum esse* (*Joann.* I, 14) C diserte pronuntiantem, sed prophetas omnes, qui Verbi Dei adventum per carnem prædixerunt, Jeremiam potissimum dicentem : *Hic Deus noster : alius adversus eum non æstimabitur : post hæc in terris apparuit, et cum hominibus conversatus est* (*Baruch* III), atque Isaiam aientem similiter : *Puer, Deus fortis* (*Isai.* IX, 6) : sed apostolum præ cæteris Paulum, cujus hæc est in Epistola sua ad Ephesios sententia : *Qui descendit, ipse est et qui ascendit super omnes cœlos, ut impleret omnia* (*Eph.* IV, 9). Si igitur desipienti doctori vestro assentiri velimus, prophetas, evangelistas, apostolos hæreseos accusabimus, qui Dei Verbum dixerint hominem factum esse, quasi his loquendi modis admiserint conversionem Divinitatis in humanitatem. Verum qui Deum Verbum hominem factum esse non confitentur, iidem manifeste Christum purum hominem faciunt, per gratiam tantum Filii Dei nomine decoratum, quemadmodum erronea Nestorii Theodorique magistri ipsius sententia constituitur.

Αἱ γὰρ θεῖαι γραφαὶ, καὶ οἱ ἅγιοι πατέρες ταύταις ἀκολουθοῦντες, αὐτὸν τὸν Θεὸν λόγον τὸν ἀόρατον, τὸν ἀσώματον, τὸ ἐκ τοῦ φωτὸς φῶς, τὸν πρὸ αἰώνων, καὶ D ἀχρόνως ἐκ τοῦ πατρὸς γεννηθέντα αὐτὸν κατελθεῖν, καὶ σαρκωθῆναι, καὶ ἐνανθρωπῆσαι λέγουσιν. Καὶ ὁ μὲν ἐν ἁγίοις Γρηγόριος ἐν τῷ λόγῳ τῷ εἰς τὰ Θεοφάνια οὕτω λέγει· « Αὐτὸς ὁ τοῦ Θεοῦ λόγος, ὁ προαιώνιος, ὁ ἀόρατος, ὁ ἀπερίληπτος, ὁ ἀσώματος, ἡ ἐκ τῆς ἀρχῆς ἀρχὴ, τὸ ἐκ τοῦ φωτὸς φῶς, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας τὸ ἐκμαγεῖον τοῦ ἀρχετύπου, ἡ μὴ κινουμένη σφραγὶς, ἡ ἀπαράλλακτος εἰκὼν, ὁ τοῦ πατρὸς ὅρος καὶ λόγος ἐπὶ τὴν ἰδίαν εἰκόνα χωρεῖ καὶ σάρκα φορεῖ διὰ τὴν σάρκα, καὶ ψυχῇ νοερᾷ διὰ τὴν ἐμὴν ψυχὴν μίγνυται, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων, καὶ πάντα γίνεται πλὴν τῆς ἁμαρτίας ἄνθρωπος, κυηθεὶς ἐκ τῆς παρθένου καὶ ψυχὴν καὶ σάρκα προκαθαρθείσης τῷ πνεύματι· ἔδει γὰρ καὶ γέννησιν τιμηθῆναι, καὶ παρθενίαν προτιμηθῆναι. » Τὰ πα-

Divinæ namque Litteræ, atque his inhærentes sancti Ecclesiæ Patres ipsum Deum Verbum invisibile, corporis expers, lumen de lumine, ante sæcula et tempora ex Patre genitum, hoc idem advenisse, et incarnatum esse, et hominem factum esse disertissime confitentur. Sanctus enim Gregorius in sermone de Theophaniis, seu de Christi Nativitate hæc habet : « Ipsum Dei invisibile Verbum, ille sæculis antiquior, ille incomprehensibilis, ille incorporeus, illud lumen ex lumine, ex principio principium, fons vitæ et immortalitatis, illa archetypi expressio, illud immotum sigillum, illa per omnia similis imago, ille Patris terminus et ratio; ille, inquam, ad imaginem suam se confert, et carnem ob carnem gerit, et animæ intellectuali propter animam meam jungitur, ut simile per simile repurget, atque humana omnia, excepto peccato, suscipit, conceptus quidem ex Vir-

ραπλήσια δὲ καὶ ὁ ἐν ἁγίοις Ἀθανάσιος ἐν τῷ περὶ τοῦ ἁγίου πνεύματος λόγῳ κατὰ Ἀρειανῶν οὕτω λέγει· « Ὁ γεννηθεὶς ἄνωθεν ἐκ τοῦ πατρὸς ἀῤῥήτως, ἀφράστως, ἀκαταλήπτως, ἀϊδίως, αὐτὸς ἐν χρόνῳ γεννᾶται κάτωθεν ἐκ τῆς παρθένου Μαρίας. » Καὶ πάλιν ὁ ἐν ἁγίοις Βασίλειος πρὸς Ἀμφιλόχιον γράφων ἐν τῷ ὀγδόῳ κεφαλαίῳ οὕτως εἶπεν· « Οὐ γὰρ τοσοῦτον οὐρανὸς, καὶ γῆ, καὶ τὰ μεγέθη τῶν πελαγῶν, καὶ τὰ ἐν ὕδασι διαιτώμενα, καὶ τὰ χερσαῖα τῶν ζώων, καὶ φυτὰ, καὶ ἀστέρες, καὶ ἀὴρ, καὶ ὧραι, καὶ ἡ ποικίλη τοῦ παντὸς διακόσμησις τὸ ὑπερέχον τῆς ἰσχύος συνίστησιν, ὅσον τὸ δυνηθῆναι τὸν Θεὸν τὸν ἀχώρητον ἀπαθῶς διὰ σαρκὸς συμπλακῆναι τῷ θανάτῳ, ἵνα ἡμῖν τῷ ἰδίῳ πάθει τὴν ἀπάθειαν χαρίσηται. » Ἀλλὰ καὶ ὁ ἐν ἁγίοις Αὐγουστῖνος ἐπίσκοπος ἐκ τῆς τῶν Ἀφρῶν χώρας ἐν τῇ περὶ τοῦ συμβόλου ἐκθέσει ταῦτα λέγει· « Εἰπὲ καὶ σὺ, Ἀμβακοὺμ προφῆτα, μαρτυρίαν περὶ τοῦ Χριστοῦ. Κύριε, φησὶν, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα σου, ὁ Θεὸς, καὶ ἐξέστην. » Ποῖα ἔργα τοῦ Θεοῦ οὗτος θαυμάσας ἐξέστη; μή τι τὴν κτίσιν τοῦ κόσμου; μὴ γένοιτο· ἀλλ' ἄκουσον πρὸς τί ἐξέστη. « Ἐν μέσῳ, φησὶ, δύο ζώων γνωσθήσονται τὰ ἔργα σου· ὅτι σὺ ὁ Θεὸς λόγος σὰρξ ἐγένου· ἐν μέσῳ δύο ζώων γνωσθήσῃ. Τίς ὢν μέχρι τίνος κατέβης! Ἐκστῆναί με πεποίηκας, ὅτι ὁ λόγος, δι' οὗ τὰ πάντα ἐγένετο ἐν φάτνῃ ἐτέχθης. » Τὰ ὅμοια δὲ καὶ ὁ ἐν ἁγίοις Λέων πάπας Ῥώμης ἐν τῇ πρὸς Φλαυιανὸν τὸν ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως ἐπιστολῇ οὕτως εἶπεν· « Ὁ ἀπαθὴς Θεὸς οὐκ ἀπηξίωσε παθητὸς εἶναι ἄνθρωπος, καὶ ὁ ἀθάνατος νόμοις ὑποκεῖσθαι θανάτου. »

A gine, animo et corpore a Spiritu præpurgata; nam et Nativitatem honore affici, et virginitatem præferri oportebat. » Simili prorsus modo Athanasius edisserit in ea oratione quæ adversus Arianos est, de Spiritu sancto. « Ille, inquit, qui sursum in cœlis ex Patre genitus erat ineffabiliter, inexplicabiliter, immutabiliter, æterne.: ipse in terris deorsum genitus est in tempore ex Virgine Maria. » Basilius pariter octavo libri ad Amphilochium capite sic scribit : « Neque enim cœlum ac terra, immensaque maria, nec animantia, vel in aquis, vel in terris degentia, nec plantæ, nec astra, nec aer, nec horæ, nec multiplex universi ornatus excellentiam potentiæ illius nobis perinde commendant, atque quod Deus incomprehensibilis sic per carnem conflictatus est, ut B ipsa divinitas nihil pateretur, quo nobis sua morte largiretur immortalitatem. » Sanctus etiam Augustinus Africanæ cujusdam civitatis episcopus, in expositione Symboli disserit in hunc modum : « Protulit tibi [*Græc.* profer et tu] Habacuc propheta de Christo testimonium : *Domine*, inquiens, *audivi auditionem tuam, et timui, intellexi opera tua, Deus, et expavi*. Quænam opera Dei hic admiratus expavit? Num mundi creationem? Nequaquam. Cur autem expaverit, accipe. In medio, inquit, duorum animalium cognoscentur opera tua, Deus, quoniam tu Deus Verbum caro factum in medio duorum animalium innotesces. Qualis cum esses, usque quo descendisti! Obstupescere me fecisti, quoniam Verbum, per quem facta sunt omnia, in præsepe natus es. » Horum similia sanctus Leo Romanus pontifex habet in epistola ad Flavianum archiepiscopum Constantinopolitanum. « Impassibilis, inquit, Deus non dedignatus est esse homo passibilis, et immortalis mortis legibus subjacere. »

Καὶ ταῦτα μὲν αἵ τε θεῖαι γραφαὶ, καὶ οἱ ἅγιοι πατέρες εἰρήκασιν· ὅσον δὲ πρὸς τοὺς ὑμετέρους λόγους κατηγορίας εἰσὶν ἄξιοι, ὡς σύγχυσιν τῆς σαρκὸς, καὶ τῆς θεότητος εἰσάγοντες, ἐπειδὴ αὐτὸν τὸν Θεὸν λόγον ἄνθρωπον γεγενῆσθαι εἰρήκασιν, ὁπότε καὶ τὸν ἐν ἁγίοις Κύριλλον λέγοντα αὐτὸν τὸν Θεὸν λόγον ἄνθρωπον γενέσθαι σύγχυσιν εἰσάγειν διὰ τούτων τῶν ῥημάτων εἰρήκατε. Ὅτι δὲ ὁ τὴν ἐπιστολὴν γράψας τῇ Θεοδώρου κατεχόμενος μανίᾳ ἠρνήσατο τὸν Θεὸν λόγον ἄνθρωπον γεγονέναι, ἐξ αὐτῶν δείξωμεν τῶν κατὰ Ἀπολιναρίου τοῦ ἀσεβοῦς τῷ αὐτῷ αἱρετικῷ Θεοδώρῳ γραφέντων. Ἐν γὰρ τῷ τετάρτῳ λόγῳ γράφει οὕτως· « Δεδωκέναι σοί τινας τῶν ἡμετέρων εἶπας, τὰ οὐκ ἄν ποτε δοθέντα παρά τινος τῶν τῆς ἐκκλησιαστικῆς ἀντέχεσθαι δόξης ἐσπουδακότων. Ἐπυνθανόμεθα γὰρ εἰ τὸν Θεὸν λόγον ὁμολογοῦσιν ἄνθρωπον γεγενῆσθαι εἰπὼν ἐπήγχγες*ἐδίδοσαν· Καὶ τίς ἂν ἔχων νοῦν ἄνθρωπον εἴποι τὸν Θεὸν γεγενῆσθαι λόγον, ὡς ὑμεῖς φατε; εἰ μὴ ἄρα τὴν αὐτὴν ὑμῖν πρότερον νοσήσειεν ἄνοιαν. Ἡμεῖς γὰρ εἰληφέναι ἄνθρωπον τὸν Θεὸν λόγον καὶ σφόδρα φαμὲν, γεγενῆσθαι δὲ ἄνθρωπον καθ' ὑμᾶς, οὐκ ἄν ποτε εἰπεῖν ἀνασχοίμεθα. »

C In hanc igitur sententiam divinæ Litteræ sanctique Patres loquuntur, vestra scilicet sententia castigandi, tanquam carnis divinitatisque confusionem inducentes, cum ipsi quoque Dei Verbum hominem factum esse diserte pronuntient, eadem prorsus ratione qua Cyrillum aientem, ipsum Dei Verbum hominem factum esse, quasi confusionis hoc aiendi modo invectorem, traduxistis. Cæterum epistolæ illius auctorem Theodori deliramentis captum negasse Deum Verbum hominem factum esse fateri, ex his manifeste conclusimus, quæ ab ipso ad hæreticum Theodorum contra impium Apollinarium scripta sunt. Hæc quippe in quarto sermone scribit : « Dixisti quosdam ex nostris nonnulla sentire quæ nunquam iis probata sunt qui ecclesiasticis dogmatibus D adhærere student. Cum enim ab iis sciscitati essemus, num Dei Verbum hominem factum esse faterentur, affirmans protulere responsum. Quis autem meriti [*F.* mentis] compos Deum Verbum factum esse hominem dixerit, ut a vobis proponi solet, nisi primum dementiæ vestræ morbo sit affectus? Nos porro Deum hominem assumpsisse constanter fatemur, cæterum hominem factum esse, quemadmodum exprimere vobis consuetum est, nulla ratione dici toleramus. »

Ἀποδειχθέντος τοίνυν διὰ τῶν εἰρημένων Θεοδώρῳ σύμφωνον εἶναι τὴν ἀσέβειαν τῆς ἐπιστολῆς τῇ αἱρετικῇ ἐκείνου μανίᾳ, πῶς οὐ δικαίως πᾶς τὴν ἐλπίδα ἔχων εἰς τὸν σαρκωθέντα καὶ ἐνανθρωπήσαντα Θεὸν λόγον, ὁμοίως

Cum itaque ex iis quæ ad Theodorum scribit, ostendat cum hujusce deliramentis epistolæ impietatem egregie convenire, quomodo non quisque justus, cujus sit in Dei Verbo incarnato homineque facto

* Forte legendum ἀπάντησιν pro εἰπὼν ἐπήγ. Edit.

καὶ Θεόδωρον, καὶ τὴν εἰρημένην ἀσεβῆ ἐπιστολὴν καταδικάσει; Ἐπειδὴ δὲ ἐπαινεῖτε τὴν ἀσεβῆ ἐπιστολὴν περιέχουσαν, ὅτι ὁ λέγων αὐτὸν τὸν Θεὸν λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι τὴν διαφορὰν ἀναιρεῖ τοῦ ναοῦ καὶ τοῦ ἐνοικοῦντος ἐν τῷ ναῷ, γινώσκετε ὅτι διαφορὰν μὲν τῶν φύσεων, ἐξ ὧν ὁ εἷς Χριστὸς ὁ κύριος καὶ Θεὸς ἡμῶν συνετέθη, ὀρθῶς ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία κηρύττει· διαφορὰν δὲ τοῦ ναοῦ καὶ τοῦ ἐνοικοῦντος ἐν αὐτῷ, οὐδεὶς τῶν ἁγίων πατέρων ἐδίδαξεν, ἀλλὰ μόνοι οἱ ἀσεβεῖς Νεστόριος καὶ Θεόδωρος εἰρήκασι, δύο ἐντεῦθεν πρόσωπα εἰσάγειν βουλόμενοι. Κἂν γὰρ αἱ θεῖαι γραφαί, καὶ οἱ ἅγιοι πατέρες τῇ τοῦ ναοῦ ὀνομασίᾳ κέχρηνται, ἀλλὰ τὸ σῶμα τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ σημαίνοντες τοῦτο λέγουσι, καθὼς εἶπεν ὁ εὐαγγελιστής· « Αὐτὸς δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. » Οὐδεὶς γὰρ τοῦ ἑνὸς προσώπου τοῦ Χριστοῦ διαφορὰν πρὸς ἑαυτὸ εἶναί φησιν, ὡς ἄλλον ἐν ἄλλῳ εἶναι, ἀλλὰ τῶν φύσεων μόνον, ἐξ ὧν ὁ εἷς Χριστὸς ἀσυγχύτως καὶ ἀδιαιρέτως ἀπετελέσθη.

locata spes, Theodorum, unaque impiam simul epistolam condemnabit? Cum autem id vehementer probetis, quod in exsecrabili ea epistola traditur, doctrinam nimirum qua Verbum Deus incarnatus homoque factus dicitur, discrimen inter templum atque in templo inhabitantem sustollere, cognoscite, naturarum diversitatem, ex quibus unicus Christus Deus atque Salvator noster constituitur, recte ab sancta Dei Ecclesia prædicari; cæterum templi hoc, atque in ipso inhabitantis discrimen a nemine unquam sanctorum Patrum fuisse propositum, sed ab impiis solum Theodoro atque Nestorio excogitatum, quod duas exinde personas inducere decrevissent. Quod si quandoque divinæ Litteræ sanctique Ecclesiæ Patres hac quoque templi translatitia usi sunt appellatione, id tamen, ut significarent tantum Unigeniti Filii Dei corpus adhibuere, eo prorsus modo quo de ipso inquit Evangelista : *Ipse autem loquebatur de templo corporis sui* (*Joan.* II, 21). Nemo porro hæc in unica Christi persona invexit discrimina, quasi alia in alia sit, verum distinctionem tantum naturarum admiserunt, ex quibus unus Christus perficitur, non commixtionem passus, neque divisionem.

Καὶ ὑμεῖς τοίνυν τὴν τῆς ἐπιστολῆς ἐκδικοῦντες ἀσέβειαν, τῆς ἀρνουμένης αὐτὸν τὸν Θεὸν λόγον ἄνθρωπον γεγενῆσθαι, πρόδηλοι καθεστήκατε δύο πρόσωπα εἰσάγοντες, καὶ ταῦτα νοοῦντες περὶ τοῦ Χριστοῦ ὡς ψιλοῦ ἀνθρώπου· ὅπερ ὁ ἀπόστολος εἶπε διὰ τοὺς πιστούς « ὅτι ὑμεῖς ναὸς Θεοῦ ἐστε, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν. » Ὡς κατὰ τὴν ὑμετέραν πλάνην μηδεμίαν εἶναι διαφορὰν μεταξὺ ἡμῶν τῶν ἀνθρώπων, καὶ τοῦ Χριστοῦ, καθὰ καὶ αὐτὸς Θεόδωρος ὁ αἱρετικός, ὁ διδάσκαλος τοῦ γράψαντος τὴν ἐπιστολήν, ἐν τῷ τρίτῳ κατὰ Ἀπολιναρίου λόγῳ παραφρονῶν ταῦτα ὡς ἐκ προσώπου τοῦ Χριστοῦ λέγει· « Ἐγὼ μέν, ὃν ὁρᾶτε δύναμαι μέν ποιεῖν οὐδὲν κατὰ τὴν οἰκείαν φύσιν ἅτε ἄνθρωπος ὤν. Ἐργάζομαι δέ, ἐπειδὴ ἐν ἐμοὶ μένων ὁ πατὴρ ἅπαντα ποιεῖ. Ἐπειδὴ γὰρ ἐγώ τε, φησίν, ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί, Θεὸς δὲ λόγος ἐν ἐμοὶ ὁ τοῦ Θεοῦ μονογενής, δῆλον ὅτι καὶ πατὴρ σὺν αὐτῷ, ἐν ἐμοί τε μένων, καὶ τὰ ἔργα ποιῶν· καὶ θαυμαστὸν γε οὐδὲν ἐπὶ τοῦ Χριστοῦ τοῦτο νομίζειν, σαφῶς αὐτοῦ περὶ τῶν λοιπῶν λέγοντος ἀνθρώπων, — Ὁ ἀγαπῶν με τὸν λόγον μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. — Εἰ γὰρ παρ' ἑκάστῳ τῶν τοιούτων ὅτε πατὴρ καὶ ὁ υἱὸς τὴν μονὴν ποιοῦνται, τί θαυμαστὸν εἰ ἐν τῷ κατὰ σάρκα δεσπότῃ Χριστῷ ἄμφω κατὰ ταυτὸν νομίζοιντο μένειν, τῆς κατὰ τὴν οὐσίαν κοινωνίας προσιεμένης, ὡς εἰκός, καὶ τὴν τῆς μονῆς κοινωνίαν; »

Τούτων τοίνυν οὕτω παρὰ τοῦ δυσσεβοῦς Θεοδώρου εἰρημένων, οὐ θαυμαστόν, εἴπερ ὁ ἐκπεσὼν τοῦ Θεοῦ τῇ ἀσεβείᾳ συνεζευγμένην ἔχει καὶ μωρίαν, καθὼς περὶ τῶν ἀσεβῶν ὁ προφήτης Ἡσαΐας λέγει, « Ὁ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει. » Ὁ γὰρ τὸν πατέρα καὶ τὸν υἱὸν οὕτω μένειν ἐν τῷ Χριστῷ, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἀνθρώποις διισχυριζόμενος, καὶ μὴ ὁμολογῶν τὸν Χριστὸν εἶναι τὸν Θεὸν λόγον σαρκωθέντα καὶ ἐνανθρωπήσαντα, πῶς λέγει Χριστὸν κατὰ σάρκα; Οἱ γὰρ ἅγιοι πατέρες ὁμολογοῦντες τὸν Χριστὸν εἶναι τὸν Θεὸν λόγον σαρκωθέντα καὶ ἐνανθρωπήσαντα, ὅτ' ἄν τι περὶ αὐτοῦ ταπεινὸν λέγουσιν, ὀρθῶς ἐπάγουσι τὸ κατὰ σάρκα. Ἀλλ' εἰ καὶ προσῆκον ἦν τοῖς Θεόδωρον ἐκδικοῦν-

Vos itaque illius epistolæ impietatem defendentes, qua Deum Verbum hominem factum esse negatur, manifesto duplicis in Christo admissæ personæ redarguimini, atque hæc modo de Christo, tanquam puro homine deliria docentes, in eamdem de ipso sententiam loquimini, qua de credentibus dictum est ab Apostolo : *Quoniam templum Dei estis vos, et Dei Spiritus inhabitat in vobis* (*I Cor.* III, 16); ita ut, si erroris vestri habenda sit ratio, nullum jam supersit nos homines inter Christumque discrimen, juxta id quod Theodorus hæreticus illius epistolæ scriptoris magister in tertio adversus Apollinarium sermone, Christum de se ipso loquentem introducens hoc modo, inepte commentus est : « Ego quidem, quem prospicitis nihil facere possum secundum meam naturam, cum homo sim : operor autem, quoniam in me manens Pater cuncta operatur : enimvero, inquit, et ego in Patre, et Pater in me, Deus autem Verbum unigenitum in me est : certum est, quod et Pater cum ipso in me manet, et opera facit. Et non est mirandum de Christo hæc existimari, cum evidenter ipse de cæteris hominibus dicat : *Qui diligit me, sermonem meum servabit, et Pater meus diliget eum, et ad eum veniemus, et mansionem apud eum faciemus* (*Joan.* XIV, 23). Si enim apud quemque ejusmodi hominum et Pater et Filius mansionem faciunt, quid mirum si in Domino secundum carnem Christo, ambo simul putarentur manere, communione eorum secundum substantiam, communionem quoque mansionis fortasse suscipiente? » His igitur in hunc modum ab impio Theodoro propositis, mirum esse minime debet quod a Deo excidens impietati desipientiam adjunxerit, quemadmodum de impiis prophetica Isaiæ præfert sententia : *Vir insipiens stulta loquetur, et cor ejus fatua cogitabit* (*Isai.* XXXII, 6). Quisquis enim Patrem et Filium sic in Christo quemadmodum et in reliquis hominibus manere affirmat, Deumque Verbum Christum incarnatum, hominemque factum esse non confitetur, quomodo potest

τας, καὶ ἐκ ταύτης αὐτοῦ τῆς καθ' ὑπερβολὴν βλασφημίας τὴν τούτου ἐκκλῖναι δυσσέβειαν· ἀλλ' οὖν διὰ τὴν τούτων ἀναίδειαν, καὶ ἄλλας αὐτοῦ βλασφημίας προαγάγωμεν, δι' ὧν δύο εἰσάγει πρόσωπα.

Μεμφόμενος γὰρ τοὺς λέγοντας ὅτι ὁ Θεὸς λόγος, ὁ πρὸ αἰώνων, γέγονεν ἐπ' ἐσχάτων ἄνθρωπος, οὕτω λέγει ἐν τῷ κατὰ Ἀπολιναρίου τετάρτῳ λόγῳ·

« Ὁ πρὸ αἰώνων, φησὶ, γέγονεν ἐπ' ἐσχάτων· πάλιν ὡς τινων δεδωκότων, καὶ τοῦτο λέγων οὐδενὸς * ἂν τῶν εὐσεβεῖν ἐσπουδακότων ταύτην ἑλομένου νοσῆσαι τὴν ἄνοιαν, ὥστε τὸν πρὸ αἰώνων εἰπεῖν ἐπ' ἐσχάτων γεγενῆσθαι· » Καὶ μεθ' ἕτερα· « Οὐκοῦν τοῖς ὑμετέροις ἑπόμενοι νόμοις, καὶ τὴν ὑπὸ τῆς σῆς ἀγχινοίας νομοθετουμένην ἀντιστροφὴν, μᾶλλον δὲ καταστροφὴν δεξάμενοι, φέρε δὴ πάντα εἰς ταυτὸν συγχέωμεν, καὶ μηδεμία λοιπὸν ἔστω διάκρισις, μὴ Θεοῦ μορφῆς, μὴ δούλου μορφῆς, μὴ ναοῦ ληφθέντος, μὴ τοῦ ἐνοικοῦντος ἐν τῷ ναῷ, μὴ τοῦ λυθέντος, μὴ τοῦ ἐγείραντος, μὴ τοῦ τελειωθέντος ἐν πάθεσι, μὴ τοῦ τελειώσαντος, μὴ τοῦ μνημονευθέντος, μὴ τοῦ μνημονεύσαντος, μὴ τοῦ ἐπισκεφθέντος, μὴ τοῦ ἐπισκεψαμένου, μὴ τοῦ βραχὺ παρ' ἀγγέλους ἐλαττωθέντος, μὴ τοῦ ἐλαττώσαντος, μὴ τοῦ δόξῃ καὶ τιμῇ στεφανωθέντος, μὴ τοῦ στεφανώσαντος, μὴ τοῦ καταστάντος ἐπὶ τὰ ἔργα τῶν χειρῶν τοῦ Θεοῦ, μὴ τοῦ καταστήσαντος, μὴ τοῦ λαβόντος αὐτὰ ἐν ὑποταγῇ, μὴ τοῦ δόντος τὴν ὑποταγήν. »

Ἐκ τούτων τοίνυν τῶν ἀσεβῶν Θεοδώρου ῥημάτων, καὶ τῆς οὕτως αὐτοῦ προφανοῦς βλασφημίας ἐρυθριάσωσιν οἱ ἀντιποιούμενοι αὐτοῦ τε καὶ τῆς ἀσεβοῦς ἐπιστολῆς. Τὸ γὰρ ἀναιδῶς καὶ πολλάκις ἄλλον εἶναι τὸν Θεὸν λόγον, καὶ ἄλλον τὸν Χριστὸν λέγειν αὐτὸν, καὶ τὸν μὲν εὐεργετοῦντα, τὸν δὲ εὐεργετούμενον, καὶ τὸν μὲν σώσαντα, τὸν δὲ σωθέντα, φανερῶς ἀρνεῖται τὴν διὰ τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ προσγενομένην ἡμῖν σωτηρίαν. Ὁ γὰρ παρ' ἄλλου εὐεργεσίαν λαβὼν, ἤτοι σωθεὶς, ἑτέρους πῶς δύναται σώζειν; Οἱ τοίνυν τὸν ταῦτα βλασφημήσαντα ἐκδικοῦντες, τίνος οἴονται σῶμα καὶ αἷμα λαμβάνειν, τοῦ εὐεργετηθέντος ἢ τοῦ εὐεργετήσαντος; ἀλλ' εἰ μὲν τοῦ εὐεργετήσαντος Θεοῦ λόγου, πῶς τοῦτο λέγουσιν μὴ ὁμολογοῦντες αὐτὸν σαρκωθῆναι, καὶ ἐνανθρωπῆσαι; εἰ δὲ τοῦ εὐεργετηθέντος, ματαία αὐτῶν ἡ ἐλπὶς ἀνθρωπολατρείαν πρεσβευόντων, ὅτι ἠσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα.

Christum ipsum secundum carnem nominare? Sancti quippe Patres Christum Deum Verbum esse incarnatum, atque hominem factum confitentes, si quidpiam de ipso humile proferunt, recte id secundum carnem ei convenire subjiciunt. Cæterum æquum videbatur Theodori propugnatores vel hac exsuperanti blasphemia commotos ab ipsius impietate recedere : attamen, ut ipsorum refellatur impudentia, reliquas quoque ejus blasphemias proferemus in medium, quibus duplicem Christi personam inducit. Insimulans itaque eos qui Deum Verbum ante sæcula genitum, in novissimo hominem factum esse profitentur, in quarto contra Apollinarium libro hæc scribit : « Hoc quod [hic qui *Græc.*] ante sæcula erat, in novissimis dicit factum esse temporibus, utpote quibusdam hoc confitentibus, cum nemo ex his qui pietatis curam habent istum se patiatur morbum habere dementiæ, ut dicat, eum qui est ante secula, in novissimo factum esse. » Et post pauca subdit : « Vestras igitur leges sequentes, et a tua sapientia constitutam obversionem, imo magis subversionem suscipientes, age simul omnia confundamus, et nulla jam sit discrepatio, nec Dei formæ, nec servi formæ, nec templi sumpti, nec ejus qui in templo habitavit, nec ejus qui solutus est, nec ejus qui suscitavit, nec ejus qui perfectus est in passionibus, nec ejus qui perfecit, nec ejus qui memoriam meritus est, nec ejus qui memor factus est, nec ejus qui visitatus est, nec ejus qui visitavit, nec ejus qui paulo minus ab angelis minoratus est, nec ejus qui minoravit, nec ejus qui gloria et honore coronatus est, nec ejus qui coronavit, nec ejus qui constitutus est super opera manuum Dei, nec ejus qui constituit, nec ejus qui ad sublevationem hæc accepit, nec ejus qui dedit sublevationem. » Ex quibus impiis Theodori verbis, profanoque blasphemiarum genere effectum est ut pudore afficerentur omnes qui ipsi impiæque illi epistolæ adversabantur. Namque crebro et impudenter aliud esse Dei Verbum inquiens, alium autem Christum; alium qui beneficium suscepit, alium qui contulit; alium qui salvat, alium qui salvatur, aperte salutem inficiatur partam nobis per magnum Deum et Salvatorem nostrum Jesum Christum. Quomodo enim salvos facere potest reliquos, is, qui non secus ac cæteri beneficium percepit salutis, atque salvatus est? Cujusnam igitur corpus et sanguinem sumere se existimant, qui hæc blasphemantem defendunt? Ejusne qui beneficium contulit, an ejus qui suscepit? Quod si Verbi Dei beneficium conferentis capere se sacramenta responderint, quomodo id dicant, cum ipsum incarnatum et hominem factum esse minime confiteantur? Sin autem ejus cui beneficium collatum est dixerint, stulta est ergo eorum spes, qui hominem cultu venerantur, *quoniam creaturam super Creatore adoraverunt* (*Sap.* VIII, 5).

Ἡμεῖς δὲ πάντες οἱ τῆς καθολικῆς ἐκκλησίας τὸν Θεὸν λόγον σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, ἕνα τε ὄντα τῆς ἁγίας Τριάδος ὁμολογοῦντες, αὐτοῦ καὶ τὸ σῶμα, καὶ τὸ αἷμα δεχόμεθα εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον, καθὼς καὶ αὐτὸς ὁ κύριος λέγει· « Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον, κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ· ἡ γὰρ σάρξ μου ἀληθῶς ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθῶς ἐστι πόσις. Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. Καθὼς ἀπέστειλέν με

Nos autem omnes, qui catholicæ Ecclesiæ sumus, Dei Verbum incarnatum et hominem factum unam ex sanctæ Trinitatis personis esse confitentes, corpus ejus et sanguinem sumimus in remissionem peccatorum, et in vitam æternam : quemadmodum docuit nos ipse Dominus dicens : *Qui manducat meam carnem et bibit meum sanguinem, habet vitam æternam, et ego resuscitabo eum in novissimo die : caro enim mea vere est cibus, et sanguis meus est potus : qui manducat meam carnem et bibit meum sanguinem*

* Forte legendum : Ὁ πρὸ.. ... ἐσχάτων πάλιν, ὥς τινων διδασκόντων τοῦτο καὶ λεγόντων, οὐδενὸς... Edit.

ὁ ζῶν πατὴρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα, καὶ ὁ τρώγων με κἀκεῖνος ζήσει δι' ἐμέ.» Καὶ ταῦτα μὲν οὕτω καὶ πιστεύομεν, καὶ ὁμολογοῦμεν.

Πόσου δὲ ψεύδους ἐστὶ κἀκεῖνο μεστὸν, ὅπερ τῇ μνημονευθείσῃ ἀσεβεῖ ἐπιστολῇ περιέχεται περὶ τῶν δώδεκα κεφαλαίων τοῦ ἐν ἁγίοις Κυρίλλου; Συκοφαντεῖ γὰρ αὐτὸν, ὡς μίαν φύσιν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ ἐν τούτοις λέγοντα, καὶ διὰ τοῦτο πάσης ἀσεβείας πεπληρῶσθαι τὰ αὐτὰ κεφάλαια λέγει. Ὅπερ ὁ ὑμέτερος διδάσκαλος πανούργως ἑρμήνευσαι λέγων [F. ἑρμηνεύσας λέγει], μὴ διὰ τὰ δώδεκα κεφάλαια ἐν τῇ ἐπιστολῇ εἰρῆσθαι ὅτι ταῦτα πάσης ἀσεβείας πεπλήρωνται, ἀλλ' ὅτι εἴρηται μίαν εἶναι φύσιν θεότητος καὶ ἀνθρωπότητος. Ὅπερ προφανὲς ψεῦδός ἐστιν.

Ὁ γὰρ ἐν ἁγίοις Κύριλλος οὔτε ἐν τοῖς ἄλλοις αὐτοῦ συγγράμμασιν, οὔτε ἐν τῇ ἐπιστολῇ, ᾗ τινι τὰ δώδεκα κεφάλαια ὑποτέτακται, ἀλλ' οὐδὲ ἐν αὐτοῖς τοῖς κεφαλαίοις μίαν φύσιν θεότητος καὶ ἀνθρωπότητος δείκνυται εἰρηκὼς, ἀλλὰ μίαν ὑπόστασιν ἤτοι πρόσωπον τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ εἶναι διδάσκει. Ὅπερ καὶ ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία κηρύττει, καὶ πάντες οἱ πατέρες ἐδίδαξαν, ἀναθεματίζοντες τοὺς μίαν φύσιν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ λέγοντας. Ἄλλο γάρ ἐστι φύσις, καὶ ἄλλο ὑπόστασις, ἤτοι πρόσωπον. Καὶ ἡ μὲν φύσις τὸ κοινῶς καὶ γενικῶς κατὰ πάντων προσώπων κατηγορούμενον σημαίνει, ἡ ὑπόστασις δὲ ἤτοι πρόσωπον τὸ ἰδικὸν δείκνυσι· πρόσωπον γὰρ ἐν ἄλλῳ προσώπῳ οὐκ ἐπιθεωρεῖται. Ὅτι δὲ ἡ μυσαρὰ ἐπιστολὴ περὶ τῶν δώδεκα κεφαλαίων τοῦ ἐν ἁγίοις Κυρίλλου λέγει, ὡς πάσης ἀσεβείας πεπλήρωται, ἔξεστιν ὑμῖν ἐκ τῶν ἐφεξῆς τῆς αὐτῆς ἀσεβοῦς ἐπιστολῆς τοῦτο εὑρεῖν, ἐν οἷς φανερῶς εἶπε τὰ αὐτὰ δώδεκα κεφάλαια ἐναντία εἶναι τῇ ὀρθῇ πίστει. Ἐπειδὴ δὲ μέμφεται ἡ αὐτὴ ἀσεβὴς ἐπιστολὴ ἡ λεγομένη Ἴβα τὸν ἐν ἁγίοις Κύριλλον, ὡς φωνῶν διαφορὰν ἀπαρνούμενον, γινώσκετε ὅτι καὶ ἐν τούτῳ καὶ ὁ γράψας τὴν ἀσεβῆ ἐπιστολὴν, καὶ ὁ ὑμέτερος διδάσκαλος ψεύδεται. Ἐν πᾶσι γὰρ τοῖς ἰδίοις λόγοις ὁ ἐν ἁγίοις Κύριλλος, περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διδάσκων, φωνῶν λέγει διαφορὰν, καὶ τὰς μὲν ὑψηλὰς κατὰ τὴν θεότητα αὐτοῦ, τὰς δὲ ταπεινὰς κατὰ τὴν ἀνθρωπότητα αὐτοῦ, πάσας δὲ ὅμως ἐξ ἑνὸς, καὶ περὶ ἑνὸς, καὶ τοῦ αὐτοῦ Θεοῦ λόγου σεσαρκωμένου εἰρῆσθαι· ἀπαγορεύει δὲ ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος, ἄλλῳ καὶ ἄλλῳ προσώπῳ διανέμεσθαι ταύτας. Ἀλλὰ ἀναμφιβόλως ὑμεῖς δυο προσώποις διανέμειν θέλοντες τὰς φωνὰς, διὰ τοῦτο λέγετε τὸν ἐν ἁγίοις Κύριλλον φωνῶν διαφορὰν ἀπαρνήσασθαι. Ἐπειδὴ δὲ βουλόμενος ὑμᾶς ἀπατῆσαι καὶ ἐν τούτῳ ὁ διδάσκαλος ὑμῶν εἶπεν, τὴν αὐτὴν ἀσεβῆ ἐπιστολὴν τὴν λεγομένην Ἴβα τῆς Ἀπολιναρίου ἀσεβείας καταγράφειν, καὶ διὰ τοῦτο ὀφείλειν αὐτὴν ὀρθόδοξον νομίζεσθαι· εἰδέναι ὑμᾶς χρὴ ὅτι καὶ ἐν τούτῳ ἐψεύσατο· οὔτε γὰρ κατὰ Ἀπολιναρίου, καθάπερ ἀνωτέρω εἰρήκαμεν, γέγραπται· ὅμως δὲ εἰ καὶ καθ' ὑμᾶς τοῦτο ἦν ἀληθὲς, οὐ διὰ τοῦτο ἠλευθεροῦτο τῆς κατακρίσεως ἡ αὐτὴ ἐπιστολή. Κἂν γὰρ εἴ τις αἱρετικὸς κατὰ αἱρετικοῦ, οὐ διὰ τοῦτο αὐτὸς ὀρθόδοξος δείκνυται. Καὶ Ἄρειος γὰρ κατὰ Σαβελλίου εἶπεν, καὶ Ἀπολινάριος κατὰ Ἀρείου, καὶ Εὐτυχὴς κατὰ Νεστορίου. Καὶ κἂν τὰ μάλιστα διαφόρῳ πλάνῃ πάντες οὗτοι κατείχοντο, ὅμως οὐδεὶς αὐτῶν ἐκ

A *in me manet, et ego in eo* (*Joan.* VI, 54). *Sicut misit me vivens Pater, et ego vivo propter Patrem, et qui manducat me et ipse vivet propter me.* Atque hæc quidem credimus et confitemur.

Quanti quoque mendacii plenum est id quod in memorata impia epistola de duodecim sancti Cyrilli capitibus continetur! Calumniatur namque Cyrillum ipsum, quod unam divinitatis humanitatisque naturam in Christo, in præfatis capitibus admiserit, indeque scatere ea capita concludit omni iniquitate, quod ipsum callide ab præceptore vestro expositum est, dicente, non ut ipsi injuria fieret ea vocata fuisse universæ impietatis plena, sed quoniam ibi unicam esse docetur divinitatis humanitatisque naturam. Id autem putidum est patensque mendacium.
B Nullibi enim demonstratur Cyrillum, neque in ea epistola quæ duodecim capitula complectitur, neque in eorum capitum aliquo, neque in cæteris quibuslibet libris suis unicam divinitatis humanitatisque naturam dixisse, cum contra diserte doceat, unicam esse in Christo divinitatis humanitatisque hypostasim sive personam, quod sancta Dei profitetur Ecclesia, universique Patres perpetuo docuere, anathema in eos dicentes qui unicam divinitatis humanitatisque naturam esse in Christo dicerent; aliud quippe natura est, aliud hypostasis sive persona. Natura videlicet communiter atque generice de quavis persona prædicatur, persona autem, sive hypostasis exprimit proprietatem; quamobrem una persona minime in altera consideratur. Quo-
C niam autem in improba ea epistola de duodecim sancti Cyrilli capitibus dicitur, ipsa esse iniquitatis plena, id quam falsum sit ex ipsa epistolæ serie pervestigare licebit illaque perquirere, in quibus duodecim ea capita affirmat cum recta fide pugnare. Cum autem impia ea epistola quæ Ibæ dicitur, negati appellationum discriminis sanctum Cyrillum accuset, sciatis, circa hoc ipsum quoque non modo epistolæ illius scriptorem, verum magistrum quoque vestrum esse mentitum. Enimvero quocunque in sermone suo sanctus Cyrillus de Jesu Christo Domino nostro sermonem instituit, appellationum sive denominationum discrimen hoc docet, et sublimes quidem dicendi rationes ipsi secundum divinitatem, humiles autem et demissas secundum humanitatem convenire,
D omnes tamen ex uno atque de uno incarnato Deo Verbo prædicari. Vetat autem Cyrillus ne ejusmodi denominationes alii et alii personæ divisim tribuantur. Vos autem procul dubio duplici sejunctim personæ ejusmodi appellationes tribuere volentes, Cyrillum ideo appellationum discrimina sustulisse calumniamini. Cum enim circa hoc quoque vos in errorem inducere sibi proposuisset in animo magister vester, itaque commentus esset eam quæ Ibæ dicitur epistolam adversus Apollinarii impietatem fuisse perscriptam, proindeque expedire ut orthodoxa judicaretur, animadvertatis oportet, eo quoque loci mentitum pariter esse: non enim, ut superius indicavimus, adversus Apollinarium scripta est. Cæterum, etiamsi, ut vobis placet, id ipsum pro vero conceda-

τῆς τοιαύτης ἀντιῤῥήσεως ὀρθόδοξος κρίνεται, ἀλλ' ὁμοίως πάντες ἀπὸ τῆς καθολικῆς ἐκκλησίας καταδικάζονται. Καὶ ἐκ τούτου δὲ φανερός ἐστιν ὁ τὴν μνημονευθεῖσαν ἀσεβῆ γράψας ἐπιστολὴν δύο πρόσωπα εἰσάγων, ὅτι εἶπεν, « Πῶς δυνατὸν ληφθῆναι τὸν ἐν ἀρχῇ λόγον ἐπὶ τοῦ ναοῦ τοῦ ἐκ Μαρίας γεννηθέντος; » Δι' ὧν ῥημάτων δείκνυται φανερῶς, ὅτι οὐ τὸν Θεὸν λόγον σαρκωθῆναι, καὶ τεχθῆναι ἐκ τῆς ἁγίας παρθένου Μαρίας λέγει, ἀλλὰ ψιλὸν ἄνθρωπον τὸν Χριστὸν ὃν ναὸν ἀποκαλεῖ. Ὅτι δὲ καὶ ταύτην τὴν ἀσέβειαν ἐκ τῆς Θεοδώρου διδασκαλίας εἴλαβεν ὁ τὴν μυσαρὰν ἐκείνην γράψας ἐπιστολὴν, δῆλον ἐξ ὧν ἐν τῷ τρίτῳ λόγῳ κατὰ Ἀπολιναρίου τοῦ αἱρετικοῦ ὁ αὐτὸς ἀσεβὴς Θεόδωρος ἔγραψε λέγων οὕτως· « Ἀλλ' ὅγε Θεὸς καὶ ἐκ Θεοῦ καὶ ὁμοούσιος τῷ πατρὶ, τῷ μὲν ἐκ τῆς παρθένου γεννηθέντι, ὦ θαυμάσιε, καὶ ὑπὸ τοῦ ἁγίου πνεύματος κατὰ τὰς θείας διαπλασθέντι γραφὰς, καί τήν γε σύστασιν ἐπὶ τῆς γυναικείας δεξαμένῳ γαστρὸς, ἐνῆν, ὡς εἰκὸς, ἐπειδὴ ἅμα τῷ διαπλασθῆναι, καὶ τὸ εἶναι Θεοῦ ναὸν εἰλήφει· οὐ μὴν τὸν Θεὸν γεγενῆσθαι ἡγητέον ἡμῖν ἐκ τῆς παρθένου, εἰ μὴ ἄρα ταυτὸν ἡγητέον ἡμῖν τό τε γεννηθὲν καὶ τὸ ἐν τῷ γεννηθέντι τὸν ναὸν, καὶ τὸν ἐν τῷ ναῷ Θεὸν λόγον· οὐ μὴν οὐδὲ κατὰ τὴν σὴν φωνὴν ἀποφαντέον πάντη τὸν ἐκ τῆς παρθένου γεννηθέντα Θεὸν εἶναι ἐκ Θεοῦ ὁμοούσιον τῷ πατρί. Εἰ γὰρ οὐκ ἄνθρωπός ἐστιν, ὡς φὴς, ἀναληφθεὶς ὁ γεννηθεὶς ἐκ τῆς παρθένου, Θεὸς δὲ σαρκωθεὶς, πῶς ὁ γεννηθεὶς Θεὸς ἐκ Θεοῦ, καὶ ὁμοούσιος λέγοιτο ἂν τῷ πατρὶ, τῆς σαρκὸς οὐ δυναμένης ταύτην προσίεσθαι τὴν φωνήν; Ἔστιν μὲν γὰρ ἀνόητον τὸ τὸν Θεὸν ἐκ τῆς παρθένου γεγεννῆσθαι λέγειν. Τοῦτο γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἢ ἐκ σπέρματος αὐτὸν λέγειν Δαβὶδ ἐκ τῆς οὐσίας τῆς παρθένου τετεγμένον, καὶ ἐν αὐτῇ διαπεπλασμένον· ἐπείγε τὸ ἐκ σπέρματος Δαβὶδ καὶ ἐκ τῆς οὐσίας τῆς παρθένου συστὰν ἐν τῇ μητρῴᾳ γαστρὶ, καὶ τῇ τοῦ ἁγίου πνεύματος διαπλασθὲν δυνάμει γεγεννῆσθαί φαμεν ἐκ τῆς παρθένου. »

tur, non propterea ipsa immunis censenda erit a condemnationis judicio; non enim ideo hæreticus quispiam fit orthodoxus, propterea quod adversus alium hæreticum disputaverit. Namque Arius etiam adversus Sabellium disseruit, et adversus Arium Apollinarius, et Eutyches contra Nestorium, et quanquam diversis potissimum erroribus adhærerent universi, nemo tamen ex ipsis, mutuarum ejusmodi concertationum causa, orthodoxus est habitus, sed omnes pari omnino ratione ab Ecclesia condemnantur. Ex hoc porro perspicuum est, memoratæ epistolæ scriptorem duplicem personam inducere, quod dixerit: « Quomodo fieri potest ut Verbum ab initio de templo acceperit, quod ex Maria genitum est? » Quibus verbis exprimit evidenter se minime confiteri Verbum Deum incarnatum esse, ac de sancta Virgine natum, sed purum hominem Christum quem templi vocabulo designat. Constabit pariter dilucide, hanc quoque impietatem ab improbo epistolæ scriptore haustam esse ex Theodori doctrina, si cum iis quæ Theodorus ipse in tertio adversus hæreticum Apollinarium libro scribit, conferatur. « At enim, inquit, Deus, et ex Deo, consubstantialis Patri, et is idem [*Græc.* illi] qui ex Virgine natus erat, o mirande, et qui per Spiritum sanctum, secundum divinas Scripturas plasmatus est et in muliebri ventre accepit confictionem, inerat forsitan, quia mox, ut plasmatus est, et ut templum Dei esset accepit: non tamen existimandum est Deum ex Virgine natum esse, nisi forte idem existimandum nobis est, et quod natum est, et quod est in nato templum, et qui in templo est Deus Verbum: non tamen, nec secundum tuam vocem pronuntiandum est omnino, ex Virgine Deum natum esse, et ex Deo consubstantialem Patri. Nam si non homo est, sicut dicis, assumptus, qui natus est ex Virgine, Deus vero incarnatus, quomodo qui natus est Deus ex Deo, et consubstantialis dicitur Patri, carne non potente hanc vocem suscipere? Nam est quidem dementia dicere Deum ex Virgine natum esse. Hoc enim nihil aliud est quam ex semine eum dicere David, et de substantia Virginis genitum, et in ipsa plasmatum, quia quod ex semine David, et de substantia Virginis est in materno ventre constitit, et sancti Spiritus plasmatum virtute, natum fuisse dicimus ex Virgine. »

Οὕτω τοίνυν βλασφημοῦντος Θεοδώρου, καὶ πολλάκις διαβεβαιουμένου μὴ δυνατὸν εἶναι τὸν Θεὸν καὶ ἐκ Θεοῦ καὶ ὁμοούσιον τῷ πατρὶ, σαρκωθῆναι καὶ τεχθῆναι ἐκ τῆς παρθένου, ἐπειδὴ οὐδὲ ἡ σὰρξ ὁμοούσιός ἐστι τῷ πατρὶ, πῶς οὐκ ἐρυθριῶσιν οἱ τὸν τοιοῦτον αἱρετικὸν ἐκδικοῦντες; ὅς τις τοῦτο μὲν ταῖς θείαις γραφαῖς, τοῦτο δὲ καὶ τοῖς ἁγίοις πατράσιν ἐναντία μυσαρῶς ἐξέθετο, ὁπότε δῆλον πᾶσι καθέστηκεν ὡς ἀπαρχῆς ἐξ οὗπερ ὁ Θεὸς τὴν ἐκκλησίαν ἐθεμελίωσεν ἐν τῇ ὀρθῇ ὁμολογίᾳ· πάντες οἱ τοῦ Θεοῦ ἱερεῖς ἐκήρυξαν τὸν Θεὸν λόγον τὸν ἐκ Θεοῦ σαρκωθῆναι ἐκ τῆς ἁγίας καὶ ἐνδόξου παρθένου Μαρίας σαρκὶ ἐψυχωμένῃ ψυχῇ λογικῇ καὶ νοερᾷ, καὶ ἐνανθρωπῆσαι καὶ ἐξ αὐτῆς τεχθῆναι· καὶ οὕτω διδάσκοντες, οὐδὲ τροπὴν τῆς θεότητος εἰς σάρκα εἰσήγαγον, οὐδὲ διὰ τὴν σάρκα ὁμοούσιον αὐτὸν εἶναι τῷ πατρὶ ἀπηρνήσαντο, καθὼς Θεόδωρος ληρεῖ· ἀλλ' ἕνα καὶ τὸν αὐτὸν κύριον καὶ Θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν, κατὰ μὲν τὴν θεότητα ὁμοούσιον εἶναι τῷ πατρὶ, κατὰ δὲ τὴν ἀνθρωπότητα τὸν αὐτὸν ὁμοούσιον ἡμῖν εἶναι ἐδίδαξαν.

Sic itaque blasphemante Theodoro, atque sæpe sæpius argumentis decertante minime fieri posse Deum de Deo, Patrique consubstantialem incarnari, et ex Virgine nasci, cum caro Patri consubstantialis esse non possit, quomodo pudore maximo ejus hæretici patroni non afficiuntur, qui hoc sacris litteris contrarium, id cum sanctorum Patrum traditione pugnans invexerit, in quibus scilicet certissimum est unicuique, Deum ab initio Ecclesiam suam in recta confessione constituisse? Universi enim Dei sacerdotes prædicarunt Deum Verbum, Deum de Deo, ex sancta atque gloriosa Maria Virgine natum et incarnatum esse, carnemque anima rationali et intellectuali vivificatam assumpsisse, et hominem factum esse, atque de ipsa Virgine natum: idque docentes neque conversionem divinitatis in humanitatem invexerunt, neque ipsum secundum carnem Patri consubstantialem esse commenti sunt, prout Theodorus ineptit; sed unicum et eumdem Dominum et

Deum nostrum Jesum Christum, secundum divinitatem Patri consubstantialem esse, nobis autem secundum humanitatem esse consubstantialem docuerunt.

Πάλιν δὲ ἐν τῷ προλεχθέντι λόγῳ ὁ δυσσεβὴς Θεόδωρος (A) βλασφημῶν καὶ ταῦτα λέγει· « Ἀλλ' οὐχ ἡ θεία φύσις ἐκ παρθένου γεγέννηται· γεγέννηται δὲ ἐκ τῆς παρθένου ὁ ἐκ τῆς οὐσίας τῆς παρθένου συστάς· οὐχ ὁ Θεὸς λόγος ἐκ τῆς Μαρίας γεγέννηται· γεγέννηται δὲ ἐκ Μαρίας ὁ ἐκ σπέρματος Δαβίδ. Οὐχ ὁ Θεὸς λόγος ἐκ γυναικὸς γεγέννηται· γεγέννηται δὲ ἐκ γυναικὸς ὁ τῇ τοῦ ἁγίου πνεύματος δυνάμει διαπλασθεὶς ἐν αὐτῇ· οὐκ ἐκ μήτρος τέτεκται ὁ ὁμοούσιος τῷ πατρὶ, ἀμήτωρ γὰρ οὗτος κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνὴν, ἀλλ' ὁ ἐν ὑστέροις καιροῖς ἐν τῇ μητρῴᾳ γαστρὶ τῇ τοῦ ἁγίου πνεύματος δυνάμει διαπλασθεὶς, ἅτε καὶ ἀπάτωρ διὰ τοῦτο λεγόμενος. » Καὶ ταῦτα μὲν ὁ ἀσεβὴς Θεόδωρος παραλογιζόμενος τὴν περὶ τούτου διδασκαλίαν τοῦ ἀποστόλου λέγοντος ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ περὶ τοῦ κυρίου οὕτως· « Πρῶτον μὲν ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης, (B) ἔπειτα δὲ καὶ βασιλεὺς Σαλὴμ, ὅ ἐστι βασιλεὺς εἰρήνης, ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων. » Τοῦ γὰρ ἀποστόλου περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ εἰπόντος ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων, ὁ δυσσεβὴς Θεόδωρος ἄλλον λέγει ἀπάτορα, καὶ ἄλλον ἀμήτορα· ἀλλὰ διελέγξομεν τὴν τῶν οὕτω φρονούντων ἀσέβειαν, καὶ ἐκ τῆς τῶν ἁγίων πατέρων διδασκαλίας. Λέγει γὰρ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ Ναζιανζοῦ ἐπίσκοπος ἐν τῷ περὶ τῶν θεοφανίων λόγῳ οὕτως· « Τίς οὐ προσκυνεῖ τὸν ἀπ' ἀρχῆς; τίς οὐ δοξάζει τὸν τελευταῖον; πάλιν τὸ σκότος λύεται, πάλιν τὸ φῶς ὑφίσταται, πάλιν Αἴγυπτος σκότῳ κολάζεται, πάλιν Ἰσραὴλ στύλῳ φωτίζεται. Ὁ λαὸς ὁ καθήμενος ἐν σκότει τῆς ἀγνοίας, ἰδέτω φῶς μέγα τῆς ἐπιγνώσεως. Τὰ ἀρχαῖα παρῆλθε, καὶ γέγονε τὰ πάντα (C) καινὰ, τὸ γράμμα ὑποχωρεῖ, τὸ πνεῦμα παῤῥησιάζεται· αἱ σκιαὶ παρατρέχουσιν, ἡ ἀλήθεια ἐπεισέρχεται· ὁ Μελχισεδὲκ συνάγεται· ὁ ἀμήτωρ, ἀπάτωρ γίνεται, ἀμήτωρ τὸ πρότερον, ἀπάτωρ τὸ δεύτερον. Νόμοι φύσεως καταλύονται, πληρωθῆναι δεῖ τὸν ἄνω κόσμον· Χριστὸς κελεύει, μὴ ἀντιτείνωμεν. » Πρὸς τούτοις δὲ καὶ ὁ ἐν ἁγίοις Πρόκλος ὁ ἐπίσκοπος Κωνσταντινουπόλεως ἐν τῷ λόγῳ τῷ εἰς τὴν Θεοτόκον οὕτω λέγει· « Ὁ ὢν κατὰ φύσιν ἀπαθὴς, γέγονε δι' οἶκτον πολυπαθής· οὐκ ἐκ προκοπῆς γέγονε Θεὸς, ὁ Χριστὸς, μὴ γένοιτο, ἀλλὰ δι' οἶκτον γέγονεν ἄνθρωπος ὁ Θεὸς, ᾧ πιστεύομεν· οὐκ ἄνθρωπον ἀποθεωθέντα κηρύττομεν, ἀλλὰ Θεὸν σαρκωθέντα ὁμολογοῦμεν. Τὴν οἰκείαν δούλην ἐπεγράψατο μητέρα ὁ κατ' οὐσίαν ἀμήτωρ, καὶ κατ' οἰκονομίαν ἀπάτωρ· ἐπεὶ πῶς ὁ αὐτὸς κατὰ Παῦλον ἀμήτωρ καὶ ἀπάτωρ; Εἰ ψιλὸς ἄνθρωπος, (D) οὐκ ἀμήτωρ, ἔχει γὰρ μητέρα· νῦν δὲ ὁ αὐτὸς ἀμήτωρ ὡς πλάστης, ἀπάτωρ ὡς πλάσμα. » Καὶ ὁ ἐν ἁγίοις δὲ Αὐγουστῖνος ἐν τῷ περὶ τῆς ἐκθέσεως τοῦ συμβόλου λόγῳ οὕτως λέγει· « Πιστεύομεν εἰς τὸν υἱὸν αὐτοῦ Ἰησοῦν τὸν Χριστὸν γεννηθέντα ἐκ πνεύματος ἁγίου, καὶ τῆς παρθένου Μαρίας. Διατί ταύτην τὴν γέννησιν, ὦ ἄπιστε, ἐκπλήττεις; μὴ πίστευε εἰ μόνον ἄνθρωπος ἦν ὁ γεννηθείς· εἰ δὲ Θεὸς ἄνθρωπος ἦν, ἐξῆς [*F.* ἐξ ἧς] ἠθέλησεν ἐγεννήθη, ἐπειδὴ ὡς ἠθέλησεν ἐγεννήθη· ἐκεῖνο θαυμαστὸν μᾶλλον, ὅτι ὁ λόγος ἔλαβεν σάρκα, καὶ οὐκ ἐτράπη εἰς σάρκα· ὅτι μένων Θεὸς γέγονεν ἄνθρωπος· πλὴν τί θαυμάζεις ὅτι ἡ γεννήσασα, τὸν ἴδιον ἐγέννησε κτίστην, ὅτι τὸ ποίημα

(A) Rursus autem impius Theodorus in præfato sermone hæc quoque blasphemat: « Non autem divina natura ex Virgine nata est, sed natus est ex Virgine, qui ex substantia Virginis constat: non Deus Verbum ex Maria natus est; natus est autem ex Maria qui ex semine est David. Non Deus Verbum ex muliere natus est, sed natus est ex muliere, qui ex virtute Spiritus sancti plasmatus est in ea: non ex matre natus est consubstantialis Patri, sine matre enim est, secundum beati Pauli vocem, sed qui in posterioribus temporibus in materno ventre sancti Spiritus virtute plasmatus est, sine Patre propterea dictus. » Hæc impius Theodorus pervertens doctrinam Apostoli in Epistola ad Hebræos de Christo Domino dicentis: *Primo quidem interpretatus est Rex justitiæ;* (B) *deinde vero etiam rex Salem, quod est Rex pacis, sine patre, sine matre, sine genealogia, neque initium dierum habens, neque vivendi finem* (*Hebr.* VII, 3). Cum enim Apostolus de uno eodemque dicat, *sine patre, sine matre, sine genealogia, neque initium dierum habens, neque vivendi finem;* impius ipse Theodorus alterum sine patre ab altero sine matre discernit. Cæterum ex sanctorum quoque Patrum doctrina ejusmodi desipientium impietas demonstratur. Sanctus enim Gregorius Nazianzi episcopus in eo sermone qui de sanctis Theophaniis, sive de Christi Nativitate inscribitur, hæc habet: « Quis eum, qui a principio est, non adoret? quis novissimum non laudet ac celebret? Solvuntur iterum tenebræ, rursum creatur lux; iterum tenebris vexatur Ægy- (C) ptus, rursus Israel per columnam illuminatur. Populus qui in tenebris sedet, magnam cognitionis lucem inspiciat, vetera prætericrunt, ecce facta sunt omnia nova: littera cedit, spiritus superat, umbræ prætereunt, veritas ingreditur; Melchisedech colligitur: qui sine matre erat, sine patre fit, prius quidem sine matre, post autem sine patre. Naturæ leges obvertuntur, supremum mundum impleri oportet; Christus jubet ne obsistamus. » Horum similia habet S. Proclus Constantinopolitanus episcopus in sermone suo de S. Deipara. « Qui natura, inquit, impassibilis est, factus est per calamitates [*Græc.* per misericordiam] multis subjectus passionibus: non ex progressu factus est Deus Christus, absit! sed per misericordiam Deus factus est homo, in quem credimus; non (D) hominem Deificatum prædicamus, sed Deum incarnatum confitemur: ancillam suam sibi matrem delegit, qui natura sine matre est, et dispensatione sine patre. Quomodo enim ipse, juxta Pauli sententiam sine patre et sine matre est? Si purus homo, non sine matre; matrem enim habet: sin autem nudus Deus, non sine patre, Patrem quippe habet: est itaque idem ipse matris expers, ut creator; carens autem patre, ut creatura. » Sanctus etiam Augustinus in sermone de expositione Symboli hæc habet: « Credimus in Filium ejus Jesum Christum natum de Spiritu sancto, et ex Maria Virgine. Cur, infidelis, hanc nativitatem perturbas? Ne credas vel solum

τὸν ποιητὴν ἐγέννησεν, οὕτως ἠβουλήθη ὁ Ὕψιστος γεννηθῆναι ταπεινός, ἵνα ἐν αὐτῇ τῇ ταπεινώσει ἐπιδείξηται τὴν μεγαλειότητα. »

A hominem esse qui natus est, vel si Deus homo erat, deinceps nasci voluisse : nam quemadmodum ipse voluit, sic natus est. Illud potius mirare, quod Verbum caro factum est, et non est conversum in carnem, quodque manens Deus, factus est homo. Sed quid mirare, eam quæ genuit proprium genuisse factorem, creaturamque suum creatorem protulisse? Sic voluit Altissimus humilis nasci, ut suam in ipsa humilitate magnificentiam ostenderet. »

Καὶ ταῦτα μὲν οἱ ἅγιοι πατέρες. Ὅτι δὲ καὶ αἱ θεῖαι γραφαὶ, αἷς ἠκολούθησαν οἱ ἅγιοι πατέρες, αὐτὸν τὸν Θεὸν λόγον σαρκωθῆναι καὶ τεχθῆναι ἐκ τῆς ἁγίας παρθένου Μαρίας, καὶ ἐνανθρωπῆσαι διδάσκουσι δῆλον ὑπάρχει. Λέγει γὰρ πρῶτον ὁ προφήτης Ἡσαΐας, « Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· » ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ Θεός. Εἶτα καὶ Δαβὶδ ὁ προφήτης λέγει ἐν τῷ ἑκατοστῷ ἕκτῳ Ψαλμῷ· « Ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτοὺς, καὶ ἐῤῥύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν. » Ἀλλὰ καὶ ὁ ἅγιος ἀπόστολος Παῦλος οὕτω λέγει· « Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τῶν καιρῶν, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. » Τούτων τοίνυν οὕτως ἐχόντων, τίς οὕτω μαίνεται, ὥστε τολμῆσαι εἰπεῖν, ὅτι ἄνθρωπος ἦν ἐν τοῖς οὐρανοῖς, κἀκεῖνος ἀπεστάλη ἵνα γένηται ἐκ γυναικὸς, καὶ ὑπὸ νόμον; Οἱ ἄνθρωποι γὰρ πρὸ τῆς τοῦ λόγου σαρκώσεως ὑπὸ νόμον ἦσαν· ἀλλ' αὐτὸς ὁ Θεὸς λόγος ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, ὁ μὴ ὢν ὑπὸ νόμον, ἀλλ' αὐτὸς δεδωκὼς τὸν νόμον, ἀπεστάλη παρὰ τοῦ πατρὸς, καὶ ἐκ γυναικὸς γενόμενος γέγονεν ὑπὸ νόμον, ἵνα ἡμᾶς τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, καὶ τὴν υἱοθεσίαν ἀπολάβωμεν

Et hæc quidem a SS. Patribus disputantur. Sed haud perspicuum est minus divinas Litteras, quas secuti sunt sancti Ecclesiæ Patres idipsum docere, nimirum Deum Verbum incarnatum, et ex sancta Maria Virgine natum, et hominem factum esse. Ac primo Isaias propheta : *Ecce*, inquit, *Virgo concipiet, et pariet filium, et vocabitur nomen ejus Emmanuel*, quod est interpretatum, Nobiscum Deus. Rursus B David propheta psalmo centesimo sexto canit : *Misit Verbum suum, et sanavit eos, et eripuit eos de interitionibus eorum.* Apostolus pariter Paulus : *Quando autem*, inquit, *venit plenitudo temporis, misit Deus Filium suum, factum ex muliere, factum sub lege, ut eos qui sub lege erant redimeret, ut adoptionem filiorum reciperemus.* Quæ cum ita se habeant, quis adeo desipiet, ut dicere audeat hominem quempiam in cœlis fuisse, ipsumque missum esse, ut ex muliere atque sub lege nasceretur? Etenim homines quidem ante Incarnationem sub lege erant; at ipse Deus Verbum unigenitus Dei Filius, qui non subjiciebatur legi, sed erat ipse legislator, missus est a Patre, et factus ex muliere, factus est sub lege, ut nos, qui sub lege eramus, redimeret, ut adoptionem filiorum C reciperemus.

Εἰ τοίνυν, ὡς ὁ γράψας τὴν ἀσεβῆ ἐκείνην ἐπιστολὴν, καὶ ὁ αἱρετικὸς Θεόδωρος, μαίνονται, οὐκ ἦν ἀληθῶς καὶ κυρίως υἱὸς τοῦ Θεοῦ ὁ τεχθεὶς ἐκ γυναικὸς, πῶς ἠδύνατο ἡμῖν υἱοθεσίας δωρήσασθαι; Πρὸς τούτοις περιέχεται ἐν τῇ αὐτῇ ἀσεβεῖ ἐπιστολῇ, ὅτι τὸ, ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, οὐκ ἔστι δυνατὸν περὶ τῆς θεότητος τοῦ μονογενοῦς ῥηθῆναι· ὅπερ καὶ ὑμεῖς, ὡς ὀρθῶς ῥηθὲν προστεθείκατε λέγοντες, ὅτι περὶ τοῦ ἀνθρώπου, καὶ οὐχὶ περὶ τοῦ Θεοῦ λόγου τοῦ σαρκωθέντος τοῦτο δύναται λέγεσθαι. Ὅτι δὲ καὶ ταύτην τὴν ἀσέβειαν παρὰ Θεοδώρου τοῦ αἱρετικοῦ διδαχθεὶς ὁ τὴν ἐπιστολὴν γράψας τὰ τοιαῦτα ἐβλασφήμησε, φανερὸν ποιήσωμεν ἐκ τῶν τῷ αὐτῷ Θεοδώρῳ εἰρημένων ἐν τῷ τετάρτῳ λόγῳ τῷ κατὰ Ἀπολιναρίου. Ἔχει δὲ οὕτως· « Τὸν δὲ ἄνθρωπον, περὶ οὗ ταῦτά φησιν ὁ προφήτης, σαφῶς ὁ μακάριος δηλοῖ Παῦλος, τὸν ὑπὸ τοῦ μονογενοῦς εἰλημμένον ἄνθρωπον εἶναι· εἰρηκὼς γὰρ, ὅτι διεμαρτύρατο δέ πού τις λέγων, — Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου, πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ, — ἐπάγει· — Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον· — σαφῶς δεικνὺς ὅτι Ἰησοῦς ἄνθρωπος περὶ οὗ ὁ μακάριός φησι Δαβὶδ ἐκπληττόμενος ὅτι ἡ θεία φύσις ἣν ἔσχε τότε αὐτοῦ ποιήσασθαι μνήμην (sic)· καὶ δὴ καὶ ἐπισκέψεως ἀξιώσασα οἰκείας· βραχὺ μέν τι παρὰ τοὺς ἀγγέλους αὐτὸν ἠλάττωσαι (sic) τὸ γεύσασθαι ποιῆσαι θανάτου,

Si itaque is qui ex muliere natus est, vere excellenterque non foret Dei Filius, quemadmodum impiæ illius epistolæ scriptor hæreticusque Theodorus inepte contendunt, quomodo potuisset nobis filiorum adoptionem elargiri? Præterea in exsecrabili ea epistola continetur illud psalmi, *minuisti eum paulo minus ab angelis*, minime affirmari posse de Unigeniti divinitate dictum esse, quod vos, ceu catholice pronuntiatum pariter proposuistis, aientes homini, non autem Verbo incarnato id tribui posse. Hanc autem similiter impietatem ab hæretico Theodoro edoctum epistolæ scriptorem ejusmodi protulisse blasphemiam, perspicuum a nobis fiet ex iis quæ ipsemet Theodorus disserit in quarto adversus Apollinarium libro. D « Hominem, inquit, de quo propheta loquitur, manifeste beatus indicat Paulus, eum esse qui ab Unigenito assumptus est; inquiens [*Græc.* cum enim dixisset] testimonium de ipso esse prolatum ab eo qui dixit (*Psal.* VIII, 5 *seq.*): *Quid est homo quod memor es ejus, aut filius hominis, quia consideras eum? Minuisti eum paulo minus ab angelis; gloria et honore coronasti eum, et constituisti eum super opera manuum tuarum; omnia subjecisti sub pedibus ejus*, sic pergit (*Hebr.* II, 9): *Minoratum vero paulo minus ab angelis videmus Jesum propter passionem mortis, gloria et honore coronatum :* evidenter declarans Jesum cum hominem esse de quo sanctus loquitur David stupore affectus, quod divinæ quam habebat naturæ ibi mentio facta esset; et quod propria ipsum dignatus esset visitatione : *mi-*

δείξῃ δὲ αὐτὸν καὶ τιμῇ πάσῃ περιβαλεῖν· ὥστε καὶ κύριον ἀποφῆναι τῶν ἁπάντων διὰ τῆς πρὸς ἑαυτὸν συναφείας.» Καὶ πάλιν ἐν τῇ ἑρμηνείᾳ τοῦ ὀγδόου ψαλμοῦ περὶ τοῦ αὐτοῦ ῥητοῦ ὁ αὐτὸς ἀσεβὴς Θεόδωρος οὕτω λέγει· «Διὰ τοῦτο τοίνυν τὴν μὲν διαφορὰν τοῦ τε Θεοῦ λόγου, καὶ τοῦ ἀναληφθέντος ἀνθρώπου, τοσαύτην ἡμῖν δείκνυσιν ὁ ψαλμός· διῃρημένα δὲ ταῦτα ἐν τῇ καινῇ διαθήκῃ εὑρίσκεται, τοῦ μὲν κυρίου ἐφ' ἑαυτὸν λαμβάνοντος τὰ πρότερα τοῦ ψαλμοῦ, ἐν οἷς ποιητήν τε αὐτὸν εἶναί φησι τῆς κτίσεως, καὶ ἐπηρμένην ἔχειν ὑπεράνω τῶν οὐρανῶν τὴν μεγαλοπρέπειαν, καὶ τεθαυμαστῶσθαι ἐν πάσῃ τῇ γῇ· τοῦ δὲ ἀποστόλου τὰ δεύτερα τὰ περὶ τοῦ ἀνθρώπου τῆς τοσαύτης εὐεργεσίας καταξιωθέντος ἐπὶ τοῦ Ἰησοῦ λαμβάνοντος, πῶς οὐ πρόδηλον ὅτι ἕτερον μὲν ἡμᾶς ἡ θεία γραφὴ διδάσκει σαφῶς εἶναι τὸν Θεὸν λόγον, ἕτερον δὲ τὸν ἄνθρωπον; πολλήν τε αὐτῶν οὖσαν δείκνυσιν ἡμῖν τὴν διαφοράν. Ὁ μὲν γὰρ μνημονεύει, ὁ δὲ τῆς μνήμης καταξιοῦται· καὶ ὁ μὲν ἐπισκέπτεται, ὁ δὲ καὶ ταύτης καταξιούμενος μακαρίζεται· καὶ ὁ μὲν εὐεργετῶν ἐλαττοῖ βραχύ τι παρ' ἀγγέλους, ὁ δὲ εὐεργετεῖται καὶ ἐπὶ τῇ τοιαύτῃ ἐλαττώσει· καὶ ὁ μὲν δόξῃ καὶ τιμῇ στεφανοῖ, ὁ δὲ στεφανοῦται, καὶ ἐπὶ τούτοις μακαρίζεται· καὶ ὁ μὲν κατέστησεν αὐτὸν ἐπὶ πάντα τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, καὶ πάντα ὑπέταξεν ὑποκάτω τῶν ποδῶν αὐτοῦ, ὁ δὲ κατηξιώθη τοῦ δεσπόζειν τούτων, ὧν πρότερον οὐκ εἶχε τὴν ἐξουσίαν.»

Καὶ ταῦτα μὲν ὁ ἀσεβὴς Θεόδωρος, καὶ ἡ μυσαρὰ ἐκείνη ἐπιστολὴ βλασφημοῦσι φανερῶς λέγοντες ἄλλον εἶναι τὸν Θεὸν λόγον, καὶ ἄλλον τὸν Χριστόν, οἷς καὶ ὑμεῖς ἀκολουθοῦντες γεγράφηκατε, ὅτι τό, «ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους,» περὶ ἀνθρώπου, καὶ οὐ περὶ τοῦ σαρκωθέντος Θεοῦ λόγου εἴρηται· καίτοι ἐχρῆν ὑμᾶς νοεῖν, ὅτι πᾶς ἄνθρωπος ἐλάττων ἐστὶν τῶν ἀγγέλων, ἀλλὰ τοῦτο εἴρηται διὰ τὸν μονογενῆ υἱὸν τοῦ Θεοῦ. Θεὸς γὰρ ὢν ἠξίωσεν ἄνθρωπος γενέσθαι τῇ ἡμετέρᾳ συγκαταβαίνων ἀσθενείᾳ· ὅπερ καὶ ὁ ἀπόστολος ἡμᾶς διδάσκει λέγων, «τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον.» Εἰ τοίνυν, ὡς ὑμεῖς λέγετε, ἄλλος ἐστὶν Ἰησοῦς ὁ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένος, καὶ ἄλλος ὁ τοῦ Θεοῦ λόγος ὁ μὴ ἐλαττωθείς, ἀναμφιβόλως ὁ Χριστὸς ψιλός ἐστιν ἄνθρωπος ὁ τὸ πάθος ὑπομείνας, ὥστε καθ' ὑμᾶς καὶ τὸν ἀπόστολον ψεύδεσθαι λέγοντα, «Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν.» Τίς γάρ ἐστιν ὁ κύριος τῆς δόξης, εἰ μὴ ὁ Θεὸς λόγος ὁ σαρκωθείς, ὃν οἱ Ἰουδαῖοι Θεὸν εἶναι ἀγνοοῦντες ἔλεγον, «Διατί σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν;» Ὅπερ καὶ ὁ ὑμέτερος διδάσκαλος διὰ τῆς πονηρᾶς ταύτης ἑρμηνείας τοῖς Ἰουδαίοις μᾶλλον ἀκολουθήσας, κατέναντι τοῦ Θεοῦ ἡμῶν ἐλάλησεν.

Πρὸς δὲ βεβαίωσιν τῶν ὑμετέρων λόγων προσεθήκατε τοῖς κεφαλαίοις ὑμῶν λέγοντες τὸ εἰρημένον παρὰ τοῦ ἀποστόλου «ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβών» συνᾴδειν τῇ ὑμετέρᾳ ἑρμηνείᾳ, καὶ μὴ περὶ τοῦ Θεοῦ λόγου σαρκωθέντος, ἀλλὰ περὶ ἀνθρώπου μόνου εἰρῆσθαι. Ἀλλ' εἰ καὶ ὑμεῖς τῇ τῶν αἱρετικῶν καὶ ἐν τούτῳ ἀκολουθοῦντες πλάνῃ, περὶ ἀνθρώπου τὸν ἀπόστολον εἰρηκέναι διαβεβαιοῦσθαι, ὅτι ἐκένωσεν

A *noratum vero paulo minus ab angelis*, quia mortem erat gustaturus, gloria porro et honore circumdari, ita ut Dominus etiam constitueretur universorum, ob suam cum ipso conjunctionem. Et iterum in expositione octavi psalmi de eodem prolati impius idem Theodorus hæc habet: «Ideo ergo differentiam quidem Dei Verbi, et ab ipso recepti hominis tantam nobis ostendit hic psalmus. Divisa vero hæc in Novo Testamento reperiuntur, Domino quidem in se accipiente primordia psalmi, in quibus factorem eum dicit esse creaturæ, et elevatam habere super cœlos magnificentiam, et mirificari in omni terra. Apostolo autem reliqua, quæ de homine sunt, qui beneficium meritus est, de Jesu accipiente, quomodo non manifestum, quod alterum quidem divina B Scriptura docet evidenter esse Deum Verbum, alterum vero hominem? et multam eorum nobis esse ostendit differentiam. Nam iste quidem memorat, ille autem memoriam commeretur; iste quidem visitat, alter autem visitationem eam commeretur, beatusque dicitur; et iste quidem beneficium dando minuit paulo minus ab angelis, ille autem et per talem minutionem beneficium accipit; et iste quidem gloria et honore coronat, alter autem coronatur, et propterea beatus dicitur; et iste quidem constituit ipsum super omnia opera manuum ejus, omniaque subjecit sub pedibus ejus, alter autem meritus est dominari eis quorum antea non habebat potestatem.» Hactenus impius Theodorus, similiter atque exsecrabilis epistola blasphemant aperte alium Dei Ver- C bum esse, alium vero Christum; quos vos secuti, pariter scripsistis locum illum, ***Minuisti eum paulo minus ab angelis***, de homine, minime autem de Deo Verbo incarnato esse prolatum. Oportebat autem, ut intelligeretis omnem hominem angelis esse minorem, sed id de unigenito Deo Verbo dictum esse, qui Deus existens dignatus est homo fieri, nostram sibi conjungens infirmitatem, quod docet ipse Apostolus dicens: ***Minoratum paulo minus ab angelis videmus Jesum per passionem mortis, gloria et honore coronatum.*** Si itaque, ut vestra est sententia, alius est Jesus paulo minus ab angelis minoratus, alius autem Deus Verbum non minoratum, procul dubio purus homo est, qui passionem sustinuit, Christus, mendaxque adeo fit a vobis Apostolus dicens: *Si* D *cognovissent, nunquam Dominum gloriæ crucifixissent* (*I Cor.* II, 8). Quis enim Dominus est gloriæ nisi Deus Verbum incarnatum, quem Judæi Deum esse negantes increpabant: ***Cur tu homo cum sis, facis te ipsum Deum*** (*Joan.* x, 33)? Quod ipsum etiam præceptor vester Judæos impia ea interpretatione secutus, pariter commentus est.

Ut vero sententias prædictas argumentis confirmaretis, dictum illud Apostoli capitibus vestris proposuistis: *Qui cum in forma Dei esset, exinanivit semetipsum formam servi accipiens* (*Philip.* II, 6), egregie cum expositione vestra convenire, ac non de Verbo Deo incarnato, sed de puro homine solum ibi esse sermonem. Ac quanquam vos circa id etiam sectati hæreticorum errorem, de homine contendatis

ἑαυτὸν, ὅμως πᾶσι τοῖς ὀρθοδόξοις δῆλόν ἐστιν, ὁ ἀπόστολος αὐτὸν τὸν Θεὸν λόγον ἑαυτὸν κενῶσαί φησιν, ἐπειδὴ ἐν μορφῇ Θεοῦ ὑπάρχων, τουτέστιν ἐν τῇ θείᾳ φύσει, ἠξίωσεν μορφὴν δούλου λαβεῖν· ἡ δὲ μορφὴ τοῦ δούλου τὴν ἀνθρωπίνην φύσιν σημαίνει, ἣν ἐν τῇ γαστρὶ τῆς παρθένου, καὶ ἐξ αὐτῆς τῇ ἰδίᾳ ὑποστάσει ὁ Θεὸς λόγος ἥνωσεν. Καὶ οὐ προδιαπλασθέντι ἀνθρώπῳ ἡνώθη, καθάπερ ἡ Νεστορίου καὶ Θεοδώρου παραδέδωκεν ἀσέβεια τοῖς ἀκολουθοῦσιν αὐτοῖς. Νεστόριος μὲν γὰρ λέγει, ὅτι ὁ Θεὸς λόγος συνῆν τῷ ἀνθρώπῳ τῷ ἐκ Μαρίας τεχθέντι. Θεόδωρος δὲ λέγει [ὅτι] ἐνῆν ὡς εἰκὸς τῷ τεχθέντι.

A locutum esse Apostolum dicentem, quod semetipsum exinanivit, nihilo tamen secius exploratum catholicis omnibus est, Apostolum de ipso Deo Verbo sui ipsius exinanitionem docere, quoniam cum in forma Dei esset, in divina scilicet natura, dignatus est formam servi accipere: forma porro servi humanam naturam significat, quam ex Virgineo utero atque ex propria subsistentia Deus Verbum sibi perfecit: et non prius plasmato homini extrinsecus adjecit, quemadmodum impia Nestorii Theodorique disciplina traditum est. Inquit enim Nestorius Deum Verbum esse simul cum eo homine qui ex Maria editus est: Theodorus autem, quod ei ex Maria edito inerat, ut simile, pronuntiavit.

Ὅτι δὲ περὶ τοῦ Θεοῦ λόγου τοῦ σαρκωθέντος εἴρηται B τὸ, « ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, » καὶ « ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβών, » καὶ ἐξ ἄλλων ῥημάτων τοῦ ἀποστόλου διδασκόμεθα οὕτω λέγοντος· « Γινώσκετε γὰρ τὴν χάριν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι' ἡμᾶς ἐπτώχευσεν πλούσιος ὤν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν. » Τίς τοίνυν τολμήσει λέγειν, ὅτι ἄνθρωπος πλούσιος ἦν, καὶ ἐπτώχευσεν, ἵνα ἡμᾶς πλουτήσῃ; Ἐπειδὴ δὲ λέγετε, ὅτι εἴ τις εἴπῃ περὶ τοῦ σαρκωθέντος Θεοῦ λόγου τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, ὅτι αὐτὸς ἠλαττώθη, ἢ ἐκενώθη, τροπὴν τῆς θείας φύσεως ποιεῖ κατὰ τὴν Ἀπολιναρίου ἀσέβειαν, ἢ παθητὴν εἰσάγει τὴν θεότητα κατὰ τὴν Ἀρείου μανίαν, ἁρμόζει πρὸς ὑμᾶς τὸν εὐαγγελικὸν ἐκεῖνον λόγον εἰπεῖν· « Πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς, μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ ἐπιστάμενοι. » Τί γὰρ εἰπεῖν ἔχετε περὶ τοῦ ῥηθέντος ὑπὸ τοῦ κυρίου C « ὅτι οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ; » Μὴ ἄνθρωπον λέγετε καταβεβηκέναι ἐκ τοῦ οὐρανοῦ; ἀλλὰ πρόδηλον ὅτι αὐτὸς ὁ Θεὸς λόγος ἐκένωσεν ἑαυτὸν ἐκ τῶν οὐρανῶν κατελθὼν, καὶ σαρκωθεὶς ἀπὸ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ ἐνανθρωπήσας, καὶ τεχθεὶς ἐξ αὐτῆς, καὶ ὁ καταβὰς αὐτός ἐστιν καὶ ὁ ἀναβὰς, καὶ αὐτοῦ λέγεται ἡ ἐλάττωσις, καὶ ἡ κένωσις διὰ τὴν κατάβασιν.

Quod autem de Deo Verbo incarnato dictum sit illud « Minuisti eum paulo minus ab angelis, » atque, « Exinanivit semetipsum formam servi accipiens, » alio Apostoli loco docemur de ipso dicentis: « Cognoscite gratiam Domini nostri Jesu Christi, quoniam cum dives esset, propter nos egenus factus est, ut nos ejus inopia divites essemus (*II Cor.* VIII, 9). » Quis autem dicere audeat hominem divitem fuisse, et egenum factum esse, ut nos locupletaret? Cumque rursus dicatis eum qui de incarnato Deo Verbo, unigenitoque Dei Filio affirmet minoratum esse ipsum atque exinanitum, conversionem divinæ naturæ inducere juxta Apollinarii impietatem, vel secundum Arii errorem divinitatem passibilem facere, egregie adversus vos quadrat evangelica sententia dicens: *Erratis, nescientes Scripturas neque virtutem Dei* (*Matth.* XXII, 29). Quid enim vobis supererit, ut dicatis, de eo quod dictum est a Domino, *Nemo ascendit in cœlum, nisi qui descendit de cœlo, Filius hominis, qui est in cœlo* (*Joan.* III, 13)? Non hominem dicit de cœlo descendisse, sed evidentissime astruit Deum Verbum eum esse qui semetipsum exinanivit, qui descendit de cœlo, et incarnatus est ex sancta Deipara semperque virgine Maria, et homo factus est, et ex ipsa natus, et is qui descendit ille idem est qui ascendit, cui ob descensionem exinanitio minoratioque tribuuntur.

Ἐπειδὴ δὲ καὶ ἐν ἄλλῳ τόπῳ εἶπεν ὁ κύριος ἐν τοῖς D εὐαγγελίοις, « ὅτι ὁ πατήρ μου μείζων μου ἐστι, » μὴ ἄρα ἄνθρωπόν τινα περὶ αὐτοῦ ταῦτα εἰρηκέναι νομίζετε, καὶ οὐχὶ τὸν Θεὸν λόγον τὸν ἐνανθρωπήσαντα; ἀλλὰ φανερόν ἐστιν, ὅτι ὁ εἰπὼν, « ὁ πατήρ μου μείζων μού ἐστιν, » αὐτὸς εἶπεν, « ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. » Ἀλλ' ἐν μὲν τῷ εἰπεῖν, « ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, » τὴν ἰσότητα, ἣν αὐτὸς ἔχει πρὸς τὸν πατέρα κατὰ τὴν θείαν φύσιν δηλοῖ. Ἐν δὲ τῷ λέγειν τὸν αὐτὸν, « ὁ πατήρ μου μείζων μού ἐστιν, » τὴν δι' ἡμᾶς οἰκονομικῶς γενομένην ἐλάττωσιν δηλοῖ. Ἑκάτερον δὲ, καὶ ἡ ἰσότης καὶ ἡ ἐλάττωσις, περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ, τουτέστιν τοῦ Θεοῦ λόγου τοῦ σαρκωθέντος, λέγεται.

Dicente etiam alibi quoque Domino in Evangeliis: *Pater major me est* (*Joan.* XIV, 28), ne cogitetis ibi hominem quempiam, non autem Deum hominem factum eo modo de se fuisse locutum. Evidentissimum quippe est eumdem ipsum qui dixit, *Pater major me est*, dixisse pariter, *Ego et Pater unum sumus* (*Ibidem*, X, 30). Quo enim loco ait, *Ego et Pater unum sumus*, æqualitatem divinæ naturæ, quam cum Patre habet, designat: quo autem illud, *Pater major me est*, profert, minorationem suam propter nos, sua dispensatione, factam ostendit. Utrumque scilicet, æqualitas atque minoratio, de uno atque eodem Domino nostro Jesu Christo, hoc est de incarnato Dei Verbo, dictum est.

Καὶ Ἀρειανοὶ μὲν πονηρᾷ διανοίᾳ ἐκ τῶν ταπεινῶν ῥημάτων ὁμοούσιον εἶναι τῷ πατρὶ τὸν υἱὸν ἀρνοῦνται, καὶ διὰ τοῦτο ἐλάττονα αὐτὸν εἶναι διαβεβαιοῦνται· ὑμεῖς δὲ μὴ θέλοντες περὶ τοῦ σαρκωθέντος Θεοῦ λόγου τὰ ταπεινὰ δέξασθαι, ἄλλο πρόσωπον τῇ τριάδι εἰσάγετε κατὰ τὴν Θεοδώρου καὶ Νεστορίου δυσσέβειαν. Ἀλλ' ἡμεῖς καὶ

Atque Ariani quidem erronea opinatione ex ejusmodi loquendi demissis modis Filium Patri consubstantialem esse inficiantur, aiuntque propterea esse ipsum Patre minorem: vos autem fateri renuentes, humilia hæc dicta de incarnato Dei Verbo esse intelligenda, novam invehitis in Trinitate personam,

τὰ ὑψηλὰ, καὶ τὰ ταπεινὰ περὶ ἑνὸς, καὶ τοῦ αὐτοῦ Θεοῦ λόγου τοῦ σαρκωθέντος, τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λέγοντες, οὔτε σύγχυσιν, οὔτε διαίρεσιν τῶν φύσεων εἰσάγομεν, ἐξ ὧν τὴν μίαν σύνθετον ὑπόστασιν τοῦ κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ ὁμολογοῦμεν, οὔτε δὲ τέταρτον πρόσωπον ἐπεισάγομεν τῇ ἁγίᾳ τριάδι.

Ὅτι δὲ περὶ τοῦ μονογενοῦς Θεοῦ Λόγου σαρκωθέντος καθὰ προείρηται τὸ, « Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους » γέγραπται, καὶ οἱ ἅγιοι πατέρες καὶ διδάσκαλοι τῆς ἐκκλησίας, οἱ τὰς ἁγίας γραφὰς ἑρμηνεύσαντες, ἐδίδαξαν ἡμᾶς. Καὶ ὁ ἐν ἁγίοις μὲν Κύριλλος ἐν τῇ πρὸς τὴν Βασιλίδα ἐπιστολῇ οὕτως εἶπεν· « Πῶς οὖν ἠλάττωται παρὰ τοὺς ἀγγέλους ὁ παρ' αὐτῶν προσκυνούμενος; ἀλλὰ ἔστι σαφὴς ἡ πρόφασις. Καθείκετο [*F.* κατείχετο] γὰρ ἐν τοῖς τῆς ἀνθρωπότητος μέτροις· καὶ τὸ ἀποθνήσκειν πεφυκὸς σῶμα λαβὼν, ἴδιόν τε αὐτὸ ποιησάμενος, ἐν αὐτῷ πέπονθεν ἑκὼν, καὶ ταῖς ἀνωτάτω δόξαις στεφανοῦται διὰ τὸ πάθος, ὡς δι' αὐτοῦ καταργήσας τὸν θάνατον, καὶ ἄπρακτον ἀποφήνας τὴν φθοράν· ἅτε δὴ καὶ ὑπάρχων ἀφθαρσία καὶ ζωή. Ὅτε ἂν οὖν Ἰησοῦν ὀνομάζῃ, καὶ ἠλαττῶσθαι λέγοι παρὰ τοὺς ἀγγέλους αὐτὸν, οὐκ ἄνθρωπον ἀνὰ μέρος καὶ ἰδικῶς, ἀλλ' αὐτὸν νοοῦμεν τὸν μονογενῆ παραχωροῦντα τὸ προὔχειν οἰκονομικῶς τοῖς ἁγίοις ἀγγέλοις, ὅτι κατὰ ἀλήθειαν γέγονεν ἄνθρωπος ὁ τῆς ἐκείνων ὑπεροχῆς ἡττώμενος· τὰ δὲ τῆς ὑπεροχῆς τοῖς ἁγίοις ἀγγέλοις, ὅτι καὶ ἔξω σαρκὸς καὶ τοῦ τεθνάναι κρείττους εἰσὶν, γεγονότος ἐν τούτοις τοῦ υἱοῦ διὰ τὴν ἑκούσιον κένωσιν. Ἀλλ' ὁ βραχὺ παρ' ἀγγέλους ἠλαττωμένος διὰ τὸ τῆς ἀνθρωπότητος μέτρον ἐν ὑπεροχῇ θεότητος ὢν προσκυνεῖται παρ' αὐτῶν, καὶ ἐνίδρυται θώκοις οὓς περιστᾶσιν ἐκεῖνοι δοξολογοῦντες ἀεὶ, καὶ τῶν δυνάμεων αὐτὸν ὀνομάζοντες κύριον. » Ὅτι δὲ καὶ ἡ κένωσις αὐτοῦ τοῦ Θεοῦ λόγου σαρκωθέντος ἐστὶν, ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος ἐν τοῖς πρὸς τὰς ἀντιῤῥήσεις Θεοδωρίτου γραφεῖσιν, ἃς ἐποιήσατο ὁ αὐτὸς Θεοδώριτος κατὰ τοῦ τετάρτου αὐτοῦ κεφαλαίου οὕτως λέγει· « Ὅτι μὲν σμικρὰ τῷ ἐκ τοῦ Θεοῦ φύντι λόγῳ πάντα ἐστὶ τὰ ἀνθρώπινα φαίην ἂν ὄκνου δίχα παντός. Ζητῶ δὲ τὴν κένωσιν τίνος ἂν γενέσθαι νοοῖτο· καὶ τίς ὁ τοῦτο παθὼν ἑκουσίως Εἰ μὲν γὰρ, ὡς αὐτοί φασιν, ἡ τοῦ δούλου μορφὴ, ἤτοι τὸ ἐκ σπέρματος Δαβὶδ, πῶς ἢ τίνα κεκένωται τρόπον εἰ προσελήφθη παρὰ Θεοῦ; Εἰ δὲ αὐτὸς ὁ ἐν μορφῇ καὶ ἰσότητι τοῦ Θεοῦ καὶ πατρὸς ὑπάρχων λόγος, ἑαυτὸν κενῶσαι λέγεται, πῶς δὴ πάλιν ἢ τίνα τρόπον κεκένωται, εἰ παραιτοῖτο τὴν κένωσιν; κένωσις δὲ τῷ Θεῷ λόγῳ παθεῖν οὐκ εἰδότι τὴν τροπὴν, τὸ δράσαι τι καὶ εἰπεῖν τῶν ἀνθρωπίνων διὰ τὴν πρὸς σάρκα σύνοδον οἰκονομικήν. » Καὶ πάλιν ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος ἐν τῷ αὐτῷ βιβλίῳ κατὰ Νεστοριανῶν οὕτω λέγει· « Ἆρ' οὖν ὁ θεσπέσιος Παῦλος πεφαινάκικε (sic) τοὺς ἡγιασμένους διὰ τῆς πίστεως ἐναργέστατα λέγων περὶ τοῦ μονογενοῦς, ὅτι πλούσιος ὢν ἐπτώχευσεν δι' ἡμᾶς; μὴ γένοιτο· ἀληθεύει γὰρ πάντως τῆς ἀληθείας ὁ κῆρυξ. Ἀλλὰ γὰρ τίς ὁ πλούσιός ἐστιν, καὶ τίνα τρόπον ἐπτώχευσεν; βασανιζέτω καὶ νῦν ὁ λόγος ἡμῖν. Εἰ μὲν γὰρ, καθὰ καὶ φρονεῖν καὶ λέγειν αὐτοὶ τεθαρσήκασιν, ἄνθρωπος ἀνελήφθη παρὰ τοῦ Θεοῦ, πῶς ἐπτώχευσεν ὁ ἀναληφθεὶς καὶ τοῖς ὑπὲρ φύσιν ἀξιώμασιν ἐκλελαμπρυσμένος; Δεδόξασται γὰρ, ἢ εἰ μὴ τοῦτό ἐστιν ἀληθές, δια-

A Theodori Nestoriique probantes impietatem nos vero humiles, haud secus atque sublimes sententias de uno eodemque Deo Verbo incarnato, ac Domino nostro Jesu Christo exponentes, confusionem divisionemque pariter vitamus naturarum, ex quibus unicam Dei ac Domini nostri Jesu Christi constitui subsistentiam confitemur, neque quartam inducimus personam sanctæ Trinitati.

Verum sancti quoque Patres, atque Ecclesiæ doctores, sacras exponentes litteras, eum locum: « Minuisti eum paulo minus ab angelis: » juxta ea quæ superius disputata sunt de unigenito Deo Verbo incarnato dictum esse docuerunt. Sanctus enim Cyrillus in epistola ad Basilidem hæc habet: « Quomodo igitur angelis est minoratus, qui ab ipsis adoratur? Sed evidens est hæc causa. Sedet enim in humanitatis B conditione, et corpore mortali quod assumpserat, sibique fecerat proprium: in eo volens passus est, et suprema gloria propter passionem coronatur, quod per ipsam aboleverit mortem, et sustulerit corruptionem, existens ipse vita et incorruptio. Quando itaque Jesum nominat, et ipsum angelis esse minoratum dicit, non ibi hominem seorsim et singulariter acceptum intelligimus, sed ipsum Filium Dei unigenitum secundum dispensationem sanctis angelis dignitate cedentem, quia secundum veritatem factus est homo, qui ab eorum eminentia est minoratus. Sublimitas enim sanctorum angelorum est extra carnem esse mortique minime subjici, quam ipse voluntaria exinanitione suscepit; et qui parum ab angelis minuitur, propter humanitatis scilicet condi- C tionem, in sublimitate Deitatis existens ab ipsis adoratur, et in thronis sedet, circa quos stant angeli, glorificantes semper, ipsumque Dominum virtutum incessanter proclamantes. » De eadem rursus sua exinanitione ad incarnatum Deum Verbum pertinente constat ex eodem Cyrillo in libro adversus confutationes Theodoreti, quas ipse fecit contra quartum ejus capitulum. « Quod parva, inquit, sint omnia humana Verbo ex Deo nato absque mora quin hæream dixero. Quæro autem cujusdam esse putetur exinanitio, et quis hanc voluntarie tulerit. Itaque, si, quemadmodum alii dicunt, forma servi, aut quod est ex semine David; quomodo vel quo [*Supp.* pacto], quæso, exinanitum est, si a Deo assumptum est? Si autem D ipsum Verbum, quod in forma et æqualitate Dei Patris existit, se ipsum exinanivisse dicitur; quomodo, vel quo pacto exinanitum est, si refutavit exinanitionem? Exinanitio autem Deo Verbo versionem pati nescio est facere ac dicere quiddam humanum propter dispensativum ad carnem conventum. » Iterum sanctus Cyrillus in eodem libro contra Nestorianos hæc habet: « Nunquid igitur divinus Paulus fide sanctificatos seduxit, perspicue de Unigenito dicens: Cum esset dives, egenus propter nos effectus est? Absit. Vera namque omnino loquitur Veritatis præco. Quis enim est dives, et quomodo factus est egenus? Si quidem, quemadmodum sentire ac proloqui ausi sunt quidam, homo assumptus est a Deo, quomodo pauper factus est derogabitur * is qui assumptus est, digni-

* ***Derogabitur*** expungendum clamant textus Græcus et syntaxis. Edit.

βέβληται παρ' αὐτῶν ἡ ἀνάληψις ὡς κατακομίσασα πρὸς τὸ μεῖον, καὶ πρός γε τὸ δυσκλεέστερον τὸ τῆς ἀνθρωπότητος μέτρον. Ἀλλ' ὧδε φρονεῖν ἀπηχές. Οὐκοῦν οὐκ ἐπτώχευσεν ὁ ἀναληφθείς· λείπεται τοίνυν εἰπεῖν, ὅτι γέγονεν ἐν πτωχείᾳ τῇ καθ' ἡμᾶς ὁ πλούσιος ὡς Θεός. »

Ὁμοίως δὲ καὶ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ θεολόγος ἐν τῷ λόγῳ τῷ περὶ τῶν θεοφανίων οὕτω λέγει· « Προελθὼν δὲ Θεὸς μετὰ τῆς προσλήψεως, ἓν ἐκ δύο τῶν ἐναντίων σαρκὸς καὶ πνεύματος, ὧν τὸ μὲν ἐθέωσε, τὸ δὲ ἐθεώθη. Ὢ τῆς καινῆς μίξεως, ὢ τῆς παραδόξου κράσεως. Ὁ ὢν γίνεται, καὶ ὁ ἄκτιστος κτίζεται, καὶ ὁ ἀχώρητος χωρεῖται διὰ μέσης ψυχῆς νοερᾶς μεσιτευούσης θεότητι καὶ σαρκὸς παχύτητι, καὶ ὁ πλουτίζων πτωχεύει· πτωχεύει γὰρ τὴν ἐμὴν κάθαρσιν, ἵν' ἐγὼ πλουτήσω τὴν αὐτοῦ θεότητα. καὶ ὁ πλήρης κενοῦται· κενοῦται γὰρ τῆς ἑαυτοῦ δόξης ἐπὶ μικρὸν, ἵν' ἐγὼ τῆς ἐκείνου μεταλάβω πληρώσεως. »

Ἀλλὰ καὶ ὁ ἐν ἁγίοις Ἀθανάσιος ἑρμηνεύων τὰ τοῦ ἀποστόλου ῥητὰ λέγοντος, « ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων ἐκένωσεν ἑαυτὸν, μορφὴν δούλου λαβὼν, » οὕτως λέγει· « Τί τούτου λευκότερον καὶ ἀποδεικτικώτερον γένοιτο ἄν; οὐ γὰρ ἐξ ἐλαττόνων βελτίων γέγονεν, ἀλλὰ μᾶλλον Θεὸς ὑπάρχων, τοῦ δούλου μορφὴν ἔλαβεν, καὶ ἐν τῷ λαβεῖν οὐκ ἐβελτιώθη, ἀλλ' ἐταπείνωσεν ἑαυτόν. » Καὶ μετ' ὀλίγον· « Τί δέ τοῦτό ἐστιν, ἢ τὸν ἐν μορφῇ Θεοῦ ὄντα, καὶ εὐγενοῦς πατρὸς υἱὸν ταπεινῶσαι ἑαυτὸν, καὶ δοῦλον ἀνθ' ὑμῶν καὶ ὑπὲρ ἡμῶν γενέσθαι; » Καὶ μετ' ὀλίγον· « Ὁ γὰρ λόγος σὰρξ ἐγένετο, καὶ λέγεται ὅτι ὁ τοιοῦτος ἄνθρωπος ἐξ οὐρανοῦ, καὶ ἐπουράνιος, διὰ τὸ ἐξ οὐρανοῦ καταβεβηκέναι τὸν λόγον. »

Ἀλλὰ καὶ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ ἐπίσκοπος Νύσσης κατὰ Εὐνομίου ἐν τῷ τρίτῳ λόγῳ οὕτως λέγει· « Ταῦτα περὶ τὸν ἐσταυρωμένον ἡμεῖς πεπιστεύκαμεν· καὶ διὰ τοῦτο ὑπερυψοῦντες κατὰ τὸ ἡμέτερον τῆς δυνάμεως μέτρον οὐκ ἀπολήγομεν, ὅτι ὁ μηδενὶ χωρητὸς διὰ τὴν ἄφραστον αὐτοῦ καὶ ἀπρόσιτον μεγαλειότητα, πλὴν ἑαυτῷ καὶ τῷ Πατρὶ, καὶ τῷ Πνεύματι τῷ ἁγίῳ, οὗτος καὶ πρὸς κοινωνίαν τῆς ἀσθενείας ἡμῶν κατελθεῖν ἠδυνήθη· οἱ δὲ ταύτην ἀπόδειξιν τῆς κατὰ τὴν φύσιν ἀλλοτριότητος τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα ποιοῦνται, τὸ διὰ σαρκὸς καὶ σταυροῦ φανερωθῆναι τὸν Κύριον· ὡς τῆς μὲν τοῦ Πατρὸς φύσεως καθαρῶς ἐν ἀπαθείᾳ διαμενούσης, καὶ μηδενὶ τρόπῳ τὴν πρὸς τὸ πάθος κοινωνίαν ἀναδέξασθαι δυναμένης, τοῦ δὲ Υἱοῦ διὰ τὸ πρὸς τὸ ταπεινότερον παρηλλάχθαι τὴν φύσιν, πρὸς σαρκός τε καὶ θανάτου πεῖραν οὐκ ἀδυνατοῦντος ἐλθεῖν. » Καὶ μεθ' ἕτερα· « Διὰ τοῦτο γὰρ καὶ τοῦ Κυρίου τῆς δόξης ὁ σταυρὸς λέγεται, καὶ πᾶσα γλῶσσα ἐξομολογεῖται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός. Εἰ δὲ χρὴ καὶ τὰ λοιπὰ κατὰ τὸν αὐτὸν διελεῖν τρόπον, σκεψόμεθα τί τὸ ἀποθνῆσκον, καὶ τί τὸ καταλῦον τὸν θάνατον, καὶ τί τὸ ἀνακαινούμενον, καὶ τί τὸ κενούμενον· κενοῦται μὲν γὰρ ἡ θεότης, ἵνα χωρητὴ τῇ ἀνθρωπίνῃ γένηται φύσει· ἀνακαινοῦται δὲ τὸ ἀνθρώπινον διὰ τῆς πρὸς τὸ θεῖον ἀνακράσεως θεῖον γινόμενον. »

Καὶ ταῦτα μὲν ἐκ τῆς διδασκαλίας τῶν ἁγίων πατέρων

A talibus super naturam effulgens? nam glorificatus est; vel si hoc nequaquam verum est, ab eis assumptioni quod [*F. leg.*, obtrectatum est ab eis assumptioni quasi] eum ad ignobiliorem atque minorem deduxerit humanitatis mensuram : id porro absurdum est cogitare. Non igitur egenus factus est assumptus : reliquum est ergo ut dicamus in paupertate nostra factum esse eum qui, tanquam Deus, dives erat. »

Similiter S. Gregorius Theologus in sermone de Christi Natali hæc habet : « Progressus autem Deus cum humanitate, unum ex duobus inter se contrariis, carne nimirum et spiritu, quorum alterum deificavit, alterum deificatum est. O novam mixtionem! o admirandam temperationem! Qui est, fit; qui creatus B non est, creatur; qui nullo loco contineri potest, per interventum animæ spiritualis inter divinitatem et carnis crassitiem medius continetur. Qui locupletes alios ditat, paupertate afficitur : carnis enim meæ paupertatem sumit, ut ego divinitatis illius divitias consequar. Et qui plenus est, exinanitur : sua enim gloria ad breve tempus exinanitur, ut ego plenitudinis ipsius particeps efficiar. »

Sed sanctus etiam Athanasius exponens ea Apostoli verba : *Qui cum in forma Dei esset, exinanivit semetipsum, formam servi accipiens* : hæc scribit : « Quid hoc clarius aut probatius esse poterit? Non enim ex deteriore melior factus est, sed potius, cum Deus esset, servi speciem assumpsit; neque in assumendo melioratus est, sed humiliavit semetipsum. » C Et post pauca : « Quid hoc est autem, quam eum, qui in forma Dei esset nobilisque Patris Filius, humiliasse semetipsum, et servum pro nobis factum esse? » Rursusque post pauca : « Verbum enim caro factum est, diciturque propterea hic homo de cœlo et cœlestis, quia Verbum ipsum de cœlo descendit. »

Sanctus pariter Gregorius Nyssænus in tertio adversus Eunomium libro disserit in hunc modum : « Hæc ipsi de Crucifixo credidimus : itaque juxta propriæ virtutis mensuram ipsum extollere non cessamus : quod scilicet ob ineffabilem, inaccessibilemque magnificentiam suam indivisus a Patre etiam, et a Spiritu sancto ad nostræ infirmitatis communionem advenire potuerit : illi autem, id argumentum D esse natura extraneitatis Filii a Patre constituunt : apparuisse nimirum aientes Dominum per carnem et crucem, ita ut paterna natura in impassibilitate permanente, nullaque ratione passionis communionem suscipere potenti, Filius, transformatus in humiliorem naturam, per carnem et mortem minime incapax passionis advenerit. » Et post alia, subdit : « Idcirco enim, et Domini gloriæ crux dicitur, et omnis lingua Dominum Jesum Christum in gloria Dei Patris esse confitetur. Namque si cætera etiam eodem modo dividere oporteat, quis sit ille qui mortuus est prospiciemus, quis qui mortem dissolverit : et quid renovatum, quid autem exinanitum. Exinanitur quippe divinitas, ut humanitatis suscipiendæ capax fiat; humanitas autem propter commixtionem divinitatis divina effecta renovatur. »

Atque hæc nos quidem ex sanctorum Patrum do-

τεθείκαμεν, ἵνα ταῦτα κατανοοῦντες γνοίητε ὡς τὰ παρ' ὑμῶν προτεθειμένα, καὶ Ἀρειανοὶ, καὶ Νεστοριανοὶ κατὰ τοῦ κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ λέγουσιν ἀσεβῶς. Οἱ μὲν γὰρ Ἀρειανοὶ σπουδάζοντες τὸν υἱὸν κτίσμα, καὶ ἀλλότριον τῆς πατρικῆς οὐσίας ἀποδεῖξαι, καὶ τὸ πάθος, καὶ τὰ ἄλλα τὰ ταπεινὰ τῇ θεότητι αὐτοῦ μόνῃ ἐπάγουσιν, οἱ δὲ Νεστοριανοὶ δύο υἱοὺς εἰσάγειν βουλόμενοι, κεχωρισμένως λέγουσι τὸν Θεὸν λόγον, καὶ κεχωρισμένως τὸν Χριστὸν ψιλὸν ἄνθρωπον, καὶ μόνῳ τῷ ἀνθρώπῳ τὰ ταπεινὰ ἀπονέμουσιν. Ἀλλ' οὐχ οὕτως οἱ ἅγιοι πατέρες διδάσκουσιν· οὐδὲ γὰρ διὰ τὰ ταπεινὰ τροπὴν λέγουσιν τῆς τοῦ υἱοῦ θεότητος, οὐδὲ διὰ τὰ ὑψηλὰ διαιροῦσι τὴν ἀνθρωπότητα τῆς θεότητος, ἀλλὰ τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ μονογενοῦς Θεοῦ λόγου σεσαρκωμένου καὶ ἐνανθρωπήσαντος, καὶ τὰ ὑψηλὰ, καὶ τὰ ταπεινὰ εἶναι παραδιδόασιν.

Ἐπειδὴ δὲ καὶ τοῦτο τοῖς ὑμετέροις ἐντεθείκατε κεφαλαίοις ἐκ τῆς αὐτῆς ἐπιστολῆς, ὅτι καλῶς εἶπεν δύο φύσεις, μίαν ἐξουσίαν, ἓν πρόσωπον, καὶ ἐν τούτῳ τὴν πονηρίαν τοῦ γράψαντος τὴν ἐπιστολὴν διελέγξωμεν. Ὁ γὰρ μὴ ὁμολογῶν, ὅτι αὐτὸς ὁ Θεὸς λόγος σαρκωθεὶς ἐκ τῆς παρθένου ἐνηνθρώπησεν, τίνος τὰς δύο φύσεις λέγει; Ἀλλὰ πρόδηλον, ὅτι ἀντὶ προσώπων τὰς δύο φύσεις λαμβάνει, κατὰ Νεστόριον καὶ Θεόδωρον, οὓς ἐπαινεῖ ἡ ἀσεβὴς αὐτὴ ἐπιστολή. Εἰ γὰρ καὶ ἓν πρόσωπον, καὶ ἕνα υἱὸν δοκεῖ λέγειν ἡ ἐπιστολὴ, τοῦτο καὶ Θεόδωρος καὶ Νεστόριος καὶ λέγουσιν, τὸν Χριστὸν ἄνθρωπον μόνον λέγοντες ἐπέχειν τὸ πρόσωπον τοῦ Θεοῦ λόγου, ἔχειν τὴν ἀξίαν καὶ τὴν τιμὴν τοῦ Θεοῦ λόγου, καὶ τὴν χάριν τῆς υἱοθεσίας, καὶ εἰς τόπον αὐτοῦ προσκυνεῖσθαι, καὶ διὰ τοῦτο ὑποκρίνονται λέγειν ἕνα υἱὸν καὶ ἓν πρόσωπον τοῦ λόγου καὶ τοῦ Χριστοῦ, κοινωνοῦντος μόνῳ τῷ ὀνόματι τῆς υἱότητος· τοῦτο δὲ δείκνυται φανερῶς ἐκ τοῦ λέγειν τὴν ἐπιστολὴν τῶν δύο φύσεων μίαν ἐξουσίαν, ὡς καὶ ὑμεῖς ἐγράψατε. Μία γὰρ ἐξουσία οὐκ ἐπὶ διαφόρων φύσεων, ἀλλ' ἐπὶ διαφόρων λέγεται προσώπων, ὅπερ ἐπὶ τῆς ἁγίας τριάδος ὁμολογοῦμεν. Ὅθεν καὶ οἱ ἅγιοι πατέρες ἀνεθεμάτισαν τοὺς λέγοντας κατὰ δύναμιν, ἢ ἀξίαν, ἢ αὐθεντίαν, ἢ σχέσιν, ἢ τιμὴν ἡνῶσθαι τῷ λόγῳ τὸν ἄνθρωπον, καὶ μὴ ὁμολογοῦντας καθ' ὑπόστασιν τῶν δύο φύσεων τὴν ἕνωσιν γεγενῆσθαι. Ὅπως δὲ καὶ τοῦτο ὀρθῶς εἰρημένον τοῖς ἁγίοις πατράσι περὶ διαφορᾶς τῶν δύο φύσεων, οἱ τὰ Νεστορίου δοξάζοντες, ὧν τῆς ἀπιστίας ἀρχηγός ἐστι Θεόδωρος, ἀσεβῶς ἐκλαμβάνουσι, τὰς φύσεις ἀντὶ προσώπων λέγοντες, καὶ προσώπων κατὰ σχέσιν ἕνωσιν πρεσβεύοντες, ἓν πρόσωπον ὑποκρίνονται λέγειν, αὐτὸς ὁ ἀσεβὴς Θεόδωρος δείκνυσιν ἐν τῷ τετάρτῳ λόγῳ τῶν κατὰ Ἀπολλιναρίου τοῦ αἱρετικοῦ γράφων οὕτως· « Αὐτάρκως δὴ τὸ διάφορον τῶν φύσεων ἡμῖν ὑποδείκνυσι διὰ τούτων· εἴ γε τὸ μὲν ἐκπλήττεται, ὡς δι' ὑπερβολὴν φιλανθρωπίας ἑλόμενον, μνήμην τε καὶ ἐπίσκεψιν ποιήσασθαι τοῦ οὕτως εὐτελοῦς· τὸν δὲ μακαριστὸν ἡγεῖται ὡς τοιούτων ἠξιωμένων (Sic). Ἀλλὰ γὰρ οὕτω μὲν τήν τε διαίρεσιν τῶν φύσεων ποιεῖται, καὶ μὴν καὶ τὴν διαφορὰν τῆς τε τοῦ λαβόντος φύσεως καὶ τῆς τοῦ ληφθέντος ἡμῖν ὑποδείκνυσιν ἡ θεία γραφή· φροντίζουσα δὲ τοῦ καὶ τὴν ἕνωσιν ἡμῖν ὑποδεικνύναι, ἣ τῷ ληφθέντι προσγέγονεν, λέγει πολλάκις καθ' ἕνωσιν τὰ ἑκάτερα τῶν φύσεων ἰδιαζόντως πρὸς ὄντα, ὡς ἂν τὴν πρὸς τὸν λαβόντα ἕνωσιν

A ctrina proposuimus, ut ea percipientes intelligatis, ea quæ constituta a vobis sunt, ea ipsa ab Arianis atque Nestorianis adversus Dominum nostrum Jesum Christum impie sustineri. Ariani scilicet Filium creaturam esse atque extraneum a paterna substantia demonstrare conati, passionem ejus cæteraque humilia soli tribuunt divinitati; Nestoriani contra, qui duos invehere filios nituntur, separatim Deum Verbum, separatimque purum hominem profitentur, quæque ad humilitatem pertinent passionis solo homini adjudicanda esse decernunt. Verum non hæc a sanctis Patribus docemur : neque enim ex his quæ demisse dicta sunt divinitatis Filii conversionem admittunt, quemadmodum neque ex sublimibus divinitatem dividunt ab humanitate, sed de uno eodemque
B Deo Verbo incarnato homineque facto tam sublimia quam humilia dicta esse tradiderunt.

Cum autem in vestris iisdem capitibus hoc adjeceritis etiam, ex eadem haustum epistola, recte ibi duas naturas, unicam autem personam, unicam potestatem dici, circa idipsum quoque illius scriptoris impietatem operæ pretium erit detegere. Qui enim non confitetur Deum Verbum incarnatum ex Maria Virgine, et hominem factum esse, cujusnam dicit duas esse naturas? Sed patet ipsum duas naturas loco personarum admittere, Nestorii Theodorique sensu, quos summis laudibus exsecrabilis ea extollit epistola. Si enim unicam personam unicumque Filium indicare videtur epistola, hac loquendi ratione usi sunt Nestorius etiam et Theodorus, aientes Chri-
C stum purum hominem superhabere Dei Verbi personam, habereque Dei Verbi honorem atque dignitatem, gratiamque adoptionis præterea, atque ejus loco adorari; quamobrem se unicum Filium unicamque Christi personam dicere simulant, solo convenientes filiationis nomine, quod manifeste ex sententiarum modo, qui in epistola adhibetur, colligitur, quo dicitur duplicis naturæ unicam esse potestatem, quemadmodum pariter vos ipsi scripsistis. Unica nempe potestas non de diversis naturis, sed de diversis personis dicitur, quod etiam in sancta Trinitate agnoscimus atque confitemur. Quamobrem SS. Patres anathema dixerunt iis qui affirmarent hominem Deo Verbo unitum esse secundum potentiam, vel potestatem, vel habitum,
D vel dignitatem; neque unionem factam esse in duplicis naturæ unica subsistentia faterentur. Quemadmodum quod pariter recte dictum a sanctis Patribus est de duplicis naturæ discrimine, id Nestorii sectatores, Theodoro infidelitatis duce, impie assumunt, naturas loco personarum nominantes, et personarum habitualem unionem venerantes, ut unam simulent personam se dicere. Impius ipse id ostendit Theodorus, in quarto adversus Apollinarium hæreticum sermone hæc scribens : « Satis profecto nobis naturarum discrimen ostenditur, per hæc quæ proposita sunt, siquidem hoc concluditur, tanquam per benignitatis superabundantiam institutum esse ut sic sumpti hominis memoria et visitatio fieret, beatissimum porro existimatur, veluti talium causa dignationum (Sic). Id

τοῦ ληφθέντος ἡμῖν παραδηλώσειεν, ὅσα τε τούτῳ ἐκ τῆς πρὸς ἐκεῖνον γέγονεν συναφείας.» Ἀποδείξαντες τοίνυν τὸν δυσσεβῆ Θεόδωρον τὰς φύσεις ἀντὶ προσώπων λέγοντα, ἔτι μείζονα προαγάγωμεν αὐτοῦ βλασφημίαν διελέγχουσαν αὐτὸν, ποίαν λέγει τὴν ἕνωσιν πρὸς κατάκρισιν τῶν ἐκδικούντων αὐτόν. Ἐν γὰρ τῷ περὶ ἐνανθρωπήσεως ὀγδόῳ λόγῳ οὕτω λέγει· « Πρόδηλον δὲ ὡς τὸ τῆς ἑνώσεως ἐφαρμόζει· διὰ γὰρ ταύτης συναχθεῖσαι αἱ φύσεις, ἓν πρόσωπον κατὰ τὴν ἕνωσιν ἀπετέλεσαν· ὥς τε ὅπερ ὁ κύριος ἐπί τε τοῦ ἀνδρὸς καὶ τῆς γυναικός φησιν, ὥς τε οὐκέτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία, εἴποιμεν ἂν καὶ ἡμεῖς εἰκότως κατὰ τὸν τῆς ἑνώσεως λόγον, ὥς τε οὐκέτι εἰσὶν δύο πρόσωπα, ἀλλ' ἕν, δηλονότι τῶν φύσεων διακεκριμένων. Ὥσπερ γὰρ ἐκεῖ οὐ λυμαίνεται τῷ ἀριθμῷ τῆς δυάδος τὸ μίαν λέγεσθαι τὴν σάρκα (πρόδηλον γὰρ καθὸ μία λέγεται), οὕτως κἀνταῦθα οὐ λυμαίνεται τὴν τῶν φύσεων διαφορὰν τοῦ προσώπου ἡ ἕνωσις. Ὅταν μὲν γὰρ τὰς φύσεις διακρίνωμεν, τελείαν τὴν φύσιν τοῦ Θεοῦ λόγου φαμὲν, καὶ τέλειον τὸ πρόσωπον· οὐδὲ γὰρ ἀπρόσωπόν ἐστιν ὑπόστασιν εἰπεῖν· τελείαν δὲ καὶ τὴν τοῦ ἀνθρώπου φύσιν, καὶ τὸ πρόσωπον ὁμοίως. Ὅταν μέν τοι ἐπὶ τὴν συνάφειαν ἴδωμεν, ἓν πρόσωπον τότε φαμέν.» Ταῦτα ἡμεῖς, εἰ καὶ φρικτόν ἐστι λέγειν χριστιανοῖς, ὅμως διὰ τὴν μανίαν τῶν ἐκδικούντων Θεόδωρον καὶ τὴν ἀσεβῆ ἐκείνην ἐπιστολὴν, προαγαγεῖν ἠναγκάσθημεν, ἵλεω τὸν Θεὸν ἡμῖν παρακαλοῦντες γενέσθαι· δι' ὧν πάντων ἀποδέδεικται, ὅτι πάσης τῆς Θεοδώρου ἀσεβείας μεστή ἐστιν ἡ κατάρατος ἐκείνη ἐπιστολή.

A ipsum autem naturarum distinctionem ostendit, quod quidem sumentis sumptique naturæ discrimen divina ipsa nobis ostendit Scriptura. Indicare quippe eam unitatem volens quæ ad id quod sumptum est pertinet, dicit per unitatem sive unionem utrasque naturas sibi fecisse proprias; ita ut, æque ejus qui erat atque sumpsit ac ejus qui sumptus est nobis ostenderit unitatem, quæ ex facta cum ipso conjunctione processit.»

Cum itaque demonstratum luculenter sit impium Theodorum naturæ nomen pro persona usurpasse, deteriorem adhuc ejus blasphemiam proferemus in medium, qua docet, quid ipse unitatis nomine intelligat, ut plenius condemnentur ejus patrocinatores. In octavo igitur sermone de Incarnatione hæc scribit: « Constat autem quid unitate importetur: per B hanc enim coalescentes naturæ unicam personam unitate perficiunt; ita ut, quemadmodum de masculo et femina Dominus inquit eos non jam duos, sed unam carnem esse; similiter etiam, unitatis ratione non jam duæ, sed unica sit persona, constante semper distinctione naturarum. Quemadmodum enim ibi numeri non tollitur duplicitas, quod una caro dicatur, liquet enim quemadmodum una dicatur, eodem pariter modo minime naturarum aufertur [*Leg.* aufert] discrimen unitas ipsa personæ. Cum porro naturas discernimus, perfectam Dei Verbi naturam profitemur, perfectamque personam (non enim hypostasis dici absque persona potest), perfectam pariter humanam naturam personamque similiter. Cum autem in harum copulationem sive conjunctionem animum intendimus, unicam tunc esse personam prædicamus.» Hæc nos, quanquam dictu Christianis horribilia, producere in medium coacti sumus ex Theodori impiæque epistolæ patronorum insania, propitium nobis Deum fieri postulantes: quibus tamen demonstratum est universa Theodoriana impietate exsecrabilem eam epistolam esse refertam.

Καὶ ταῦτα μὲν ἅπαντα ἀπεκρινάμεθα πρὸς τὰ τῷ ὑμετέρῳ κεφαλαιογραφίῳ (Sic) περιεχόμενα, δι' ὧν ἐσπουδάσατε τὴν ἀσεβῆ ἐκείνην ἐπιστολὴν ἐκδικῆσαι, καὶ διὰ ταύτης τὴν Θεοδώρου καὶ Νεστορίου κακοδοξίαν ἀνανεώσασθαι, ὧν τὴν ἀσέβειαν ἡ αὐτὴ ἐπιστολὴ ἐπαινεῖ. Ἐπειδὴ δὲ πολλὰ τῆς μνημονευθείσης ἐπιστολῆς τῆς πρὸς Μάριν τὸν αἱρετικὸν γεγραμμένης παρελελοίπατε, καὶ οὐκ ἐτολμήσατε ταῦτα τοῖς ὑμετέροις κεφαλαίοις ἐνθεῖναι, ἵνα μὴ καὶ ἐκ τούτων τὴν ἐξ ὑμῶν ἐκδικουμένην ἀσέβειαν ὁ παρ' ὑμῖν τῶν Χριστιανῶν μάθῃ λαὸς, ἀναγκαῖον ἐνομίσαμεν εἶναι καὶ ταῦτα διὰ βραχέων φανερῶσαι. Περιέχεται γὰρ τοῖς παρ' ὑμῶν παραλελειμμένοις ῥήμασι τῆς ἀσεβοῦς ἐπιστολῆς. « ὅτι Κύριλλος τὰς ἀκοὰς πάντων τῶν ἐπισκόπων τῶν ἐν τῇ κατ' Ἔφεσον συνόδῳ συνελθόντων, τῷ φαρμάκῳ τῷ πηροῦντι τοὺς ὀφθαλμοὺς τῶν σοφῶν κατέσχεν, εὗρεν δὲ ἀφορμὴν ἐκ τοῦ κατὰ Νεστορίου μίσους, καὶ ὅτι καθεῖλε τῆς ἐπισκοπῆς Νεστόριον ἡ ἐν Ἐφέσῳ σύνοδος, κρίσεως καὶ ζητήσεως μὴ γενομένης.» Καὶ πάλιν ἐν τῇ αὐτῇ ἐπιστολῇ περιέχεται· « ὅτι τὰ δώδεκα κεφάλαια τὰ παρὰ Κυρίλλου γραφέντα, ἐναντία ὄντα τῆς ὀρθῆς πίστεως, προέθηκαν οἱ ἐν Ἐφέσῳ συναχθέντες ἐπίσκοποι, καὶ ἐβεβαίωσαν, καὶ συνῄνεσαν αὐτοῖς, ὡς τῇ ὀρθῇ πίστει συνᾴδουσιν· καὶ ὅτι Νεστόριος ἐπειδὴ ἐμισεῖτο ἐν τῇ ἰδίᾳ πόλει, καὶ παρὰ τῶν πρώτων αὐτῆς, ὑποστρέψαι ἐκεῖ οὐκ ἠδυνήθη.» Καὶ διὰ πάντων ὁ γράψας τὴν αὐτὴν ἀσεβῆ ἐπιστολὴν, οὐ μόνον τοὺς αἱρετικοὺς ἐκδικεῖ καὶ

C Et hæc quidem omnia respondimus ad ea quæ in vestro capitulorum libro continebantur, quibus impiam præfatam epistolam vindicare nitebamini, pravasque propterea Theodori Nestoriique instaurare sententias, quorum præfata epistola commendat impietatem. Quoniam vero permulta in memorata impia epistola ad Marim hæreticum scripta præteriistis, neque ausi estis ea vestris capitibus inserere, ne forte ex iis etiam Christianus populus, quanta a vobis propugnaretur impietas intelligeret, necessarium esse judicavimus, hæc quoque paucis ostendere. In ea enim epistolæ parte, quæ prætermissa a vobis est, habetur [a]: « Cyrillum aures omnium episcoporum in Ephesum convenientium veneno obcæcanti omnium oculos obtinuisse sapientium; invenisse autem mo-D dum ex odio in Nestorium præconcepto: atque nulla instituta disquisitione et judicio Nestorium ab eadem Ephesina synodo sede sua fuisse deturbatum.» Pariter in eadem epistola habetur: « Duodecim ea capitula ab Cyrillo conscripta, quanquam cum recta fide pugnarent, ab Ephesinæ synodi episcopis proposita fuisse atque confirmata, illisque eos tanquam veræ fidei consonantibus consensisse; atque Nestorium, propterea quod odio haberetur ab civitate sua, primariisque civibus ejus, illuc minime potuisse reverti.» Atque hoc modo nefarie illius epistolæ scri-

[a] Exstat in actis conc. Constantinop. II, Coll. 5, apud Labb.

ἐπαινεῖ, ἀλλὰ καὶ τοὺς ὀρθοδόξους λέγει. Περὶ γὰρ τοῦ μακαρίου Ῥαββούλου τοῦ Ἐδέσης ἐπισκόπου, ἀνδρὸς ἐν ἐπισκόποις ἐπισήμου, οὗ τὸ μνῆμα θαύματα ποιεῖ μέχρι τῆς σήμερον, οὕτως φησὶν ἐν τῇ αὐτῇ ἀσεβεῖ ἐπιστολῇ· « Ὅτι ὁ τύραννος τῆς ἡμετέρας πόλεως, ὃν οὐδὲ αὐτὸς ἀγνοεῖς, προφάσει τῆς πίστεως οὐ μόνον τοὺς συζῶντας αὐτῷ διώκει, ἀλλὰ καὶ τοὺς ἤδη πάλαι πρὸς τὸν κύριον ἀπελθόντας ὧν εἷς ἐστιν ὁ μακάριος Θεόδωρος ὁ κήρυξ τῆς ἀληθείας, καὶ διδάσκαλος τῆς ἐκκλησίας, ὃς οὐ μόνον ἐν τῇ οἰκείᾳ ζωῇ τοὺς αἱρετικοὺς ἐκολάφισεν διὰ τῆς οἰκείας πίστεως, ἀλλὰ καὶ μετὰ θάνατον ὅπλα πνευματικὰ τοῖς ἰδίοις βιβλίοις τοῖς τῆς ἐκκλησίας τέκνοις κατέλειψεν, ὡς καὶ ἡ σὴ εὐλάβεια μετ' αὐτοῦ λαλήσασα γινώσκει, καὶ ἐκ τῶν παρ' αὐτοῦ συγγραφέντων ἐπίστευσε· τοῦτον ἐτόλμησεν ὁ πάντα τολμῶν ἐπ' ἐκκλησίας φανερῶς ἀναθεματίσαι. » B Καὶ πάλιν περιέχεται τῇ αὐτῇ ἀσεβεῖ ἐπιστολῇ πρὸς ὕβριν τοῦ ἐν ἁγίοις Κυρίλλου· « Ὅτι ἡ καρδία τοῦ Αἰγυπτίου ἐμαλάχθη, καὶ χωρὶς σκύλσεως τῇ ὀρθῇ πίστει συνήνεσε. Καὶ ὅτι ἀτάκτως κατὰ τῶν ζώντων καὶ τῶν τελευτησάντων ὁρμήσαντες, ἐν αἰσχύνῃ εἰσὶν ὑπὲρ τῶν ἰδίων ἀπολογούμενοι πταισμάτων, καὶ ἐναντία τῇ πρώτῃ αὐτῶν διδασκαλίᾳ διδάσκοντες, καὶ ὅτι χρὴ ὁμολογεῖν εἰς τὸν ναὸν, καὶ εἰς τὸν ἐνοικοῦντα ἐν αὐτῷ. » Καὶ ταῦτα μὲν ἐγκείμενα τῇ μνημονευθείσῃ ἐπιστολῇ φανερὰ ὑμῖν ἐσπουδάσαμεν καταστῆσαι, ἵνα κἂν οὕτως ὀψέ ποτε τὰ ὀρθὰ ἐπιλεγόμενοι ἀναχωρήσητε ταύτης τῆς κακοδοξίας.

C Τοσαύτη δέ ἐστιν ἡ τῆς μυσαρᾶς ἐπιστολῆς ἀσέβεια, ὅτι οὐδὲ ὑμεῖς ἐτολμήσατε πάντα, ὡς εἴρηται, τὰ περιεχόμενα αὐτῇ τοῖς παρ' ὑμῶν πεμφθεῖσιν κεφαλαίοις ἐνθεῖναι, εἰ καί τινα ἐξ αὐτῶν διεστραμμένῃ ἐννοίᾳ ἑρμηνεύειν ἐπειράθητε. Τίς γὰρ χριστιανοῖς δύναται συναριθμεῖσθαι μὴ λέγων ἀσεβῆ τὴν ἐπιστολὴν, ἐν ᾗ τοιαῦται καὶ τοσαῦται περιέχονται βλασφημίαι; Ὁ γὰρ τὴν ἐπιστολὴν ἐκδικῶν τὴν τὸν ἅγιον Κύριλλον αἱρετικὸν καλοῦσαν, καὶ τὴν ἐν Ἐφέσῳ πρώτην σύνοδον ἐκβάλλουσαν, φανερῶς Νεστόριον καὶ τὴν αὐτοῦ ἀσέβειαν δέχεται, ὃν ἡ αὐτὴ ἐπιστολὴ λέγει δίχα κρίσεως καὶ ζητήσεως καταδικασθῆναι, καὶ οὐ διὰ τὰ δόγματα, ἀλλὰ διὰ τὸ μῖσος τῶν πολιτῶν εἰς τὴν ἐκκλησίαν μὴ ὑποστρέψαι· καὶ οὐ μόνον εἰς τοῦτο ἁμαρτάνει ὁ τὴν ἀσεβῆ ἐπιστολὴν ἐκδικῶν, ἀλλὰ καὶ Κελεστῖνον τὸν Πάπαν καταδικάζει, τὸν εἰπόντα περὶ Κυρίλλου, ὅτι ἡ πίστις Κυρίλλου, ἡμετέρα πίστις D ἐστίν· καὶ ὁ τὰ δώδεκα κεφάλαια τοῦ ἐν ἁγίοις Κυρίλλου, ἐναντία τῇ ὀρθῇ πίστει λέγων ὑπάρχειν, οὐ μόνον αὐτὸν τὸν ἐν ἁγίοις Κύριλλον, καὶ τὸν ἐν μακαρίᾳ τῇ μνήμῃ Κελεστῖνον, καὶ τὴν πρώτην ἐν Ἐφέσῳ σύνοδον κατακρίνει, ἀλλὰ καὶ τὴν ἐν Χαλκηδόνι σύνοδον καταδικάζει, τὴν πατέρα καὶ διδάσκαλον ἴδιον Κύριλλον ἐπιγραψαμένην· ὁπότε καὶ Λέοντα τὸν ἐν ἁγίοις πάπαν Ῥώμης ὁμοίως καταδικάζει, ὃς πρὸς τὴν ἐν Χαλκηδόνι σύνοδον γράφων, εἶπεν περὶ τῶν δώδεκα κεφαλαίων τοῦ ἐν ἁγίοις Κυρίλλου· « Οἱ ὅροι οἱ προενεχθέντες κατὰ Νεστορίου παρὰ Κυρίλλου τοῦ τῆς ἁγίας μνήμης ἐν βεβαίῳ μενέτωσαν. »

Πάσης δὲ ἀσεβείας πεπληρωμένη ἡ μυσαρὰ ἐπιστολὴ, **οὐ μόνον τῶν ἀληθῶν** ἀποκρύψαι οὐκ ἴσχυσεν, ὅτι ἀπὸ **ὀρθοδόξων καὶ** ἁγίων ἀνθρώπων Θεόδωρος ἀπ' ἐκκλησίας

A ptor, non modo hæreticos tuetur ac laudat, sed catholicos etiam nominare non veretur. De beato namque Rabula Edessenorum episcopo, eximiæ pietatis antistite, cujus ad sepulcrum ad hæc usque tempora mirabilia patrantur, hoc modo in impia illa sua epistola scribit : « Tyrannus nostræ civitatis, quem tu etiam ipse non ignoras, qui occasione fidei, non solum cum eo viventes persequitur, sed etiam eos qui dudum ad Dominum abierunt. Quorum unus est beatus Theodorus prædicator veritatis, et doctor Ecclesiæ, qui non solum vivens hæreticos per propriam fidem percussit, sed etiam post mortem arma spiritalia in libris suis dereliquit Ecclesiæ filiis, sicut et tua reverentia, cum eo collocuta cognovit, et his quæ ab eo scripta sunt præbuit fidem. Hunc ausus est, qui omnia audet, ab Ecclesia anathematizare. » Rursusque in sancti Cyrilli contumeliam, hæc ipsa in exsecrabili ea epistola continentur : « Cor Ægypti emollitum est, et sine vexatione, rectæ fidei assentitus est; et inordinate contra vivos et mortuos irruentes in confusione sunt, satisfacientes pro delictis suis et contraria priori suæ doctrinæ docentes, et quod oporteat confiteri in templum atque inhabitantem in eo. » Atque hæc quidem in memorata epistola sparsim intricata, manifeste vobis ob oculos ponere conati sumus, ut, etsi sero, quandoque tamen, recta cogitantes ab pravis iis opinationibus, erroribusque discedatis.

Tanta porro sceleratæ illius epistolæ est *impietas*, ut neque vos ipsi ausi sitis, ut dicitur, universa quæ ipsa complectitur, in capitibus quæ misistis, proponere, quanquam nonnulla perversa explicatione interpretari tentaveritis. Quis enim Christianis erit annumerandus, qui eam impiam non dicat, quæ tot tantasque continet blasphemias? Quisquis enim ejus epistolæ defensionem suscipit in qua S. Cyrillus hæreticus appellatur, primaque Ephesina rejicitur synodus, hic manifeste stat a Nestorii partibus, ejusque adhæret impietati, quem ipsa epistola inquisitione judicioque bis damnatum fuisse fatetur quidem, sed non dogmatum causa, verum civium odio ad Ecclesiam non esse reversum * : atque non peccati reus est modo ob hanc causam, qui ejus epistolæ tuetur partes, verum quia Cœlestinum quoque papam condemnat, de Cyrillo dicentem, Cyrilli fidem nostram fidem esse. Ac pariter, qui duodecim ea sancti Cyrilli capita cum recta fide pugnare contendit, is non sanctum Cyrillum modo atque beatæ memoriæ Cœlestinum, primamque Ephesinam synodum damnat, sed adversus quoque sanctum Chalcedonense concilium judicium fert quod Cyrillum scriptis Patrem esse sibi atque doctorem declaravit; atque insuper adversus sanctum Leonem Romanorum pontificem, qui ad Chalcedonense concilium scribens de duodecim sancti Cyrilli capitibus hæc habet : « Definitiones adversus Nestorium ab sanctæ recordationis Cyrillo propositæ in tuto perstiterunt [*Græc.* persistant]. »

Quanquam vero omnis plena sit iniquitatis exsecrabilis ea epistola, unam tamen minime celare potuit veritatem, Theodoro scilicet post mortem etiam

* Phrasis omnino vitiosa, quæ, si Græci textus atque antecedentium ratio habeatur, sic corrigenda est : ..... *quem ipsa epistol.* SINE *inquis. jud. damn. fuisse* DICIT, *nec dogm. causa, verum.....* EDIT.

καὶ μετὰ θάνατον ἀνεθεματίσθη, ὃν ἀσεβῆ Θεόδωρον διδάσκαλον τῆς ἐκκλησίας, καὶ κήρυκα τῆς ἀληθείας καλεῖ ἡ αὐτὴ ἀσεβὴς ἐπιστολὴ, τὸν ὑπὲρ πάντας τοὺς αἱρετικοὺς βλασφημήσαντα. Οὗτινος τῶν βλασφημιῶν μέρος ἐλάχιστον δι' ἑτέρας ὑμῖν ἐπιστολῆς ἐπ' αὐτῶν ὑμῖν τῶν ῥημάτων ἤδη ἐφανερώσαμεν ἀποδείξαντες, καὶ τί οἱ ἅγιοι πατέρες, Κύριλλος, καὶ Πρόκλος, καὶ Ῥαββουλᾶς κατὰ Θεοδώρου, καὶ τῶν ἀσεβῶν αὐτοῦ λόγων ἔγραψαν, κατακρίναντες αὐτὸν μετὰ τῆς αὐτῆς ἀσεβείας· Τοιαῦται γὰρ αἱ Θεοδώρου βλασφημίαι εἰσιν, ὅτι [*F.* ὥστε] οὐδὲ ὑμεῖς ἐτολμήσατε ταύτας ἐκδικῆσαι, εἰ καὶ τὸν ἐκθέμενον αὐτὰς ἐκδικῆτε· φανεροῦ ὄντος ὅτι οὐδεὶς τὰ κακὰ κατακρίνων, τὸν ἐκθέμενον αὐτὰ ἐκδικεῖ, πλὴν εἰ μὴ ἐκεῖνον τὸν μετανοήσαντα, καὶ τῆς ἰδίας ἀποστάντα πλάνης, καὶ ταῦτα καταδικάσαντα. Ταῖς δὲ ἄλλαις ὕβρεσι ταῖς ἐν τῇ αὐτῇ ἐπιστολῇ κατὰ τοῦ ἐν ἁγίοις Κυρίλλου ῥηθείσαις πρόσκειται κἀκεῖνο, ὅτι ἀναισχύντης αὐτὸς ἐν ἁγίοις Κύριλλός ἐστι, καὶ ὅτι μεταμεληθεὶς ἐναντία τῇ πρώτῃ αὐτοῦ διδασκαλίᾳ ἐξέθετο· ἐξ ὧν ὁ τὴν ἐπιστολὴν ἐκείνην γράψας δείκνυται πάσης ἀνοίας μεστός. Ποῦ γὰρ ὁ ἐν ἁγίοις Κύριλλος ἐναντία τῇ πρώτῃ αὐτοῦ διδασκαλίᾳ ἐξέθετο, ἢ μετενόησεν; ἢ πῶς ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος πατέρα τοῦτον ἐπεγράφετο, εἰ μετεμελήθη, καθὰ τῇ ἐπιστολῇ περιέχεται; Ὁ γὰρ μετανοῶν οὐ τοῖς διδασκάλοις συναριθμεῖται, ἀλλ' ὡς ἀπὸ πλάνης ὑποστρέψας δεκτέος ἐστί.

A a piis orthodoxisque hominibus fuisse dictum anathema, et ab Ecclesia rejectum esse, quem Theodorum omnium qui hactenus exstitere hæreticorum blasphemum, impia illa epistola Ecclesiæ magistrum vocat præconemque veritatis, cujus blasphemiarum exiguam partem altera jam vobis epistola exposuimus: verbis namque SS. Cyrilli, Procli ac Rabulæ quid ipsi contra Theodorum scripserint, ostendimus, atque quemadmodum eum, impiamque ejus doctrinam, atque iniquitatem condemnaverint. Ejusmodi autem sunt Theodori blasphemiæ, ut neque vos ipsi, qui Theodorum eas proponentem tuemini, illas propugnare ausi sitis: cum tamen constet a nemine, qui impietatem judicio suo proscripserit, defendi posse ejusdem impietatis patronum, nisi is fortasse ab B errore recesserit primum, atque resipuerit, atque illa condemnaverit, quæ olim impie docuisset. Ad cæteras autem contumelias adversus sanctum Cyrillum ea in epistola jactatas adjicitur etiam, turpiter egisse Cyrillum, adeo ut, eorum pœnitens quæ docuisset pridem, adversam illis doctrinam proposuerit. Exinde vero epistolæ scriptor insanissimus esse proditur. Quo namque loci doctrinam astruxit Cyrillus cum sua priore pugnantem? quo pœnituit? vel quomodo fieri potuit ut a sancta Chalcedonensi synodo sanctis Patribus annumeraretur, si, quemadmodum narrat epistola, prioris eum suæ doctrinæ pœnituisset? Qui enim ab errore revertitur ad sanitatem non inter doctores ascribitur, sed veluti ab errore conversus.

Τέλος δὲ τοῦτο αὐτῆς ὁ γράψας τὴν ἐπιστολὴν ἐποιήσατο λέγων· « Ὅτι δεῖ ὁμολογεῖν εἰς τὸν ναὸν, καὶ εἰς τὸν ἐνοικοῦντα ἐν τῷ ναῷ. » Ἐκ τούτων δὲ ὅσον ἧκεν εἰς τὴν ἀσέβειαν τῆς ἐπιστολῆς, καὶ τοὺς ἐκδικοῦντας αὐτὴν, πᾶσα ἡ ὀρθὴ πίστις ἀνατρέπεται. Ἡ γὰρ καθολικὴ ἐκκλησία ἕνα κύριον Ἰησοῦν Χριστὸν μονογενῆ υἱὸν τοῦ Θεοῦ ὁμολογεῖ, καὶ οὐχὶ εἰς τὸν ναὸν καὶ εἰς τὸν ἐνοικοῦντα ἐν τῷ ναῷ πιστεύειν ἢ ὁμολογεῖν διδάσκει. Ὅθεν καὶ τοῖς τοῦ ἁγίου ἀξιουμένοις βαπτίσματος παραδίδοται ὁμολογεῖν καὶ πιστεύειν εἰς ἕνα πατέρα παντοκράτορα, καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, καὶ εἰς τὸ ἅγιον πνεῦμα, οὐ μὴν εἰς δύο υἱοὺς, ἢ δύο Χριστοὺς, ὅπερ ἡ πρὸς Μάριν τὸν Πέρσην ἐπιστολὴ δηλοῖ, λέγουσα χρῆναι ὁμολογεῖν εἰς τὸν ναὸν καὶ εἰς τὸν ἐνοικοῦντα ἐν τῷ ναῷ, καὶ ἐκ τούτου τέταρτον πρόσωπον τῇ ἁγίᾳ Τριάδι ἐπεισάγουσα.

Hoc denique modo epistolam scriptor concludit: « Confiteri ac credere oportet in templum, et eum qui in templo inhabitat. » Quo ex loco, quantum ad impietatem epistolæ spectat ejusque patronos, universa subvertitur recta fides. Catholica quippe Ec- C clesia unicum Dominum Jesum Christum Filium Dei unigenitum confitetur, neque uspiam docet credendum esse in templum, ejusque inhabitatorem, aut hæc confiteri oportere, quemadmodum ad sancti baptismatis gratiam admissis tradit, ut confiteantur et credant in unum Deum Patrem omnipotentem, et in unum Dominum Jesum Christum Filium Dei unigenitum, et in Spiritum sanctum, non in duos Filios, vel in duos Christos, prout epistola ad Marim Persam diserte statuit esse credendum, templi atque in ipso inhabitantis fide proposita, quo fit ut quarta sanctæ Trinitatis persona constituatur.

Ἐκ τούτων τοίνυν ἁπάντων δέδεικται, ὅτι ἀλλότριός ἐστι τῆς ὀρθοδόξου πίστεως ὁ τὴν προειρημένην ἀσεβῆ ἐπιστολὴν ἐπαινῶν, ἢ ἐκδικῶν. Ἐπειδὴ δὲ λέγετε, ὡς ὁ ἐν ἁγίοις Κύριλλος διὰ τοῦτο παρὰ τῶν ἀνατολικῶν ἐδέχθη, ὅτι τὰ ἴδια κεφάλαια ἡρμήνευσεν, οὐ θαυμάζομεν ὑμᾶς, ὅτι καὶ ἐν τοῖς πεμφθεῖσι παρ' ὑμῶν κεφαλαίοις οὕτως ἠπατήθητε, οἱ καὶ αὐτὰ τὰ ἐν τῇ κατ' Ἔφεσον πρώτῃ συνόδῳ γεγραμμένα ἠγνοηκότες. Καὶ γὰρ καὶ ὁ ἐν ἁγίοις Κελεστῖνος, καὶ ἡ ἐν Ἐφέσῳ πρώτη σύνοδος, καὶ ὁ ἐν ἁγίοις Λέων, καὶ ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος αὐτὰ καθ' αὐτὰ τὰ κεφάλαια τοῦ ἐν ἁγίοις Κυρίλλου καὶ ἐδέξαντο, καὶ ἐβεβαίωσαν, καὶ οὐδεμίαν τούτων ἑρμηνείαν ἐζήτησαν· ἡ γὰρ ἑρμηνεία οὐ διὰ τοὺς ὀρθοδόξους ἐγένετο, ἀλλὰ διὰ τοὺς αἱρετικοὺς, οἱ Νεστόριον ἐκδικοῦντες, τοῖς μνημονευθεῖσι κεφαλαίοις ἀντέλεγον. Ὡς γὰρ ὑμεῖς λέγετε, οὔτε

Demonstratum est itaque his omnibus, præfatæ exsecrabilis epistolæ patronos atque laudatores ab orthodoxa fide omnino alienos esse judicatos. Cæte- D rum, quia sanctum Cyrillum idcirco ab Orientalibus esse receptum dicitis, propterea quod sua illa capita interpretatus sit, minime miramur vos in vestris ad nos missis capitibus similiter esse deceptos, cum videlicet acta quoque prioris Ephesinæ synodi ignorare videamini. Namque sanctus Cœlestinus, et prima Ephesina synodus, et S. Leo, et ipsum quoque S. Chalcedonense concilium, ea S. Cyrilli capitula exceperunt, suoque suffragio confirmaverunt, nullamque eorum expositionem unquam quæsivere. Explicatio enim adhibita est non catholicorum gratia, sed propter hæreticos, qui Nestorii partibus addicti me-

τὰ ἅγια Εὐαγγέλια, οὔτε ὁ ἀπόστολος, οὔτε αἱ λοιπαὶ θεῖαι γραφαὶ δεκταί εἰσιν, εἰ μὴ ὅτι οἱ ἅγιοι πατέρες ταύτας ἡρμήνευσαν. Ἐρυθριᾷν δὲ ὀφείλετε λέγοντες, ὅτι οἱ ἀνατολικοὶ οἱ Νεστόριον ἐκδικοῦντες ἐδέξαντο τὸν ἐν ἁγίοις Κύριλλον τὰ ἴδια κεφάλαια ἑρμηνεύοντα. Ἐκ τοῦ ἐναντίου γὰρ ἡ ἀποστολικὴ καθέδρα Ῥώμης, καὶ Κύριλλος ὁ ἐν ἁγίοις τοὺς ἀνατολικοὺς ἐπισκόπους κατακρίναντας Νεστόριον, καὶ τὴν αὐτοῦ ἀσέβειαν, εἰς κοινωνίαν ἐδέξαντο ὡς καὶ ὁ ἐν ἁγίοις πάπας Ῥώμης Ξύστος γράφων μετὰ τῆς ἰδίας συνόδου πρὸς τὸν ἐν ἁγίοις Κύριλλον, καὶ τοὺς καμάτους ἐπαινῶν τοὺς αὐτοῦ τοὺς ὑπὲρ τῆς ἑνώσεως γενομένους μεταξὺ ἄλλων οὕτως εἶπεν· « Ἐπανῆλθον πρὸς ἡμᾶς οἱ ἀδελφοὶ, πρὸς ἡμᾶς φημι, οἱ τὴν νόσον κοινῇ σπουδῇ ἀποδιώξαντες τῆς τῶν ψυχῶν ἐφροντίσαμεν θεραπείας. » Καὶ πάλιν· « Εὐφραίνου, ἀδελφὲ ἀγαπητὲ, καὶ πρὸς ἡμᾶς ἐπὶ συναχθέντων τῶν ἀδελφῶν νικητὴς ἀγαλλιῶ. Ἐζήτει ἡ ἐκκλησία οὓς ἀπέλαβεν. Εἰ γὰρ μηδένα τῶν μικρῶν ἀπολέσθαι θέλομεν, πόσῳ μᾶλλον δεῖ χαίρειν ἡμᾶς ἐπὶ τῇ ὑγιείᾳ τῶν ἡγουμένων; Ἀνέγνομεν [leg. ἀνέγνωμεν] πόσην χαρὰν παρέσχεν ἓν πρόβατον ἀνακομισθὲν, καὶ τοῦτο ἐννοεῖν ὀφείλομεν, πόσον ἔπαινον ἔχει τοσούτους ποιμένας συγκαλέσασθαι. Ἐν ἑκάστῳ ἀγέλαι θεωροῦνται, οὐχ ἑνὸς ἐνταῦθα τὸ πρᾶγμα ζητεῖται, ὁσάκις πράττεται περὶ τῆς ὑγιείας τῶν πολλῶν. » Καὶ πάλιν· « Χαίρωμεν ἐπὶ τῷ καλεῖσθαι τὸν τῆς Ἀντιοχέων ἐκκλησίας ἱερέα παρὰ τῆς σῆς ἁγιωσύνης ἤδη νῦν εὐλαβέστατον ἄνδρα καὶ κύριον· καὶ εἰκότως καλεῖται κύριος, ἐπειδὴ τὸν κοινὸν κύριον ἐπέγνω, ὃς τὸ τῆς σαρκώσεως αὐτοῦ μυστήριον ὀρθοδόξῳ φωνῇ μεθ' ἡμῶν ὁμολογεῖ. » Καὶ πάλιν· « Εὐκταί εἰσι διὰ παντὸς αἱ θλίψεις τῷ τὴν πίστιν κηρύσσοντι. Καὶ γὰρ τούτοις μετὰ μακαρισμοῦ πλούσιος μισθὸς ἐν τοῖς οὐρανοῖς ἡτοίμασται, οἷς ὑπὲρ τῆς δικαιοσύνης ὕβρεις, διωγμοὺς, καὶ πᾶν κακὸν προστέτακται ὑπομένειν. Ὑπέμεινας τὸ ψεῦδος, ἵνα νικῆσαι ποιήσῃς τὴν ἀλήθειαν. Καὶ διὰ τοῦτο νῦν κατεπανίστασθαι χρὴ τοῦ ψεύδους, ἐπειδὴ μηδεὶς ἀπώλετο τῇ ἀληθείᾳ. » Καὶ πάλιν· « Ταῦτα πρὸς τὴν σὴν εὐλάβειαν ἡ μετ' ἐμοῦ ἁγία ἀδελφότης ἀντέγραψεν ἀποδεχομένη τοὺς σοὺς ἐν ἅπασι, καὶ βεβαιοῦσα καμάτους, οἵτινες βαρεῖς, ἢ πικροὶ οὐ γεγόνασιν, ἐπειδὴ ὑπὲρ ἐκείνου κατεβλήθησαν, οὗ τινος τὸ ἐλαφρὸν φορτίον, καὶ τὸν χρηστὸν ζυγὸν βαστάζομεν. »

Καὶ ταῦτα μὲν ὁ ἐν ἁγίοις Ξύστος πρὸς τὸν ἐν ἁγίοις Κύριλλον περὶ τῶν ἀνατολικῶν ἔγραψεν. Ἐπειδὴ δὲ ἀσυνέτως καὶ τοῦτο εἰρήκατε, ὅτι βλάπτει τὴν ὑπόληψιν τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου ἡ κατάκρισις τῆς ἀσεβοῦς πρὸς Μάριν ἐπιστολῆς, ἐρωτῶμεν ὑμᾶς, ποίῳ λόγῳ τοῦτο ὑπεμείνατε γράφειν. Μὴ ἄρα νομίζετε τὴν ἔκθεσιν τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου, ὅμοιόν τι τῆς ἀσεβοῦς περιέχειν ἐπιστολῆς; Ἀλλὰ μὴ γένοιτο χριστιανὸν τοῦτο εἰπεῖν. Κατανοήσατε γὰρ, ὅτι πάντα τὰ ἐν τῇ ἀσεβεῖ ἐκείνῃ ἐπιστολῇ, καὶ τοῖς Θεοδώρου συγγράμμασι περιεχόμενα, ἐναντία εἰσὶ τῷ ὅρῳ τῆς κατὰ Χαλκηδόνα συνόδου τῷ περὶ τῆς πίστεως δεδομένῳ. Θεόδωρος γὰρ, καὶ ἡ ἐπιστολὴ ἄλλον λέγουσιν εἶναι τὸν Θεὸν λόγον, καὶ ἄλλον τὸν Χριστόν. Ἡ δὲ ἁγία κατὰ Χαλκηδόνα σύνοδος ἕνα λέγει τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν Θεὸν λόγον σαρκωθέντα, καὶ ἀτρέπτως ἐνανθρωπήσαντα. Ἡ ἐπιστολὴ, καὶ Θεόδωρος οὐχ ὁμολογοῦσι τὸν Θεὸν λόγον σαρκωθῆναι ἐκ τῆς ἁγίας ἐνδόξου Θεοτόκου, καὶ ἀεὶ παρθένου Μαρίας, καὶ τεχθῆναι ἐξ αὐτῆς, καὶ διὰ τοῦτο ἀρνοῦνται Θεοτόκον

A morata capita oppugnabant. Ut enim vos ipsi fatemini, neque sancta Evangelia, neque Apostolus, nec reliquæ divinæ litteræ perciperentur satis, nisi essent a sanctis Patribus interpretatæ. Cæterum in vos ipsos argumenta confusionis congeritis, aientes tunc ab Orientis Nestorii propugnatoribus receptum esse Cyrillum, cum sua capitula exposuisset. Contra namque apostolica Romana sedes, atque Cyrillus in suam communionem admiserunt episcopos qui in Nestorium sententiam dixerant, ejusque impietatem condemnaverant. Itaque sanctus ipse Romanus pontifex Xystus, cum concilio suo ad S. Cyrillum scribens, laboresque ab eo pro Ecclesiæ unitate susceptos laudans inter cætera hæc habet : « Ad nos reversi sunt fratres, ad nos, inquam, qui morbum communi studio
B persequentes animarum curavimus sanitatem. » Et post pauca : « Exsulta, frater charissime, et ad nos recollectis fratribus victor exsulta. Quærebat Ecclesia quos recepit. Nam si neminem perire volumus de pusillis, quanto magis gaudere nos oportet sanitate rectorum! Legimus quantum gaudii una ovis reportata præstiterit, et idcirco intelligendum est quid laudis habeat tot revocasse pastores. Greges aspiciuntur in singulis, nec unius hic causa tractatur, quoties agitur de sanitate multorum. » Et rursus. « Gaudeo, inquit, Antiochenæ Ecclesiæ sacerdotem vocari jam a sanctitate tua venerabilem virum, et domnum; et merito vocatur domnus qui communem Dominum recognovit, qui incarnationis mysterium, voce catholica, nobiscum confitetur. » Et iterum: « Votivæ, ait, sunt semper molestiæ fidem prædicantium;
C his namque cum beatitudine copiosa merces paratur in cœlo, quibus propter justitiam maledictiones, persecutiones, et omne malum præcipitur sustinere. Passus es falsitatem, ut victricem faceres veritatem, et ideo nunc insultandum est falsitati, quia nullus perire potuit veritati. » Ac denique : « Hæc, inquit, ad venerationem tuam fraternitas mecum sancta scribit, probans tuos in omnibus, et confirmans labores, qui tamen graves aut amari esse non potuerunt, quia huic impensi sunt, cujus onus leve, et jugum suave portamus. »

Hæc ad S. Cyrillum de Orientalibus S. Xystus; sed cum stulte admodum protuleritis pariter, ea epistolæ quæ ad Marim Persam inscribitur damnatione lædi sancti Chalcedonensis concilii definitionem,
D quærimus qua tandem ratione commoti id scribere sustinueritis? Non itaque putetis, sanctæ Chalcedonensis synodi doctrinam quidpiam eorum quæ in impia epistola continentur simile complecti; id enim dicere Christianum non est. Quinimo scitote ea omnia quæ in eadem epistola, Theodorique libris habentur, cum sanctæ fidei definitione, a Chalcedonensi concilio tradita, omnino pugnare. Epistola enim ac Theodorus alium esse Deum Verbum, alium Christum statuunt; sancta autem Chalcedonensis synodus unicum agnoscit Dominum nostrum Jesum Christum Deum Verbum incarnatum, ac absque sui mutatione hominem factum. Epistola atque Theodorus Dei Verbum ex sancta atque gloriosa Deipara, ac semper virgine Maria carnem as-

εἶναι τὴν ἁγίαν παρθένον Μαρίαν· οἱ δὲ ἅγιοι πατέρες οἱ ἐν Χαλκηδόνι συνελθόντες συνοδικῶς, Θεοτόκον εἶναι τὴν ἁγίαν παρθένον Μαρίαν ὡμολόγησαν. Θεόδωρος ὁ ἀσεβὴς, καὶ ἡ ἀνώνυμος ἐπιστολὴ δύο πρόσωπα λέγοντες κατὰ σχετικὴν ἕνωσιν ἓν πρόσωπον ἀναπλάττουσιν. Ἡ σύνοδος δὲ τῶν δύο φύσεων τὴν καθ' ὑπόστασιν ἕνωσιν λέγουσα, ἓν κηρύττει πρόσωπον, ἤτοι μίαν ὑπόστασιν Χριστοῦ τοῦ μονογενοῦς Θεοῦ λόγου. Πάλιν ἡ ἀσεβὴς ἐκείνη ἐπιστολὴ καταδικάζει τὴν ἐν Ἐφέσῳ πρώτην σύνοδον, καὶ τὸν ἐν ἁγίοις Κύριλλον, καὶ ἀσεβῆ τὰ αὐτοῦ κεφάλαια ὀνομάζει. Νεστόριον δὲ καὶ Θεόδωρον ἐκδικεῖ καὶ ἐπαινεῖ· ἡ δὲ ἐν Χαλκηδόνι σύνοδος διὰ πάντων ἀκολουθεῖ τῇ αὐτῇ πρώτῃ ἐν Ἐφέσῳ συνόδῳ, καὶ πατέρα καὶ διδάσκαλον Κύριλλον ἐπιγράφεται, καὶ τὴν συνοδικὴν αὐτοῦ ἐπιστολὴν, ἐν ᾗ τὰ δώδεκα κεφάλαια ὑποτέτακται, βεβαιοῖ, Νεστόριον δὲ τὸν ἀσεβῆ κατακρίνει, καὶ πρὸς τούτοις τὸ Ἰουδαϊκὸν σύμβολον τὸ ὑπὸ Θεοδώρου συμπεπλασμένον, τὸ καὶ ἐν τῇ κατ' Ἔφεσον πρώτῃ συνόδῳ κατακριθὲν, καὶ ἐν αὐτῇ τῇ ἐν Χαλκηδόνι συνόδῳ μετὰ ταῦτα προκομισθὲν μετὰ τοῦ γράψαντος αὐτὸ παραπλησίως καταδικάζει.

A sumpsisse, ac ex ipsa natum esse non confitentur, quare etiam sanctissimam Virginem Mariam inficiantur Deiparam esse: sancti vero Patres in Chalcedonensi concilio congregati sanctissimam Mariam Deiparam confessi sunt. Impius Theodorus atque anonyma epistola duas admittentes personas, unicam tamen personam per habitualem unionem profiteri se simulant; synodus autem duplici naturæ hypostaticam esse unionem affirmans, unicam personam prædicat, sive potius unicam subsistentiam Christi unigeniti Filii Dei. Rursus ea epistola priorem Ephesinam synodum, ac sanctum Cyrillum damnat, cujus etiam capitula impia vocat: Nestorium autem et Theodorum vindicat ac laudat: Chalcedonensis vero synodus in omnibus Ephesinam priorem synodum B sequitur, Cyrillum Patris doctorisque titulis ornat, synodicamque illius epistolam, cui duodecim ea subnexa sunt capitula, confirmat, Nestorium damnat; atque ad hæc Judaicum symbolum a Theodoro consarcinatum, quod olim etiam in prima Ephesina synodo damnatum fuerat, et post ea quæ superius recensuimus in eadem sancta Chalcedonensi synodo prolatum fuerat, similiter exsecratur, atque cum auctore suo anathematizat.

Ταῦτα δὲ ἐν τοῖς ὁρισθεῖσιν ἡ ἁγία ἐν Χαλκηδόνι σύνοδος ἐξέθετο, οὐ καινίζουσά τι περὶ τὴν ὀρθόδοξον πίστιν, ἀλλὰ διὰ πάντων ἀκολουθοῦσα τῇ ὁμολογίᾳ τῆς πίστεως, ἣν ὁ κύριος διὰ τῶν ἁγίων ἀποστόλων ἐδωρήσατο, καὶ οἱ ἅγιοι ἀπόστολοι ἐκήρυξαν, καὶ οἱ τριακόσιοι δέκα καὶ ὀκτὼ ἅγιοι πατέρες παραδεδώκασι τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ, καὶ οἱ ἑκατὸν πεντήκοντα πατέρες ἐβεβαίωσαν, σαφηνίσαντες περὶ τῆς θεότητος τοῦ ἁγίου πνεύματος. Ταύτῃ δὲ καὶ οἱ ἐν Ἐφέσῳ τὸ πρῶτον συναχθέντες ἅγιοι πατέρες ἠκολούθησαν. Ἡ δὲ ἐν Χαλκηδόνι ἁγία σύνοδος καὶ ἀναθεματίζει τοὺς ἕτερον σύμβολον ἢ ἔκθεσιν πίστεως παραδιδόντας, παρὰ τὸ ὑπὸ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων παραδοθέν.

Hæc itaque definitionibus sanctæ Chalcedonensis synodi constituta sunt, nec obscurum quidpiam prolocuta est circa fidem synodus, verum ubique et in omnibus eam sectata est confessionem fidei, a Domino benigne concessam per apostolos suos, quam sancti ipsi prædicarunt apostoli, quam sancti trecenti octodecim Patres Dei Ecclesiæ tradiderunt, quam centum et quinquaginta Patres itidem de Spiritus sancti divinitate dogmata declarantes confirmaverunt. Hanc C secuti sunt sancti Patres Ephesum convenientes primum; hanc amplexa est sancta Chalcedonis synodus, quæ anathemate feriit, quicunque aliud symbolum traderet, sive fidei expositionem, præter eam quæ a sanctis trecentis et octodecim Patribus tradita est.

Οὕτως τοίνυν τῆς ἀληθείας ἐχούσης, ὀψὲ γοῦν κατανοήσατε, τίς ὀρθῶς τὴν ἁγίαν ἐν Χαλκηδόνι σύνοδον ἐκδικεῖ; Πότερον ὁ δεικνύων ὅτι τοῖς εἰρημένοις ἁγίοις πατράσιν ἀκολουθήσασα πάντα ὀρθῶς ἐξέθετο, ἢ ὁ τοὺς ἀσεβεῖς τῶν αἱρετικῶν λόγους προσάπτειν σπουδάζων αὐτῇ; Τοὺς γὰρ καθαρᾷ συνειδήσει, καὶ ὀρθῷ σκοπῷ δεχομένους τὴν ἐν Ἐφέσῳ πρώτην σύνοδον, καὶ τοὺς ἁγίους πατέρας Κελεστῖνον, Κύριλλον, καὶ Λέοντα, καὶ τὸν ὅρον τῆς ἐν Χαλκηδόνι συνόδου, ἀδύνατόν ἐστιν δέχεσθαι μετὰ τούτων καὶ τὴν πρὸς Μάριν μυσαρὰν ἐπιστολὴν τὴν κατὰ πάντα τούτοις ἐναντιουμένην. Τίς γὰρ τοὺς διδασκάλους τῆς ἐκκλησίας, καὶ τοὺς τὰ ἐναντία διδάσκοντας, ἢ τοὺς ὀρθοδόξους, καὶ τοὺς αἱρετικοὺς, ἢ τοὺς καταδικάσαντας, καὶ τοὺς κατακριθέντας ὁμοῦ δύναται δέξασθαι; Ἵνα δὲ τελειότερον τὰ διὰ Ἴβαν καὶ Θεοδώριτον κεκινημένα γνῶτε, ἀναγκαῖον ἐνομίσαμεν καὶ ταῦτα ὑμῖν φανερῶσαι.

Quæ cum ita se habeant, sero tandem cognoscite, uter rectius sanctam Chalcedonensem tueatur synodum, isne qui eam præfatos SS. Patres fideliter secutam, recte universa definiisse contendit, an is qui ei tribuere nititur impios loquendi modos hæreticorum? Fieri namque minime potest ut qui puras primæ Ephesinæ synodi sanctiones, catholicasque voces admittunt, quique SS. PP. Cœlestinum, Cyrillum, Leonem ac Chalcedonensis synodi definitionem recipiunt, ii scelestam quoque ad Marim epistolam, cum iis quæ percensuimus, omnino pugnan- D tem admittant. Quis enim Ecclesiæ magistros atque contraria docentes vel orthodoxos simul atque hæreticos, vel condemnatos una cum condemnantibus valeat amplecti? Cæterum, ut plenius ea quæ a Theodoreto et Iba turbata sunt intelligatis, hæc alia quoque vobis exponere operæ pretium existimavimus.

Γινώσκετε τοίνυν ὅτι κατὰ διαφόρους καιροὺς διὰ τὴν ἀσέβειαν Θεοδώρου καὶ Νεστορίου τὴν τῇ αὐτῇ ἐπιστολῇ περιεχομένην, καὶ διὰ τὰς ὕβρεις τὰς κατὰ τοῦ ἐν ἁγίοις Κυρίλλου καὶ τῶν αὐτοῦ κεφαλαίων λεχθείσας, κατηγορηθέντος Ἴβα παρὰ Θεοδοσίῳ τῷ τῆς εὐσεβοῦς λήξεως [1] βασιλεῖ, καὶ παρὰ Πρόκλῳ τῷ ἐν ἁγίοις ἀρχιεπισκόπῳ

Noveritis itaque, quod cum diversis temporibus accusatus esset Ibas apud piissimæ recordationis regem Theodosium, ob Nestorianam Theodorianamque impietatem in sua ea epistola contentam, ac propter contumelias in sanctum Cyrillum ejusque capitula prolatas, et apud Proclum sanctum Con-

[1] Vel λέξεως. Πρόκλος Κωνσταντιν. Ἀρχιεπ.

Κωνσταντινουπόλεως, καὶ παρὰ διαφόροις Ἀντιοχείας ἀρχιεπισκόποις, τελευταῖον παρὰ τοῦ αὐτοῦ βασιλέως, καὶ Φλαυιανοῦ μετὰ Πρόκλον τοῦ ἐν ἁγίοις ἀρχιεπισκόπου Κωνσταντινουπόλεως γενομένου, ἀπενεμήθη ἡ κινουμένη δίκη κατὰ τοῦ αὐτοῦ Ἴβα, Φωτίῳ ἐπισκόπῳ Τύρου, καὶ Εὐσταθίῳ ἐπισκόπῳ Βηρυτοῦ, παρ' οἷς περί τε πίστεως κατηγορήθη ὁ αὐτὸς Ἴβας, καὶ περὶ ὕβρεων κατὰ τοῦ ἐν ἁγίοις Κυρίλλου γενομένων. Ἐκεῖνος δὲ ἀπολογούμενος ἀπεκρίνατο, μηδὲν ὑβριστὸν μετὰ τὴν ἕνωσιν τὴν γενομένην μεταξὺ τῶν Ἀνατολικῶν, καὶ τοῦ ἐν ἁγίοις Κυρίλλου εἰπεῖν, ἢ γράψαι κατ' αὐτοῦ. Ἡ δὲ μυσαρὰ αὕτη ἐπιστολὴ ἡ προκομισθεῖσα παρὰ τῶν κατηγόρων αὐτοῦ δηλοῖ ὅτι μετὰ τὴν ἕνωσιν γέγραπται.

Δείκνυται τοίνυν Ἴβας ἐκ τῆς οἰκείας καταθέσεως τὴν μνημονευθεῖσαν ἐπιστολὴν ἀπαρνούμενος· ὅθεν οἱ προειρημένοι ἐπίσκοποι ὁρῶντες τὴν ἀσέβειαν τῆς ἐπιστολῆς, εἰ καὶ Ἴβας οὐχ ὡμολόγησεν ταύτην ἰδίαν εἶναι, ὅμως ψῆφον ἐξήνεγκαν, διὰ πάντων ἐναντίαν τῇ ἀσεβείᾳ τῇ ἐν τῇ αὐτῇ ἐπιστολῇ περιεχομένῃ. Διετύπωσαν γὰρ ὥς τε Ἴβαν ἀναθεματίσαι μὲν Νεστόριον, καὶ τὰ ἀσεβῆ αὐτοῦ δόγματα, καὶ τοὺς ἐκδικοῦντας αὐτὸν, ἅπερ ἡ ἀσεβὴς ἐπιστολὴ ἐξεδίκει· δέξασθαι δὲ ἐπίσης τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων, καὶ τὴν ἐν Ἐφέσῳ πρώτην σύνοδον, ὡς ἀπὸ ἁγίου πνεύματος συναχθεῖσαν, καθ' ὁμοιότητα τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων, ἥν τινα ἐν Ἐφέσῳ σύνοδον μετ' αὐτοῦ τοῦ ἐν ἁγίοις Κυρίλλου καὶ τῶν δώδεκα αὐτοῦ κεφαλαίων ἐνυβρίζει ἡ αὐτὴ ἀσεβὴς ἐπιστολή.

Τὰ τοίνυν παρὰ τῶν δικαστῶν κεκριμένα μὴ πληρώσας Ἴβας τῆς ἐπισκοπῆς καθῃρέθη, καὶ μετὰ ταῦτα συνήχθη ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος, ἐν ᾗ οὐδὲ ἐκλήθη Ἴβας, οὐδὲ ὡς ἐπίσκοπος παραγέγονεν, Νόννου ἤδη εἰς τόπον αὐτοῦ χειροτονηθέντος, τοῦ καὶ κληθέντος ἐν τῇ ἁγίᾳ ἐν Χαλκηδόνι συνόδῳ. Ἀλλὰ μετὰ τὸν ὅρον τὸν περὶ τῆς πίστεως δεδομένον εἰσελθὼν ὁ μνημονευθεὶς Ἴβας, ᾔτησεν τὴν περὶ αὐτοῦ ὑπόθεσιν ζητηθῆναι, δι' ἣν τῆς ἐπισκοπῆς καθῃρέθη, καὶ προεκόμισεν τὴν προειρημένην ψῆφον Φωτίου καὶ Εὐσταθίου· ἧς ἀναγνωσθείσης, εἰσελθόντες καὶ οἱ τούτου κατήγοροι προεκόμισαν τὰ ἐν Τύρῳ πεπραγμένα, ἐν οἷς περιείχετο ἡ αὐτὴ ἀσεβὴς ἐπιστολή· ἧς ἀναγνωσθείσης, εἰδὼς Ἴβας, ὡς εἰ ὁμολογήσοι ταύτην ἰδίαν εἶναι, διὰ τὴν ἀσέβειαν αὐτῆς κατεδικάζετο, ἐγκόψας τὴν τῶν πεπραγμένων ἀνάγνωσιν, οὕτως εἶπεν· « Κελεύσατε ἀναγνῶναι τὰ γράμματα τῶν κληρικῶν Ἐδέσσης, ἵνα ἐξ αὐτῶν μάθητε ὅτι ἀλλότριός εἰμι τῶν ἐπαχθέντων μοι. » Καὶ ἀναγνωσθέντων αὐτῶν κατανοήσαντες οἱ ἐπίσκοποι τὴν ψῆφον Φωτίου καὶ Εὐσταθίου, καὶ τὴν κατὰ Ἴβα γενομένην κατηγορίαν, ἀπῄτησαν αὐτὸν τὰ παρὰ Φωτίου καὶ Εὐσταθίου κεκριμένα πληρῶσαι, καὶ δέξασθαι τὸν ὅρον, ὃν ἡ αὐτὴ ἁγία σύνοδος ἐξεφώνησεν, καὶ ὑπογράψαι ἐν αὐτῷ, δι' οὗ καὶ τὴν πρώτην ἐν Ἐφέσῳ σύνοδον, καὶ τὸν ἐν ἁγίοις Κύριλλον, καὶ τὴν αὐτοῦ διδασκαλίαν ἐδέξατο· ἅπερ ἅπαντα, ὡς εἰρήκαμεν, ἡ μυσαρὰ ἐκείνη ἐνυβρίζει ἐπιστολή· δι' ὧν ἀποδείκνυται πάντα ταῦτα τὴν ἁγίαν ἐν Χαλκηδόνι σύνοδον ἐπὶ κατακρίσει καὶ ἀνατροπῇ τῆς ἀσεβοῦς ἐκείνης ἐπιστολῆς Ἴβαν παρασκευάσαι ποιῆσαι. Θαυμάζομεν τοίνυν ὑμᾶς, ὅτι τὴν μυσαρὰν ἐκείνην ἐπιστολὴν ἐκδικεῖτε, ἣν οὐδὲ αὐτὸς

A stantinopoleos archiepiscopum, atque apud complures Antiochiæ archiepiscopos, novissime autem ab eodem rege, ac Flaviano, qui Proclo in Constantinopolitana sede successor suffectus fuit, judicio adversus eumdem Ibam ferendo Photius Tyri, et Eustathius Beryti episcopi delecti sunt: a quibus de fide sua reprehensus Ibas, deque injuriis in sanctum Cyrillum jactatis, cum sibi defensionis daretur locus, negavit quidpiam ab se in sanctum Cyrillum contumeliose dictum vel scriptum esse, post reconciliationem inter Orientales sanctumque Cyrillum ipsum constitutam; verum criminosa ea epistola ab accusatoribus producta palam eam post reconciliationem, conscriptam fuisse demonstrat.

B Ibas igitur, ex suamet eadem depositione memoratam epistolam omnino repudiasse cognoscitur: quamobrem prælaudati episcopi impietatem epistolæ considerantes, etiamsi Ibas eam ab se editam esse minime confiteretur, par per omnia suffragium protulere adversus impietatem quam epistola complectebatur. Censuerunt quippe ab Iba anathematizari Nestorium cum impiis dogmatibus suis, quæ in impia epistola colligebantur, excipi autem trecentorum atque octodecim Patrum fidem oportere, prioremque Ephesinam synodum ceu in Spiritu sancto congregatam, eodem modo atque eam quæ ex trecentis iisdem atque octodecim sanctis Patribus constitit, quam Ephesinam synodum, una cum sancto Cyrillo, duodecimque capitulis ejus ea impia epistola contumeliis lacessebat.

C Cum porro ab Iba minime perficerentur ea quæ fuerant ab judicibus constituta, ipse ab episcopatu dejectus est, atque interea sancta Chalcedonensis synodus coacta, ad quam neque vocatus est Ibas, neque ut episcopus interfuit, Nonno jam in ejus locum per manuum impositionem subrogato, qui etiam ad sanctam eamdem Chalcedonis synodum advocatus fuerat. Perfectis autem iis quæ circa fidem constituenda fuerant, adveniens Ibas postulavit, de substitutione sibi facta causam agitari, qua ab episcopatu dejiciebatur, præfatumque Photii Eustathiique suffragium in medium protulit; quod cum legeretur, advenientes pariter accusatores ejus, acta Tyri produxerunt, in quibus etiam impia ea epistola continebatur. Hac legi similiter cœpta, cognoscens Ibas ob

D ejus impietatem condemnandum se omnino fore, si suam esse fateretur, actorum interpellans lectionem, sic locutus est: Clericorum Edessenorum litteras legi jubete, ut, quam alienus ab iis sim, quorum insimulor, cognoscatis. Cum hæc pariter lecta essent, considerantes episcopi Photii Eustathiique suffragium, atque institutam adversus Ibam accusationem, constituere rursus ab ipso impleri oportere quæ Photius atque Eustathius judicaverant, ac suscipi definitionem quam ipsa sancta synodus conclamavit, ipsique subscribi, qua quidem definitione, et primam Ephesinam synodum, et sanctum Cyrillum complexa fuerat, ejusque doctrinam, quæ omnia, ut animadvertimus, in nefaria ea epistola ludibriis contemnebantur. His autem manifeste docemur, sanctam ipsam

Ἴβας, ἢ ἐν Τύρῳ, ἢ καὶ μετὰ ταῦτα ἐν τῇ ἁγίᾳ κατὰ Χαλκηδόνα συνόδῳ ἐτόλμησεν ἰδίαν εἰπεῖν, ἢ ἐκδικῆσαι, ἀλλὰ καὶ τοῖς γράμμασι τῶν κληρικῶν Ἐδέσης, καὶ τῇ ψήφῳ Φωτίου καὶ Εὐσταθίου ἐχρήσατο πρὸς τὸ ἀποφυγεῖν τὴν περὶ τῆς ἀσεβοῦς ἐπιστολῆς κατ' αὐτοῦ γενομένην κατηγορίαν.

A Chalcedonensem synodum disposuisse, ut ea omnia ab Iba fierent, ad impiæ sæpius memoratæ epistolæ eversionem atque condemnationem. Miramur igitur vos adhuc iniquæ ei epistolæ patrocinari, quam neque Ibas ipse, vel Tyri, vel post ea, quæ ibi acta sunt, in sancta Chalcedonensi synodo suam ausus est appellare, neque sustinere, quin potius cleri Edesseni litteris, Photiique, atque Eustathii suffragio usus est, ut institutam adversum se ob impiam illam epistolam declinaret accusationem.

Πρὸς δὲ τοῖς ἄλλοις ἅπασι τοῖς κακῶς παρ' ὑμῶν ἑρμηνευθεῖσι, καὶ τὴν Εὐνομίου διαλαλιὰν τὴν περὶ Ἴβα γενομένην πρὸς ψευδῆ ἔννοιαν μετηγάγετε, διαβεβαιούμενοι τὴν διαλαλιὰν Εὐνομίου ὑπὲρ τῆς ἀσεβοῦς ἐπιστολῆς γεγενῆσθαι. Λέγεται γὰρ περιέχειν τὴν αὐτὴν διαλαλιὰν, ὅτι ἐν τοῖς ἀνωτέροις τῆς ἐπιστολῆς ὑβρίσας Ἴβας τὸν ἐν ἁγίοις Κύριλλον, ἐν τοῖς τελευταίοις ἑαυτὸν ἐπανωρθώσατο· ὁπότε δῆλόν ἐστι τὴν Εὐνομίου διαλαλιὰν, οὐ περὶ τῆς ἀσεβοῦς ἐκείνης ἐπιστολῆς, ἀλλὰ περὶ τῆς καταθέσεως Ἴβα τῆς ἐν Τύρῳ γενομένης παρὰ Φωτίῳ καὶ Εὐσταθίῳ εἰρῆσθαι. Ἐν γὰρ τοῖς παρ' αὐτοῖς πεπραγμένοις φανερῶς Ἴβας ὡμολόγησεν, ὡς καὶ ἀνωτέρω εἰρήκαμεν, πρὸ τούτου μὲν μετὰ τῶν ἄλλων ἀνατολικῶν ἐπισκόπων ὑβρίσαι τὸν ἐν ἁγίοις Κύριλλον, ὅτε μεταξὺ αὐτῶν διχόνοια ἦν· μετὰ δὲ τὴν ἕνωσιν τὴν μεταξὺ αὐτῶν γενομένην, μηδὲν ὑβριστικὸν εἰπεῖν κατὰ τοῦ ἐν ἁγίοις Κυρίλλου· ἐξ ἧς ὁμολογίας εὑρίσκων Εὐνόμιος Ἴβαν πρῶτον μὲν ὑβρίσαντα τὸν ἐν ἁγίοις Κύριλλον, μετὰ ταῦτα δὲ ἀπολογούμενον, καὶ λέγοντα ὅτι μετὰ τὴν ἕνωσιν οὐδὲν ὑβριστικὸν κατὰ τοῦ ἐν ἁγίοις εἶπε Κυρίλλου, τὴν μνημονευθεῖσαν ἐποίησεν διαλαλιάν. Ὅτι δὲ ἡ προειρημένη ἀσεβὴς ἐπιστολὴ, ἡ λεγομένη Ἴβα, πάσης ἀσεβείας, καὶ τῶν κατὰ Κυρίλλου ὕβρεων ἀπ' ἀρχῆς ἕως τέλους πεπλήρωται, οὐδενὶ ἀμφιβάλλεται· ἀλλ' οὐδὲ ἔχει λόγον τὸ πιστεῦσαι ὅτι Εὐνόμιος τὰ πρῶτα μὲν διέβαλε τῆς ἐπιστολῆς, ὡς κακὰ, τὰ τελευταῖα δὲ χείρονα ὄντα ἐπῄνεσεν. Οὐδεὶς γὰρ εὐφρονῶν ἀποδέχεται τὸν ἐπὶ ἑνὸς καὶ τοῦ αὐτοῦ πράγματος, ὁμοῦ τὸν αὐτὸν ἐπαινοῦντα καὶ ψέγοντα. Εἴ τις τοίνυν τὴν Εὐνομίου διαλαλιὰν τολμήσει λέγειν μὴ τῇ Ἴβα καταθέσει τῇ ἐν Τύρῳ γενομένῃ, ἀλλὰ τῷ ὕφει συνᾴδειν τῆς μνημονευθείσης ἀσεβοῦς ἐπιστολῆς, τὴν τῆς ἀληθείας ἀκολουθίαν οὐ φυλάττει, ἀλλ' ὡς αἱρετικὸς ὕβριν τοῖς πατράσιν προσάπτειν σπουδάζει.

Ad cætera porro omnia pessime a vobis exposita adjecistis etiam, ut Eunomii divulgationem de Iba factam mendaci intelligentia perverteretis, affirmantes eam Eunomii divulgationem super impia ea epi-B stola institutam esse. Fertur enim hæc in ipsa contineri : quod cum in priore epistolæ parte Ibas sanctum Cyrillum injuriis proscidisset, circa finem tamen se ipsum corrigendo emendaverit : cum tamen manifestum sit Eunomii eam declamationem minime ad impiam eam epistolam pertinere, sed de subrogatione, quæ Tyri Ibæ facta fuerat per Photium et Eustathium in ea sermonem institui. In actis enim apud ipsos manifeste fassus est Ibas, quemadmodum etiam superius indicavimus, se ante hæc cum reliquis Orientis episcopis sanctum Cyrillum injuriis affecisse, cum scilicet ipsorum ejusque dispar esset sententia : post autem, unione inter ipsos perfecta, nihil omnino ab se injuriosum in sanctum Cyrillum fuisse prolatum; ex qua Ibæ confessione, Eunomius Ibam C primum in sanctum Cyrillum injurias congerentem reperiens, post autem resipiscentem, aientemque abs se nihil omnino, post constitutam unionem, adversus sanctum Cyrillum fuisse prolatum, memoratam perfecit declamationem. Nemini porro dubium esse potest, indicatam impiam epistolam Ibæ tributam, ab initio ad extremum omni iniquitate atque in sanctum Cyrillum contumelia scatere, neque causæ quidpiam est, ut credatur, Eunomium priores epistolæ partes, tanquam pravas traduxisse, reliquas vero, quæ pejores sunt, laudibus efferre voluisse. Nemo enim cordatus probat eum qui unius ejusdemque ac similis rei simul laudator sit, idemque vituperator. Quisquis igitur Eunomii declamationem non ad Ibæ subrogationem Tyri factam spectare, verum ad impiæ memoratæ epistolæ.... pertinere, quisquis, inquam, id dicere audet, is minime veritati obsequitur, verum, veluti hæreticus Patribus injuriam afferre nititur.

Καὶ εἰς τοῦτο δὲ ἐθαυμάσαμεν ὅτι γράψαι ὑπεμείνατε, τὰ κεφάλαια μὲν τοῦ ἐν ἁγίοις Κυρίλλου σκοτεινὰ εἶναι· τὴν δὲ ἀσεβῆ ἐπιστολὴν, ὡς τοῦ ἁγίου πνεύματος μεσάζοντος ἀποδεχθεῖσαν ἐπῃνέσατε· καὶ φανερόν ἐστιν ὅτι ταῦτα τὰ ῥήματα οὐκ ἐξ ἁγίου πνεύματος, ἀλλ' ἐξ ἐνεργείας τοῦ πονηροῦ πνεύματος προηγάγετε· ὅτι τοὺς μὲν πατέρας καὶ διδασκάλους τῆς ἐκκλησίας σκοτεινοὺς ἐκαλέσατε, τὴν δὲ κακοδοξίαν τῆς ἐπιστολῆς μετὰ βλασφημίας ἐπῃνέσατε· ὅθεν καλῶς ἁρμόζει καὶ ὑμῖν, καὶ τοῖς ἄλλοις τοῖς τὰ παραπλήσια ὑμῖν περὶ τῶν ἁγίων πατέρων φρονοῦσι, τὸ παρὰ τοῦ ἁγίου Πέτρου τοῦ ἀποστόλου ῥηθὲν περὶ τῶν κακῶς νοούντων τὰς ἐπιστολὰς τοῦ ἁγίου Παύλου « ὅτι ταῦτα οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλώσουσιν [ἢ στρεβλοῦσιν], ὡς καὶ τὰς λοιπὰς γραφὰς, πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν. » Οὕτω τοίνυν καὶ ὑμῖν κακῶς

D Atque id etiam mirati sumus, quod scribere veriti minime sitis. Sancti Cyrilli capita obscura esse, eamque impiam epistolam, tanquam Spiritu sancto afflante, clarescentem laudaveritis. Manifestum est siquidem verba hæc non Spiritus sancti virtute, sed maligni spiritus impetu a vobis esse prolata : cum Patres Ecclesiæque magistros obscuritatis redargueritis, epistolæ autem illius malitiam blasphemiasque laudibus extuleritis : quamobrem recte convenit vobis cæterisque omnibus similia de sanctis Ecclesiæ Patribus sentientibus, illud a Petro apostolo de iis dictum, qui Epistolas sancti Pauli perverse intelligebant : *quod has indocti atque instabiles depravant, ut et cæteras Scripturas, ad suam ipsorum perditionem* (*II Petr.* III, 16). Sic itaque vobis etiam prave intel-

νοοῦσι σκοτεινὰ εἶναι δοκεῖ τὰ παρὰ τῶν τῆς ἐκκλησίας διδασκάλων, καὶ τῶν θείων γραφῶν ἐκτεθειμένα. Καὶ ταῦτα μὲν τὰ περὶ Ἴβα, καὶ τῆς ἀσεβοῦς ἐκείνης ἐπιστολῆς οὕτω παρακολουθήσαντα ἔν τισι βιβλίοις εὑρίσκονται.

Εἰδέναι δὲ ὑμᾶς χρὴ ὅτι τὰ πεπραγμένα, ἐν οἷς ἡ ἀσεβὴς ἐκείνη ἐπιστολὴ περιέχεται, οὐχ ὑποτέτακται τοῖς αὐθεντικοῖς, οἷς οἱ ἐπίσκοποι ὑπέγραψαν, ὧν καὶ τὰ ἰσότυπα αὐθεντικὰ, ἔν τε τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ Ῥώμης, καὶ ἐν τῇ Κωνσταντινουπόλει, καὶ ἐν τῷ θείῳ ἡμῶν παλατίῳ παραδεδώκασιν. Ἐπεὶ τοίνυν δείκνυται πανταχόθεν πάσης ἀσεβείας πεπληρωμένη ἡ αὐτὴ ἀσεβὴς ἐπιστολὴ, καὶ ἐναντία οὖσα τοῖς ὁρισθεῖσιν ὑπὸ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου, οἱ ταύτην λέγοντες δεδέχθαι ὑπὸ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου, οὐ μόνον τὴν οἰκείαν κακοδοξίαν σπουδάζουσιν ἐκδικεῖν, ἀλλὰ καὶ ὕβριν τῇ αὐτῇ ἁγίᾳ συνόδῳ προσάπτειν. Τὰ γὰρ δεχθέντα καὶ βεβαιωθέντα παρὰ τῆς μνημονευθείσης ἁγίας συνόδου, ὀνομαστὶ ἐν τῷ παρ' αὐτῆς δεδομένῳ περὶ τῆς πίστεως ὅρῳ περιέχεται.

Γινώσκειν δὲ ὑμᾶς βουλόμεθα, ὅτι καὶ Θεοδώριτος, ἐπειδὴ κατὰ τῶν δώδεκα κεφαλαίων τοῦ ἐν ἁγίοις Κυρίλλου ἔγραψε, Νεστόριον, καὶ τὴν αὐτοῦ κακοδοξίαν ἐκδικῶν. μετὰ τὸν ὅρον τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου συνωθήθη, πρῶτον μὲν ἀναθεματίσαι Νεστόριον καὶ τὴν ἀσέβειαν τὴν αὐτοῦ, καὶ ὁμολογῆσαι θεοτόκον τὴν ἁγίαν ἔνδοξον ἀειπάρθενον Μαρίαν, καὶ οὕτως ἐδέχθη. Ὅθεν καὶ Ἴβας καὶ Θεοδώριτος οὐχ ὡς διδάσκαλοι καὶ πατέρες, ἀλλ' ὡς μετανοοῦντες, καὶ ἀναθεματίζοντες τὴν κακοδοξίαν, ὑπὲρ ἧς κατηγορήθησαν, καὶ δεξάμενοι τὸν ὅρον τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ ὑπογράψαντες ἐν αὐτῷ, ἐδέχθησαν. Ἐπειδὴ ἔθος ἐστὶν ἐν τῇ καθολικῇ ἐκκλησίᾳ ἅπαντας τοὺς αἱρετικοὺς τῆς οἰκείας πλάνης ἀναχωροῦντας. καὶ πρὸς τὴν ὀρθόδοξον ἐπανιόντας πίστιν, δεχθῆναι εἰς κοινωνίαν, οὐ μὴν ὡς διδασκάλους τοῖς πατράσι συναριθμεῖσθαι. Ὅθεν καὶ τοὺς ἄλλους ἀνατολικοὺς ἐπισκόπους, οἵτινες Νεστόριον ἐκδικοῦντες ἀντεῖπον τῇ πρώτῃ ἐν Ἐφέσῳ συνόδῳ, καὶ τῷ ἐν ἁγίοις Κυρίλλῳ, ἐπειδὴ μετὰ ταῦτα Νεστόριον καὶ τὴν κακοδοξίαν ἀνεθεμάτισαν τὴν αὐτοῦ, ἐδέξατο ὁ κατὰ Ῥώμην ἀποστολικὸς θρόνος, καὶ ὁ ἐν ἁγίοις Κύριλλος, καὶ διὰ τοῦτο καὶ ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία δέχεται αὐτούς.

Καὶ τοῦτο δὲ ὑμᾶς εἰδέναι βουλόμεθα, ὅτι οὐ μόνον Ἴβας καὶ Θεοδώριτος διὰ τὸ ἀντειπεῖν τοῖς δώδεκα κεφαλαίοις τοῦ ἐν ἁγίοις Κυρίλλου ἐξεβλήθησαν τῆς ἐπισκοπῆς, ἀλλὰ καὶ Δόμνος ὁ Ἀντιοχείας ἀρχιεπίσκοπος διὰ τοῦτο κατεδικάσθη, ὡς γράψας ὀφείλειν μόνον σιωπηθῆναι τὰ αὐτὰ δώδεκα κεφάλαια· ἥν τινα κατάκρισιν κατὰ Δόμνου γενομένην, καὶ μετὰ θάνατον αὐτοῦ ἡ ἐν Χαλκηδόνι σύνοδος ἐδέξατό τε καὶ ἐβεβαίωσεν. Ὅτι δὲ τοῦτο ἀληθές ἐστι, καὶ αὐτὸς Θεοδώριτος πρὸς Ἰωάννην τὸν Γερμανικίας ἐπίσκοπον μαρτυρεῖ γράφων οὕτως· « Τί δήποτε καὶ προφανῶς ψεύδονται, καὶ φασι μηδεμίαν γεγενῆσθαι περὶ δόγμα καινοτομίαν; διὰ ποίους φόνους καὶ γοητείας ἐξηλάθην ἐγώ; ὁ δεῖνα τίνας μοιχείας ἐτόλμησε; ποίους ὁ δεῖνα διώρυξε τάφους; δῆλόν ἐστι καὶ τοῖς βαρβάροις· παρακαλῶ (sic) ὡς δογμάτων χάριν κἀμὲ καὶ τοὺς ἄλλους ἐξήλασαν. Καὶ γὰρ τὸν κύριον Δόμνον, ὡς τὰ

A ligentibus ea quæ ab Ecclesiæ magistris tradita sunt, atque ex divinis litteris hausta obscura esse videntur. Atque hæc quidem de Iba atque impia illa epistola in aliquibus libris perscrutata reperiuntur.

Namque operæ pretium est ut sciatis acta ea in quibus impia illa continetur epistola, minime complecti in authenticis iis quibus episcopi subscripserunt, quorum authentica exemplaria in sanctissima Romana Ecclesia et in Constantinopolitica, atque etiam in sacro nostro palatio servata sunt. Quoniam igitur undique manifestum est impiam eam epistolam omni iniquitate refertam esse, sanctisque sacræ Chalcedonensis synodi definitionibus adversari, reliquum est ut qui dixerint ipsam in sancta Chalcedonensi synodo contineri, ii non modo propriam tutari B malitiam omni conatu eniti censeantur; verum insignem quoque sancto concilio faciant injuriam. Quæcunque enim approbata atque confirmata a memorata sancta synodo sunt, ea omnia nominatim in fidei definitione ab ipsa tradita continentur.

Volumus autem vobis simul constare, Theodoritum quoque, postquam adversus duodecim sancti Cyrilli capita calamum perstrinxisset, Nestorium ejusque pravitatem defendentem, post sanctæ synodi definitionem id habuisse in mandatis, primo quidem ut anathematizaret Nestorium, sanctamque et gloriosam semper virginem Mariam Deiparam confiteretur, et idipsum exsecutus est. Quare Ibas pariter atque Theodoritus, non veluti magistri aut Patres, sed ut pœnitentes, et perniciosas sententias detestantes de C quibus fuerant accusati, atque definitionem Chalcedonensis synodi amplexi, ipsique subscribentes, in ea recepti sunt; cum in Ecclesia catholica sit in more positum hæreticos qui proprium exsecrentur errorem ad orthodoxamque fidem revertantur, suscipi in communionem, non autem veluti magistros Patribus connumerari. Itaque alios etiam Orientales episcopos, quorum quidam a Nestorii partibus stantes, priori Ephesinæ synodo sanctoque Cyrillo contradixerant, cum postea anathema dixissent Nestorio, perversæque ipsius sententiæ, apostolica Romana sedes sanctusque Cyrillus in communionem receperunt, atque propterea ab sancta Dei Ecclesia suscepti intelliguntur.

Id autem a vobis etiam animadverti cupimus, non D Ibam tantum et Theodoritum ob oppugnata duodecim ea sancti Cyrilli capita fuisse ab episcopatu dejectos, verum Domnum quoque Antiochensem archiepiscopum condemnationis subiisse judicium, propterea quod scripsisset, expedire ut duodecim ea capita silentio premerentur; quod judicium in Domnum institutum, synodus Chalcedonensis, eo quoque e vivis sublato, probavit atque confirmavit. Hæc porro verissima esse, atque ita quemadmodum a nobis exposita sunt, se habere ipsemet Theodoritus testatur in epistola ad Joannem Germaniciæ episcopum hæc scribens: « Quid enim profani mentiuntur ac dicunt, nullam circa dogmata novam factam esse sectionem? propter quas cædes igitur, sive præstigia expulsus ego sum? quasnam mœchias perpetravit

κεφάλαια μὴ δεξάμενον καθεῖλον οἱ βέλτιστοι πανεύφημα A ταῦτα καλέσαντες, καὶ ἐμμένειν τούτοις ὁμολογήσαντες. Ἐγὼ γὰρ αὐτῶν τὰς καταθέσεις ἀνέγνων, ἐμὲ δὲ ὡς τῆς αἱρέσεως ἔξαρχον ἀπεκήρυξαν. Ἐκ τούτων τοίνυν δείκνυται, ὅτι διὰ τὰ κεφάλαια τοῦ ἐν ἁγίοις Κυρίλλου τὰ κατὰ Νεστορίου προτεθέντα, καὶ Δόμνος, καὶ αὐτὸς Θεοδώριτος, καὶ Ἴβας, καὶ ἄλλοι τινὲς ἐξεβλήθησαν· καὶ Θεοδώρετον μὲν, καὶ Ἴβαν μεταμεληθέντας, καὶ δεξαμένους τὰ μνημονευθέντα κεφάλαια, καὶ τὰ ἄλλα, δι' ἃ ἐξεβλήθησαν, ἡ ἁγία σύνοδος ἡ ἐν Χαλκηδόνι ἐδέξατο. Οἱ ἄλλοι δὲ οἱ μὴ μεταμεληθέντες οὐκ ἐδέχθησαν· ἡ δὲ Δόμνου κατάκρισις καὶ μετὰ θάνατον αὐτοῦ ἐβεβαιώθη.

quispiam? quænam quis sepulcra pervertit? sed notum ipsis quoque Barbaris est atque perspicuum, me cæterosque dogmatum causa fuisse dejectos. Enim vero dominum etiam Domnum, tanquam capitula non admittentem expulerunt, ea omni laude digna, optimi illi vocantes, seque in his permansuros profitentes. Me autem qui ipsorum constitutiones legerem, ut hæreseos principem abdicarunt. » Ex quibus aperte colligitur ob sancti Cyrilli capita adversus Nestorium proposita, et Domnum, et Theodoretum ipsum, et Ibam, et nonnullos præterea deturbatos sedibus suis fuisse, ac Theodoretum quidem et Ibam resipiscentes, atque memorata capitula probantes, ac reliqua omnia quorum causa suis pulsi sedibus fuerant, a sancta Chalcedonensi synodo fuisse receptos : minime vero eos qui non resipuerant : Domni vero condemnationem etiam post mortem ejus fuisse confirmatam.

Ἐπειδὴ δὲ ἐγράψατε, ὅτι τὰς Θεοδώρου βλασφημίας B τὰς παρ' ἡμῶν πεμφθείσας ὑμῖν ἀναθεματίζετε, εἴ τινος ἂν ὦσιν, αὐτὸν δὲ Θεόδωρον ἀμφεβάλετε ἀναθεματίσαι διὰ τὸ ἤδη προτελευτῆσαι αὐτὸν ἐν τῇ κοινωνίᾳ, ὡς λέγεται, τῶν ἐκκλησιῶν, γινώσκετε [*F. supp.* ὅτι] οἱ λέγοντες μὴ ἐξὸν εἶναι Θεόδωρον ἀναθεματίζεσθαι, ἀλλὰ τοῖς ἐπισκόποις συναριθμεῖσθαι, ἐπειδὴ ἐν τῇ κοινωνίᾳ, καθὼς εἰρήκατε, τῆς ἐκκλησίας ἐτελεύτησεν, ὀφείλουσιν καὶ Ἰούδαν τοῖς ἀποστόλοις συναριθμεῖν τὸν ὡς ἐνόμισεν λαθόντα τὸν γινώσκοντα τὰ κρυπτὰ τῶν ἀνθρώπων Θεὸν, καὶ μετὰ τῶν ἄλλων μαθητῶν κοινωνίαν δεξάμενον ἀπ' αὐτοῦ· ὅσον γὰρ ἧκεν εἰς τοὺς ταῦτα λέγοντας, μέμψεώς εἰσιν ἄξιοι καὶ οἱ ἀπόστολοι οἱ μετὰ τὸν αὐτοῦ θάνατον ψῆφον κατ' αὐτοῦ προαγαγόντες, καταχρίναντες αὐτὸν, καὶ εἰς τόπον αὐτοῦ ἄλλον ἀντεισαγαγόντες. Καὶ πάλιν ἐπειδὴ ἐν τοῖς ἁγίοις εὐαγγελίοις τὸ ὄνομα αὐτοῦ μεταξὺ τῶν ἄλλων C ἀποστόλων ἀναγινώσκεται, μὴ ἄρα ἐκ τούτου ἢ ὡς ἀπόστολος δέχεται, ἢ τῆς κατακρίσεως τοῦ ἀναθέματος ὤφειλεν ἐλευθερωθῆναι. Κατανοεῖτε τοίνυν ὅτι ἐκεῖνος τελευτᾷ ἐν τῇ κοινωνίᾳ τῶν ἐκκλησιῶν, ὁ τὴν ὀρθόδοξον πίστιν μέχρι πέρατος τῆς οἰκείας ζωῆς φυλάξας.

Cum autem scripseritis pariter exsecrari a vobis eas Theodori blasphemias, quas ad vos ipsi transmisimus, cujuscunque illæ sint : Theodoro porro anathema dicere dubitetis, quod jam ipse sit in Ecclesiarum, ut dicitur, communione præmortuus : scitote eum qui dixerit minime Theodorum anathematizari licere, sed episcopis esse adnumerandum, ob eam causam, quod, ut asseruistis, in Ecclesiæ communione decesserit, eum pariter et Judam posse in apostolorum numerum asciscere, qui latens, et notus solum perscrutanti humana secreta Deo, fuit ab ipso cum cæteris discipulis ad communionem admissus; nam juxta id quod sentire hæc aientes videntur, digni reprehensione sunt apostoli quoque, qui post mortem ejus, suffragio adversus ipsum lato, eum condemnaverunt aliumque in locum ejus substituerunt. Præterea, cum nomen ipsius in sanctis Evangeliis legatur inter cæteros apostolos, non tamen idcirco, vel ut apostolus recipitur, vel exinde anathematis judicio potuit liberari. Sic igitur habete, eum in Ecclesiarum communione decedere, qui fidem catholicam ad mortem usque illibatam custodierit.

Καὶ γὰρ εἰ καὶ Μανιχαῖος, ἢ Ἀρειανὸς, ἢ Νεστοριανὸς, ἢ Εὐτυχιανιστὴς, ἢ ἄλλος οἷος οὖν αἱρετικὸς, ἢ Ἑλληνικῇ μανίᾳ κρατούμενος λάθῃ κοινωνῶν τῇ ἐκκλησίᾳ, καὶ οὕτω τελευτήσῃ, καὶ μετὰ θάνατον ἢ ἐκ τῶν συγγραμμάτων αὐτοῦ, ἢ καθ' ἕτερον τρόπον αἱρετικὸς εἶναι φανῇ, ὅμως οὐκ ἐκ τούτου ἡ ὀρθόδοξος βλάπτεται πίστις, ἢ ἐκεῖνος ἐλευθεροῦται τῆς κατακρίσεως, εἰ [In cod. ἢ] ἐν τῇ εἰρήνῃ τῶν ἐκκλησιῶν λέγεται τελευτῆσαι· καὶ γενικῶς οὐδένα τῶν αἱρετικῶν θάνατος ἐκ τῆς περὶ τῆς κακοδοξίας D αὐτοῦ κατακρίσεως ἐλευθεροῖ· μᾶλλον μὲν οὖν διὰ τοῦτο καταδικάζει, ὅτι ζῶν οὐ μετεμελήθη.

Enimvero, si Manichæus quispiam, vel Arianus, sive Nestorianus, vel Eutychianus, aut alius cujuscunque generis hæreticus vel Græcorum insania captus, Ecclesiæ communicans vixerit, atque hoc modo decesserit, post mortem autem vel ex scriptis ejus, vel alia quavis ratione hæreticus fuisse deprehendatur, nihil tamen catholica fides detrimenti capit, neque ipse propterea a condemnatione liberatur, quod in Ecclesiarum pace dicatur decessisse; ac revera nequaquam interitus hæreticos a condemnationis judicio, quod perversa eorum commerita est opinatio, liberat, quinimo potius vel ob hoc ipsum, quod viventes non resipuerint, justius condemnantur.

Ὅτι δὲ οἱ αἱρετικοὶ οἱ ἐν τῇ ζωῇ αὐτῶν μὴ μεταμεληθέντες, καὶ μετὰ θάνατον κατεκρίθησαν, ἐκ πολλῶν δείκνυται· καὶ Εὐνόμιος γὰρ, καὶ Ἀπολλινάριος, καὶ Βόνωσος, καὶ ἐν τοῖς ἀρχαιοτέροις χρόνοις Οὐαλεντῖνος, Βασιλείδης, Μαρκίων, καὶ Κήρινθος, καὶ ἄλλοι πολλοὶ ἐν τῇ οἰκείᾳ ζωῇ μὴ ἀναθεματισθέντες, μετὰ θάνατον κατεκρίθησαν, καὶ ὑπὸ τῆς καθολικῆς ἐκκλησίας ἀναθεματίζονται, ἐπειδὴ ἐν τῇ οἰκείᾳ πλάνῃ ἐτελεύτησαν ὥσπερ οἱ ἐν τῇ ἰδίᾳ ζωῇ ἀδίκως κατακριθέντες, μετὰ θάνατον ὑπὸ τῆς

Multis autem id ipsum confirmari potest exemplis, hæreticos videlicet, qui dum viverent, ad sanitatem reversi non sunt, post mortem fuisse condemnatos. Eunomius enim, et Apollinarius, et Bonosus, ac superioribus temporibus Valentinus, Basilides, Marcion, et Cerinthus, aliique permulti, qui anathematibus dum viverent, subjecti non fuerant, post mortem damnati sunt, atque ab Ecclesia catholica anathematizantur, propterea quod in suis erroribus vita functi

καθολικῆς ἐκκλησίας ἀνεκλήθησαν, τουτέστιν Ἰωάννης A καὶ Φλαβιανὸς, οἱ ἐν ἁγίοις ἀρχιεπίσκοποι Κωνσταντινουπόλεως· κατὰ γὰρ τὴν ὑμετέραν ἔννοιαν χρὴ τοὺς αἱρετικοὺς ἐν τῇ οἰκείᾳ πλάνῃ τελευτήσαντας ἐλευθεροῦσθαι, τοὺς δὲ ὀρθοδόξους τοὺς ἀδίκως κατακριθέντας, μὴ ἀνακαλεῖσθαι μετὰ τὸν θάνατον· ὅπερ πάσης ἀσεβείας πεπλήρωται.

Ὅτι δὲ ἐκκλησιαστική ἐστι παράδοσις τοὺς αἱρετικοὺς καὶ μετὰ θάνατον καταδικάζεσθαι, καὶ ἀναθεματίζεσθαι, φανερὸν μὲν ἐκ τούτων ἐποιήσαμεν· πλὴν ὅμως καὶ ἐκ τῶν διατάξεων τῶν ἁγίων ἀποστόλων τοῦτο δείκνυται· λέγοντες γὰρ προσήκειν ὑπὲρ ἀναπαύσεως τῶν τελευτώντων ἐλεημοσύνας παρέχεσθαι, οὕτως ἐπάγουσι· « Ταῦτα δὲ περὶ τῶν εὐσεβῶν λέγομεν· περὶ δὲ τῶν ἀσεβῶν, ἐὰν τὰ B τοῦ κόσμου δῷ πένησιν, οὐδὲν ὀνήσει αὐτόν· ᾧ γὰρ περιόντι ἐναντίον ἦν τὸ θεῖον, δῆλον ὅτι καὶ μεταστάντι. » Ὁπότε τοίνυν οἱ ἀπόστολοι περὶ τῶν εὐσεβῶν οὕτω διετύπωσαν, τίς εἴποι χρῆναι μετὰ θάνατον τοὺς αἱρετικοὺς, ἢ αὐτὸν μάλιστα Θεόδωρον τῆς κατακρίσεως τοῦ ἀναθέματος ἐλευθεροῦσθαι, ὅν τινα οἱ ἅγιοι πατέρες ὡς χείρονα Ἰουδαίων, καὶ Ἑλλήνων, καὶ Σοδομιτῶν, καὶ πάντων τῶν αἱρετικῶν βλασφημήσαντα, τούτοις συνηρίθμησαν, καὶ μετὰ τῆς αὐτοῦ ἀσεβείας κατέκριναν;

Ὅτι δὲ καὶ μετὰ θάνατον τοὺς αἱρετικοὺς, ὡς προείπομεν ἀναθεματίζεσθαι δεῖ, καὶ ὁ ἐν ἁγίοις Αὐγουστῖνος ἐπίσκοπος ἐκ τῆς τῶν Ἀφρῶν χώρας οὕτω λέγει ἐν τῇ ἐπιστολῇ τῇ πρὸς Βονιφάτιον γεγραμμένῃ· « Ὁπότε κἂν C ἀληθῆ ἢ δυνατὸν δειχθῆναι τὰ παρ' αὐτῶν ἀντιτεθέντα Κεκιλιανῷ, καὶ ὑμῖν, καὶ ἀποθανόντα ἂν αὐτὸν ἀναθεματίζομεν· ἀλλ' ὅμως τὴν τοῦ Χριστοῦ ἐκκλησίαν, ἥ τις οὐ ταῖς ἐμφιλονείκοις δόξαις μεταβάλλεται, ἀλλὰ ταῖς θείαις μαρτυρίαις βεβαιοῦται, δι' οἷον δήποτε ἄνθρωπον καταλείπειν οὐκ ὀφείλομεν. »

Καὶ ταῦτα μὲν ὁ ἐν ἁγίοις Αὐγουστῖνος. Ὅμως οὐ μόνον τοὺς εἰς πίστιν ἁμαρτάνοντας μετὰ θάνατον οἱ ἅγιοι πατέρες ἀναθεματίζουσιν, ἀλλὰ καὶ τοὺς ἐπισκόπους, τοὺς ἐν τῇ τελευταίᾳ αὐτῶν βουλήσει, ἢ ἐξ ἀδιαθέτου αἱρετικοῖς συγγενέσιν, ἢ ἐξωτικοῖς καταλιμπάνοντας. Τῆς γὰρ ἐν Ἀφρικῇ συνόδου ὀγδοηκοστὸς πρῶτος κανὼν οὕτω λέγει· « Πάλιν ὡρίσθη, εἴ τις ἐπίσκοπος κληρονόμους ἐξωτικοὺς τῆς ἰδίας συγγενείας, ἢ αἱρετικοὺς, κἂν ἰδίους συγγενεῖς, ἢ Ἕλληνας προτιμήσει τῆς ἐκκλη- D σίας, καὶ μετὰ θάνατον ἀναθεματιζέσθω, καὶ τὸ ὄνομα αὐτοῦ μεταξὺ τῶν τοῦ Θεοῦ ἱερέων μὴ ἀναγινωσκέσθω, καὶ οὐδὲ ἐξαιρεῖται τῆς κατακρίσεως, εἰ ἀδιάθετος τελευτήσει· ἐπειδὴ ἐχρῆν αὐτὸν ἐπίσκοπον γενόμενον μηδαμῶς ἀναβαλέσθαι τὴν τῆς ἰδίας οὐσίας διοίκησιν, ἁρμοδίαν τῷ οἰκείῳ ἐπαγγέλματι. » Εἰ τοίνυν, καθὼς ὁ ἐκκλησιαστικὸς ὥρισε κανὼν, ὑπὲρ ἰδίας οἱ ἐπίσκοποι περιουσίας μὴ ὀρθῶς διοικηθείσης, καὶ μετὰ θάνατον ἀναθεματίζονται, πόσῳ μᾶλλον ἀναθεματίζεσθαι ὤφειλον οἱ εἰς αὐτὸν τὸν Θεὸν ἁμαρτάνοντες, τῆς ἁγίας γραφῆς λεγούσης, « Ἐὰν ἄνθρωπος εἰς ἄνθρωπον ἁμάρτῃ, καὶ προσεύξονται περὶ αὐτοῦ· εἰ δὲ εἰς Θεόν τις ἁμάρτῃ, τίς προσεύξεται περὶ αὐτοῦ;

sunt, quemadmodum econtra ii qui injuste damnationis passi fuerant judicium, Flavianus videlicet atque Joannes, sancti Constantinopoleos archiepiscopi, post mortem sunt ab ipsa catholica Ecclesia restituti. Vestro porro judicio hæreticos qui propriis inhærentes erroribus decesserint, damnatione liberari opus est : catholicos autem injuste judicatos minime post mortem revocari ad Ecclesiæ pacem, quod quanta plenum sit iniquitate, vix dici potest.

Quibus exemplis perspicue ostendimus, Ecclesiæ esse traditione sancitum hæreticos post mortem quoque judicari posse, atque anathematibus condemnari. Cæterum ulterius adhuc idipsum ex sanctorum apostolorum Constitutionibus demonstratur validius : quo namque loci constituunt utiles esse pro mortuorum requie eleemosynarum oblationes, sic prosequuntur: « Id autem de piis hominibus dicimus : de impiis enim etiamsi universa mundi substantia pro ipsis pauperibus distribueretur, non eis quidquam proderit : cui enim superstiti divina adversabantur, certum est etiam amoto non esse profutura. » Apostolis igitur hoc modo circa pios, qui decesserint homines, definientibus, quis statuere audeat, hæreticos post mortem, potissimum vero Theodorum ipsum, a condemnatione liberos esse oportere, quem sancti Patres, veluti Judæis, Græcis atque Sodomitis deterius blasphemantem, ipsis connumerarunt, atque una cum impietate sua condemnaverunt?

Cæterum hæreticos post mortem quoque, ut superius constituimus, esse damnandos, sanctus etiam Augustinus Africanæ cujusdam urbis episcopus in epistola ad Bonifacium diserte tradit : « Quamvis, inquit, et si vera essent quæ ab eis objecta sunt Cæciliano et nobis possent aliquando monstrari, ipsum jam mortuum anathematizaremus ; sed tamen Ecclesiam Christi, quæ non litigiosis opinionibus fingitur, sed divinis attestationibus comprobatur, propter quemlibet hominem relinquere minime debemus. »

Hæc Augustinus. Similiter autem non modo permultos, qui adversus fidem erraverant, mortuos anathematizavit Ecclesia et sancti Patres, sed episcopos etiam qui vel in ultima sua voluntate, vel ab intestato hæreticis consanguineis, vel etiam extraneis sua bona reliquissent. Octuagesimus enim primus Africanæ synodi canon hæc habet : « Item constitutum est, ut si quis episcopus hæredes extraneos a consanguinitate sua, vel hæreticos etiam consanguineos, aut paganos Ecclesiæ prætulerit, etiam post mortem ei dicatur anathema, et nomen ejus inter sacerdotes Dei non computetur ; nec excusationis illi locus sit, quod intestatus decesserit : quia utique debuit factus episcopus, rei suæ ordinationem congruam suæ professioni nequaquam in aliud tempus differre. » Si itaque, quemadmodum ecclesiastico eo canone definitum est, post mortem quoque anathemate feriuntur episcopi ob divitias ipsas haud recte distributas, quanto justius excommunicationi subjiciendi erunt qui in Deum ipsum peccaverunt, dicente Scriptura : *Si homo in hominem peccaverit, erit qui pro ipso oret ; si autem in Deum deliquerit, quis orabit pro eo ?*

Ἀποδείξαντες δὲ ὅτι ἐν τοῖς προλαβοῦσι χρόνοις A ὡρίσθη παρὰ τῶν ἁγίων πατέρων χρῆναι καὶ μετὰ θάνατον ἀναθεματίζεσθαι τοὺς εἴτε εἰς πίστιν, εἴτε εἰς κανόνας ἁμαρτήσαντας, ἀναγκαῖον εἶναι συνείδομεν καὶ τὰ ἐν τοῖς ἡμετέροις χρόνοις γενόμενα πᾶσι δῆλα καταστῆσαι πρὸς ἀναίρεσιν πάσης ἀφορμῆς τῶν τοὺς προφανεῖς αἱρετικούς, καὶ τὴν τούτων ἀσέβειαν ἐκδικούντων. Λαυρέντιον γὰρ, καὶ Διόσκορον, τοὺς ἐν διαφόροις χρόνοις τὴν τοῦ ἀποστολικοῦ θρόνου ἱερωσύνην ὑφαρπάσαντας, εἰ καὶ μὴ εἰς πίστιν ἥμαρτον, ἀλλ' οὖν ἐπειδὴ κατὰ περιδρομὴν ἐσπούδασαν τῆς ἐπισκοπῆς ἐπιλαβέσθαι, μετὰ θάνατον ὁ ἀποστολικὸς θρόνος κατέκρινε, καὶ ἀνεθεμάτισεν.

Cum autem ostenderimus fuisse præteritis temporibus a sanctis Ecclesiæ Patribus lege sancitum, post mortem etiam, eos qui vel contra fidem, vel adversus Ecclesiæ canones erraverint, anathematizari oportere: necessarium pariter esse prospicimus ea quoque quæ nostra hac ætate facta sunt omnibus manifesta constituere, ut omnis tollatur contradictio, quæ a profanorum hæreticorum, ipsorumque impietatis patrocinatoribus possit excitari. Laurentium namque et Dioscorum, qui diversis temporibus apostolici throni sanctitatem subripuerant, quanquam nihil in fide peccassent, ob idipsum tamen, quod per ambages episcopatum suscipere conati fuerant, vita jam functos apostolica judicavit sedes, atque condemnavit.

Ἐπειδὴ δὲ καὶ τοῦτο τοῖς ὑμετέροις προσεθήκατε B γράμμασιν, ὅτι ἐάν τις τὸν αἱρεσιάρχην ἀναθεματίσῃ, καὶ εἴπῃ κατακρίνων, καὶ τοὺς τὰ ὅμοια φρονοῦντας αὐτῷ, συμπεριλαμβάνει πάντας τοὺς ὅτε δήποτε ταῦτα φρονήσαντας· καὶ διὰ τοῦτο ἐπειδὴ Παῦλον τὸν Σαμοσατέα, καὶ Φώτιον, καὶ Βόνωσον, καὶ Νεστόριον ἀναθεματίζετε, οὐκ ὀφείλετε καὶ Θεόδωρον τὸν τὰ ὅμοια ἐκείνοις φρονήσαντα ὀνομαστὶ ἀναθεματίσαι. Γινώσκετε ὅτι πρῶτον μὲν ἐκεῖνοι δίχα ὀνόματος ἀναθεματίζονται οἱ κατὰ πλάνην ἀκολουθήσαντες τοῖς αἱρεσιάρχαις, οὐ μὴν οἱ ἄλλους ἀπατήσαντες. Τοὺς γὰρ ἀρχηγοὺς τῶν αἱρέσεων καὶ ὀνομαστὶ ἡ ἐκκλησία τοῦ Θεοῦ ἀναθεματίζει· Θεόδωρος δὲ οὐ μόνον διδάσκαλος ἦν τῆς Νεστορίου δυσσεβείας, ἀλλὰ καὶ πολλοὺς διὰ τῶν ἀσεβῶν αὐτοῦ συγγραμμάτων ἠπάτησεν. Ὥσπερ γὰρ οἱ ὀρθοὶ τῆς ἐκκλησίας διδάσκαλοι διὰ τῶν οἰκείων ἐκθέσεων γνωρίζονται, καὶ ἐπαινοῦνται, οὕτω καὶ C ἐκ τοῦ ἐναντίου πάντες οἱ τῆς κακοδοξίας ἀρχηγοὶ διὰ τῶν ἰδίων ἀσεβῶν συγγραμμάτων ἐλέγχονται, καὶ ἀναθεματίζονται. Ὁπότε τοίνυν Θεόδωρος καὶ αἱρεσιάρχης γέγονε, καὶ ἀναριθμήτους βλασφημίας ἐν τοῖς οἰκείοις βιβλίοις ἐξήμεσεν, οὐδεμίαν ἔχετε δικαίαν ἀφορμὴν πρὸς τὸ παραιτήσασθαι τὸν κατ' αὐτοῦ ἀναθεματισμόν.

Verum cum in vestris litteris id etiam adjeceritis: si quis hæreticum anathematizaverit, et in ipsum sententiam ferens, *omnes quoque cum ipso sentientes*, adjunxerit, eum illos omnes complecti, qui quavis ratione id ipsum quod damnatur probaverint: itaque cum Paulum Samosatensem, et Photium, et Nestorium, et Bonosum condemnaveritis, minime opus esse ut Theodorum quoque eadem cum ipsis sentientem nominatim condemnetis: scitote primo quidem illos suppresso nomine anathematizari, qui hæresum auctores sunt in errore secuti, cæteros autem minime deceperunt. At vero hæresum duces et magistros Ecclesia nominatim anathematizat. Theodorus porro non modo Nestorii magister exstitit, verum etiam impiis scriptis suis permultos induxit in errorem. Etenim quemadmodum recti Ecclesiæ doctores ex propriis doctrinis agnoscuntur atque propter ipsas commendantur, ita econtra, perversarum sententiarum auctores ex propriis ipsorum litteris redarguuntur atque anathematizantur. Cum igitur Theodorus et hæresiarches exstiterit et innumeras prope blasphemias in suis libris protulerit, nihil vobis superest causæ cur anathema in ipsum dicere detrectetis.

Περὶ δὲ τῆς ἐκθέσεως τῆς πίστεως, ἣν τοῖς ὑμετέροις γράμμασιν ἐνεθήκατε, εἰ καὶ πολλὰ εἴχομεν μέμψασθαι, ἀλλ' οὖν ὅπως διὰ τὴν ὑμετέραν ἄγνοιαν καὶ ἁπλότητα τοῦτο παραλείπειν τέως δεῖν ἐνομίσαμεν, ἔν τισι γὰρ ἀνασφαλῶς ἐγράψατε. Ἔν τισι ῥήματα τεθείκατε, μηδὲ ταῖς θείαις γραφαῖς, μηδὲ τοῖς ἁγίοις πατράσιν ἐγνωσμένα· ἐν ἄλλοις δὲ τοὺς διδασκάλους τῆς ἐκκλησίας τόγε εἰς ὑμᾶς ἧκον κατεδικάσατε. Πρὸς τούτοις δὲ καί τινα εἰς D τὴν ὀρθόδοξον συντείνοντα πίστιν παρελείψατε. Ὅθεν χρὴ ὑμᾶς κατὰ τὴν παραίνεσιν τῶν ἁγίων πατέρων ἢ γινώσκοντας λαλεῖν, ἢ ἀγνοοῦντας σιωπᾶν, καὶ ἀπὸ τῶν ἐπισταμένων διδάσκεσθαι.

Circa fidei vero expositionem, quam vestris litteris inseruistis, etsi multa sint de quibus nobis vobiscum esset conquerendum, nihilo tamen minus id totum ignorantiæ simplicitatique condonari oportere existimavimus. Alicubi namque versate scripsistis, alicubi verbis usi estis, neque in sacris litteris, neque a sanctis Ecclesiæ Patribus unquam adhibitis; alibi Ecclesiæ doctores ipsos, juxta quod vobis visum est, condemnastis, atque adhuc quemdam ad orthodoxam fidem omnino pertinentem silentio præteriistis. Quapropter oportet vos, juxta sanctorum Patrum admonitionem, vel scientes loqui, vel si ignari estis, tacere, atque ab doctis et scientibus erudiri.

Ἐπειδὴ δὲ ἐγράψατε ἡμῖν, πῶς ὀφείλομεν τοῖς Αἰγυπτίοις ἀποκρίνασθαι, θαυμάζομεν ὑμᾶς, ὅτι τὴν ἀσεβῆ ἐπιστολὴν ἐκείνην καὶ Θεόδωρον, καὶ Νεστόριον, καὶ τὴν κακοδοξίαν τὴν αὐτῶν ἐκδικοῦντες, ἡμῖν παραινεῖν ἐπιχειρεῖτε, τί ὀφείλομεν ἄλλοις ἐναντίοις τῆς ἐκκλησίας ἀποκρίνασθαι. Εἰ γάρ τις τοῖς παρ' ὑμῶν γραφεῖσι συνενέσει (sic), οὐδὲν ἕτερον παραινέσει τοῖς Αἰγυπτίοις, ἢ Θεόδωρον καὶ Νεστόριον τοὺς αἱρετικοὺς δέξασθαι, καὶ

Jam vero cum scripseritis, quemadmodum Ægyptiis respondere debeamus, miramur quidem, vos scilicet qui impiam eam epistolam, Theodorum, Nestorium, perversasque eorum sententias defenderitis, nunc commonere nos instituisse, quid sit a nobis aliis Ecclesiæ hostibus respondendum. Siquidem si ea quæ scripta a vobis sunt quis consideraverit, nihil aliud Ægyptios hortabitur, quam ut Nestorium

πάντας τοὺς ἁγίους πατέρας καταδικάσαι, τοὺς κατακρίναντας ἐκείνους τε καὶ τὴν αὐτῶν ἀπιστίαν, καὶ πρὸς τούτοις ἐξ ἑτέρας πλάνης εἰς ἄλλην ἐμπεσεῖν, ὁπότε ἡμῖν ἐγράψατε ἀποκρίνασθαι τοῖς ἐναντίοις τῆς ἐκκλησίας, καλὴν καὶ ὀρθόδοξον εἶναι τὴν μυσαρὰν ἐκείνην ἐπιστολήν.

Σπουδάσατε τοίνυν πρῶτον μὲν ὑμᾶς αὐτοὺς διορθώσασθαι, καὶ οὕτως ἄλλους διδάξαι. Εἴ τις γὰρ ἢ Θεόδωρον, ἢ τὴν λεγομένην Ἴβα ἐπιστολήν, ἢ τὰ Θεοδωρίτου συγγράμματα τὰ κατὰ τῆς ὀρθῆς πίστεως ἐκτεθέντα ἐκδικεῖ, τοῖς αἱρετικοῖς ἑαυτὸν συναριθμῶν, ἀλλότριον ἑαυτὸν ποιεῖ τῆς καθολικῆς ἐκκλησίας, ἧς κεφαλή ἐστιν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ ὁ κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, οὗ τινος ὑμᾶς αὐτοὺς χωρίζετε, τὴν ἀσεβῆ ἐπιστολὴν καὶ Θεόδωρον ἐκδικοῦντες· καὶ διὰ τοῦτο προσῆκόν ἐστιν ὑμᾶς τῆς ἀσεβείας τῆς ἐπιστολῆς, καὶ τοῦ ἐκδικεῖν Θεόδωρον τὸν οὕτω προφανῆ αἱρετικὸν ἀποσχέσθαι. Εἰ γὰρ ὁ ἅγιος ἀπόστολος Παῦλος κωλύει, τοῦτο μὲν ἐκ τοῦ ἰδίου ὀνόματος, τοῦτο δὲ ἐκ τῶν λοιπῶν ἀποστόλων καλεῖσθαί τινα, καὶ ἐπιτιμᾷ τοῖς λέγουσιν, ἐγὼ μέν.....

Οὐκ ὀλίγα ἐλλείπουσι.

Theodorumque hæreticos suscipiant, universosque sanctos Patres rejiciant, qui ipsos eorumque infidelitatem condemnaverunt: atque adeo ex uno in alium incidant errorem; cum ad nos scribentes ut hostibus Ecclesiæ responderemus abominabilem eam epistolam orthodoxam appellare non dubitaveritis.

Nitimini itaque primum vosmetipsos corrigere, post autem cæteros docere: si quis enim vel Theodorum, vel dictam Ibæ epistolam, vel Theodoreti scripta adversus rectam fidem proposita defendit, hæreticis is annumeratur, et ab Ecclesia catholica alienus efficitur, cujus caput est Unigenitus Dei Filius, Deus et Dominus noster Jesus Christus, ab cujus Ecclesia impia ea epistola separatur, et Theodori patrocinatores. Itaque expedit vobis ab impiæ illius epistolæ, Theodorique defensione cessare. Si enim Paulus apostolus prohibet aliquid suo, aliquid cæterorum apostolorum nomine vocari, eosque objurgat, qui dicebant: « Ego sum Pauli, ego autem Cephæ, etc. »

Non pauca desiderantur.

Η ΔΙΑΤΑΞΙΣ

ΙΟΥΣΤΙΝΙΑΝΟΥ ΒΑΣΙΛΕΩΣ

ΚΑΤΑ

ΑΝΘΙΜΟΥ, ΣΕΥΗΡΟΥ, ΠΕΤΡΟΥ ΚΑΙ ΖΩΑΡΑ.

—

CONSTITUTIO SACRA

JUSTINIANI IMPERATORIS

CONTRA

ANTHIMUM, SEVERUM, PETRUM ET ZOARAM.

(MANSI *Concil.*, tom. VIII.)

—

Ἐν ὀνόματι τοῦ Δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, αὐτοκράτωρ Καῖσαρ, Φλάβιος Ἰουστινιανὸς, Ἀλαμανικὸς, Γοτθικὸς, Φραγγικὸς, Γερμανικὸς, Ἀντικὸς, Ἀλανικὸς, Οὐανδαλικὸς, Ἀφρικὸς, Εὐσεβὴς, εὐτυχὴς, ἔνδοξος, νικητὴς, τροπαιοῦχος, ἀεισέβαστος Αὔγουστος, Μηνᾷ πατριάρχῃ.

In nomine Domini Jesu Christi Dei nostri, imperator Cæsar Flavius Justinianus, Alemanicus, Gotthicus, Francicus, Germanicus, Anticus, Alanicus, Wandalicus, Africus, Pius, felix, gloriosus, victor, triumphator, semper Augustus, Mennæ patriarchæ.

Πρᾶγμα οὐκ ἄηθες βασιλείᾳ καὶ ἡμεῖς πράττοντες, ἐπὶ τὸν παρόντα ἐληλύθαμεν νόμον. Ὁσάκις γὰρ ἡ τῶν ἱερέων ψῆφός τινας τῶν οὐκ ἀξίων τῆς ἱερωσύνης τῶν ἱερατικῶν κατεβίβασε θρόνων, ὁποῖον δὴ Νεστόριόν τε, καὶ Εὐτυχῆ, Ἄρειόν τε, καὶ Μακεδόνιον, καὶ Εὐνόμιον, καὶ ἄλλους δή τινας εἰς κακίαν οὐκ ἐλάττους ἐκείνων, τοσαυτάκις ἡ βασιλεία σύμψηφος γέγονε τῇ τῶν ἱερέων αὐθεντίᾳ, ὥστε τά θειότερά τε, καὶ ἀνθρώπινα συνδραμόντα μίαν συμφωνίαν ταῖς ὀρθαῖς ποιήσασθαι ψήφοις. Ὁποῖον δή τι καὶ ἔναγχος γενόμενον περὶ Ἄνθιμον ἴσμεν, ἀπελαθέντα μὲν τοῦ τῆς βασιλίδος ταύτης πόλεως θρόνου παρὰ Ἀγαπητοῦ τοῦ τῆς ὁσίας καὶ ἀοιδίμου μνήμης προέδρου γεγονότος τῆς κατὰ τὴν πρεσβυτέραν Ῥώμην ἁγιωτάτης Ἐκκλησίας, οἷά τε κατὰ μηδένα τρόπον αὐτῷ προσήκοντι παρὰ πάντας τοὺς εὐαγεῖς κανόνας ἐπεισπηδήσαντα θρόνῳ, κοινῇ δὲ ψήφῳ τοῦ τε αὐτοῦ τῆς ἁγίας μνήμης ἀνδρὸς πρότερον, καὶ μὴν καὶ τῆς ἐνταῦθα γενομένης ἱερᾶς συνόδου καταδεδικασμένον τε, καὶ καθῃρημένον, διότι τῶν ὀρθῶν ἀπεφοίτα δογμάτων, καὶ οἷς πρότερον πολλαχόθεν ἐφαίνετο στέργων, ταῦτα ὕστερον διαφόροις ἀπέφευγε περινοίαις, προσποιούμενος μὲν ταῖς τέσσαρσιν ἁγίαις συνόδοις ἀκολουθεῖν, τῇ τε τῶν τιη' Πατέρων τῶν ἐν Νικαίᾳ, τῇ τε τῶν ρ' καὶ ν' τῶν ἐν ταύτῃ τῇ εὐδαίμονι πόλει, τῇ τε τῶν ἐν Ἐφέσῳ τὸ πρῶτον συναχθέντων σ', τῇ τε τῶν θεοφιλῶν Πατέρων τῶν ἐν Χαλκηδόνι χλ'. Οὐ μὴν τοῖς τούτων δόγμασι κατακολουθῶν, οὔτε τὴν ἡμετέραν φιλανθρωπίαν, καὶ τὴν συγκατάβασιν, ἣν διὰ τὴν αὐτοῦ σωτηρίαν ἔχομεν, προσδέξασθαι βουληθεὶς, οὐδὲ ἀποκηρύξαι καὶ αὐτός τοὺς τῶν ἀσεβῶν δογμάτων ἀρχηγοὺς τοὺς ὑπὸ τῶν προτέρων ἁγίων ἐκβεβλημένους συνόδων· ἀλλ' οἰόμενος χρῆναι καὶ τῶν κατὰ ταυτὸν καὶ ἐν ἴσῳ τοὺς καταδεδικασμένους, τούς τε καταδικάσαντας ἄγειν. Ἅπαξ γὰρ ταῖς ἀλλοτρίαις τῆς ἁγιωτάτης ἐκκλησίας ἐννοίαις καταν δραποδισθεὶς, καὶ τῶν ὀρθῶν ἠλλοτριωμένος δογμάτων, εἰκότως εἰς τὴν αὐτῶν οὐκ ἴσχυσεν ἐπανελθεῖν ὀρθότητα, καὶ ταῦτα παρ' ἡμῶν καὶ προτραπεὶς καὶ ὁδηγηθεὶς, πάσῃ χρησαμένων σπουδῇ, πρὸς τὴν σωτηρίαν τὴν αὐτοῦ.

Διὰ ταῦτα τοίνυν ἅπαντα, τὴν γενομένην ἐπ' αὐτῷ τῆς καθαιρέσεως ψῆφον παρὰ τῆς ἁγίας συνόδου, προφάσει τῆς τε οὐ θεμιτῆς, οὐδὲ ὑπὸ τῶν ἁγίων κανόνων μαρτυρουμένης τῶν τῆς βασιλίδος ταύτης ἱερατικῶν θρόνων ἁρπαγῆς, καὶ τῆς ἀπὸ τῶν ὀρθῶν τε καὶ ἀληθῶν δογμάτων ἐκτροπῆς, κυρίαν ἡ ἡμετέρα τίθεται βασιλεία, καὶ ἐπὶ τούτοις τὸν παρόντα γράφει νόμον. Ἀπαγορεύομεν δὲ αὐτῷ καὶ τῆς κατὰ τὴν εὐδαίμονα ταύτην πόλιν, καὶ τῆς περιοικίδος αὐτῆς διατριβῆς, καὶ πάσης ἑτέρας τῶν ἐπισήμων πόλεων, θεσπίζοντες ἐφ' ἡσυχίας εἶναι, καὶ τούτοις στέργειν, οἷς ἑαυτὸν ἀξίως ὑπέθηκε, καὶ μήτε τισὶν ἐπικοινωνεῖν, μήτε ἐκβιβάζειν αὐτοὺς τὴν τῶν ἀπηγορευμένων δογμάτων ἀπώλειαν. Οὐ μὴν οὐδὲ τὴν δικαίως ἐξενεχθεῖσαν κατὰ Σευήρου ψῆφον, τὴν ἐκ πάντων, ὡς εἰπεῖν, τῶν ἀρχιερατικῶν τε, καὶ πατριαρχικῶν, μετὰ τῆς μοναχικῆς συναινέσεως προελθοῦσαν θρόνων, τὴν τὸν ἀναθεματισμὸν ἐπάγουσαν αὐτῷ, βασιλικῆς ἔξω καταλιμπάνομεν ἐπικυρώσεως, ὃς πρότερον παρὰ τοὺς ἱεροὺς θεσμοὺς καταλαβὼν τὸν θρόνον τῆς Θεουπολιτῶν ἁγιωτάτης ἐκκλησίας, οὕτω συνετάραξεν ἅπαντα, οὕτω μεταπεποίηκε ταραχῆς, ὡς κοινόν τινα καὶ ἀκήρυκτον

Caput primum. — Rem non insolitam imperio et nos facientes, ad præsentem venimus legem. Quoties enim sacerdotum sententia quosdam indignos sacerdotio de sacris sedibus deposuit (quemadmodum Nestorium, Eutychem, Arium, Macedonium, et Eunomium, ac quosdam alios ad iniquitatem non minores illis), toties imperium ejusdem sententiæ et ordinationis cum sacerdotum auctoritate fuit. Sicque divina et humana pariter concurrentia unam consonantiam rectis sententiis fecere : quemadmodum et nuper factum esse circa Anthimum scimus, qui quidem dejectus est de sede hujus regiæ urbis a sanctæ et gloriosæ memoriæ Agapito sanctissimæ ecclesiæ antiquæ Romæ pontifice; eo quod nullo modo sibi ipsi convenienti (contra omnes sacros canones) se intruserat sedi, sed et communi sententia ipsius sanctæ memoriæ viri primum, atque etiam sacræ synodi hic celebratæ condemnatus et depositus fuit, eo quod a rectis dogmatibus recessit; et quæ prius multoties diligere videbatur, hæc demum diversis lustrationibus [fraudibus] fugit; simulans sequi sanctas quatuor synodos (trecentorum videlicet decem et octo Patrum in Nicæa, et centum quinquaginta in hac felici civitate; et in Epheso primo congregatorum ducentorum, et sexcentorum triginta venerabilium Patrum in Chalcedone). At quidem nec istorum dogmata sequi, nec nostram clementiam et condescensum, quem propter ipsius salutem habebamus, suscipere voluit; neque ipse abdicare auctores impiorum dogmatum, qui prius a sanctis synodis expulsi fuerant; sed putavit oportere secundum ipsum et in æquali ducere et condemnatos, et condemnatores. Nam semel alienis a sanctissima Ecclesia intellectibus mancipatus, et a rectis dogmatibus alienatus, merito ad ipsorum rectitudinem reverti non valuit, etiam ad hæc invitatus a nobis et directus, qui omni studio usi sumus ad ipsius salutem.

Propter hæc igitur omnia, sententiam depositionis in ipsum a sancta synodo factam occasione non liciti, neque a sanctis canonibus approbati raptus sacrarum sedium hujus regiæ urbis, et aversionis a rectis et veris dogmatibus, firmam nostrum reddit imperium, et contra istum præsentem scribit legem. Interdicimus autem et ei commorari in hac felici civitate et ejus districtu, ac in quacunque alia insigni civitate, sancientes in quiete esse, et iis contentum esse, quibus seipsum merito obnoxium reddidit; et non aliquibus communicare, neque eos imbuere in perditionem interdictorum dogmatum. Nec utique extra imperialem confirmationem relinquimus sententiam juste contra Severum latam, ac ex omnibus (ut ita dicamus) pontificalibus et patriarchalibus (una cum monachicis consensibus) provenientem sedibus, et anathematismum ipsi inferentem : qui prius contra sacras sanctiones accipiendo sedem sanctissimæ ecclesiæ Theopolitanorum, sic universa conturbavit, sicque accumulatas turbationes fecit, ut commune quoddam ac abominabile bellum sanctis-

simis Ecclesiis ad invicem immitteret. Et hoc etiam a sceptris quæ ante nos fuerunt contra ipsum scriptum erat, variis dogmatum et a rectitudine alienatis fraudibus et commentis ac blasphemiis usum fuisse, ac universa conturbasse, et illum quemcunque errorem abominabilium hæresiarcharum et in quorum dogmatum recipere, Nestorii dicimus, et Eutychis · et cum uterque horum præceptorum contrarii quodammodo invicem esse videantur, ad unum vero impietatis finem tendant, etiam illorum divulgatos sermones, eum in unum formavisse. Duobus enim existentibus dogmatibus ad invicem repugnantibus, quorum utrumque similiter ad animæ perditionem adducit, Nestorii videlicet et Eutychis (quemadmodum dicendo narravimus) qui ex Arianorum et Apollinarii contagione consistunt; ipse paradoxum quid perpessus in utrumque similiter incidit: et ibi quidem illud mittendo, seipsum et sermones suos visus est constituisse commune receptaculum tantorum delictorum. Sit itaque et ipse sub prædicto anathematismo, quem universus patriarchalis, pontificalis, ac monachicus nostræ, ut ita dicamus, reipublicæ cœtus juste in ipsum induxit: de Theopolitana quidem Ecclesia ejectus, idcirco quod thronus illius ipsum removit, eo quod ipsius principatum recte non acceperat, sed adhuc vivente eo, et in sanctissimis Ecclesiis commemorato, qui ante ipsum sacerdotium habebat, et propter eum qui post ipsum fuit, de sacerdotio exciderat. Nec vero progressus huc usque substitit, sed et sub communi orthodoxæ ac catholicæ Ecclesiæ anathematismo positus, multis libris, blasphemiisque et abominationibus nobis rempublicam implevit. Quare universis interdicimus aliquid de libris ipsius possidere. Et sicut non licet Nestorii libros scribere, vel possidere (quia prædecessoribus nostris imperatoribus in suis constitutionibus visum est statuere similia his quæ dicta et scripta sunt a Porphyrio in Christianos), sic nec dicta et scripta Severi maneant penes aliquem Christianum, sed sint profana et aliena ab Ecclesia catholica, igneque comburantur a possidentibus, nisi qui ipsa habent, velint periculum pati. A nemine ergo scribantur, neque ad pulchritudinem, neque ad velocitatem scribentium, sciendo quia amputatio manus his qui scripta ejus scripserint, pœna erit. Neque enim volumus in futuro tempore ex illis blasphemiam protrahi. Similiter autem et huic interdicimus omnino regiam civitatem ingredi, aut districtum ejus, nec aliquam aliam de insignibus, sed in aliqua solitudine et in silentio sedere, et non corrumpere cæteros, neque in blasphemiam ipsos adducere, et non semper aliquid novi invenire contra vera dogmata, per quod rursus nobis conturbare sanctissimas Ecclesias festinet.

CAP. II. — Sed nec Petrum episcopum Apamiæ, et simul ab ipsis, a quibus Severus, sub prædicto anathemate positum, imperium admittit, sed sint valida quæ contra ipsum fuere statuta. Et qui sub communi anathematismo positus est, sub ipso esto;

A ταῖς ἁγιωτάταις ἐκκλησίαις ἐμβαλεῖν πρὸς ἀλλήλας πό-
λεμον, καὶ τοῦτο καὶ τοῖς πρὸ ὑμῶν σκήπτροις πρὸς
αὐτὸν γεγράφθαι, ποικίλαις μὲν δογμάτων καὶ ἀπηλλο-
τριωμέναις τῆς ὀρθότητος περινοίαις τε, καὶ βλασφημίαις
χρησάμενον, ἅπαντα δὲ συνταράξαντα, καὶ μόνον τῶν
τῆς ἑκατέρου τῶν αἱρεσιαρχῶν πλάνης βδελυρῶν τε,
καὶ ἀνοσίων δογμάτων ἀντεχόμενον, Νεστορίου τε, καὶ
Εὐτυχοῦς, καὶ τῶν ἑκατέρου τούτων καθηγεμόνων ἐξ
ἐναντίας μέν πως εἶναι δοκούντων ἀλλήλοις, πρὸς ἓν δὲ
τέλος τῆς ἀσεβείας ἐπειγομένων, καὶ τοὺς ἐκείνων χα-
ρακτηριστικοὺς ἐντυπωσάμενον λόγους. Δυοῖν γὰρ ὄντων
ἐναντίων ἀλλήλοις δογμάτων, ὧν ἑκάτερον ὁμοίως εἰς
ψυχικὴν ἀπώλειαν ἄγει, τοῦ Νεστορίου, τοῦ τε Εὐτυ-
χοῦς, καθάπερ εἰπόντες ἔφθημεν, ἅπερ ἐκ τῶν Ἀρειανῶν,
καὶ τῶν Ἀπολιναρίου συνέστη μιασμάτων, αὐτός τι πα-
B ράδοξον παθὼν, ὁμοίως εἰς ἑκάτερον ἐμπέπτωκε. Καὶ πῆ
μὲν τοῦτο, πῆ δὲ ἐκεῖνο πρεσβεύων, κοινὸν ἔδοξε δοχεῖον
ἑαυτόν τε καὶ τοὺς αὐτοῦ λόγους τῶν τηλικούτων πλημ-
μελημάτων καταστῆσαι. Ἔστω τοίνυν καὶ αὐτὸς ὑπὸ τὸν
εἰρημένον ἀναθεματισμὸν, ὃν ἅπαν τὸ πατριαρχικόν τε,
καὶ ἱερατικὸν, καὶ μοναχικὸν τῆς ἡμετέρας, ὡς εἰπεῖν,
πολιτείας σχῆμα δικαίως ἐπήγαγεν αὐτῷ, τῆς μὲν Θεου-
πολιτῶν ἐκβεβλημένος, διότι περ αὐτὸν ὁ κατ' ἐκείνην
ἀπεσείσατο θρόνος, οἷα μηδὲ τὴν ἀρχὴν ὀρθῶς αὐτῆς
ἐπειλημμένον, ἀλλ' ἔτι ζῶντός τε καὶ ἐν ταῖς ἁγιωτάταις
ἐκκλησίαις ἀνακηρυττομένου, τοῦ πρὸ αὐτοῦ τὴν ἱερω-
σύνην ἐσχηκότος, παρὰ δὲ τοῦ μετ' αὐτὸν τῆς ἱερωσύνης
ἐκπεπτωκότος· οὐ στάντα δὲ μέχρι τούτου μόνον, ἀλλ'
ἤδη καὶ ὑπὸ κοινὸν ἀναθεματισμὸν τῆς ὀρθοδόξου καὶ
καθολικῆς ἐκκλησίας γενόμενον, καὶ πολλῶν ἡμῖν βιβλίων,
C βλασφήμων τε, καὶ ἀπηγορευμένων ἐμπλήσαντα τὸ πο-
λίτευμα. Ὥστε καὶ ἀπαγορεύομεν ἅπασι τῶν αὐτοῦ τι
κεκτῆσθαι βιβλίων. Καὶ ὥσπερ οὐκ ἔξεστι τὰ Νεστορίου
γράφειν, ἢ κεκτῆσθαι βιβλία, διότι τοῖς πρὸ ἡμῶν αὐτο-
κράτορσιν, ἐν ταῖς ἑαυτῶν διατάξεσιν, ἔδοξε τοῖς παρὰ
Πορφυρίου κατὰ Χριστιανῶν εἰρημένοις ὅμοια καθιστά-
ναι, οὕτω μήτε τὰ Σευήρῳ ῥηθέντα τε, καὶ γραφέντα με-
νέτω παρά τινι Χριστιανῷ, ἀλλ' ἔστω βέβηλα, καὶ ἀλλό-
τρια τῆς καθολικῆς ἐκκλησίας, πυρί τε φλεγέσθω παρὰ
τῶν κεκτημένων, εἰ μὴ βούλονται κινδυνεύειν οἱ ταῦτα
ἔχοντες. Γραφέσθω τε παρὰ μηδενὸς τὸ λοιπὸν, μηδὲ
τῶν εἰς κάλλος, μηδὲ τῶν εἰς τάχος γραφόντων, μηδὲ
ἄλλου τινὸς τῶν πάντων, εἰδότος ὡς ἀποκοπὴ χειρὸς
ἔσται τοῖς τὰ ἐκείνου γράφουσιν ἡ ποινή. Οὐδὲ γὰρ βου-
λόμεθα καὶ τῷ λειπομένῳ χρόνῳ τὴν ἐξ ἐκείνων ἐπισύ-
D ρεσθαι βλασφημίαν. Ὁμοίως δὲ δὴ καὶ τοῦτον παντοίως
ἀπαγορεύομεν τῆς βασιλίδος ἐπιβαίνειν πόλεως ἢ περιοι-
κίδος αὐτῆς, ἄλλης τε τῶν ἐπισημοτέρων τινὸς, ἀλλ' ἐν
ἐρημίᾳ τινὶ, καὶ ἡσυχίᾳ καθῆσθαι, καὶ μὴ διαφθείρειν
ἑτέρους, μηδὲ εἰς βλασφημίαν αὐτοὺς προάγειν, μηδὲ
ἀεί τι καινὸν ἐξευρίσκειν κατὰ τῶν ἀληθῶν δογμάτων, δι'
οὗ πάλιν ἡμῖν συνταράξαι τὰς ἁγιωτάτας ἐκκλησίας
σπεύσειεν.

Οὐ μὴν οὐδὲ Πέτρον τὸν Ἀπαμείας γενόμενον ἐπίσκο-
πον, καὶ ἅμα μὲν καθῃρημένον, ἅμα δὲ ἐπὶ τοῖς αὐτοῖς
ἐφ' οἷς Σευῆρος ὑπὸ τὸ εἰρημένον ἀνάθεμα γενόμενον, ἡ
βασιλεία προσίεται, ἀλλ' ἔστω κύρια καὶ τὰ κατ' αὐτοῦ
ψηφισθέντα. Καὶ ὑπὸ τὸν κοινὸν ταχθεὶς ἀναθεματισμὸν,

ὑπ' αὐτὸν ἔστω, τῆς τῶν ἁγιωτάτων ἀρχιερέων προελθούσης ἐπ' αὐτοῖς ψήφου κυρίας διαμενούσης. Οὐκ ἐφίεμεν δὲ οὐδὲ ἐκείνῳ ταύτην οἰκεῖν τὴν βασιλίδα πόλιν, ἢ τὴν αὐτῆς περιοικίδα, ἤ τινα τῶν σεμνοτέρων, ἀλλ' ὧν ἠκολούθησε τῇ πλάνῃ, τούτων μιμείσθω καὶ τὴν δίαιταν, ἀπῳκισμένος ὅτι πορρωτάτω, καὶ κρύπτων ἑαυτὸν, ὡς τοῖς γε τοιούτοις τὸ κρύπτεσθαι μᾶλλον τοῦ φαίνεσθαι λυσιτελέστερον. Ἀφανεῖς μὲν γὰρ ὄντες ἑαυτοὺς καταβλάψουσι μόνους· δημοσιεύοντες δὲ τὰ ἑαυτῶν δόγματα πολλοῖς τῶν ἀφελεστέρων ἀφορμὴν ἀπωλείας παρέχουσιν, ὅπερ κατ' οὐδένα γίνεσθαι τρόπον ἐν τῇ Χριστιανικῇ τοῦ Θεοῦ ποίμνῃ, καὶ τῷ ὀρθοδόξῳ λαῷ δίκαιόν ἐστιν, οὐδὲ παρὰ τῆς βασιλείας συγχωρούμενον.

Ἐπεὶ δὲ καὶ Ζωόραν ἠξίωσαν ὅλως ὑπὸ ἀναθεματισμὸν οἱ σεβασμιώτατοι, καὶ τὰ δίκαια κρίναντες ἐπίσκοποι ποιήσασθαι, μικράν τινα παρενθήκην τῶν τοιούτων ὄντα κακῶν, ἐν οἷς ἠτίμασται, τὸ γοῦν ὅλως τυχεῖν τινὸς εὐπορήσαντα μνήμης, ἔστω καὶ Ζωόρας τῆς πονηρᾶς ταύτης μερίδος, Ἀνθίμου τε, καὶ Σευήρου, καὶ Πέτρου φαμὲν παρενθήκη τις εὐτελής, καὶ ἐν τοῖς ἀναθεματισμένοις καὶ αὐτὸς τετάχθω τῆς ἱερατικῆς αὐτὸν κατενεγκούσης ψήφου, ἣν κυρίαν καὶ αὐτὴν ἐφ' ἑαυτῆς οὖσαν, κυριωτέραν ἔτι μᾶλλον ἡ βασιλεία ποιεῖ, καὶ τοῦτον ἐξελαύνουσα τῆς βασιλίδος ταύτης πόλεως, καὶ τῆς αὐτῆς περιοικίδος, καὶ ἐπὶ τὴν τῶν πόλεων οἴκησιν αὐτῷ παντοίως ἀπαγορεύουσα. ὥστε μετ' ἐκείνων μόνων οἰκεῖν τε, καὶ βουλεύεσθαι τῶν ἔμπροσθεν ἡμῖν εἰρημένων, ὅμοια μὲν βλασφημούντων, ὅμοια δὲ καὶ παθόντων, ὁμοίως δὲ καὶ περιωρισμένων. Εἰ δέ τι καὶ ἕτερον τῇ τῶν ἁγιωτάτων ἐπισκόπων περιέχεται ψήφῳ τῇ τοὺς προειρημένους καθαιρούσῃ τε, καὶ ἀναθεματιζούσῃ, κύριον δὲ καὶ τοῦτο τιθέμεθα, καὶ τοῖς θείοις, καὶ βασιλικοῖς ἡμῶν αὐτὸ νόμοις ἐπικυροῦμεν, ὡς ἂν εἰ παρὰ τῆς βασιλείας αὐτῆς προελθὸν ἐτύγχανεν. Εἰ δὲ καί τις αὐτῶν ἁλοίη τὸ λοιπὸν πράττων τι παρὰ τὰ διατετυπωμένα, ἴστω καὶ τοῖς βασιλικοῖς ὑποπεσούμενος νόμοις, οἳ τὰς ἐλάττους τῶν ποινῶν ἐκκλίνοντες, εἰς μείζους ἐμβάλλουσι τὰς ἀγανακτήσεις. Ἀπαγορεύομεν δὲ καὶ παντὶ τῷ τὴν καθολικὴν ἐκκλησίαν τοῦ Θεοῦ διασπᾷν ἐπιχειροῦντι, εἴτε κατὰ τὴν Νεστορίου τοῦ φρενοβλαβοῦς ὑφήγησιν, εἴτε κατὰ τὴν ἀνόητον Εὐτυχοῦς παράδοσιν, εἴτε κατὰ τὴν Σευήρου βλασφημίαν ταυτὰ κἀκείνοις νοήσαντος, εἴτε τῶν ἐκείνοις ἀκολουθούντων ταῖς ἁγιωτάταις Ἐκκλησίαις ταραχὰς ἐμβάλλειν, καὶ φθέγγεσθαί τι περὶ πίστεως· ἀλλὰ θεσπίζομεν ἕκαστον τῶν τοιούτων τὴν ἡσυχίαν ἄγειν, καὶ μηδὲ συγκαλεῖν εἰς ἑαυτόν τινας, μήτε προσιόντας δέχεσθαι, ἢ παραβαπτίζειν θαῤῥεῖν· ἢ τὴν ἱερὰν κοινωνίαν ῥυπαίνειν, καὶ ταύτης μεταδιδόναι τισὶν, ἢ τὰς ἀπηγορευμένας διδασκαλίας ὑφηγεῖσθαι, ἢ ἐπὶ ταύτης τῆς βασιλίδος ἡμῶν πόλεως, ἢ ἐφ' ἑτέρας, ἀλλ' ὑφορᾶσθαι πάντα κίνδυνον, εἴ τι τοιοῦτον πράξαιεν. Ἀπαγορεύομεν δὲ καὶ πᾶσι τούτους ὑποδέχεσθαι. Ἀπελαύνειν μὲν οὖν θεσπίζομεν αὐτοὺς τῶν ὑπ' αὐτῶν ταραττομένων πόλεων, εἰδότας τὰς ποινὰς, τὰς ταῖς θείαις ἡμῶν ἤδη περιεχομένας διατάξεσιν, αἵπερ καὶ τὰς οἰκίας αὐτὰς, ἐν αἷς τοιοῦτόν τι πράττεται, καὶ τὰ χωρία ἐξ ὧν τὰς ἀποτροφὰς χορηγοῦνται, ταῖς ἁγιωτάταις Ἐκκλησίαις προσκυροῦσι, τῶν μὲν κεκτημένων ἀφαιρούμεναι, διότι βλάβης αἰτία τοῖς ἁπλουστέροις γίνεται, ὑπὸ δὲ τὰς ἁγιωτάτας καὶ ὀρθοδόξους Ἐκκλησίας

A et sententia sanctissimorum pontificum, quæ ipsum prævenit, firma permanente. Neque vero permittimus illi hanc regiam urbem habitare, aut ipsius districtum, vel aliquam de insignibus; sed quorum secutus est errorem, horum imitetur victus rationem, quam longissime abscedens et occultans seipsum; nam talibus occultari, quam videri utilius est. Ignoti etenim existentes, se ipsos lædunt solos: publicantes vero sua dogmata, multis ex simplicioribus occasionem perditionis præbent; quod nullo modo fieri in Christiano ovili Dei et orthodoxo populo æquum est, neque ab imperio permissum est.

Cap. III. — Quoniam vero et Zoaram dignum penitus judicarunt sub anathematismo esse reverendissimi, et qui justa judicant episcopi (cum parva B quædam talium malorum interpositio sit), et in quibus dehonestatus est, omnia videlicet comprehendo ex memoria quadam abundanti; sit et Zoaras interpositio quædam parva hujus malæ partis (Anthimi dicimus et Severi ac Petri), et numeretur ipse quoque inter anathematizatos, sacra sententia ipsum dejiciente: quam firmam et ipsam ex seipsa existentem, adhuc firmiorem imperium reddit: et hunc de hac regia urbe et ejus districtu abjicit, et habitationem in aliis civitatibus ipsi omnino interdicit; itaque cum illis solis habitet et consultet qui a nobis ante memorati sunt: qui similia quidem blasphemant, similia vero patiuntur, et similiter in exilium mittuntur. Si quid vero aliud in sententia C sanctissimorum episcoporum continetur, quæ prædictos deponit, et anathematizat, hoc firmius reddimus et divinis, ac imperialibus nostris legibus ipsum corroboramus, ac si ab imperio ipso provenisset. Si vero aliquis ipsorum deprehendatur de cætero facere aliquid præter constituta, sciat se incidisse in leges imperiales, quæ minores pœnas declinantes, ad majores immittunt indignationes. Interdicimus autem et omnibus conantibus catholicam Dei Ecclesiam divellere (sive secundum Nestorii hæretici doctrinam, sive secundum insensati Eutychis traditionem, sive secundum blasphemiam Severi, qui et similia illis intellexit, aut eorum qui illos sequuntur), seditionem immittere sanctissimis Ecclesiis, et loqui aliquid de fide; sed sancimus quemlibet talium quietum esse, D et non convocare aliquos ad se, neque accedentes recipere, aut perperam baptizare audere, aut sacram communionem sordidare, et ipsam aliquibus tradere, aut interdictas doctrinas exponere sive in hac nostra regia, sive in alia civitate; sed omne periculum reformidare, si quid tale faciat. Interdicimus etiam omnibus, ne istos suscipiant. Abjici ergo ipsos sancimus de civitatibus ab ipsis concitatis, scientes pœnas jam contentas in nostris divinis constitutionibus, quæ et domos ipsas, in quibus tale quid fit, et campos ex quibus nutrimenta præbentur, sanctissimis Ecclesiis assignant, et a possidentibus auferunt, quia detrimenti causa fit simplicioribus; sanctissimis vero et orthodoxis Ecclesiis hæc juste subjiciunt.

Hæc pro communi pace sanctissimarum Ecclesiarum statuimus, hæc decernimus, sequentes sanctorum Patrum dogmata, ut omne sacerdotium imperturbatum de cætero nobis permaneat. Quo in pace servato, reliqua nobis exuberabit respublica desuper pacem habens: quam omnibus magnus Deus et Salvator noster Jesus Christus Trinitatis unus, unigenitus Dei Filius prædicat, ac donat [*Al.*, præbeat ac donet] his qui sincere ipsum et vere glorificare ac adorare digni habiti sunt.

Custodiat itaque beatitudo tua, quæ recte adnotata sunt; et mittat ipsa per suas Deo dilectas litteras omnibus sanctissimis metropolitis sub ipsa existentibus: quorum cuilibet cura erit ipsa manifesta facere sanctissimis Ecclesiis sibi subjectis, ut neminem ex omnibus lateant quæ sacerdotio visa sunt et ab imperio confirmata.

ταῦτα δικαίως ἄγονται. Ταῦτα ὑπὲρ τῆς κοινῆς εἰρήνης τῶν ἁγιωτάτων Ἐκκλησιῶν νομοθετοῦμεν, ταῦτα ψηφιζόμεθα τοῖς τῶν ἁγίων Πατέρων κατακολουθοῦντες δόγμασιν, ὅπως ἂν τὸ ἱερατικὸν ἅπαν ἀτάραχον ἡμῖν τοῦ λοιποῦ διαμένοι. Οὗπερ ἐν εἰρήνῃ φυλαττομένου καὶ τὸ λοιπὸν ἡμῖν εὐθηνήσει πολίτευμα τὴν ἄνωθεν ἔχον εἰρήνην, ἣν πᾶσιν ὁ μέγας Θεὸς καὶ Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ τῆς Τριάδος εἷς, ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, κηρύττει τε, καὶ χορηγεῖ τοῖς γνησίως αὐτὸν, καὶ ἀληθῶς δοξάζειν τε, καὶ προσκυνεῖν ἠξιωμένοις.

Ἡ τοίνυν σὴ μακαριότης, τὰ ὀρθῶς παραστάντα φυλαττέτω, καταπέμπουσα ταῦτα διὰ θεοφιλῶν αὐτῆς γραμμάτων πᾶσι τοῖς ὑπ' αὐτὴν τεταγμένοις ὁσιωτάτοις μητροπολίταις, ὧν ἑκάστῳ γενήσεται φροντὶς τοῖς ὑπ' αὐτοὺς τεταγμέναις ὁσιωτάταις Ἐκκλησίαις, ταῦτα ποιῆσαι φανερὰ, ὥστε μηδένα τῶν πάντων διαλαθεῖν, τά τε τῇ ἀρχιερωσύνῃ δόξαντα, τά τε ὑπὸ τῆς βασιλείας κεκυρωμένα.

Divina subscriptio.

Ἡ θεία ὑπογραφή.

Divinitas te servet per multos annos, sancte et religiose Pater.

Data octavo Idus Augustas, Constantinopoli, post consulatum Belissarii, viri clarissimi [anno Domini 536].

JUSTINIANI IMPERATORIS
TRACTATUS
CONTRA MONOPHYSITAS.

(Ang. Mai *Vet. Script. collect. nov.* t. VII, p. 292.)

Justinianus imperator noster factus tractatum dogmaticum cum conscripserit ex Scripturis sacris ac sanctis Patribus ad monachos qui sunt in nono Alexandriæ, bonum censuimus beatitudini tuæ mittere; hæc autem habet:

Veræ fidei confessionem primam salutis esse rationem omnibus hominibus, maxime his qui monasticam vitam elegerunt, existimamus. Si enim corpus castigare student, multo magis animam ad fidem in Deum informare debent, per quam æterna vita frui speramus. Nam opere fidei, quod est perfectius, cum ratione agendi non conveniente, necesse est ut, juxta Scripturam, operatio sine fide mortua sit: *Nemo*, enim, inquit, *coronatur, nisi legitime certaverit* *. Ægrotare communis naturæ est infirmitatisque humanæ, cui omnes subduntur, potentissimi etiam ingenio; sanari vero, veramque fidem agnoscere, unitatemque ac pacem Ecclesiæ diligere rationis est ac charitatis. Deus enim est et vocatur *Deus pacis;* ita ut qui fidei pacisque bonum diligere videntur, ad Deum pertineant fereque divini sint. Hæc autem ad pietatem vestram

Ἰουστινιανοῦ τοῦ γενομένου ἡμῶν βασιλέως, λόγον συντεθεικότος δογματικὸν ἔκ τε τῶν θείων Γραφῶν καὶ τῶν ἁγίων Πατέρων πρὸς τοὺς ἐν τῷ ἐνάτῳ τῆς Ἀλεξανδρέων μοναχοὺς, ἀναγκαῖον ἡγησάμεθα τοῦτον δῆλον καταστῆσαι τῇ σῇ μακαριότητι· ἔχει δὲ οὕτως·

Πρώτην εἶναι σωτηρίαν ἅπασιν ἀνθρώποις ἡγούμεθα τὴν τῆς ὀρθῆς πίστεως ὁμολογίαν, μάλιστα τοῖς τὸν μονήρη βίον ἀνελομένοις. Εἰ γὰρ τὸ σῶμα παιδεύειν σπουδάζουσι, πολλῷ μᾶλλον τὴν ψυχὴν εἰς τὴν περὶ Θεὸν πίστιν παιδαγωγεῖν ὀφείλουσι, δι' ἧς τῆς αἰωνίας ζωῆς ἀπολαύειν ἐλπίζομεν. Τοῦ γὰρ τελειοτέρου τῆς πίστεως ἔργου μὴ συναρμοζομένου τῇ πράξει, λείπεται νεκρὰν εἶναι, κατὰ τὸ γεγραμμένον, τὴν χωρὶς πίστεως ἐργασίαν· *Οὐδεὶς γὰρ, φησὶ, στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ.* Καὶ τὸ μὲν ἀῤῥωστῆσαι τῆς κοινῆς φύσεώς ἐστι καὶ τῆς ἀσθενείας τῆς ἀνθρωπίνης, ἣ πάντων ἅπτεται καὶ τῶν λίαν ἰσχυρῶν τὴν διάνοιαν· τὸ δὲ θεραπευθῆναι, καὶ τὴν ὀρθὴν ἐπιγνῶναι πίστιν, καὶ τὴν τῆς Ἐκκλησίας ἕνωσίν τε καὶ εἰρήνην ἀσπάσασθαι, τοῦ λογισμοῦ καὶ τῆς χάριτος. Εἰρήνη γὰρ ὁ Θεὸς ἔστιν τε καὶ ὀνομάζεται· ὥστε Θεοῦ τοῦτο καὶ τῶν θείων

* II Tim. II, 5.

ἐγγύς, ὅσοι τὸ τῆς πίστεως καὶ εἰρήνης ἀγαθὸν A ἀσπαζόμενοι φαίνονται. Ταῦτα δέ φαμεν πρὸς τὴν ὑμετέραν θεοφιλίαν, μεμαθηκότες ἐκ τῶν γραφέντων ἡμῖν παρὰ τοῦ μακαριωτάτου ἀρχιεπισκόπου τῆς Ἀλεξανδρέων καὶ πατριάρχου Ζωΐλου, ὅτι τὴν τῷ Θεῷ φίλην εἰρήνην ἀσπασάμενοι προσεδράμετε τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ, εὑρηκότες ὀρθὰ εἶναι τὰ ἐν αὐτῇ κηρυττόμενα δόγματα, δι' ὧν πᾶσα μὲν αἵρεσις ἀπελήλαται, κατακέκριται δὲ καὶ ἐκβέβληται ἥ τε Παύλου καὶ Νεστορίου διαίρεσις, τῶν τοῖς τῆς ψυχῆς ὄμμασι τυφλωττόντων, καὶ κατὰ τὴν τῶν Ἰουδαίων μανίαν τὴν θεότητα τοῦ Χριστοῦ ἀπαρνουμένων· ὁμοίως δὲ κατακέκριται καὶ ἐκβέβληται ἡ Ἀπολλιναρίου τε καὶ Εὐτυχοῦς συναίρεσις ἤγουν σύγχυσις τῶν ἀθετούντων τὴν τοῦ Χριστοῦ ἀληθινὴν ἀνθρωπότητα. Ὅθεν προτρέπομεν τὴν ὑμετέραν B θεοφιλίαν τοὺς τῆς πίστεως λοιπὸν καρποὺς ἐπιδείξασθαι, καὶ τοὺς ἔτι τῇ πλάνῃ κρατουμένους ὁδηγῆσαι πρὸς τὴν ἀλήθειαν, καὶ προσαγαγεῖν τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ, ἧς τὸ ἀληθὲς καὶ σωτήριον κήρυγμα προϊόντες ἀποδείξομεν διά τε τῶν θείων Γραφῶν καὶ τῶν Πατρικῶν παραδόσεων, καὶ τὴν τῶν εἰρημένων ἀσεβῶν αἱρετικῶν κακόνοιαν διελέγξομεν.

mandamus, audito ex his quæ ad nos scripta sunt a beatissimo archiepiscopo Alexandriæ ac patriarcha Zoilo, quod Deo charam pacem diligentes, ad sanctam Dei Ecclesiam accurrissetis, dogmata in ea prædicata vera judicantes, quibus omnis hæresis exclusa, damnata atque expulsa est sive Pauli, sive Nestorii, oculos mentis suæ obcæcatorum, juxtaque Judæorum insaniam Christi divinitatem negantium; quibusque similiter damnata expulsaque est Apollinarii ac Eutychis conjunctio seu commistio eorum quibus vera Christi humanitas solvitur. Vestram igitur hortamur pietatem ut fidei suæ fructus cæterum colligat, illosque qui adhuc errore detinentur ducat ad veritatem congregetque ad Ecclesiam, cujus veram ac salutarem prædicationem sacris Scripturis traditionibusque Patrum primo loco demonstrabimus, et falsa, quæ impie ab hæreticis asseruntur, confutabimus.

Κηρύττει γὰρ ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία μονάδα ἐν Τριάδι καὶ Τριάδα ἐν μονάδι· εἷς γὰρ Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα· καὶ ἓν Πνεῦμα ἅγιον ἐν ᾧ τὰ πάντα· τὸ ἐξ οὗ καὶ δι' οὗ καὶ ἐν ᾧ μὴ φύσεσι τεμνόντων ἀλλὰ χαρακτηριζόντων μιᾶς καὶ ἀσυγχύτου φύσεως ἰδιότητας· μίαν γὰρ οὐσίαν ἐν τρισὶν ὑποστάσεσι προσκυνοῦμεν, ἐν ἑκάστῃ ὑποστάσει τὴν αὐτὴν ἐπιθεωροῦντες οὐσίαν. Καὶ ἑκάστην μὲν τῶν C ὑποστάσεων μοναχῶς ἐξαγγέλλομεν· ἐπειδὰν δὲ συναριθμῆσαι δέῃ, οὐχὶ ἀπαιδεύτῳ ἀριθμήσει πρὸς πολυθεΐας ἔννοιαν ἐκφερόμεθα· οὐδὲ γὰρ κατὰ σύνθεσιν ἀριθμοῦμεν ἀφ' ἑνὸς εἰς πλῆθος ποιούμενοι τὴν παραύξησιν, ἀλλὰ τὸ ἰδιάζον τῶν ὑποστάσεων ὁμολογοῦντες μένομεν ἐπὶ τῆς μοναρχίας, εἰς πλῆθος ἀπεσχισμένον τὴν θεολογίαν μὴ σκεδαννύντες, διατομίαν ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, τὴν οἱονεὶ μορφὴν θεωρεῖσθαι, τῷ ἀπαραλλάκτῳ τῆς φύσεως ἑνιζομένην· καὶ Θεὸν οὖν ἕκαστον ὁμολογοῦμεν, ἂν θεωρῆται, μόνον τοῦ νοῦ χωρίζοντος τὰ ἀχώριστα, καὶ Θεὸν τὰ τρία μετ' ἀλλήλων νοοῦμεν, τῷ ταυτῷ τῆς κινήσεως καὶ τῆς φύσεως· Τριὰς οὖν ὡς ἀληθῶς ἡ Τριάς· τρία δὲ οὐ πραγμάτων ἀνίσων ἀπαρίθμησις, ἀλλ' ἴσων καὶ ὁμοτίμων σύλληψις, D ἑνούσης τῆς προσηγορίας τὰ ἡνωμένα ἐκ φύσεως, καὶ οὐκ ἐώσης σκεδασθῆναι ἀριθμῷ λελυμένῳ τὰ μὴ λυόμενα.

Dei autem Ecclesia unitatem in Trinitate ac Trinitatem in unitate docet; unus est enim Deus Pater, ex quo omnia, unus Dominus Jesus Christus per quem omnia, atque unus Spiritus sanctus in quo omnia; ex quo, per quem et in quo. Ideo vero non in naturas dividimus, sed unius ac simplicis naturæ proprietates indicamus: unam enim substantiam in tribus personis adoramus, in unaquaque persona eamdem substantiam considerantes. Unamquamque autem personarum sigillatim confitemur, cumque numerandum est, hoc numero ad polytheismum rudem non inducimus, non enim per synthesim numeramus ab uno ad pluralitatem auctionem facientes, sed proprietatem personarum confitentes in unitate majestatis permanemus, vocem sacram non extendentes numero remoto, ita ut distinctionem in Patre et Filio et Spiritu sancto consideremus velut formam identitate naturæ unitam; Deumque igitur unumquemque confitemur, si consideretur mente tantum separante quæ separari nequeunt, Deumque tria hæc unum post alterum putamus, eadem distinctione et natura. Trinitas igitur verissime est Trinitas. Tria autem non inæqualium numerus, sed æqualium et parium comprehensio, appellatione uniente natura jam unita, haudque sinente separari numero soluto quæ soluta non sunt.

Ὁμολογοῦμεν δὲ ὅτι ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ὁ σὺν Πατρὶ καὶ ἁγίῳ Πνεύματι δοξαζόμενός τε καὶ προσκυνούμενος, ὁ γεννηθεὶς ἐκ τοῦ Πατρὸς ἀχρόνως καὶ ἀσωμάτως, τὸ ἐκ τοῦ φωτὸς φῶς, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τὸ ἐκμαγεῖον τοῦ Ἀρχετύπου, ἡ μὴ κινουμένη σφραγὶς, ἡ ἀπαράλλακτος εἰκὼν, ὁ τοῦ Πατρὸς ὅρος καὶ Λόγος, οὐ περιεῖδεν τὸν ἄνθρωπον φθόνῳ διαβόλου καὶ πικρᾷ γεύσει τῆς ἁμαρτίας, Θεοῦ τοῦ πεποιηκότος ἐλεεινῶς χωριζόμενον. Ἀλλὰ τὴν ἡμετέραν ἐργαζόμενος σωτηρίαν, ἐπὶ τὴν ἰδίαν εἰκόνα χωρεῖ, καὶ σαρκοῦται

Confitemur autem Filium unigenitum Verbumque Dei, cum Patre ac Spiritu sancto glorificatum et adoratum, ab æterno incorporaliterque ex Patre genitum, lumen de lumine, fontem vitæ atque immortalitatis, archetypi impressionem, sigillum intemeratum, imaginem nullo modo dissimilem, Patris terminum atque Verbum, non dereliquisse hominem diaboli invidiæ, amaritudinique peccati, Deo illum misericorditer liberante. Sed ut nostram salutem operetur, ad imaginem suam venit, ob carnem nostram incarnatur, obque animam nostram animæ

spirituali commiscetur, simile simili purificans, per omnia homo fit absque peccato. Postquam ascendisset super cœlum cœli ad orum gloriæ suæ, super occasum infirmitatis nostræ glorificatur; non enim tam divinam ac superexcellentem potentiam, immensitas cœli, astrorum splendor, universi ordo vel entium œconomia perennis demonstrant, quam ad infirmitatem naturæ nostræ illius descensio: quomodo enim excelsus factus humilis in humilitate contemplatur nec e majestate descendit. Divinitas ergo humanæ naturæ infusa, hoc fit ac illud est, ideo perfectum Deum atque perfectum hominem eumdem confitemur super omne quod passum est, ut mihi toti salutem donaret, tota damnatione peccati soluta. Evacuatur ergo plenitudo, evacuatur autem ejus gloria modico tempore, ut de plenitudine ejus accipiam, divesque fit pauper. Quomodo autem pauper fiat qui dives est, dicit sanctus Athanasius in sermone de salutis revelatione: « Pauperem naturam in semetipso assumpsisse, in sua justitia, illam post passionem supra homines exaltaturum, ut ex hominibus ac supra homines esse videretur, totam Dei factam esse ut homo vere Deus esset ac Deus vere esset homo: ex beneplacito Dei Unigeniti, de matre Virgine, generatione naturali indissolubilique unitate, ad se, ob plenitudinem suæ divinitatis, hominem Archetypi plasma, ut nova esset creatura erexisse. »

A διὰ τὴν ἐμὴν σάρκα, καὶ ψυχῇ νοερᾷ διὰ τὴν ἐμὴν ψυχὴν μίγνυται, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων, καὶ πάντα γίνεται πλὴν τῆς ἁμαρτίας ἄνθρωπος. Καὶ ὁ ἐπιβεβηκὼς ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατ' ἀνατολὰς τῆς ἰδίας δόξης, ἐπὶ δυσμῶν τῆς ἡμετέρας ἀσθενείας δοξάζεται· τὴν γὰρ θείαν καὶ ὑπερέχουσαν δύναμιν, οὐχ οὐρανῶν μεγέθη καὶ φωστήρων αὐγαὶ, καὶ ἡ τοῦ παντὸς διακόσμησις, καὶ ἡ διηνεκὴς τῶν ὄντων οἰκονομία, τοσοῦτον ὅσον ἡ ἐπὶ τὸ ἀσθενὲς τῆς φύσεως ἡμῶν συγκατάβασις δείκνυσι· πῶς τὸ ὑψηλὸν ἐν τῷ ταπεινῷ γενόμενον, καὶ ἐν τῷ ταπεινῷ καθορᾶται, καὶ οὐ καταβαίνει τοῦ ὕψους; Θεότης γὰρ ἀνθρωπίνῃ συμπλακεῖσα φύσει, καὶ τοῦτο γίνεται κἀκεῖνό ἐστιν· διὸ τέλειον Θεὸν καὶ τέλειον ἄνθρωπον τὸν αὐτὸν ὁμολογοῦμεν ὑπὲρ ὅλου τοῦ πεπονθότος,
B ἵνα ὅλῳ μοι τὴν σωτηρίαν χαρίσηται, ὅλον τὸ κατάκριμα λύσας τῆς ἁμαρτίας· κενοῦται γὰρ ὁ πλήρης, κενοῦται δὲ τῆς ἑαυτοῦ δόξης ἐπὶ μικρὸν, ἵνα ἐγὼ μεταλάβω τῆς ἐκείνου πληρότητος· καὶ ὁ πλουτίζων πτωχεύει. Πῶς δὲ πτωχεύει πλούσιος ὢν, λέγει ὁ ἐν ἁγίοις Ἀθανάσιος ἐν τῷ περὶ τῆς σωτηριώδους ἐπιφανείας λόγῳ, ὅτι « Τὴν πτωχεύσασαν φύσιν ἐν ἑαυτῷ ἀνελάβετο, ἐν ἰδίᾳ δικαιοσύνῃ ταύτην προβαλόμενος ὑπὲρ ἀνθρώπων πάσχουσαν, καὶ ἐξ ἀνθρώπων οὖσαν, καὶ ὑπὲρ ἀνθρώπους φανερωθεῖσαν, καὶ Θεοῦ ὅλην γενομένην, ἵνα καὶ ἄνθρωπος ᾖ ὁ Θεὸς ἀληθῶς, καὶ Θεὸς ἄνθρωπος ἀληθῶς· Θεοῦ τοῦ μονογενοῦς εὐδοκήσαντος, τῷ πληρώματι τῆς θεότητος αὐτοῦ τὴν τοῦ Ἀρχετύπου πλάσιν ἀνθρώπου καὶ ποίησιν καινὴν, ἐκ μήτρας Παρθένου ἀναστήσασθαι ἑαυτῷ φυσικῇ γεννήσει καὶ ἀλύτῳ ἑνώσει. »

Ex his præmissis, ejusdem miracula pœnasque quas libenter sustinuit, ex carne dicimus cognoscere. Quod autem unus Trinitas, Dei Verbum, incarnatus est factusque est homo, non ideo quartæ personæ accessionem sancta Trinitatis recipit; neque alterum esse Deum Verbum alterumque Christum noscimus, sed unum eumdemque esse Deum Verbum Dominum Jesum Christum confitemur. Si compendiose dicendum est, alterum et alterum sunt ex quibus fit Salvator, nisi dicatur eumdem visibilem esse ac invisibilem, eumdemque æternum ac in tempore factum. Non est autem alter et alter; absit: unus enim ex ambobus fit amboque ex uno; eum ergo de Unigenito Filio Dei Domino nostro Jesu Christo alterum et alterum de uno eodemque dicimus; duos filios vel duas hypostases seu duas personas non inducimus, sed ex quibus est in his eum esse agnoscimus; sic enim Divinitatem carnemque illius differre probamus, damnantes Eutychis consubstantialitatem, unamque ejus hypostasim confitemur, Nestorii distinctionem exsecrantes. De hoc autem disserit sanctus Cyrillus in libro tertio adversus Nestorium. « Non quod inter nos conversatus est, aliquando desinet esse Deus; nec quod natura est Deus, nobiscum similitudinem inacceptam habebit, homoque esse recusabit. Quemadmodum autem in humanitate permansit Deus, ita cum in natura est atque in excellentia divinitatis nullo modo inferius est. Ambo igitur sunt in eodem, unusque Deus simul ac homo, qui est Emmanuel. »

C Τούτοις οὖν ἀκολουθοῦντες, τοῦ αὐτοῦ τὰ θαύματα καὶ τὰ πάθη ἅπερ ἑκουσίως ὑπέμεινεν, σαρκὶ γινώσκομεν. Οὔτε γὰρ τετάρτου προσώπου προσθήκην ἐπιδέχεται ἡ ἁγία Τριὰς, τοῦ ἑνὸς τῆς Τριάδος Θεοῦ Λόγου σαρκωθέντος καὶ ἐνανθρωπήσαντος· καὶ οὐκ ἄλλον τὸν Θεὸν Λόγον καὶ ἄλλον τὸν Χριστὸν ἐπιστάμεθα, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν Θεὸν Λόγον Κύριον Ἰησοῦν Χριστὸν ὁμολογοῦμεν. Καὶ εἰ δεῖ συντόμως εἰπεῖν, ἄλλο μὲν καὶ ἄλλο τὰ ἐξ ὧν ὁ Σωτὴρ, εἴπερ μὴ ταυτὸν τὸ ὁρατὸν τῷ ἀοράτῳ, καὶ τὸ ἄχρονον τῷ ὑπὸ χρόνον· οὐκ ἄλλος δὲ καὶ ἄλλος, μὴ γένοιτο! εἷς γὰρ ἐξ ἀμφοῖν, καὶ δι' ἑνὸς ἀμφότερα· ὅθεν ἐπὶ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἄλλο καὶ ἄλλο ἐφ' ἑνὸς καὶ τοῦ αὐτοῦ λέγοντες, οὐ δύο υἱοὺς ἢ δύο ὑποστάσεις ἢ δύο πρόσωπα
D εἰσάγομεν, ἀλλ' ἐξ ὧν ἐστιν ἐν αὐτοῖς αὐτὸν εἶναι γνωρίζομεν· οὕτω γὰρ καὶ τὸ διάφορον τῆς θεότητος αὐτοῦ καὶ τῆς σαρκὸς παριστῶμεν, ἀναιροῦντες τὴν Εὐτυχοῦς συνουσίωσιν, καὶ μίαν αὐτοῦ τὴν ὑπόστασιν ὁμολογοῦμεν βδελυττόμενοι τὴν Νεστορίου διαίρεσιν. Τοῦτο γὰρ καὶ ὁ ἐν ἁγίοις λέγει Κύριλλος ἐν τῷ τρίτῳ τόμῳ τῷ πρὸς Νεστόριον· « Οὐ γὰρ ὅτι γέγονεν καθ' ἡμᾶς, τὸ εἶναι Θεὸς ἀπολέσει ποτέ· οὔτε μὴν ὅτι Θεός κατὰ φύσιν ἐστὶν, τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ἀπαράδεκτον ἔχει, καὶ τὸ ἄνθρωπος εἶναι παραιτήσεται. Μεμένηκεν δὲ ὥσπερ ἐν ἀνθρωπότητι Θεός· οὕτω καὶ ἐν φύσει τε καὶ ὑπεροχῇ θεότητος ὢν οὐδὲν ἧττόν ἐστιν. Ἄμφω δὴ οὖν ἐν τούτῳ· καὶ εἷς Θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὁ Ἐμμανουήλ. »

Δεῖ κἀνταῦθα τοῖς παρὰ τοῦ Πατρὸς εἰρημένοις ἐπισκέψαι· τὴν γὰρ *ἐν* πρόθεσιν ἐπὶ τῶν δύο φύσεων τῆς θείας τε καὶ ἀνθρωπίνης, ἐν αἷς εἷς ὁ Χριστὸς γνωρίζεται, ὁμολογεῖν ἡμᾶς ἐκδιδάσκει· ἣν πρόθεσιν οἱ αἱρετικοὶ ἀρνοῦνται ἐπὶ τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ ἁρμόζειν, διαίρεσιν δῆθεν προφασιζόμενοι διὰ ταύτης γίνεσθαι· ἀγνοοῦντες ὅτι αὕτη ἡ πρόθεσις τὴν ἕνωσιν ἀσύγχυτον καὶ ἀδιαίρετον φυλάττει. Ὅθεν καὶ ἡ θεία Γραφὴ τῇ τοιαύτῃ κέχρηται προθέσει ἐπὶ τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Λέγει γοῦν ὁ θεσπέσιος ἀπόστολος Παῦλος· *Τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος.* Εἰπὼν δὲ ὁ Ἀπόστολος ἐν μορφῇ Θεοῦ ὑπάρχειν τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ, καὶ ἐπαγαγὼν μορφὴν δούλου λαβόντα αὐτὸν ἐν ὁμοιώματι γενέσθαι ἀνθρώπων, καὶ σχήματι εὑρεθῆναι ὡς ἄνθρωπον, οὐδὲν ἕτερον ἡμᾶς ἐκδιδάσκει ἢ τὸ ἐν ἑκατέρᾳ μορφῇ τὸν Κύριον εἶναι, τουτέστιν ἐν θεότητι καὶ ἀνθρωπότητι. Ἀμέλει τοι καὶ ὁ ἐν ἁγίοις Κύριλλος τοῦτο τὸ ῥητὸν ἑρμηνεύων ἐν τῷ πρὸς Θεοδόσιον λόγῳ γράφει τάδε· « Ὁ συναΐδιος τῷ Θεῷ καὶ Πατρὶ Θεὸς Λόγος, μορφὴν δούλου λαβὼν, ἔστιν ὥσπερ ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος, οὐκ ἐκ μόνης θεότητος καὶ σαρκὸς εἰς ἕνα Χριστὸν καὶ Κύριον καὶ Υἱὸν συγκείμενος, ἀλλ' ἐκ δυοῖν τελείοιν, ἀνθρωπότητος λέγω δὴ καὶ θεότητος, εἰς ἕνα καὶ τὸν αὐτὸν παραδόξως συνδούμενος. » Ἰδοὺ δὲ σαφῶς πάλιν ὁ Πατὴρ ἐν θεότητι καὶ ἀνθρωπότητι τὸν Χριστὸν ὑπάρχειν ὁμολογεῖ. Ὥσπερ δὲ τὸ *ἐκ θεότητος καὶ ἀνθρωπότητος* ἐκ δύο φύσεων σημαίνει, οὕτω καὶ τὸ *ἐν θεότητι καὶ ἀνθρωπότητι* ἐν δύο φύσεσιν εἶναί τε καὶ γνωρίζεσθαι τὸν Χριστὸν δηλοῖ. Ὅτι δὲ τὸ ἔκ τινων συνεστάναι λεγόμενον, ἐὰν μὴ ἐν αὐτοῖς γνωρίζηται ἐξ ὧν καὶ συνέστη, σύγχυσιν καὶ ἀφανισμὸν τῶν συνελθόντων ποιεῖ πραγμάτων, σαφὲς καθέστηκεν· ἐξ ὧν πάλιν ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος κατὰ τῶν Συνουσιαστῶν λέγει τάδε· « Εἰ δὲ ὡς ἐν τάξει ὑγρῶν ἀναμεμίχθαι φασὶν ἀλλήλοις σάρκα τε καὶ Λόγον, πῶς ἠγνόησαν ὅτι τὰ ἀλλήλοις ἀνακιρνάμενα τῶν ὑγρῶν, οἶνος φέρε εἰπεῖν καὶ μέλι, ὃ μὲν ἦσαν, εἰσὶ καθαρῶς οὐκέτι, προσλήψει δὲ μᾶλλον τῆς ἑτεροειδοῦς ποιότητος, εἰς ἕτερόν τι μεθίσταται; Οὐκοῦν εἰ συγκεκρᾶσθαί φασι τῷ Λόγῳ τὴν σάρκα, πᾶσά πως ἀνάγκη λέγειν ἑκάτερον τῶν ὠνομασμένων, ἀποστῆναι μὲν τοῦ εἶναι ὃ ἦν, ἓν δέ τι τὸ ἐξ ἀμφοῖν ἀποτελέσαι μέσον ἑτεροφυές που πάντως, ὅπερ ἦν ἑκάτερον ἀνὰ μέρος. »

Ἀποδεδειγμένου τοίνυν ὅτι ἐπὶ τῶν μὴ σωζομένων μετὰ σύνθεσιν σύγχυσις γίνεται, δῆλον ὅτι ἐφ' ὧν μὴ σύγχυσις μηδὲ ἀφανισμὸς τῶν συνελθόντων πραγμάτων ἐστὶν τὸ ἔκ τινος συντεθὲν, καὶ ἐν αὐτοῖς γνωρίζεται, καὶ πρόδηλον ὅτι οἱ ἐκ δύο φύσεων,

A Hic in eis quæ a Patre dicta sunt immorandum est; nam præpositionem *in* de duabus naturis divinitatis atque humanitatis, in quibus unus Christus agnoscitur, confiteri nos docet; quam præpositionem hæretici negant de divinitate atque humanitate Christi convenire, illius causa divisionem fieri prætexentes; ignorantes hanc præpositionem unitatem inconcretam atque individuam servare. Unde sacra Scriptura eadem præpositione utitur de divinitate atque humanitate magni Dei et Salvatoris nostri Jesu Christi. Dixit quidem sanctus Paulus apostolus: « *Hoc sentite in vobis quod et in Christo Jesu, qui, cum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo, sed semetipsum exinanivit formam servi accipiens, in si-* B *militudinem hominum factus, et habitu inventus ut homo* [b]. » Apostolus autem cum dicit in forma Dei esse Filium Dei unigenitum, ipsumque addit formam servi accepisse ut similis hominibus fieret, habituque inventum esse ut hominem, nihil aliud nos docet quam in utraque forma esse Dominum, id est, in divinitate atque humanitate. Sanctus quoque Cyrillus, hæc verba interpretans, hæc ad Theodosium scribit: « Deus Verbum, coæternum Deo ac Patri, formam servi accipiens, quemadmodum in divinitate perfectus est, ita et in humanitate; non ex sola divinitate ac carne in unum Christum, Dominum et Filium compositus, sed ex duobus perfectis, id est hu- C manitate ac divinitate in unum eumdemque mirabiliter conjunctus. » Sic ergo iterum in divinitate ac humanitate esse Christum aperte profitetur Pater. Quemadmodum *ex divinitate ac humanitate* ex duabus naturis significat, ita *in divinitate ac humanitate* in duabus naturis esse agnoscique Christum demonstrat. Quod autem dicitur ex aliquot constitutum esse, nisi in illis agnoscatur ex quibus constitutum est, confusas obscuratasque facere res constituentes, clare reponit; inter quæ hæc iterum idem sanctus Cyrillus contra Consubstantialistas dicit: « Si vero dicunt, more liquidorum, carnem et Verbum sibi invicem commista fuisse, quomodo nescierunt liquida hæc sibi invicem commista, verbi gratia vinum et mel, jam D non esse mere quod erant, sed assumpsisse plurimum materiæ alienæ, ita ut in quoddam alienum commutentur. Si ergo Verbo carnem commistam fuisse dicunt, necesse omnino erit dicere unumquodque nominatorum, ita esse alienum ab eo quod erat, ut quiddam unum ex duobus fiat medium, omnino ferme aliud quam quod unumquodque erat per partes. »

Probato igitur in non salvatis post compositionem, confusionem fieri, evidens est in quibus nec confusio nec obscuratio rerum constituentium adest, ex quodam esse composita, atque in illis agnosci, ac manifestum est confitentes ex duabus naturis,

[b] Philipp. II, 5-7.

id est ex divinitate et humanitate perfectum fuisse unum Dominum nostrum Jesum Christum, nec in eo confusionem adfuisse causa substantiarum constituentium, necessario quoque in his duabus naturis ipsum agnosci fore confessuros, ex quibus etiam constitutus est qui est in deitate atque humanitate. Sic enim nec differentia naturarum in Christo tollitur, unitasque earum individuo servatur. Cum quorumdam differentiam dicant, nisi quæ perficiunt Christum, in illone servari permittent? Licet sancto Cyrillo in vicesimo quarto sermone Thesauri hæc scribente : « Hæc loquitur ut homo, loquitur autem etiam ut Deus, in ambobus potestatem habens. Ut homo vero loquitur : *Nunc anima mea turbata est* [c]. Ut Deus autem iterum dicit : *Potestatem habeo ponendi eam, et potestatem habeo iterum sumendi eam* [d]. *Turbari*, carnis propria pœna est ; *potestatem autem habere ponendi atque iterum sumendi animam*, Verbi potentiæ opus est. » Idem sanctus Cyrillus in Commentario Evangelii secundum Joannem, sexto sermone secundi libri iterum dicit : « Cum enim, homo jam factus, formam servi induisset, sermo ejus nec liber nec omnino remissus erat ob fiduciam quæ Deum decebat : tali autem utebatur imprimis, qui propter *œconomiam* (incarnationem), simul Deum et hominem deceret, siquidem de eodem utrumque vere dicebatur. » Cum autem Pater de eodem utrumque dicat esse Christum ac in utroque potestatem habere, nihil aliud quam in duabus naturis ipsum exstare agnoscique patefacit ; cum enim voces *Deus* et *homo* de Christo asseruntur, substantiarum indicia sunt.

Attamen veritatis hostes, omnia documenta Patrum contemnentes maximeque quæ a sancto Cyrillo de condemnatione Nestorii prolata sunt concilioque confirmata, quædam ex solis commentariis sancti Cyrilli ad Sucensum arbitrio suo false interpretantur, scilicet solam naturam Dei Verbi incarnatam fuisse, hominemque exemplar fuisse ; ac, quod solent hæretici, scilicet verba sacrarum Scripturarum juxta proprium errorem interpretari, hoc et ipsi faciunt. Sed ex his quæ dicta sunt ab hoc Patre insaniam erroremque illorum de his demonstrabimus. Hæc verba præcurrentes, contextumque eorum interrumpentes, suum errorem constituere satagunt ; cum reipsa dixerit Pater : « Post unionem non nos dividere naturas ab invicem, nec in duos Filios unum atque individuum secare, sed unum Filium dicere ; » ac postquam demonstraverunt post unionem non dividendas esse naturas, sed illas unitas in Christo confitendas, ipsi, hæc silentio prætermittentes, unam carnis et divinitatis naturam fingunt. At sanctus Pater, non, sicut illi imaginantur, unam carnis et

[c] Joan. XII, 27. [d] Joan. X, 18.

A τουτέστιν ἐκ θεότητος καὶ ἀνθρωπότητος ἀποτελεσθῆναι τὸν ἕνα Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὁμολογοῦντες, καὶ μὴ σύγχυσιν ἐν αὐτῷ γεγενῆσθαι λέγοντες τῶν συνελθουσῶν οὐσιῶν, ἀνάγκην ἕξουσι καὶ ἐν αὐταῖς ταῖς δύο φύσεσιν αὐτὸν ὁμολογεῖν γνωρίζεσθαι, ἐξ ὧν καὶ συνετέθη ὅπερ ἐστὶν ἐν θεότητι καὶ ἀνθρωπότητι. Οὕτω γὰρ οὔτε ἡ διαφορὰ τῶν ἐν Χριστῷ φύσεων ἀναιρεῖται, καὶ ἡ τούτων ἕνωσις ἀδιάσπαστος φυλάττεται. Ἐπεὶ τίνων λέγουσι διαφορὰν, ἐὰν μὴ τὰ Χριστὸν ἀποτελέσαντα, ἐν αὐτῷ φυλάττεσθαι δώσωσι ; καίτοι τοῦ ἐν ἁγίοις Κυρίλλου ἐν τῷ εἰκοστῷ τετάρτῳ λόγῳ τοῦ Θησαυροῦ γράφοντος· « Ταῦτα λαλεῖ ὡς ἄνθρωπος, λαλεῖ δὲ καὶ ὡς Θεὸς, ἔχων ἐν ἀμφοτέροις τὴν ἐξουσίαν· ἀνθρωπίνως μὲν γὰρ ἔλεγεν, *Νῦν ἡ ψυχή μου τετάρακται*. B Θεϊκῶς δὲ πάλιν, *Ἐξουσίαν ἔχω θεῖναι αὐτὴν, καὶ πάλιν ἐξουσίαν ἔχω λαβεῖν αὐτήν*. Τὸ οὖν, *ταράττεσθαι*, τῆς σαρκὸς ἴδιον πάθος· τὸ δὲ, *ἐξουσίαν ἔχειν θεῖναί τε καὶ πάλιν λαβεῖν τὴν ψυχὴν*, τῆς τοῦ Λόγου δυνάμεως ἔργον ἐστίν. » Καὶ πάλιν ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος ἐν τῷ ὑπομνήματι τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου, ἐν τῷ ἕκτῳ λόγῳ τοῦ δευτέρου βιβλίου λέγει· « Ὡς γὰρ ἤδη τὴν τοῦ δούλου μορφὴν περικείμενος ἄνθρωπος γενόμενος, διὰ τὸ ἑνωθῆναι σαρκὶ, οὐκ ἐλευθέραν οὐδὲ ἀνειμένην παντελῶς εἰς θεοπρεπῆ παῤῥησίαν ἐποιεῖτο τὴν διάλεξιν· ἐχρῆτο δὲ μᾶλλον τοιαύτῃ δι' οἰκονομίαν ἔσθ' ὅτε, ἥπερ ἂν πρέποι Θεῷ τε ὁμοῦ καὶ ἀνθρώπῳ· καὶ γὰρ ἦν ὄντως κατὰ ταυτὸν ἀμφότερα. » C Ἀμφότερα δὲ λέγων ὁ Πατὴρ κατὰ ταυτὸν εἶναι τὸν Χριστὸν, καὶ ἐν ἀμφοτέροις ἔχειν τὴν ἐξουσίαν, οὐδὲν ἕτερον ἢ ἐν δυσὶ φύσεσιν αὐτὸν ὑπάρχειν τε καὶ γνωρίζεσθαι δηλοῖ· τὰ γὰρ *Θεὸς* καὶ *ἄνθρωπος* ἐπὶ τοῦ Χριστοῦ λεγόμενα, οὐσιῶν ἐστι σημαντικά.

Καὶ ὅμως οἱ τῆς ἀληθείας ἐχθροὶ πάσας τῶν Πατέρων ὑπερβαίνοντες τὰς διδασκαλίας, καὶ μάλιστα τὰς ἐπὶ τῇ καταχρίσει Νεστορίου τοῦ βλασφήμου παρὰ τοῦ ἐν ἁγίοις Κυρίλλου προενηνεγμένας, καὶ συνοδικῶς βεβαιωθείσας, μόνων τῶν πρὸς Σούκενσον ὑπομνηστικῶν τοῦ ἐν ἁγίοις Κυρίλλου τινὰ πρὸς τὸ δοκοῦν αὐτοῖς παρερμηνεύουσι, τουτέστι τὸ μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην, καὶ τὸ κατὰ τὸν ἄνθρωπον ὑπόδειγμα, καὶ ὅπερ πᾶσιν εἴθισται τοῖς αἱρετικοῖς τὸ ῥήματά τινα τῶν ἁγίων Γραφῶν D πρὸς τὴν οἰκείαν ἑρμηνεύειν πλάνην, τοῦτο καὶ αὐτοὶ ποιοῦσι. Πλὴν ἡμεῖς ἐξ αὐτῶν τῶν παρὰ τοῦ Πατρὸς εἰρημένων, ματαίαν αὐτῶν καὶ τὴν περὶ ταῦτα πλάνην ἀποδείξομεν. Τὰ γὰρ ἔμπροσθεν τῶν τοιούτων φωνῶν παρατρέχοντες, καὶ τὰ ἐφεξῆς ἀποτεμνόμενοι, σπουδάζουσι τὴν οἰκείαν συνιστᾷν πλάνην· εἰρηκότος γὰρ τοῦ Πατρὸς, ὅτι « Μετὰ τὴν ἕνωσιν οὐ διαιροῦμεν τὰς φύσεις ἀπ' ἀλλήλων, οὐδὲ εἰς δύο τέμνομεν Υἱοὺς τὸν ἕνα καὶ ἀμέριστον, ἀλλ' ἕνα φαμὲν Υἱόν· » καὶ δείξαντες ὅτι μετὰ τὴν ἕνωσιν οὐ χρὴ διαιρεῖν τὰς φύσεις, ἀλλ' ἡνωμένας αὐτὰς ἐν Χριστῷ ὁμολογεῖν, αὐτοὶ ταῦτα παρασιω-

πῶντες, μίαν ἀναπλάττουσι σαρκὸς καὶ θεότητος A φύσιν. Ὁ μέντοι ἐν ἁγίοις Πατὴρ, οὐχ ὡς αὐτοὶ φαντάζονται μίαν σαρκὸς καὶ θεότητος λέγει φύσιν, ἀλλ' ὡς ἀσάρκου τοῦ Λόγου μίαν εἰπὼν τὴν φύσιν, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ προσέθηκεν τὸ, *σεσαρκωμένην*, ἵνα διὰ τοῦ, *σεσαρκωμένην*, τὴν ἑτέραν ἡμῖν, τουτέστι τὴν ἀνθρωπίνην παραστήσῃ φύσιν. Ἀμέλει μὴ ἀρκεσθεὶς τῇ τοιαύτῃ λέξει, ἀλλὰ σαφέστερον τὴν ἑαυτοῦ διάνοιαν παραστῆσαι βουλόμενος, ἐπήγαγεν εὐθὺς ἃ πάλιν αὐτοὶ παραλιμπάνουσιν· « Οὐκοῦν ὅσον μὲν ἧκεν εἰς ἔννοιαν καὶ εἰς μόνον τὸ ὁρᾷν τοῖς τῆς ψυχῆς ὄμμασι, τίνα τρόπον ἐνηνθρώπησεν ὁ Μονογενὴς, δύο τὰς φύσεις εἶναί φαμεν, ἕνα δὲ Χριστὸν καὶ Υἱὸν καὶ Κύριον τοῦ Θεοῦ Λόγον ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον. » Τί τούτων ἐστὶ σαφέστερον; ἢ τίς λοιπὸν τοῖς εὖ φρονοῦσιν B ἀμφισβήτησις ὑπολείπεται περὶ τὴν ὁμολογίαν τῶν ἐν Χριστῷ δύο φύσεων, τοιαῦτα τοῦ Πατρὸς ἡμῖν παραδεδωκότος; Ἀλλ' ἐκεῖνοι διὰ πάντων τὰ ὀρθὰ διαστρέφειν σπουδάζοντες, καὶ τοῦτο ταῖς οἰκείαις προστιθέασι ματαιολογίαις, λέγοντες μὴ δεῖν ὁμολογεῖσθαι στόματι τὰ κατὰ τὴν ἔννοιαν καὶ τοῖς τῆς ψυχῆς ὄμμασι θεωρούμενα. Τῆς δὲ τοιαύτης αὐτῶν κακουργίας οὐδέν ἐστιν ἀλογώτερον· κατὰ γὰρ τὴν αὐτῶν μανίαν, οὐδὲ Θεὸν στόματι ὁμολογήσουσιν, ἐπειδὴ κατὰ μόνην ἔννοιαν, καὶ τοῖς τῆς ψυχῆς ὄμμασιν αὐτὸν ἐπιστάμεθα· ὅπου γε καὶ αὐτὸς ὁ Πατὴρ, ἅπερ τοῖς τῆς ψυχῆς ὄμμασιν ἐθεώρησεν, ταῦτα καὶ εἶπεν καὶ ἐγγράφως ἐξέθετο· οὐδὲ γὰρ ἄλλως ἐπιστάμεθα τὰ ἐκείνῳ θεωρηθέντα, εἰ C μὴ διὰ τῶν αὐτοῦ λόγων τε καὶ γραμμάτων. Εἰ δὲ κατὰ τὴν αἱρετικῶν ἄνοιαν τὰ μόνῳ τῷ νῷ θεωρούμενα ὁμολογεῖν οὐ προσήκει, πῶς ὁμολογήσουσι τὸ ἐξαίρετον τῆς θεότητος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς μὲν σαρκώσεως αὐτοῦ φαινομένης, τῆς δὲ θεότητος αὐτοῦ μόνῳ τῷ νῷ θεωρουμένης; Εἰ μέντοι κατὰ τὸν θεῖον Ἀπόστολον, ***Καρδίᾳ μὲν πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν***, πρόδηλον ὅτι τὰ νῷ θεωρούμενα, καὶ στόματι ὁμολογεῖται· καθ' ἃ γὰρ ὁ Θεολόγος λέγει Γρηγόριος, « Κίνημα ναρκώντων ἐστὶ νοῦς ἀνεκλάλητος· αἰσχρὸν γὰρ, αἰσχρὸν, καὶ ἱκανῶς ἄλογον κατὰ ψυχὴν ἐῤῥωμένους σμικρολογεῖσθαι περὶ τὴν ἠχὴν καὶ κρύπτειν τὸν θησαυρὸν, ὥσπερ ἄλλοις βασκαίνοντας, εἰ μὴ καὶ τὴν γλῶσσαν ἁγιάσητε δεδοικότες. »

divinitatis naturam dicit, sed postquam incorporei Verbi unam naturam dixit, non hic stetit, addidit *incarnatam*, ut per *incarnatam*, alteram nobis, scilicet humanam, naturam proponeret. Non autem hac elocutione contentus, sed manifestius suam volens aperire sententiam, continuo addidit rursus quæ illi prætermittunt: « Tantum igitur quantum datum est nobis intelligere solisque videre oculis animæ nostræ, quomodo homo factus fuerit Unigenitus, duas naturas esse dicimus, unum vero Christum, Filium et Dominum, Verbum Dei qui homo factus est et incarnatus. » Quid his verbis clarius esse potest? Vel quod sanis mente dubium relinquitur adhuc de confessione duarum in Christo naturarum, hæc Patre nobis tradente? Sed illi omni modo veritatem distorquere studentes, inter somnia sua hoc proponunt dicentes non esse confitenda ore quæ secundum intellectum oculisque animæ percepta sunt. Nihil autem magis adversatur rationi quam eorum istiusmodi machinatio; secundum enim stultitiam eorum, ne Deum quidem ore confitebuntur, siquidem secundum solum intellectum animæque oculis illum cognoscimus; sic et ipse Pater, quæ mentis oculis perceperat, hæc dixit scriptisque exposuit; neque aliter quæ ab illo percepta sunt cognoscimus nisi sermonibus scriptisque illius. Si autem juxta hæreticorum stultitiam res sola mente perceptas confiteri non refert, quomodo ineffabilem confitebuntur divinitatem Domini nostri Jesu Christi, incarnatione quidem exterius manifesta, divinitate autem sola mente percepta? Si vero, juxta divum Apostolum, *corde quidem creditur ad justitiam, ore vero confessio fit ad salutem* [e], perspicuum est res mente perceptas, ore quoque confitendas esse. De his etenim Gregorius Theologus dicit: « Mens muta consopientium ratio; turpe est enim, turpe est, maximeque irrationabile fortes animo voces tenues proferre, abscondereque thesaurum quasi alios calumniantes, nisi præ timore linguam sanctificaveritis. »

Τούτων τοίνυν οὕτως ἐχόντων, χρὴ πάντας ἀν- D θρώπους τὸ μέγα τῆς εὐσεβείας προσδεχομένους μυστήριον τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ στόματι ὁμολογεῖν τὰς δύο φύσεις τοῦ Χριστοῦ, τήν τε θείαν καὶ τὴν ἀνθρωπίνην. Καὶ ἐν τῷ δευτέρῳ γὰρ πρὸς τὸν αὐτὸν Σούκενσον ὑπομνηματικῷ ὁ ἐν ἁγίοις Κύριλλος, ἅμα μὲν τὴν ἐκείνου περὶ τὴν ἐνανθρώπησιν ὀρθόδοξον ἀποδεχόμενος πίστιν, ἅμα δὲ τὴν οἰκείαν γνώμην τρανώτερον ἀποδεικνὺς, ταῦτα παραδίδωσι λέγων· « Ὀρθότατα καὶ πάνυ συνετῶς ἡ σὴ τελειότης τὸν περὶ τοῦ σωτηρίου πάθους ἐκτίθεται λόγον, οὐκ αὐτὸν μονογενῆ τοῦ Θεοῦ Υἱὸν καθ' ὃ νοεῖται καὶ ἔστι Θεὸς παθεῖν εἰς ἰδίαν φύσιν τὰ σώματος ἰσχυριζομένη, παθεῖν δὲ μᾶλλον τῇ

His ergo se habentibus, oportet ut omnes homines, qui receperunt magnum pietatis mysterium Dei magni et Salvatoris nostri Jesu Christi, ore etiam confiteantur duas naturas Christi, divinam atque humanam. In secundo ad eumdem Sucensum commentario sanctus Cyrillus, fidem illius orthodoxam de incarnatione laudans, propriamque simul sententiam manifestius demonstrans, hæc tradit dicens: « Verissime atque prudentissime perfectio tua sermonem de passione Salvatoris exponit, affirmans ipsum Unigenitum Dei Filium, secundum quod putatur atque Deus est, non in sua natura passum esse quæ sunt corporis, sed potius in terrestri natura passum esse; necessarie enim

[e] Rom. x, 10.

oportet ut salvetur utrumque uni atque secundum veritatem Filio, non dici pati ut Deum sed passum ut hominem; caro enim passa est. » Manifestum est ergo ex dictis, duas naturas, id est divinam ac humanam in una hypostasi, quod est in una persona Unigeniti Filii Dei Domini nostri Jesu Christi salvari; dicit enim *oportere ut utrumque salvetur uni atque juxta veritatem Filio.* Additur autem *oportere* ad manifestandam nobis fidem extra omnem controversiam de hoc dogmate; *utrumque* vero non unius naturæ sed duarum indicium est; cum enim ipse Pater doceat non divina natura passum esse, sed natura terrestri passum fuisse, nemo sic insaniret ut unius naturæ ipsum esse suspicaretur; unius enim atque ejusdem hypostasis Domini nostri Jesu Christi passionem et impassibilitatem confiteri edocti sumus, sed non secundum eamdem naturam; impossibile est enim in una eademque natura sibi juxta idem invicem adversantia deprehendere.

Sed veritatis hostes, doctrinæque Patrum adversarii, hoc non discernentes, in aliam stultitiam incidunt, dicentes eos qui confitentur Christum esse Deum et hominem, nec illum esse unius naturæ, ut hominem, non solum duas naturas esse in Christo sed tres dicere debere; etenim una est Verbi, altera animæ alteraque natura corporis. Hi novi malorum inventores qui hæc asserunt, dicant nobiscum consentiendo, ex duabus naturis constare Christum, quomodo istud intelligant? Quomodo igitur extra corpus animam raptam, seu corpus absque anima intelligunt? Unam enim ex his stultitiis certe afferent. Si vero hanc stultitiam declinantes, animam ac corpus sibi rapuisse Dominum dicunt, ipsi propriis retibus impediti, ex tribus naturis constare Christum dicere coacti videbuntur. Ignorant autem nomen *homo*, absque proprietatibus sumptum, in communi significatione sumi, substantiæ sive naturæ esse significativum, ac de multis hypostasibus dici; cum vero communi significationi proprietates additæ sunt, tunc effici hypostasim, distinctionem quoque animæ et corporis agnosci; traditio enim apostolica utrumque nos dicere docet. Divus Paulus de illis singulatim loquens, animam corpusque significare volens, de homine interiore ac de exteriore loquitur. Jacobus vero communem substantiam humanitatis demonstrans dicit: *Omnis natura bestiarum et volucrum et serpentium et cæterorum domantur et domita sunt a natura humana* [f]. Nomen autem *Christus* substantiæ non est significativum, siquidem nec in communi significatione sumitur, nec de multis hypostasibus dicitur, nec ipsum absque proprietatibus confitentur; illud enim nos docet quoque sanctus Cyrillus in scholiis ipsius de incarnatione dicens: « Nomen *Christus* nec habere determinativam virtutem, nec quidem alicujus substantiam

A χοϊκῇ φύσει· δεῖ γὰρ ἀναγκαίως ἀμφότερα σώζεσθαι τῷ ἑνὶ καὶ κατ' ἀλήθειαν Υἱῷ, καὶ τὸ μὴ πάσχειν θεϊκῶς, καὶ τὸ λέγεσθαι παθεῖν ἀνθρωπίνως· ἡ αὐτοῦ γὰρ πέπονθε σάρξ. » Δῆλον τοίνυν ἐκ τῶν εἰρημένων, ὅτι αἱ δύο φύσεις τουτέστιν ἡ θεία τε καὶ ἀνθρωπίνη, ἐν τῇ μιᾷ ὑποστάσει, ὅπερ ἐστὶν ἐν τῷ ἑνὶ προσώπῳ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ σώζονται· λέγει γὰρ, *δεῖν ἀμφότερα σώζεσθαι τῷ ἑνὶ καὶ κατὰ ἀλήθειαν Υἱῷ*. Προσκείμενον δὲ τὸ δεῖν τὴν ἀναντίῤῥητον αὐτοῦ περὶ τοῦ δόγματος ἡμῖν σαφηνίζειν γνῶσιν· καὶ τὸ *ἀμφότερα* δὲ οὐ μιᾶς ἐστι φύσεως σημαντικὸν, ἀλλὰ δύο· καθάπερ γὰρ ὁ αὐτὸς Πατὴρ διδάσκει τὸ μὴ παθεῖν αὐτὸν τῇ θείᾳ φύσει, ἀλλὰ παθεῖν τῇ χοϊκῇ φύσει, οὐκ ἄν τις οὕτω μανείη, ὡς μιᾶς εἶναι φύσεως
B ὑπολαβεῖν. Μιᾶς μὲν γὰρ καὶ τῆς αὐτῆς ὑποστάσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὸ πάθος καὶ τὴν ἀπάθειαν ὁμολογεῖν ἐδιδάχθημεν, οὐ μὴν κατὰ τὴν αὐτὴν φύσιν· ἐπὶ μιᾶς γὰρ καὶ τῆς αὐτῆς φύσεως τὰ ἀλλήλοις ἐναντία κατὰ ταυτὸν σημαίνειν ἀδύνατον.

Ἀλλ' οἱ τῆς ἀληθείας ἐχθροὶ καὶ τοῖς τῶν Πατέρων ἐναντιούμενοι δόγμασι, ταῦτα μὴ διακρίνοντες, εἰς ἑτέραν πάλιν μεταπίπτουσιν ἄνοιαν, λέγοντες ὅτι οἱ Θεὸν καὶ ἄνθρωπον ὁμολογοῦντες τὸν Χριστὸν, καὶ μὴ λέγοντες αὐτὸν μιᾶς εἶναι φύσεως, ὥσπερ τὸν ἄνθρωπον, οὐ δύο μόνον ἐπὶ Χριστοῦ λέγειν ὤφειλον φύσεις, ἀλλὰ τρεῖς· ἑτέρα γὰρ ἡ τοῦ Λόγου, καὶ ἑτέρα ἡ τῆς ψυχῆς, καὶ ἄλλη τοῦ σώματος ἡ
C φύσις. Ταῦτα δὲ λέγοντες οἱ καινοὶ τῶν κακῶν ἐφευρεταὶ, εἰπάτωσαν αὐτοὶ συνομολογοῦντες ἡμῖν, ἐκ δύο φύσεων εἶναι τὸν Χριστὸν, πῶς τοῦτο νοοῦσιν; Ἆρα ὡς ψυχὴν ἐκτὸς σώματος ἀνειληφότα, ἢ σῶμα χωρὶς ψυχῆς; Ἓν γὰρ τῶν ἀτόπων πάντως παρέξουσιν. Εἰ δὲ ταύτην τὴν ἀτοπίαν ἐκκλίνοντες, καὶ ψυχὴν καὶ σῶμα λέγουσιν ἀνειληφέναι τὸν Κύριον, αὐτοὶ ταῖς οἰκείαις παγίσιν ἐμπλεκόμενοι, φανήσονται ἐκ τριῶν φύσεων λέγειν τὸν Χριστὸν ἀναγκαζόμενοι. Ἀγνοοῦσι δὲ ὅτι τὸ *ἄνθρωπος* ὄνομα ἄνευ μὲν τῶν ἰδιωμάτων λεγόμενον, ἐπὶ κοινοῦ σημαινομένου λαμβάνεται, καὶ οὐσίας ἤτοι φύσεώς ἐστι σημαντικὸν, καὶ κατὰ πολλῶν ὑποστάσεων λέγεται· ἐπειδὰν δὲ τῷ κοινῷ τὰ ἰδιώματα προστεθῇ, τηνικαῦτα ἡ ὑπόστασις ἀναφαίνεται· ὅτι καὶ διαφορὰ ψυχῆς καὶ σώ-
D ματος γνωρίζεται· ἀμφότερα γὰρ ἡμᾶς λέγειν καὶ ἡ ἀποστολικὴ διδάσκει παράδοσις. Ὁ μὲν γὰρ θεῖος Παῦλος περὶ τῶν καθ' ἕκαστον λέγων, καὶ ψυχὴν καὶ σῶμα θέλων σημᾶναι, τὸν ἐντὸς ἄνθρωπον καὶ τὸν ἐκτὸς ἄνθρωπον ὀνομάζει. Ὁ δὲ Ἰάκωβος τὴν κοινὴν οὐσίαν τῆς ἀνθρωπότητος δηλῶν λέγει· *Πᾶσα φύσις θηρίων τε καὶ πετεινῶν ἑρπετῶν τε καὶ ἐναλίων δαμάζεται καὶ δεδάμασται τῇ φύσει τῇ ἀνθρωπίνῃ*. Τὸ μέντοι *Χριστὸς* ὄνομα οὐκ οὐσίας ἐστὶ σημαντικὸν, ἐπειδὴ οὔτε ἐπὶ κοινοῦ σημαινομένου λαμβάνεται, οὔτε κατὰ πολλῶν ὑποστάσεων λέγεται, οὔτε μὴν ἄνευ τῶν ἰδιωμάτων ὁμολογεῖται. Τοῦτο γὰρ ἡμᾶς καὶ ὁ ἐν ἁγίοις διδάσκει Κύριλλος ἐν τοῖς σχολίοις αὐτοῦ τοῖς περὶ τῆς ἐνανθρωπήσεως λέγων,

[f] Jac. III, 7.

ὅτι Τὸ *Χριστὸς* ὄνομα οὔτε ὅρου δύναμιν ἔχει, A οὔτε μὴν τήν τινος οὐσίαν ὅ τι ποτέ ἐστιν σημαίνει· καθάπερ ἀμέλει ἄνθρωπος ἢ ἵππος ἢ βοῦς. » Εἰ δὲ κατὰ τὴν τῶν αἱρετικῶν βλασφημίαν οὐσίας ὑπῆρχεν δηλωτικὸν τὸ *Χριστὸς* ὄνομα ὥσπερ τὸ *ἄνθρωπος*, πολλοὶ Χριστοὶ κατ' αὐτοὺς εὑρεθήσονται, καθ' ὧν τὸ κοινὸν τῆς οὐσίας τοῦ Χριστοῦ λέγουσιν· εἰ δὲ τοῦτο ἀσεβὲς καὶ ἀλλότριον παντελῶς Χριστιανισμοῦ (εἷς γὰρ Κύριος Ἰησοῦς Χριστὸς), δηλονότι οὐκ ἐπὶ προσώπου ἤτουν ὑποστάσεως τὸ *Χριστὸς* ὁμολογεῖται.

Σκοπήσωμεν δὲ καὶ ἄλλως ἣν ἔχει διαφορὰν τὸ τῆς οἰκονομίας μυστήριον πρὸς τὸ κατὰ τὸν ἄνθρωπον ὑπόδειγμα. Ὁ μὲν γὰρ ἄνθρωπος τῆς ψυχῆς καὶ σώματος σύγκειται, ἀμφοτέρων κτιστῶν· ὁ δὲ Κύριος B ἡμῶν Ἰησοῦς Χριστὸς Θεὸς καὶ ἄνθρωπος ὁ αὐτὸς ὑπάρχων, κατὰ μὲν τὴν θεότητα καὶ προαιώνιος καὶ ἄκτιστός ἐστιν, κατὰ δὲ τὴν ἀνθρωπότητα καὶ κτιστὸς καὶ ἐν χρόνῳ· ὅθεν ἄκτιστος ὁ αὐτὸς καὶ κτιστὸς, ἄχρονος καὶ ἐν χρόνῳ. Καὶ διὰ τοῦτο ἡμεῖς πάντα ἑνὸς καὶ τοῦ αὐτοῦ ὁμολογοῦντες, τὰ μὲν τῇ θείᾳ, τὰ δὲ τῇ ἀνθρωπίνῃ αὐτοῦ λογιζόμεθα φύσει. Ἀκούσωμεν γὰρ καὶ τοῦ ἐν ἁγίοις Πρόκλου ἐν τῷ εἰς τὴν Θεοτόκον λόγῳ τὰ παραπλήσια τούτοις ἡμᾶς ἐκδιδάσκοντος· λέγει γὰρ οὕτως· « Τόκος παράδοξος, ἀρχὴ καὶ οὐκ ἀρχὴ τοῦ τεχθέντος· τῆς μὲν γὰρ ἀνθρωπότητος γέγονεν ἀρχὴ, ἡ δὲ θεότης ἔμεινεν ἄναρχος. » Μὴ ἀπατάσθωσαν τοίνυν οἱ ἄνθρωποι, μηδὲ ἀπατάτωσαν, ἐκ τοῦ κατὰ τὸν ἄνθρωπον ὑποδείγματος, μιᾶς οὐσίας εἶναι τὸν Χριστὸν τερατευόμενοι· τὰ γὰρ ὑποδείγματα οὐ διὰ πάντων C ὅμοιά ἐστιν ἐκείνοις, ὧν εἰς ὑπόδειγμα λαμβάνεται· εἰ γὰρ διὰ πάντως ὅμοια εὑρεθῇ, τὰ αὐτὰ πάντως ἔσται καὶ οὐ παραδείγματα. Καὶ ὁ ἐν ἁγίοις γὰρ Κύριλλος κατ' οὐδὲν ἕτερον τῷ τοῦ ἀνθρώπου κέχρηται παραδείγματι, πλὴν διὰ μόνον τὸ ἐκβαλεῖν τὴν Παύλου καὶ Νεστορίου βλασφημίαν, τῶν διαιρούντων τὰς φύσεις ἀπ' ἀλλήλων, καὶ εἰς δύο πρόσωπα ἤγουν ὑποστάσεις ταύτας λαμβανόντων, καὶ ἐντεῦθεν δύο Υἱοὺς καὶ δύο Χριστοὺς λεγόντων, ἕνα μὲν τὸν ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς Υἱὸν, ἕτερον δὲ τὸν ἐκ τῆς ἁγίας Παρθένου καὶ Θεοτόκου Μαρίας ἀναπλαττόντων. Ὡς διὰ τοῦτο μηδὲ Θεοτόκον αὐτὴν παρ' αὐτῶν ὁμολογεῖσθαι, ἀλλὰ τὸν ἐξ αὐτῆς γεννηθέντα, ψιλὸν ἄνθρωπον λέγεσθαι, χάριτι δὲ καὶ οἰκειώσει καὶ σχέσει τῇ πρὸς τὸν κατὰ φύσιν Υἱὸν, τῆς υἱότητος ἐκ προκοπῆς ἠξιῶ- D σθαι.

Πρὸς ἀπόδειξιν δὲ τοῦ ὅτι ταῦτα οὕτως ἐβλασφήμησαν Παῦλός τε καὶ Νεστόριος, ἐκ τῶν γεγραμμένων αὐτοῖς ἀσεβειῶν ὀλίγας παρεθέμεθα, τὴν τούτων μανίαν πᾶσι Χριστιανοῖς στηλιτεύοντες. Λέγει γοῦν ὁ ἀσεβὴς Παῦλος ἐν τοῖς περὶ αὐτοῦ πεπραγμένοις· « Συνῆλθεν ὁ Λόγος τῷ ἐκ Δαβὶδ γεγεννημένῳ, ὅς ἐστιν Ἰησοῦς Χριστὸς ὁ γεννηθεὶς ἐκ Πνεύματος ἁγίου. Καὶ τοῦτον μὲν ἤνεγκεν ἡ Παρθένος διὰ Πνεύματος ἁγίου, ἐκεῖνον δὲ τὸν Λόγον ἐγέννησεν ὁ Θεὸς ἄνευ Παρθένου καὶ ἄνευ τινὸς οὐδενὸς, πλὴν τοῦ Θεοῦ· καὶ οὕτως ὑπέστη ὁ Λόγος. » Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Παῦλος λέγει· « Ὁ Λόγος μείζων ἦν τοῦ Χριστοῦ· Χριστὸς διὰ σοφίαν μείζων ἐγένετο· τὸ

aliquando esse significare, sicut profecto (nomina) homo, seu equus, seu bos. » Si autem juxta hæreticorum blasphemiam nomen *Christus* ut *homo* substantiæ significativum fuit, multi Christi juxta illos invenientur, quibus communem substantiam Christi dicunt; si vero hoc impium fuerit omninoque alienum a Christianismo, unus enim est Jesus Christus, evidenter non in persona aut in hypostasi Christum confitentur.

Expendemus autem aliter quam differentiam habeat œconomiæ mysterium ad exemplar ex homine sumptum. Homo quidem ex anima et corpore est compositus, utroque creato; Dominus vero noster Jesus Christus Deus idemque homo, juxta quidem divinitatem, æternus increatusque est, juxta vero humanitatem creatura est atque in tempore genitus. Unde idem est increatus et creatus, ante tempora ac in tempore; propterea que omnia de uno eodemque nos confitentes, alia divinæ, alia vero humanæ ejus naturæ tribuimus. Audiamus enim etiam sanctum Proclum in sermone de Matre Dei, similia his docentem; sic autem loquitur: « Mirabilis partus, principium ac non principium ejus qui fuit editus; humanitatis enim factus est principium, divinitas autem remansit sine principio. » Ne igitur decipiantur isti homines neque decipiant, ex exemplo secundum hominem sumpto, unius esse substantiæ Christum mentientes; exemplaria enim non sunt in omnibus similia illis quorum sumuntur in exemplar; si enim omnino similia invenirentur, eadem omnino essent, non exemplaria. Sanctus Cyrillus autem exemplo hominis ad nihil aliud utitur nisi ad profligandam Pauli ac Nestorii blasphemiam, dividentium naturas ab invicem illasque in duas personas vel hypostases comprehendentium, indeque duos Filios duosque Christos dicentium, unum quidem ex Deo et Patre Filium, alterum vero ex Matre de Maria fingentium. Propter hoc Matrem Dei illam non confitentur, sed qui de illa natus est, merum hominem dicunt; charitate vero, familiaritate, relationibusque suis erga Filium secundum naturam, in posterum maternitatem divinam meruit.

Ad probandum Paulum ac Nestorium sic blasphemasse, quædam ex eorum scriptis impiis attulimus, omnibus Christianis insaniam eorum denuntiantia. Hæc quidem dicit impius Paulus in his quæ de hoc scripsit: « Verbum se conjunxit ad illum qui ex David fuerat genitus, qui est Jesus Christus conceptus de Spiritu sancto. Hunc quidem virtute Spiritus sancti Virgo portavit, illud vero Verbum sine Virgine sineque ullius auxilio, excepto Deo, genuit Deus, sicque substitit Verbum. » Idem autem impius Paulus dicit: Verbum majus erat Christo; Christus sapientiæ gratia major factus est: majestatem sapientiæ ne subtrahamus. »

Idem adhuc hæreticus Paulus iterum dicit : « Etenim erat etiam in prophetis, maxime in Moyse atque in multis Dominus, maxime autem in Christo quasi in templo; alter enim est Jesus Christus, alterque Verbum. » Dein rursus dicit impius Nestorius : « Cæterum nullibi Deum de Virgine Christi Matre natum esse sacra Scriptura dicit. » Iterum idem anthropolatra Nestorius : *Consurgens accepit puerum et matrem ejus* [g]; non dicit : « Consurgens accepit Deum et Matrem ejus. » Iterum adhuc idem impius Nestorius : « Aliud est esse cum nato ac aliud natum esse : *Quod in ea*, inquit (Scriptura), *natum est, de Spiritu sancto est* [h] : id est, Spiritus sanctus hunc in ea creavit. Intellexerunt ergo Patres sacrarum Scripturarum periti; si loco *incarnatum genitum* posuerimus, Filium Spiritus inveniri Deum Verbum, duosque patres habentem; si vero unus Filius fuerit, Spiritus creaturam inveniendum esse Deum Verbum. » Rursus autem impius Nestorius dicit : « At quemadmodum dicebamus Deum omnium factorem, dicimus et Moysen Deum. *Ecce*, inquit, *constitui te Deum Pharaonis* [i]; Filiumque Dei Israel : *Filius meus*, inquit, *primogenitus Israel* [j]; quemadmodum quoque dicebamus Christum esse Saul : *Non mittam*, inquit, *manum meam in eum quia christus Domini est* [k]; Cyrum quoque pariter : *Hæc dicit*, inquit, *Dominus christo meo Cyro* [l]; Babylonem quoque sanctam : *Ego*, inquit, *mandabo eis : sanctificati sunt, et ego adduco eos* [m]; ita quoque dicimus Dominum Christum, Deum, Filium, sanctum atque Christum. »

Rursum adhuc dicit idem impius Nestorius : « Propter portantem portatum colo; propter latentem visum adoro : cum a viso non possit separari Deus, ideo honorem non separati non separo; naturas separo sed adorationem conjungo. » Alibique idem adhuc impius dicit : « Christus vocatur quoque Deus Verbum, eo quod continuam ad Christum conjunctionem habet. » Tum rursus : « Beata Virgo non Filium Dei genuit, sed genuit humanitatem, quæ est Filius, propter Filium unitum. » Hæc sunt ergo quæ asserunt Paulus ac Nestorius impii qui impietatem gentilium Judæorumque superarunt. Causa autem perditionis eorum fuit non quod confitebantur duas generationes unius ejusdemque Domini nostri Jesu Christi veri Dei nostri, id est, unam æternam ex Patre secundum divinitatem, alteramque ejusdem in novissimo dierum ex sancta et gloriosa Virgine Matreque Dei Maria secundum humanitatem, sed quod dicebant duos esse Filios, unum quidem Deum Verbum ex Patre genitum, alterum vero merum hominem ex sancta Virgine. Ideoque sanctam Virginem Dei Matrem non confitentur, ideoque nec prophetarum nec evangelistarum nec apostolorum doctrinæ obsequuntur. Ad

A ἀξίωμα τῆς σοφίας μὴ καθέλωμεν. » Καὶ πάλιν ὁ αὐτὸς αἱρετικὸς Παῦλος λέγει· « Καὶ γὰρ ἐν προφήταις ἦν, μᾶλλον δὲ καὶ ἐν Μωσῇ καὶ ἐν πολλοῖς Κύριος, μᾶλλον δὲ καὶ ἐν Χριστῷ ὡς ἐν ναῷ· ἄλλος γάρ ἐστιν Ἰησοῦς Χριστὸς, καὶ ἄλλος ὁ Λόγος. » Εἶτα πάλιν Νεστόριος ὁ ἀσεβὴς λέγει· « Οὐδαμοῦ τοίνυν ἡ θεία Γραφὴ Θεὸν ἐκ τῆς Χριστοτόκου Παρθένου λέγει γεγεννῆσθαι. Καὶ πάλιν ὁ αὐτὸς ἀνθρωπολάτρης Νεστόριος λέγει· « *Ἐγερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ* · οὐκ εἶπεν, Ἐγερθεὶς παρέλαβε τὸν Θεὸν καὶ τὴν Μητέρα αὐτοῦ. Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Νεστόριος λέγει· « Ἄλλο ἐστὶ τὸ συνεῖναι τῷ γεγεννημένῳ, καὶ ἄλλο τὸ γεννᾶσθαι· τὸ γὰρ *ἐν αὐτῇ*, φησὶ, *γεννηθὲν, ἐκ Πνεύματός ἐστιν ἁγίου* · τουτέστι τὸ Πνεῦμα τὸ ἅγιον ἔκτισε τὸν ἐν
B αὐτῇ. Εἶδον οὖν οἱ Πατέρες ὡς ἐπιστήμονες τῶν θείων Γραφῶν, ὅτι ἐὰν ἀντὶ τοῦ *σαρκωθέντα* θῶμεν τὸ *γεννηθέντα* εὑρίσκεται Υἱὸς τοῦ Πνεύματος ὁ Θεὸς Λόγος, καὶ δύο πατέρας ἔχων· εἰ δὲ διὰ τοῦ ἑνὸς Υἱοῦ, εὑρεθήσεται ὁ Θεὸς Λόγος κτίσμα τοῦ Πνεύματος ὤν. » Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Νεστόριος λέγει· « Ἀλλ' ὥσπερ ἐλέγομεν Θεὸν τὸν πάντων δημιουργὸν, καὶ Θεὸν τὸν Μωϋσέα (*Θεὸν* γὰρ, φησὶ, *τέθεικά σε τοῦ Φαραὼ*), καὶ Υἱὸν τοῦ Θεοῦ τὸν Ἰσραὴλ (*Υἱὸς* γὰρ, φησὶ, *πρωτότοκός μου Ἰσραήλ*), καὶ ὥσπερ ἐλέγομεν χριστὸν τὸν Σαοὺλ (*Οὐ μὴ* γὰρ, φησὶν, *ἐπιβαλῶ τὴν χεῖρά μου ἐπ' αὐτὸν, ὅτι χριστὸς Κυρίου ἐστὶν*), καὶ τὸν Κῦρον ὡσαύτως (*Τάδε λέγει*, φησὶ, *Κύριος τῷ χριστῷ μου Κύρῳ*),
C καὶ τὸν Βαβυλώνιον ἅγιον (*Ἐγὼ* γὰρ, φησὶ, *συντάξω αὐτοῖς· ἡγιασμένοι εἰσὶ, καὶ ἐγὼ ἄγω αὐτούς*)· οὕτω λέγομεν καὶ τὸν Δεσπότην Χριστὸν καὶ Θεὸν καὶ Υἱὸν καὶ ἅγιον καὶ Χριστόν. »

Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Νεστόριος λέγει· « Διὰ τὸν φοροῦντα τὸν φορούμενον σέβω· διὰ τὸν κεκρυμμένον προσκυνῶ τὸν φαινόμενον· ἀχώριστος τοῦ φαινομένου Θεός· διὰ τοῦτο τοῦ μὴ χωριζομένου τὴν τιμὴν οὐ χωρίζω· χωρίζω τὰς φύσεις, ἀλλ' ἑνῶ τὴν προσκύνησιν. » Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Νεστόριος λέγει· « Καὶ Χριστὸς ὁ Θεὸς Λόγος ὀνομάζεται, ἐπειδήπερ ἔχει τὴν συνάφειαν τὴν πρὸς τὸν Χριστὸν διηνεκῆ. » Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Νεστόριος λέγει. « Ἡ μακαρία Παρθένος οὐκ ἐγέννησεν τὸν Υἱὸν τοῦ Θεοῦ, ἀλλ' ἐγέννησε τὴν ἀνθρωπότητα,
D ἥτις ἐστὶν Υἱὸς, διὰ τὸν συνημμένον Υἱόν. » Καὶ ταῦτα μὲν Παῦλος καὶ Νεστόριος οἱ ἀσεβεῖς τὴν Ἑλλήνων καὶ Ἰουδαίων ἀσέβειαν ὑπερβαλλόμενοι. Αἴτιον δὲ γέγονεν τῆς αὐτῶν ἀπωλείας τὸ μὴ ὁμολογεῖν τὰς δύο γεννήσεις ἑνὸς καὶ τοῦ αὐτοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ ἡμῶν Θεοῦ, τουτέστι τήν τε πρὸ αἰώνων ἐκ τοῦ Πατρὸς κατὰ τὴν θεότητα, καὶ τὴν ἐπ' ἐσχάτου τῶν ἡμερῶν τοῦ αὐτοῦ ἐκ τῆς ἁγίας ἐνδόξου Παρθένου καὶ Θεοτόκου Μαρίας κατὰ τὴν ἀνθρωπότητα, ἀλλὰ δύο υἱοὺς λέγοντας, ἄλλον μὲν τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα Θεὸν Λόγον, ἄλλον δὲ τὸν ἐκ τῆς ἁγίας Παρθένου ψιλὸν ἄνθρωπον· καὶ διὰ τοῦτο αὐτοὺς τὴν ἁγίαν Παρθένον

[g] Matth. ii, 14. [h] Matth. i, 20. [i] Exod. vii, 1. [j] Exod. iv, 22. [k] I Reg. xxiv, 7. [l] Isa. xlv, 1. [m] Isa. xiii, 3.

Θεοτόκον μὴ ὁμολογεῖν· καὶ μήτε προφήταις μήτε Εὐαγγελίοις μήτε τοῖς ἀποστολικοῖς κηρύγμασιν ἀκολουθεῖν. Πρὸς ἔλεγχον δὲ τῆς αὐτῶν ἀσεβείας, ὀλίγας ἐκ πολλῶν Γραφικὰς παρεθέμεθα μαρτυρίας. Ἱερεμίας γὰρ, κ. τ. λ. (1) [*Cod. p.* 222.] Δεῖ δὲ τὸν ἀναγινώσκοντα προσέχειν τοῖς τοῦ Κυρίλλου λόγοις· εἰπὼν γὰρ οὐκ ἀνάχυσίν τινα τὴν εἰς ἀλλήλους τῶν φύσεων πεπρᾶχθαι, μένειν δὲ μᾶλλον ἑκατέραν ἐν τῇ ἑνώσει, τοῦτο ὅπερ ἐστὶ σαφῶς διδάσκει τὰς δύο φύσεις τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος, ἐν τῷ ἑνὶ προσώπῳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ σώζεσθαί τε καὶ ὁμολογεῖσθαι. Ἐξ ὧν συνωθούμενοι οἱ αἱρετικοὶ, ἑτέραν πάλιν ἐπινοοῦσιν ἀσέβειαν· καὶ διὰ ταύτης τὴν προτέραν ἐπισκιάσαι βουλόμενοι. Ἔστι γὰρ ὅτε καὶ μίαν σύνθετον ἀναπλάττουσι φύσιν· ἀγνοοῦντες ὅτι καθάπερ διὰ τῶν Πατέρων ἀποδείκνυται διδασκαλίας, καὶ ἡμεῖς δὲ ἀνωτέρω εἰρήκαμεν, Τὸ τῆς *φύσεως* ὄνομα ἐπὶ κοινοῦ λέγεται πράγματος, καὶ ἀόριστόν τι σημαίνει καὶ κατὰ πολλῶν ὑποστάσεων κατηγορεῖται. Εἰ τοίνυν αἱ δύο φύσεις τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος, μία κατ' αὐτοὺς γέγονε σύνθετος φύσις, δῆλον ὅτι κοινόν τι καὶ ἀόριστον ἀπετελέσθη· καὶ ζητεῖν ἐπάναγκες, ποίας κοινότητος ἢ κατὰ ποίων ὑποστάσεων τὴν τοιαύτην φύσιν λέγουσι κατηγορεῖσθαι, ὅπερ ἐναντίον ἐστὶ τοῦ κατὰ Χριστὸν μυστηρίου· ὁ γὰρ Χριστὸς οὐχ ὡς κοινόν τι καὶ κατὰ πολλῶν ὑποστάσεων κατηγορεῖται, ἀλλ' ἐπὶ μιᾶς ὑποστάσεως, ἤτουν ἑνὸς προσώπου λέγεται ἐν διαφόροις οὐσίαις θεότητος καὶ ἀνθρωπότητος γνωριζόμενος. Καὶ ἡμεῖς μὲν δύο οὐσίας ἐπὶ Χριστοῦ λέγοντες, κατὰ μὲν τὴν θεότητα ἴσμεν αὐτὸν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι ὁμοούσιον, κατὰ δὲ τὴν ἀνθρωπότητα πᾶσιν ἀνθρώποις τὸν αὐτὸν γινώσκομεν ὁμοούσιον. Οἱ δὲ λέγοντες τὰς δύο οὐσίας μίαν ἀποτελέσαι σύνθετον φύσιν, ὅπερ ἐστὶν ἕν κοινῶν τινων εἶναι, τὴν κοινότητα ταύτην διδάσκουσιν· ἀνάγκη γὰρ κατὰ τοὺς ἐκείνων λόγους ἀποτελεσθῆναί τι μέσον ἑτεροφυὲς, ἢ ὅπερ ἦν ἑκάτερον ἀνὰ μέρος.

A confutationem autem illorum impietatis pauca ex plurimis testimonia Scripturarum selegimus. Oportet autem ut lector adhæreat Cyrilli sermonibus: postquam enim dixit nullam effusionem naturarum in se invicem factam fuisse, subsistere autem potius unamquamque in unitate, hoc quod verum est, clare docet, scilicet duas naturas divinitatis atque humanitatis in una persona Domini nostri Jesu Christi salvari ac credi. Ex his progredientes hæretici, alteram iterum excogitant, impietatem, priorem illa protegere volentes. Scilicet naturam compositam imaginantur, ignorantes, sicut documentis Patrum fuit demonstratum, itemque nos superius diximus, *naturæ* nomen de re communi dici, aliquod indefinitum significare multisque personis convenire. B Atqui si duæ naturæ divinitatis ac humanitatis factæ sunt una natura composita, aliquid communis atque indefiniti effici patet; quærere quoque necesse est de quo communi dici, quibusque personis convenire talem naturam dicant, quod mysterio Christi adversatur; Christus enim non quasi aliquod commune, et multis personis conveniens, sed in una hypostasi sive in una persona dicitur in diversis substantiis divinitatis et humanitatis cognitus. Nosmetipsi duas substantias in Christo esse dicentes, secundum divinitatem scimus ipsum esse Patri sanctoque Spiritui consubstantialem, secundum autem humanitatem omnibus hominibus consubstantialem cognoscimus. Qui vero dicunt duas substantias naC turam compositam efficere, quod est unum esse aliquorum communium, communitatem eamdem tradunt; necesse est enim juxta illorum verba quoddam medium effici alterius naturæ quam quod erat unumquodque per partes.

Κἀκεῖθεν δὲ αὐτῶν τὰ τῆς ἀτοπίας ἐλέγχεται· εἰ γὰρ διὰ πάντων ὡμολόγηται ἁπλῆν εἶναι καὶ ἀσύνθετον τὴν φύσιν τῆς ἁγίας Τριάδος, αὐτοὶ δὲ σύνθετον εἰσάγουσι τὴν τοῦ Υἱοῦ φύσιν, εὑρεθήσεται κατ' αὐτοὺς ἑτέρα φύσις ἡ τοῦ Υἱοῦ παρὰ τὴν τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος. Πλὴν καὶ ἡ περὶ τῆς συνθέτου φύσεως εὕρεσις οὐδενὸς ἑτέρου ἢ τοῦ διδασκάλου τῆς πλάνης αὐτῶν ἐστιν Ἀπολιναρίου, τοῦ ποτὲ μὲν μίαν σύνθετον φύσιν λέγοντος, ποτὲ δὲ μίαν θεότητος καὶ ἀνθρωπότητος ἀναπλάττοντος. Ὅπερ εὑρεῖν ἔξεστιν ἐκ τῶν τοῦ αὐτοῦ αἱρετικοῦ συγγραμμάτων· ἐν γὰρ τῷ λόγῳ ὃν ἐπιγράφει πρὸς τοὺς ἄνθρωπον ὑπὸ τοῦ Λόγου προσειλῆφθαι λέγοντας, λέγει τάδε· « Ἄνθρωπος εἷς ὁ Χριστὸς ὡς εἷς Θεὸς ὁ Πατὴρ ὅ ἐστι φύσεως, ὥστε καὶ τοῦτο φύσεως συνθέτου μεταξὺ οὔσης Θεοῦ καὶ ἀνθρώπων. » Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Ἀπολινάριος ἐν τῷ περὶ τῆς θείας σαρκώσεως λόγῳ, ἐν κεφαλαίῳ τρισκαιδεκάτῳ λέγει τάδε· « Ἡ σὰρξ ἑτεροκίνητος οὖσα πάντως ὑπὸ τοῦ κινοῦντος καὶ ἄγοντος, ὁποῖόν ποτε ἂν εἴη τοῦτο καὶ οὐκ ἐντελὲς οὖσα ζῶον ἀφ'

Inde stultitia eorum confutatur; si enim omnes confitentur simplicem esse atque incompositam naturam sanctæ Trinitatis, illi autem compositam Filii naturam inducunt, ab ipsis natura altera Filii invenietur præter naturam Patris sanctique Spiritus. Cæterum naturæ compositæ adinventio nullius alterius est quam magistri erroris eorum Apolinarii, moD do unam naturam compositam dicentis, modo unam divinitatis ac humanitatis imaginantis. Hoc exquirere licet ex ipsius hæretici libris; in sermone enim quem scribit ad illos qui hominem a Verbo assumptum fuisse dicebant, hæc dicit: « Homo unus est Christus, sicut unus Deus Pater qui est naturæ, ita ut hoc sit quoque naturæ compositæ, mediæ inter Deum et hominem. » Idem impius Apolinarius in Sermone de incarnatione divinitatis, capite tredecimo, hæc iterum dicit: « Caro quæ moveri nullomodo potest nisi a movente agenteque externo, quomodo unquam illud esse posset? Non est a semetipsa animal perfectum, sed cum hoc perfectum animal ipsam fieri statutum fuisset, se cum duce suo con-

(1) Exin ex hac prolixa Justiniani epistola nonnisi fere ineditos Patrum locos, et præcipuam doctrinam descripsi, reliquis prætermissis.

junxit ut unitas fieret, destinataque fuit ad regnum cœleste; postquam illi adhæsisset juxta passibilitatem suam postquamque in se recepisset divinitatem juxta suam operationem; sic enim ex moto ac motore in animal vivens facta est, nec duo, aut ex duobus perfectis seque moventibus. Itaque homo quoddam aliud est animal apud Deum, non Deus sed Dei servus, ac quæcunque sit e cœlo virtus, habet pariter; caro vero, facta Dei caro, animal est post illa in unam naturam composita. » Ex verbis ejusdem Apolinarii hæretici de Diodoro: « Ut instrumentum atque ad communicandum unam voluit efficere operationem. Si vero una est operatio, una est et substantia, una ergo substantia Verbi carnisque facta est. » Ex ejusdem de incarnatione sermone: « O nova creatio, divina commistio, Deus et caro, unam eamdemque effecerunt naturam! » Ejusdem ad Petrum: « Natura Deum naturaque hominem Dominum dicimus, una vero commistaque natura carnali ac divina.

Qui autem dicunt naturam compositam, unamque carnis ac deitatis naturam excogitant, a sancto Cyrillo confutari, ex ipsis hujus Patris verbis cito demonstrabimus; sic enim in Sermone de consubstantialistis loquitur: « Ut credamus, licet sanctum mundissimumque corpus ejus nostris corporibus simile natura esset, venerabile tamen esse ac divinum, multumque supra nos excelsæ magnitudinis, quæ ipsius facta est etiam proprietas; per ipsum enim operatus est. Ideo panis vitæ appellatum est, de cœlo quoque descendisse dicitur, dareque vitam mundo per Verbum quod desuper ac de cœlo descenderat, cujus quoque propria caro factum est. Divina est igitur, prout dicit, caro ejus; non ita tamen ut ipsam in naturam divinitatis transiisse conjiciat quisquis ingenium habeat firmum peritumque dogmaticæ scientiæ; huic enim quæ supra omnia est ac cœlesti naturæ, omnino salvanda est simplicitas neque cum altero commistio, nec putandum est eam compositam esse his quæ sibi aderant, aut aliquo additamento eguisse, reque ipsi dissimili, ita ut in identitatem naturæ sive consubstantialitatem descenderet. » Per hæc aperte prohibet Pater ne una dicatur Christi natura de divinitate deque humanitate composita, cum non acceperit naturam divinam humanæ conjunctam, ut cum illa unam naturam efficeret.

Stultitia igitur adversariorum confutata, evidens remanet duas naturas convenientes, non naturam compositam sed Christum compositum effecisse, siquidem natura Deus est, naturaque homo quamvis idem dicatur. Sed veritatis hostes versantes in aliis stultitiis, doctrinis Patrum obsequi nolentes, sed Apolinarii præcones facti, nullam non viam insaniæ tentant qua innocentium animas corrumpant; Apolinarii enim nomen, ut evidens argumentum impietatis, dolose removentes, sanctorum Patrum nomina in libris ejus atque in adin-

A ἑαυτῆς, ἀλλ' εἰς τὸ γενέσθαι ζῶον ἐντελὲς συντεθειμένη πρὸς ἑνότητα τῷ ἡγεμονικῷ συνῆλθεν, καὶ συνετέθη πρὸς τὸ οὐράνιον ἡγεμονικὸν, ἐξοικειωθεῖσα αὐτῷ κατὰ τὸ παθητικὸν ἑαυτῆς, καὶ λαβοῦσα τὸ θεῖον οἰκειωθὲν αὐτῇ κατὰ τὸ ἐνεργητικόν· οὕτω γὰρ ἓν ζῶον ἐκ κινουμένου καὶ κινητικοῦ συνίστατο, καὶ οὐ δύο, ἢ ἐκ δύο τελείων καὶ αὐτοκινήτων. Διόπερ ἄνθρωπος μὲν ἕτερόν τι ζῶον πρὸς Θεὸν, καὶ οὐ Θεὸς, ἀλλὰ δοῦλος Θεοῦ, κἂν οὐρανίων ᾖ τις δύναμις, ὡσαύτως ἔχει· σὰρξ δὲ, Θεοῦ σὰρξ γενομένη, ζῶόν ἐστι μετὰ ταῦτα συντεθεῖσα εἰς μίαν φύσιν. Τοῦ αὐτοῦ Ἀπολιναρίου αἱρετικοῦ ἐκ τῶν κατὰ Διοδώρου λόγων· « Ὄργανον καὶ τὸ κοινοῦν μίαν πέφυκεν ἀποτελεῖν τὴν ἐνέργειαν· εἰ δὲ μία ἡ ἐνέργεια, μία καὶ ἡ οὐσία, μία ἄρα οὐσία γέγονεν τοῦ Λόγου καὶ
B τῆς σαρκός. » Τοῦ αὐτοῦ ἐν τῷ περὶ σαρκώσεως λόγῳ· « Ὢ καινὴ κτίσις, μίξις θεσπεσία, Θεὸς καὶ σὰρξ, μίαν καὶ τὴν αὐτὴν ἀπετέλεσαν φύσιν! » Τοῦ αὐτοῦ πρὸς Πέτρον· « Φύσει μὲν Θεὸν καὶ φύσει ἄνθρωπον τὸν Κύριον λέγομεν, μιᾷ δὲ καὶ συγκράτῳ τῇ φύσει σαρκικῇ τε καὶ θεϊκῇ. »

[P. 224.] Ὅτι δὲ τοὺς λέγοντας σύνθετον φύσιν, καὶ μίαν σαρκὸς καὶ θεότητος φύσιν ἀναπλάττοντας, ὁ ἐν ἁγίοις Κύριλλος ἀποβάλλεται, ἐξ αὐτῶν τῶν τοῦ Πατρὸς λόγων εὐθὺς ἀποδείξομεν· λέγει γὰρ ἐν τῷ κατὰ τῶν Συνουσιαστῶν λόγῳ ταῦτα· « Ἵνα πιστεύωμεν ὅτι κἂν εἰ τοῖς ἡμετέροις σώμασιν ὁμοφυὲς ἦν τὸ ἅγιον αὐτοῦ καὶ πάναγνον σῶμα, ἀλλ οὖν ἐστι σεπτόν τε καὶ θεῖον, καὶ πολὺ τῶν καθ' ἡμᾶς ἐπέκεινα μέτριων, ἅτε δὴ καὶ ἴδιον αὐτοῦ γεγονός· ἐνήρ-
C γηκεν γὰρ δι' αὐτοῦ. Διὰ τοῦτο καὶ ἄρτος ὠνομάσθη ζωῆς· ναὶ μὴν καὶ ἐξ οὐρανοῦ καταβῆναι λέγεται, καὶ ζωὴν διδόναι τῷ κόσμῳ διὰ τὸν ἄνωθεν καὶ ἐξ οὐρανοῦ καταβάντα Λόγον, οὗ καὶ ἰδία γέγονεν ἡ σάρξ· οὐκοῦν θεία μὲν, ὡς ἔφην, ἐστίν· οὐ μὴν ἔτι καὶ εἰς φύσιν θεότητος μεταβαλεῖν αὐτὴν ὑποτοπήσοι τις ἄν, εἴ γε νοῦν ἔχει τὸν εὖ βεβηκότα καὶ δογματικῆς εὐτεχνίας ἐπιστήμονα. Δεῖ γὰρ τῇ πάντων ἐπέκεινα καὶ ἀνωτάτῳ φύσει σώζεσθαι καθαρῶς τὸ ἁπλοῦν καὶ ἀσυμμιγὲς τῷ ἑτέρῳ, καὶ τὸ μὴ συντεθεῖσθαι δοκεῖν ἔν γε τοῖς καθ' ἑαυτὴν ἤγουν προσθήκης δεδεῆσθαί τινο; καὶ ἀσυμφυοῦς αὐτῇ πράγματος, εἰς κοινωνίαν ἐλθεῖν τῆς ἐν ταυτότητι φύσεως ἤγουν ὁμοουσιότητος. » Διὰ τούτων δὲ ὁ Πατὴρ σαφῶς ἀπ-
D αγορεύει, μίαν λέγειν ἐπὶ τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ σύνθετον φύσιν, ὡς μὴ ἐκδεχομένου τὴν θείαν φύσιν ἑνωθεῖσαν τῇ ἀνθρωπίνῃ, μίαν μετ' αὐτῆς ἀποτελέσαι φύσιν.

Τῆς τῶν ἐναντίων τοίνυν ἀτοπίας ἐληλεγμένης, δῆλον καθέστηκεν ὅτι αἱ δύο φύσεις συνελθοῦσαι, οὐ φύσιν σύνθετον ἀλλὰ Χριστὸν σύνθετον ἀπετέλεσαν, ἐπειδὴ καὶ φύσει Θεὸς, καὶ φύσει ἄνθρωπος· εἰ καὶ ὁ αὐτὸς ὁμολογεῖται. Ἀλλ' οἱ τῆς ἀληθείας ἐχθροὶ πρὸς ταῖς ἄλλαις αὐτῶν ἀτοπίαις, μὴ βουλόμενοι τοῖς τῶν Πατέρων ἀκολουθεῖν δόγμασιν, ἀλλὰ τὰ Ἀπολιναρίου πρεσβεύοντες, οὐδεμίαν ὁδὸν ἀτοπίας καταλιμπάνουσιν δι' ἧς τὰς τῶν ἀκεραιοτέρων ψυχὰς διαφθείρουσι· τὴν γὰρ Ἀπολιναρίου προσηγορίαν, ὡς σαφῆ δυσσεβείας ἔλεγχον δολερῶς ἀπωθούμενοι, τὰς

τῶν ἁγίων Πατέρων ἐπωνυμίας τοῖς τούτου συγγράμμασι, καὶ τοῖς ἑαυτῶν πλάσμασιν ἐπιτιθέασι, κλέπτοντες τοὺς ἁπλουστέρους, καὶ τὴν ὁδὸν τῆς ἀληθείας διαδιδράσκοντες. Προφέρουσι γὰρ δύο ἐπιστολὰς ψευδεπιγράφους, μίαν μὲν παρὰ Ἰουλίου τοῦ ἐπισκόπου Ῥώμης (2) πρὸς Διονύσιον πρεσβύτερον γεγραμμένην ἔχουσαν οὕτως· (*ut in editione Muratorii*) ἑτέραν δὲ ὡς δὴ παρὰ Ἀθανασίου τοῦ ἐν ἁγίοις πρὸς Ἰοβιανὸν τὸν βασιλέα γεγραμμένην ἔχουσαν οὕτως· «Ὁμολογοῦμεν τὸν Υἱὸν τοῦ Θεοῦ τὸν πρὸ αἰώνων ἀϊδίως ἐκ τοῦ Πατρὸς γεννηθέντα, ἐπ' ἐσχάτου τῶν αἰώνων διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς ἁγίας Παρθένου γεννηθέντα κατὰ σάρκα, ὡς ὁ θεῖος Ἀπόστολος διδάσκει λέγων, *Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός*. Καὶ αὐτὸν Υἱὸν τοῦ Θεοῦ, καὶ Θεὸν κατὰ Πνεῦμα, Υἱὸν ἀνθρώπου κατὰ σάρκα, οὐ δύο φύσεις τὸν ἕνα Υἱὸν, μίαν προσκυνητὴν καὶ μίαν ἀπροσκύνητον, ἀλλὰ μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην, καὶ προσκυνουμένην μετὰ τῆς σαρκὸς αὐτοῦ μιᾷ προσκυνήσει.»

Τούτων τοίνυν παρὰ τῶν Ἀκεφάλων προφερομένων ἡ τοῦ Θεοῦ σοφία ἄνωθεν αὐτῶν ἀναιροῦσα τὴν κακίαν, οὐ συνεχώρησε μεῖναι τὸ ψεῦδος ἀνέλεγκτον· δέδωκε γὰρ ἡμῖν ἐπιστῆναι τοῖς Ἀπολιναρίου συγγράμμασιν, ἃ παρατιθέντες τοῖς παρὰ τούτων προφερομένοις, φανερῶς ἐλέγξομεν ἐκ τῶν Ἀπολιναρίου λόγων ταῦτα παρ' αὐτῶν προβαλέσθαι. Γράφει γὰρ ὁ αὐτὸς Ἀπολινάριος ἐν τῷ κατὰ Διοδώρου τάδε· «Ἄλλης καὶ ἄλλης οὐσίας, μίαν εἶναι καὶ τὴν αὐτὴν προσκύνησιν, ἀθέμιτον, τουτέστιν Ποιητοῦ καὶ ποιήματος, Θεοῦ καὶ ἀνθρώπου. Μία δὲ προσκύνησις Χριστοῦ, καὶ κατὰ τοῦτο ἐν τῷ ἑνὶ ὀνόματι νοεῖται Θεὸς καὶ ἄνθρωπος· οὐκ ἄρα ἄλλη οὐσία Θεὸς καὶ ἄνθρωπος, ἀλλὰ μία κατὰ σύνθεσιν Θεοῦ πρὸς σῶμα ἀνθρώπινον.» Καὶ πάλιν ἐν τῷ αὐτῷ λόγῳ· «Πῶς γὰρ τὸ πρᾶγμα οὐ δυσσεβὲς, ἄλλην οὐσίαν κτιστὴν καὶ δουλικὴν μίαν ἔχειν καὶ τὴν αὐτὴν προσκύνησιν τῷ Κτίστῃ καὶ Δεσπότῃ;» Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Ἀπολινάριος ἐν τῷ περὶ σαρκώσεως λόγῳ· «Ἀδύνατον τὸν αὐτὸν καὶ προσκυνητὸν ἑαυτὸν εἰδέναι καὶ μή· ἀδύνατον ἄρα τὸν αὐτὸν εἶναι Θεόν τε καὶ ἄνθρωπον ἐξ ὁλοκλήρου, ἀλλ' ἐν μονότητι συγκράτου φύσεως θεϊκῆς σεσαρκωμένης.» Ταῦτα δὲ ὅπως ἐστὶ σύμφωνα καὶ ἀκόλουθα ταῖς παρὰ ταῖς τῶν Ἀκεφάλων πλαστῶς προφερομέναις ἐπιστολαῖς, ἐκ προσηγορίας, Ἰουλίου καὶ Ἀθανασίου τῶν ἁγίων ἡμῶν Πατέρων, οὐδενὶ τῶν εὖ φρονούντων ἠγνόηται· τὸ γὰρ λέγειν οὐ δύο φύσεις, μίαν προσκυνητὴν καὶ μίαν ἀπροσκύνητον, καὶ πάλιν ἄλλης καὶ ἄλλης οὐσίας μίαν εἶναι καὶ τὴν αὐτὴν προσκύνησιν, ἀθέμιτον· καὶ τὴν κτιστὴν καὶ δουλικὴν οὐσίαν μίαν ἔχειν καὶ τὴν αὐτὴν προσκύνησιν τῷ Κτίστῃ καὶ Δεσπότῃ, οὐδεμίαν ἔχει διαφορὰν οὔτε κατὰ τὰς λέξεις οὔτε κατὰ τὴν ἔννοιαν. Ὅθεν ἐλέγξαντες, ὡς αἱ προφερόμεναι παρὰ τῶν αἱρετικῶν δύο ἐπιστολαὶ, οὐδενὸς ἑτέρου ἢ τῆς πλάνης

ventionibus suis inscribunt, simpliciora reticentes viamque veritatis intercipientes. Imo proferunt duas falsi nominis epistolas, unam a Julio Romæ episcopo ad Dionysium presbyterum scriptam hæc continentem... Aliam autem ab Athanasio sancto ad Jovianum imperatorem scriptam, sic habentem: «Confitemur Filium Dei ante sæcula ab æterno ex Patre genitum, in novissimo sæculorum propter nostram salutem ex Maria sancta Virgine genitum secundum carnem, juxta quod docet divus Apostolus dicens: *Cum venit plenitudo temporis, misit Deus Filium suum factum ex muliere* [a]. Confitemur etiam ipsum esse Filium Dei, Deum secundum Spiritum, Filium hominis secundum carnem, non duas naturas esse unicum Filium, unam adorandam alteramque non adorandam, sed unam naturam Dei Verbi incarnatamque adoratamque cum carne ipsius adoratione una.»

His ergo ab Acephalis prolatis Dei sapientia postquam e cœlo malitiam eorum percussisset, mendacium non confutatum remanere non sivit; nobis enim dedit in scripta Apolinarii incidere, quæ cum prolatis ab illis componentes, manifeste ex verbis Apolinarii illa hisce confutari probabimus; in sermone enim adversus Diodorum hæc scribit Apolinarius: «Utriusque substantiæ unam eamdemque esse adorationem non justum est, scilicet Creatoris et creaturæ, Dei et hominis. Una est autem Christi adoratio, tuncque in uno nomine Deus et homo cogitatur; non est ergo altera et altera substantia Deus et homo, sed una propter conjunctionem Dei ad corpus humanum. Rursusque in eodem sermone: «Quomodo enim hic actus haud esset impius, alteram substantiam creatam servamque confiteri eamdemque deberi creaturæ ac Domino adorationem?» Idem iterum in sermone de incarnatione: «Impossibile est eumdem seque scire adorandum et non adorandum: impossibile est igitur eumdem esse Deum et hominem ex integro, sed in unitate commista naturæ divinæ incarnatæ.» Quantum autem hæc concinnentia sint ac convenientia cum epistolis quas dolose proferunt Acephali, nomine Julii atque Athanasii, Patrum sanctorum nostrorum, nemo sapiens ignorat; dicere enim non esse duas naturas, unam adorandam unamque non adorandam, ac rursum utriusque substantiæ unam esse eamdemque adorationem, injustum est; item creatam servamque substantiam unam habere eamdemque adorationem ac Creatorem et Dominum, nullam habet differentiam nec verbis nec in mente. Probato quod duæ epistolæ ab hæreticis prolatæ nullius alterius sunt quam erroris Apolinarii, atque exteræ in Ecclesia catholica, nobis demonstrandum est sanctorum

[a] Galat. IV, 4.

(2) Confer dicta a me in hoc volumine pag. 164.

Patrum nostrorum testimoniis, quæ inventa sunt ab Acephalis adinventiones esse constare.

A εἰσὶν Ἀπολιναρίου, καὶ ἀλλότριαι τῆς καθολικῆς Ἐκκλησίας, δείξωμεν ὅτι καὶ τοῖς παρὰ τῶν ἁγίων ἡμῶν Πατέρων ἐκτεθειμένοις, ἐναντία τὰ παρὰ Ἀκεφάλων πεπλαστουργημένα καθεστᾶσι. (*Sequuntur Athanasii et Cyrilli nota testimonia.*)

Ex omnibus supradictis perspicue demonstratum fuisse confidimus sanctorum Patrum doctrinis adversari fideique Christianæ esse contraria quæ ab hæreticis proferuntur; cum manifeste sanctus Athanasius sanctusque Cyrillus duas naturas Christi divinitatis humanitatisque confiteantur, unam increatam ac alteram creatam dicant, unaque adoratione adorari unum Dominum nostrum Jesum Christum doceant. Sufficiunt igitur supradicta ad Acephalorum machinationem confutandam. Attamen nihil melius stultitiam vel potius machinationem eorum confutat, quam epistola ab illis prolata tanquam Julii Romæ episcopi cujus alias falsificatio demonstratur. Reipsa veteris Romæ sacerdotes in omnibus apostolicæ traditioni obsequentes, nunquam inter se discreparunt, sed rectam ac veram usque ad hanc diem doctrinam servaverunt. Insuper insolitum est veteris Romæ patriarchæ hujusmodi scripto uti, quod isti proferunt, non dicimus ad presbyteros, ut illi mentiuntur, sed nec etiam ad episcopos, nec ad ipsos patriarchas. Tertio nosmetipsi postquam misissemus ad archivium palatii episcopalis veteris Romæ, nihil hujusmodi a Julio sanctæ memoriæ scriptum reperimus. Epistolæ autem Athanasii sancti ad Jovianum, ab illis prolatæ, multis modis confutatur mendacium omnibus viribus astructum; non enim characterem epistolæ præfert, nec stylo imperatori conveniente scribitur. Insuper Joviani temporibus nulla controversia de humanitate Christi fuerat commota, sed de consubstantialitate in Trinitate, qualis fuit insania Ariana quæ tunc Ecclesias perturbavit, de qua vera exstat epistola sancti Athanasii ad Jovianum scripta, cujus in concione funebri sancti Athanasii meminit Gregorius Theologus, quamque integram refert Timotheus Apolinarii discipulus, in sua historia, sic habentem...

(*Deinde* p. 229.) Διὰ πάντων οἶμαι τῶν εἰρημένων σαφῶς ἀποδέδεικται, ὅτι ἐναντία ταῖς τῶν ἁγίων Πατέρων διδασκαλίαις ἐστὶν, καὶ ἀλλότρια τῆς τῶν Χριστιανῶν πίστεως τὰ παρὰ τῶν αἱρετικῶν προφερόμενα· φανερῶς τοῦ τε ἐν ἁγίοις Ἀθανασίου, καὶ τοῦ ἐν ἁγίοις Κυρίλλου, τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ δύο φύσεις ὁμολογούντων, καὶ τὴν μὲν ἄκτιστον, τὴν δὲ κτιστὴν λεγόντων, καὶ μιᾷ προσκυνήσει προσκυνεῖσθαι διδασκόντων τὸν B ἕνα Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Καὶ ἀρκεῖ μὲν τὰ εἰρημένα πρὸς ἔλεγχον τῆς τῶν Ἀκεφάλων κακουργίας. Πλὴν οὐδὲν ἄτοπον καὶ ἑτέρως αὐτῶν ἐλέγξαι τὴν κακοήθειαν, ὅτι ἡ μὲν προφερομένη παρ' αὐτῶν ἐπιστολὴ, ὡς Ἰουλίου δῆθεν τοῦ ἐπισκόπου Ῥώμης καὶ ἄλλως δείκνυται πεπλασμένη. Οἱ γὰρ ἱερεῖς τῆς πρεσβυτέρας Ῥώμης τῇ ἀποστολικῇ διὰ πάντων ἀκολουθήσαντες παραδόσει, οὐδέποτε πρὸς ἀλλήλους διεφώνησαν, ἀλλὰ τὴν ὀρθὴν καὶ ἀληθινὴν μέχρι σήμερον διεφύλαξαν δόξαν (3). Ἔπειτα δὲ ὡς οὐκ ἔθος ἐστὶ τῷ τῆς πρεσβυτέρας Ῥώμης πατριάρχῃ ἐπιγραφῇ τοιαύτῃ χρῆσθαι οἵαν οὗτοι προφέρουσιν, οὐ λέγομεν πρὸς πρεσβυτέρους, ὥσπερ αὐτοὶ συκοφαντοῦσιν, ἀλλ' οὔτε πρὸς ἐπισκόπους, οὔτε πρὸς αὐτοὺς πατριάρχας. Τρίτον δὲ ὅτι C καὶ πέμψαντες εἰς τὰ ἀρχεῖα τοῦ ἐπισκοπείου τῆς πρεσβυτέρας Ῥώμης, οὐδὲν τοιοῦτο παρὰ Ἰουλίου τοῦ τῆς ὁσίας μνήμης γεγραμμένον εὕρομεν. Ἡ δὲ ὡς παρὰ Ἀθανασίου τοῦ ἐν ἁγίοις πρὸς Ἰοβιανὸν ὑπ' αὐτῶν προφερομένη, πολλοῖς ἐλέγχεται τρόποις ψευδὴς παντάπασι καθεστῶσα· οὔτε γὰρ ἐπιστολιμαῖον ἔχει χαρακτῆρα, οὔτε πρεπούσῃ βασιλεῖ ὑπαγορίᾳ συντέθειται. Ἀλλ' οὐδὲ ἐπὶ τῶν Ἰοβιανοῦ χρόνων περὶ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου ἀμφισβήτησίς τις ἐκεκίνητο, ἀλλὰ περὶ τῆς ἐν τῇ ἁγίᾳ Τριάδι ὁμουσιότητος, οἷα τῆς Ἀρειανικῆς μανίας τηνικαῦτα ταῖς Ἐκκλησίαις ὀχλούσης· περὶ ἧς καὶ ἡ ἀληθὴς ἐπιστολὴ τοῦ ἐν ἁγίοις Ἀθανασίου πρὸς Ἰοβιανὸν γεγραμμένη φέρεται, ᾗ καὶ Γρηγόριος ὁ Θεολόγος ἐν τῷ ἐπιταφίῳ τοῦ ἁγίου Ἀθανασίου μαρτυρεῖ, καὶ Τιμόθεος ὁ μαθητὴς Ἀπολιναρίου ταύτην ὁλόγραφον ἐν τῇ οἰκείᾳ τίθησιν ἱστορίᾳ ἔχουσαν οὕτως. (*Sequitur edita Athanasii ad Jovianum epistola.*)

Nunc autem de Timotheo Æluro loquamur, cum Manichæis consentiente, contraria vero sanctis Patribus Athanasio Cyrilloque docente; dicit enim hæc idem Timotheus, capite octavo libri tertii, quem in Chersoneso scripsit: « Natura autem Christi sola divinitas est, etsi fuerit incarnata. » Eadem vero Manichæus scribens in epistola ad Cundarum, hæc dicit: « Una natura est totum, etsi videatur figura carnis. » Ad hæc autem dicimus, si juxta insaniam Timothei natura Christi sit sola divinitas, Christum ergo esse Patrem ac Spiritum sanctum; una est enim natura divinitatis, Patris scilicet, et Filii et

D [P. 234.] Δείξωμεν δὲ καὶ Τιμόθεον τὸν Αἴλουρον σύμφωνα μὲν Μανιχαίων, ἐναντία δὲ τοῖς αὐτοῖς ἁγίοις Πατράσιν Ἀθανασίῳ καὶ Κυρίλλῳ φρονήσαντα. Λέγει γὰρ ὁ αὐτὸς Τιμόθεος ἐν τῷ ὀγδόῳ κεφαλαίῳ τοῦ τρίτου βιβλίου, ὅπερ ἐν Χέρσωνι συνέγραψε τάδε· « Φύσις δὲ Χριστοῦ μόνη θεότης, εἰ καὶ σεσάρκωται. » Τὰ αὐτὰ δὲ Μανιχαῖος γράφων ἐν τῇ πρὸς Κούνδαρον ἐπιστολῇ, λέγει τάδε· « Μία φύσις τὸ ὅλον, εἰ καὶ σαρκὸς ὡρᾶτο μορφῇ. » Πρὸς δὲ ταῦτα λέγομεν, ὅτι εἰ κατὰ τὴν ἄνοιαν Τιμοθέου φύσις Χριστοῦ μόνη θεότης, Χριστὸς ἄρα καὶ ὁ Πατὴρ καὶ τὸ ἅγιον Πνεῦμα· μία γὰρ θεότητος

(3) Notemus præclarum Justiniani imp. testimonium de perpetua Romanorum Pontificum orthodoxia, cum tot contra fuerint in cæteris patriarchalibus sedibus pastores hæretici.

φύσις, Πατρός φαμεν καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. Ἔσται δὲ καὶ τὸ πάθος κοινὸν κατὰ τὴν ἐκείνου μανίαν. (P. 236) Πάλιν Τιμόθεος ὁ βλάσφημος, ὡς οὐκ ἀρκούμενος προτέραις αὐτοῦ ματαιολογίαις, ἐν τῷ δευτέρῳ τῶν ἀντιῤῥητικῶν αὐτοῦ λόγων, σαφέστερον τὴν ἑαυτοῦ νόσον ἐκκαλύπτει· λέγει γὰρ οὕτως· « Οὐ γὰρ φύσεως ἔχει λόγον ἡ τοῦ Θεοῦ Λόγου σάρκωσις, ἀλλ' οἰκονομίας ὑπὲρ φύσιν πραττομένης ὑπὸ Θεοῦ ἐκ μὲν τῆς κοινῆς καὶ ἀνθρωπίνης ἡμῶν φύσεως ἤτοι οὐσίας· διὸ καὶ ὁμοφυὴς καὶ ὁμογενὴς καὶ ὁμοούσιος ἡμῖν λέγεται κατὰ τὸν τῆς οἰκονομίας λόγον, ἤτοι τὴν ἐκ γυναικὸς γέννησιν· οὔτε δὲ φύσις οὔτε οὐσία κοινοῦ τινος ἀνθρώπου προσηγόρευται πώποτε τὸ ἄχραντον καὶ ὁμογενὲς ἡμῖν σῶμα τοῦ Θεοῦ Λόγου. » Διὰ τῶν εἰρημένων τοίνυν φανερὸν καθέστηκεν, ὅτι τὴν τοῦ Θεοῦ Λόγου σάρκωσιν, φύσεως ἔχειν ἀπαρνεῖται λόγον Τιμόθεος. Εἰ δὲ φύσεως λόγον οὐκ ἔχει, κατὰ φαντασίαν μόνην φανῆναι ταύτην λέγει· φησὶ γάρ· « Ἐκ μὲν τῆς κοινῆς καὶ ἀνθρωπίνης ἡμῶν φύσεως ἤτοι οὐσίας τὸν Θεὸν Λόγον γεγενῆσθαι, τουτέστιν ἐκ γυναικὸς, καὶ κατὰ τοῦτο μόνον καὶ ὁμοφυῆ καὶ ὁμογενῆ καὶ ὁμοούσιον ἡμῖν λέγεσθαι, καὶ Θεὸς ἐκ γυναικὸς ἀπετέχθη. » Ὁμοούσιον ἡμῖν οὐ μὴν αὐτὸν τὸν Κύριον κατὰ φύσιν, ἤτοι οὐσίαν, κοινὸν ἔχειν τι πρὸς ἀνθρώπους λέγει· ἐπάγει γὰρ, ὅτι, « Οὔτε φύσις, οὔτε οὐσία, κοινοῦ τινος ἀνθρώπου προσηγόρευται πώποτε, τὸ ἄχραντον καὶ ὁμογενὲς ἡμῖν σῶμα τοῦ Θεοῦ Λόγου. » Ἀρνούμενος δὲ τῇ ἡμετέρᾳ φύσει κοινωνεῖν τὸ τοῦ Κυρίου σῶμα, πρόδηλός ἐστι πρὸς ἀπάτην καὶ μονὴν, τῇ τοῦ *Μονογενοῦς* λέξει κεχρημένος, καὶ μηδὲν ἕτερον διὰ ταύτης νοῶν, εἰ μὴ ὅτι ὡς ἄνθρωπος κατὰ φαντασίαν γεγέννηται, καὶ δοκήσει οὐ φύσει ἐφάνη ἄνθρωπος. Εἰ δὲ ταῦτα οὕτως ἔχει κατὰ τὴν Τιμοθέου μανίαν, σαφὲς καθέστηκεν, ὅτι καὶ τὸ πάθος καὶ τὸν σταυρὸν καὶ τὸν θάνατον καὶ τὴν ἀνάστασιν τοῦ Κυρίου κατὰ φαντασίαν φησὶ γεγενῆσθαι, ὅπερ καὶ Μανιχαῖος λέγει.

[P. 237.] Καὶ πάλιν Τιμόθεος ταῖς ἑαυτοῦ βλασφημίαις προσεπιτιθεὶς τὰ χείρονα, καὶ ἐν τῷ τετάρτῳ αὐτοῦ κεφαλαίῳ τοῦ εἰρημένου τρίτου βιβλίου, λέγει τάδε· « Δειξάτωσαν ἡμῖν Διφυσῖται τῶν δύο φύσεων τοῦ Χριστοῦ διαφορὰν, ὡς αὐτοὶ λέγουσιν, εἰ δύνανται. » Ἰδοὺ σαφῶς ἀρνεῖται τὴν διαφορὰν τῶν ἐν Χριστῷ δύο φύσεων· καὶ ἐν τούτῳ δὲ ὁμοίως ἐναντιοῦται πᾶσι τοῖς τε ἄλλοις ἁγίοις Πατράσι, καὶ μάλιστα Ἀθανασίῳ καὶ Κυρίλλῳ. — Καὶ πάλιν Τιμόθεος ὁ αἱρετικὸς μείζονας ἐπινοῶν ἑαυτῷ βλασφημίας, προβάλλεται προφητικὴν ῥῆσιν λέγουσαν οὕτως· « Απαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ, καὶ Κύριος ὁ Θεὸς παντοκράτωρ ὄνομα αὐτῷ. » Εἶτα κακῶς ταύτας ἐξηγούμενος ἐπάγει· « Αὐτὸς οὖν δι' ἑαυτοῦ ἀπήγγειλε τοῖς ἀνθρώποις· τοῦτον ἰδὼν ὁ ἥλιος ἔδυ μεσημβρίᾳ. Ἀλλ' οὐκ ἐδέχετο τοῦτο δι' ἀνθρώπου γενέσθαι, ἤτοι διὰ φύσεως ἀνθρωπίνης· ἢ γὰρ ἂν πάντη τε καὶ παντελῶς ἔλυεν τὴν παρθενίαν ἡ ἀνθρώπου φύσις· εἰ γὰρ ἦν ἄνθρωπος κατὰ φύσιν καὶ νόμον ὁ μέλλων ἀποτελεῖσθαι ἄνθρωπος ἐν μήτρᾳ τῆς Παρθένου, οὐκ ἂν ἐτέχθη ἐξ αὐτῆς, εἰ μὴ πρω-

A Spiritus sancti. Passio quoque, juxta illius insaniam, communis erit. Rursus Timotheus blasphemus, quasi non sibi sufficerent stultitiæ priores, in libro secundo controversiarum suarum, apertius morbum suum revelat; sic enim loquitur : « Non enim naturæ habet Verbum Dei Verbi incarnatio, sed œconomiæ ultra naturam effectæ a Deo ex communi quidem humanaque nostra natura sive substantia. Ideo natura, generatione substantiaque similis nobis dicitur secundum œconomiæ verbum, sive ex muliere nativitatem; nunquam autem natura vel substantia communis alicujus hominis vocatum est mundum simileque nobis generatione corpus Dei Verbi. » Ex dictis evidens ergo constat, incarnationem Dei Verbi, naturæ verbum habere

B negare Timotheum. Si autem naturæ verbum non habet, secundum speciem solam apparuisse illam dicit; dicit enim : « Ex communi quidem humanaque nostra natura seu substantia Deus Verbum genitus est, scilicet ex muliere, secundumque hoc solum similis nobis natura, generatione substantiaque dicitur, Deusque de muliere natus est. » Similem nobis substantia, sed non ipsum Dominum secundum naturam, seu substantiam aliquid communis cum hominibus habere dicit; addit enim : « Nec natura, nec substantia alicujus hominis unquam vocatum est mundum simileque nobis generatione corpus Dei Verbi. » Cum neget autem corpus Domini cum nostra natura communicare, evidenter ad decipiendum atque ad detinendum

C nos voce *Unigeniti* utitur, nihilque aliud per illam intelligit nisi hominem sub specie genitum fuisse, similitudineque non natura hominem apparuisse. Si vero hæc sic se habent juxta Timothei insaniam, evidenter constat passionem, crucem, mortem ac resurrectionem Domini sub specie factas esse illum asserere, quod etiam asserit Manichæus.

Idem Timotheus suis blasphemiis adhuc pejora addit, atque in quarto capite supradicti libri tertii hæc dicit : « Diphysitæ (duarum naturarum fautores) nobis demonstrent duarum naturarum Christi differentiam, ut aiunt, si possunt. » En aperte negat differentiam duarum naturarum in Christo, atque

D in illo adversatur omnibus aliis sanctis Patribus, imprimis Athanasio ac Cyrillo. — Rursus idem hæreticus Timotheus in sese majores blasphemias volvens, rejicit propheticam vocem sic loquentem : « Mittens ad homines Christum suum, et Dominus Deus omnipotens nomen ejus. » Impie hæc verba postquam interpretatus est, pergit : « Ipse igitur per seipsum misit ad homines; quem videns sol in meridie occidit. Sed illud hominis generatione non recipiebatur, vel humana natura; aliter enim omnino et in perpetuum solveret virginitatem hominis natura; si enim esset homo juxta naturam ac legem perficiendus homo in sinu Virginis, non natus fuisset ex illa, nisi prius virginitate soluta. » Sed hæc peperit caput Timothei ipsiusque assecla-

rum; blasphemat enim Scripturam divinam sanctosque Patres, illis adversando. Non animadvertit in hoc maxime esse miraculum pietatis mysterii, quod unigenitus Filius ac Verbum Dei, cum Deus esset natura, incarnatus sit in utero Virginis, factus sit secundum naturam homo, ex illa natus sit, matremque Virginem servaverit.

Sanctus Cyrillus in sermone de virginitate Matris Dei confitenda hæc dicit : « Dominum ac Deum Christum agnoscimus; factus est enim homo propter nos Verbum Dei, naturæ humanæ particeps, cumque illa quam sumpsit ex sancta virumque nesciente Virgine ineffabile factum est ob amorem hominum. Ideo igitur vocatur homo; vocatur quoque Deus, dum sub unaquaque appellatione idem intelligitur Christus. » Hæc ergo ex Scripturis sacris atque ex sanctis Patribus exposuimus ad hæreticos confutandos, ex quo omnes Christiani scirent quomodo Dioscorus ac Timotheus *Feles*, hæretici aperti, cum Manichæo atque Apollinario opinari demonstrentur.

Audi vero sanctum Cyrillum, quomodo in suo sermone clare exponat sanctam Matrem Dei esse Virginem confitendam; sic enim loquitur : « Sed illud consideremus, nisi Christum Deum simul et hominem novisset divus Apostolus, illum *secundum carnem* non fuisse dicturum; notum est enim hoc non solum de homine, sed etiam de quocunque substantiam habente dici. Addidit quoque, *qui est super omnia Deus* [o], duplicem enim de Salvatore confessionem nobis tradidit, *secundum carnem*, demonstrans, *Deumque* prædicans. Rursumque Apostolus ad Timotheum : *Unus Deus, unus et mediator Dei et hominum, homo Christus Jesus, qui dedit redemptionem semetipsum pro omnibus* [p].

Sanctus Ambrosius hæc dicit : « Non ex Virgine principium sumpsit Deus Verbum, sed, cum esset Patri suo coæternus, propter multam suam bonitatem principium nostræ naturæ sibi ipsi unire dignatus est; non commistus, sed in unaquaque substantia unus et idem apparens, juxta quod scriptum est : *Solvite templum hoc, et in tribus diebus reædificabo illud* [q]. Solvitur enim Jesus Christus secundum meam substantiam quam assumpsit, et solutum reædificat suum templum idem secundum divinam sui ipsius substantiam, secundum quam omnium quoque creator est. » Et in Evangelio secundum Matthæum, ait Dominus ad eum qui ipsum tradebat : *Osculo Filium hominis tradis* [r]! Quod exponens Petrus martyr et archiepiscopus

A τον τῆς Παρθενίας διαλυθείσης. » Ἀλλὰ ταῦτα κατὰ τῆς Τιμοθέου τραπείη κεφαλῆς καὶ τῶν ἀκολουθούντων αὐτῷ · βλασφημεῖ γὰρ τῇ τε θείᾳ Γραφῇ καὶ τοῖς ἁγίοις Πατράσιν ἐναντιούμενος · οὐκ αἰσθόμενος ὅτι ἐν τούτῳ μάλιστα τὸ θαῦμα τοῦ τῆς εὐσεβείας ἐστὶ μυστηρίου, ὅτι ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, Θεὸς ὢν φύσει καὶ σαρκωθεὶς ἐν τῇ μήτρᾳ τῆς Παρθένου, καὶ γενόμενος κατὰ φύσιν ἄνθρωπος, ἐτέχθη ἐξ αὐτῆς, καὶ τὴν μητέρα Παρθένον ἐφύλαξεν.

[P. 238.] Ὁ ἐν ἁγίοις Κύριλλος ἐν τῷ λόγῳ τῷ Ὅτι χρὴ Θεοτόκον ὁμολογεῖν τὴν Παρθένον (4), λέγει τάδε · « Κύριον καὶ Θεὸν ἐπιγινώσχομεν τὸν Χριστόν· γέγονε μὲν γὰρ ἄνθρωπος δι' ἡμᾶς ὁ τοῦ Θεοῦ Λόγος, μετασχὼν τῆς ἀνθρωπείας φύσεως καὶ γεγένηται διὰ φιλανθρωπίαν ἄφατον μετὰ ταύτης ἐκ τῆς
B ἁγίας καὶ ἀπειρογάμου Παρθένου. Διὰ τοῦτο τοίνυν καλεῖται καὶ ἄνθρωπος · καλεῖται δὲ καὶ Θεὸς, εἷς καὶ ὁ αὐτὸς ὑπάρχων ἐν ἑκατέρᾳ προσηγορίᾳ Χριστός. » Ταῦτα τοίνυν ἡμεῖς ἔκ τε τῶν θείων Γραφῶν καὶ τῶν ἁγίων παρεθέμεθα Πατέρων πρὸς ἔλεγχον τῶν αἱρετικῶν, ἐφ' ᾧ γινώσκειν ἅπαντας τοὺς Χριστιανοὺς, ὡς Διόσκορος καὶ Τιμόθεος ὁ Αἴλουρος οἱ αἱρετικοὶ καθαρῶς τὰ Μανιχαίου καὶ Ἀπολιναρίου φρονοῦντες ἀποδείκνυνται.

[P. 240.] Ἄκουε δὲ τοῦ ἐν ἁγίοις Κυρίλλου, πῶς τοῦτο σαφῶς ἑρμηνεύει ἐν τῷ λόγῳ τῷ Ὅτι χρὴ Θεοτόκον τὴν ἁγίαν Παρθένον ὁμολογεῖν · λέγει γὰρ οὕτως · « Οὐ μὴν ἀλλά γε κἀκεῖνο διασκεψώμεθα, ὡς εἰ μὴ Θεὸν ἅμα καὶ ἄνθρωπον ἠπίστατο τὸν Χρι-
C στὸν ὁ θεῖος Ἀπόστολος, οὐκ ἂν ἔλεγεν τὸ *κατὰ σάρκα* · τοῦτο γὰρ φανερῶς ἐπὶ τοῦ μὴ μόνον ἀνθρώπου, ἀλλὰ καὶ καθ' ἕτερόν τι τὴν οὐσίαν ὄντος λέγεται · ὥσπερ οὖν καὶ ἐπήγαγεν, *Ὁ ὢν ἐπὶ πάντων Θεός* · διπλῆν γὰρ τὴν περὶ τοῦ Σωτῆρος ἡμῖν ὁμολογίαν παραδέδωκε, καὶ τὸ *κατὰ σάρκα* ἐπιδείξας, καὶ *Θεὸν* ἀνακηρύξας. Καὶ πάλιν ὁ Ἀπόστολος ἐν τῇ πρὸς Τιμόθεον, *Εἷς Θεὸς καὶ εἷς μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων.* »

[P. 241.] Ὁ ἐν ἁγίοις Ἀμβρόσιος λέγει τάδε · « Οὐκ ἀρχὴν ὁ Θεὸς Λόγος ἐκ τῆς Παρθένου εἰληφώς, ἀλλὰ συναΐδιος τῷ ἑαυτοῦ Πατρὶ ὑπάρχων τὴν τῆς φύσεως τῆς ἡμετέρας ἀπαρχὴν ἑαυτῷ διὰ πολλὴν ἀγαθότητα ἑνῶσαι κατηξίωσεν · οὐ κραθεὶς, ἀλλ' ἐν
D ἑκατέραις ταῖς οὐσίαις εἷς καὶ ὁ αὐτὸς φανεὶς, κατὰ τὸ γεγραμμένον· *Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν*. Λύεται γὰρ Χριστὸς Ἰησοῦς κατὰ τὴν ἐμὴν οὐσίαν ἣν ἔλαβεν, καὶ λελυμένον ἐγείρει τὸν ἴδιον ναὸν ὁ αὐτὸς κατὰ τὴν θείαν αὐτοῦ οὐσίαν, καθ' ἣν καὶ πάντων ὑπάρχει δημιουργός. » Καὶ ἐν τῷ κατὰ Ματθαῖον ὁ Κύριος λέγει πρὸς τὸν παραδιδόντα αὐτόν · *Φιλήματι τὸν Υἱὸν τοῦ ἀνθρώπου παραδίδως!* Τοῦτο δὲ Πέτρος ὁ μάρτυς καὶ ἀρχιεπίσκοπος Ἀλεξανδρείας ἐξηγού-

[o] Ephes. IV, 6. [p] I Tim. II, 6. [q] Joan. II, 19. [r] Luc. XXII, 48.

(4) Præclarum hunc et prolixum S. Cyrilli tractatum adversus eos qui SS. Virginem nolebant confiteri *Deiparam*, primus ego ex codice bibliothecæ Vaticanæ hoc anno edidi in *Scriptorum veterum* octavo volumine. Confer ibi, p. 117-118.

μενος λέγει ταῦτα καὶ τὰ τούτοις ὅμοια · « Τά τε σημεῖα πάντα ὅσα ἐποίησεν, καὶ αἱ δυνάμεις, δείκνυσιν αὐτὸν Θεὸν *ἐνανθρωπήσαντα*· τὰ συναμφότερα τοίνυν δείκνυται, ὅτι Θεὸς ἦν φύσει, καὶ ἐγένετο ἄνθρωπος φύσει. »

[P. 242.] Δεῖ δὲ προσέχειν τὸν νοῦν, ὅτι εἰπὼν ὁ Ἀπόστολος *ὅς*, τὴν ὑπόστασιν τοῦ Λόγου ἐσήμανεν ἐν τῇ τοῦ Θεοῦ ὑπάρχειν μορφῇ, ὅπερ ἐστὶν ἐν τῇ οὐσίᾳ τοῦ Πατρός. Καὶ οὐκ εἶπεν ὅτι *τὸν ὑπάρχοντα ἐν μορφῇ δούλου ἔλαβεν*, ἵνα μὴ προϋποστάντα δείξῃ τὸν ἄνθρωπον κατὰ τὴν Νεστορίου μανίαν· ἀλλ' εἶπεν ὅτι *μορφὴν δούλου ἔλαβεν*, τουτέστιν οὐσίαν ἀνθρώπου· δεικνὺς ὅτι τῇ ὑποστάσει τοῦ Λόγου τὴν ὕπαρξιν ἔσχεν ἡ σάρξ, ἵνα εἷς καὶ ὁ αὐτὸς ἐν μιᾷ ὑποστάσει ὑπάρχων, ἐν ἑκατέρᾳ μορφῇ, τουτέστι φύσει, γνωρίζηται τῇ θείᾳ τε καὶ ἀνθρωπίνῃ· δῆλον γὰρ ὅτι ὁ Θεὸς Λόγος γεννηθεὶς πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ Πατρὸς, οὐ τῆς αὐτῆς ὑποστάσεώς ἐστι τῷ Πατρὶ, ἀλλὰ τῆς αὐτῆς οὐσίας καθ' ὃ Θεὸς, ἰδίαν δὲ ἔχει τὴν ὑπόστασιν καθ' ὃ Λόγος. Καὶ ἐπ' ἐσχάτου τῶν ἡμερῶν γεννηθεὶς ὁ αὐτὸς κατὰ σάρκα ἐκ τῆς ἁγίας ἐνδόξου Παρθένου καὶ Θεοτόκου Μαρίας, οὐ τῆς αὐτῆς ὑποστάσεώς ἐστι τῇ Μητρὶ, ἀλλὰ τῆς αὐτῆς οὐσίας. Εἶτα πῶς οἱ Ἀκέφαλοι δύο ὑποστάσεων ἕνωσιν λέγουσι, καίτοι δύο ὑποστάσεων ἕνωσιν τὴν καθ' ὑπόστασιν οὐκ ἐπιδεχομένων; Ἢ ἀγνοοῦσι ὅτι καὶ Νεστόριος διὰ τὴν τοιαύτην πλάνην κατεκρίθη, δύο ὑποστάσεις ἐπὶ τῆς οἰκονομίας εἰσάγων; Ἀλλὰ τούτων οὕτως ὄντων, καὶ Νεστορίου καὶ πάσης μᾶλλον αἱρέσεως βδελυρώτερα δόγματα λέγειν ἀνέχονται οἱ Ἀκέφαλοι, ἢ συναινεῖν τῇ ἀληθείᾳ. Καὶ ταῦτα μὲν ἡμεῖς πρὸς αὐτούς. Τὸ δ' αὐτὸ τοῦ Ἀποστόλου ῥητὸν ἐξηγούμενος καὶ ὁ ἐν ἁγίοις Ἀμβρόσιος ἐν τῷ κατὰ Ἀπολιναρίου λόγῳ γράφει τάδε· « Κάλλιστα κέχρηται τῇ τῶν αὐτῶν ἐπαναλήψει ῥημάτων ὁ Ἀπόστολος λέγων περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· *Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών*. Τί ἐστι μορφὴ Θεοῦ, εἰ μὴ ἐν τῷ πληρώματι τῆς θεότητος ἐκεῖνο τῆς θείας τελειότητος ἐκτύπωμα; Οὐκοῦν ἐν τῷ τελείῳ τῆς θεότητος ὢν, ἐκένωσεν ἑαυτὸν, καὶ ἔλαβε τὸ τέλειον τῆς κατὰ ἄνθρωπον φύσεως ὁλοκλήρου· καὶ ὡς οὐδὲν ἔλιπε τῷ Θεῷ, οὕτως οὔτε τῷ καταρτισμῷ τῷ κατὰ τὸν ἄνθρωπον, ἵνα τέλειος ἐν ἑκατέρᾳ φύσει τυγχάνῃ. »

[P. 244.] Ἱκανὰ μὲν οὖν ἡγούμεθα πρὸς ἀπόδειξιν τοῦ μίαν μὲν ὑπόστασιν, ἤτοι ἓν πρόσωπον εἶναι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν δυσὶ δὲ φύσεσι αὐτὸν γνωρίζεσθαι, τουτέστιν ἐν θεότητι καὶ ἀνθρωπότητι, τά τε ἐκ τῆς θείας Γραφῆς καὶ τῶν ἁγίων ἡμῖν παρατεθειμένα Πατέρων, εἰ καὶ ὀλίγα ἐκ πολλῶν προηγάγομεν, ἵνα μὴ πλῆθος τοῖς γραφομένοις ποιήσωμεν· πλὴν ἐπειδὴ ἔστιν ὅτε καὶ ὑπὸ τῶν ἐχθρῶν ἡ ἀλήθεια φανεροῦται, ὥσπερ οὖν καὶ οἱ δαίμονες τὸν Χριστὸν Υἱὸν τοῦ Θεοῦ καὶ ἄκοντες ὡμολόγησαν, δείξομεν καὶ αὐτὸν Σευῆρον τὸν Ἀπο-

A Alexandriæ, hæc et his similia profert · « Signa omnia quæcunque fecit, et virtutes, de illo testantur quod Deus sit *incarnatus :* utrumque ergo simul demonstratur, illum nempe natura Deum esse, et factum fuisse natura hominem. »

Attendendum est autem, Apostolum dicentem *qui*, hypostasin Verbi in Dei forma exsistere significasse, quod est in substantia Patris. Non vero dixit *exsistentem in forma servi assumpsisse* [a], ne, juxta Nestorii insaniam, hominem præexsistentem ostenderet; sed dixit *formam servi accepisse*, scilicet substantiam hominis; ostendens in hypostasi Verbi exsistentiam habere carnem, ut unus ac idem in una hypostasi exsistens, in unaquaque forma, scilicet natura, divina atque humana agno-
B scatur; patet enim Deum Verbum natum de Patre ante omnia sæcula non esse ejusdem hypostasis cum Patre, sed ejusdem substantiæ qua Deus est, propriam vero hypostasim habere qua Verbum est. Idem autem in novissimo dierum secundum carnem natus e sancta et gloriosa Virgine Matre Dei, ejusdem hypostasis non est cum matre, sed ejusdem substantiæ. Deinde quomodo Acephali de unione hypostaseon duarum loquuntur, etsi hypostatice unionem non admittant duæ hypostases? Ignorantne istiusmodi erroris causa Nestorium damnatum fuisse, duas hypostases in œconomiam subinferentem? Sed quamvis hæc ita sint, Nestorii omnisque hæreseos dogmata impudentiora fateri malunt Ace-
C phali, quam veritati assentire. Hæc autem a nobis illis dicenda sunt. Idem vero verbum Apostoli interpretans quoque sanctus Ambrosius in sermone de Apollinario, hæc scribit : « Optime horum verborum iterationem adhibuit Apostolus, de Domino nostro Jesu Christo dicens : *Qui cum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo, sed semetipsum exinanivit, formam servi accipiens* [1]. Quid est *forma Dei*, nisi in plenitudine divinitatis illa divinæ perfectionis impressio? Cum igitur esset in hoc culmine divinitatis, semetipsum exinanivit, atque accepit perfecte ac integre hominis naturam; utque nihil Deo reliquit, item nec restaurationi hominis, ut perfectus in unaquaque natura inveniretur. »
D

Ad demonstrandum igitur unam esse hypostasin sive unam personam Domini nostri Jesu Christi, in duabus vero naturis ipsum agnosci, scilicet in divinitate et humanitate, apta censuimus quæ ex divinis Scripturis sanctisque Patribus præbentur, etsi pauca ex multis produxerimus, ne abundantius scriptum faciamus; sed cum aliquando contingat ut ab hæreticis ipsis veritas patefiat, quemadmodum cætero dæmones Christum Filium Dei etiam inviti confessi sunt, ostendemus ipsum quoque Severum, Apollinarii successorem Acephalorumque errorem

[a] Philipp. II, 6. [1] ibid. 6, 7.

A augentem, confitentem omnes sanctos Patres duas naturas de Christo inculpate asseruisse. Hæc igitur dicit in sermone quem *Expositionem fidei* vocat: « Fateri duas naturas, » etc.... Deinde in iisdem immorans atque in decursu sermonis, dicit se verba Patrum illorum qui inculpato stylo scripserunt, proferre nequire, etsi antea verba Cyrilli recitata sint. Si vero omnes sancti Patres, imo et sanctus Cyrillus inculpato stylo scripserint, ipseque Severus hoc fateatur, quis ergo sibi talem arrogaret auctoritatem ad doctrinam Patrum reprobandam? vel quomodo Patres vocat Severus quorum opiniones reprobandas existimat? Sed manifestum se fecit: cum enim non posset effugere veritatem, hoc verbum quidem a Patribus prolatum esse confessus B est, sed proprio morbo mederi volens, blasphemiis Nestorii doctrinam Patrum fuisse reprobatam asserit; quod est risu dignum. Illis autem sanctos Patres exinanire conatus est, sanctumque Cyrillum calumniari non dubitavit, ut illis quæ ab ipso paulo ante dicta fuerant sanctisque Patribus adversantem. Attamen cum ille usque ad Nestorii tempora sanctos Patres hoc verbo inculpate fuisse usos affirmet, nos sanctum Cyrillum *duarum naturarum* verbo de œconomia Salvatoris utentem, condemnasse Nestorium ostendemus; iterumque post condemnatum Nestorium, simili doctrina usus est idem sanctus Cyrillus. Videtur ergo Severus neque sanctos Patres intelligere, neque causam ob quam condemnatus est Nestorius; sancti enim Pa- C tres divinitatis Christi atque humanitatis duas naturas unitas confitentes, ne duæ hypostases aut duo filii de ipso dicerentur, vetarunt; Nestoriusque naturam, hypostasim atque personam idem esse confitens, propterea duarum naturarum in hypostasi unionem negans, separatim hypostaticeque duas naturas dicens, indeque duos filios duosque Christos effingens, propter istam ipsius blasphemiam, a sanctis Patribus condemnatus est; ideoque sanctus Cyrillus, insaniam ejus Judaicam retundens in Ephesino synodo, sanctos Patres adduxit ut vetarent ne duo filii dicerentur, duas vero naturas unumque Filium prædicarent.

D Ex omnibus igitur quæ dicta sunt patefactum est sanctum Cyrillum ante damnationem Nestorii, in illius damnatione postque ipsius damnationem, duarum naturarum in uno Christo confessionem prædicare continuo non cessasse. Sed nihil horum intelligens veritatis hostis Severus, Patres nomine Patrum vocat, ac denegat ab illis Ecclesiæ recte traditam fuisse doctrinam, nesciens Nestorium ob suam quidem impietatem condemnatum fuisse, ab illoque tamen Patrum doctrinam eversam fuisse. Si autem, juxta insaniam Severi, verba a sanctis Patribus recte prædicata, ab hæreticis vero maligne interpretata removenda sunt, evertet etiam

λιναρίου διάδοχον καὶ τὴν τῶν Ἀκεφάλων αὐξήσαντα πλάνην, ὁμολογοῦντα ὅτι πάντες οἱ ἅγιοι Πατέρες δύο φύσεις ἐπὶ τοῦ Χριστοῦ ἀδιαβλήτως εἰρήκασι. Λέγει γοῦν ἐν τῷ λόγῳ ὃν *Ἔκθεσιν πίστεως* δῆθεν ὀνομάζει, τάδε· « Τὸ δὲ λέγειν δύο φύσεις, » etc. (*ut alibi jam recitavimus*). Εἶτα τοῖς αὐτοῖς ἐμμένων καὶ διὰ τῶν ἐφεξῆς λέγει, μὴ δύνασθαι τὰς τῶν Πατέρων φωνὰς τῶν ἀδιαβλήτως τῇ λέξει χρησαμένων προφέρεσθαι, κἂν αὐτοῦ Κυρίλλου εἶεν πρὸ τούτου λεχθεῖσαι. Εἰ τοίνυν πάντας τοὺς ἁγίους Πατέρας, ἔτι μὴν καὶ τὸν ἐν ἁγίοις Κύριλλον ἀδιαβλήτως τῇ λέξει χρήσασθαι, καὶ αὐτὸς Σευῆρος ὁμολογῇ, τίς ἄρα τοιαύτην ἔσχεν αὐθεντίαν, ὥστε τὴν τῶν ἁγίων Πατέρων ἀποδοκιμάσαι διδασκαλίαν; ἢ πῶς Πατέρας ὀνομάζει Σευῆρος ὧν ἀποδοκιμασθῆναι λέγει τὰ δόγματα; Ἀλλὰ πρόδηλον ἑαυτὸν δείκνυσιν, ὡς τὴν ἀλήθειαν ἀποφυγεῖν, μὴ δυνάμενος, ὡμολόγησε μὲν τὴν τοιαύτην φωνὴν παρὰ τῶν ἁγίων Πατέρων εἰρῆσθαι, βουληθεὶς δὲ τῇ οἰκείᾳ νόσῳ συνηγορεῖν, λέγει διὰ τὰς Νεστορίου βλασφημίας ἀποδοκιμασθῆναι τὰς τῶν ἁγίων Πατέρων διδασκαλίας· ἐφ' ᾧ καὶ γελᾶν ἄξιον. Διὰ δὲ τούτων τούς τε ἁγίους Πατέρας ἀθετεῖν ἐπεχείρησεν καὶ τὸν ἐν ἁγίοις Κύριλλον συκοφαντεῖν οὐκ ἀπώκνησεν, ὡς καὶ τοῖς πρώην παρ' αὐτοῦ εἰρημένοις καὶ τοῖς ἁγίοις Πατράσιν ἐναντιούμενον. Πλὴν ἐπειδὴ ἐκεῖνος μέχρι τῶν Νεστορίου χρόνων, λέγει τοὺς ἁγίους Πατέρας ἀδιαβλήτως τῇ τοιαύτῃ χρήσασθαι φωνῇ, ἡμεῖς δείξομεν ὅτι ὁ ἐν ἁγίοις Κύριλλος τῇ τῶν *δύο φύσεων* φωνῇ ἐπὶ τῆς οἰκονομίας τοῦ Σωτῆρος χρησάμενος, κατέκρινε Νεστόριον· καὶ πάλιν μετὰ τὴν Νεστορίου κατάκρισιν, ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος τῇ ὁμοίᾳ ἐχρήσατο διδασκαλίᾳ. Ἔοικε γὰρ Σευῆρος μήτε τοὺς ἁγίους νοήσας Πατέρας, μήτε τὴν αἰτίαν ἐφ' ᾗ κατεκρίθη Νεστόριος· οἱ γὰρ ἅγιοι Πατέρες τῆς θεότητος τοῦ Χριστοῦ καὶ τῆς ἀνθρωπότητος δύο φύσεις ἡνωμένας ὁμολογοῦντες ἀπηγόρευσαν δύο ὑποστάσεις ἢ δύο υἱοὺς ἐπ' αὐτοῦ λέγειν· Νεστορίου γὰρ φύσιν καὶ ὑπόστασιν καὶ πρόσωπον ταὐτὸν εἶναι ὁμολογοῦντος, καὶ διὰ τοῦτο τῶν δύο φύσεων τὴν καθ' ὑπόστασιν ἕνωσιν ἀρνουμένου, καὶ ἀνὰ μέρος καὶ ἰδιοϋποστάτως τὰς δύο φύσεις λέγοντος, καὶ ἐντεῦθεν δύο υἱοὺς καὶ δύο Χριστοὺς ἀναπλάττοντος, καὶ διὰ τὴν τοιαύτην αὐτοῦ βλασφημίαν ὑπὸ τῶν ἁγίων κατεκρίθη Πατέρων, ἀμέλει τοι ὁ ἐν ἁγίοις Κύριλλος τὴν Ἰουδαϊκὴν αὐτοῦ μανίαν ἀνελέγχων ἐν τῇ κατ' Ἔφεσον συνόδῳ, τοὺς ἁγίους Πατέρας προήγαγεν ἀπαγορεύοντας μὲν τὸ λέγειν δύο Υἱούς, δύο δὲ φύσεις καὶ ἕνα Υἱὸν κηρύττοντας.

[P. 251.] Ἐκ τῶν εἰρημένων τοίνυν ἁπάντων ἀποδέδεικται ὅτι ὁ ἐν ἁγίοις Κύριλλος καὶ πρὸ τῆς Νεστορίου κατακρίσεως, καὶ ἐν αὐτῇ τῇ κατακρίσει, καὶ μετὰ τὴν αὐτοῦ κατάκρισιν, οὐ διέλιπεν τὴν περὶ τῶν δύο φύσεων ἐπὶ τοῦ ἑνὸς Χριστοῦ ὁμολογίαν ἀεὶ κηρύττων· ἀλλ' οὐδὲν τούτων Σευῆρος ὁ τῆς ἀληθείας ἐχθρὸς ἐννοῶν, τοὺς μὲν Πατέρας ὀνόματι δῆθεν Πατέρων ἀποκαλεῖ, ἀρνεῖται δὲ τὰ παρ' αὐτῶν ὀρθῶς τῇ Ἐκκλησίᾳ παραδεδομένα δόγματα, μὴ γινώσκων ὅτι Νεστόριος μὲν διὰ τὴν οἰκείαν ἀσέβειαν κατακέκριται, οὐ μὴν δι' ἐκεῖνον ἡ τῶν Πατέρων ἀνῄρηται διδασκαλία. Εἰ γὰρ κατὰ τὴν Σευήρου μανίαν, τὰς φωνὰς τὰς παρὰ μὲν τῶν ἁγίων

Πατέρων ὀρθῶς εἰρημένας, παρὰ δὲ αἱρετικῶν κακῶς ἐκλαμβανομένας παραιτεῖσθαι δεῖ, καὶ αὐτὴν ἀθετήσει τὴν θείαν Γραφὴν, ἐξ ἧς πάντες αἱρετικοὶ τῇ οἰκείᾳ συνηγορεῖν οἴονται νόσῳ· καὶ δῆλον ὅτι κατὰ τοὺς ἐκείνου λήρους, αἵ τε θεῖαι Γραφαὶ καὶ αἱ τῶν Πατέρων παραδόσεις ἀποδοκιμασθήσονται.

Ἀλλὰ ταῦτα μὲν ἡμεῖς πρὸς τοὺς αἱρετικοὺς ἀθετοῦντας τὴν τῶν Πατέρων διδασκαλίαν· ἡ δὲ ἁγία τοῦ Θεοῦ Ἐκκλησία τὰς μέντοι αὐτὰς τῶν αἱρετικῶν ματαιολογίας ἀποστρεφομένη, φυλάττουσα δὲ τὴν τοῦ Κυρίου καὶ τῶν ἁγίων ἀποστόλων τε καὶ Πατέρων παράδοσιν, ἕνα καὶ τὸν αὐτὸν κηρύττει μονογενῆ Θεὸν Λόγον Κύριον Ἰησοῦν Χριστὸν ἐν ἀμφοτέραις ταῖς οὐσίαις, τῇ τε Θεοῦ καὶ Πατρὸς καὶ τῇ τῆς Παρθένου μητρὸς γνωριζόμενον· καὶ οἱ τοῦτο μὴ ὁμολογοῦντες, ἢ τὴν ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς γέννησιν ἀπαρνοῦνται τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἢ τὴν ἐκ τῆς ἁγίας ἐνδόξου Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας· οὐ γὰρ τὴν οὐσίαν οὐκ ἔχει ὁ Χριστός· ἀπέστη κατ' αὐτοὺς καὶ τοῦ εἶναι Υἱός· εἰ δὲ συνελαυνόμενοι ἐκ τῆς θείας Γραφῆς καὶ τῆς τῶν Πατέρων διδασκαλίας, ὁμολογοῦσι μεθ' ἡμῶν Υἱὸν εἶναι τὸν Χριστὸν κατὰ ἀλήθειαν τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ τὸν αὐτὸν κατὰ ἀλήθειαν Υἱὸν εἶναι τῆς Παρθένου Μητρὸς, ὁμολογήσουσιν ἐξ ἀνάγκης ὥσπερ τὰς δύο γεννήσεις ἑνὸς καὶ τοῦ αὐτοῦ, οὕτως καὶ τὰς δύο οὐσίας ἔχειν αὐτόν· εἰ γὰρ καθὼς οἱ Πατέρες διδάσκουσι, μήτε ἡ τῆς θεότητος τοῦ Χριστοῦ φύσις εἰς τὴν τῆς σαρκὸς αὐτοῦ μεταβέβληται φύσιν, μήτε ἡ τῆς σαρκὸς αὐτοῦ εἰς τὴν τῆς θεότητος, μήτε μὴν ἡ διαφορὰ τῶν φύσεων ἀνῄρηται διὰ τὴν ἕνωσιν, ἀλλ' ἔμεινεν ἑκάτερον ὅπερ ἐστὶ τῇ φύσει· καὶ διπλοῦν ἐστι τὸ περὶ αὐτοῦ κήρυγμα, καὶ ἐν ἑκατέραις ταῖς οὐσίαις γνωρίζεται, τουτέστιν ἐν θεότητι καὶ ἀνθρωπότητι· πῶς οὐκ αἰσθάνονται τῆς οἰκείας πλάνης, οἱ μίαν τοῦ Χριστοῦ τερατευόμενοι φύσιν, καὶ των μὲν κατ' ἀλήθειαν πραγμάτων τὴν ἀναίρεσιν βλασφημοῦντες, ψιλὰ δὲ ὀνόματα θεότητος καὶ ἀνθρωπότητος τῷ Χριστῷ χαριζόμενοι; Ἀλλὰ πᾶσαν ὀρθὴν παρορῶντες διδασκαλίαν, ἐκείνῳ μόνῳ τὸν νοῦν προσέχουσιν, τῷ νομίζειν ὅτι ἡ φύσις ἤγουν οὐσία καὶ μορφὴ ταὐτὸν τῇ ὑποστάσει καὶ τῷ προσώπῳ δηλοῦσιν, ὅπερ καὶ πᾶσι τοῖς αἱρετικοῖς πρόφασις γίνεται πλάνης.

Καὶ τὰ μὲν περὶ τούτου καὶ ἐν τῷ ἤδη γραφέντι παρ' ἡμῶν λόγῳ πρὸς Ζωΐλον τὸν μακαριώτατον ἀρχιεπίσκοπον τῆς Ἀλεξανδρέων καὶ πατριάρχην (5) ἱκανῶς ἀποδέδεικται, παραστησάντων ἡμῶν ὅτι φύσις καὶ μορφὴ ταὐτὸν δηλοῖ, καὶ ἐπὶ τοῦ κοινοῦ σημαινομένου λαμβάνονται. Τὸ δὲ πρόσωπον καὶ ἡ ὑπόστασις ἐπὶ τῶν καθ' ἕκαστον λέγεται. Πλὴν καὶ ἐνταῦθα δι' ἑτέρων μαρτυριῶν τῶν ἁγίων Πατέρων τὸ αὐτὸ παραστήσομεν. — [P. 533] Ταῦτα τοίνυν εἰρήκαμεν δεικνύντες ὅτι οὐσία καὶ φύσις καὶ μορφὴ ταὐτὸν δηλοῦσιν. Ὅτι δὲ οὐχὶ ταὐτόν ἐστιν οὐσία καὶ ὑπόστασις, ὡς οἱ αἱρετικοὶ πλανώμενοι λέγουσιν, καὶ ἐκ τῆς περὶ τὴν ἁγίαν Τριάδα θεολογίας ἔξεστι μαθεῖν· ὅτε γὰρ εἴπομεν Θεὸν, τὴν μίαν οὐσίαν τῆς ἁγίας Τριάδος σημαίνομεν· ὅτε δὲ λέγομεν Πατέρα

A divinam Scripturam, ex qua hæretici suo morbo remedia haurire confidunt. Patet ergo, juxta illius ineptias, divinas Scripturas traditionesque Patrum reprobandas esse.

Hæc sunt ergo quæ nos adversus hæreticos doctrinam Patrum evertentes afferimus. Sancta vero Dei Ecclesia eosdem hæreticorum ineptias aversans, servans autem Domini, sanctorum apostolorum ac Patrum traditionem, unum eumdemque prædicat unigenitum Deum Verbum Dominum Jesum Christum, in duabus substantiis, Dei et Patris, matrisque Virginis agnitum. Illi, e contra, hoc non confitentes, vel ex Deo et Patre nativitatem unigeniti Filii Dei B ac Domini nostri Jesu Christi negant, vel ex sancta, gloriosa, Dei Matre semperque Virgine Maria; Christus enim non habet substantiam; juxtaque illos abest etiam quin sit Filius. Si autem, urgentibus nobis, ex divina Scriptura doctrinaque Patrum, nobiscum confitentur Christum esse vere Filium Dei et Patris, eumdemque vere esse Filium Virginis Matris, quemadmodum necessario confitebuntur duas nativitates unius ac ejusdem, ita et ipsum duas substantias habere; si enim, juxta quod docent Patres, nec natura divinitatis Christi in naturam carnis ipsius transmutata sit, nec natura carnis in naturam divinitatis, nec naturarum differentia unione sit ablata, sed si unumquodque quod est in natura permanserit, duplexque exstet de hoc præ- C dicatio, ac in unaquaque substantia agnoscatur, scilicet in divinitate atque humanitate, quomodo non intelligunt errorem suum, unam Christi naturam sibi fingendo, vera impie auferentes, nuda vero nomina divinitatis atque humanitatis Christo relinquentes? Sed omnem veram doctrinam despicientes, illud unum animo intendunt, ut credatur naturam vel substantiam ac formam eumdem ac hypostasim personamque patefacere, quod omnibus hæreticis causa fuit erroris.

D Hæc autem quæ ad illud pertinent, in sermone a nobis ad Zoilum beatissimum archiepiscopum Alexandriæ ac patriarcham satis exposita sunt, cum statuerimus naturam ac formam eumdem demonstrare, deque communi significato sumi. Persona vero atque hypostasis de singulis dicitur. Hic tamen aliis testimoniis sanctorum Patrum idem stabiliemus. — Hæc ergo diximus ostendentes substantiam, naturam formamque idem significare. Non autem idem esse substantiam atque hypostasim, velut hæretici errantes dicunt, ex ipsa de sancta Trinitate theologia discere licet. Cum enim Deum dicimus, unam substantiam sanctæ Trinitatis significamus; cum vero dicimus Patrem et Filium et Spiritum sanctum, tunc tres hypostases seu tres personas in

(5) Notemus Justiniani imp. scriptum aliud [cujus fragmentum exstat infra].

Patrum nostrorum testimoniis, quæ inventa sunt ab Acephalis adinventiones esse constare.

A εἰσὶν Ἀπολιναρίου, καὶ ἀλλότριαι τῆς καθολικῆς Ἐκκλησίας, δείξωμεν ὅτι καὶ τοῖς παρὰ τῶν ἁγίων ἡμῶν Πατέρων ἐκτεθειμένοις, ἐναντία τὰ παρὰ Ἀκεφάλων πεπλαστουργημένα καθεστᾶσι. (*Sequuntur Athanasii et Cyrilli nota testimonia.*)

Ex omnibus supradictis perspicue demonstratum fuisse confidimus sanctorum Patrum doctrinis adversari fideique Christianæ esse contraria quæ ab hæreticis proferuntur; cum manifeste sanctus Athanasius sanctusque Cyrillus duas naturas Christi divinitatis humanitatisque confiteantur, unam increatam ac alteram creatam dicant, unaque adoratione adorari unum Dominum nostrum Jesum Christum doceant. Sufficiunt igitur supradicta ad Acephalorum machinationem confutandam. Attamen nihil melius stultitiam vel potius machinationem eorum confutat, quam epistola ab illis prolata tanquam Julii Romæ episcopi cujus alias falsificatio demonstratur. Reipsa veteris Romæ sacerdotes in omnibus apostolicæ traditioni obsequentes, nunquam inter se discreparunt, sed rectam ac veram usque ad hanc diem doctrinam servaverunt. Insuper insolitum est veteris Romæ patriarchæ hujusmodi scripto uti, quod isti proferunt, non dicimus ad presbyteros, ut illi mentiuntur, sed nec etiam ad episcopos, nec ad ipsos patriarchas. Tertio nosmetipsi postquam misissemus ad archivium palatii episcopalis veteris Romæ, nihil hujusmodi a Julio sanctæ memoriæ scriptum reperimus. Epistolæ autem Athanasii sancti ad Jovianum, ab illis prolatæ, multis modis confutatur mendacium omnibus viribus astructum; non enim characterem epistolæ præfert, nec stylo imperatori conveniente scribitur. Insuper Joviani temporibus nulla controversia de humanitate Christi fuerat commota, sed de consubstantialitate in Trinitate, qualis fuit insania Ariana quæ tunc Ecclesias perturbavit, de qua vera exstat epistola sancti Athanasii ad Jovianum scripta, cujus in concione funebri sancti Athanasii meminit Gregorius Theologus, quamque integram refert Timotheus Apolinarii discipulus, in sua historia, sic habentem...

(*Deinde* p. 229.) Διὰ πάντων οἶμαι τῶν εἰρημένων σαφῶς ἀποδέδεικται, ὅτι ἐναντία ταῖς τῶν ἁγίων Πατέρων διδασκαλίαις ἐστὶν, καὶ ἀλλότρια τῆς τῶν Χριστιανῶν πίστεως τὰ παρὰ τῶν αἱρετικῶν προφερόμενα· φανερῶς τοῦ τε ἐν ἁγίοις Ἀθανασίου, καὶ τοῦ ἐν ἁγίοις Κυρίλλου, τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ δύο φύσεις ὁμολογούντων, καὶ τὴν μὲν ἄκτιστον, τὴν δὲ κτιστὴν λεγόντων, καὶ μιᾷ προσκυνήσει προσκυνεῖσθαι διδασκόντων τὸν B ἕνα Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Καὶ ἀρκεῖ μὲν τὰ εἰρημένα πρὸς ἔλεγχον τῆς τῶν Ἀκεφάλων κακουργίας. Πλὴν οὐδὲν ἄτοπον καὶ ἑτέρως αὐτῶν ἐλέγξαι τὴν κακοήθειαν, ὅτι ἡ μὲν προφερομένη παρ' αὐτῶν ἐπιστολὴ, ὡς Ἰουλίου δῆθεν τοῦ ἐπισκόπου Ῥώμης καὶ ἄλλως δείκνυται πεπλασμένη. Οἱ γὰρ ἱερεῖς τῆς πρεσβυτέρας Ῥώμης τῇ ἀποστολικῇ διὰ πάντων ἀκολουθήσαντες παραδόσει, οὐδέποτε πρὸς ἀλλήλους διεφώνησαν, ἀλλὰ τὴν ὀρθὴν καὶ ἀληθινὴν μέχρι σήμερον διεφύλαξαν δόξαν (3). Ἔπειτα δὲ ὡς οὐκ ἔθος ἐστὶ τῷ τῆς πρεσβυτέρας Ῥώμης πατριάρχῃ ἐπιγραφῇ τοιαύτῃ χρῆσθαι οἵαν οὗτοι προφέρουσιν, οὐ λέγομεν πρὸς πρεσβυτέρους, ὥσπερ αὐτοὶ συκοφαντοῦσιν, ἀλλ' οὔτε πρὸς ἐπισκόπους, οὔτε πρὸς αὐτοὺς πατριάρχας. Τρίτον δὲ ὅτι C καὶ πέμψαντες εἰς τὰ ἀρχεῖα τοῦ ἐπισκοπείου τῆς πρεσβυτέρας Ῥώμης, οὐδὲν τοιοῦτο παρὰ Ἰουλίου τοῦ τῆς ὁσίας μνήμης γεγραμμένον εὕρομεν. Ἡ δὲ ὡς παρὰ Ἀθανασίου τοῦ ἐν ἁγίοις πρὸς Ἰοβιανὸν ὑπ' αὐτῶν προφερομένη, πολλοῖς ἐλέγχεται τρόποις ψευδὴς παντάπασι καθεστῶσα· οὔτε γὰρ ἐπιστολιμαῖον ἔχει χαρακτῆρα, οὔτε πρεπούσῃ βασιλεῖ ὑπαγορίᾳ συντέθειται. Ἀλλ' οὐδὲ ἐπὶ τῶν Ἰοβιανοῦ χρόνων περὶ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου ἀμφισβήτησίς τις ἐκεκίνητο, ἀλλὰ περὶ τῆς ἐν τῇ ἁγίᾳ Τριάδι ὁμουσιότητος, οἷα τῆς Ἀρειανικῆς μανίας τηνικαῦτα ταῖς Ἐκκλησίαις ὀχλούσης· περὶ ἧς καὶ ἡ ἀληθὴς ἐπιστολὴ τοῦ ἐν ἁγίοις Ἀθανασίου πρὸς Ἰοβιανὸν γεγραμμένη φέρεται, ἧ καὶ Γρηγόριος ὁ Θεολόγος ἐν τῷ ἐπιταφίῳ τοῦ ἁγίου Ἀθανασίου μαρτυρεῖ, καὶ Τιμόθεος ὁ μαθητὴς Ἀπολιναρίου ταύτην ὁλόγραφον ἐν τῇ οἰκείᾳ τίθησιν ἱστορίᾳ ἔχουσαν οὕτως. (*Sequitur edita Athanasii ad Jovianum epistola.*)

Nunc autem de Timotheo Æluro loquamur, cum Manichæis consentiente, contraria vero sanctis Patribus Athanasio Cyrilloque docente; dicit enim hæc idem Timotheus, capite octavo libri tertii, quem in Chersoneso scripsit: « Natura autem Christi sola divinitas est, etsi fuerit incarnata. » Eadem vero Manichæus scribens in epistola ad Cundarum, hæc dicit: « Una natura est totum, etsi videatur figura carnis. » Ad hæc autem dicimus, si juxta insaniam Timothei natura Christi sit sola divinitas, Christum ergo esse Patrem ac Spiritum sanctum; una est enim natura divinitatis, Patris scilicet, et Filii et

D [P. 234.] Δείξωμεν δὲ καὶ Τιμόθεον τὸν Αἴλουρον σύμφωνα μὲν Μανιχαίων, ἐναντία δὲ τοῖς αὐτοῖς ἁγίοις Πατράσιν Ἀθανασίῳ καὶ Κυρίλλῳ φρονήσαντα. Λέγει γὰρ ὁ αὐτὸς Τιμόθεος ἐν τῷ ὀγδόῳ κεφαλαίῳ τοῦ τρίτου βιβλίου, ὅπερ ἐν Χέρσωνι συνέγραψε τάδε· « Φύσις δὲ Χριστοῦ μόνη θεότης, εἰ καὶ σεσάρκωται. » Τὰ αὐτὰ δὲ Μανιχαῖος γράφων ἐν τῇ πρὸς Κούνδαρον ἐπιστολῇ, λέγει τάδε· « Μία φύσις τὸ ὅλον, εἰ καὶ σαρκὸς ὡρᾶτο μορφή. » Πρὸς δὲ ταῦτα λέγομεν, ὅτι εἰ κατὰ τὴν ἄνοιαν Τιμοθέου φύσις Χριστοῦ μόνη θεότης, Χριστὸς ἄρα καὶ ὁ Πατὴρ καὶ τὸ ἅγιον Πνεῦμα· μία γὰρ θεότητος

(3) Notemus præclarum Justiniani imp. testimonium de perpetua Romanorum Pontificum orthodoxia, cum tot contra fuerint in cæteris patriarchalibus sedibus pastores hæretici.

φύσις, Πατρός φαμεν καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. Ἔσται δὲ καὶ τὸ πάθος κοινὸν κατὰ τὴν ἐκείνου μανίαν. (P. 236) Πάλιν Τιμόθεος ὁ βλάσφημος, ὡς οὐκ ἀρκούμενος προτέραις αὐτοῦ ματαιολογίαις, ἐν τῷ δευτέρῳ τῶν ἀντιῤῥητικῶν αὐτοῦ λόγων, σαφέστερον τὴν ἑαυτοῦ νόσον ἐκκαλύπτει· λέγει γὰρ οὕτως· « Οὐ γὰρ φύσεως ἔχει λόγον ἡ τοῦ Θεοῦ Λόγου σάρκωσις, ἀλλ' οἰκονομίας ὑπὲρ φύσιν πραττομένης ὑπὸ Θεοῦ ἐκ μὲν τῆς κοινῆς καὶ ἀνθρωπίνης ἡμῶν φύσεως ἤτοι οὐσίας· διὸ καὶ ὁμοφυὴς καὶ ὁμογενὴς καὶ ὁμοούσιος ἡμῖν λέγεται κατὰ τὸν τῆς οἰκονομίας λόγον, ἤτοι τὴν ἐκ γυναικὸς γέννησιν· οὔτε δὲ φύσις οὔτε οὐσία κοινοῦ τινος ἀνθρώπου προσηγόρευται πώποτε τὸ ἄχραντον καὶ ὁμογενὲς ἡμῖν σῶμα τοῦ Θεοῦ Λόγου. » Διὰ τῶν εἰρημένων τοίνυν φανερὸν καθέστηκεν, ὅτι τὴν τοῦ Θεοῦ Λόγου σάρκωσιν, φύσεως ἔχειν ἀπαρνεῖται λόγον Τιμόθεος. Εἰ δὲ φύσεως λόγον οὐκ ἔχει, κατὰ φαντασίαν μόνην φανῆναι ταύτην λέγει· φησὶ γάρ· « Ἐκ μὲν τῆς κοινῆς καὶ ἀνθρωπίνης ἡμῶν φύσεως ἤτοι οὐσίας τὸν Θεὸν Λόγον γεγενῆσθαι, τουτέστιν ἐκ γυναικὸς, καὶ κατὰ τοῦτο μόνον καὶ ὁμοφυᾶ καὶ ὁμογενῆ καὶ ὁμοούσιον ἡμῖν λέγεσθαι, καὶ Θεὸς ἐκ γυναικὸς ἀπετέχθη. » Ὁμοούσιον ἡμῖν οὐ μὴν αὐτὸν τὸν Κύριον κατὰ φύσιν, ἤτοι οὐσίαν, κοινὸν ἔχειν τι πρὸς ἀνθρώπους λέγει· ἐπάγει γὰρ, ὅτι, « Οὔτε φύσις, οὔτε οὐσία, κοινοῦ τινος ἀνθρώπου προσηγόρευται πώποτε, τὸ ἄχραντον καὶ ὁμογενὲς ἡμῖν σῶμα τοῦ Θεοῦ Λόγου. » Ἀρνούμενος δὲ τῇ ἡμετέρᾳ φύσει κοινωνεῖν τὸ τοῦ Κυρίου σῶμα, πρόδηλός ἐστι πρὸς ἀπάτην καὶ μονὴν, τῇ τοῦ *Μονογενοῦς* λέξει κεχρημένος, καὶ μηδὲν ἕτερον διὰ ταύτης νοῶν, εἰ μὴ ὅτι ὡς ἄνθρωπος κατὰ φαντασίαν γεγέννηται, καὶ δοκήσει οὐ φύσει ἐφάνη ἄνθρωπος. Εἰ δὲ ταῦτα οὕτως ἔχει κατὰ τὴν Τιμοθέου μανίαν, σαφὲς καθέστηκεν, ὅτι καὶ τὸ πάθος καὶ τὸν σταυρὸν καὶ τὸν θάνατον καὶ τὴν ἀνάστασιν τοῦ Κυρίου κατὰ φαντασίαν φησὶ γεγενῆσθαι, ὅπερ καὶ Μανιχαῖος λέγει.

[P. 237.] Καὶ πάλιν Τιμόθεος ταῖς ἑαυτοῦ βλασφημίαις προσεπιτιθεὶς τὰ χείρονα, καὶ ἐν τῷ τετάρτῳ αὐτοῦ κεφαλαίῳ τοῦ εἰρημένου τρίτου βιβλίου, λέγει τάδε· « Δειξάτωσαν ἡμῖν Διφυσῖται τῶν δύο φύσεων τοῦ Χριστοῦ διαφορὰν, ὡς αὐτοὶ λέγουσιν, εἰ δύνανται. » Ἰδοὺ σαφῶς ἀρνεῖται τὴν διαφορὰν τῶν ἐν Χριστῷ δύο φύσεων· καὶ ἐν τούτῳ δὲ ὁμοίως ἐναντιοῦται πᾶσι τοῖς τε ἄλλοις ἁγίοις Πατράσι, καὶ μάλιστα Ἀθανασίῳ καὶ Κυρίλλῳ. — Καὶ πάλιν Τιμόθεος ὁ αἱρετικὸς μείζονας ἐπινοῶν ἑαυτῷ βλασφημίας, προβάλλεται προφητικὴν ῥῆσιν λέγουσαν οὕτως· « Απαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ, καὶ Κύριος ὁ Θεὸς παντοκράτωρ ὄνομα αὐτῷ. » Εἶτα κακῶς ταύτας ἐξηγούμενος ἐπάγει· « Αὐτὸς οὖν δι' ἑαυτοῦ ἀπήγγειλε τοῖς ἀνθρώποις· τοῦτον ἰδὼν ὁ ἥλιος ἔδυ μεσημβρίᾳ. Ἀλλ' οὐκ ἐδέχετο τοῦτο δι' ἀνθρώπου γενέσθαι, ἤτοι διὰ φύσεως ἀνθρωπίνης· ἢ γὰρ ἂν πάντη τε καὶ παντελῶς ἔλυεν τὴν παρθενίαν ἡ ἀνθρώπου φύσις· εἰ γὰρ ἦν ἄνθρωπος κατὰ φύσιν καὶ νόμον ὁ μέλλων ἀποτελεῖσθαι ἄνθρωπος ἐν μήτρᾳ τῆς Παρθένου, οὐκ ἂν ἐτέχθη ἐξ αὐτῆς, εἰ μὴ πρω-

A Spiritus sancti. Passio quoque, juxta illius insaniam, communis erit. Rursus Timotheus blasphemus, quasi non sibi sufficerent stultitiæ priores, in libro secundo controversiarum suarum, apertius morbum suum revelat; sic enim loquitur : « Non enim naturæ habet Verbum Dei Verbi incarnatio, sed œconomiæ ultra naturam effectæ a Deo ex communi quidem humanaque nostra natura sive substantia. Ideo natura, generatione substantiaque similis nobis dicitur secundum œconomiæ verbum, sive ex muliere nativitatem; nunquam autem natura vel substantia communis alicujus hominis vocatum est mundum simileque nobis generatione corpus Dei Verbi. » Ex dictis evidens ergo constat, incarnationem Dei Verbi, naturæ verbum habere

B negare Timotheum. Si autem naturæ verbum non habet, secundum speciem solam apparuisse illam dicit; dicit enim : « Ex communi quidem humanaque nostra natura seu substantia Deus Verbum genitus est, scilicet ex muliere, secundumque hoc solum similis nobis natura, generatione substantiaque dicitur, Deusque de muliere natus est. » Similem nobis substantia, sed non ipsum Dominum secundum naturam, seu substantiam aliquid communis cum hominibus habere dicit; addit enim : « Nec natura, nec substantia alicujus hominis unquam vocatum est mundum simileque nobis generatione corpus Dei Verbi. » Cum neget autem corpus Domini cum nostra natura communicare, evidenter ad decipiendum atque ad detinendum

C nos voce *Unigeniti* utitur, nihilque aliud per illam intelligit nisi hominem sub specie genitum fuisse, similitudineque non natura hominem apparuisse. Si vero hæc sic se habent juxta Timothei insaniam, evidenter constat passionem, crucem, mortem ac resurrectionem Domini sub specie factas esse illum asserere, quod etiam asserit Manichæus.

Idem Timotheus suis blasphemiis adhuc pejora addit, atque in quarto capite supradicti libri tertii hæc dicit : « Diphysitæ (duarum naturarum fautores) nobis demonstrent duarum naturarum Christi differentiam, ut aiunt, si possunt. » En aperte negat differentiam duarum naturarum in Christo, atque

D in illo adversatur omnibus aliis sanctis Patribus, imprimis Athanasio ac Cyrillo. — Rursus idem hæreticus Timotheus in sese majores blasphemias volvens, rejicit propheticam vocem sic loquentem : « Mittens ad homines Christum suum, et Dominus Deus omnipotens nomen ejus. » Impie hæc verba postquam interpretatus est, pergit : « Ipse igitur per seipsum misit ad homines; quem videns sol in meridie occidit. Sed illud hominis generatione non recipiebatur, vel humana natura; aliter enim omnino et in perpetuum solveret virginitatem hominis natura; si enim esset homo juxta naturam ac legem perficiendus homo in sinu Virginis, non natus fuisset ex illa, nisi prius virginitate soluta. » Sed hæc peperit caput Timothei ipsiusque assecla-

rum; blasphemat enim Scripturam divinam sanctosque Patres, illis adversando. Non animadvertit in hoc maxime esse miraculum pietatis mysterii, quod unigenitus Filius ac Verbum Dei, cum Deus esset natura, incarnatus sit in utero Virginis, factus sit secundum naturam homo, ex illa natus sit, matremque Virginem servaverit.

Sanctus Cyrillus in sermone de virginitate Matris Dei confitenda hæc dicit: « Dominum ac Deum Christum agnoscimus; factus est enim homo propter nos Verbum Dei, naturæ humanæ particeps, cumque illa quam sumpsit ex sancta virumque nescientc Virgine ineffabile factum est ob amorem hominum. Ideo igitur vocatur homo; vocatur quoque Deus, dum sub unaquaque appellatione idem intelligitur Christus. » Hæc ergo ex Scripturis sacris atque ex sanctis Patribus exposuimus ad hæreticos confutandos, ex quo omnes Christiani scirent quomodo Dioscorus ac Timotheus *Feles*, hæretici aperti, cum Manichæo atque Apollinario opinari demonstrentur.

Audi vero sanctum Cyrillum, quomodo in suo sermone clare exponat sanctam Matrem Dei esse Virginem confitendam; sic enim loquitur: « Sed illud consideremus, nisi Christum Deum simul et hominem novisset divus Apostolus, illum *secundum carnem* non fuisse dicturum; notum est enim hoc non solum de homine, sed etiam de quocunque substantiam habente dici. Addidit quoque, *qui est super omnia Deus* [o], duplicem enim de Salvatore confessionem nobis tradidit, *secundum carnem*, demonstrans, *Deumque* prædicans. Rursumque Apostolus ad Timotheum: *Unus Deus, unus et mediator Dei et hominum, homo Christus Jesus, qui dedit redemptionem semetipsum pro omnibus* [p].

Sanctus Ambrosius hæc dicit: « Non ex Virgine principium sumpsit Deus Verbum, sed, cum esset Patri suo coæternus, propter multam suam bonitatem principium nostræ naturæ sibi ipsi unire dignatus est; non commistus, sed in unaquaque substantia unus et idem apparens, juxta quod scriptum est: *Solvite templum hoc, et in tribus diebus reædificabo illud* [q]. Solvitur enim Jesus Christus secundum meam substantiam quam assumpsit, et solutum reædificat suum templum idem secundum divinam sui ipsius substantiam, secundum quam omnium quoque creator est. » Et in Evangelio secundum Matthæum, ait Dominus ad eum qui ipsum tradebat: *Osculo Filium hominis tradis* [r]! Quod exponens Petrus martyr et archiepiscopus

A τον τῆς Παρθενίας διαλυθείσης. » Ἀλλὰ ταῦτα κατὰ τῆς Τιμοθέου τραπείη κεφαλῆς καὶ τῶν ἀκολουθούντων αὐτῷ· βλασφημεῖ γὰρ τῇ τε θείᾳ Γραφῇ καὶ τοῖς ἁγίοις Πατράσιν ἐναντιούμενος· οὐκ αἰσθόμενος ὅτι ἐν τούτῳ μάλιστα τὸ θαῦμα τοῦ τῆς εὐσεβείας ἐστὶ μυστηρίου, ὅτι ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, Θεὸς ὢν φύσει καὶ σαρκωθεὶς ἐν τῇ μήτρᾳ τῆς Παρθένου, καὶ γενόμενος κατὰ φύσιν ἄνθρωπος, ἐτέχθη ἐξ αὐτῆς, καὶ τὴν μητέρα Παρθένον ἐφύλαξεν.

[P. 238.] Ὁ ἐν ἁγίοις Κύριλλος ἐν τῷ λόγῳ τῷ Ὅτι χρὴ Θεοτόκον ὁμολογεῖν τὴν Παρθένον (4), λέγει τάδε· « Κύριον καὶ Θεὸν ἐπιγινώσκομεν τὸν Χριστόν· γέγονε μὲν γὰρ ἄνθρωπος δι' ἡμᾶς ὁ τοῦ Θεοῦ Λόγος, μετασχὼν τῆς ἀνθρωπείας φύσεως καὶ γεγένηται διὰ φιλανθρωπίαν ἄφατον μετὰ ταύτης ἐκ τῆς B ἁγίας καὶ ἀπειρογάμου Παρθένου. Διὰ τοῦτο τοίνυν καλεῖται καὶ ἄνθρωπος· καλεῖται δὲ καὶ Θεὸς, εἷς καὶ ὁ αὐτὸς ὑπάρχων ἐν ἑκατέρᾳ προσηγορίᾳ Χριστός. » Ταῦτα τοίνυν ἡμεῖς ἔκ τε τῶν θείων Γραφῶν καὶ τῶν ἁγίων παρεθέμεθα Πατέρων πρὸς ἔλεγχον τῶν αἱρετικῶν, ἐφ' ᾧ γινώσκειν ἅπαντας τοὺς Χριστιανοὺς, ὡς Διόσκορος καὶ Τιμόθεος ὁ Αἴλουρος οἱ αἱρετικοὶ καθαρῶς τὰ Μανιχαίου καὶ Ἀπολιναρίου φρονοῦντες ἀποδείκνυνται.

[P. 240.] Ἄκουε δὲ τοῦ ἐν ἁγίοις Κυρίλλου, πῶς τοῦτο σαφῶς ἑρμηνεύει ἐν τῷ λόγῳ τῷ Ὅτι χρὴ Θεοτόκον τὴν ἁγίαν Παρθένον ὁμολογεῖν· λέγει γὰρ οὕτως· « Οὐ μὴν ἀλλά γε κἀκεῖνο διασκεψώμεθα, ὡς εἰ μὴ Θεὸν ἅμα καὶ ἄνθρωπον ἠπίστατο τὸν Χριστὸν ὁ θεῖος Ἀπόστολος, οὐκ ἂν ἔλεγεν τὸ C *κατὰ σάρκα*· τοῦτο γὰρ φανερῶς ἐπὶ τοῦ μὴ μόνον ἀνθρώπου, ἀλλὰ καὶ καθ' ἕτερόν τι τὴν οὐσίαν ὄντος λέγεται· ὥσπερ οὖν καὶ ἐπήγαγεν, *Ὁ ὢν ἐπὶ πάντων Θεός*· διπλῆν γὰρ τὴν περὶ τοῦ Σωτῆρος ἡμῖν ὁμολογίαν παραδέδωκε, καὶ τὸ *κατὰ σάρκα* ἐπιδείξας, καὶ *Θεὸν* ἀνακηρύξας. Καὶ πάλιν ὁ Ἀπόστολος ἐν τῇ πρὸς Τιμόθεον, *Εἷς Θεὸς καὶ εἷς μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων.* »

[P. 241.] Ὁ ἐν ἁγίοις Ἀμβρόσιος λέγει τάδε· « Οὐκ ἀρχὴν ὁ Θεὸς Λόγος ἐκ τῆς Παρθένου εἰληφὼς, ἀλλὰ συναΐδιος τῷ ἑαυτοῦ Πατρὶ ὑπάρχων τὴν τῆς φύσεως τῆς ἡμετέρας ἀπαρχὴν ἑαυτῷ διὰ πολλὴν ἀγαθότητα ἑνῶσαι κατηξίωσεν· οὐ κραθεὶς, ἀλλ' ἐν D ἑκατέραις ταῖς οὐσίαις εἷς καὶ ὁ αὐτὸς φανεὶς, κατὰ τὸ γεγραμμένον· *Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν*. Λύεται γὰρ Χριστὸς Ἰησοῦς κατὰ τὴν ἐμὴν οὐσίαν ἣν ἔλαβεν, καὶ λελυμένον ἐγείρει τὸν ἴδιον ναὸν ὁ αὐτὸς κατὰ τὴν θείαν αὐτοῦ οὐσίαν, καθ' ἣν καὶ πάντων ὑπάρχει δημιουργός. » Καὶ ἐν τῷ κατὰ Ματθαῖον ὁ Κύριος λέγει πρὸς τὸν παραδιδόντα αὐτόν· *Φιλήματι τὸν Υἱὸν τοῦ ἀνθρώπου παραδίδως!* Τοῦτο δὲ Πέτρος ὁ μάρτυς καὶ ἀρχιεπίσκοπος Ἀλεξανδρείας ἐξηγού-

[o] Ephes. IV, 6. [p] I Tim. II, 6. [q] Joan. II, 19. [r] Luc. XXII, 48.

(4) Præclarum hunc et prolixum S. Cyrilli tractatum adversus eos qui SS. Virginem nolebant confiteri *Deiparam*, primus ego ex codice bibliothecæ Vaticanæ hoc anno edidi in *Scriptorum veterum* octavo volumine. Confer ibi, p. 117-118.

μενος λέγει ταῦτα καὶ τὰ τούτοις ὅμοια· « Τά τε σημεῖα πάντα ὅσα ἐποίησεν, καὶ αἱ δυνάμεις, δεικνυσιν αὐτὸν Θεὸν *ἐνανθρωπήσαντα*· τὰ συναμφότερα τοίνυν δείκνυται, ὅτι Θεὸς ἦν φύσει, καὶ ἐγένετο ἄνθρωπος φύσει. »

[P. 242.] Δεῖ δὲ προσέχειν τὸν νοῦν, ὅτι εἰπὼν ὁ Ἀπόστολος *ὅς*, τὴν ὑπόστασιν τοῦ Λόγου ἐσήμανεν ἐν τῇ τοῦ Θεοῦ ὑπάρχειν μορφῇ, ὅπερ ἐστὶν ἐν τῇ οὐσίᾳ τοῦ Πατρός. Καὶ οὐκ εἶπεν ὅτι *τὸν ὑπάρχοντα ἐν μορφῇ δούλου ἔλαβεν*, ἵνα μὴ προϋποστάντα δείξῃ τὸν ἄνθρωπον κατὰ τὴν Νεστορίου μανίαν· ἀλλ' εἶπεν ὅτι *μορφὴν δούλου ἔλαβεν*, τουτέστιν οὐσίαν ἀνθρώπου· δεικνὺς ὅτι τῇ ὑποστάσει τοῦ Λόγου τὴν ὕπαρξιν ἔσχεν ἡ σὰρξ, ἵνα εἷς καὶ ὁ αὐτὸς ἐν μιᾷ ὑποστάσει ὑπάρχων, ἐν ἑκατέρᾳ μορφῇ, τουτέστι φύσει, γνωρίζηται τῇ θείᾳ τε καὶ ἀνθρωπίνῃ· δῆλον γὰρ ὅτι ὁ Θεὸς Λόγος γεννηθεὶς πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ Πατρὸς, οὐ τῆς αὐτῆς ὑποστάσεώς ἐστι τῷ Πατρὶ, ἀλλὰ τῆς αὐτῆς οὐσίας καθ' ὃ Θεὸς, ἰδίαν δὲ ἔχει τὴν ὑπόστασιν καθ' ὃ Λόγος. Καὶ ἐπ' ἐσχάτου τῶν ἡμερῶν γεννηθεὶς ὁ αὐτὸς κατὰ σάρκα ἐκ τῆς ἁγίας ἐνδόξου Παρθένου καὶ Θεοτόκου Μαρίας, οὐ τῆς αὐτῆς ὑποστάσεώς ἐστι τῇ Μητρὶ, ἀλλὰ τῆς αὐτῆς οὐσίας. Εἶτα πῶς οἱ Ἀκέφαλοι δύο ὑποστάσεων ἕνωσιν λέγουσι, καίτοι δύο ὑποστάσεων ἕνωσιν τὴν καθ' ὑπόστασιν οὐκ ἐπιδεχομένων; Ἢ ἀγνοοῦσι ὅτι καὶ Νεστόριος διὰ τὴν τοιαύτην πλάνην κατεκρίθη, δύο ὑποστάσεις ἐπὶ τῆς οἰκονομίας εἰσάγων; Ἀλλὰ τούτων οὕτως ὄντων, καὶ Νεστορίου καὶ πάσης μᾶλλον αἱρέσεως βδελυρώτερα δόγματα λέγειν ἀνέχονται οἱ Ἀκέφαλοι, ἢ συναινεῖν τῇ ἀληθείᾳ. Καὶ ταῦτα μὲν ἡμεῖς πρὸς αὐτούς. Τὸ δ' αὐτὸ τοῦ Ἀποστόλου ῥητὸν ἐξηγούμενος καὶ ὁ ἐν ἁγίοις Ἀμβρόσιος ἐν τῷ κατὰ Ἀπολιναρίου λόγῳ γράφει τάδε· « Κάλλιστα κέχρηται τῇ τῶν αὐτῶν ἐπαναλήψει ῥημάτων ὁ Ἀπόστολος λέγων περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· *Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών*. Τί ἐστι μορφὴ Θεοῦ, εἰ μὴ ἐν τῷ πληρώματι τῆς θεότητος ἐκεῖνο τῆς θείας τελειότητος ἐκτύπωμα; Οὐκοῦν ἐν τῷ τελείῳ τῆς θεότητος ὢν, ἐκένωσεν ἑαυτὸν, καὶ ἔλαβε τὸ τέλειον τῆς κατὰ ἄνθρωπον φύσεως ὁλοκλήρου· καὶ ὡς οὐδὲν ἔλιπε τῷ Θεῷ, οὕτως οὔτε τῷ καταρτισμῷ τῷ κατὰ τὸν ἄνθρωπον, ἵνα τέλειος ἐν ἑκατέρᾳ φύσει τυγχάνῃ. »

[P. 244.] Ἱκανὰ μὲν οὖν ἡγούμεθα πρὸς ἀπόδειξιν τοῦ μίαν μὲν ὑπόστασιν, ἤτοι ἓν πρόσωπον εἶναι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν δυσὶ δὲ φύσεσι αὐτὸν γνωρίζεσθαι, τουτέστιν ἐν θεότητι καὶ ἀνθρωπότητι, τά τε ἐκ τῆς θείας Γραφῆς καὶ τῶν ἁγίων ἡμῖν παρατεθειμένα Πατέρων, εἰ καὶ ὀλίγα ἐκ πολλῶν προηγάγομεν, ἵνα μὴ πλῆθος τοῖς γραφομένοις ποιήσωμεν· πλὴν ἐπειδή ἐστιν ὅτε καὶ ὑπὸ τῶν ἐχθρῶν ἡ ἀλήθεια φανεροῦται, ὥσπερ οὖν καὶ οἱ δαίμονες τὸν Χριστὸν Υἱὸν τοῦ Θεοῦ καὶ ἄκοντες ὡμολόγησαν, δείξομεν καὶ αὐτὸν Σευῆρον τὸν Ἀπο-

A Alexandriæ, hæc et his similia profert · « Signa omnia quæcunque fecit, et virtutes, de illo testantur quod Deus sit *incarnatus* : utrumque ergo simul demonstratur, illum nempe natura Deum esse, et factum fuisse natura hominem. »

Attendendum est autem, Apostolum dicentem *qui*, hypostasin Verbi in Dei forma exsistere significasse, quod est in substantia Patris. Non vero dixit *exsistentem in forma servi assumpsisse* [a], ne, juxta Nestorii insaniam, hominem præexsistentem ostenderet; sed dixit *formam servi accepisse*, scilicet substantiam hominis; ostendens in hypostasi Verbi exsistentiam habere carnem, ut unus ac idem in una hypostasi exsistens, in unaquaque B forma, scilicet natura, divina atque humana agnoscatur; patet enim Deum Verbum natum de Patre ante omnia sæcula non esse ejusdem hypostasis cum Patre, sed ejusdem substantiæ qua Deus est, propriam vero hypostasim habere qua Verbum est. Idem autem in novissimo dierum secundum carnem natus e sancta et gloriosa Virgine Matre Dei, ejusdem hypostasis non est cum matre, sed ejusdem substantiæ. Deinde quomodo Acephali de unione hypostaseon duarum loquuntur, etsi hypostatice unionem non admittant duæ hypostases? Ignorantne istiusmodi erroris causa Nestorium damnatum fuisse, duas hypostases in œconomiam subinferentem? Sed quamvis hæc ita sint, Nestorii omnisque hæreseos dogmata impudentiora fateri malunt C Acephali, quam veritati assentire. Hæc autem a nobis illis dicenda sunt. Idem vero verbum Apostoli interpretans quoque sanctus Ambrosius in sermone de Apollinario, hæc scribit : « Optime horum verborum iterationem adhibuit Apostolus, de Domino nostro Jesu Christo dicens : *Qui cum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo, sed semetipsum exinanivit, formam servi accipiens* [b]. Quid est *forma Dei*, nisi in plenitudine divinitatis illa divinæ perfectionis impressio? Cum igitur esset in hoc culmine divinitatis, semetipsum exinanivit, atque accepit perfecte ac integre hominis naturam; utque nihil Deo reliquit, item nec restaurationi hominis, ut perfectus in unaquaque natura inveniretur. »

D

Ad demonstrandum igitur unam esse hypostasin sive unam personam Domini nostri Jesu Christi, in duabus vero naturis ipsum agnosci, scilicet in divinitate et humanitate, apta censuimus quæ ex divinis Scripturis sanctisque Patribus præbentur, etsi pauca ex multis produxerimus, ne abundantius scriptum faciamus; sed cum aliquando contingat ut ab hæreticis ipsis veritas patefiat, quemadmodum cætero dæmones Christum Filium Dei etiam inviti confessi sunt, ostendemus ipsum quoque Severum, Apollinarii successorem Acephalorumque errorem

[a] Philipp. II, 6. [b] ibid. 6, 7.

augentem, confitentem omnes sanctos Patres duas naturas de Christo inculpate asseruisse. Hæc igitur dicit in sermone quem *Expositionem fidei* vocat: « Fateri duas naturas, » etc.... Deinde in iisdem immorans atque in decursu sermonis, dicit se verba Patrum illorum qui inculpato stylo scripserunt, proferre nequire, etsi antea verba Cyrilli recitata sint. Si vero omnes sancti Patres, imo et sanctus Cyrillus inculpato stylo scripserint, ipseque Severus hoc fateatur, quis ergo sibi talem arrogaret auctoritatem ad doctrinam Patrum reprobandam? vel quomodo Patres vocat Severus quorum opiniones reprobandas existimat? Sed manifestum se fecit: cum enim non posset effugere veritatem, hoc verbum quidem a Patribus prolatum esse confessus est, sed proprio morbo mederi volens, blasphemiis Nestorii doctrinam Patrum fuisse reprobatam asserit; quod est risu dignum. Illis autem sanctos Patres exinanire conatus est, sanctumque Cyrillum calumniari non dubitavit, ut illis quæ ab ipso paulo ante dicta fuerant sanctisque Patribus adversantem. Attamen cum ille usque ad Nestorii tempora sanctos Patres hoc verbo inculpate fuisse usos affirmet, nos sanctum Cyrillum *duarum naturarum* verbo de œconomia Salvatoris utentem, condemnasse Nestorium ostendemus; iterumque post condemnatum Nestorium, simili doctrina usus est idem sanctus Cyrillus. Videtur ergo Severus neque sanctos Patres intelligere, neque causam ob quam condemnatus est Nestorius; sancti enim Patres divinitatis Christi atque humanitatis duas naturas unitas confitentes, ne duæ hypostases aut duo filii de ipso dicerentur, vetarunt; Nestoriusque naturam, hypostasim atque personam idem esse confitens, propterea duarum naturarum in hypostasi unionem negans, separatim hypostaticeque duas naturas dicens, indeque duos filios duosque Christos effingens, propter istam ipsius blasphemiam, a sanctis Patribus condemnatus est; ideoque sanctus Cyrillus, insaniam ejus Judaicam retundens in Ephesino synodo, sanctos Patres adduxit ut vetarent ne duo filii dicerentur, duas vero naturas unumque Filium prædicarent.

A λιναρίου διάδοχον καὶ τὴν τῶν Ἀκεφάλων αὐξήσαντα πλάνην, ὁμολογοῦντα ὅτι πάντες οἱ ἅγιοι Πατέρες δύο φύσεις ἐπὶ τοῦ Χριστοῦ ἀδιαβλήτως εἰρήκασι. Λέγει γοῦν ἐν τῷ λόγῳ ὃν *Ἔκθεσιν πίστεως* δῆθεν ὀνομάζει, τάδε· « Τὸ δὲ λέγειν δύο φύσεις, » etc. (*ut alibi jam recitavimus*). Εἶτα τοῖς αὐτοῖς ἐμμένων καὶ διὰ τῶν ἐφεξῆς λέγει, μὴ δύνασθαι τὰς τῶν Πατέρων φωνὰς τῶν ἀδιαβλήτως τῇ λέξει χρησαμένων προφέρεσθαι, κἂν αὐτοῦ Κυρίλλου εἶεν πρὸ τούτου λεχθεῖσαι. Εἰ τοίνυν πάντας τοὺς ἁγίους Πατέρας, ἔτι μὴν καὶ τὸν ἐν ἁγίοις Κύριλλον ἀδιαβλήτως τῇ λέξει χρήσασθαι, καὶ αὐτὸς Σευῆρος ὁμολογῇ, τίς ἄρα τοιαύτην ἔσχεν αὐθεντίαν, ὥστε τὴν τῶν ἁγίων Πατέρων ἀποδοκιμάσαι διδασκαλίαν; ἢ πῶς Πατέρας ὀνομάζει Σευῆρος ὧν ἀποδοκιμασθῆναι λέγει τὰ B δόγματα; Ἀλλὰ πρόδηλον ἑαυτὸν δείκνυσιν, ὡς τὴν ἀλήθειαν ἀποφυγεῖν, μὴ δυνάμενος, ὡμολόγησε μὲν τὴν τοιαύτην φωνὴν παρὰ τῶν ἁγίων Πατέρων εἰρῆσθαι, βουληθεὶς δὲ τῇ οἰκείᾳ νόσῳ συνηγορεῖν, λέγει διὰ τὰς Νεστορίου βλασφημίας ἀποδοκιμασθῆναι τὰς τῶν ἁγίων Πατέρων διδασκαλίας· ἐφ' ᾧ καὶ γελᾶν ἄξιον. Διὰ δὲ τούτων τούς τε ἁγίους Πατέρας ἀθετεῖν ἐπεχείρησεν καὶ τὸν ἐν ἁγίοις Κύριλλον συκοφαντεῖν οὐκ ἀπώκνησεν, ὡς καὶ τοῖς πρώην παρ' αὐτοῦ εἰρημένοις καὶ τοῖς ἁγίοις Πατράσιν ἐναντιούμενον. Πλὴν ἐπειδὴ ἐκεῖνος μέχρι τῶν Νεστορίου χρόνων, λέγει τοὺς ἁγίους Πατέρας ἀδιαβλήτως τῇ τοιαύτῃ χρήσασθαι φωνῇ, ἡμεῖς δείξομεν ὅτι ὁ ἐν ἁγίοις Κύριλλος τῇ τῶν *δύο φύσεων* φωνῇ ἐπὶ τῆς C οἰκονομίας τοῦ Σωτῆρος χρησάμενος, κατέκρινε Νεστόριον· καὶ πάλιν μετὰ τὴν Νεστορίου κατάκρισιν, ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος τῇ ὁμοίᾳ ἐχρήσατο διδασκαλίᾳ. Ἔοικε γὰρ Σευῆρος μήτε τοὺς ἁγίους νοήσας Πατέρας, μήτε τὴν αἰτίαν ἐφ' ᾗ κατεκρίθη Νεστόριος· οἱ γὰρ ἅγιοι Πατέρες τῆς θεότητος τοῦ Χριστοῦ καὶ τῆς ἀνθρωπότητος δύο φύσεις ἡνωμένας ὁμολογοῦντες ἀπηγόρευσαν δύο ὑποστάσεις ἢ δύο υἱοὺς ἐπ' αὐτοῦ λέγειν· Νεστορίου γὰρ φύσιν καὶ ὑπόστασιν καὶ πρόσωπον ταὐτὸν εἶναι ὁμολογοῦντος, καὶ διὰ τοῦτο τῶν δύο φύσεων τὴν καθ' ὑπόστασιν ἕνωσιν ἀρνουμένου, καὶ ἀνὰ μέρος καὶ ἰδιοϋποστάτως τὰς δύο φύσεις λέγοντος, καὶ ἐντεῦθεν δύο υἱοὺς καὶ δύο Χριστοὺς ἀναπλάττοντος, καὶ διὰ τὴν τοιαύτην αὐτοῦ βλασφημίαν ὑπὸ τῶν ἁγίων κατεκρίθη Πατέρων, ἀμέλει τοι ὁ ἐν ἁγίοις Κύριλλος τὴν Ἰουδαϊκὴν αὐτοῦ μανίαν ἀνελέγχων ἐν τῇ κατ' Ἔφεσον συνόδῳ, τοὺς ἁγίους Πατέρας προήγαγεν ἀπαγορεύοντας μὲν τὸ λέγειν δύο Υἱούς, δύο δὲ φύσεις καὶ ἕνα Υἱὸν κηρύττοντας.

Ex omnibus igitur quæ dicta sunt patefactum est sanctum Cyrillum ante damnationem Nestorii, in illius damnatione postque ipsius damnationem, duarum naturarum in uno Christo confessionem prædicare continuo non cessasse. Sed nihil horum intelligens veritatis hostis Severus, Patres nomine Patrum vocat, ac denegat ab illis Ecclesiæ recte traditam fuisse doctrinam, nesciens Nestorium ob suam quidem impietatem condemnatum fuisse, ab illoque tamen Patrum doctrinam eversam fuisse. Si autem, juxta insaniam Severi, verba a sanctis Patribus recte prædicata, ab hæreticis vero maligne interpretata removenda sunt, evertet etiam

D [P. 251.] Ἐκ τῶν εἰρημένων τοίνυν ἁπάντων ἀποδέδεικται ὅτι ὁ ἐν ἁγίοις Κύριλλος καὶ πρὸ τῆς Νεστορίου κατακρίσεως, καὶ ἐν αὐτῇ τῇ κατακρίσει, καὶ μετὰ τὴν αὐτοῦ κατάκρισιν, οὐ διέλιπεν τὴν περὶ τῶν δύο φύσεων ἐπὶ τοῦ ἑνὸς Χριστοῦ ὁμολογίαν ἀεὶ κηρύττων· ἀλλ' οὐδὲν τούτων Σευῆρος ὁ τῆς ἀληθείας ἐχθρὸς ἐννοῶν, τοὺς μὲν Πατέρας ὀνόματι δῆθεν Πατέρων ἀποκαλεῖ, ἀρνεῖται δὲ τὰ παρ' αὐτῶν ὀρθῶς τῇ Ἐκκλησίᾳ παραδεδομένα δόγματα, μὴ γινώσκων ὅτι Νεστόριος μὲν διὰ τὴν οἰκείαν ἀσέβειαν κατακέκριται, οὐ μὴν δι' ἐκεῖνον ἡ τῶν Πατέρων ἀνῄρηται διδασκαλία. Εἰ γὰρ κατὰ τὴν Σευήρου μανίαν, τὰς φωνὰς τὰς παρὰ μὲν τῶν ἁγίων

Πατέρων ὀρθῶς εἰρημένας, παρὰ δὲ αἱρετικῶν κακῶς ἐκλαμβανομένας παραιτεῖσθαι δεῖ, καὶ αὐτὴν ἀθετήσει τὴν θείαν Γραφὴν, ἐξ ἧς πάντες αἱρετικοὶ τῇ οἰκείᾳ συνηγορεῖν οἴονται νόσῳ· καὶ δῆλον ὅτι κατὰ τοὺς ἐκείνου λήρους, αἵ τε θεῖαι Γραφαὶ καὶ αἱ τῶν Πατέρων παραδόσεις ἀποδοκιμασθήσονται.

Ἀλλὰ ταῦτα μὲν ἡμεῖς πρὸς τοὺς αἱρετικοὺς ἀθετοῦντας τὴν τῶν Πατέρων διδασκαλίαν· ἡ δὲ ἁγία τοῦ Θεοῦ Ἐκκλησία τὰς μέντοι αὐτὰς τῶν αἱρετικῶν ματαιολογίας ἀποστρεφομένη, φυλάττουσα δὲ τὴν τοῦ Κυρίου καὶ τῶν ἁγίων ἀποστόλων τε καὶ Πατέρων παράδοσιν, ἕνα καὶ τὸν αὐτὸν κηρύττει μονογενῆ Θεὸν Λόγον Κύριον Ἰησοῦν Χριστὸν ἐν ἀμφοτέραις ταῖς οὐσίαις, τῇ τε Θεοῦ καὶ Πατρὸς καὶ τῇ τῆς Παρθένου μητρὸς γνωριζόμενον· καὶ οἱ τοῦτο μὴ ὁμολογοῦντες, ἢ τὴν ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς γέννησιν ἀπαρνοῦνται τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἢ τὴν ἐκ τῆς ἁγίας ἐνδόξου Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας· οὐ γὰρ τὴν οὐσίαν οὐκ ἔχει ὁ Χριστός· ἀπέστη κατ' αὐτοὺς καὶ τοῦ εἶναι Υἱός· εἰ δὲ συνελαυνόμενοι ἐκ τῆς θείας Γραφῆς καὶ τῆς τῶν Πατέρων διδασκαλίας, ὁμολογοῦσι μεθ' ἡμῶν Υἱὸν εἶναι τὸν Χριστὸν κατὰ ἀλήθειαν τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ τὸν αὐτὸν κατὰ ἀλήθειαν Υἱὸν εἶναι τῆς Παρθένου Μητρὸς, ὁμολογήσουσιν ἐξ ἀνάγκης ὥσπερ τὰς δύο γεννήσεις ἑνὸς καὶ τοῦ αὐτοῦ, οὕτως καὶ τὰς δύο οὐσίας ἔχειν αὐτόν· εἰ γὰρ καθὼς οἱ Πατέρες διδάσκουσι, μήτε ἡ τῆς θεότητος τοῦ Χριστοῦ φύσις εἰς τὴν τῆς σαρκὸς αὐτοῦ μεταβέβληται φύσιν, μήτε ἡ τῆς σαρκὸς αὐτοῦ εἰς τὴν τῆς θεότητος, μήτε μὴν ἡ διαφορὰ τῶν φύσεων ἀνῄρηται διὰ τὴν ἕνωσιν, ἀλλ' ἔμεινεν ἑκάτερον ὅπερ ἐστὶ τῇ φύσει· καὶ διπλοῦν ἐστι τὸ περὶ αὐτοῦ κήρυγμα, καὶ ἐν ἑκατέραις ταῖς οὐσίαις γνωρίζεται, τουτέστιν ἐν θεότητι καὶ ἀνθρωπότητι· πῶς οὐκ αἰσθάνονται τῆς οἰκείας πλάνης, οἱ μίαν τοῦ Χριστοῦ τερατευόμενοι φύσιν, καὶ τῶν μὲν κατ' ἀλήθειαν πραγμάτων τὴν ἀναίρεσιν βλασφημοῦντες, ψιλὰ δὲ ὀνόματα θεότητος καὶ ἀνθρωπότητος τῷ Χριστῷ χαριζόμενοι; Ἀλλὰ πᾶσαν ὀρθὴν παρορῶντες διδασκαλίαν, ἐκείνῳ μόνῳ τὸν νοῦν προσέχουσιν, τῷ νομίζειν ὅτι ἡ φύσις ἤγουν οὐσία καὶ μορφὴ ταὐτὸν τῇ ὑποστάσει καὶ τῷ προσώπῳ δηλοῦσιν, ὅπερ καὶ πᾶσι τοῖς αἱρετικοῖς πρόφασις γίνεται πλάνης.

Καὶ τὰ μὲν περὶ τούτου καὶ ἐν τῷ ἤδη γραφέντι παρ' ἡμῶν λόγῳ πρὸς Ζωΐλον τὸν μακαριώτατον ἀρχιεπίσκοπον τῆς Ἀλεξανδρέων καὶ πατριάρχην (5) ἱκανῶς ἀποδέδεικται, παραστησάντων ἡμῶν ὅτι φύσις καὶ μορφὴ ταὐτὸν δηλοῖ, καὶ ἐπὶ τοῦ κοινοῦ σημαινομένου λαμβάνονται. Τὸ δὲ πρόσωπον καὶ ἡ ὑπόστασις ἐπὶ τῶν καθ' ἕκαστον λέγεται. Πλὴν καὶ ἐνταῦθα δι' ἑτέρων μαρτυριῶν τῶν ἁγίων Πατέρων τὸ αὐτὸ παραστήσομεν. — [P. 533] Ταῦτα τοίνυν εἰρήκαμεν δεικνύντες ὅτι οὐσία καὶ φύσις καὶ μορφὴ ταὐτὸν δηλοῦσιν. Ὅτι δὲ οὐχὶ ταὐτόν ἐστιν οὐσία καὶ ὑπόστασις, ὡς οἱ αἱρετικοὶ πλανώμενοι λέγουσιν, καὶ ἐκ τῆς περὶ τὴν ἁγίαν Τριάδα θεολογίας ἔξεστι μαθεῖν· ὅτε γὰρ εἴπομεν Θεὸν, τὴν μίαν οὐσίαν τῆς ἁγίας Τριάδος σημαίνομεν· ὅτε δὲ λέγομεν Πατέρα

A divinam Scripturam, ex qua hæretici suo morbo remedia haurire confidunt. Patet ergo, juxta illius ineptias, divinas Scripturas traditionesque Patrum reprobandas esse.

Hæc sunt ergo quæ nos adversus hæreticos doctrinam Patrum evertentes afferimus. Sancta vero Dei Ecclesia eosdem hæreticorum ineptias aversans, servans autem Domini, sanctorum apostolorum ac Patrum traditionem, unum eumdemque prædicat unigenitum Deum Verbum Dominum Jesum Christum, in duabus substantiis, Dei et Patris, matrisque Virginis agnitum. Illi, e contra, hoc non confitentes, vel ex Deo et Patre nativitatem unigeniti Filii Dei B ac Domini nostri Jesu Christi negant, vel ex sancta, gloriosa, Dei Matre semperque Virgine Maria; Christus enim non habet substantiam; juxtaque illos abest etiam quin sit Filius. Si autem, urgentibus nobis, ex divina Scriptura doctrinaque Patrum, nobiscum confitentur Christum esse vere Filium Dei et Patris, eumdemque vere esse Filium Virginis Matris, quemadmodum necessario confitebuntur duas nativitates unius ac ejusdem, ita et ipsum duas substantias habere; si enim, juxta quod docent Patres, nec natura divinitatis Christi in naturam carnis ipsius transmutata sit, nec natura carnis in naturam divinitatis, nec naturarum differentia unione sit ablata, sed si unumquodque quod est in natura permanserit, duplexque exstet de hoc præ- C dicatio, ac in unaquaque substantia agnoscatur, scilicet in divinitate atque humanitate, quomodo non intelligunt errorem suum, unam Christi naturam sibi fingendo, vera impie auferentes, nuda vero nomina divinitatis atque humanitatis Christo relinquentes? Sed omnem veram doctrinam despicientes, illud unum animo intendunt, ut credatur naturam vel substantiam ac formam eumdem ac hypostasim personamque patefacere, quod omnibus hæreticis causa fuit erroris.

D Hæc autem quæ ad illud pertinent, in sermone a nobis ad Zoilum beatissimum archiepiscopum Alexandriæ ac patriarcham satis exposita sunt, cum statuerimus naturam ac formam eumdem demonstrare, deque communi significato sumi. Persona vero atque hypostasis de singulis dicitur. Hic tamen aliis testimoniis sanctorum Patrum idem stabiliemus. — Hæc ergo diximus ostendentes substantiam, naturam formamque idem significare. Non autem idem esse substantiam atque hypostasim, velut hæretici errantes dicunt, ex ipsa de sancta Trinitate theologia discere licet. Cum enim Deum dicimus, unam substantiam sanctæ Trinitatis significamus; cum vero dicimus Patrem et Filium et Spiritum sanctum, tunc tres hypostases seu tres personas in

(5) Notemus Justiniani imp. scriptum aliud [cujus fragmentum exstat infra].

una natura divinitatis cognitas proponimus. Ita enim ipsa nos docuit vox divina dicens : *Faciamus hominem ad imaginem et similitudinem nostram*[u]. Vox autem *faciamus* non est unius personæ significativa, juxta Sabellii insaniam ; pluraliter enim dicta, sanctæ Trinitatis demonstrativa est. *Ad imaginem* autem *nostram*, unam substantiam ostendit Patris, et Filii, et Spiritus sancti ; non enim dixit *ad imagines*, ne diversas substantias in Trinitate suspicaremur, juxta Arii insaniam ; sed *ad imaginem*, ut unam substantiam atque consubstantialem ostenderet sanctam Trinitatem. *Hominem ad imaginem nostram* rationalem naturam humanitatis significavit, juxta quam imago Dei sumus ; non enim dixit : *Faciamus hunc*, ne persona intelligatur ; sed dixit : *Faciamus hominem*, ut rationalis natura humanitatis demonstraretur. Tunc autem hypostases proponere voluit, cum masculum et feminam, Adamum et Evam vocavit, quod est personæ seu hypostases.

A καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, τότε τὰς τρεῖς ὑποστάσεις, ἤτουν τὰ τρία πρόσωπα τὰ ἐν τῇ μιᾷ φύσει τῆς θεότητος γνωριζόμενα παριστῶμεν. Οὕτω γὰρ ἡμᾶς καὶ ἡ θεία διδάσκει φωνὴ ἡ λέγουσα, *Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν*. Ἡ δὲ φωνὴ τοῦ *ποιήσωμεν* οὐχ ἑνός ἐστι προσώπου σημαντικὴ, κατὰ τὴν Σαβελλίου μανίαν· πληθυντικῶς γὰρ εἰρημένη, τῆς ἁγίας Τριάδος ἐστὶ δηλωτική. Καὶ τὸ *κατ' εἰκόνα* δὲ *ἡμετέραν*, τὴν μίαν οὐσίαν δηλοῖ Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος· οὐ γὰρ εἶπε, *κατ' εἰκόνας*, ἵνα μὴ διαφόρους τὰς οὐσίας τῆς Τριάδος ὑπονοήσωμεν, κατὰ τὴν Ἀρείου μανίαν· ἀλλὰ, *κατ' εἰκόνα*, ἵνα μίαν οὐσίαν καὶ ὁμοούσιον δείξῃ τὴν ἁγίαν Τριάδα· τὸ δὲ εἰπεῖν, *κατ' εἰκόνα ἡμετέραν τὸν ἄνθρωπον*, τὴν B νοερὰν τῆς ἀνθρωπότητος φύσιν ἐσήμανε, καθ' ἣν ἐσμεν εἰκὼν τοῦ Θεοῦ· οὐ γὰρ εἶπε, *Ποιήσωμεν τόνδε*, ἵνα μὴ πρόσωπον νοηθῇ, ἀλλ' εἶπεν, *Ποιήσωμεν ἄνθρωπον*, ἵνα ἡ νοερὰ τῆς ἀνθρωπότητος φύσις δηλωθῇ· ὅτε δὲ τὰς ὑποστάσεις παραστῆσαι ἠβουλήθη, τότε τὸ ἄῤῥεν καὶ θῆλυ, Ἀδὰμ καὶ Εὔαν ἐκάλεσεν, ὅπερ ἐστὶ πρόσωπα ἤτουν ὑποστάσεις.

Quis vero non miretur hæreticorum absurditatem unionem asserentium, ideoque diversitatem in Christo naturarum confitentium, ac numerum qui consequitur ex diversitate unitorum diffitentium? Eviden ter in hoc ægrotant Apollinarii insania ; hæc enim dicit in ratiociniis quæ ipse scripsit : « Diversæ proprietates in unum conjunctæ medium fiunt, ut in mulo asini et equi, in cæruleo colore albedinis et nigritudinis, atque in verno tempore hiemis æstatisque proprietas videtur. Nullum autem medium utramque qualitatem habet ex omni parte, sed dimidia parte commixtam. Medium vero Dei et hominum in Christo, nec igitur est totus homo, nec Deus, sed Dei et hominis mixtura. » Deinde rursus in tractatu cui titulus *Deus incarnatus Christus*, interrogatione responsioneque dialogum agens, postquam interrogatus sit : « Quid ergo? nonne Deus et homo est Christus? Vel tunc dicis Christum esse Deum, ipsum esse hominem negans? » hoc dicit : « Non in duabus substantiis, sed in una. » Hæc vero retulimus ut ostendamus Acephalos, impiis Apollinarii dogmatibus obsequentes, non in duabus naturis esse Christum atque agnosci, sed in una confiteri ; etsi sancti Patres nostri de unione ineffabili divinitatis atque humanitatis Christi, non unam naturam tradant, sed numerum naturarum unitarum confiteri nos doceant.

[P. 256.] Τίς δὲ οὐκ ἂν θαυμάσειεν τὴν τῶν αἱρετικῶν ἀλογίαν; Ὅτι ἕνωσιν λέγοντες, καὶ τὴν διαφορὰν τῶν ἐν Χριστῷ φύσεων ἐστιν ὅτε ὁμολογοῦντες, ἀρνοῦνται τὸν ἐκ τῆς διαφορᾶς τῶν ἡνωμένων πραγμάτων εἰσαγόμενον ἀριθμόν; Σαφῶς καὶ ἐν τούτῳ τὴν Ἀπολιναρίου νοσοῦντες μανίαν· λέγει γὰρ ὁ αὐτὸς Ἀπολινάριος ἐν τοῖς γραφεῖσιν αὐτῷ συλλο- C γισμοῖς τάδε· « Μεσότητες γίνονται ἰδιοτήτων διαφόρων εἰς ἓν συνελθουσῶν, ὡς ἐν ἡμιόνῳ ἰδιότης ὄνου καὶ ἵππου, καὶ ἐν γλαυκῷ χρώματι ἰδιότης λευκοῦ καὶ μέλανος, καὶ ἐν ἀέρι χειμῶνος καὶ θέρους ἰδιότης ἔαρ ἐργαζομένη· οὐδεμία δὲ μεσότης ἑκατέρας ἔχει τὰς ἀκρότητας ἐξ ὁλοκλήρου, ἀλλὰ μερικῶς ἐπιμεμιγμένας. Μεσότης δὲ Θεοῦ καὶ ἀνθρώπων ἐν Χριστῷ, οὐκ ἄρα οὔτε ἄνθρωπος ὅλος, οὔτε Θεὸς, ἀλλὰ Θεοῦ καὶ ἀνθρώπου μίξις. » Εἶτα πάλιν ἐν τῷ λόγῳ αὐτοῦ τῷ ἐπιγεγραμμένῳ ὅτι *Θεὸς ἔνσαρκος ὁ Χριστὸς*, κατὰ πεῦσιν καὶ ἀπόκρισιν τὸν διάλογον ποιούμενος, ἐπερωτηθείς· « Τί οὖν; οὐχὶ καὶ Θεὸς καὶ ἄνθρωπός ἐστιν ὁ Χριστὸς, ἢ Θεὸν σὺ λέγεις τὸν Χριστὸν, ἀρνούμενος αὐτὸν καὶ ἄνθρωπον εἶναι; » λέγει τάδε· « Οὐχ ἐν δύο οὐσίαις, ἀλλ' ἐν D μιᾷ. » Ταῦτα δὲ παρηγάγομεν ἵνα δείξωμεν ὅτι τοῖς Ἀπολιναρίου πονηροῖς ἀκολουθοῦντες δόγμασιν οἱ Ἀκέφαλοι, οὐχ ὁμολογοῦσιν ἐν δύο οὐσίαις εἶναι καὶ γνωρίζεσθαι τὸν Χριστὸν, ἀλλ' ἐν μιᾷ· καίτοι τῶν ἁγίων ἡμῶν Πατέρων ἐπὶ τῆς ἀφράστου ἑνώσεως τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ, οὐ μίαν φύσιν παραδιδόντων, ἀλλὰ τὸν ἀριθμὸν τῶν ἑνωθεισῶν φύσεων ὁμολογεῖν ἡμᾶς διδασκόντων.

Evidens ergo remanet hæreticos numerum conjunctorum negare, unionem ipsam evertere, Deumque et hominem ad decipiendos simpliciores Christum dicere ; si enim vere dicerent Deum perfectum, perfectumque hominem esse Christum, evidens esset duas quoque naturas salvari in ipso, illos confessuros esse. Non confitentes autem numerum conjun-

[P. 257.] Δῆλοι οὖν καθεστᾶσιν οἱ αἱρετικοὶ, τὸν ἀριθμὸν τῶν συνελθόντων πραγμάτων ἀπαρνούμενοι, καὶ αὐτὴν τὴν ἕνωσιν ἀναιροῦντες, καὶ Θεὸν καὶ ἄνθρωπον τὸν Χριστὸν πρὸς ἀπάτην λέγοντες τῶν ἁπλουστέρων· εἰ γὰρ κατὰ ἀλήθειαν ἔλεγον Θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον τὸν Χριστὸν, δῆλοι ὅτι καὶ τὰς δύο οὐσίας ἐν αὐτῷ σώζεσθαι ὡμολόγουν·

[u] Gen. I, 26.

μὴ ὁμολογοῦντες δὲ τὸν ἀριθμὸν τῶν ἑνωθέντων πραγμάτων, δείκνυνται μηδὲν τέλειον ἐν Χριστῷ λέγοντες· τοῦτο γὰρ καὶ ὁ διδάσκαλος τῆς πλάνης αὐτῶν Ἀπολινάριος, ἐν τῷ *Περὶ τῆς θείας σαρκώσεως* λόγῳ γράφει λέγων· « Καὶ γὰρ εἰ ἀνθρώπῳ τελείῳ συνήφθη Θεὸς τέλειος, δύο ἂν ἦσαν· τὸ δὲ ἀτελὲς ἄρα τῷ τελείῳ συντιθέμενον, οὐχ ἐν δυάδι θεωρεῖται. » — [P. 259] Ἐκ τῶν εἰρημένων τοίνυν σαφὲς καθέστηκεν, ὅτι ὅπου ἕνωσις διαφόρων νοεῖται πραγμάτων, ἐκεῖ πάντως καὶ ὁ ἀριθμὸς τῶν ἑνωθέντων γνωρίζεται· ἀλλ' οἱ τῆς ἀληθείας ἐχθροί, ἀεὶ τῇ ἑαυτῶν δυσσεβείᾳ προεπινοοῦντες τὰ χείρονα, οὐ μόνον περὶ τὴν οἰκονομίαν τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος ἁμαρτάνουσιν, ἀλλὰ καὶ περὶ αὐτὴν βλασφημοῦσιν τὴν ὁμοούσιον Τριάδα.

A ctorum, nihil perfectum esse in Christo dicere convincuntur; hoc enim magister ipse erroris eorum Apollinarius, in tractatu *De divina incarnatione* scribit dicens : « Reipsa si cum homine perfecto Deus perfectus conjunctus fuerit, duo erunt; imperfectum vero cum perfecto conjunctum, duplex non videtur. » —Ex dictis igitur evidenter patet, ubi unio diversorum intelligitur, ibi quoque integrum numerum conjunctorum agnosci. Sed veritatis hostes, semper impietati suæ pejora adjicientes, non solum in œconomiam unius sanctæ Trinitatis peccant, sed etiam consubstantialem Trinitatem blasphemant.

Καὶ τοῦτο γὰρ λέγειν Σευῆρος ἐτόλμησεν ὅτι ὁ Τρισάγιος ὕμνος εἰς μόνον ἀναφέρεται τὸν Υἱὸν, μὴ κοινωσάντων τῇ δοξολογίᾳ τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος. Τοῦτο δὲ οὐδὲν ἕτερόν ἐστιν, ἢ κατὰ τὴν Ἀρείου μανίαν χωρίζειν τὸν Υἱὸν τῆς οὐσίας τοῦ Πατρὸς καὶ ἁγίου Πνεύματος, καὶ ἑτεροούσιον αὐτὸν εἰσάγειν· ἢ εἰ μὴ τοῦτο, ἀλλὰ κατὰ τὴν Νεστορίου βλασφημίαν μὴ ὁμολογεῖν τὸν Χριστὸν Θεὸν εἶναι καὶ ἕνα τῆς ἁγίας Τριάδος· ἀλλὰ τετάρτῳ τινὶ προσώπῳ κατὰ τὴν ἐκείνων ἄνοιαν τὸν τοιοῦτον ἀναπέμπειν ὕμνον· καὶ ᾧ νομίζουσι τιμᾶν τὸν Υἱὸν, ἀγνοοῦσιν αὐτὸν ἀτιμάζοντες, τῷ χωρίζειν αὐτὸν τοῦ συμπροσκυνεῖσθαι τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι. Ταῦτα δὲ λέγοντες, οὔτε ἑαυτοῖς γοῦν ἀκολουθεῖν ἐγνώκασιν· τρίτον γὰρ, λεγομένου τοῦ ὕμνου, ἐπάγομεν εὐθύς· *Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι.* Τί δὲ λέγομεν ὅτι ἑαυτοῖς ἀπειθοῦσιν; πότε οὐδὲ τὰ Σεραφὶμ ἐντρέπονται, διὰ τῆς Τρισαγίας φωνῆς, τῇ ἁγίᾳ Τριάδι τὴν δοξολογίαν προσάγοντα, καθὼς τὰ περὶ τούτου καὶ οἱ ἅγιοι ἡμῖν Πατέρες παραδεδώκασιν.

Etenim Severus ausus est etiam dicere hymnum B Trisagium uni Filio decantari, nec Patre nec Spiritu sancto doxologiam participantibus. Hoc vero aliud non est, quam, juxta Arii insaniam, Filium separare a substantia Patris ac Spiritus sancti, ipsumque alienæ substantiæ facere ; vel, si non ita sit, juxta vero Nestorii blasphemiam, Christum esse Deum, unumque sanctæ Trinitatis non confitetur, ac cuidam quartæ personæ, juxta illorum insaniam, hunc hymnum decantant; Filiumque quem colere exsistimant, ignorantes offendunt, eo quod una adoratione non ipsum adorant cum Patre ac Spiritu sancto. Hæc autem dicentes, nec sibimetipsis quidem obsequi norunt; ter enim dicente hymno, *Patri, et Filio, et Spiritui sancto* directe gloriam re- C mittimus. Quid vero dicimus ipsos non sibi credere? quia Seraphim, voce Trisagii, sanctæ Trinitati doxologiam dicentes non cessant, juxta quod nobis sancti Patres de hoc tradiderunt.

[P. 260.] Ταῦτα τοίνυν πρὸς ἀναίρεσιν τῆς τῶν αἱρετικῶν βλασφημίας οἱ Πατέρες ἐκθέμενοι, τὴν ὀρθὴν τῆς Ἐκκλησίας παραδεδώκασιν ὁμολογίαν, διδάξαντες ἡμᾶς μίαν θεότητα, μίαν δύναμιν, μίαν οὐσίαν τῆς ἁγίας ὁμολογεῖν Τριάδος, καὶ τὴν αὐτὴν προσφέρειν δοξολογίαν τε καὶ προσκύνησιν Πατρὶ, καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι· ὁμολογεῖν δὲ τὸ ἓν πρόσωπον τὸ ἐκ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, Θεὸν ἀληθῆ, καὶ ἄνθρωπον ἀληθῆ, τὸν αὐτὸν ὁμοούσιον τῷ Πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα· καὶ οὔτε κατὰ τὴν αὐτὴν οὐσίαν ὁμοούσιον αὐτὸν εἶναι τῷ Πατρὶ καθ' ἣν ἡμῖν, οὔτε ἡμῖν καθ' ἣν τῷ Πατρί· ἀδύνατον γὰρ μίαν οὐσίαν ἤτουν φύσιν ὁμοούσιον εἶναι Θεῷ καὶ ἀνθρώποις· ἀλλ' ἐν μιᾷ ὑποστάσει αἱ δύο φύσεις γνωριζόμεναι, ἡ μὲν πρὸς τὸν Πατέρα τὴν κοινότητα ἔχει, ἡ δὲ πρὸς ἡμᾶς. Ὥστε δὲ σαφῶς ὑμᾶς ἐπιγνῶναι τὴν ὁμολογίαν, ἣν ἀκολουθοῦντες τῇ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ φυλάττομεν, ταύτην ἐν κεφαλαίοις συντόμως ἐκθέμενοι ὑμῖν τε καὶ δι' ὑμῶν τοῖς τὸν μονήρη βίον κατὰ τὴν Ἀλεξανδρέων καὶ περὶ αὐτὴν ἑλομένοις δήλην καθιστῶμεν.

Hæc igitur ad evertendam hæreticorum blasphemiam exponentes, veram Ecclesiæ confessionem Patres tradiderunt, unam deitatem, unam potentiam, unamque substantiam sanctæ Trinitatis confiteri nos docentes, eamdem doxologiam, eamdemque adorationem Patri, et Filio, et Spiritui sancto deferre; confiteri vero unam personam ex sancta consubstantialique Trinitate, Dominum nostrum Jesum Christum, Deum verum verumque hominem, D eumdem consubstantialem Patri secundum divinitatem, consubstantialemque eumdem nobis secundum humanitatem ; non autem ipsum esse consubstantialem Patri secundum eamdem substantiam, secundum quam consubstantialis est nobis, nec consubstantialem nobis secundum eamdem ac Patri; impossibile est enim unam substantiam seu naturam consubstantialem esse Deo et hominibus; sed in una hypostasi duæ naturæ agnoscuntur quarum una communis est cum Patre, alteraque nobiscum. Ut autem sciatis quam confessionem tenentes, catholicæ et apostolicæ Ecclesiæ obsequimur, eam in capitibus breviter exponentes vobis atque per vos illis qui monasticam vitam Alexandriæ vel circa illam amplexati sunt, claram statuemus.

I. Si quis non confitetur sanctæ Trinitatis unam substantiam, scilicet naturam et divinitatem, in tribus hypostasibus vel personis, scilicet in Patre, et Filio, et Spiritu sancto adorandam, anathema sit.

II. Si quis dixerit Deum Verbum sive Spiritum sanctum creaturam esse, vel alias substantias præter substantiam Patris, anathema sit.

III. Si quis dixerit eumdem esse Patrem, et Filium, et Spiritum sanctum, unam personam supponens pluribus nominibus, unamque hypostasim sub tribus appellationibus invocatam, hunc in parte Judæorum ponimus atque anathematizamus.

IV. Si quis non confitetur unius personæ unigeniti Filii Dei et Domini nostri Jesu Christi duas esse nativitates, unam æternitatis ex Patre secundum divinitatem, alteramque, quæ facta est in novissimo dierum ex sancta Virgine Deique Matre Maria secundum humanitatem, ipsumque esse unum sanctæ Trinitatis, id est unam hypostasim ex tribus hypostasibus, anathema sit.

V. Si quis non confitetur Dei esse Matrem sanctam gloriosam semperque Virginem Mariam, anathema sit.

VII. Nunc ad Samaritanorum quoque dogmata transeamus. Sed cognoscenda prius historia quædam, unde scilicet hæc Samaritanorum orta sit hæresis. Postquam ergo Saulus annis 40 regnasset, Davidem Deus e Juda tribu prognatum, ejus loco regem Israelitarum constituit : ac Davidis posteritas in possessione regni mansit, filiis parentum imperium excipientibus, usque ad Sedeciam. Cæterum mortuo Davide rege, Solomon filius ejus regnum suscepit. Hic juste agebat omnia : quapropter ei Deus magnam sapientiam potestatemque largitus est. Verum ubi consenuisset, adoravit simulacra, uxoribus suis obtemperans. Quam ob causam iratus Deus, Hieroboamo Solomonis servo dixit, se decem domini sui sceptris eum præfecturum regem, si voluntati divinæ pariturus esset : reliqua quidem duo sceptra Solomoni se relicturum, propter patrem ipsius Davidem ; atque hæc post mortem Solomonis primum eventura. Cum autem mortuus fuisset Solomon, filius ipsius Roboamus in regni possessione successurus erat. Itaque collecti ad ipsum Israelitæ, sic eum compellavere : *Nimis gravi nos jugo pater tuus oppressit : tu fac tolerabilius leviusque sit, et serviemus tibi* [15]. Ad ea Roboamus : *Triduum mihi concedite, meumque consilium vobis exponam* [16]. Ac digressus ab eis, primo rem cum natu majoribus amicis paternis communicabat : qui deliniendos Israelitarum animos aiebant, quo facto lubenter illos ipsi servituros. Hinc etiam ad adolescentulos retulit. Illi respondendum dixere, gracilitatem Roboami solidiorem esse lumbo paterno. Patrem flagris eos castigasse, se castigaturum scorpionibus. His assensus Roboamus, in eam sententiam Israelitis respondit. Illi vero vicissim dixere : Tu Davidis patris tui familiam administrato : et Israelitæ quisque suas ad domos ac tabernacula revertuntor [17]. Quibus prolatis, ab eo diverterunt universi, duabus exceptis tribubus, Benjaminea scilicet et Judæa, quarum erant in ditione tam Hierosolyma quam loca continentia : decem vero

B Μετέλθωμεν δὲ καὶ ἐπὶ τὰ δόγματα τῶν Σαμαρειτῶν. Ἀλλὰ πρῶτον ἱστορίαν τινὰ μάθωμεν, πόθεν κατάγεται ἡ αἵρεσις τῶν Σαμαρειτῶν. Μετὰ οὖν τὸ βασιλεῦσαι τὸν Σαοὺλ ἔτη μ', κατέστησεν ἀντ' αὐτοῦ ὁ Θεὸς τὸν Δαβὶδ βασιλέα τῶν Ἰσραηλιτῶν, ἄνδρα τῆς φυλῆς Ἰούδα· καὶ ἔμεινεν ἡ γενεὰ τοῦ Δαβὶδ βασιλεύουσα, παῖς παρὰ πατρὸς ἐκδεχόμενος τὴν ἀρχὴν, μέχρι Σεδεκίου. Ἀποθανόντος δὲ τοῦ βασιλέως Δαβὶδ, ὁ Σολομῶν ὁ υἱὸς αὐτοῦ ἐδέξατο τὴν βασιλείαν. Οὗτος μὲν οὖν πάντα μετὰ δικαιοσύνης ἔπραττεν, ὅθεν ὁ Θεὸς πολλὴν αὐτῷ σοφίαν καὶ δυναστείαν ἐχαρίσατο. Γηράσας δὲ, προσεκύνησεν εἰδώλοις, πειθόμενος ταῖς ἑαυτοῦ γυναιξίν. Ὅθεν ὀργισθεὶς ὁ Θεὸς, εἶπεν Ἱεροβοὰμ, τῷ δούλῳ αὐτοῦ, ὅτι Ἐὰν ποιήσῃς τὸ θέλημά μου, ἐπὶ δέκα σκήπτρων τοῦ C δεσπότου σου καταστήσω σε βασιλέα· τὰ γὰρ ἄλλα δύο ἐάσω, διὰ τὸν Δαβὶδ, τὸν πατέρα αὐτοῦ. Ἔσται δὲ ταῦτα μετὰ τὸ ἀποθανεῖν αὐτόν. Ἀποθανόντος δὲ Σολομῶντος, ἤμελλε τῆς βασιλείας κληρονομεῖν ὁ υἱὸς αὐτοῦ Ῥοβοάμ. Καὶ συλλεγέντες οἱ Ἰσραηλῖται, εἶπον πρὸς αὐτόν· *Ὁ πατήρ σου ἐβάρυνε τὸν ζυγὸν ἡμῶν, ἀλλ' ἐλάφρυνον σὺ αὐτὸν ἀφ' ἡμῶν, καὶ δουλεύσομέν σοι.* Ὁ δὲ πρὸς αὐτοὺς ἀπεκρίνατο· *Ἔνδοτέ μοι τρεῖς ἡμέρας, καὶ λέξω ὑμῖν τὴν βουλήν μου.* Ἀπελθὼν δὲ, πρῶτον τοῖς πρεσβυτέροις τῶν πατρῴων αὐτοῦ φίλων ἀνεκοινώσατο· οἱ δὲ πρὸς αὐτὸν εἶπον· Θεράπευσον τὸν Ἰσραὴλ, καὶ δουλεύσει σοι. Ἀνέθετο δὲ καὶ παιδαρίοις. Οἱ δὲ εἶπον αὐτῷ, ὅτι Εἰπὲ πρὸς αὐτοὺς, ὅτι Ἡ σμικρότης D μου, στερεωτέρα ἐστὶ τῆς ὀσφύος τοῦ πατρός μου. Ἐκεῖνος ὑμᾶς μάστιξιν ἐπαίδευσεν, ἐγὼ σκορπίοις παιδεύσω. Τούτοις πεισθεὶς Ῥοβοάμ, ταῦτα τοῖς Ἰσραηλίταις ἀπεκρίνατο. Οἱ δὲ Ἰσραηλῖται ἀπεκρίναντο· Βόσκε τὸν οἶκόν σου Δαβὶδ, ὁ δὲ Ἰσραὴλ ἕκαστος ἀποχωρείτω εἰς τὰ σκηνώματα αὐτοῦ. Καὶ ταῦτα εἰπόντες, ἀπεχωρίσθησαν αὐτοῦ πάντες, πλὴν δύο φυλῶν, τῆς τε Βενιαμὶν, καὶ τῆς τοῦ Ἰούδα. Αὗται μὲν αἱ δύο τὰ Ἱεροσόλυμα εἶχον, καὶ τὰ πέριξ αὐτῆς· αἱ δὲ ἀποχωρισθεῖσαι δέκα, τὰ περὶ Νεάπολιν εἶχον. Ἐκαλοῦντο δὲ αἱ μὲν δέκα φυλαὶ,

[13] Deut. XVIII, 15, 18. [14] Baruch. III, 36-38. [15] III Reg. XII, 4. [16] ibid. 5. [17] ibid. 16.

Ἰσραηλῖται, ἀπὸ τοῦ πλεονάζοντος λαμβάνοντες τὸ ὄνομα· αἱ δὲ δύο, Ἰουδαῖοι. Αἱ οὖν δέκα προστησάμεναι αὐτῶν Ἱεροβοὰμ τὸν δοῦλον τοῦ Σολομῶντος, συνεχῶς ἐπολέμουν πρὸς Ἰουδαίους· ἐπειδὴ δὲ νόμος ἦν ἑκάστῳ ἔτει προσκυνεῖν τοὺς Ἑβραίους ἐν Ἱεροσολύμοις τῇ κιβωτῷ, φοβηθεὶς ὁ Ἱεροβοὰμ, μὴ αὐτομολήσωσι, συνεχῶς ἀπιόντες ἐκεῖ· ἐποίησε δύο δαμάλεις χρυσᾶς, καὶ εἶπεν αὐτοῖς, ὅτι Οὗτοί εἰσιν οἱ θεοὶ, οἱ ἐξαγαγόντες ὑμᾶς ἐξ Αἰγύπτου· τούτοις προσκυνεῖτε. Καὶ οἱ Ἰσραηλῖται οὖν, καὶ οἱ Ἰουδαῖοι, ἀπὸ τοῦ Ἱεροβοὰμ εἰδωλολάτρουν, ἐπὶ πολλοὺς βασιλέας· ἕως οὗ ὁ Θεὸς ὀργισθεὶς ἤγαγεν ἐπ' αὐτοὺς τὸν βασιλέα τῶν Ἀσσυρίων τὸν Σαλμανασάρ· καὶ ᾐχμαλώτισε τὰς δέκα φυλὰς τῶν Ἰσραηλιτικῶν· τοὺς γὰρ Ἰουδαίους οὐδὲ ἐπολέμησεν. Αἰχμαλωτίσας δὲ τοὺς Ἰσραηλίτας, ἀντ' αὐτῶν ἄλλους ἐκεῖσε κατέστησε, πρὸς φυλακὴν τῆς χώρας, οἵτινες ἐκλήθησαν Σαμαρεῖται· ἐπειδὴ Σαμαρείτης λέγεται ὁ φύλαξ παρ' Ἑβραίοις. Τούτους δὲ ἀντὶ τῶν Ἰσραηλιτῶν οἰκοῦντας, λέοντες ἀπέκτεινον πυκνῶς· ἕως οὗ ἔπεμψαν, λέγοντες τῷ βασιλεῖ τῶν Ἀσσυρίων, ὅτι Λέοντες ἡμᾶς ἀπολλύασιν, ἐπειδὴ οὐκ ἴσμεν λατρεῦσαι τῷ Θεῷ τῆς γῆς ταύτης. Ταῦτα ἀκούσας ὁ βασιλεὺς, ἔπεμψεν αὐτοῖς ἕνα τῶν αἰχμαλωτισθέντων ἱερέων, ἐπὶ τὸ διδάξαι αὐτοὺς, πῶς δεῖ προσκυνεῖν τῷ Θεῷ τῆς γῆς ἐκείνης. Ὁ δὲ ἐλθὼν, οὐδὲν ἄλλο ἐδίδαξεν αὐτοὺς, ὥς φασιν οἱ ἔξωθεν ἱστοροῦντες, εἰ μὴ μόνον τὴν Πεντάτευχον, ὅθεν καὶ μόνην αὐτὴν δέχονται οἱ Σαμαρεῖται. Μέχρις οὖν τῶν ἐνταῦθα λέγει ἡ Γραφή.

Καὶ ἀπὸ τούτων λέγουσι γεγενῆσθαι τοὺς Σαμαρείτας· ἡ δὲ αἵρεσις αὐτῶν τοιαύτη ἐστί. Περὶ μὲν τὴν θεολογίαν, τὰ αὐτὰ δοξάζουσι τοῖς Ἑβραίοις· μίαν γὰρ ὑπόστασιν, καὶ μίαν φύσιν δοξάζουσι. Περὶ δὲ τὴν ἐνανθρώπησιν τοῦ Χριστοῦ, οὕτως ἔχουσιν. Οὐ πιστεύουσιν, ὅτι ἦλθεν, ἀλλ' ὅτι μέλλει ἐλθεῖν, οὐδὲ ὅτι Θεὸς, ὁ ἐρχόμενος, ἀλλὰ προφήτης. Οὔτε δὲ ἄγγελον δοξάζουσιν εἶναι, οὔτε ψυχὴν ἀθάνατον, οὔτε ἀνάστασιν. Οὐ συγκατατίθενται γὰρ τοῖς Ἑβραίοις, ὅτι Χριστὸς μέλλει κρῖναι ζῶντας καὶ νεκρούς. Καὶ ὅτι μέν εἰσιν ἄγγελοι, ἐλέγχονται ἀπὸ τῆς Πεντατεύχου· ἐκεῖ γάρ φησιν· *Ἰδοὺ ὁ ἄγγελός μου προπορεύεται πρὸ προσώπου σου.* Καὶ, ὅτι *Ἄγγελος Κυρίου ἐκάλεσε τὴν Ἄγαρ.* Καὶ, ὅτι *Ἐκάλεσεν ἄγγελος Κυρίου τὸν Ἀβραάμ.* Καὶ ὅτι *Εἰσῆλθον οἱ ἄγγελοι εἰς Σόδομα*, καὶ ἕτερα τοιαῦτα. Καὶ ὅτι ἡ ψυχὴ θνητή ἐστι, φασὶ, καὶ οὐκ ἀθάνατος, μαρτυρεῖ ὁ Μωϋσῆς, εἰπὼν, Μὴ φάγεσθε αἷμα, ἀλλ' ἐκχεῖτε αὐτὸ κατὰ τῆς γῆς. Παντὸς γὰρ ζώου τὸ αἷμα, ἡ ψυχὴ αὐτοῦ. Ἡμεῖς δὲ πρὸς τοῦτο λέγομεν, ὅτι πρῶτον μὲν οὐκ ἔστι τὸ αἷμα ἡ ψυχὴ τῶν ζώων, ἀλλ' ἐπειδὴ τοῦ αἵματος ἐκχεομένου καὶ ἡ ψυχὴ ἀπόλλυται· ἐκ τούτου περὶ τοῦ αἵματος κτηνῶν ἦν αὐτῷ ὁ λόγος, ἃ καὶ ἡμεῖς θνητὰ ὁμολογοῦμεν εἶναι· οὐ περὶ ἀνθρώπων. Καὶ ἀπὸ ἱστορίας

A tribus illæ quæ secessionem fecerant, vicinam Neapoli regionem occupabant. Et appellabantur hæ decem tribus, Israelitæ, nomen a majori parte consecuti: reliquæ vero duæ, Judæi. Tribus igitur decem Jeroboamo, Solomonis servo, sibi præfecto, continua cum Judæis bella gerebant: et quia lex erat, ut Hebræi quotannis arcam Hierosolymis adorarent, veritus Jeroboamus, ne frequenter eo commeantes, transfugium facerent: duas juvencas aureas fecit, suisque dixit, hos illos esse deos, qui ex Ægypto Israelitas eduxissent: eos adorarent. Quo factum est, ut pariter et Israelitæ, et Judæi, ab Jeroboami temporibus simulacra sub multorum regum imperio colerent, donec iratus Deus, Salmanasarum Assyriorum regem in eos duxit. Is de- B cem Israelitarum tribus in servitutem redegit: Judæis ne bellum quidem intulit. Cumque captivos Israelitas abduxisset, alios ibidem eorum loco, regionis custodiendæ causa, constituit; qui Samaritani sunt vocati, quippe Samarita, custos Hebræis dicitur. Eos autem incolentes Israelitarum terras, sæpenumero leones interficiebant; donec missis legatis, Assyriorum regi significarent, ab leonibus ad internecionem se deleri, propterea quod ritum colendi Deum illius regionis ignorarent. Quibus rex auditis, unum ex abductis in captivitatem sacerdotibus ad eos misit, qui doceret, quo pacto regionis illius Deus esset adorandus. Is ubi advenisset, nihil aliud eos docuit, ut extranei scriptores aiunt, C nisi Pentateuchum: quamobrem illam solam Samaritani recipiunt. Hactenus Scriptura sacra.

VIII. Perhibent autem, ab his ortos Samaritanos: quorum est hujusmodi secta: In doctrina de Deo cum Hebræis eadem statuunt: unam hypostasin, et unam esse naturam tradentes. Quod ad incarnationem Christi attinet, hoc modo sentiunt: Christum venisse non credunt, venturum existimant: nec Deum esse qui veniat, sed vatem. Præterea nec angelum opinantur esse, nec animam immortalem, nec resurrectionem. Non enim Hebræis assentiuntur, credentibus Christum vivos atque mortuos judicaturum. Cæterum angelos esse, de Pentateucho convincuntur, ex hisce verbis: *Ecce angelus meus ante faciem tuam præit* [18]. Item: D *Angelus Domini compellavit Agarem* [19]. Item: *Angelus Domini compellavit Abrahamum* [20]. Item: *Ingressi sunt angeli Sodomorum oppidum* [21]. Aliaque talia. Mortalem vero animam esse, non immortalem, testatur, inquiunt ipsi, verbis hisce Moses: Sanguinem ne comederitis, sed eum in terram effundite. Nam cujusvis animalis sanguis, ipsius est anima [22]. Sed nos ad hoc respondemus, primum non esse sanguinem animalium animam; sed quoniam effuso sanguine, anima quoque interit, idcirco de sanguine jumentorum sic loquitur, quæ nos quoque morti obnoxia fatemur esse; non de homi-

[18] Exod. XXIII, 20. [19] Gen. XXI, 17. [20] Gen XXII, 11. [21] Gen. XIX, 1. [22] Levit. III, 17; XVII, 13, 14.

nibus. Quin et animam esse immortalem, et judicium fore mortuorum, ex historia probamus. Cainus et Abelus duo fratres erant, unus agricola, pastor alter : quibus ambobus rem Deo sacram factitantibus, Abelum Deus ut justum acceptavit, neglecto Caino. Is hanc ob causam adversus Abelum æmulatione concepta, tandem eum occidit. Cum ergo Samaritani dicant, in hac vita compensari facta cujusvis, quid de Abelo dicere possumus, cujus justitiæ Deus ipse testimonium perhibuit? Nimirum, quod ad hanc vitam attinet, mala pro bonis recepit. Unde manifesto patet, et immortalem esse animam, et resurrectionem esse, statui debere : nam nisi vita restaret, in qua suarum actionum ille fructum capiet, nequaquam vir talis immerito fuisset interemptus. Et hæc quidem Samaritanorum est secta. Sciendum vero, regem Assyriorum Nabuchodonosorum, cum, regnante Sedecia, cum copiis Hierosolyma venisset, Judæos in captivitatem abduxisse, atque in Persidem transtulisse : quorum in numero Ananias, Azarias, Misaelus, Iezechielus et Esdras. Post annos septuaginta, regnante Cyro, rursus Hierosolyma profecti sunt, cum Cyrus eis reditum propterea concessisset, quod ei pleraque per ipsum gerenda prædixissent. Hunc reditum descripsit Esdras ; qui cum Hierosolyma venisset, omnesque libros id temporis, quo in captivitatem abducti fuerant, reperisset exustos : ex memoria depromptos illos 22 libros quos supra recensuimus, in litteras retulisse perhibetur. Hæc considerare libuit.

A δὲ δεικνύομεν, ὅτι καὶ ἀθάνατός ἐστιν ἡ ψυχὴ, καὶ κρίσις ἐστὶ νεκρῶν. Ὁ Κάϊν καὶ Ἄβελ, δύο ἦσαν ἀδελφοί· καὶ ὁ μὲν ἦν γεωργὸς, ὁ δὲ ποιμήν· καὶ ἔθυσαν ἀμφότεροι τῷ Θεῷ· καὶ τὸν Ἄβελ, ὡς δίκαιον, προσεδέξατο, τὸν δὲ Κάϊν, οὐκέτι. Ἐκεῖθεν οὖν παρεζήλου τὸν Ἄβελ, ἕως αὐτὸν ἀπέκτεινε. Τῶν οὖν Σαμαρειτῶν λεγόντων, ἐν τῷ νῦν βίῳ ἀπολαμβάνειν πρὸς τὰς ἑαυτοῦ πράξεις ἕκαστον· τί ἔχομεν εἰπεῖν περὶ τοῦ Ἄβελ, ᾧ δικαιοσύνην ἐμαρτύρησεν ὁ Θεός; Ὅσον γὰρ ἀπὸ τοῦ νῦν βίου, κακὰ ἀντὶ καλῶν ἀπέλαβεν. Ἐκ τούτου οὖν δῆλον, ὅτι καὶ ἡ ψυχὴ ἀθάνατός ἐστι, καὶ ἀνάστασιν δεῖ δοξάζειν· εἰ μὴ γὰρ ἦν, ἐν ᾗ τῶν οἰκείων ἔμελλεν ἀπολαῦσαι πράξεων, οὐκ ἂν ὁ τοιοῦτος ἀδίκως ἀπέθανεν. Αὕτη ἐστὶν ἡ αἵρεσις τῶν Σαμαρειτῶν. Ἰστέον δὲ, ὅτι
B Ναβουχοδονόσορ ὁ βασιλεὺς τῶν Ἀσσυρίων, ἐλθὼν εἰς τὰ Ἱεροσόλυμα ἐπὶ Σεδεκίου τοῦ βασιλέως, καὶ τοὺς Ἰουδαίους ᾐχμαλώτευσε, καὶ ἔλαβεν εἰς Περσίδα· ἐν οἷς ἦν Ἀνανίας, Ἀζαρίας, Μισαὴλ, καὶ Ἰεζεκιὴλ, καὶ Ἔσδρας. Μετὰ οὖν ο' ἔτη, ἐπὶ Κύρου τοῦ βασιλέως, ἐπανέλυσαν εἰς τὰ Ἱεροσόλυμα, τοῦ Κύρου αὐτοῖς συγχωρήσαντος τὴν ἐπάνοδον, διὰ τὸ πολλὰ αὐτῷ προλέγειν, ὧν ἤμελλε ποιεῖν. Ὁ δὲ Ἔσδρας συνεγράψατο τὴν ἐπάνοδον αὐτῶν· καὶ ἐλθὼν εἰς τὰ Ἱεροσόλυμα, καὶ εὑρὼν, ὅτι πάντα τὰ βιβλία ἦσαν καυθέντα, ἡνίκα ᾐχμαλωτίσθησαν, ἀπὸ μνήμης λέγεται συγγράψασθαι τὰ κβ' βιβλία· ἅπερ ἐν τοῖς ἄνω ἀπηριθμησάμεθα. Ἐν τούτοις ἡ θεωρία.

Hac tertia Actione dividuntur tempora quæ a nativitate Christi ad imperium Constantini effluxerunt : enumerantur patres ecclesiastici, qui toto illo interstitio temporis floruerunt.

ACTIO III.

Quoniam de Christianis dogmatibus habenda erit oratio, necessarium est, temporum partitionem quamdam institui, ut hinc cognoscamus, qui doctores, quæ sectæ fuerint; quarum quælibet Patres se priores admittit, posteriores rejicit. Temporum igitur alia Christi nativitatem præcedunt, quorum supra mentionem fecimus : alia Christum sequuntur. Horum post Christum temporum hæc est divisio : partim a nativitate Christi ad imperium Constantini pertinent, partim ab imperii Constantini principio ad nostram memoriam. Rursus anni a nativitate Christi usque ad imperium Constantini triplices sunt. Nam ex eis alii numerantur a nativitate Christi usque ad ipsius assumptionem ; alii ab assumptione, de quibus apostolorum Acta pertractant; alii a periodo et obitu apostolorum, usque ad principium imperii Constantini : de quibus historici quidam ecclesiastici memoriæ prodiderunt, Eusebius Pamphili, et Theodoritus; quorum scripta necessario non recipimus. Nam extra apostolorum Acta nihil horum ut admittamus, Patrum regulis sancitum est. Anni vero ab initio Constantiniani regni ad nostram ætatem usque, sic dividuntur : alii a Constantini imperio numerantur, usque ad initium coactæ synodi Chalcedonensis : alii a coacta Chalcedonensi synodo, ad nostra usque tempora.

C

ΠΡΑΞΙΣ Γ'.

Ἐπειδὴ περὶ Χριστιανῶν δογμάτων ὁ λόγος, ἀναγκαῖόν ἐστι τῶν χρόνων διαίρεσίν τινα ποιήσασθαι· ἵνα ἐκ τούτων γνῶμεν, τίνες διδάσκαλοι, καὶ ποῖαι αἱρέσεις, ὧν ἑκάστη τοὺς μὲν πρὸ αὐτῆς δέχεται Πατέρας, τοὺς δὲ μετ' αὐτὴν οὐκέτι. Τῶν τοίνυν χρόνων, οἱ μὲν εἰσι πρὸ Χριστοῦ, ὧν ἤδη ἐν τοῖς προλαβοῦσιν ἐμνήσθημεν· οἱ δὲ, μετὰ τὸν Χριστόν. Καὶ ἔστι τῶν μετὰ τὸν Χριστὸν ἡ διαίρεσις τοιαύτη. Οἱ μὲν γάρ εἰσιν ἀπὸ τῆς γεννήσεως τοῦ Χριστοῦ, ἄχρι τῆς βασιλείας Κωνσταντίνου. Οἱ δὲ ἀπὸ τῆς ἀρχῆς τῆς βασιλείας Κωνσταντίνου, ἄχρι τοῦ νῦν. Ὑποδιαιροῦνται δὲ πάλιν οἱ ἀπὸ τῆς γεννήσεως τοῦ Χριστοῦ, ἄχρι τῆς βασιλείας τοῦ Κωνσταντίνου, εἰς τρεῖς. Οἱ μὲν γάρ εἰσιν ἀπὸ τῆς γεννήσεως τοῦ
D Χριστοῦ ἄχρι τῆς ἀναλήψεως αὐτοῦ· οἱ δὲ ἀπὸ τῆς ἀναλήψεως, περὶ ὧν διαλαμβάνουσιν αἱ Πράξεις τῶν ἀποστόλων· οἱ δὲ ἀπὸ τῆς περιόδου καὶ τελευτῆς τῶν ἀποστόλων, ἄχρι τῆς ἀρχῆς τῆς βασιλείας Κωνσταντίνου. Περὶ ὧν διαλαμβάνουσί τινες ἐκκλησιαστικοὶ, Εὐσέβιος ὁ Παμφίλου, καὶ Θεοδώριτος, οὓς ἐξ ἀνάγκης οὐ δεχόμεθα. Μέχρι γὰρ τῶν Πράξεων τῶν ἀποστόλων κεκανόνισται δέχεσθαι ἡμᾶς. Οἱ δὲ ἀπ' ἀρχῆς τῆς βασιλείας Κωνσταντίνου ἄχρι τοῦ νῦν, διαιροῦνται οὕτως· οἱ μὲν γάρ εἰσιν ἀπὸ τῆς βασιλείας Κωνσταντίνου, ἄχρι τῆς ἀρχῆς τοῦ κινήματος τῆς ἐν Χαλκηδόνι συνόδου· οἱ δὲ, ἀπὸ

τοῦ κινήματος τῆς ἐν Χαλκηδόνι συνόδου, μέχρι τοῦ νῦν. Ἐγένοντο δὲ ἐν τοῖς χρόνοις τοῖς ἀπὸ τῆς γεννήσεως τοῦ Χριστοῦ μέχρι τῆς βασιλείας Κωνσταντίνου, διδάσκαλοι καὶ πατέρες οἵδε· Ἰγνάτιος ὁ Θεοφόρος, Εἰρηναῖος, Ἰουστῖνος φιλόσοφος καὶ μάρτυς, Κλήμης καὶ Ἱππόλυτος ἐπίσκοποι Ῥώμης, Διονύσιος ὁ Ἀρεοπαγίτης, Μεθόδιος ἐπίσκοπος Πατάρων, Γρηγόριος ὁ θαυματουργὸς, Πέτρος ὁ Ἀλεξανδρείας ἐπίσκοπος καὶ μάρτυς. Τούτους ἅπαντας αἱ μετ' αὐτοὺς γενόμεναι αἱρέσεις δέχονται.

Αἱρέσεις δὲ ἐν τοῖς χρόνοις τούτοις ἐγένοντο μὲν πολλαὶ, πλὴν μόνων τῶν ἐπισήμων δέον μνησθῆναι. Ἐγένετο τοίνυν πρῶτον, ἡ τῶν Μοντανῶν, περὶ ἧς ἐν ἄλλοις διαληψόμεθα· εἶτα τῶν Μανιχαίων, ἥτις ἐξ ἑκάστης αἱρέσεως ἐκλεξαμένη τὰ χείριστα, οὐδὲν ἀγαθὸν ἔχει. Περὶ ἧς οὐ δύναταί τις εἰπεῖν ἀκριβῶς, εἰ μὴ τῆς αὐτῶν γένηται πολιτείας. Οὐ φείδεται δὲ οὐδὲ εἰδωλολατρείας, οὐ παντὸς εἴδους κακοῦ. Ἃ δὲ περὶ τὴν θεότητα ἀφειδῶς ἁμαρτάνουσι, καὶ περὶ τὴν ἀνθρωπότητα (b), ταῦτά ἐστι. Περὶ μὲν γὰρ τὴν θεότητα, οὕτως ὑπειλήφασι· δύο ἀρχὰς, καὶ δύο θεοὺς λέγουσιν, ἕνα ἀγαθὸν καὶ ἕνα κακόν. Καὶ τὰ μὲν κρείττονα τῶν πραγμάτων ἀνατιθέασι τῷ ἀγαθῷ· τὰ δὲ χείρονα, τῷ κακῷ. Οἷον, τὸ μὲν φῶς ἀνατιθέασι τῷ ἀγαθῷ Θεῷ· τὸ δὲ σκότος, τῷ κακῷ. Καὶ πάλιν, ἐπὶ τῶν συνθέτων ζώων, τὴν ὕλην τῷ κακῷ Θεῷ· τὸ δὲ εἶδος, τῷ ἀγαθῷ Θεῷ. Οὗτοι καὶ τινα βιβλία τῆς Παλαιᾶς Γραφῆς τῷ κακῷ Θεῷ ἀνατιθέασιν· ὥσπερ τὴν ἀπὸ Αἰγύπτου ἔξοδον τῶν Ἰσραηλιτῶν. Οὐκ ἔστι γὰρ, φασὶ, τοῦ ἀγαθοῦ Θεοῦ, τὸ ἐκβαλεῖν αὐτοὺς ἀπὸ Αἰγύπτου, καὶ πολλὰ κακὰ αὐτοῖς ὕστερον ποιῆσαι. Οὗτοι καὶ βιβλία τινὰ ἑαυτοῖς καινοτομοῦσι. Λέγουσι γὰρ Εὐαγγέλιον κατὰ Θωμᾶν καὶ Φίλιππον, ἅπερ ἡμεῖς οὐκ ἴσμεν. Δι' οὓς καὶ ἐκάλεσαν οἱ ἅγιοι Πατέρες, ποῖα βιβλία δεῖ δέχεσθαι ἡμᾶς. Περὶ δὲ τὴν ἐνανθρώπησιν οὕτως δοξάζουσιν· οὐχ ὁμολογοῦσιν ἀληθῆ γενέσθαι τὴν ἐνανθρώπησιν τοῦ Χριστοῦ, ἀλλὰ κατὰ φαντασίαν· καὶ ἐν τοῖς πάθεσιν ὅτι ἄλλον ἄνθρωπον ὑπέβαλεν ἀντ' αὐτοῦ, καὶ αὐτὸς ἔφυγεν. Ἐπιστοῦντο δὲ τὸ τῆς φαντασίας, ἀπό τινων ῥημάτων ἐν τοῖς Εὐαγγελίοις κειμένων, ἐξ ὧν λέγουσιν, ὅτι ἐν τῷ ὄρει ὢν μετεμορφώθη καὶ ἄφαντος γέγονε. Καὶ πάλιν, ὄχλου πολλοῦ περιεστηκότος, ἐξένευσεν ὁ Ἰησοῦς. Τοῦτο δὲ οὐκ ἔστιν ἱκανὸν παραστῆσαι, ὅτι κατὰ φαντασίαν γέγονεν ἡ ἐνανθρώπησις. Καὶ ἄνθρωποι γὰρ μετεμορφώθησαν, καὶ γεγόνασιν ἄφαντοι. Μετεμορφώθη γὰρ Μωϋσῆς εἰς ἔνδοξον πρόσωπον, ὥστε μὴ δύνασθαι τοὺς Ἰουδαίους ἀτενίσαι εἰς αὐτὸν, ἀλλὰ κεκαλυμμένος τὴν ὄψιν ἐλάλει αὐτοῖς. Ἠφαντώθη δὲ καὶ ὁ Φίλιππος, καὶ ἀπὸ τῆς ὀρεινῆς ἐξαίφνης ἐγένετο εἰς Ἄζωτον.

Ἐγένετο δὲ καὶ ἄλλη αἵρεσις κατὰ τοὺς χρόνους τούτους, ἡ Παύλου τοῦ Σαμοσατέως· ὅστις καὶ περὶ τὴν θεότητα ἐσφάλλετο, καὶ περὶ τὴν ἐνανθρώπησιν. Περὶ μὲν γὰρ τὴν θεότητα, ὅτι Πατέρα μόνον ἔλεγε· περὶ δὲ τὴν ἐνανθρώπησιν, ὅτι ψιλὸν ἄνθρωπον ἔλεγε

A Cæterum temporibus illis quæ a Christi nativitate usque ad imperium Constantini numerantur, hi doctores et patres exstiterunt: Ignatius ille Theophorus, Irenæus, Justinus philosophus et martyr, Clemens et Hippolytus episcopi Romani, Dionysius Areopagita, Methodius Patarensis episcopus, Gregorius miraculorum effector, Petrus Alexandrinus episcopus et martyr. Hos omnes secutæ deinceps hæreses recipiunt.

II. Et exstiterunt iisdem temporibus sectæ complures; sed claræ duntaxat commemorandæ. Primum ergo secta Montanorum est orta, de qua tractabimus alibi; deinde Manichæorum, quæ quia de B sectis singulis pessima quæque selegit, nihil omnino boni continet. Nec potest quisquam accurate de hac loqui, nisi eorum se conversationi adjungat. Non de astrorum cultu, non mali specie quavis abstinet. Quæ circa doctrinam de Deo, deque incarnatione Christi magna cum licentia delinquunt, hæc sunt. De divinitate sic opinantur, ut esse duo principia, duosque Deos dicant, unum bonum, et unum malum. Si qua meliora sunt in rebus, ea Deo bono assignant; tenebras, malo. Rursus in compositis animalibus, materiem ad malum Deum; formam ad bonum Deum referunt. Iidem et Veteris Scripturæ libros quosdam Deo malo attribuerunt: ut eum, qui de Israelitarum ex Ægypto discessu narrat. Aiunt enim, non esse Dei boni, eos Ægy- C pto ejicere, multaque mala deinceps irrogare. Præterea novos quosdam sibi libros excogitant. Quippe commemorant Evangelium scriptum a Thoma, et alterum a Philippo; quæ nos ignoramus. Atque horum gratia sancti Patres expressere nominatim, quos libros recipere debeamus. De incarnatione sic sentiunt: Non vere factam incarnationem Christi fatentur, sed specie tenus: et in ipsis cruciatibus Christum pro se hominem alium subjecisse, ac fuga evasisse. Huic de specie opinioni ex quibusdam dictis quæ in Evangeliis reperiuntur fidem astruebant: unde perhibent, Christum in monte transformatum fuisse, ac inaspectabilem factum. Rursus, cum magna eum multitudo circumstetisset, Jesus deflexit. Hoc vero non satis est ad pro- D bandum incarnationem specie tenus esse factam. Nam et homines transformati fuerunt, et inaspectabiles facti. Quippe Moses transformatus est, vultu adeo majestate referto, ut oculos in eum Judæi dirigere nequirent, sed obvelato vultu ad eos loqueretur. Itidem et Philippus inaspectabilis factus est, et ex regione montana subito pervenit Azotum.

III. Alia quoque secta, nimirum Pauli Samosatensis, his temporibus exstitit: qui et circa divinitatem et incarnationem errabat. Circa divinitatem, quia Patrem solum fatebatur: circa incarnationem, quia purum solumque hominem esse Chri-

(b) Ἀνθρ. Ἐνανθρώπησιν, paulo post infra

stum dicebat: in quo fuisse Dei Sermonem non arbitrabatur; nec ea sentiens, quæ Nestorius. Quippe Nestorius, licet Christum diceret purum hominem esse, tamen subsistentem per se Dei Sermonem, ac Filium, in homine illo fuisse fatebatur. Non enim circa Trinitatem aliquod Nestorii fuit erratum. Paulus autem Samosatensis subsistentem per se Dei Sermonem in Christo fuisse non dicebat, sed volebat Sermonem esse jussum quemdam ac mandatum, hoc est, jussit Deus (ut ipse loquebatur) fieri per illum hominem, quod volebat; idemque per illum condebat. Nec erat eadem Pauli de divinitate sententia, quæ Sabellii. Nam Sabellius eumdem dicebat esse Patrem, et Filium, et Spiritum sanctum, Deumque rem trini nominis appellabat, nullam prorsus esse Trinitatem statuens. Paulus vero, non eumdem dicebat esse Patrem, et Filium, et Spiritum sanctum: sed Patrem aiebat illum esse Deum qui omnia creasset; Filium, purum illum hominem; Spiritum, illam gratiam quæ super apostolos venerit. His temporibus exstitit et Sabellii secta, de qua paulo ante locuti sumus.

IV. Cæterum temporibus illis quæ numerantur ab imperii Constantini principio, usque ad collectionem synodi Chalcedonensis, hi doctores et Patres vixerunt: Silvester episcopus Romanus, Alexander episcopus Alexandrinus, Eustathius Antiochenus, Athanasius Alexandrinus, Julius Romanus, Alexander Constantinopolitanus, Hilarius Pictavorum Galliæ civitatis, Ambrosius Mediolanensis, Basilius Cæsareæ Cappadociæ, Gregorius Nyssenus, Gregorius Nazianzenus, Amphilochius Iconiensis, Antiochus Ptolemaidis oppidi Phœniciæ, Gelasius Cæsareæ Palæstinæ, Nectarius, Atticus, Joannes, Proclus, et Flavianus, Constantinopolitani: Severianus Gabalorum, Epiphanius Cypri, Augustinus Hipponis civitatis Africæ, Theophilus et Cyrillus, Alexandrini. Hos igitur omnes episcopos sectæ posteriores ipsis recipiunt, at non itidem priores. Exstitit autem statim ipso Constantino imperante Arii hæresis, qui quidem et circa divinitatem, et circa naturam humanam errabat. Circa divinitatem, quia Filium dicebat esse Dei creatum, itidemque Spiritum sanctum; circa incarnationem, quia Christi corpus aiebat inanimum esse, in quo animæ loco Sermo principatum obtinuerit. Hoc autem propterea dicebat, quoniam conduceret ad stabiliendum ipsius de Trinitate dogma, sicut ostendere possumus. Probabat autem, Filium Spiritumque sanctum esse Dei creata, sive opificia, de sacrarum Litterarum quibusdam auctoritatibus. Ait enim, Petrum in Actis apostolorum dicere: *Certo sciat universa Israelitarum familia, quod Deus hunc Jesum quem vos in crucem egistis, Dominum Christumque fecerit* [31]. Et rursus, Apostolum in Epistola ad Hebræos scripsisse: *Quapropter, sancti fratres, con-*

A τὸν Χριστὸν, γενέσθαι δὲ ἐν αὐτῷ τὸν Λόγον τοῦ Θεοῦ, μὴ νομιζόμενος· καὶ μὴ δοξάζων τὰ αὐτὰ τῷ Νεστορίῳ. Ὁ μὲν γὰρ Νεστόριος, εἰ καὶ ψιλὸν ἄνθρωπον ἔλεγε τὸν Χριστὸν, ἀλλ' οὖν τὸν αὐθυπόστατον Λόγον τοῦ Θεοῦ, καὶ Υἱὸν ἔλεγε γενέσθαι ἐν τῷ ἀνθρώπῳ ἐκείνῳ. Περὶ γὰρ τὴν Τριάδα οὐχ ἡμάρτανεν ὁ Νεστόριος. Ὁ δὲ Παῦλος ὁ Σαμοσατεὺς οὐκ ἔλεγε τὸν αὐθυπόστατον Λόγον γεγενῆσθαι ἐν τῷ Χριστῷ, ἀλλὰ Λόγον ἔλεγε τὴν κέλευσιν καὶ τὸ πρόσταγμα· τοῦτ' ἔστιν, ἐκέλευσεν ὁ Θεὸς δι' ἐκείνου τοῦ ἀνθρώπου, ὃ ἐβούλετο, καὶ ἐποίει. Ἀλλ' οὐδὲ περὶ τὴν θεότητα τὰ αὐτὰ ἐδόξαζε τῷ Σαβελλίῳ· ὁ μὲν γὰρ Σαβέλλιος, τὸν αὐτὸν ἔλεγε Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, καὶ τριώνυμον πρᾶγμα ἔλεγε τὸν Θεόν· οὐκέτι Τριάδα δοξάζων. Ὁ δὲ Παῦ-B λος, οὐ τὸν αὐτὸν ἔλεγε Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα· ἀλλὰ Πατέρα μὲν ἔλεγε τὸν Θεὸν, τὸν πάντα δημιουργήσαντα· Υἱὸν δὲ, τὸν ἄνθρωπον τὸν ψιλόν· Πνεῦμα δὲ, τὴν ἐπιφοιτήσασαν χάριν τοῖς ἀποστόλοις. Ἐν τοῖς χρόνοις δὲ τούτοις καὶ ἡ Σαβελλίου αἵρεσις ἐγένετο, περὶ ἧς ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν.

Ἐν δὲ τοῖς χρόνοις τοῖς ἀπὸ τῆς ἀρχῆς τῆς βασιλείας Κωνσταντίνου, ἄχρι τοῦ κινήματος τῆς ἐν Χαλκηδόνι συνόδου, ἐγένοντο διδάσκαλοι καὶ πατέρες οἵδε· Σίλβεστρος Ῥώμης ἐπίσκοπος, Ἀλέξανδρος ἐπίσκοπος Ἀλεξανδρείας, Εὐστάθιος Ἀντιοχείας, Ἀθανάσιος Ἀλεξανδρείας, Ἰούλιος Ῥώμης, Ἀλέξανδρος Κωνσταντινουπόλεως, Ἱλάριος Πικτάβων, C πόλεως τῆς Γαλατίας, Ἀμβρόσιος Μεδιολάνων, Βασίλειος Καισαρείας τῆς Καππαδοκίας, Γρηγόριος Νύσσης, Γρηγόριος ὁ Ναζιανζοῦ, Ἀμφιλόχιος Ἰκονίων, Ἀντίοχος Πτολεμαΐδος, τῆς κατὰ Φοινίκην, Γελάσιος Καισαρείας Παλαιστίνης, Νεκτάριος, Ἀττικὸς, Ἰωάννης (c), Πρόκλος, καὶ Φλαβιανὸς, Κωνσταντινουπόλεως· Σεβηριανὸς Γαβάλων, Ἐπιφάνιος Κύπρου, Αὐγουστῖνος Ἱππόνης (d) πόλεως τῆς Ἀφρικῆς, Θεόφιλος καὶ Κύριλλος, Ἀλεξανδρείας. Τούτους οὖν πάντας τοὺς ἐπισκόπους αἱ μετ' αὐτοὺς αἱρέσεις δέχονται, αἱ δὲ πρὸ αὐτῶν οὐκέτι. Ἐγένετο δὲ εὐθέως ἐν αὐτῇ τῇ βασιλείᾳ Κωνσταντίνου, ἡ τοῦ Ἀρείου αἵρεσις· ὅστις καὶ περὶ τὴν θεότητα, καὶ περὶ τὴν ἀνθρωπότητα ἐσφάλλετο. Περὶ μὲν τὴν θεότητα, ὅτι ἔλεγε κτίσμα εἶναι τοῦ Θεοῦ, τὸν Υἱὸν, D καὶ τὸ ἅγιον Πνεῦμα· περὶ δὲ τὴν ἐνανθρώπησιν, ὅτι τὸ σῶμα τοῦ Χριστοῦ ἔλεγεν ἄψυχον εἶναι· ἄρχειν γὰρ ἔλεγεν ἐν αὐτῷ ἀντὶ ψυχῆς τὸν Λόγον. Τοῦτο δὲ ἔλεγεν, ἐπειδὴ συνεβάλλετο αὐτῷ εἰς δόγμα τῆς Τριάδος, ὡς ἔχομεν δεῖξαι. Ἐπιστοῦτο δὲ, ὅτι κτίσματά εἰσι Θεοῦ, ἤτοι ποιήματα, ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα, ἀπὸ χρήσεών τινων τῆς ἁγίας Γραφῆς. Λέγει γὰρ, ὥς φησιν, ὁ Πέτρος ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων· *Ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ, ὅτι Κύριον καὶ Χριστὸν αὐτὸν ἐποίησεν ὁ Θεὸς τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε.* Καὶ πάλιν ὁ Ἀπόστολος ἐν τῇ πρὸς

[31] Act. II, 36.

(c) *Ἰωάν.* Chrysostomum intellige.

(d) *Ἱππόνης.* Ἱππῶνος.

Ἑβραίους Ἐπιστολῇ· *Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν Ἀπόστολον καὶ Ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν*. Καὶ αὐτὸς δὲ ὁ Κύριος ἐν τοῖς Εὐαγγελίοις φησίν· *Ὁ ἀποστείλας με Πατὴρ, μείζων μού ἐστι*. Τοῦτον δὲ ἀνατρέπουσιν οἱ ἅγιοι Πατέρες, καὶ πρῶτον μὲν, ἐναντίας τούτων τῶν χρήσεων παραφέρουσιν· ἔπειτα δὲ καὶ ταύτας τὰς παρενεχθείσας ἐξ αὐτῶν θεραπεύοντες. Ἐναντίας μὲν, ὅ τι φησὶν Ἰωάννης· *Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος*. Καὶ πάλιν ἐν τῇ πρὸς Ἑβραίους Ἐπιστολῇ περὶ τοῦ Υἱοῦ λέγει, ὁ Ἀπόστολος· *Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ*. Εἰ δὲ ἦν κτίσμα, ἀλλὰ μὴ γέννημα τοῦ Θεοῦ ὁ Χριστὸς, οὐκ ἂν εἶχεν εἶναι χαρακτὴρ καὶ ἀπαύγασμα τοῦ Θεοῦ. Καὶ αὐτὸς δὲ ὁ Κύριός φησιν· *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*. Καὶ οὕτω μὲν ἀπὸ τῶν ἐναντίων χρήσεων ἀνατρέπουσι τὸν Ἄρειον. Θεραπεύουσι δὲ τὰς ἐξ αὐτῶν παρενεχθείσας, τοιούτῳ λόγῳ, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ πάντα ὑπομεῖναι ἀξιώσας, ὡς ἄνθρωπος, οὐκ ἀπηξίωσε καὶ μείζονα αὐτοῦ εἰπεῖν τὸν Πατέρα. Ὅταν μὲν οὖν ποίημα αὐτὸν καλῇ ὁ Ἀπόστολος, οὐ πρὸς τὴν θεότητα ἀποβλέπων, οὕτως αὐτὸν καλεῖ, ἀλλὰ πρὸς τὴν ἀνθρωπότητα· καθὸ μὲν γὰρ Θεὸς, γέννημά ἐστι Θεοῦ, οὐ ποίημα· καθὸ δὲ ἄνθρωπος, ποίημα, καὶ ἀπόστολος, καὶ ὅσα τοιαῦτα. Καὶ ἰστέον, ὅτι τὸ δόγμα τῆς ἡμετέρας Ἐκκλησίας ἐστὶ, τὸ ἀνατρέπον τὸν Ἄρειον. Εἰ μὴ γὰρ δύο φύσεις εἴπωμεν περὶ (e) Χριστοῦ, καὶ τῇ μὲν ἀνθρωπίνῃ τὰς ταπεινὰς ταύτας φωνὰς ἀναθήσωμεν, τῇ δὲ θεότητι τὰς ἄλλας, οὐκ ἀνατρέπεται. Διὰ τοῦτο τὸ δόγμα τοῦ Ἀρείου, τὸ σῶμα τοῦ Χριστοῦ ἔλεγεν ἄψυχον εἶναι· ἵνα τὰς τοιαύτας ταπεινὰς φωνὰς μηκέτι ὡς ἀνθρώπῳ ἀναθῶμεν τῷ Χριστῷ, ἀλλ' ὡς Υἱῷ τοῦ Θεοῦ· καὶ εὑρεθῇ, κατὰ τὸ δόγμα αὐτοῦ, ὁ Υἱὸς ἐλάττων τοῦ Πατρός. Ὅτι δὲ καὶ ψυχὴν ἔσχε τὸ σῶμα τοῦ Χριστοῦ, μαρτυρεῖ αὐτὸς ὁ Χριστὸς λέγων, ὅτι *Ἡ ψυχή μου τετάρακται*· καὶ ἀπὸ ἄλλων πολλῶν. Κατὰ τούτου δὲ τοῦ Ἀρείου, πρεσβυτέρου ὄντος Ἀλεξανδρείας, ἐκροτήθη σύνοδος ἐν Νικαίᾳ, ἐπισκόπων ἐκκρίτων τιη', βασιλεύοντος Κωνσταντίνου. Καὶ καθεῖλον αὐτὸν, καὶ σύμβολον, ἤτοι μάθημα κατ' αὐτοῦ ἐξέθεντο, ὅπερ φέρεται, καὶ τοῖς βουλομένοις ἔξεστιν αὐτῷ ἐντυχεῖν. Ἐν τούτοις ἡ πρᾶξις.

sortes vocationis cœlestis, considerate Apostolum illum Pontificemque confessionis nostræ Jesum, fidelem ei qui fecit eum [13]. Præterea, Dominum ipsum in Evangeliis dicere : *Qui me misit Pater, major me est* [14]. Sed refutant eum sancti Patres; ac primo quidem, auctoritates hisce contrarias proferunt : deinde has ipsas quoque productas ab Arianis sanant. Contrarias quidem, quod Joannes dixerit : *In principio erat Sermo, et Sermo erat apud Deum, et Sermo ille Deus erat* [15]. Ac rursus in Epistola ad Hebræos de Filio dicit Apostolus : *Qui radius est majestatis, et effigies substantiæ Patris* [16]. Quod si creatum, non soboles Dei Christus esset; non caderet in eum, esse Dei tum effigiem, tum radium. Quin et ipse Dominus ait : *Ego et Pater unum sumus* [17]. Et hoc quidem modo per auctoritates contrarias Arium refutant. Productis autem per Arianos, opem hac ratione ferunt; quod Filius Dei scilicet, omnia sustinere dignatus, ut homo, non etiam dedignatus sit, Patrem se majorem dicere. Cum Apostolus *factum* dicit, non ad divinitatem respiciens, ita loquitur, sed ad naturam humanam. Quatenus enim Deus est, soboles Dei, non creatum est : quatenus autem homo, tam creatum, quam Apostolus, et quæcunque nomina sunt hujus generis alia. Et quidem sciendum, hoc ipsum esse dogma Ecclesiæ nostræ, quod Arium evertat. Nam nisi duas in Christo naturas esse dixerimus, et humanæ quidem humiles hasce voces attribuerimus, divinitati vero, diversas : nequaquam confutatus evertitur. Idcirco Arianum dogma, Christi corpus inanimum esse, tradebat : ut humiles ejusmodi voces Christo, non ut homini, attribueremus, sed ut Dei Filio : deque ipsius sententia, Filius Patre minor deprehenderetur. Quod autem Christi corpus anima præditum fuerit, Christus ipse verbis hisce testatur : *Turbata est anima mea* [18] : deque pluribus aliis probatur. Adversus hunc Arium presbyterum Alexandrinum, eximiorum 318 episcoporum synodus Nicææ, Constantino imperante, coacta fuit : qui et officio removerunt eum, et Symbolum sive doctrinæ formulam adversus ipsum exposuerunt, quæ vulgo habetur; et possunt eam qui cupiunt, consequi. Hæc tractare voluimus.

Hac quarta Actione Macedonii, Apollinaris, Nestorii, Eutychis hæreses deteguntur et examinantur; Dioscorus quod Eutychi hæretico favisset, in insulam relegatur.

ΠΡΑΞΙΣ Δ'.

Μετὰ τὴν αἵρεσιν Ἀρείου, μᾶλλον δὲ αὐτῆς ἔτι συνισταμένης (ἐκράτησε γὰρ πολὺν χρόνον), ἀνεφύησαν καὶ ἄλλαι δύο αἱρέσεις, ἥ τε Μακεδονίου ἐπισκόπου ὄντος Κωνσταντινουπόλεως, καὶ ἡ τοῦ Ἀπολιναρίου πρεσβυτέρου ὄντος. Ἦν δὲ ἡ μὲν τοῦ Μακεδονίου αἵρεσις τοιαύτη· Ἡμάρτανε περὶ τὴν θεότητα, ἐξ

ACTIO IV.

I. Post Arii sectam, vel ea potius adhuc vigente (nam longo tempore duravit), exortæ sunt aliæ duæ sectæ, Macedonii Constantinopolitani episcopi, et Apollinaris presbyteri. Macedonii quidem hæresis hujusmodi fuit : Circa divinitatem delinquebat, et ex semisse particeps erat impietatis Arianæ : nam

[13] Heb. III, 1, 2. [14] Joan. XIV, 28. [15] Joan. I, 1. [16] Hebr. I, 3. [17] Joan. X, 30. [18] Joan. XII, 27.

(e) Περὶ. Ἐπί.

Filium ex Deo genitum tradens, Spiritum creaturam esse dicebat. Atque hoc dogma suum ex eo confirmabat, quod apertus sacris in Litteris, ut ipse quidem aiebat, textus non exstet, qui Spiritum sanctum esse Deum tradat. Sed multis auctoritatibus convincitur. Nam et Spiritus sancti, tanquam Dei, mentionem sacra Scriptura fecit. Primum in Actis apostolorum ad Ananiam sanctus Petrus ait : *Cur Satanas, Anania, cor tuum implevit, ut Spiritui sancto imponeres, partemque de pretio fundi defraudares? Nonne tuum manebat, et in potestate tua distractum erat? Non hominibus, sed Deo mentitus es*[29]. En aperte Spiritum sanctum appellavit Deum. Deinde rursus in Actis apostolorum dicitur : *Ipsis jejunantibus, et ministrantibus Domino, dixisse Spiritum sanctum : Segregate mihi Paulum atque Barnabam ad illud opus, ad quod eos vocavi*[30]. Nam dum inquit : *Segregate*, potestatem suam ostendit, quod ita scilicet loquatur, quasi Deus sit. Quippe si Dei creatum esset, et ab eo missus, sic loqui debuerat : Dixit Dominus, Segregate mihi Paulum et Barnabam. Sic enim Litteræ sacræ loqui solent, quoties per aliquem minorem Dominus verba facit. Ipse quoque Dominus in Evangeliis ait : *Spiritus ille veritatis, qui de Patre procedit*[31] : hoc est, qui ortus est de substantia Dei. Nusquam enim de creato verbum hoc usurpasse Litteras sacras, constat. Rursus alibi Dominus ait : *Profecti docete gentes universas, baptizantes eos in nomine Patris, et Filii, et Spiritus sancti*[32]. Quod si Spiritus sanctus creatum esset, non cum increatis connumeratus fuisset, uti cum eis adoretur, et eadem gloria afficiatur.

II. Apollinarem vero circa divinitatem deliquisse non apparet, quanquam et hunc duo Gregorii eo se errore convincunt obstrinxisse. Nam creati quidem ille mentionem non facit, inquiunt; inferiorem tamen gradum Filii tradit, et Spiritus sancti, respectu Patris. In dispensatione vero Christi manifesto errabat. Corpus enim quod Deus ille Sermo induit, animam quidem habere, sed mente prorsus carere tradebat : quippe qui non aliter anima præditus esset, atque brutum aliquod animal. Hoc dogma suum, non aliquo Scripturæ dicto, sed ratiocinando probabat. Quippe mentem aiebat esse quiddam peccato pollutum : absurdum vero prorsus, de Dei Sermone cogitare, copulatum fuisse cum re peccato contaminata. Nos autem respondemus, e contrario potius existimandum, obnoxiæ peccato rei propterea fuisse copulatum, quod ea salutis indigeret. Nam illi salutem acquisivit, cui conjunctus fuit. Cum hæc essent moveri cœpta dogmata, Constantinopolitana synodus, hominum 150, coivit; in qua viri magni fuerunt, Gregorii duo, et Amphilochius. Hi collecti, Macedonium et Apollinarem ab officio removerunt, et decretum sive doctrinæ fidei formulam, ut loqui solemus, exposuerunt.

A ἡμισείας συνασεβῶν τῷ Ἀρείῳ· τὸν μὲν [δὲ] γὰρ Υἱὸν λέγων γέννημα τοῦ Θεοῦ, τὸ Πνεῦμα ποίημα ἔλεγε. Καὶ ἰσχυρίζετο τὸ δόγμα αὐτοῦ, ἀπὸ τοῦ μὴ φανερῶς, φησὶ, κεῖσθαι ἐν τῇ ἁγίᾳ Γραφῇ, ὅτι Θεὸς ἦν τὸ Πνεῦμα τὸ ἅγιον. Ἐλέγχεται δὲ ἀπὸ πολλῶν χρήσεων. Καὶ περὶ τοῦ Πνεύματος γὰρ τοῦ ἁγίου ὡς Θεοῦ ἐμνήσθη ἡ ἁγία Γραφή. Πρῶτον μὲν γὰρ ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων πρὸς Ἀνανίαν φησὶν ὁ ἅγιος Πέτρος· *Ἀνανία, ἵνα τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαί σε ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; Οὐχὶ μένον σοι ἔμενε, καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχεν; Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ Θεῷ.* Ἰδοὺ γὰρ φανερῶς Θεὸν ἐκάλεσε τὸ Πνεῦμα τὸ ἅγιον. Εἶτα πάλιν ἐν ταῖς Πράξεσι τῶν B ἀποστόλων λέγεται, ὅτι *Νηστευόντων αὐτῶν, καὶ λειτουργούντων τῷ Κυρίῳ, εἶπε τὸ Πνεῦμα τὸ ἅγιον· Ἀφορίσατέ μοι τόν τε Παῦλον, καὶ τὸν Βαρνάβαν, εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς.* Ἔδειξε γὰρ διὰ τοῦ, *Ἀφορίσατε*, τὴν οἰκείαν ἐξουσίαν, ὅτι ὡς αὐτὸς ὢν Θεὸς διαλέγεται. Εἰ γὰρ κτίσμα ἦν Θεοῦ, καὶ ἀπ' αὐτοῦ ἀπεσταλμένον, εἶχεν ἂν εἰπεῖν, ὅτι Εἶπεν ὁ Κύριος, Ἀφορίσατέ μοι τόν τε Παῦλον καὶ Βαρνάβαν. Οὕτω γὰρ ἡ ἁγία Γραφὴ εἴωθε λέγειν, ὅτε διά τινος ἐλάττονος ποιεῖται ὁ Κύριος τὸν λόγον. Καὶ ὁ Κύριος δέ φησιν ἐν τοῖς Εὐαγγελίοις· *Τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται*· ὃ γέννημά ἐστι τῆς οὐσίας τοῦ Θεοῦ. Οὐδαμοῦ γὰρ ἐπὶ κτίσματος φαίνεται τοῦτο ῥῆμα λέC γουσα ἡ ἁγία Γραφή. Πάλιν ἐν ἑτέροις λέγει ὁ Κύριος. *Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.* Εἰ γὰρ ἦν κτίσμα τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἂν συνηριθμήθη αὐτὸ τοῖς ἀκτίστοις, ἵνα σὺν αὐτοῖς προσκυνῆται καὶ συνδοξάζηται.

Ὁ δὲ Ἀπολινάριος περὶ μὲν τὴν θεολογίαν οὐ φαίνεται ἁμαρτάνων, πλὴν διελέγχουσι καὶ τοῦτον οἱ Γρηγόριοι περὶ ταύτην ἁμαρτάνοντα. Κτίσμα μὲν γὰρ, φασὶν, οὐ λέγει· ὑπόβασιν δὲ μικρὰν λέγει τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, πρὸς τὸν Πατέρα. Περὶ δὲ τὴν οἰκονομίαν φανερῶς διεσφάλλετο. Ἔλεγε γὰρ, τὸ σῶμα ὃ ἐνεδύσατο ὁ Θεὸς Λόγος, ψυχὴν μὲν ἔχειν, νοῦν δὲ οὐδαμῶς· ἀλλ' ὥσπερ ἄλογον ψυχὴν οὕτως ἔλεγεν ἔχειν. Διισχυρίζετο δὲ τὸ δόγμα αὐτοῦ, οὐχ ὑπὸ ῥητοῦ τινος, ἀλλ' ἀπὸ περινοίας. Ἔλεγε γὰρ, ὅτι ὁ νοῦς ἁμαρτητικόν τί ἐστιν. Ἄτοπον δέ ἐστιν D ὅλως, ὑπονοῆσαι περὶ τοῦ Λόγου τοῦ Θεοῦ, ὅτι συνήφθη τινὶ ἁμαρτητικῷ. Ἡμεῖς δὲ λέγομεν, ὅτι τοὐναντίον τῷ ἁμαρτητικῷ δεῖ μᾶλλον αὐτὸν ὑπονοῆσαι συναφθῆναι, τῷ καὶ σωτηρίας δεομένῳ. Ἐκεῖνον γὰρ ἔσωσεν, ᾧ καὶ συνήφθη. Τούτων τῶν δογμάτων κινουμένων, συνέρχεται ἡ ἐν Κωνσταντινουπόλει σύνοδος ἀνδρῶν ρν' ἥτις ἄνδρας ἔσχε μεγάλους, τοὺς Γρηγορίους, καὶ Ἀμφιλόχιον. Καὶ συναχθέντες, καθαιροῦσι τὸν Μακεδόνιον καὶ Ἀπολινάριον· καὶ ἐκτίθενται ὅρον, ἤτοι μάθημα πίστεως, ὅπερ λέγομεν.

[29] Act. v, 3, 4. [30] Act. XIII, 2. [31] Joan. XV, 26. [32] Matth. XXVIII, 19.

Περὶ δὲ τοὺς χρόνους ἐκείνους ἐγένοντο δύο ἄνδρες μεγάλοι, Διόδωρος ὁ Ταρσοῦ ἐπίσκοπος, καὶ Θεόδωρος ὁ Μοψουεστίας· οἵτινες ἀντηγωνίσαντο πρὸς Ἀρειανοὺς, καὶ Μακεδόνιον, καὶ Ἀπολινάριον, καὶ τὴν ἄλλην Γραφὴν ὑπεμνημάτισαν, καὶ ἐν τιμῇ ὄντες μεγάλῃ, ἀπέθανον· καὶ οὐδεὶς ἐν τῇ ζωῇ αὐτῶν ἐπελάβετό τινος αὐτῶν· ἀλλ' ἐγκώμια ἔγραψαν εἰς αὐτοὺς πολλοί. Καὶ Βασίλειος γὰρ αὐτοὺς ἐγκωμιάζει, καὶ Ἰωάννης ὁ Χρυσόστομος. Ὕστερον δὲ κινουμένου τοῦ Νεστοριανοῦ δόγματος, ἠναγκάσθη Κύριλλος, ὁ πρώην αὐτοὺς ἐπαινῶν, κατὰ τῶν συγγραμμάτων αὐτῶν γράψαι· ἐπειδὴ ἀπ' αὐτῶν ἰσχυρίζετο τὸ δόγμα αὐτοῦ ὁ Νεστόριος. Ὑπομνηματίσαντες γὰρ οὗτοι τὴν ἁγίαν Γραφὴν, οὐκ ἔστησαν ἄχρι τοῦ δέοντος, ἀλλὰ βουληθέντες μερίσαι τὰς ἐν τῇ ἁγίᾳ Γραφῇ φωνὰς, τὰς μὲν τῇ θεότητι, τὰς δὲ τῇ ἀνθρωπότητι· εὑρέθησαν δύο ὑποστάσεις του Χριστοῦ καὶ διαίρεσιν εἰσάγοντες. Καὶ δι' αὐτὸ ἠναγκάσθη ὁ Κύριλλος κατ' αὐτῶν γράψαι, ἐπεὶ ἀπ' αὐτῶν ἰσχυρίζετο τὸ δόγμα αὐτοῦ ὁ Νεστόριος. Διὰ τοῦτο δὲ ἐν τῇ ζωῇ αὐτῶν οὐδεὶς αὐτοῖς ἀντεῖπεν, ἐπειδὴ τὸ μάχεσθαι πρὸς τὰς μείζους αἱρέσεις, ἔσκεπε τὰ τοιαῦτα δόγματα. Μετὰ δὲ χρόνον ὀλίγον τοῦ ἀποθανεῖν Θεόδωρον καὶ Διόδωρον, ἀνέστη ἡ αἵρεσις Νεστορίου· ἦν δὲ Κωνσταντινουπόλεως αὐτὸς ὁ Νεστόριος ἐπίσκοπος, Ἀλεξανδρείας δὲ Κύριλλος, Ἀντιοχείας δὲ Ἰωάννης.

Τί δὲ ἦν τὸ δόγμα τοῦ Νεστορίου, ἤδη μὲν ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν· καὶ νῦν δὲ μικρὰ διεξέλθωμεν. Οὐκ ἔλεγε γὰρ ἕνωσιν τοῦ Λόγου τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον, ἀλλὰ δύο ὑποστάσεις ἔλεγε, καὶ διαίρεσιν· ὅθεν οὐδὲ τὴν ἁγίαν Μαρίαν ἐκάλει Θεοτόκον, ἀλλὰ Χριστοτόκον. Εἰ δὲ καὶ ἄνθρωπον, καὶ Θεὸν ἀπεκάλει τὸν Χριστόν· ἀλλ' οὐκέτι ὡς ἡμεῖς, ἀλλὰ τῇ σχέσει καὶ τῇ οἰκειώσει. Ὥσπερ λέγομεν περὶ δύο τινῶν φίλων, πάνυ ἀλλήλους ἀγαπώντων· ὅτι οἱ δύο οὗτοι μίαν ψυχὴν ἔχουσι, κατὰ τὸ ταυτὰ ἀλλήλοις ἀρέσκειν, διὰ τὴν ὑπερβολὴν τῆς φιλίας. Τούτῳ δὲ τῷ Νεστορίῳ ἐναντίος ἦν ὁ Κύριλλος, καὶ ἔγραφεν αὐτῷ συνεχέστερον, ἀποστραφῆναι ἀπὸ τοῦ δόγματος τούτου. Ἔγραψεν οὖν πρώτην αὐτῷ καὶ δευτέραν ἐπιστολὴν, καὶ οὐκ ἔπεισεν αὐτόν. Ὕστερον δὲ γράφει αὐτῷ τρίτην ἐπιστολὴν, ἐν ᾗ ἔγραψε δώδεκα κεφάλαια περὶ πίστεως· καὶ ὕστερον ἔγραψεν, ὅτι Εἰ μὲν καταδέχῃ ταῦτα, συλλειτουργὸς ἡμῶν εἶ, καὶ φίλος· εἰ δὲ μὴ, ἀνάθεμα ἔσῃ. Οὐδ' οὕτως δὲ ἔπεισε. Κινουμένης δὲ τῆς μάχης ταύτης, κελεύει ὁ βασιλεὺς (ἦν δὲ Θεοδόσιος ὁ Μικρὸς) γενέσθαι σύνοδον ἐν Ἐφέσῳ, καὶ κριτὴν γενέσθαι Κυρίλλου καὶ Νεστορίου Ἰωάννην τὸν Ἀντιοχείας ἐπίσκοπον. Ἦλθεν οὖν ὁ Κύριλλος εἰς τὴν ὁρισθεῖσαν ἡμέραν μετὰ πάσης τῆς συνόδου αὐτοῦ εἰς τὴν Ἔφεσον. Ὁμοίως καὶ Νεστόριος μετὰ τῆς αὐτοῦ συνόδου. Ἐμβραδύναντος δὲ Ἰωάννου ἐλθεῖν, καὶ παραπροθεσμήσαντος ἡμέρας ιϛ', νομίσας ὁ Κύριλλος, ὅτι οὐκέτι ἔρχεται, συναγαγὼν τοὺς εὑρεθέντας ἐπισκόπους, καὶ ἀνεγνωκὼς ἐπὶ αὐτῶν τὰ Νεστορίου συγγράμματα, καὶ ὕστερον ἀπὸ τῶν ἁγίων Πατέρων χρήσεις ἐναντιουμένας αὐτοῖς, Νεστορίου μὴ συνελ-

III. Exstiterunt iis temporibus magni quidam duo viri, Diodorus episcopus Tarsi, et Theodorus Mopsuestiæ: qui et adversus Arianos, et Macedonium, et Apollinarem pugnabant, universasque Litteras sacras commentariis illustrabant, et in pretio habiti, mortem oppetierunt; nec ipsis vivis quisquam dictum aliquod eorum reprehendebat; imo complures scriptis encomiis eos celebrarunt. Nam et Basilius et Joannes Chrysostomus eos prædicant. Verum postea moto dogmate Nestoriano, coactus est Cyrillus, qui et ipse pridem eos laudasset, adversus eorum opera scribere; quod dogma suum Nestorius ex eis confirmaret. Nam editis illi sacras in Litteras commentariis, intra fines non constiterunt; sed cum distribuere vellent sacrarum Litterarum voces, alias ad divinitatem, alias ad naturam humanam relatas, deprehensum est, eos duas Christi hypostases, et divisionem quamdam introducere. Quam ob causam Cyrillus adversus ipsos scribere coactus fuit, confirmante dogma suum ex eis Nestorio. Vivis quidem ipsis cur nemo contradixerit, factum ideo quod pugnandi contra sectas majores necessitas ejusmodi dogmata tegeret. At paulo post quam diem Theodorus ac Diodorus obiissent, suscitata Nestorii fuit hæresis; eratque Constantinopolitanus episcopus hic ipse Nestorius, Cyrillus Alexandrinus, Joannes Antiochenus.

IV. Quodnam dogma Nestorii fuerit, expositum id quidem est in iis quæ modo diximus: sed nihilo minus paucis explanemus. Non esse factam aiebat unionem Dei Sermonis cum homine, sed duas tradebat hypostases, ac divisionem: quamobrem nec sanctam illam Mariam vocabat Deiparam, sed Christiparam. Quod si maxime Christum et hominem, et Deum appellabat, non tamen hoc eo faciebat sensu, quo nos, sed affectionis conjunctionisque respectu: quemadmodum de duobus quibusdam amicis dicimus, invicem valde se diligentibus, unam eos habere animam: quod amoris nimii causa, eadem ipsis placeant. Huic autem Nestorio Cyrillus adversabatur, litterasque frequentes exarabat, ut hominem ab illo dogmate diverteret. Hoc studio impulsus, et primam ad ipsum et alteram scripsit epistolam, nec tamen persuasit. Tandem litteras ad eum tertias dedit, in iisque duodecim de fide capitula perscripsit, et adjecit in extremis: Si quidem hæc recipis, et ministerii consors, et amicus noster es: sin autem, anathema eris. Verum ne sic quidem persuasit. Hac autem rixa mota, jubet imperator (is erat Theodosius minor) Ephesi synodum haberi, judicemque constitui tam Cyrillo quam Nestorio, Joannem Antiochenum episcopum. Itaque Cyrillus universo cum cœtu suo, Ephesum ad diem præstitutum venit: itidemque suo cum concilio, Nestorius. Cum autem Joannes adventum suum longius extraheret, et ultra diem dictum moram 16 dierum interponeret: Cyrillus cum non venturum amplius arbitratus, coactis episcopis, quotquot inventi sunt, et lectis

in eorum præsentia Nestorii scriptis, itidemque Patrum auctoritatibus quæ his adversarentur, absente Nestorio qui judicem exspectare se diceret, cum ab officio removendum statuit. Post 16 vero dies, ubi Joannes jam adventasset, factamque Nestorii depositionem absque se comperisset : ira partim, partim dolore impulsus, quod ipsius ad infamiam Nestorii depositio, nulla interveniente scilicet ejus auctoritate facta fuisset; in ecclesiam quam Cyrillus adierat, minime se contulit; sed in aliam digressus, Cyrillum quidem oppugnabat, invicemque se anathemati subjiciebant; non tamen Nestorium admittebat.

θόντος, ἀλλὰ λέγοντος προσμένειν τὸν κριτὴν, ποιεῖ τὴν καθαίρεσιν αὐτοῦ. Μετὰ δὲ ιϛ' ἡμέρας ἐλθὼν ὁ Ἰωάννης, καὶ εὑρὼν τὴν καθαίρεσιν Νεστορίου γενομένην χωρὶς αὐτοῦ, ἀγανακτήσας καὶ λυπηθεὶς, ὅτι πρὸς ἀτιμίαν αὐτοῦ γέγονε χωρὶς αὐτοῦ ἡ καθαίρεσις Νεστορίου· εἰς τὴν ἐκκλησίαν εἰς ἣν ἀνῆλθεν ὁ Κύριλλος, οὐ συνῆλθεν· εἰς ἄλλην δὲ ἀνελθὼν, ἐμάχετο μὲν πρὸς Κύριλλον, καὶ ἀνεθεμάτιζον ἀλλήλους· οὐκ ἀπεδέχετο δὲ Νεστόριον.

V. Aderat Joanni Theodoretus quidam, vir eruditus et eloquens, Cyri, Orientis oppidi, episcopus. Hic Cyrillum oppugnans, 12 quoque capita reprehendit, quæ in epistola ad Nestorium tertia perscripserat; eaque sic refutabat, ut Cyrillum et Arianum, et ab Eunomio atque Apollinari esse diceret. Quippe Cyrillus cum Nestorio pugnans, dispensationem Domini dividente, præcipuam inculcandæ unionis curam sibi sumpsit. Ideoque Theodoreto Cyrillus quodammodo naturam unam, Arianorum et Apollinaristarum more, opinari videbatur. Verum ne Theodoretum quidem constat unquam admisisse Nestorium, sed duntaxat de Cyrillo questum, ejus infamiæ causa, quæ Joanni contigisset. Sciendum vero, circumferri Joannis episcopi Antiocheni scriptam ante hanc synodum epistolam ad Nestorium, ipsius dogma refutantem : cui antistites universi ad Joannis concilium pertinentes subscripsere. Sciendum et illud, circumferri quasdam Theodoreti ac Nestorii epistolas, in quibus se mutuo recipiunt; sed fictitiæ sunt : et fingunt eas hæretici, ut earum ope synodum oppugnent. Si cui vero cognoscere libet, quam gravi Nestorium Theodoretus odio prosecutus fuerit, is librum ipsius Theodoreti perscriptum de sectis legat. Itaque Nestorio deposito, et hisce rebus motis, synodus ipsa solvitur, quolibet suum ad locum profecto. Alexandriam Cyrillus, Joannes Antiochiam abiit; et ex eo rixa inter Ægyptios et orientales erat. Orientales cum Nestorio sentire putabantur, Ægyptii cum Apollinari. Hac ineunte rixa, Theodosius imperator Cyrillo scribit, amicitiam cum Joanne redintegraret : ac Joanni, Cyrillo se reconciliaret. Joannes acceptis litteris imperatoris, epistolam ad Cyrillum componit, qua sententiæ suæ formulam complectebatur, eamque Pauli Emesenæ urbis episcopi opera Cyrillo mittit. Hac a Cyrillo approbata, orientalium episcoporum adversus Ægyptios rixa exstincta est. Cumque paulum temporis intercessisset, Chalcedonense concilium cogi cœpit.

Εὑρέθη δὲ μετὰ Ἰωάννου Θεοδώρητός τις ἐλλόγιμος, Κύρου ἐπίσκοπος Ἀνατολῆς. Οὗτος κατὰ Κυρίλλου λέγων, ἐπιλαμβάνεται καὶ τῶν ιβ' κεφαλαίων, ὧν ἔγραψεν ἐν τῇ τρίτῃ ἐπιστολῇ τῇ πρὸς Νεστόριον, καὶ ἀνέτρεπεν αὐτὰ, λέγων ὅτι Ἀρειανός ἐστι Κύριλλος, καὶ τὰ Εὐνομίου καὶ Ἀπολιναρίου φρονεῖ. Ὁ γὰρ Κύριλλος Νεστορίῳ ἀπομαχόμενος, τῷ διαιροῦντι τὴν οἰκονομίαν, τῆς ἑνώσεως μᾶλλον φροντίδα πεποίηται. Ὅθεν καὶ ἐδόκει πως τῷ Θεοδωρήτῳ ὁ Κύριλλος, ὡς μίαν φύσιν δοξάζων, ὡς οἱ Ἀρειανοὶ, καὶ οἱ περὶ τὸν Ἀπολινάριον. Πλὴν οὐδὲ Θεοδώρητος φαίνεται πώποτε τὸν Νεστόριον ἀποδεχόμενος, ἀλλὰ μόνον τὸν Κύριλλον ἀπομεμφόμενος, διὰ τὴν συμβᾶσαν εἰς Ἰωάννην ἀτιμίαν. Ἰστέον δὲ, ὅτι φέρεται Ἰωάννου τοῦ Ἀντιοχείας ἐπισκόπου, πρὸ τῆς συνόδου ταύτης ἐπιστολὴ πρὸς Νεστόριον ἀνατρέπουσα τὸ δόγμα αὐτοῦ, ἐν ᾗ ὑπέγραψαν πάντες οἱ τῆς αὐτοῦ συνόδου. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι φέρονταί τινες ἐπιστολαὶ Θεοδωρήτου καὶ Νεστορίου, ἐν αἷς ἀλλήλους ἀποδέχονται· πλασταὶ δέ εἰσι· πλάττουσι δὲ αὐτὰς οἱ αἱρετικοὶ, τοῦ μάχεσθαι δι' αὐτῶν πρὸς τὴν σύνοδον. Εἰ δὲ βούλεταί τις γνῶναι, ὅτι Θεοδώρητος καὶ λίαν ἐμίσει Νεστόριον, ἀναγνώτω περὶ τῶν αἱρέσεων τὸ αὐτοῦ Θεοδωρήτου γεγραμμένον βιβλίον. Καθαιρεθέντος οὖν Νεστορίου, καὶ τούτων κινηθέντων, διαλύεται ἡ σύνοδος, ἑκάστου ἀναχωρήσαντος εἰς τὸν ἴδιον τόπον. Καὶ ὁ μὲν Κύριλλος εἰς Ἀλεξάνδρειαν ἦλθεν, ὁ δὲ Ἰωάννης εἰς Ἀντιόχειαν· καὶ ἦν ἐκ τούτου μάχη τῶν Αἰγυπτίων πρὸς τοὺς Ἀνατολικούς. Καὶ ἐδοκοῦντο οἱ μὲν Ἀνατολικοὶ τὰ Νεστορίου φρονεῖν· οἱ δὲ Αἰγύπτιοι τὰ Ἀπολιναρίου. Τῆς δὲ μάχης ταύτης ἐνισταμένης, γράφει ὁ Θεοδόσιος ὁ βασιλεὺς Κυρίλλῳ, ἵνα φιλιωθῇ Ἰωάννῃ· καὶ Ἰωάννῃ, ἵνα φιλιωθῇ Κυρίλλῳ. Καὶ δεξάμενος ὁ Ἰωάννης τὰ γράμματα τοῦ βασιλέως, ποιεῖ ἐπιστολὴν πρὸς Κύριλλον, περιέχουσαν πῶς δοξάζει, καὶ πέμπει διὰ Παύλου, τῆς τῶν Ἐμεσηνῶν πόλεως ἐπισκόπου. Καὶ συναινέσαντος αὐτῇ Κυρίλλου, διαλύεται ἡ μάχη τῶν Ἀνατολικῶν ἐπισκόπων πρὸς Αἰγυπτίους. Χρόνου δὲ ὀλίγου διαδραμόντος, ἄρχεται ἡ ἐν Χαλκηδόνι σύνοδος κινεῖσθαι.

VI. Erat autem illis annis Alexandrinæ præses Ecclesiæ Dioscorus, Constantinopolitanæ Flavianus, Romanæ Leo, Domnus Antiochenæ : ac degebat Constantinopoli quidam, cui nomen esset Eutyches, dignitate presbyteri et archimandritæ præditus : qui Christi corpus non unius esse nobiscum substantiæ post unionem traderet. Nam quod unionem

Ἦν δὲ κατὰ τοὺς χρόνους τούτους, τῆς Ἐκκλησίας Ἀλεξανδρέων ἐπίσκοπος Διόσκορος· Κωνσταντινουπόλεως δὲ, Φλαβιανός· Ῥώμης δὲ, Λέων· Ἀντιοχείας δὲ, Δόμνος. Ἐν δὲ Κωνσταντινουπόλει ἦν τις Εὐτυχὴς τῷ ὀνόματι, πρεσβύτερος καὶ ἀρχιμανδρίτης, ὅστις ἐδόξαζε, μὴ εἶναι μὲν τὸ σῶμα τοῦ Χριστοῦ ὁμοούσιον ἡμῖν μετὰ τὴν ἕνωσιν· διὰ γὰρ

τὴν ὑπερβολὴν τῆς ἑνώσεως, καὶ τὸ μίαν φύσιν λέγειν, οὐκ ἔλεγεν ὁμοούσιον ἡμῖν μετὰ τὴν ἕνωσιν τὸ σῶμα. Τούτῳ τῷ Εὐτυχεῖ γνώριμος ἦν Εὐσέβιος ὁ Δορυλέων ἐπίσκοπος. Καὶ γνοὺς ἐξ αὐτοῦ τὸ δόγμα τοῦτο, ἀνήγγειλε Φλαβιανῷ, λέγων· Δεῖ σε ἐπιτιμῆσαι τῷ Εὐτυχεῖ, τοιοῦτο δόγμα εἰσφέροντι, ἵνα μὴ διαστραφῇ ἡ πίστις ἡμῶν. Ὁ οὖν Φλαβιανὸς τούτων ἀκούσας, συνήγαγε τοὺς αὐτοῦ συνόδου ἐπισκόπους ὡς περὶ λʹ, καὶ ἠρώτησεν ἐπὶ αὐτῶν τὸν Εὐτυχῆ, λέγων, ὅτι Ὁμολογεῖς τὸ σῶμα τοῦ Χριστοῦ ὁμοούσιον ἡμῖν, καὶ ἢ οὔ; Ὁ δὲ ἀπεκρίνατο, ὅτι Μέχρι μὲν τῆς σήμερον οὐχ ὡμολόγουν· δι' ὑμᾶς δὲ ὁμολογῶ. Τοῦτο δὲ ἔλεγεν εἰρωνείᾳ. Ἀπεκρίνατο πρὸς αὐτὸν ὁ Φλαβιανός· Οὐχ ἡμεῖς ἐσμεν, οἱ ταῦτά σοι λέγοντες ὁμολογεῖν, ἀλλ' οἱ Πατέρες. Εἰ οὖν ὁμολογεῖς, ἀναθεμάτισον τοὺς μὴ οὕτω δοξάζοντας. Ὁ δὲ εἶπε πρὸς αὐτὸν, ὅτι Ὡς εἶπον, μέχρι τῆς σήμερον οὐχ ὡμολόγουν τοῦτο· δι' ὑμᾶς δὲ λέγω. Οὐκ ἀναθεματίζω τινα· ἐὰν γὰρ ἀναθεματίζω τινὰ, τοὺς πατέρας μου ἀναθεματίζω, καὶ τὴν ἁγίαν Γραφήν. Αὕτη γάρ ἐστιν ἡ λέγουσα, ὅτι οὐκ ἔστιν ἡμῖν ὁμοούσιον τὸ σῶμα τοῦ Χριστοῦ. Ταῦτα ἀκούσας ὁ Φλαβιανὸς, καθεῖλεν αὐτὸν ἀπὸ τῆς πρεσβυτερείας, καὶ τοῦ εἶναι αὐτὸν ἀρχιμανδρίτην, εἰπὼν, ὅτι οὐκ ἔστι κατ' ἀνάγκην πίστις.

IV. At quia nonnullis omnino discreti nomen audire molestum est, age, omissa solutione hac, cæteroqui bona, subjiciamus aliam. Sciendum ergo, pluribus modis unum dici: quippe dicitur unum numero, ut Socrates: et unum specie, ut homo: et unum genere, ut animal. Similiter et duo pluribus modis efferuntur; nam dicuntur duo numero, ut Socrates, et Plato: et specie duo, ut homo et equus; et genere duo, ut substantia et album. His ita constitutis, cum duo de Christo dicimus, non cum duo dicimus esse numero, sed unum numero, specie duo. Quod autem ita loqui possimus, etiam ipse ostendit Aristoteles, aperte de materie ac forma dicens, esse illa unum quidem numero, sed specie duo. Itemque sanctus ille Gregorius, de Christo dicens: Utraque natura copulata, unum quid est; non tamen natura, sed coitione. Verum hic rursum nobis objiciunt: Si unum et duo de eodem dicitis, contradictionem introducitis, adeoque deprehendetur, vel id quod dicitis, esse falsum, vel contradictionem pariter esse veram. Ad hoc respondemus, non eodem respectu veram esse, sed diverso; quod minime absurdum est.

Ἐπειδὴ δέ τινες δυσχεραίνουσιν ὅλως τοῦ διωρισμένου ἀκούοντες, φέρε αὐτὴν τὴν λύσιν εὖ ἔχουσαν ἐάσαντες, ἄλλην ἐπαγάγωμεν. Ἰστέον οὖν, ὅτι ὥσπερ τὸ ἓν πολλαχῶς λεγόμενόν ἐστι· λέγεται γὰρ ἓν τῷ ἀριθμῷ, ὡς ὁ Σωκράτης· καὶ ἓν τῷ εἴδει, ὡς C ἄνθρωπος· καὶ ἓν τῷ γένει, ὡς τὸ ζῶον. Ἀλλὰ καὶ τὰ δύο ὁμοίως· λέγονται γὰρ δύο τῷ ἀριθμῷ, ὡς ὁ Σωκράτης, καὶ Πλάτων· καὶ δύο τῷ εἴδει, ὡς ἄνθρωπος καὶ ἵππος· καὶ δύο τῷ γένει, ὡς οὐσία καὶ λευκόν. Τούτων οὖν οὕτως ἐχόντων, ὅταν εἴπωμεν τὰ δύο ἐπὶ τοῦ Χριστοῦ, οὐ τῷ ἀριθμῷ λέγομεν αὐτὸν δύο, ἀλλ' ἕνα μὲν τῷ ἀριθμῷ, δύο δὲ τῷ εἴδει. Ὅτι δὲ δυνάμεθα οὕτως εἰπεῖν, δηλοῖ καὶ ὁ Ἀριστοτέλης, περὶ τῆς ὕλης καὶ τοῦ εἴδους φανερῶς εἰπὼν, ὅτι ταῦτα ἓν μέν εἰσι τῷ ἀριθμῷ, δύο δὲ τῷ εἴδει. Ὁ δὲ ἅγιος Γρηγόριος, περὶ τοῦ Χριστοῦ λέγων, ὥστε Τὸ συναμφότερον ἓν, οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ. Πρὸς τοῦτο πάλιν ἐπαποροῦσιν ἡμῖν, ὅτι Ἐπὶ τοῦ αὐτοῦ τὸ ἓν λέγοντες, καὶ τὰ δύο ἀντίφασιν εἰσάγετε· καὶ εὑρεθήσεται ἢ ὃ λέγετε, ψευδὲς, ἢ ἀντίφασις D συναληθεύουσα. Πρὸς τοῦτο λέγομεν, ὅτι οὐ κατὰ τὸ αὐτὸ ἀληθεύει· ἀλλὰ κατ' ἄλλο, ὅπερ οὐκ ἄτοπον.

V. Sciendum autem universas objectiones hasce non esse proprias Hæsitantium, sed quod eas Nestorianis suffurati, nobis proponant. Nam illi duas personas et duos Christos dicentes, communiter hæc omnibus, duas naturas vel unitas, vel post unionem, confitentibus objiciebant: Si duas esse naturas dicitis, etiam duas personas introducitis. Nempe idcirco et absurdum illud tam nobis quam Hæsitantibus per has objectiones colligitur: cum nihil tale Nestorianis accidat, sed e diverso ipsorum sententia, quod hæc attinet, confirme-

Ἰστέον δὲ, ὅτι πᾶσαι αἱ ἀπορίαι αὗται οὐκ εἰσὶ τῶν διακρινομένων ἴδιαι, ἀλλ' ἀπὸ τῶν Νεστοριανῶν κλέψαντες, ἀποροῦσιν ἡμῖν αὐτάς. Ἐκεῖνοι γὰρ δύο πρόσωπα καὶ δύο Χριστοὺς δοξάζοντες, κοινῶς πρὸς πάντας τοὺς λέγοντας δύο φύσεις, εἴτε ἑνωθείσας, εἴτε μετὰ τὴν ἕνωσιν, ἠπόρουν αὐτὰς, ὅτι Εἰ δύο φύσεις λέγετε, καὶ δύο πρόσωπα εἰσάγετε. Ἀμέλει δι' αὐτὸ καὶ τὸ ἄτοπον συνήχθη ἡμῖν τε καὶ τοῖς διακρινομένοις ἐκ τούτων τῶν ἀποριῶν. Τοῖς Νεστοριανοῖς δὲ οὐκέτι τὸ ὅμοιον συνάγεται· ἀλλὰ καὶ τοὐναντίον ἰσχυρίζεται τὰ αὐτῶν ὅσον ἀπὸ τούτων.

Ἀπορούσι δὲ ἡμῖν καὶ ἄλλην τινὰ ἀπορίαν, ἥτις ἰδία μὲν αὐτῶν ἐστιν, εἰς Νεστοριανῶν δὲ δόγμα καταλήγει. Ἐπειδὴ γὰρ λέγει πρὸς αὐτοὺς ἡ Ἐκκλησία, ὅτι Εἰ λέγετε ἀσύγχυτα τὰ ἑνωθέντα, καὶ τὸ μὲν παθητὸν, τὸ δὲ ἀπαθὲς, καὶ ὁρατὸν, καὶ ἀόρατον, καὶ περίγραπτον, καὶ ἀπερίγραπτον, καὶ θνητὸν, καὶ ἀθάνατον, καὶ ὅσα τοιαῦτα, ἐξ ἀνάγκης δύο φύσεις εἰσάγετε· ἀντιλέγουσι πρὸς ταῦτα, ὅτι οὐδὲν ἄτοπον, καὶ ἀσύγχυτα ὁμολογῆσαι τὰ ἑνωθέντα· καὶ τὸ μὲν παθητὸν, τὸ δὲ ἀπαθὲς, καὶ μίαν φύσιν ἐπὶ αὐτῶν· καὶ λοιπὸν παραφέρουσι πρὸς πίστιν τὸ παράδειγμα τοῦ ἀνθρώπου. Ἰδοὺ γὰρ, φασὶν, ἡ ψυχὴ καὶ τὸ σῶμα ἀσυγχύτως ἡνώθη ἐπὶ τοῦ ἀνθρώπου. Καὶ τὸ μὲν ὁρατὸν, τὸ δὲ ἀόρατον· καὶ θνητὸν, καὶ ἀθάνατον, καὶ τὰ ἄλλα· καὶ ὅμως οὐ λέγομεν δύο φύσεις, ἀλλὰ μίαν φύσιν τοῦ ἀνθρώπου. Πρὸς ταῦτα πάλιν λέγουσιν οἱ ἀπὸ τῆς συνόδου, ὅτι Ὃν τρόπον λέγετε σώζεσθαι ἐπὶ τοῦ ἀνθρώπου τὰ ἑνωθέντα μετὰ τὴν ἕνωσιν, καὶ τὸ μὲν θνητὸν, τὸ δὲ καὶ ἀθάνατον, καὶ τἄλλα πάντα· οὕτω λέγομεν ἐπὶ τοῦ Χριστοῦ· ταῦτα δὲ πάντα δύο φύσεώς εἰσι γνωριστικά.

Πρὸς ταῦτα οἱ μὲν ἀπὸ Γαϊανοῦ οὐδὲν εὑρίσκουσιν εἰπεῖν. Ὁμολογοῦντες γὰρ ἀσύγχυτα εἶναι τὰ ἑνωθέντα, οὐκ ἀνέχονται ὅλως οὐδὲ διαφορὰν εἰπεῖν, οὐδ' ὅλως τὸ δύο ὀνομάσαι, ἀλλ' ἕν τι τὰ ἑνωθέντα μετὰ τὴν ἕνωσιν λέγουσιν. Οἱ δὲ Θεοδοσιανοὶ, ἤτοι ἀπὸ Σεβήρου, εὑρήκασιν ἑαυτοῖς ἀπολογίαν, καὶ λέγουσιν, ὅτι Ἡμεῖς ὁμολογοῦμεν διάφορα εἶναι τὰ μέρη, τὸ δὲ ἀποτέλεσμα ἕν. Ὥσπερ οὖν καὶ ἐπὶ τοῦ ἀνθρώπου διάφορά εἰσι τὰ μέρη, ἥ τε ψυχὴ καὶ τὸ σῶμα, τὸ δὲ ἀποτέλεσμα ἕν. Βούλονται γὰρ κατὰ πάντα μεθαρμόζειν τὸ παράδειγμα τοῦ ἀνθρώπου ἐπὶ τοῦ Χριστοῦ· εἶτα ἐπειδὴ συνῄσθοντο ἑαυτοὺς εἰς τὸ δόγμα τῆς συνόδου ἐμπεσόντας, ἐπὶ ἕτερόν τι μεταβιβάζουσι τὸν λόγον, καί φασιν, ὅτι Διαφόρους φύσεις φαμὲν ἡμεῖς τῶν μερῶν· τοῦ δὲ ἀποτελέσματος, μίαν. Τῇ μέντοι συνόδῳ περὶ τοῦ ἀποτελέσματος ἦν ὁ λόγος. Πρὸς οὓς λέγομεν, ὅτι Ψεύδεσθε. Ἦν γὰρ περὶ τοῦ ἀποτελέσματος οὐχ ὁ λόγος τῇ συνόδῳ, ἀλλὰ περὶ τῶν μερῶν· καὶ τοῦτο δῆλον ἀπὸ πολλῶν ἐστι. Πρῶτον ἀπὸ τῶν Γαϊανιτῶν. Ἐκεῖνοι γὰρ τὸ ἀρχαῖον δόγμα φυλάττοντες, οὕτω μάχονται νῦν τῇ συνόδῳ, ὡς δύο λεγούσῃ τὰ μέρη· αὐτοὶ γὰρ καὶ τὰ μέρη ἕν τι βούλονται εἶναι μετὰ τὴν ἕνωσιν. Ἀλλ' ἴσως λέγουσι πρὸς τοῦτο οἱ Θεοδοσιανοὶ, ὅτι οὐχί· οὐ γὰρ οἱ Γαϊανῖται εἰσιν οἱ φυλάττοντες τὸ ἀρχαῖον δόγμα, ἀλλὰ μᾶλλον ἡμεῖς. Ἀλλὰ πάλιν πρὸς τοῦτο λέγομεν, ὅτι Εἰ καὶ μὴ ἀπὸ τῶν Γαϊανιτῶν πιστοῦσθε τοῦτο, ἀλλ' οὖν ἀπὸ τῶν Ἀκεφάλων ἀνάγκη ὑμᾶς τοῦτο πιστώσασθαι. Ἐκεῖνοι γὰρ ἀρχαιότεροι ὑμῶν καὶ τῶν Γαϊανιτῶν φανερῶς ὄντες, οὕτω μάχονται τῇ συνόδῳ, ὡς δύο λεγούσῃ τὰ μέρη. Ἔπειτα καὶ ἀπὸ Εὐτυχοῦς πιστούμεθα τοῦτο. Πρὸς γὰρ τὸν Εὐτυχῆ ἐποιεῖτο τὸν λόγον ἡ σύνοδος, ὅστις περὶ τῶν μερῶν ἠμφισβήτει, μὴ λέγων ὑμῖν ὁμοούσιον εἶναι τὸ σῶμα. Ὡς οὖν πρὸς ἐκεῖνον ποιουμένη τὸν

A tur. Objiciunt nobis et aliam difficultatem, quæ peculiariter ipsorum quidem est; sed in Nestorianorum dogma desinit. Cum enim ad ipsos ait Ecclesia, si unita dicant inconfusa, et unum passibile, alterum passionis expers; unum aspectabile, alterum inaspectabile; unum circumscriptum, alterum non circumscriptum; unum mortale, alterum immortale: quæque alia sunt hujusmodi; duas necessario naturas eos introducere: respondent illi vicissim nullam absurditatem esse inconfusa confiteri unita, nihiloque minus unum passibile, alterum passionis expers; et unam in eis naturam: quod uti probent, hominis exemplum proferunt. En, inquiunt, corpus et anima citra confusionem in homine unita sunt, unum aspe-B ctabile, alterum inaspectabile; unum mortale, alterum immortale; aliaque talia: non tamen naturas duas dicimus, sed unam hominis naturam. Ad ea synodi sectatores vicissim respondent, quemadmodum ipsi salvas esse res in homine unitas, post unionem factam, dicant, nihiloque minus unum esse mortale, alterum immortale, aliaque omnia, sic de Christo se quoque loqui; at hæc omnia duarum naturarum esse indicia.

VI. Nihil ad hæc Gaianitæ quod dicant, habent. Cum enim unita fateantur inconfusa, omnino ne discrimen quidem aliquod dicere sustinent, nullove modo duum vocem admittere: sed unum quiddam unita, post unionem, facta dicunt. At C Theodosiani, vel qui a Severo sunt, satisfactionem sibi quamdam invenerunt, seque dicunt fateri partes esse diversas, at unum effectum: quemadmodum et in homine partes diversæ sint, anima et corpus, at unum effectum. Nam per omnia hominis exemplum ad Christum accommodare volunt: deinde semet animadvertentes in synodi dogma prolapsos, ad aliud orationem transferunt, seque diversas dicere partium naturas aiunt, effecti unam: cum synodus de effecto locuta sit. Nos autem respondemus eos mentiri. Non enim synodus de effecto loquebatur, sed de partibus: quod quidem ex pluribus constat. Primum indicant hoc ipsi Gaianitæ. Nam antiquum illi dogma retinentes, ita nunc synodum oppugnant, quasi quæ partes duas dicat: cum ipsi D post unionem partes quoque velint unum quiddam esse. Fortassis ad hoc Theodosiani respondebunt, nequaquam Gaianitas, sed se potius illos esse, qui antiquum dogma retineant. Nos vero rursum respondemus, si maxime non a Gaianitis ipsi fidem illam sumpserint, tamen esse necesse, ut ab Acephalis acceperint. Nam illi manifesto Theodosianis et Gaianitis antiquiores, ita synodum oppugnant, quasi quæ partes duas tradat. Idem et per Eutychem docere possumus. Etenim adversus Eutychem synodus illa verba proferebat, cujus erat de partibus controversia, dicentis, corpus non esse nobiscum unius substantiæ, ideoque verbis ad illum directis, et ipsa scilicet de partibus loquebatur, non de effecto. Præterea nisi hoc admiseritis,

omnes expositas hactenus objectiones vestras evertetis. Sic enim nobis eas opponebatis, quasi duorum vox nullo modo post unionem proferri possit, nisi ab iis qui divisionem introducant. Verum nobis ipsi fortasse respondent, dare se, de partibus locutam synodum. Vos autem, cur modo non dicitis unam effecti naturam? Primum dicimus, nusquam hoc dictum a Patribus constare. Deinde ne quidem effecti, si quis subtiliter rem consideret, una natura est; sed duæ. Fortasse dixerit aliquis: Et quonam fieri pacto potest ut hominis exemplum nobis non adversetur, qui ex anima corporeque constans, unam naturam habet, non duas, quas Christum habere diximus? Ad hoc respondemus, id ipsum in causa esse, quod unam hominis naturam, Christi duas dicamus. Quam enim rationem habet una natura in hominis hypostasi, eamdem et duæ in hypostasi Christi habent.

VII. Atque ut perspicuum sit quod a nobis dicitur, objectiones prius expositas repetamus. Cum dicebat Ecclesia, si vos inconfusa dicitis ea quæ unita sunt, et salvas eorum naturas esse post unionem; unumque mortale, alterum immortale; quæque sunt hujusmodi alia; duas necessario naturas introducitis: illi vicissim respondebant, nihil esse absurdi, et inconfusa dicere, quæ unita sint; et post unionem, salvas esse naturas eorum, et unam profiteri naturam. Nam ecce, inquiunt, unam hominis naturam dicimus, et in eo tamen inconfusæ sunt partes unitæ. Hoc exemplo in angustum quasi coacti defensores synodi, se in homine quoque naturas fateri duas aiebant. Mox Theodosiani: Si duas hominis naturas dicitis, necesse est Christi tres esse fateamini. Vicissim synoditæ: Si nos cogitis dicere Christum tribus in naturis, etiam vos eum ex tribus naturis dicetis. Nam dicitis eum ex humanitate divinitateque constare. Divinitatis autem una natura est, humanitatis duæ. Sciendum tamen, ex assertione synodi quidem colligi, tres naturas dici: sed non a Theodosianis illud, ex tribus. Etenim hi tradentes, Christum ex humanitate divinitateque constare, naturam hominis unam dicunt: nos autem, duas; quo fit ut ex doctrina nostra, non illorum, colligatur, tres naturas dici. Nos enim duas hominis naturas dicimus, et unam Sermonis. Non tamen hoc simpliciter dicimus, sed unam esse naturam hominis, duas Christi; et hoc quidem unde, cognoscendum. Principia quædam sacris in Litteris esse dicimus, quæ apud omnes in confesso sint, quæque pariter a nobis et ipsis recipiantur. Ad hæc utrumque dogma examinemus, quodque principiis convenire deprehenderimus, id recte comparatum scilicet erit: quod iisdem adversabitur, ceu male comparatum rejici debere, manifesto patet. Est igitur in confesso, Christum fuisse Deum

A λόγον, δηλονότι καὶ αὐτὴ περὶ τῶν μερῶν ἐποιεῖτο τὸν λόγον, οὐκέτι δὲ περὶ τοῦ ἀποτελέσματος. Ἔτι δὲ εἰ μὴ τοῦτο δέξεσθε, πάσας τὰς προειρημένας ἀπορίας ἐξ ὑμῶν ἀνατρέψετε. Οὕτω γὰρ αὐτὰς ἡμῖν ἠπορεῖτε, ὡς τὸ δύο οὐκ ἂν οἱωσδήποτε λεχθῇ μετὰ τὴν ἕνωσιν, εἰ μὴ διαίρεσιν εἰσάγουσιν. Ἀλλ' ἴσως λέγουσιν ἡμῖν καὶ αὐτοὶ πρὸς ταῦτα, ὅτι θῶμεν τῇ συνόδῳ τὸν λόγον εἶναι περὶ τῶν μερῶν. Ὑμεῖς διατί οὐ λέγετε νῦν τοῦ ἀποτελέσματος μίαν φύσιν; Λέγομεν πρὸς αὐτούς, ὅτι πρῶτον μὲν οὐδαμοῦ φαίνονται τοῦτο λέγοντες οἱ Πατέρες. Ἔπειτα δὲ, οὐδὲ τοῦ ἀποστελέσματος, εἴ τις ἀκριβῶς σκοπήσοι, μία ἐστὶν ἡ φύσις, ἀλλὰ δύο. Ἀλλ' εἴποι τις ἄν, Καὶ πῶς οὐκ ἀντίκειται ἡμῖν τὸ παράδειγμα τοῦ ἀνθρώπου, ὅστις ἐκ ψυχῆς καὶ σώματος ὤν, μίαν ἔχει τὴν φύσιν, οὐχ ὅτι δὲ δύο, ὡς λέγομεν ἔχειν τὸν Χριστόν;
B Πρὸς τοῦτο λέγομεν, ὅτι Αὐτὸ γὰρ τοῦτο, ἐπειδὴ μίαν φύσιν λέγομεν τοῦ ἀνθρώπου, δύο δὲ τοῦ Χριστοῦ. Ὃν γὰρ λόγον ἔχει ἡ μία φύσις ἐπὶ τῆς ὑποστάσεως τοῦ ἀνθρώπου, τὸν αὐτὸν ἔχουσιν αἱ δύο ἐπὶ τῆς ὑποστάσεως τοῦ Χριστοῦ.

Καὶ ἵνα σαφὲς εἴη λεγόμενον, ἐπαναληπτέον τὰς προλεχθείσας ἀπορίας. Τῆς Ἐκκλησίας λεγούσης, ὅτι Εἰ ἀσύγχυτα λέγετε τὰ ἑνωθέντα, καὶ σώζεσθαι τὰς φύσεις αὐτῶν μετὰ τὴν ἕνωσιν, καὶ τὸ μὲν θνητὸν, τὸ δὲ ἀθάνατον, καὶ ὅσα τοιαῦτα, ἐξ ἀνάγκης δύο φύσεις εἰσάγετε· ἀντέλεγον ἐκεῖνοι, ὅτι οὐδὲν ἄτοπον, καὶ ἀσύγχυτα λέγειν τὰ ἑνωθέντα, καὶ σώζεσθαι τὰς φύσεις αὐτῶν μετὰ τὴν ἕνωσιν, καὶ μίαν φύσιν
C εἰπεῖν. Ἰδοὺ γὰρ λέγομεν, φασὶ, μίαν φύσιν τοῦ ἀνθρώπου· καὶ ὅμως ἀσύγχυτά εἰσιν ἐπὶ αὐτοῦ τὰ ἑνωθέντα. Πρὸς τοῦτο τὸ παράδειγμα στενοχωρούμενοι οἱ ἀπὸ τῆς συνόδου, εἶπον, ὅτι Καὶ ἐπὶ τοῦ ἀνθρώπου δύο φύσεις λέγομεν. Εἶτα οἱ Θεοδοσιανοί· Οὐκοῦν εἰ δύο φύσεις τοῦ ἀνθρώπου λέγετε, ἀναγκαῖον ἡμᾶς τοῦ Χριστοῦ τρεῖς εἰπεῖν. Εἶτα πρὸς αὐτοὺς πάλιν οἱ συνοδῖται· Εἰ ἀναγκάζετε ἡμᾶς εἰπεῖν τὸν Χριστὸν ἐν τρισὶ φύσεσιν, οὐκοῦν καὶ ὑμεῖς ἐκ τριῶν αὐτὸν λέγετε. Λέγετε γὰρ αὐτὸν ἐξ ἀνθρωπότητος, καὶ θεότητος. Καὶ ἔστι μὲν τῆς ἀνθρωπότητος δύο φύσεις, καὶ τῆς θεότητος μία. Ἐπιστῆσαι δέον, ὅτι τῇ μὲν συνόδῳ συνάγεται, τὸ λέγειν τρεῖς φύσεις, οὐκέτι δὲ τοῖς Θεοδοσιανοῖς, ἐκ τριῶν. Ἐκεῖνοι μὲν γὰρ ἐξ ἀνθρωπότητος καὶ θεότητος Χριστὸν λέγοντες, μίαν φύσιν
D λέγουσι τοῦ ἀνθρώπου, ἡμεῖς δὲ δύο. Ὥστε ὑμῖν συνάγεται τὸ λέγειν τρεῖς φύσεις, οὐκ ἐκείνοις. Δύο γὰρ λέγομεν τοῦ ἀνθρώπου, καὶ μίαν τοῦ Λόγου. Ἁπλῶς δὲ οὐ λέγομεν, ἀλλ' ὅτι μία φύσις ἐστὶ τοῦ ἀνθρώπου, δύο δὲ αἱ τοῦ Χριστοῦ· καὶ πόθεν τοῦτο, γνωστέον. Λέγομεν, ὅτι εἰσὶν ἀρχαί τινες παρὰ τῇ ἁγίᾳ Γραφῇ, παρὰ πᾶσιν ὁμολογούμεναι, ἃς καὶ ἡμεῖς καὶ αὐτοὶ δεχόμεθα. Ἐξετάσωμεν οὖν ἐπὶ ταύταις ἑκάτερον δόγμα, καὶ ὃ δ' ἂν εὕρωμεν συμφωνοῦν ταῖς ἀρχαῖς, ἐκεῖνο δηλονότι καλῶς ἔχει. Τὸ δὲ ἐναντιούμενον, ἐκεῖνο ὡς κακῶς ἔχον πρόδηλον ὡς δεῖ ἀποβάλλεσθαι. Ὡμολόγηται τοίνυν, ὅτι αὐτὸς ἦν Θεὸς καὶ ἄνθρωπος, καὶ ὅτι αὐτὸς κυρίως Θεὸς, καὶ κυρίως ἄνθρωπος· καὶ ὅτι αὐτὸς φύσει Θεὸς, καὶ φύσει ἄνθρωπος· καὶ ὅτι αὐτὸς ὁμοούσιος τῷ

Πατρὶ, καὶ ὁμοούσιος ἡμῖν· καὶ ὅτι αὐτὸς εἷς τῆς ἁγίας Τριάδος, καὶ εἷς ἐξ ἡμῶν· καὶ ὅτι Θεὸς Λόγος ἠξίωσεν ἄνθρωπος γενέσθαι· καὶ ἄλλα πολλὰ τοιαῦτα εὑρήσομεν ἐν τῇ ἁγίᾳ Γραφῇ.

A et hominem; proprie Deum eumdem, et proprie hominem; natura Deum eumdem, et natura hominem: unius eumdem cum Patre naturæ, et ejusdem naturæ nobiscum: unum de sancta Trinitate, ac unum de nobis: quodque Deus Sermo dignatus sit homo fieri: alia denique plura talia sacris in Litteris reperiemus.

Ἐξετάσωμεν οὖν ἐπὶ ταύταις ἑκάτερον δόγμα, καὶ πρῶτον ἐπὶ τῆς μιᾶς φύσεως, καὶ εἰ μὲν καλῶς ἔχῃ, δεξώμεθα· εἰ δὲ κακῶς, ἀποβαλώμεθα. Ὑποκείσθωσαν οὖν τρία τινὰ, ψυχαὶ ἁπλῶς, καὶ σώματα ἁπλῶς, καὶ ἄνθρωποι ἀποτελεσθέντες· λαβόντες οὖν ἡμεῖς ἐκ τούτων μίαν ψυχὴν, καὶ ἓν σῶμα, ἀποτελέσωμεν τόν τινα ἄνθρωπον, τυχὸν τὸν Πέτρον. Καὶ οὐδ' ἂν εὑρεθείη ἔχων τὴν φύσιν ἐκείνων, δηλονότι ὁμοούσιόν ἐστιν ἀνθρώποις. Ὁ τοίνυν Πέτρος ἀποτελεσθεὶς, οὐδὲ ταῖς ψυχαῖς ἐστιν ὁμοούσιος, οὐδὲ τοῖς σώμασιν· οὐδὲ κυρίως ψυχὴ, οὐδὲ κυρίως σῶμα. Οὐδὲ γὰρ ὃν ἂν λόγον ἀποδῷ τις τῆς ψυχῆς, ἢ τοῦ σώματος, τὸν αὐτὸν ἀποδίδωσι Πέτρου· ἀλλὰ τίνι ἐστὶν ὁμοούσιος τοῖς ἀνθρώποις (ἐκείνων γὰρ τὸν ὅρον ἐπιδέχεται), καὶ ἄλλο τί ἐστι παρὰ τὴν ψυχὴν, καὶ τὸ σῶμα. Ἔλθωμεν ἐπὶ τοῦ Χριστοῦ· ἀναλογεῖ γὰρ παρ' αὐτοῖς ἡ μὲν θεότης τῇ ψυχῇ, ἡ δὲ ἀνθρωπότης τῷ σώματι. Οὐκοῦν ὁ Χριστὸς οὐδὲ ὁμοούσιος τῷ Πατρὶ, οὐδὲ ὁμοούσιος ἡμῖν· ὥσπερ οὖν καὶ ὁ Πέτρος οὐδὲ ὁμοούσιός ἐστι τῇ ψυχῇ, οὐδὲ ὁμοούσιος τῷ σώματι. Οὐκοῦν καὶ ὁ Χριστὸς οὐδὲ κυρίως Θεὸς, οὐδὲ κυρίως ἄνθρωπος· οὐδὲ φύσει Θεὸς, οὐδὲ φύσει ἄνθρωπος· οὔτε εἷς τῆς ἁγίας Τριάδος, οὔτε εἷς ἐξ ἡμῶν· ὥσπερ οὖν καὶ ὁ Πέτρος οὐδὲ εἷς ἐστι τῶν ψυχῶν, οὐδὲ εἷς τῶν σωμάτων. Τὰ δὲ τοιαῦτα λέγειν ἐπὶ τοῦ Χριστοῦ, ἀνελεῖν ἐστιν ἃς ἔχομεν ὡμολογημένας ἀρχὰς, ὅπερ ἄτοπον. Εἰ δὲ δύο φύσεις ὑποθώμεθα ἔχειν τὸν Χριστὸν, οὐδὲν τούτων ἀναιροῦμεν τῶν ἀρχῶν, ἀλλὰ πάντα συμφωνοῦντα εὑρίσκομεν. Ὁ αὐτὸς γὰρ καὶ Θεός ἐστι, καὶ ἄνθρωπος· καὶ ὁ αὐτὸς ὁμοούσιος τῷ Πατρὶ, καὶ ὁμοούσιος ἡμῖν· καὶ κυρίως Θεὸς, καὶ κυρίως ἄνθρωπος, καὶ φύσει Θεὸς, καὶ φύσει ἄνθρωπος· καὶ εἷς τῆς ἁγίας Τριάδος, καὶ εἷς ἐξ ἡμῶν. Ἡ αὐτὴ γὰρ ὑπόστασις τοὺς ὅρους τῶν δύο φύσεων ἐπιδέχεται· καὶ ὃν δ' ἂν λόγον ἀποδῷ τις τῆς θεότητος, τὸν αὐτὸν εὑρίσκει καὶ ἐπὶ τοῦ Χριστοῦ· καὶ ὃν δ' ἂν ἀποδῷ τῆς ἀνθρωπότητος, τὸν αὐτὸν εὑρίσκει καὶ ἐπὶ τῆς οὐσίας τοῦ Χριστοῦ κατ' οὐσίαν ἁρμόζοντα· ὥστε ἐξ ἀνάγκης δύο φύσεις εἶναι τῆς μιᾶς ὑποστάσεως τοῦ Χριστοῦ.

VIII. Examinemus igitur ad ista principia utrumque dogma, et primum adeo de una natura; quod si belle habebit, acceptabimus: sin autem, rejiciemus. Sint igitur tria quædam posita, simpliciter animæ, et corpora simpliciter, et homines absoluti: nosque sumpta de his anima una et uno corpore, quemdam hominem efficiamus, puta Petrum. Is vero, tametsi naturam eorum habere deprehendatur, ejusdem tamen substantiæ cum hominibus
B non erit. Petrus enim absolutus, nec ejusdem est cum animis naturæ, nec ejusdem cum corporibus: nec anima proprie, nec proprie corpus. Non enim quæ corporis aut animæ tradi definitio potest; eadem et Petri traditur: sed aliquo tenus ejusdem est substantiæ cum hominibus (nam illorum definitionem quoque recipit), et diversum quiddam est tam ab anima quam corpore. Nunc ad Christum veniamus: quippe respondet apud ipsos divinitas animæ, humanitas corpori. Christus ergo nec ejusdem cum Patre, nec ejusdem nobiscum est substantiæ: quemadmodum et Petrus nec ejusdem est cum anima, nec ejusdem cum corpore substantiæ. Quamobrem et Christus nec proprie Deus est, nec proprie homo;
C nec Deus natura, nec natura homo; nec unus sanctæ Trinitatis, nec unus ex nobis: sicut et Petrus nec unus ex animis est, nec unus ex corporibus. At hujusmodi de Christo dicere, nihil est aliud quam indubitata principia quæ habemus, subvertere; quod absurdum fuerit. At vero si Christum duas habere naturas dabimus, nullum ex hisce principiis evertimus, sed omnia consonantia reperimus. Idem enim et Deus est, et homo: idem ejusdem cum Patre substantiæ, et ejusdem substantiæ nobiscum: proprie Deus, et proprie homo: natura Deus, et natura homo: unus sanctæ Trinitatis, et unus ex nobis. Nam eadem hypostasis duarum naturarum definitiones recipit: et quodcunque de divinitate quis protulerit, idem et in Christo invenit: ac vicissim quidquid de humani-
D tate dixerit, idem et in substantia Christi invenit, eidem substantialiter competens: quo fit ut necessario duæ sint unius hypostasis Christi naturæ.

Ἀποροῦσι δὲ, λέγοντες· Καὶ πῶς ἐπὶ ἑνὸς ἀτόμου δύο ἔστιν εὑρεῖν; Πῶς, ἐπιλυόμεθα τῷ παραδόξῳ. Ὅτι οὐ τὸ γεγονέναι τι παράδοξον ἐπὶ τοῦ Χριστοῦ, ἄτοπον· ἀλλὰ τὸ ψεύδεσθαι καὶ ταῖς ἀρχαῖς ἐναντιοῦσθαι, τοῦτο ἄτοπόν ἐστιν. Ἰστέον δὲ, ὅτι τοῖς μίαν φύσιν δοξάζουσιν ἐπὶ Χριστοῦ, ἐξ ἀνάγκης συνάγεται, ἢ δύο ὑποστάσεις εἰπεῖν τῆς θεότητος, ἢ τέσσαρας, οὐκέτι δὲ τρεῖς, ὡς παρὰ πᾶσιν ὡμολόγηται. Εἰ γὰρ μίαν φύσιν λέγουσιν ἡμῖν ἐπὶ Χριστοῦ, ποῦ παρέχουσιν ἡμῖν τὰς τρεῖς ὑποστάσεις τῆς Θεότητος; Ἔχομεν γὰρ μίαν τοῦ Πατρὸς, καὶ μίαν τοῦ ἁγίου Πνεύματος· τὴν δὲ ἄλλην

IX. Verum hic isti Hæsitantes: Quo pacto, inquiunt, in uno individuo reperiri duo possunt? Hoc ipsum *quo pacto*, per rem abhorrentem ab opinione solvimus. Quippe non absurdum est, accidisse quid in Christo præter opinionem hominum: sed absurdum est mentiri, ac principiis adversari. Sciendum autem, ab iis qui unam in Christo naturam statuunt, necessario colligi, vel duas ut hypostases divinitatis dicant, vel quatuor, non tres; quod omnes confitentur. Nam si unam nobis in Christo naturam tradunt, unde tres nobis hypostases divinitatis deproment? Habemus enim Patris

unam, et unam sancti Spiritus : reliquam dicere nullam poterunt, unam in Christo naturam statuentes : quippe si una natura est, non jam natura Deus erit, uti modo probavimus. Si non est natura Deus, quomodo divinitatis hypostasin habere dici poterit? quo fit ut ipsos duas hypostases dicere colligatur. Sin dixerint, tertiam hypostasin esse Dei Sermonis, ut una sit Patris, altera Spiritus sancti, tertia Dei Sermonis, necessario quatuor hypostases introducunt, unam Patris, unam Spiritus sancti, unam Dei Sermonis, et unam Christi. Modis omnibus probatum est, duas naturas statuendas, non unam.

A οὐκέτι δύνανται εἰπεῖν, ἐπὶ τοῦ Χριστοῦ μίαν φύσιν λέγοντες. Εἰ γὰρ μία φύσις ἐστὶν, οὐκέτι φύσει Θεὸς, ὡς ἤδη δέδεικται ἡμῖν. Μὴ ὢν δὲ φύσει Θεὸς, πῶς λεχθείη ὑπόστασιν ἔχειν Θεότητος; ὥστε δύο ὑποστάσεις αὐτοῖς συνάγεται λέγειν. Ἐὰν δ' οὕτως εἴπωσιν, ὅτι ἡ τρίτη ὑπόστασίς ἐστι τοῦ Θεοῦ Λόγου· ἵνα ἡ μία μὲν τοῦ Πατρὸς, δευτέρα δὲ τοῦ ἁγίου Πνεύματος, τρίτη δὲ τοῦ Θεοῦ Λόγου· τέσσαρας ἐξ ἀνάγκης εἰσάγουσι, μίαν τοῦ Πατρὸς, καὶ μίαν τοῦ ἁγίου Πνεύματος, καὶ μίαν τοῦ Θεοῦ Λόγου, καὶ μίαν τοῦ Χριστοῦ. Πανταχόθεν δέδεικται, ὅτι δύο φύσεις δεῖ δοξάζειν, οὐ μίαν.

Sincere explicantur loci quos Hæsitantes hæretici assumebant ad confirmationem suæ hæreseos contra duas Christi naturas.

ACTIO VIII.

I. Restat ut de iis argumentis quæ de sanctorum Patrum dictis nobis proferunt, agamus. Ea vero partim petita sunt ex iis quæ synodus non dixerit, partim ad conciliandam ipsorum dogmati fidem proferuntur, partim denique struuntur ex ipsis synodi verbis. Ob ea quæ non dixerit, tribus modis synodum reprehendunt : quod nimirum non unionem hypostaticam, nec unam Dei Sermonis naturam incarnatam, nec istud loquendi genus usurpaverit, *Ex duabus naturis*. At isthæc, inquiunt, omnia sanctus ille Cyrillus protulit. Est autem par indicari, quamobrem hypostaticam unionem ille dixerit. Duplex scilicet hujus est intellectus. Nam quia Nestorius diceret, unionem Dei Sermonis cum carne per affectionem quamdam esse factam, adeoque personam Dei Sermonis et carnis unam ratione mutui affectus esse traderet : idcirco sanctus vir Cyrillus ei contradicens, unionem hypostaticam esse factam ait, hoc est, ratione subsistentiæ, ipsarumque adeo rerum unionem; non affectionis respectu. Ac notandum hic rursus hypostasin dici de iis quæ simpliciter exsistunt. Alter intellectus est, quod hypostaticam unionem factam dixerit, hoc est, in unam hypostasin. Ac sententia quidem utraque refragatur Nestorio, prima tamen verior est. Objiciunt igitur synodum hæc a sancto Cyrillo tradita rejecisse, nec eorum mentionem ullam fecisse. Verum uno verbo isthæc omnia subvertimus, synodum illa, quasi communia et in confesso essent, omisisse : nam adversus Eutychem disserebat, qui ex diametro cum Nestorio pugnans, et ista citra controversiam fatebatur. Non est autem necessarium, ut quæ confessa sunt, omnino ponantur : sed licet ea nonnunquam omittere. Satis hoc synodi priores ostendunt, quæ pleraque confessa in pluribus omiserunt. Deinde synodum multis in locis unam hypostasin, et unam personam dixisse deprehendimus: quod nihil est aliud dicere, quam unionem hypostaticam.

B ΠΡΑΞΙΣ Η'.

Ὑπόλοιπόν ἐστι περὶ τῶν ἐπιχειρημάτων ὧν ἀπὸ χρήσεων τῶν ἁγίων Πατέρων παραφέρουσιν ἡμῖν, διεξελθεῖν. Τούτων δὲ, τὰ μέν εἰσιν, ἀφ' ὧν οὐκ εἶπεν ἡ σύνοδος· τὰ δὲ παραφέρουσι πρὸς πίστιν τοῦ οἰκείου δόγματος· τὰ δὲ, ἀφ' ὧν εἶπεν. Ἀφ' ὧν μὲν οὐκ εἶπεν, ἐπιλαμβάνονται αὐτῆς ἐκ τριῶν· ὅτι οὐκ εἶπεν ἡ συνόδος τὴν καθ' ὑπόστασιν ἕνωσιν, οὐδὲ μίαν τοῦ Θεοῦ Λόγου φύσιν σεσαρκωμένην, οὐδὲ τὸ, *ἐκ δύο φύσεων*. Ταῦτα δὲ πάντα ὁ ἅγιος Κύριλλος εἶπεν. Ἄξιον δὲ εἰπεῖν, διατί λέγει τὴν καθ' ὑπόστασιν ἕνωσιν. Διττὴ τοίνυν ἐστὶν αὐτῆς ἡ ἔννοια. Τοῦ γὰρ Νεστορίου λέγοντος, ὅτι κατὰ σχέσιν γέγονεν ἡ ἕνωσις τοῦ Θεοῦ Λόγου πρὸς τὴν σάρκα, καὶ σχετικῶς λέγοντος ἓν πρόσωπον τοῦ Θεοῦ Λόγου καὶ τῆς C σαρκὸς, ὁ ἅγιος Κύριλλος ἀντιλέγων πρὸς αὐτόν φησιν, ὅτι καθ' ὑπόστασιν γέγονεν ἡ ἕνωσις, τοῦτ' ἔστι καθ' ὕπαρξιν, καὶ αὐτῶν πραγμάτων· καὶ οὐκέτι λέγει κατὰ σχέσιν. Καὶ σημειωτέον πάλιν ἐνταῦθα τὴν ὑπόστασιν καὶ ἐπὶ τῶν ὄντων ἁπλῶς. Δευτέρα δὲ ἔννοιά ἐστιν, ὅτι καθ' ὑπόστασιν ἕνωσιν εἶπε γενέσθαι, τοῦτ' ἔστιν ἐν μιᾷ ὑποστάσει. Καὶ ἑκατέρα μὲν ἔννοια ἀντίκειται Νεστορίῳ, πλὴν ἀληθινωτέρα ἡ πρώτη. Λέγουσιν οὖν, Τοῦ ἁγίου Κυρίλλου ταῦτα εἰπόντος, ἡ σύνοδος ἀπεβάλετο αὐτὰ, καὶ οὐδὲν περὶ αὐτῶν εἶπεν. Ἑνὶ δὲ λόγῳ ταῦτα πάντα ἀνατρέπομεν, ὅτι ὡς κοινὰ ὄντα καὶ ὁμολογούμενα παρείασεν αὐτὰ ἡ σύνοδος· πρὸς Εὐτυχῆ γὰρ τὸν λόγον ἐποιεῖτο, ὅστις ἐκ διαμέτρου τῷ Νεστορίῳ μαχόμενος, δηλονότι καὶ ταῦτα ὡμολόγει. Καὶ οὐκ ἐξ D ἀνάγκης δεῖ τὰ ὁμολογούμενα πάντως τιθέναι· ἀλλ' ἔστιν ἐνίοτε παραλιμπάνειν. Καὶ δηλοῦσιν αἱ πρότεραι σύνοδοι, πολλὰ τῶν ὁμολογουμένων ἐν πολλοῖς παραλείψασαι. Ἔπειτα εὑρίσκομεν ἐν πολλοῖς τόποις τὴν σύνοδον εἰποῦσαν, μίαν ὑπόστασιν, καὶ ἓν πρόσωπον· ὅπερ οὐδὲν ἕτερόν ἐστιν εἰπεῖν, εἰ μὴ τὴν καθ' ὑπόστασιν ἕνωσιν.

II. Et hæc quidem sunt de iis quæ synodus omiserit. Ad faciendum vero fidem dogmati suo plures auctoritates producunt, quarum est prima, quod

Καὶ ταῦτα μέν εἰσιν, ἀφ' ὧν οὐκ εἶπε. Πρὸς πίστιν δὲ τοῦ οἰκείου δόγματος παραφέρουσι χρήσεις πολλάς· καὶ πρώτη μὲν ὅτι ὁ ἅγιος Κύριλλος φανε-

ρῶς εἶπε μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην. Πρὸς τοῦτο λέγομεν, ὅτι ὁμολογοῦμεν τὸν ἅγιον Κύριλλον τοῦτο εἰρηκέναι· ἀλλ' οὐδὲν ἐναντιοῦται τοῦτο τῷ δόγματι. Οὐ γὰρ εἶπε τοῦ Χριστοῦ μίαν φύσιν σεσαρκωμένην, ἀλλὰ μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην, τὴν ἄλλην φύσιν δηλῶν. Καὶ ὅτι τὴν ἄλλην βούλεται δηλῶσαι φύσιν, τῷ εἰπεῖν σεσαρκωμένην· δῆλον ἀφ' ὧν ἑαυτὸν ἐπεξηγεῖται ἐν τῇ πρὸς Σούκενσον δευτέρᾳ ἐπιστολῇ λέγων· Εἰ μὲν γὰρ μίαν φύσιν εἰπόντες τοῦ Θεοῦ Λόγου, σεσιγήκαμεν, οὐκ ἐπενεγκόντες τὸ, *σεσαρκωμένην*· ἀλλ' οἷς ἔξω θέντες τὴν οἰκονομίαν, ἣν αὐτοῖς τάχα που καὶ οὐκ ἀπίθανος ὁ λόγος προσποιουμένοις ἐρωτᾷν, ποῦ τὸ τέλειον ἐν ἀνθρωπότητι, ἢ πῶς ὑφέστηκεν ἡ καθ' ἡμᾶς οὐσία; Ἐπειδὴ δὲ καὶ ἡ ἐν ἀνθρωπότητι τελειότης, καὶ τῆς καθ' ἡμᾶς οὐσίας ἡ δήλωσις εἰσκεκόμισται διὰ τὸ λέγειν σεσαρκωμένην· παυσάσθωσαν καλαμίνην ῥάβδον ἑαυτοῖς ὑποστήσαντες. Τοὺς γὰρ ἐκβάλλοντας τὴν οἰκονομίαν, καὶ ἀρνουμένους τὴν σάρκωσιν, ἣν τὸ ἐγκαλεῖσθαι δικαίως, ἀφαιρουμένους τὸν Υἱὸν τῆς τελείας ἀνθρωπότητος. Εἰ δὲ ἔφην, ἐν τῷ σεσαρκῶσθαι λέγειν αὐτὸν, σαφὴς ἐστι καὶ ἀναμφίλογος ἡ ὁμολογία τοῦ, ὅτι γέγονεν ἄνθρωπος· οὐδὲν ἔτι κωλύει νοεῖν, ὡς εἷς ὑπάρχων καὶ μόνος ὁ Χριστὸς, αὐτὸς Θεός ἐστι καὶ ἄνθρωπος· ὥσπερ ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος. Ὀρθότατα δὲ, καὶ πάνυ συνετῶς ἡ σὴ τελειότης τὸν περὶ τοῦ σωτηρίου πάθους ἐκτίθεται λόγον, οὐκ αὐτὸν τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ, καθὸ νοεῖται καὶ ἔστι Θεὸς, παθεῖν εἰς ἰδίαν φύσιν τὰ τοῦ σώματος διισχυριζομένη· παθεῖν δὲ αὐτὸν μᾶλλον τῇ χοϊκῇ φύσει. Ἔδει γὰρ, ἔδει σαφῶς ἀμφότερα σώζεσθαι τῷ ἑνὶ κατ' ἀλήθειαν Υἱῷ, καὶ τὸ μὴ πάσχειν θεϊκῶς, καὶ τὸ λέγεσθαι παθεῖν ἀνθρωπίνως· ἡ αὐτοῦ γὰρ πέπονθε σάρξ.

A sanctus ille Cyrillus unam naturam Dei Sermonis incarnatam aperte dixerit. Ad hoc respondemus, fateri nos id a sancto Cyrillo dictum: sed idem nihil omnino sententiæ nostræ refragari. Non enim Christi naturam unam incarnatam dixit, sed unam naturam Dei Sermonis incarnatam; videlicet alteram illam naturam denotans. Et quod alteram illam significare voluerit, dum incarnatam ait, ex iis manifestum est quibus seipsum in secunda ad Successum epistola declarat, inquiens: Quod si unam Dei Sermonis naturam dicentes obticuissemus, nec verbum illud, *incarnatam*, subjecissemus, adeoque dispensationem ipsam velut omisissemus: fortasse probabilis esset ipsorum oratio, quærere de nobis præ se ferentium, ubi sit illa perfectio in B humanitate, vel quomodo substantia quam nos tradimus, subsistat? Sed quoniam et ipsa in humanitate perfectio, et substantiæ quam nos tradimus, significatio per verbum istud, *incarnatam*, comprehensa est, inniti arundineo baculo desinant. Nam dispensationem rejicientes, et incarnationem negantes, merito accusaremur; ceu Filium perfecta humanitate spoliantes. At vero si dicam, in eo quod ipsum incarnatum dixi, perspicuam minimeque ambiguam esse confessionem, quod homo factus sit, nihil est amplius, quod cogitare vetet, Christum unum et unicum, pariter et Deum et hominem esse: ut perfectum in divinitate, sic etiam perfectum in humanitate. Rectissime vero, et admodum erudite perfectio tua doctrinam de C passione salutari exponit, cum non ipsum unigenam Dei Filium, quatenus intelligitur et est Deus, passum in natura sua, quæ cadunt in corpus, affirmas: sed potius eum natura terrena passum. Oportebat enim, oportebat utraque manifesto salva esse uni reapse Filio; tum ut divinitatis respectu non pateretur, tum ut humanitus esse passus diceretur: quippe caro ipsius passa fuit.

Ἰστέον δὲ, ὅτι πρῶτος ἐν ὀρθοδόξοις τὸ, μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην, εἶπεν ὁ ἅγιος Κύριλλος. Ἐν ὀρθοδόξοις δὲ εἴπομεν, ἐπειδὴ ὁ Ἀπολινάριος πολλάκις ἔλεγε τοῦτο· ὅθεν καὶ ἐνομίσθη ὁ ἅγιος Κύριλλος παρὰ τῶν Ἀνατολικῶν Ἀπολιναριστὴς εἶναι, οὐκ ἦν δέ. Οὐδὲ γὰρ δέον ἐστὶ πάντα, ὅσα λέγουσιν οἱ αἱρετικοὶ, πάντως μὴ δέχεσθαι· τὰ δὲ κακὰ ἀποβάλλεσθαι. Παραφέρουσι δὲ καὶ ἑτέραν χρῆσιν ὡς ἀπὸ τοῦ μακαρίου Ἰουλίου, κειμένην ἐν τῇ πρὸς Διονύσιον τὸν Κορίνθου ἐπίσκοπον ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, *Θαυμάζω πυνθανόμενος περί τινων*. Καὶ ἔστιν ἡ χρῆσις τοιαύτη· Ἀνάγκη γὰρ, δύο λέγοντας αὐτοὺς φύσεις, τὴν μὲν προσκυνεῖν, τὴν δὲ μὴ προσκυνεῖν· καὶ εἰς μὲν θείαν βαπτίζεσθαι, εἰς δὲ τὴν ἀνθρωπίνην μὴ βαπτίζεσθαι· καὶ ἕτερα δὲ πολλὰ κεῖται ἐν τῇ ἐπιστολῇ ταύτῃ. Ἡμεῖς δὲ ἀπὸ πολλῶν διελέγχομεν, μὴ εἶναι τὴν ἐπιστολὴν ταύτην τοῦ μακαρίου Ἰουλίου, ἀλλὰ τοῦ Ἀπολιναρίου. Πρῶτον μὲν, ὅτι εἴ τις ἀκριβῶς σκοπήσοι, οὐδὲν φέρεται τοῦ μακαρίου Ἰουλίου. Ἀλλὰ καὶ αἱ ἑπτὰ ἐπιστολαὶ, ἃς λέγουσιν εἶναι αὐτοῦ, τοῦ Ἀπολιναρίου εἰσίν. Ἔπειτα, ὅτι μνησθεὶς ἐν αὐτῇ τῇ ἐπιστολῇ σώ-

III. Sciendum autem primum inter orthodoxos Cyrillum protulisse verbum illud: unam naturam Dei Sermonis incarnatam. Inter orthodoxos dicimus quoniam sæpius hoc Apolinaris repetebat; unde factum, ut sanctus Cyrillus pro Apolinarista sit habitus ab Orientalibus, cum talis non esset. Nec enim necesse est omnia, quæcunque dicunt D hæretici, omnino non admitti; mala quidem rejici debent. Afferunt aliud quoque dictum, velut a beato Julio profectum, quod exsistat in epistola scripta ad Dionysium Corinthi episcopum, cujus initium est: *Miror de quibusdam audiens*. Estque dictum hujuscemodi: Necesse est eos, cum duas naturas dicunt, unam adorare, alteram non adorare; ac in divinam quidem baptizari, at in humanam non baptizari: aliaque plura isthæc epistola continet. Sed nos argumentis pluribus convincimus, non illam epistolam esse beati illius Julii, sed Apolinaris. Primum ex eo quod si quis eam subtiliter consideret, nihil Juliano dignum nomine habeat: quin et septem illæ epistolæ quas ejus esse dicunt, Apolinaris sunt. Deinde, quod in eadem epistola cor-

poris mentione facta, nusquam id mente præditum vel animatum dixerit. Erat autem in more Patribus illius sæculi, ut sicubi corporis mentionem facerent, id ipsum mente præditum animatumque dicerent: quod quidem usque adeo verum est, ut reformidantibus eis hoc crimen, ideoque deinceps illas voces: *mente præditum et animatum*, adjicientibus, nulli posteriorum libri reperiantur, qui hanc veterum appendicem non habeant. Præterea de hoc quoque non beati Julii, sed Apolinaris esse redarguitur: quod Nyssenus ille Gregorius in opere contra Apolinarim aperte multa recitet, quæ hac epistola continentur, eaque ceu prava, refutet. Potest et aliunde convinci, quod beati Julii non sit. Aiunt enim actis synodi Ephesinæ sub beato Cyrillo insertam: quod quidem aperte mentiuntur. Nam ibi nihil in textu tale reperitur, sed alia quædam inserta est epistola, velut a Julio scripta; nec ipsa Julii, sed Timothei: quemadmodum de multis exemplaribus intelligi potest. Enimvero cum nihil nobis adversetur, quod eam Julii dicant, flocci scilicet faciendum.

IV. Proferunt nobis et aliam quamdam auctoritatem sancti Gregorii, quem prodigiorum effectorem nominamus, ex illius confessione fidei, seorsum exposita. Non duas personas, inquit, non duas naturas; quia non adoranda sunt quatuor: et alia quæ sequuntur. Ad hoc quoque respondemus, primum de hac itidem dubitatum apud antiquiores, an sit Gregorii. Deinde Gregorius Nyssenus orationem de illo prodigiorum effectore funebrem scribens, nullum ait opus ipsius in manibus esse, præter solam fidem quam in visione conspexerit. Aliam quoque proferunt auctoritatem sancti Athanasii ex Oratione de incarnatione, quæ quidem hujusmodi est: Eumdem esse Dei Filium, ratione spiritus, et hominis Filium, ratione carnis: non duas naturas unum illum Filium, quarum una sit adoranda, non adoranda sit altera: sed unam naturam Dei Sermonis incarnatam. Respondemus primo, dictum hoc nobis non adversari. Non enim duas naturas ita tradimus, ut adoretur una, non adoretur altera: sed unam statuimus esse naturam Dei Sermonis incarnatam. Deinde ne quidem est Athanasii: nam cum a nobis interrogantur, ubi dictum hoc exstet, nec ejus ostendendi copiam habent: in arctum coacti, pusillam quamdam orationem proferunt, quasi duorum foliorum, in qua dictum hoc legitur. At notum est universis, omnia sancti Athanasii opera valde magna esse.

V. Quid autem ad hoc respondebimus, quod beatum Cyrillum producunt, citantem hoc dictum libro adversus Theodorum, quasi profectum ab Athanasio? Nimirum dicimus, reapse quidem illud in beati Cyrilli contra Theodorum invectivis legi; sed mendum esse priscum. Dioscorus enim successor beati Cyrilli factus, cum ejus opera reperisset, forte non veritus est inserere nonnulla, quæ ipsi lubitum fuit. Neque vero conjecturis nos modo niti,

A ματος, οὐδαμοῦ νοερὸν εἶπεν, ἢ ἔμψυχον. Ἔθος δὲ εἶχον οἱ κατ' ἐκεῖνον τὸν καιρὸν Πατέρες, ἔνθα ἂν μνησθῶσι τοῦ σώματος, τὸ νοερὸν λέγειν καὶ ἔμψυχον· καὶ τοσοῦτόν ἐστι τοῦτο ἀληθὲς, ὅτι ὑφορώμενοι τοῦτο τὸ ἔγκλημα, προσέθηκαν ὕστερον, τὸ *νοερὸν καὶ τὸ ἔμψυχον*· καὶ οὐκ ἔστιν εὑρεῖν τινα τῶν μεταγενεστέρων βιβλία, μὴ ἔχοντα τὴν προσθήκην τῶν παλαιῶν. Ὅτι δὲ καὶ ἐκ τούτου ἐλέγχεται τοῦ Ἀπολιναρίου οὖσα, καὶ οὐκ αὐτοῦ τοῦ μακαρίου Ἰουλίου· Γρηγόριος γὰρ ὁ Νύσσης ἐν τῇ πρὸς Ἀπολινάριον πραγματείᾳ φαίνεται μεμνημένος πολλῶν τῶν ἐν τῇ ἐπιστολῇ ταύτῃ, καὶ ἀνατρέπων αὐτὰ ὡς κακῶς ἔχοντα. Ἔστι δὲ καὶ ἀπὸ ἄλλου αὐτὴν διελέγξαι μὴ οὖσαν τοῦ μακαρίου Ἰουλίου. Φασὶ γὰρ κεῖσθαι αὐτὴν ἐν τοῖς πραχθεῖσιν ἐν Ἐφέσῳ ἐπὶ τοῦ
B μακαρίου Κυρίλλου· καὶ ψεύδονται φανερῶς. Οὐδὲν γὰρ τοιοῦτον κεῖται ἐκεῖ, ἀλλὰ ἄλλη ἐστὶν ἡ κειμένη ἐκεῖ, ὡς ἀπὸ τοῦ Ἰουλίου, ἥτις οὐδὲ Ἰουλίου ἐστὶν, ἀλλὰ Τιμοθέου, ὡς ἔστιν ἀπὸ πολλῶν ἀντιγράφων καταμαθεῖν. Ἀλλ' ἐπειδὴ κατὰ μηδὲν ἡμῖν ἐναντιοῦται, εἰ καὶ Ἰουλίου ταύτην εἴπωσιν, οὐ φροντιστέον.

Ἀλλὰ καὶ ἄλλην ἡμῖν χρῆσιν παραφέρουσιν, ὡς ἀπὸ τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ, ἐκ τῆς κατὰ μέρος πίστεως. Οὐ δύο πρόσωπα, οὐ δύο φύσεις· οὐ δεῖ γὰρ τέσσαρα προσκυνεῖν, καὶ τὰ ἐφεξῆς. Λέγομεν δὲ καὶ πρὸς τοῦτο, ὅτι πρῶτον μὲν καὶ αὕτη ἀμφεβλήθη παρὰ τοῖς παλαιοτέροις, μὴ εἶναι τοῦ ἁγίου Γρηγορίου· ἔπειτα Γρηγόριος ὁ Νυσσαεὺς
C γράφων ἐπιτάφιον εἰς τὸν Θαυματουργὸν λέγει, μηδὲν σύγγραμμα φέρεσθαι αὐτοῦ, εἰ μὴ μόνην τὴν πίστιν, ἣν κατὰ ὀπτασίαν εἶδεν. Ἔτι δὲ καὶ ἄλλην παραφέρουσι χρῆσιν, ὡς ἀπὸ τοῦ ἁγίου Ἀθανασίου ἐκ τοῦ περὶ σαρκώσεως λόγου. Ἔστι δὲ τοιαύτη· Καὶ εἶναι τὸν αὐτὸν Υἱὸν Θεοῦ κατὰ πνεῦμα, καὶ Υἱὸν ἀνθρώπου κατὰ σάρκα· οὐ δύο φύσεις τὸν ἕνα Υἱὸν, μίαν προσκυνητὴν, καὶ μίαν ἀπροσκύνητον· ἀλλὰ μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην. Πρὸς τοῦτο λέγομεν, ὅτι πρῶτον μὲν οὐδὲν ἡμῖν ἐναντιοῦται. Οὐδὲ γὰρ δοξάζομεν δύο φύσεις, τὴν μὲν προσκυνητὴν, τὴν δὲ ἀπροσκύνητην· ἀλλὰ δοξάζομεν μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην. Ἔπειτα δὲ οὐδ' ἔστι τοῦ ἁγίου Ἀθανασίου· ἐρωτώμενοι γὰρ παρ' ἡμῶν, ποῦ κεῖται· καὶ μὴ εὐπο-
D ροῦντες δεῖξαι, στενοχωρούμενοι παραφέρουσι μικρόν τινα λόγον, ὡς δύο φύλλων, ἐν ᾧ κεῖται αὕτη ἡ χρῆσις. Δῆλον δὲ πᾶσιν, ὅτι πάντα τὰ συγγράμματα τοῦ ἁγίου Ἀθανασίου πάνυ μεγάλα εἰσίν.

Ἀλλὰ τί ἔχομεν εἰπεῖν, ὅτι παραφέρουσι τὸν μακάριον Κύριλλον, παράγοντα αὐτὴν παρὰ τοῦ Θεοδώρου, ὡς ἀπὸ τοῦ ἁγίου Ἀθανασίου; Λέγομεν πρὸς τοῦτο, ὅτι τῷ ὄντι μὲν κεῖται ἐν τοῖς τοῦ μακαρίου Κυρίλλου κατὰ Θεοδώρου ῥηθεῖσιν, ἀλλὰ σφάλμα ἐστὶν ἀρχαῖον. Ὁ γὰρ Διόσκορος διάδοχος γενόμενος τοῦ μακαρίου Κυρίλλου, καὶ εὑρὼν τὰ αὐτοῦ συγγράμματα, ἴσως οὐκ ἂν ὤκνει τινὰ θεῖναι ὧν ἐβούλετο. Μήποτε δὲ καὶ ἐπιστοχάσασθαι, ὅτι οὐ παρ-

ἤγαγεν αὐτὴν ὁ μακάριος Κύριλλος κατὰ Θεοδώρου, καὶ ἐντεῦθεν δῆλον. Θεοδώρητος γὰρ ὑπὲρ Θεοδώρου λέγων, ἀνατρέπων πάσας τὰς χρήσεις, ὅσας παρήγαγε κατ' αὐτοῦ ὁ ἅγιος Κύριλλος ἀπὸ τῶν ἁγίων Πατέρων, οὐδαμοῦ ταύτης τῆς χρήσεως μέμνηται. Ἀλλὰ λέγουσι πρὸς τοῦτο, ὅτι κακούργως αὐτὴν παρείασεν ὁ Θεοδώρητος· μὴ δυνάμενος γὰρ πρὸς αὐτὴν ἀντιβλέψαι, ὡς πάνυ φανερὰν, ἑκὼν παρέλειπεν αὐτήν. Πρὸς τοῦτο λέγομεν, ὅτι τοσοῦτον οὐ παρέδραμεν αὐτὴν κειμένην ἐκεῖ, ὅτι τοῦ μακαρίου Κυρίλλου ἐν ἄλλοις εἰρηκότος, Ἀλλὰ μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην, εἰ ᾔδει τὴν χρῆσιν ταύτην κειμένην παρὰ τῷ μακαρίῳ Κυρίλλῳ, ὡς ἀπὸ τοῦ ἁγίου Ἀθανασίου προενεχθεῖσαν, οὐκ ἂν οὕτως ἀμαθῶς ἔμελλεν εἰπεῖν· Τίς σοι τῶν Πατέρων εἶπε μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην; Ἀλλὰ λέγουσι πάλιν, ὅτι τοσοῦτον ᾔδει αὐτὴν εἰρημένην τῷ ἁγίῳ Ἀθανασίῳ, ὅτι εἶπεν· Ὡς οἱ Πατέρες εἰρήκασι. Πρὸς τοῦτο λέγομεν, ὅτι ἕκαστος σπεύδει ἃ λέγει δεῖξαι τοὺς Πατέρας εἰρηκότας, εἰ καὶ μὴ αὐτολεξεὶ, ἀλλὰ δυνάμει. Παραφέρουσι δὲ καὶ ἄλλην χρῆσιν ἀπὸ Ἐρεχθίου, ὅστις οὐδέποτε ἠκούσθη εἰς Πατέρας, καὶ τοσοῦτον, ὅτι Τιμοθέου γράψαντος κατὰ τῆς συνόδου, καὶ παραγαγόντος χρῆσιν ἀπὸ Ἐρεχθίου, Κῦρος ὁ οἰκεῖος πρεσβύτερος ἔγραψε πρὸς αὐτὸν, ὅτι Ἤθελόν σε διορθώσασθαι τοῦτο. Ὁ γὰρ Ἐρέχθιος οὐδέποτε ἠκούσθη εἰς Πατέρας. Ἐν τούτοις ἡ θεωρία.

A quod beatus Cyrillus illud contra Theodorum non produxerit, ex eo quoque manifestum est. Nam Theodoretus qui Theodorum defendebat, universas auctoritates refutans, quascunque sanctus Cyrillus contra Theodorum de sanctis Patribus protulerat, nusquam hujus dicti meminit. At enim isti referunt, a Theodoreto callide omissum. Quod enim adversis eam auctoritatem oculis aspicere non posset, ut admodum planam et apertam, idcirco sponte ab ipso prætermissam. Respondemus, tantum abesse ut eam Theodoretus ibi positam præterire voluerit, ut cum beatus ille Cyrillus alibi dixisset, Unam naturam Dei Sermonis incarnatam, si quidem scivisset Theodoretus id verbum quod apud Cyrillum exstat, ex sancto Athanasio citatum, nequaquam adeo temere dicturus fuerit: Quis tibi Patrum dixit unam naturam Dei Sermonis incarnatam? B Vicissim ingerunt, tam esse certum, scivisse sic locutum Athanasium, ut etiam dixerit: Quemadmodum Patres locuti sunt. Nos contra quemque dicimus eniti, ut ostendat a Patribus ea prolata quæ ipse tradat, si non iisdem verbis, saltem vi verborum eadem. Producunt et aliam auctoritatem ex Erechthio, cujus inter Patres nec auditum est unquam nomen· adeo quidem, ut cum Timotheus contra synodum scripsisset, et auctoritatem Erechthii citasset, Cyrus qui apud ipsum presbyteri loco esset, his ad eum verbis perscripserit: Mallem hoc te corrigere. Nam Erechthii nomen inter Patres auditum nunquam fuit. Hæc consideranda veniebant.

Recitantur quædam verba synodi Chalcedonensis, quæ putabant Hæsitantes suæ hæresi favere.

ΠΡΑΞΙΣ Θ'.

Ἐπειδὴ δὲ καὶ λέξεών τινων πραττόμενοι ἐκ τοῦ ὅρου τῆς συνόδου, ἐπιλαμβάνονται αὐτῆς· φέρε καὶ ταύτας ἐκθέμενοι, καὶ πῶς ἐπιλαμβάνονται αὐτῶν εἰπόντες, ὕστερον τὰς πρὸς ταύτας ἀνατροπὰς ἐπαγάγωμεν. Τῆς συνόδου τοίνυν εἰπούσης· Ἤρκει μὲν οὖν εἰς ἐντελῆ τῆς εὐσεβείας ἐπίγνωσιν τὸ σοφὸν τοῦτο καὶ σωτήριον τῆς θείας χάριτος σύμβολον· περί τε γὰρ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος ἐκδιδάσκει τὸ τέλειον, καὶ τοῦ Κυρίου τὴν ἐνανθρώπησιν τοῖς πιστῶς δεχομένοις παρίστησιν. Ἔστι δὲ λίαν ὑπόψυχρος ἡ ἐπιλαβή. Πρῶτον μὲν γὰρ τοσοῦτον οὐ φρονεῖ τὰ Νεστορίου, ὅτι Ἰωάννης τις Αἰγεώτης πρεσβύτερος Νεστοριανὸς, ἐπιλαμβανόμενος τῆς συνόδου φησὶν, ὅτι αὕτη σύνοδος Κυριλλιανή ἐστι, καὶ τὰ ἐκείνου φρονεῖ. Εἰ δὲ ἦν Νεστοριανὴ, οὐκ ἂν τοῦτο εἶχεν ὁ Ἰωάννης εἰπεῖν. Ἔπειτα εἰ ἀπὸ τῶν τοιούτων λέξεων ἐπιλαμβάνονται τῆς συνόδου, διατί μὴ καὶ τῶν ἁγίων Πατέρων ἐπιλαμβάνονται; Καὶ αὐτοὶ γὰρ πολλὰ τοιαῦτα εἰρήκασι. Φησὶ γὰρ ὁ μακάριος Κύριλλος ἐν τῷ εἰς Ζαχαρίαν τὸν προφήτην ὑπομνήματι, οὗ ἡ ἀρχὴ, *Προφητεύει μὲν ὁ ἅγιος Ζαχαρίας*, οὕτως· Δεῖ δὴ ἄρα οὖν τοιούτων ἀποφοιτᾶν, καὶ ὡς ἐκ γῆς ἀλλοτρίας τῆς ἀπεψυγμένης καὶ νεκρᾶς τοῦ νοῦ διαθέσεως μεταφοιτᾶν εἰς Σιὼν, τουτ' ἔστιν εἰς τὸ ἀλη-

C ACTIO IX.

Quia vero voces etiam nonnullas carpendo de synodi definitione, synodum ipsam reprehendunt: age, et illis expositis, ubi quemadmodum eas reprehendant, indicaverimus; ita deinde refutationes nostras subjiciamus. Synodi verba sunt: Sufficeret quidem ad perfectam pietatis cognitionem et confirmationem, hoc eruditum ac salubre divinæ gratiæ symbolum, quod et perfectam de Patre, et Filio, et Spiritu sancto doctrinam tradit, et incarnationem Domini fideliter excipientibus exhibet. Est autem sane quam frigida reprehensio. Primo tantum abest ut cum Nestorio sentiat, ut Joannes quidam Ægeota presbyter Nestorianus, synodum reprehendens, diceret eam synodum esse Cyrillianam, et a Cyrilli D sententia stare. Quod si Nestoriana, nunquam hoc Joannes ille dixisset. Deinde si propter hujusmodi voces synodum reprehendunt, cur itidem sanctos quoque Patres non reprehendunt? Nam et illi plura talia protulerunt. Etenim beatus ille Cyrillus in commentario Zachariam vatem declarante, cujus initium: *Vaticinatur quidem sanctus ille Zacharias;* sic ait: Discedendum igitur a talibus, et a mentis affectione rigida mortuaque, velut e terra peregrina, transeundum ad Sionem, hoc est, ad veritatem, ut Ecclesiam Christi consideremus, in qua constituti,

perspiciemus id quod Deo placet, et ad illas in sancta uniusque substantiæ Trinitate rationes oculos circumferemus, ipsumque Christum deprehendemus ex omni loco nos colligentem, ac spiritualiter in unanimem consensum colligantem. Nam ecce, postquam dixit, Quod Deo placet, subjicit: Et ad illas in sancta uniusque substantiæ Trinitate rationes oculos circumferemus, ipsumque Christum deprehendemus ex omni loco nos colligentem. Quantum ergo colligitur ex iis quæ ipsi dicunt, etiam beatus ille Cyrillus quaternionem statuit. Alia quoque consimilia multa reperimus apud sanctos Patres, quæ nunc vitandæ prolixitatis causa, non sunt hic adjicienda. Rursus eam reprehendunt, quasi quæ formulam illam verborum: In duabus naturis, usurpaverit. Verum et illa Patres usos, de pluribus ostensu facile.

A θε̃ς· ἵνα νοῶμεν τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, ἐν ᾧ γεγονότες, καταψόμεθα τὸ τῷ Θεῷ δοκοῦν, καὶ τοὺς ἐπὶ τῇ ἁγίᾳ τε καὶ ὁμοουσίῳ Τριάδι περιαθρήσομεν λόγους, καὶ αὐτὸν εὑρήσομεν ἐκ παντὸς ἡμᾶς τρόπου συναγείροντα τὸν Χριστὸν, καὶ συνδέοντα πνευματικῶς εἰς ὁμοψυχίαν. Ἰδοὺ γὰρ εἰπὼν τὸ, Τῷ Θεῷ δοκοῦν, ἐπήγαγε, Καὶ τοὺς ἐπὶ τῇ ἁγίᾳ τε καὶ ὁμοουσίῳ Τριάδι περιαθρήσομεν λόγους, καὶ αὐτὸν εὑρήσομεν ἡμᾶς συναγείροντα τὸν Χριστόν. Καὶ ὅσον ἐξ ὧν λέγουσι, καὶ ὁ μακάριος Κύριλλος τετράδα δοξάζει. Καὶ ἄλλα δὲ τοιαῦτα πολλὰ παρὰ τοῖς ἁγίοις Πατράσιν εὑρίσκομεν, ἃ διὰ πολυλογίαν νῦν οὐ δεῖ παραθέσθαι. Ἐπιλαμβάνονται δὲ αὐτῆς πάλιν, ὡς εἰπούσης τὸ, Ἐν δύο φύσεσιν. Ὅτι δὲ καὶ τοῦτο εἴρηται παρὰ τοῖς Πατράσι, ῥᾴδιον δεῖξαι ἀπὸ πολλῶν. B

Actione decima error Gaianitarum detegitur, contra quos probatur Christi corpus fuisse corruptibile, et iisdem passionibus, excepto peccato, subjectum. Deinde Agnoetæ reprehenduntur: postremo deliria Origenis refutantur.

ACTIO X.

Post omnia quæ hactenus exposita sunt, operæ fuerit pretium de Gaianitarum quoque ac aliorum quorumdam opinione narrationem institui. Confitentur ergo Gaianitæ, Deum Sermonem e Virgine naturam humanam assumpsisse perfecte ac vere: sed post unionem esse corpus incorruptibile dicunt. Omnes enim malorum species Christum perpessum aiunt, qui et esuriverit, et sitiverit, et defatigatus fuerit: at non eodem ista quo nos, modo passum. Aiunt enim nos quidem naturali quadam necessitate eum esurire, tum sitire: sed Christum hæc omnia sponte sustinuisse. Non enim, inquiunt, naturæ legibus serviebat: alioqui passiones istas fatebimur ei præter voluntatem accidisse; quod absurdum fuerit. Hæc Gaianitarum est opinio. Nos ad ea respondemus, etiam nos fateri passiones et affectiones illas fuisse voluntarias: nec tamen idcirco dicere, Christum eas perpessum eodem modo quo nos. Nam sponte dicimus ipsum serviisse naturæ legibus, volentemque concessisse corpori ut sua perpeteretur eodem modo quo et nos patimur. Atque hæc testimoniis suis Patres ipsi comprobant, ut sanctus ille Gregorius inquiens: Naturæ permittebat, cum vellet, ut ageret sua. Beatus autem Cyrillus dixit: Per immissionem ciborum et excretionem, conservabat substantiam, corporis scilicet. Rursus ex Dialogo, quo unum esse Christum probat, permisisse ipsum carni suæ, ut naturæ suæ legibus obsequeretur. Et rursus: Sic permittit id quod corporeum erat, ea perpeti quæ ipsi naturaliter adsunt, ut ostenderet se reapse vereque gestare carnem, et secundum Litteras sacras hominem esse factum. Sanctus autem Athanasius libro *Adversus Apollinarem*: Propterea dicebat Dominus, animam suam nunc perturbari. Et hoc *nunc* significat, quando ipse voluit. Id tamen, quod erat, in-

ΠΡΑΞΙΣ Ι'.

Ἄξιόν ἐστι μετὰ τὰ προρηθέντα ἅπαντα, καὶ περὶ τῆς δόξης τῶν Γαϊανιτῶν, καὶ ἄλλων τινῶν, διεξελθεῖν. Οἱ τοίνυν Γαϊανῖται ὁμολογοῦσι τὸν Θεὸν Λόγον ἐνανθρωπῆσαι ἐκ τῆς Παρθένου τελείως καὶ ἀληθινῶς· ἀπὸ δὲ τῆς ἑνώσεως ἄφθαρτον ὁμολογοῦσιν εἶναι τὸ σῶμα. Πάντα μὲν γὰρ τὰ εἴδη τῶν κακῶν C λέγουσιν αὐτὸν ὑπομεῖναι· καὶ ἐπείνησε γὰρ, καὶ ἐδίψησε, καὶ ἐκοπίασεν· οὐ τὸν αὐτὸν δὲ τρόπον ταῦτα ἡμῖν παθεῖν. Φασὶ γὰρ, ὅτι ἡμεῖς μὲν ἐξ ἀνάγκης φυσικῆς καὶ πεινῶμεν, καὶ διψῶμεν· ὁ δὲ Χριστὸς ἑκουσίως πάντα ὑπέμεινεν. Οὐ γὰρ ἐδούλευε τοῖς τῆς φύσεως νόμοις, ἐπεὶ καὶ ἀκούσια ὁμολογοῦμεν τὰ πάθη, ὅπερ ἄτοπον. Αὕτη μὲν ἡ τῶν Γαϊανιτῶν δόξα. Ἡμεῖς δὲ πρὸς ταῦτα λέγομεν, ὅτι καὶ ἡμεῖς ἑκούσια ὁμολογοῦμεν τὰ πάθη· οὐ διὰ τοῦτο δὲ λέγομεν, ὅτι τὸν αὐτὸν τρόπον ἡμῖν ἐξ ἀνάγκης ἔπασχεν· ἀλλὰ λέγομεν, ὅτι ἑκουσίως ἐδούλευε τοῖς τῆς φύσεως νόμοις, καὶ ἑκὼν ἐδίδου τῷ σώματι παθεῖν τὰ ἴδια τὸν αὐτὸν τρόπον, ὃν καὶ ἡμεῖς πάσχομεν. Καὶ μαρτυροῦσι τούτοις οἱ Πατέρες· ὁ μὲν ἅγιος Γρηγόριος εἰπών· Τῇ φύσει ἐδίδου, ὅτε ἐβούD λετο, ἐνεργεῖν τὰ ἴδια· ὁ δὲ μακάριος Κύριλλος, εἰρηκώς, ὅτι Διὰ τῆς εἰσπορεύσεως τῶν βρωμάτων, καὶ τῆς ἐκπορεύσεως, διεκράτει τὴν ὑπόστασιν, τοῦτ' ἔστι τοῦ σώματος. Καὶ πάλιν ἐκ τοῦ διαλόγου, ὅτι εἷς ὁ Χριστὸς, ἐφιέναι αὐτὸν τῇ ἰδίᾳ σαρκὶ, διὰ τῶν τῆς ἰδίας φύσεως ἰέναι νόμων. Καὶ αὖθις· Ὡς ἐπιτρέπει τὸ σωματικὸν κατὰ τὴν φύσιν προσόντα παθεῖν, εἰς ἀπόδειξιν τοῦ ὄντως καὶ κατ' ἀλήθειαν φορέσαι σάρκα, καὶ ἄνθρωπον γενέσθαι κατὰ τὰς Γραφάς. Ὁ δὲ ἅγιος Ἀθανάσιος, ἐκ τοῦ *Κατὰ Ἀπολιναρίου* λόγου, ὅτι Διὰ τοῦτο ἔλεγεν ὁ Κύριος, Νῦν ἡ ψυχή μου τετάρακται. Τὸ δὲ *νῦν* τοῦτό ἐστιν, ὅτε ἠθέλησεν. Ὅμως μέντοι τὸ ὂν ἐπιδείκνυται· οὐ γὰρ τὸ μὴ ὂν ὡς παρὸν ὠνόμαζεν, ὡς δοκήσει γινομένων τῶν λεγομένων· φύσει γὰρ καὶ ἀληθείᾳ τὰ

πάντα ἐγίνετο. Πάλιν ἐν ἑτέρῳ· ὅτι Κἂν μὴ ἡττήματι φύσεως συνέβαινε τὰ λεγόμενα, ἀλλ' ἐπιδείξει ὑπάρξεως ἐγίνετο τὰ γινόμενα.

Rursus alibi : Non defectu naturæ tamen accidebant, quæ dicebantur ; sed quæ fiebant demonstrandæ causa substantiæ fiebant.

Ὥστε εἰ τὸν αὐτὸν ἡμῖν τρόπον ἔπασχεν, οὐ δυνάμεθα εἰπεῖν αὐτὸ ἄφθαρτον, ὥσπερ οὐδὲ τὸ ἡμέτερον. Καὶ ἀποροῦμεν τοιαύτην ἀπορίαν, ὅτι Εἰ ἄφθαρτον λέγετε τὸ σῶμα τοῦ Χριστοῦ, οὐκ ἔστιν ἡμῖν ὁμοούσιον, εἰ τὸ μὲν τοῦ Χριστοῦ ἄφθαρτόν ἐστι, τὸ δὲ ἡμέτερον φθαρτόν. Ἀλλὰ πρὸς τοῦτο ἀντείποιεν ἂν καὶ αὐτοί, ὅτι Ὃν τρόπον μετὰ τὴν ἀνάστασιν ἄφθαρτον λέγοντες τὸ σῶμα τοῦ Χριστοῦ, ὁμοούσιον λέγετε αὐτὸ εἶναι, τὸν αὐτὸν τρόπον καὶ ἡμεῖς πρὸ τῆς ἀναστάσεως ἄφθαρτον λέγοντες, ὁμοούσιον ἡμῖν ὁμολογοῦμεν εἶναι. Ἡμεῖς δὲ λέγομεν, ὅτι Εἰ καὶ ἄφθαρτον αὐτὸ ὁμολογοῦμεν μετὰ τὴν ἀνάστασιν, οὐ τῇ φύσει λέγομεν αὐτὸ ἄφθαρτον, τῇ δὲ χάριτι. Εἰ δὲ εἴπωσιν, Ἔστω καὶ πρὸ τῆς ἀναστάσεως τῇ χάριτι ἄφθαρτον· λέγομεν, ὅτι Οὐ συγχωρεῖ τοῦτο τὰ περὶ τοῦ Χριστοῦ λεγόμενα· πρὸ μὲν γὰρ τῆς ἀναστάσεως λέγεται καὶ πεινῆσαι, καὶ διψῆσαι. Καὶ πῶς ἂν εἴη τὸ ταῦτα πεπονθὸς, ἄφθαρτον ; Μετὰ δὲ τὴν ἀνάστασιν οὐδὲν τῶν τοιούτων ἔπαθεν· ὡς δῆλον, πρὸ μὲν τῆς ἀναστάσεως, φθαρτὸν εἶναι τὸ σῶμα, μετὰ δὲ τὴν ἀνάστασιν, ἄφθαρτον. Εἰ γὰρ καὶ λέγεται φαγεῖν μετὰ τὴν ἀνάστασιν, τοῦτο δι' οἰκονομίαν ἐποίησεν· οὐχ ὡς τῷ ὄντι πεινῶν, ἀλλ' ἵνα δείξῃ τοῖς μαθηταῖς αὐτοῦ, ὅτι αὐτός ἐστιν ὁ ἀναστὰς ἐκ νεκρῶν· ὃν τρόπον καὶ τοὺς τύπους τῶν ἥλων λέγεται ἐπιδεῖξαι αὐτοῖς. Καίτοι ἡμεῖς οὐδὲν τῶν πρὸ τῆς ἀναστάσεως παθῶν ἀνιστάμεθα ἔχοντες. Ἀπαρχὴ δὲ τῆς ἐκ νεκρῶν ἡμῶν ἀναστάσεως ὁ Χριστός. Καὶ ὅμως αὐτὰς εὑρέθη ἔχων· ὡς δῆλον, ὅτι δι' οἰκονομίαν τοῦτο γέγονεν. Ἀμέλει οὐδὲ λέγει ἡ Γραφὴ, ὅτι ἐπείνησεν, ἀλλ' ὅτι ἔφαγεν. Ἐπιστῆσαι δὲ δέον, ὅτι παραφέρουσι χρήσεις τινὰς ἀπὸ τῶν Πατέρων ἄφθαρτον τὸ σῶμα τοῦ Χριστοῦ λεγούσας· ὥσπερ καὶ τὸν μακάριον Κύριλλον εἰπόντα ὅτι Οὐχ ὑπεδέξατο φθαρτὸν ἡ τοῦ Λόγου σάρξ· ὅταν δὲ τὰς τοιαύτας παραγάγωσι χρήσεις, ἐπισκέψαι, ὅτι ὁμώνυμόν ἐστι τὸ τῆς φθορᾶς ὄνομα. Λέγεται γὰρ φθορὰ, ἡ παντελὴς διάλυσις τοῦ σώματος εἰς τὰ στοιχεῖα, ἐξ ὧν συνετέθη· καὶ λέγεται φθορὰ, τὰ ἀνθρώπινα ταῦτα πάθη, τοῦτ' ἔστι τὸ πεινῆν, καὶ διψῆν, καὶ ὅσα τοιαῦτα. Ὅταν οὖν εἴπῃ τις τῶν Πατέρων, ὅτι οὐχ ὑπέμεινε φθορὰν τὸ σῶμα τοῦ Χριστοῦ, τοῦτο λέγει, ὅτι οὐ διαμπὰξ ἐλύθη· ὅπερ ἀληθὲς δῆλον ἐξ ὧν ἀντιλέγουσιν. Ἐν πολλοῖς γὰρ πρὸ τῆς ἀναστάσεως φθαρτὸν αὐτὸ λέγουσι, μετὰ δὲ τὴν ἀνάστασιν, ἄφθαρτον. Καὶ τοσαῦτα μὲν περὶ Γαϊανιτῶν.

Ὅτι δὲ οὐδ' ὁ ἄνθρωπος ἐξ ἀτελῶν ἐστι μερῶν, κατά γε τὸν τοῦ πῶς εἶναι θατέρου λόγον, εἰ καὶ ὡς πρὸς ὅρον τοῦ ὅλου ἀνθρώπου, τὸν τοῦ ὅλου τὰ μέρη λόγον, ὡς ὅλου οὐκ ἐπιδέχεται, ὧδε ἂν μάθοις. Τί γὰρ λείποι τῇ ψυχῇ, χωριστὴν ἐχούσῃ καὶ ἰδίαν ζωήν, πρὸς τὸ εἶναι οὐσίαν ἀσώματον αὐτοκίνητον; τοῦτο γὰρ αὐτῇ δηλοῖ καὶ τὸ ἀθάνατον καὶ τὸ ἀνώλεθρον. Τί δὲ τῷ σώματι πρὸς τὸ εἶναι σῶμα; οὗ δὴ καὶ ἀποδιδόντες τὸν ὅρον φασί, σῶμα εἶναι τὸ τριχῇ C διαστατόν, ἢ σῶμα φυσικὸν ὀργανικὸν δυνάμει ζωὴν ἔχον· ἑκάτεροι γὰρ τῶν ὅρων ἐπὶ τοῦ ἡμετέρου σώματος οἰκείως ἁρμόσουσιν· οὐκ ἀτελῆ τοίνυν ταῦτα καθ' ἑαυτὰ λαμβανόμενα, εἰ καὶ ἀτελῆ πάλιν λέγονται, ὡς πρὸς τὴν τοῦ ὅλου ἐν ᾧ τὰ μέρη ὑπόστασιν· τούτῳ γὰρ τῷ λόγῳ, οὐκ ἂν ἁμάρτοι τις, καὶ τὸ κατὰ Χριστὸν ἑρμηνεύσας μυστήριον. Ἀτελὲς γάρ, κἂν ὡς Θεὸς γυμνός, ἢ ἄνθρωπος ψιλὸς λαμβάνηται· ὡς ἐντεῦθεν διττὸν εἶναι τὸν τῆς τελειότητος ὅρον, καὶ τὸν μὲν ἁπλῶς λέγεσθαι, τὸν δὲ ἐν σχέσει θεωρεῖσθαι, κατὰ τὸν μέγαν Γρηγόριον. Τέλειος μὲν γάρ ἐστιν ὁ λόγος, καὶ πλήρης, καὶ παρεκτικὸς τελειότητος· τελεία δὲ καὶ ἡ τοῦ ἀνθρώπου ψυχή, ὡς πρὸς τὸν ὅρον τῆς ὑπάρξεως. Ἀλλ' οὐδὲ ὁ D Λόγος τέλειος Χριστός, κἂν τέλειος εἴη Θεός, μὴ τῆς ἀνθρωπότητος αὐτῷ συντεταγμένης· οὔτε ἡ ψυχὴ τέλειος ἄνθρωπος, κἂν τελείαν ἔχει οὐσίαν, μὴ τοῦ σώματος αὐτῇ συνεπινοουμένου. Καὶ τοῦτο δὲ παρασημήνασθαι χρή, ὅτι τοῖς τῶν πραγμάτων ὅροις οἱ χρόνοι οὐ συμπαραλαμβάνονται, ὥσπερ οὐδὲ οἱ τόποι. Τῶν γὰρ ὧν οὐκ ἄνευ καὶ μόνον λόγον ἐπέχουσιν. Ἔτι πᾶς ὅρος τοῦ νῦν πράγματός ἐστιν

Quod autem neque homo ex imperfectis partibus compositus est secundum rationem cujusdam essentiæ alterutrius partis, quamvis quoad definitionem totius hominis non recipiunt partes rationem totius tanquam totius, sic intelliges. Quid enim deest animæ habenti separatam et propriam vitam, ad hoc, ut sit substantia incorporea, semper mobilis? Hoc enim declarat immortalem esse eam, et interire non posse. Quid rursus deest corpori, ut sit corpus? quod quidem qui definiunt, aiunt esse corpus triplici dimensione; aut corpus naturale organicum potestate vitam habens; utraque enim definitio apte conveniet corpori nostro; non sunt igitur imperfecta sumpta per se, tametsi imperfecta dicuntur, quoad hypostasim totius, in quo sunt partes; hac enim ratione, non aberrabit, qui etiam mysterium Christi interpretabitur. Imperfectum enim est, si vel Deus nudus sine humanitate, vel homo item nudus sine divinitate sumatur, ut hinc appareat duplicem esse (12) perfectionis definitionem in Christo; unam, quæ simpliciter dicitur; alteram, quæ in habitudine cernitur, secundum magnum Gregorium. Perfectum namque est Verbum, et plenum, et præbens perfectionem: perfecta autem est anima hominis, quantum ad definitionem essentiæ suæ. Sed tamen neque Verbum est perfectus Christus, non unita humanitate, quamvis perfectus Deus sit; nec anima perfectus homo est, licet perfectam substantiam habeat, corpore non simul cum ea cogitato. Hoc autem adnotandum est (13), quod

(12) *Duplicem esse.* Duplex definitio perfectionis in Christo, altera simplex dicta; altera in habitudine simplex ad divinitatem Verbi spectat: illa quæ in habitudine consistit, pertinet ad unionem Verbi cum humanitate. Tur.

(13) *Hoc autem adnotandum est.* Adverte quod definitiones non inferunt simul cum definitis loca et tempora; nec enim quæ definiuntur, constant ex his, quamvis in his: hominem enim definientes, animal rationale mortale dicimus; quando autem natum sit, aut ubi exsistat, non subjicimus: essentiam enim animalis solum significamus, relictis illis quæ in omni re creata conjuncte intelliguntur; quæ sunt tempus et locus: sine tempore et loco nihil rerum creatarum dicere aut intelligere possumus. Id.

vinus vir ἐναντιοδοκήτας, id est, contrariæ fictionis auctores contrarios appellavit; illi quidem divinitatem in Salvatore ficte dicunt (3), hi vero humanitatem. Nestorius beneplacitum et dignitatem pro fictione divinitatis defendit; Eutyches carnem ineffabilem, pro naturali et nostra. Sic honestis nominibus et verbis decoris, tanquam fictis coloribus, fœditatem contrariæ quidem impietatis, sed tamen æqualis, honestare nituntur. Quasi studium nobis sit elegantia nominum utendi, et non potius faciem veritatis vere auream aspiciendi, qua nihil est amabilius, quamvis nihil elegans et splendidum accedat. Nec enim ornamentis indiget, quæ naturali pulchritudine splendescit; nec verborum, quasi pigmentorum fucata et fallaci specie. Hi igitur secum et cum veritate pugnantes, bellum in eam per contraria partiti sunt, eisdem propositionibus ad suum uterque finem abutentes, ita ut consensio impietatis contrarie dissentientium uno argumento veritatis a discipulis ejusdem veritatis convellatur, et concordia pravitatis copiosam victoriam pariat: quibus enim argumentis alterum istorum qui impietate connexi sunt, refellimus, eisdem etiam alterum simul refutavimus.

A θεῖος ἀνὴρ οὕτω κέκληκεν (*b*), Ἐναντιοδοκήτας ἑκατέρους καλέσας· οἱ μὲν γὰρ τὴν θεότητα, οἱ δὲ τὴν ἀνθρωπότητα δοκήσει λέγουσιν εἶναι ἐν τῷ Σωτῆρι, πλὴν ὅσον ἑκάτερος, ὁ μὲν τὴν εὐδοκίαν καὶ τὴν ἀξίαν, ἀντὶ τῆς κατὰ τὴν θεότητα φαντασίας· ὁ δὲ τὴν ἄῤῥητον σάρκα, ἀντὶ τῆς φύσει καὶ ἡμετέρας προσίσχονται, εὐπρεπέσιν ὀνόμασι καὶ εὐφήμοις ῥήμασιν, ὥσπερ χρώμασιν ἐπιπλάστοις, τὸ τῆς ἐναντίας μὲν, ἴσης δὲ ἀσεβείας δυσειδὲς ἀποσεμνύνειν ἐπιχειροῦντες. Ὡσανεὶ τούτου ἐσπουδασμένου ἡμῖν κάλλος ἀσκεῖν ὀνομάτων, ἀλλ' οὐ τὸ τῆς ἀληθείας χρυσοῦν ὄντως πρόσωπον ἐποπτεύειν, ἧς οὐδὲν ἐρασμιώτερον, κἂν τὸ τῆς λέξεως εὐπρεπὲς καὶ φαιδρὸν μὴ προσῇ. Μηδὲ γὰρ κομμωτικῶν αὐτὴν προσδεῖσθαι καλλωπισμάτων, φυσικῷ κάλλει λελαμ- B πρυσμένην, καὶ μηδὲν δεομένην τῆς ἐκ τῶν ῥημάτων ὥσπερ προστριμμάτων ἀπατηλῆς ἐπιμορφώσεως. Οὗτοι δὴ οὖν ἑαυτοῖς τε καὶ τῇ ἀληθείᾳ ἀπομαχόμενοι, διὰ τῶν ἐναντίων τὸν κατ' αὐτῆς ἐμερίσαντο πόλεμον, ταῖς αὐταῖς προτάσσειν ἑκάτερος αὐτῶν πρὸς τὸν ἴδιον ἀποχρώμενοι σκοπόν· ὥστε τὴν διὰ τῶν ἐναντίων συμφωνίαν, ἑνὶ τῷ τῆς ἀληθείας ἐλέγχῳ πρὸς τῶν γνωρίμων αὐτῆς ἀνατρέπεσθαι, καὶ γίνεσθαι περιουσίαν νίκης, τῆς πονηρίας τὴν συμφωνίαν. Οἷς γὰρ ἂν θάτερον τῶν κατὰ τὴν ἀσέβειαν συμπεπλεγμένων ἀνατρέψαιμεν, τούτοις συνανατέτραπται καὶ ὁ ἕτερος.

Est autem advertendum idem evenisse circa incarnationem Eutychi (4) cum Nestorio, quod in Trinitate Sabellio cum Ario; illi enim per contraria in malum æquale ceciderunt. Sabellius quidem propter substantiam, in unam hypostasin confundit hypostases; Arius vero propter hypostases, simul cum eis substantiam divisit. Hi vero converse: Nestorius quidem dividit naturas in hypostases; Eutyches vero commiscet naturas in naturam. Quibus enim disputationibus et argumentis a superiorum temporum hominibus Trinitas divisa est, eisdem a posterioribus œconomiam, id est, incarnationem confusam esse reperimus. Quibus autem nunc œconomiam dividunt, his illi divinitatem confundunt. Age ergo, proferamus in medium eorum sophisticas propositiones, et tanquam in judicio, demus locum accusationibus eorum; atque ita quæ frustra contra veritatem vane excogitaverunt, diluere conabimur.

Ἰστέον γὰρ, ὡς ταὐτὸν πέπονθε περὶ τὴν οἰκονο- C μίαν Εὐτυχὴς πρὸς Νεστόριον, ὃ περὶ τὴν θεολογίαν Σαβέλλιος πρὸς τὸν Ἄρειον· ἐκεῖνοί τε γὰρ διὰ τῶν ἐναντίων, εἰς τὸ ἴσον κακὸν ἐμπεπτώκασιν· ὁ μὲν διὰ τὴν οὐσίαν εἰς μίαν ὑπόστασιν συγχέων τὰς ὑποστάσεις, ὁ δὲ διὰ τὰς ὑποστάσεις συνδιαιρῶν ταύταις καὶ τὴν οὐσίαν. Καὶ οὗτοι δὲ τὸ ἀνάπαλιν, ὁ μὲν τέμνει τὰς φύσεις εἰς ὑποστάσεις, ὁ δὲ φύρει τὰς φύσεις εἰς φύσιν. Καὶ ὁ μὲν ποιεῖ τὴν ὑπόστασιν ὑποστάσεις, ὁ δὲ τὰς φύσεις εἰς φύσιν ἀναχέει. Οἷς γὰρ προβλήμασι διαιρουμένην ὑπὸ τῶν προτέρων ἔστιν ἰδεῖν τὴν Τριάδα, τούτοις συγχεομένην ὑπὸ τῶν ὑστέρων εὑρίσκομεν τὴν οἰκονομίαν· οἷς δὲ διαιροῦσι τὴν οἰκονομίαν οἱ νῦν, τούτοις ἐκεῖνοι συγχέουσι τὴν θεότητα. Φέρε δὴ οὖν τὰς προτάσεις D αὐτῶν τὰς σοφιστικὰς εἰς μέσον τῷ λόγῳ παραγάγωμεν, καὶ ὥσπερ ἐν δικαστηρίῳ, χώραν αὐτοῖς τῶν καθ' ἡμῶν ἐγκλημάτων ἐνδόντες, οὕτω διαλῦσαι τὰς ματαίας αὐτῶν κατὰ τῆς ἀληθείας ἐπινοίας πειρασόμεθα.

Aiunt enim: Si duas naturas in uno Christo esse dicitis, natura autem non est sine hypostasi, duæ ergo erunt hypostases. Unum autem est utriusque, dixi, certamen, quamvis finis sit differens. Illi enim, id est, Nestoriani, ut cum naturis hypostases inferant; alii vero, id est, Eutychiani, ut per hypostases naturas etiam tollerent, eodem argumento usi sunt. Sed audiant, qui Eutychis partes sequuntur. Nobis enim unum commune certamen contra utrosque

Φασὶ γάρ· Εἰ δύο φύσεις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ φατε, οὐκ ἔστι δὲ φύσις ἀνυπόστατος, δύο ἄρα ἂν εἶεν καὶ αἱ ὑποστάσεις· εἷς δέ ἐστιν ἀμφοτέροις, ὡς ἔφην, ἀγὼν, κἂν ὁ σκοπὸς ᾖ διάφορος. Οἱ μὲν γὰρ ἵνα ταῖς φύσεσι συνεισαγάγωσι τὰς ὑποστάσεις, οἱ δὲ ἵνα διὰ τῶν ὑποστάσεων καὶ τὰς φύσεις ἀνέλωσι, τῷ αὐτῷ κέχρηνται προβλήματι. Ἀλλ' ἀκουέτωσαν καὶ πρὸς ἡμῶν οἱ τῆς Εὐτυχοῦς μοίρας· ὁ μὲν γάρ τις κοινὸς ἡμῖν πρὸς ἑκατέρους, ὁ δὲ ἴδιός ἐστι πρὸς

(*b*) Schol. in marg. περὶ τοῦ ἀββᾶ Νόννου φησί.

(3) Aliter depingitur Nonnus iste a Cyrillo in Vita sancti Sabæ et sancti Quiriaci. TURRIANUS.

(4) Eadem habet in libro *De sectis*, act. 4, pag. 496. BASN.

τούτους ἀγών. Τί δὲ ὑμεῖς φατε; Μίαν ἁπλῶς λέγετε A φύσιν; Οὔ, φασὶν, ἀλλὰ μίαν σεσαρκωμένην. Οὐδὲν δὲ κωλύει καὶ χαριέστερον ὑμῖν συμπλακῆναι, τὴν μὲν δὴ μίαν ἣν φατε τοῦ Λόγου φύσιν λαβόντες ἔχομεν παρ' ὑμῶν. Περὶ δὲ τῆς ἑτέρας ἔστω ἡ διαμάχη· ἣν φύσιν μὲν ἑτέραν παρὰ τὴν τοῦ Λόγου φαμὲν ἡμεῖς, σὰρξ δὲ πρὸς ὑμῶν καλεῖσθαι φιλεῖ. Τί φατε περὶ τῆς σαρκὸς ταύτης; ἔχει φύσιν, ἢ οὐσίαν, ἢ μέρος γε φύσεως; τοῦ δὲ πόσου, ὑμεῖς ἂν εἴητε κύριοι, εἴτε ἥμισυ, εἴτε τρίτον, εἴτε τι ἄλλο ποστημόριον καλεῖν θέλετε. Καὶ ἵνα τῷ αὐτῷ ὑμῖν χρήσωμαι σχήματι, ἔστι σὰρξ ἀνούσιος, ἢ φύσεως ἄμοιρος; Καὶ πῶς ἂν ἀποφεύξεσθε τὴν ὑμετέραν ἀπορίαν; Εἰ μὲν γάρ ἐστι σὰρξ ἀνούσιος, ἢ φύσεως ἐκτὸς, δείξατε τίς οὖσα, καὶ πῶς ἔχουσα τυγχάνει αὕτη, καὶ ἡμεῖς στέρξομεν. Εἰ δὲ τῆς ἐσχάτης ἐστὶν B ἀμαθίας, σάρκα ὑποτίθεσθαι, οὐκ οὖσαν τοῦθ' ὅπερ καὶ λέγεται, ἢ οὐ λεγομένην ὅπερ ἐστὶν, πῶς ἀποφεύξεσθε ἣν ἡμῖν αὐτοὶ προεβάλεσθε πρότασιν; Εἰ γὰρ οὐκ ἔστι σὰρξ ἀνούσιος, τουτέστι φύσιν οὐκ ἔχουσα, οὐκ ἔστι δὲ φύσις ἀνυπόστατος, οὐκ ἄρα ἔσται σὰρξ ἀνυπόστατος· ὥρα δὴ οὖν ὑμᾶς ἢ τέλεον ἀποσκευάσασθαι σαρκὸς τὴν φύσιν, ἢ δύο ὑποστάσεις διδόναι τῷ Κυρίῳ, κατὰ τὴν ὑμετέραν νομοθεσίαν τὴν φάσκουσαν, Οὐκ ἔστι φύσις ἀνυπόστατος. Εἰ γὰρ οὐκ ἔστι φύσις ἀνυπόστατος, φύσιν δὲ τοῦ Λόγου λέγετε, καὶ ὑπόστασιν ἄρα τῷ Λόγῳ δώσετε. Καὶ ἔστι λοιπὸν περὶ τῆς σαρκὸς τὸ ζητούμενον, εἰ μὴ καὶ αὐτὴ τὴν φύσιν ἔχουσα τὴν ἰδίαν, ἀξιοῦται καὶ τῆς κλήσεως· καὶ ταύτης γε τυχοῦσα, ἔχοι καὶ τὴν C ὑπόστασιν· ἢ μὴ ἔχουσα, τὴν ὑπόστασιν καὶ τὴν φύσιν προσαπολέσει. Οὕτω μὲν οὖν ὑμεῖς ταῖς οἰκείαις ἀπορίαις ἐνέχεσθε, καὶ οὐδὲν παρὰ τοῦτο τὸ πανοῦργον ὑμᾶς ἔξω τῶν εὐθυνῶν πεποίηκεν, ὧν ἡμᾶς ἐγράψασθε. Ἓν ἔτι τῶν ἀπόρων ἐπιλύσαντες, πολλοῦ τινος ἄξιοι φανεῖσθε· εἰ οὐκ ἔστι φύσις ἀνυπόστατος, ἐκ δύο δὲ φύσεων ὁμολογεῖτε τὸν Κύριον, ἐκ δύο ἄρα ἔσται καὶ ὑποστάσεων· καὶ τίς λοιπὸν τῇ Νεστορίου διαιρέσει ὑπεύθυνος γεγένηται, ὑμῖν παραχωροῦμεν σκοπεῖν. Οὕτω μὲν οὖν ὑμᾶς, καὶ διὰ τούτων ἀπεπεμψάμεθα· τοῖς δὲ ἐκ διαμέτρου ὑμῖν ἀποσφαλεῖσι τῆς ἀληθείας, οὕτω διαλεξόμεθα·

Οὐ ταὐτὸν, ὦ οὗτοι, ὑπόστασις καὶ ἐνυπόστατον, ὥσπερ ἕτερον οὐσία καὶ ἐνούσιον· ἡ μὲν γὰρ ὑπόστασις D τὸν τινὰ δηλοῖ, τὸ δὲ ἐνυπόστατον τὴν οὐσίαν· καὶ ἡ μὲν ὑπόστασις, πρόσωπον ἀφορίζει τοῖς χαρακτηριστικοῖς ἰδιώμασι· τὸ δὲ ἐνυπόστατον, τὸ μὴ εἶναι αὐτὸ συμβεβηκὸς δηλοῖ, ὃ ἐν ἑτέρῳ ἔχει τὸ εἶναι, καὶ οὐκ ἐν ἑαυτῷ θεωρεῖται. Τοιαῦται δὲ πᾶσαι αἱ ποιότητες, αἵ τε οὐσιώδεις καὶ ἐπουσιώδεις καλούμεναι, ὧν οὐδετέρα ἐστὶν οὐσία, τουτέστι πρᾶγμα ὑφεστὼς, ἀλλ' ὃ ἀεὶ περὶ τὴν οὐσίαν θεωρεῖται, ὡς χρῶμα ἐν σώματι, καὶ ὡς ἐπιστήμη ἐν ψυχῇ. Ὁ τοίνυν λέγων, Οὐκ ἔστιν φύσις ἀνυπόστατος, ἀληθὲς μὲν λέγει· οὐ μὴν ὀρθῶς συμπεραίνει, τὸ μὴ ἀνυπόστατον συνάγων εἰς τὸ ὑπόστασιν εἶναι· ὥσπερ ἂν εἴ τις μὴ εἶναι λέγοι σῶμα ἀσχημάτιστον, ἀληθὲς λέγων· ἔπειτα συνάγοι οὐκ ὀρθῶς τὸ σχῆμα σῶμα

est; proprium vero contra hos. Quid vos vero dicitis unam naturam esse? Non, inquiunt, sed unam incarnatam. Nihil autem prohibet quin vobiscum conjungamur. Unam itaque naturam Verbi, quam dicitis, a vobis datam et concessam tenemus. De altera autem natura contendamus, quam naturam aliam esse dicimus præter naturam Verbi, quæ a vobis dici solet. Quid de hac carne dicitis? habetne naturam, vel substantiam, aut partem quidem naturæ? quantum autem habeat, in vestra potestate est, sive dimidiam, sive tertiam partem, sive aliam minimam partem vocare libet. Et ut eadem forma argumentandi vobiscum utar, estne caro ἀνούσιος, id est, expers substantiæ, vel expers naturæ? Quomodo nostram quæstionem effugietis? Etenim si est caro expers substantiæ, vel extra naturam, demonstrate, quæ est, et quomodo hæc habet, et nos acquiescemus. Sin autem extremæ inscitiæ est, quo modo effugietis, quam ipsi nobis propositionem objicitis? Si enim non est caro expers substantiæ, id est, non habens naturam, non est autem natura sine hypostasi, non est igitur caro sine hypostasi. Oportet ergo vos, aut naturam a carne penitus removere, aut duas hypostases Domino tribuere secundum legem vestram, quæ dicit non esse naturam sine hypostasi. Etenim si non est natura sine hypostasi, naturam autem Verbi dicitis, hypostasim ergo Verbo dabitis. Et relinquitur quæstio de carne. Utrum si non habet propriam naturam, vocetur caro, et vocata, habeat etiam hypostasim; aut non habens hypostasim, etiam naturam amittat. Sic igitur vos vestris dubitationibus convicti estis. Et nulla versutia vos extra pœnas eorum criminum de quibus nos accusastis, esse faciet. Et si unam quæstionem solveritis, magno honore digni apparebitis. Si non est natura sine hypostasi, ex duabus autem naturis esse Dominum conceditis, est igitur ex duabus hypostasibus. Quis igitur propter Nestorii divisionem hypostaseon reus fuerit, vobis permittimus judicium. Sic ergo vos his argumentis revictos dimittimus. Cum iis autem qui contrario modo atque nos a veritate aberrant, sic disputabimus.

Non est idem hypostasis, et enhypostaton, id est, quod est in subsistente; sicut aliud est substantia, et aliud esse in substantia, si quidem hypostasis aliquem unum declarat; esse autem enhypostaton declarat substantiam, sed non aliquem unum: et hypostasis quidem personam definit proprietatibus designantibus: enhypostaton vero significat non esse accidens, quod in alio habet ut sit, et non in se cernitur. Cujusmodi sunt omnes qualitates, et quæ substantiales etiam dicuntur, ex quibus nulla est substantia, id est, res per se exsistens, sed quæ semper circa substantiam cernitur, ut color in corpore, et scientia in anima. Qui igitur dicit: Non est natura sine hypostasi, verum dicit; non tamen recte concludit, cum concludit quod non est sine hypostasi hypostasim esse: ut si quis dicat

non carere corpus figura, quod verum est; deinde A non recte concludat figuram ergo esse corpus, et non potius cerni in corpore. Natura igitur, id est, substantia nunquam sine hypostasi esse poterit; non tamen natura est hypostasis, quia neque remeat. Hypostasis enim est natura, natura autem non jam est hypostasis. Natura enim rationem essentiæ recipit (5). Hypostasis vero rationem per se essentiæ (6), natura rationem speciei continet; hypostasis declarat aliquem unum (7), natura rei universalis characterem (id est formam) declarat; hypostasis proprium a communi secernit. Et ut in summa dicam, unius naturæ proprie dicuntur consubstantialia, et quorum est ratio essentiæ communis. Definitio vero hypostasis est (8), vel natura B quidem eadem, numero vero differentia; vel ex differentibus naturis composita, communionem vero essentiæ (9) simul etiam inter se (10) habentia, non tanquam complentia substantiam inter se. Quod quidem fit in substantiis, et iis quæ substantialiter de ipsis prædicantur, quæ dicuntur qualitates, sed tanquam alterutrius natura, et substantia non cernatur per se, sed cum composita, et coinsita (11). Quod quidem et in aliis rebus reperitur, et non minus in anima et corpore, quorum communis quidem hypostasis, propria vero natura et ratio differens.

At, inquiunt, homo etsi ex differentibus specie compositus est, neutrum tamen eorum sine altero habet essentiam. Verbum autem ante humani- C tatem est, et homo quidem ex imperfectis partibus constat: Christus vero perfectas habet partes; et hac ratione ne partes quidem merito vocari possunt. Quomodo igitur compositionem hominis tanquam similem in Verbo et incarnatione accipis nihil simile habentem? Hæc quidem Nestoriani, scilicet sententiæ contrariæ, et divisionis patroni objiciunt. Aliis enim, Eutychianis, inquam, placet exemplum non sumptum apte et convenienter, sed valde inscite, et ut confusio prototypi poscit, et tanquam expressa imago illius. Quod autem non est nostrum inventum hoc, sed a majoribus, ut in proverbio est, filius a patre, accepimus, testantur scripta theologorum, in quibus hoc exemplo hominis ex anima et corpore compositi, in unione D usi sunt. Non tamen recte faciunt qui vim adhibent, ut sic se habeat exemplum, ut prototypum. Non enim esset jam exemplum, nisi haberet aliquid dissimile. Nos enim non sumpsimus hominem exempli causa, quia prius essent partes, neque quia simul, neque quia imperfectæ. Concedimus enim

εἶναι, ἀλλ' οὐκ ἐν τῷ σώματι θεωρεῖσθαι. Ἀνυπόστατος μὲν οὖν φύσις, τουτέστιν οὐσία, οὐκ ἂν εἴη ποτέ. Οὐ μὴν ἡ φύσις ὑπόστασις, ὅτι μηδὲ ἀντιστρέφει· ἡ μὲν γὰρ ὑπόστασις καὶ φύσις, ἡ δὲ φύσις οὐκέτι καὶ ὑπόστασις· ἡ μὲν γὰρ φύσις, τὸν τοῦ εἶναι λόγον ἐπιδέχεται· ἡ δὲ ὑπόστασις, καὶ τὸν τοῦ καθ' ἑαυτὸν εἶναι· καὶ ἡ μὲν εἴδους λόγον ἐπέχει, ἡ δὲ τοῦ τινός ἐστιν δηλωτική. Καὶ ἡ μὲν καθολικοῦ πράγματος χαρακτῆρα δηλοῖ, ἡ δὲ τοῦ κοινοῦ τὸ ἴδιον ἀποδιαστέλλεται. Καὶ συντόμως εἰπεῖν, φύσεως μὲν μιᾶς κυρίως λέγεται τὰ ὁμοούσια, καὶ ὧν ὁ λόγος τοῦ εἶναι κοινός· ὑποστάσεως δὲ ὅρος· ἢ τὰ κατὰ τὴν φύσιν μὲν ταὐτὰ, ἀριθμῷ δὲ διαφέροντα· ἢ τὰ ἐκ διαφόρων φύσεων συνεστῶτα, τὴν δὲ τοῦ εἶναι κοινωνίαν ἅμα τε καὶ ἐν ἀλλήλοις κεκτημένα· οὔτω γέ τοί φημι κοινωνοῦντα τοῦ εἶναι, οὐχ ὡς συμπληρωτικὰ τῆς ἀλλήλων οὐσίας, ὅπερ ἔστιν ἰδεῖν ἐπὶ τῶν οὐσιῶν καὶ τῶν οὐσιωδῶς κατ' αὐτῶν κατηγορουμένων, ποιότητες δὲ αὗται καλοῦνται, ἀλλ' ὡς τῆς θατέρου φύσεως καὶ οὐσίας, μὴ καθ' ἑαυτὴν θεωρουμένης, ἀλλὰ μετὰ τῆς συγκειμένης καὶ συμπεφυκυίας. Ὅπερ ἄν τις εὕροι καὶ ἐφ' ἑτέρων μὲν πραγμάτων, οὐχ ἥκιστα δὲ ἐπὶ ψυχῆς καὶ σώματος, ὧν κοινὴ μὲν ἡ ὑπόστασις, ἰδία δὲ ἡ φύσις, καὶ ὁ λόγος διάφορος.

Ἀλλ' ὁ ἄνθρωπος, φασὶν, εἰ καὶ ἐξ ἑτεροειδῶν συνέστηκεν, ἀλλ' οὖν οὐδ' ὁπότερον αὐτῶν δίχα θατέρου τὸ εἶναι ἔσχηκεν. Ὁ δὲ Λόγος ἔστι καὶ πρὸ τῆς ἀνθρωπότητος· καὶ ὁ μὲν ἐξ ἀτελῶν συνέστηκε μερῶν, ὁ δὲ Χριστὸς τέλεια ἔχει τὰ μέρη· καὶ ταύτῃ οὐδὲ μέρη ἂν εἰκότως καλοῖντο. Πῶς τοίνυν τὸ τοῦ ἀνθρώπου χρᾶμα ἐπί τε τοῦ Λόγου καὶ τῆς σαρκώσεως λαμβάνεις μηδὲν ἐοικότα; Ταῦτά τινες, οἱ τοῦ ἐναντίου λόγου καὶ τῆς διαιρέσεως συνήγοροι. Τοῖς γὰρ ἑτέροις φίλον τὸ παράδειγμα οὐκ οἰκείως λαμβανόμενον, ἀλλὰ καὶ λίαν ἀμαθῶς, καὶ τῆς πρωτοτύπου συγχύσεως ἐπαξίως, ὡς ἐναργὲς ἐκείνης ἀπεικόνισμα. Ὅτι μὲν οὖν οὐχ ἡμέτερον τοῦτο εὕρημα, ἀλλ' ἄνωθεν παῖς, ᾗ φασι, παρὰ πατρὸς διεδεξάμεθα, μαρτυρεῖ τὰ τῶν θεοσόφων συντάγματα, ἐν οἷς ἐπὶ τῆς ἑνώσεως τῷ κατὰ τὸν ἄνθρωπον ἐχρήσαντο παραδείγματι. Οὐ μὴν τὸ παράδειγμα καλῶς γε ποιοῦσιν, ἐκβιάζοντες οὕτως ἔχειν ὡς τὸ πρωτότυπον. Οὐ γὰρ ἔτι ἂν εἴη παράδειγμα, εἰ μὴ καὶ τὸ ἀπεοικὸς ἔχοι. Ἡμεῖς γὰρ τὸν ἄνθρωπον οὔτε διὰ τὸ προϋπάρχειν ἢ συνυπάρχειν, οὔτε διὰ τὸ ἀτελὲς τῶν μερῶν· συγκεχωρείσθω γὰρ τοῖς κακοσχόλοις ἀτελῆ λέγειν, καίπερ οὐκ ὄντα κατὰ τὸν τοῦ εἶναι λόγον, ὡς ὕστερον δείξομεν· ἀλλὰ πρὸς δήλωσιν εἰλήφαμεν

(5) *Rationem essentiæ recipit*, Τὸν τοῦ εἶναι λόγον. TUR.

(6) *Hypostasis vero rationem per se essentiæ*. Τὸν τοῦ καθ' ἑαυτὸν εἶναι. ID.

(7) *Declarat aliquem unum*. Τῷ τι ὃς δηλωτική. ID.

(8) *Definitio vero hypostasis*. Hypostasis significat substantiam particularem non quocunque modo, sed quatenus est in suo complemento, id est, per se separatim et incommunicabiliter exsistens. Quatenus vero in unionem alicujus magis completi, non dicitur hypostasis. Anima et corpus, ex quibus homo componitur et completur in specie seu natura humana, sunt ἐνυπόστατα. Convenit cum his definitio Damasceni in Logica, cap. 44. ID.

(9) *Communionem vero essentiæ*. Τοῦ εἶναι. ID.

(10) *Simul etiam inter se*. Ἅμα καὶ ἐν ἀλλήλοις. ID.

(11) *Coinsita*. Συμπεφυκυίας.

παράδειγμα, τοῦ αὐτῇ τῇ οὐσίᾳ τὸν Λόγον ἡνῶσθαι τῷ ἐξ ἡμῶν σώματι καὶ μηδ' ἄν ποτε χωρὶς αὐτοῦ τεθεωρῆσθαι, εἰ καὶ σώζοι κἂν τῇ ἑνώσει τὸ διάφορον, ὥσπερ ἀμέλει καὶ ὁ κοινὸς ἄνθρωπος. Ἐν οὐδετέρῳ γὰρ συγχυθέντα φαίνεται τὰ ἰδιώματα. Οὔτε γὰρ ἐξ ἀοράτου ἢ ἀθανάτου, ὁρατὴ καὶ θνητὴ γέγονεν ἡ ἡμετέρα ψυχὴ, οὔτε μὴν ὁ Λόγος ὁρατὸς ἢ θνητὸς, καίπερ ἐν ὁρατῷ καὶ θνητῷ σώματι τῆς τε ἡμετέρας ψυχῆς καὶ τοῦ Λόγου γεγενημένων. Σώζει γὰρ ἀνελλειπῶς τῶν εἰρημένων ἑκάτερον, ὅ τε κοινὸς ἄνθρωπος ὁ ἐκ ψυχῆς καὶ σώματος, ὅ τε Σωτὴρ ἐκ θεότητος καὶ ἀνθρωπότητος ὑποστάς. Οἱ δὲ οὐ καθ' ὃ ἔοικεν, ἀλλὰ καθ' ὃ ἀπέοικε λαμβάνουσι τὸ παράδειγμα, καὶ κακοσχολοῦσι περὶ τὰς πεύσεις· ὥσπερ ἂν εἰ καὶ τὸ ἡλιακὸν ἀπαύγασμα ἡμῶν παραλαμβανόντων ἐπὶ τοῦ Λόγου καὶ τοῦ Πατρὸς, διὰ τὸ συναφές τε καὶ συναΐδιον, ἐπηρεάζουσιν ἡμῖν ὡς τὸ ἀνυπόστατον ταύτῃ κατασκευάζουσιν.

A istis male feriatis, ut imperfectas vocent, cum alioqui non sint, secundum rationem essentiæ, ut postea demonstrabimus; sed sumpsimus exemplum ad declarandum esse Verbum ipsi substantiæ unitum, corpori scilicet ex nobis sumpto, et nunquam sine eo cerni, quamvis servet etiam in unione differentiam; sicut etiam servat communis homo. In neutro enim cernuntur confuse proprietates. Nec enim ex invisibili et immortali facta est anima nostra invisibilis et mortalis. Neque Verbum factum est visibile et mortale, quamvis in corpore visibili et mortali. Utrumque enim dictorum servat integre suam proprietatem, sicut utriusque natura postulat; homo scilicet communis ex anima et corpore constans, et Salvator in divinitate et humanitate subsistens. Isti vero exemplum accipiunt, non quatenus simile est, sed quatenus dissimile. Et male feriantur in suis percontationibus, ut cum nos splendorem solis exempli causa in Verbo et Patre assumimus propter conjunctionem ortus splendoris cum sole, nos vexant, quasi hac ratione faciamus Verbum non subsistere per se.

Ὅτι δὲ οὐδ' ὁ ἄνθρωπος ἐξ ἀτελῶν ἐστι μερῶν, κατά γε τὸν τοῦ πῶς εἶναι θατέρου λόγον, εἰ καὶ ὡς πρὸς ὅρον τοῦ ὅλου ἀνθρώπου, τὸν τοῦ ὅλου τὰ μέρη λόγον, ὡς ὅλου οὐκ ἐπιδέχεται, ὧδε ἂν μάθοις. Τί γὰρ λείποι τῇ ψυχῇ, χωριστὴν ἐχούσῃ καὶ ἰδίαν ζωὴν, πρὸς τὸ εἶναι οὐσίαν ἀσώματον αὐτοκίνητον; τοῦτο γὰρ αὐτῆς δηλοῖ καὶ τὸ ἀθάνατον καὶ τὸ ἀνώλεθρον. Τί δὲ τῷ σώματι πρὸς τὸ εἶναι σῶμα; οὗ δὴ καὶ ἀποδιδόντες τὸν ὅρον φασὶ, σῶμα εἶναι τὸ τριχῇ διαστατὸν, ἢ σῶμα φυσικὸν ὀργανικὸν δυνάμει ζωὴν ἔχον· ἑκάτεροι γὰρ τῶν ὅρων ἐπὶ τοῦ ἡμετέρου σώματος οἰκείως ἁρμόσουσιν· οὐκ ἀτελῆ τοίνυν ταῦτα καθ' ἑαυτὰ λαμβανόμενα, εἰ καὶ ἀτελῆ πάλιν λέγονται, ὡς πρὸς τὴν τοῦ ὅλου ἐν ᾧ τὰ μέρη ὑπόστασιν· τούτῳ γὰρ τῷ λόγῳ, οὐκ ἂν ἁμάρτοι τις, καὶ τὸ κατὰ Χριστὸν ἑρμηνεύσας μυστήριον. Ἀτελὲς γὰρ, κἂν ὡς Θεὸς γυμνὸς, ἢ ἄνθρωπος ψιλὸς λαμβάνηται· ὡς ἐντεῦθεν διττὸν εἶναι τὸν τῆς τελειότητος ὅρον, καὶ τὸν μὲν ἁπλῶς λέγεσθαι, τὸν δὲ ἐν σχέσει θεωρεῖσθαι, κατὰ τὸν μέγαν Γρηγόριον. Τέλειος μὲν γάρ ἐστιν ὁ λόγος, καὶ πλήρης, καὶ παρεκτικὸς τελειότητος· τελεία δὲ καὶ ἡ τοῦ ἀνθρώπου ψυχὴ, ὡς πρὸς τὸν ὅρον τῆς ὑπάρξεως. Ἀλλ' οὐδὲ ὁ Λόγος τέλειος Χριστὸς, κἂν τέλειος εἴη Θεὸς, μὴ τῆς ἀνθρωπότητος αὐτῷ συντεταγμένης· οὔτε ἡ ψυχὴ τέλειος ἄνθρωπος, κἂν τελείαν ἔχει οὐσίαν, μὴ τοῦ σώματος αὐτῇ συνεπινοουμένου. Καὶ τοῦτο δὲ παρασημήνασθαι χρὴ, ὅτι τοῖς τῶν πραγμάτων ὅροις οἱ χρόνοι οὐ συμπαραλαμβάνονται, ὥσπερ οὐδὲ οἱ τόποι. Τῶν γὰρ ὧν οὐκ ἄνευ καὶ μόνον λόγον ἐπέχουσιν. Ἔτι πᾶς ὅρος τοῦ νῦν πράγματός ἐστιν

Quod autem neque homo ex imperfectis partibus compositus est secundum rationem cujusdam essentiæ alterutrius partis, quamvis quoad definitionem totius hominis non recipiunt partes rationem totius tanquam totius, sic intelliges. Quid enim deest animæ habenti separatam et propriam vitam, ad hoc, ut sit substantia incorporea, semper mobilis? Hoc enim declarat immortalem esse eam, et interire non posse. Quid rursus deest corpori, ut sit corpus? quod quidem qui definiunt, aiunt esse corpus triplici dimensione; aut corpus naturale organicum potestate vitam habens; utraque enim definitio apte conveniet corpori nostro; non sunt igitur imperfecta sumpta per se, tametsi imperfecta dicuntur, quoad hypostasim totius, in quo sunt partes; hac enim ratione, non aberrabit, qui etiam mysterium Christi interpretabitur. Imperfectum enim est, si vel Deus nudus sine humanitate, vel homo item nudus sine divinitate sumatur, ut hinc appareat duplicem esse (12) perfectionis definitionem in Christo; unam, quæ simpliciter dicitur; alteram, quæ in habitudine cernitur, secundum magnum Gregorium. Perfectum namque est Verbum, et plenum, et præbens perfectionem: perfecta autem est anima hominis, quantum ad definitionem essentiæ suæ. Sed tamen neque Verbum est perfectus Christus, non unita humanitate, quamvis perfectus Deus sit; nec anima perfectus homo est, licet perfectam substantiam habeat, corpore non simul cum ea cogitato. Hoc autem adnotandum est (13), quod

(12) *Duplicem esse.* Duplex definitio perfectionis in Christo, altera simplex dicta; altera in habitudine simplex ad divinitatem Verbi spectat: illa quæ in habitudine consistit, pertinet ad unionem Verbi cum humanitate. TUR.

(13) *Hoc autem adnotandum est.* Adverte quod definitiones non inferunt simul cum definitis loca et tempora; nec enim quæ definiuntur, constant ex his, quamvis in his: hominem enim definientes, animal rationale mortale dicimus; quando autem natum sit, aut ubi exsistat, non subjicimus: essentiam enim animalis solum significamus, relictis illis quæ in omni re creata conjuncte intelliguntur; quæ sunt tempus et locus: sine tempore et loco nihil rerum creatarum dicere aut intelligere possumus. ID.

cum definitionibus rerum non assumuntur tempora, sicut neque loci. Rationem enim eorum tantum continent, sine quibus non consistunt. Præterea omnis definitio rei est, quæ nunc est; non autem ejus, quæ ex ea postea eveniet. Alioqui nihil eorum quæ ortum capiunt, definitionem essentiæ quam habet, recipere poterit, quia nihil perseverat; sed omnia mutantur in omnia, quæ ortum et interitum subeunt; imo omnes substantiæ ratione præditæ, cum plus et minus secundum virtutem recipiant, et nunc quidem sic, nunc vero illo modo se habeant, in motu cernuntur; in eisdem enim perstare non est proprium naturæ creatæ, siquidem de solo Deo proprie dicitur : *Tu autem idem ipse es* [1].

A ὅρος, οὐ τοῦ ὕστερον ἐξ αὐτοῦ ἀποβησομένου. Ἢ οὕτω γ' ἂν οὐδὲν τῶν ἐν γενέσει δέξαιτ' ἂν ὅρον τοῦ εἶναι ὅπερ ἐστὶν, ἐπεὶ μηδὲ μένει· ἀλλὰ μεταβάλλει πάντα εἰς πάντα τὰ ἐν γενέσει καὶ φθορᾷ· ἀλλὰ καὶ αἱ λογικαὶ πᾶσαι οὐσίαι, τὸ μᾶλλον καὶ ἧττον κατ' ἀρετὴν ἐπιδεχόμεναι, καὶ τὸ νῦν μὲν οὕτως, νῦν δὲ ἐκείνως ἔχειν, ἐν κινήσει θεωροῦνται· τὸ γὰρ ἐπὶ τῶν αὐτῶν ἵστασθαι, οὐ τῆς κτιστῆς φύσεως ἴδιον· εἴπερ ἐπὶ Θεοῦ καὶ μόνου τὸ, *Σὺ δὲ ὁ αὐτὸς εἶ*, κυριολεκτεῖται.

At, inquiunt defensores divisionis: corpore circumscribitur anima, et passiones recipit, et dolores sustinet; quare si sic Verbum unitum est animæ, licet tibi ipsum etiam eisdem subjicere, et facere Verbum patibile et circumscriptum. Quid? nonne vos potius hæc facitis? objiciam enim quæ nobis in crimine ponitis. Siquidem formidastis unire Verbum carni, et toti homini, quasi necesse esset, sic circumscribi, et pati. Si igitur Verbum natura pati potest, aut circumscriptionem loci recipit, erunt hæc in ipso propter ipsum, et non propter unionem cum corpore patibili et circumscripto; atque erit ita patibile et circumscriptibile, quamvis non passum sit, neque circumscriptum: quod si natura est immutabile, et incircumscriptum, et impatibile, licet sit in corpore, servabit proprietatem impassibilitatis, et rationem immutabilitatis. Siquidem neque cum mundum crearet, et in hanc formam eum adduceret, cum prius non esset, ex supra mundano, et ex supra quam substantia in hæc quæ in mundo aut circa mundum sunt, delapsum cernitur; vel ex incircumscripto eo venit, ut circumscriptum esset : quare neque prius cum mundum, et ea quæ in eo sunt, creavit; neque postea quando magnum mundum, in parvo, hominem in se ipso Filius Dei complexus est, circumscriptus est. Et quid mirum? siquidem et anima hominis non simpliciter quia ipsa est in corpore, hæc patitur; sed quia natura ei inest, ut hæc patiatur, etiam ut a corpore separata est : alioqui sub aspectum cadet, et morietur, et alia ejusmodi quæ corporis sunt, patietur. Atqui hæc non est passa, quia hæc habet secundum substantiam, naturaliter a Deo accepta (14). Patitur autem, quippe quæ habet potentias passivas cum quibus migrat a corpore, id quod animæ quæ apud inferos sunt, et earum vincula declarant, propter quæ illic Christus adfuit: *Qui*, sicut Petrus ait, *spiritibus qui in carcere erant*, *prædicavit* remissionem [2]. Declarant præterea immundi dæmones, qui pœnas dant et dabunt, quamvis a corporibus humanis liberi et soluti.

B Ἀλλ' ἡ ψυχὴ, φασὶν οἱ τῆς διαιρέσεως πρόμαχοι, περιγέγραπται ἐν τῷ σώματι, καὶ πάθη δέχεται, καὶ ἀλγηδόνας ὑπομένει· καὶ εἰ οὕτως ἥνωται ὁ Λόγος, ὥρα σοι καὶ αὐτὸν τοῖς ἴσοις ὑποβάλλειν, καὶ ποιεῖν αὐτὸν παθητὸν καὶ περιγραπτόν. Τί δέ; οὐχὶ μᾶλλον ὑμεῖς ταῦτα κατασκευάζετε; εἴποιμ' ἂν, ἅπερ ἡμῖν ἐγκαλεῖτε. Δεδοίκατε γὰρ αὐτὸν σαρκὶ συνάπτειν καὶ ὅλῳ ἀνθρώπῳ, ὡς ἐξ ἀνάγκης περιγραφησόμενον καὶ πεισόμενον. Εἰ μὲν οὖν φύσει παθητὸς ὁ Λόγος, ἢ τὴν ἐν τόπῳ δέχεται περιγραφὴν, ἔσται ταῦτα ἐν αὐτῷ δι' αὐτὸν, ἀλλ' οὐ διὰ τὴν πρὸς τὸ περιγραπτὸν καὶ παθητὸν σῶμα ἕνωσιν· καὶ ἔσται οὕτως παθητὸς περιγραπτὸς, κἂν μὴ πέπονθε μηδὲ περιγέγραπται· εἰ δὲ φύσει ἄτρεπτός ἐστι καὶ ἀπερίγραπτος καὶ ἀπαθὴς, κἂν ἐν σώματι C γένηται, σώζοι ἂν τὸν ἴδιον τῆς ἀπαθείας καὶ ἀτρεψίας λόγον. Καὶ γὰρ οὐδὲ κόσμον κτίζων, καὶ εἰς τόδε τὸ σχῆμα ἄγων αὐτὸν οὐκ ὄντα πρότερον, ἐκ τοῦ ὑπερκοσμίου, εἰς τὸ περικόσμιον τοῦτο ἢ ἐγκόσμιον ἐκπεπτωκὼς φαίνεται, ἢ ἐκ τοῦ οἰκείου ἀπεριγράφου εἰς τὸ περιγεγράφθαι ὑπ' αὐτοῦ ἐληλυθώς· οὐ τοίνυν οὔτε πρότερον ἡνίκα τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ πάντα παρήγαγεν, οὔτε ὕστερον ὅτε τὸν μέγαν ἐν μικρῷ κόσμον τὸν ἄνθρωπον ἑαυτῷ περιέπηξεν περιεγράφη. Καὶ τί θαῦμα; ὅπου γε καὶ ἡ τοῦ ἀνθρώπου ψυχὴ, οὐχ ἁπλῶς διὰ τὸ ἐν σώματι αὐτὴν εἶναι πάσχει ταῦτα, ἀλλὰ διὰ τὸ πεφυκέναι πάσχειν καὶ χωρὶς σώματος· ἢ οὕτω γε καὶ ὁραθήσεται, καὶ τὰ ἑξῆς πάθοι ἂν, ὅσα τοῦ σώματος. Ἀλλὰ D ταῦτα μὲν οὐ πέπονθεν, ἐπειδὴ οὐσιωδῶς αὐτὰ ἔχε ἐκ Θεοῦ λαβοῦσα. Πάσχει δὲ παθητικὰς δυνάμεις ἔχουσα, αἷς καὶ συναπέρχεται ἐκδημοῦσα τοῦ σώματος· καὶ δηλοῦσιν αἱ ἐν ᾅδου ψυχαὶ, καὶ τὰ τούτων δεσμὰ, δι' ἃ καὶ ἡ ἐκεῖσε γέγονε τοῦ Χριστοῦ παρουσία κηρύξαντος, κατὰ τὸν Πέτρον, *ἐν φυλακῇ πνεύμασιν* ἄφεσιν· πρὸς δὲ καὶ οἱ ἀκάθαρτοι δαίμονες κολαζόμενοί τε καὶ κολασθησόμενοι, καίπερ σωμάτων ἀνθρωπίνων ἀπηλλαγμένοι.

Sed patitur quidem simpliciter anima, quia passivas potentias ad utilitatem suam aptatas accepit; patitur autem passiones corporeas propter unionem

Ἀλλὰ πάσχει μὲν ἁπλῶς ἡ ψυχὴ, παθητικὰς πρὸς τὸ αὐτῇ συμφέρον συναρμοσθείσας δυνάμεις λαβοῦσα· πάσχει δὲ καὶ σωματικὰ πάθη, παρὰ τὴν τοῦ

[1] Psal. ci, 28. [2] I Petr. iii, 19.

(14) *Naturaliter*. Οὐσιωδῶς, q. d. essentialiter. Tur.

σώματος κρᾶσιν ᾧ συνδέδεται, καὶ τῶν τόπων οἷς ἂν ενδιαιτῷτο τὴν ἰδιότητα· πάσχειν γὰρ ἁπλῶς πεφυκυῖα, καὶ τοῦ τοιοῦδε πάθους ἐστὶ δεκτική. Καὶ περιγέγραπται μὲν τῷ λόγῳ τῆς ὑπάρξεως. Περιγράφεσθαι δὲ λέγεται δευτέρως, τὴν ἐν περιγραπτῷ σώματι ἔχουσα διαγωγήν. Πάσχει δ' ἂν καὶ κατὰ Θεὸν τὰ θεῖα, ἥκιστα μὲν διὰ τὸ σῶμα. Πῶς γάρ; ὅ γε καὶ ἀντιτείνει πολλάκις· ἀλλὰ δι' αὐτὴν καὶ τὴν αὐτῆς φύσιν, τοῦ μὲν ἐπιθυμητικοῦ ἐρωτικῶς πρὸς τὸν Θεὸν ἀνατεταμένου· τοῦ δὲ θυμοειδοῦς ἀῤῥενωπῶς τετονωμένου, καὶ ἀκλινῶς τῷ ἐπιθυμητικῷ συντεταμένου· τοῦ δὲ λογιστικοῦ τὰς ἀΰλους ἐμφάσεις ἀσκίως δεχομένου, καὶ ἑνοειδῶς ἐλλαμπομένου. Καὶ καλῶς εἴρηταί τινι τῶν πρὸ ἡμῶν ἀνδρὶ θεοσόφῳ (c)· Εἷς πόθος ἀγαθὸς καὶ αἰώνιος ὁ τῆς ἀληθοῦς γνώσεως ἐφιέμενος. Ταύτας γὰρ καὶ ῥυπῶσα τὰς δυνάμεις, ἐν κακίᾳ καὶ ἐν ἀγνωσίᾳ γίνεται, καὶ οὐκ ἐκ τοῦ σώματος τὰς κακίας ἔχει, κἂν τινες αὐτῶν διὰ τοῦ σώματος ἐκτελοῦνται· ὧν οὐδὲν ὁ τοῦ Θεοῦ Λόγος δέξαιτ' ἄν ποτε, ἄτρεπτος ὢν τῇ φύσει καὶ ἀναλλοίωτος. Οὐ μὲν διὰ τὸ ἀπαθὲς τῆς φύσεως, ἀνθρώπου φύσει συνάπτεσθαι οὐσιωδῶς παραιτήσεται· ἵνα μὴ μέλλοι πάθος ἀληθὲς εἶναι ἡ παραίτησις, καὶ τῷ δεδοικέναι ἐν ἐκείνοις γενέσθαι, ἐν οἷς αἱ τῶν σπουδαίων ψυχαὶ αὐτὸν ἔχουσαι βοηθὸν καὶ συλλήπτορα, οὐδὲν ἐκ τοῦ σώματος εἰλήφασι βλάβος, ἀλλὰ καὶ μᾶλλον Θεῷ πεπλουτήκασι, τῷ σώματι συνεργῷ πρὸς ἀρετὴν οὐκ ἀντιπάλῳ χρησάμεναι.

« Εἰ τελεία, φασὶν, ἡ τοῦ Λόγου ὑπόστασις, τελεία δὲ καὶ ἡ τοῦ ἀνθρώπου ὃν ἀνέλαβεν, ἄτρεπτος δὲ καὶ ὁ Λόγος μεμένηκεν, ἀναλλοιώτως δὲ καὶ ἡ σὰρξ διασέσωσται, πῶς οὐ δύο λέγειν ὑποστάσεις εὐσεβὲς, μηδ' ὁποτέρας συγκεχυμένης; » Ἐοίκασι δέ μοι κακουργότατα ἢ ἀμαθέστατα προσφέρειν τὰς πεύσεις. Καὶ γὰρ ὡς ἂν εἰ μὴ προδιαστειλαμένων ἡμῶν τὰ περὶ τοῦ τελείου, πῶς ἂν λέγοιτο καὶ ὅ τι διττῶς· προσέτι δὲ καὶ περὶ τοῦ κυρίως σημαινομένου τῆς ὑποστάσεως, μεταβαίνουσιν ἀπὸ τῆς τοῦ Λόγου φύσεως, τῆς καὶ τὸ κοινὸν σημαινούσης τῆς φύσεως, μετὰ τοῦ ἰδίου τῆς ὑποστάσεως· Λόγου γὰρ ἔφαμεν φύσιν, οὐχ ἁπλῶς φύσιν, ἐπὶ τὸ ἴδιον αὐτοῦ σημαινόμενον τῆς ὑποστάσεως. Καί φασι τελείαν εἶναι τοῦ Λόγου τὴν ὑπόστασιν, οὕτω καλοῦντες τὴν τοῦ Κυρίου αὐτοτελῆ φύσιν, τὴν οὐκ ἄλλην οὖσαν παρὰ τὴν τοῦ Πατρός· τῷ χαρακτηριστικῷ δὲ τῆς ἰδιότητος τῆς κατὰ τὴν γέννησιν μόνον διαφέρουσαν, τὸ ἰδίωμα κατηγοροῦντες ἀντὶ τοῦ ἐν ᾧ τὸ ἰδίωμα· καὶ τὴν σχέσιν τὴν πρὸς ἄλληλα, ἀντὶ τῶν ἐν οἷς αὐτὴ κατηγορεῖται. Τῶν γὰρ ὀνομάτων, τὰ μὲν τῆς φύσεως τῶν ὑποκειμένων ἐστὶ δηλωτικὰ, τὰ δὲ τῆς σχέσεως τῶν πραγμάτων ἐστι γνωριστικά. Τῶν δὲ ἑτεροειδῶν πρὸς τὰ ὁμοειδῆ ἐπαλλάττουσαν ἔστιν

A cum corpore (15) cum quo colligata est, et propter proprietatem locorum in quibus degit et versatur; quia enim simpliciter innatum est ei pati, hujus passionis capax est. Circumscripta etiam est ratione exsistentiæ (16). Dicitur deinde secundo modo circumscripta esse, quatenus vivit in corpore circumscripto. Afficitur etiam secundum Deum divinis rebus, nequaquam vero propter corpus. Quomodo enim propter corpus, quod sæpenumero resistit? quin potius propter se et naturam suam, cum cupiditas quidem amore erga Deum protenditur; ita vero viriliter roborata, et non inflexa, cum cupiditate conspirat. Ratio autem eorum quæ non videntur, contemplationes (17) sine inumbratione et obscuritate recipit, et unice illuminatur. Pulchre

B ante nos a quodam sapiente dictum est: Unum desiderium bonum, et æternum quo vera cognitio concupiscitur. Has potentias animus qui sordidat, in vitio et ignorantia versatur, et non ex corpore vitia ducit, quamvis quædam ex ipsis per corpus patrantur; ex quibus nihil unquam Verbum Dei recipere potest, cum sit natura immutabile, et invariabile. Non tamen propter impassibilitatem naturæ recusabit unionem substantialem cum natura humana, ne recusatio passio vera fore videatur, et vereri in illis esse in quibus animæ studiosorum ipso adjutore nihil incommodi ex corpore ceperunt, imo magis Deo pleni fuerunt utentes corpore non adversario, sed adjutore.

C « Si perfecta, inquiunt, est hypostasis Verbi, et perfecta item hominis quem suscepit, mansit autem Verbum immutabile, caro etiam servata est invariabilis; quomodo non est pium dicere duas hypostases, neutra confusa? » Videntur mibi valde malitiose et indocte percontari. Siquidem quasi nos non prius distinxerimus perfectum, quomodo dicatur et quod dupliciter; præterea etiam, quid proprie significet hypostasis, transferunt se a natura Verbi, quæ commune etiam naturæ cum proprietate hypostasis significat· Verbi enim naturam diximus non simpliciter naturam; transferunt, inquam, se ad proprium significatum hypostasis, et aiunt perfectam esse hypo-

D stasim Verbi: sic vocantes naturam Filii αὐτοτελῆ, id est, per se perfectam, quæ non est alia præter naturam Patris, designatione proprietatis secundum generationem solum differens, prædicantes proprietatem pro eo in quo est proprietas; et habitudinem naturarum inter se pro iis in quibus hæc habitudo prædicatur. Nomina enim alia declarant naturam subjectorum, alia habitudinem rerum ostendunt. Eorum autem quæ specie differunt, ad ea quæ ejusdem speciei sunt, diversa est commu-

(c) Schol. Περὶ Εὐαγρίου.

(15) *Propter unionem cum corpore.* Διὰ τὴν κρᾶσιν τοῦ σώματος, q. d. propter mistionem cum corpore. Tur.

(16) *Ratione exsistentiæ.* Ὑπάρξεως λόγῳ. Id.

(17) *Contemplationes.* Ἀΰλους ἐμφάσεις vocat τὰς θεωρίας τῶν ἀοράτων, ἤτοι τῶν μὴ βλεπομένων, considerationes invisibilium vel non apparentium, ut sanctus Paulus ait. Id.

nicatio habitudinum : nam quæ habent communia speciei, scilicet hypostases, his communibus ea quæ sunt ejusdem speciei, nempe naturis, his copulantur inter se : et quibus dividuntur ea quæ sunt diversæ speciei, nempe naturis, his copulantur inter se quæ sunt ejusdem speciei : numero enim discreta inter se, cum iis quæ sunt ejusdem speciei copulantur, in natura scilicet. Definitione autem copulata inter se, ab iis quæ sunt diversæ naturæ distincta sunt.

A εὑρεῖν τὴν κοινωνίαν τῶν σχέσεων· οἷς γὰρ ἂν κοινωνοῦσι τοῖς ἑτεροειδέσι τὰ ὁμοειδῆ, τούτοις διαιροῦνται πρὸς ἑαυτά· καὶ οἷς διαιροῦνται πρὸς τὰ ἑτεροειδῆ, τούτοις συνάπτεται πρὸς ἑαυτά. Τῷ μὲν γὰρ ἀριθμῷ πρὸς ἑαυτὰ διακρινόμενα, τῷ δὲ ὅρῳ πρὸς ἑαυτὰ συναπτόμενα, τῶν ἑτεροειδῶν διακέκριται.

Cum ergo duæ habitudines secundum idem Verbum cernantur, una quidem, secundum quam Filius est idem cum Patre ; altera, secundum quam Filius est ab eo distinctus, et una quidem declaretur appellatione naturæ ; altera vero appellatione hypostasis : commutantes isti habitudines, habitudinem distinguentem a Patre carni dant, ignorantes naturam quidem totam esse Dei, quæ est substantia Verbi, perfecti perfecta ; proprietatem vero generationis fecisse, ut vocaretur hypostasis, et Filius ; sicuti rursus in Patre proprietas innascibilitatis, et causæ hypostasim, et Patrem ostendit. Idem intelligendum est in Spiritu sancto : non enim natura Patris, et Filii, et Spiritus sancti vim habet complendi, tanquam minus sit in una quam in tribus. Et hoc est natura Trinitas, quod est unum quid eorum qui cernuntur in Trinitate, quoniam non est ex tribus imperfectis unum perfectum, sed ex tribus perfectis unum supraperfectum et anteperfectum, ut alicubi dicit magnus Dionysius. Cum igitur sex habitudines contempletur, duas Patris ad Verbum, et Verbi ad Patrem : duas deinde Verbi ad carnem, et carnis ad Verbum : duas præterea Christi ad nos, et nostras ad ipsum ; tres fiunt generales conjugationes. Ac prima quidem habitudo conjugationum sic habet, sicut tertia quidem a prima : secunda vero a media, illa enim quibus extrema inter se conveniunt, contrario modo se habent, atque in media ; sicut contra, media. Quibus enim contrarie habet ad se ipsam, convenienter habet ad extrema, et quibus rursus convenienter habet ad se ipsam, contrarie habet ad extrema.

Δύο οὖν σχέσεων κατὰ τὸν αὐτὸν Λόγον θεωρουμένων, μιᾶς μὲν καθ' ἣν τὴν ταυτότητα ἔχει ὁ Υἱὸς πρὸς τὸν Πατέρα, ἑτέρας δὲ καθ' ἣν ὁ Υἱὸς ἀπ' αὐτοῦ διακέκριται· καὶ τῆς μὲν τῇ τῆς φύσεως προσηγορίᾳ B δηλουμένης, τῆς δὲ τῇ τῆς ὑποστάσεως κλήσει γνωριζομένης, τὰς σχέσεις ἐναλλὰξ ποιήσαντες, τὴν ἀπὸ τοῦ Πατρὸς διακρίνουσαν σχέσιν πρὸς τὴν σάρκα διδόασιν, ἀγνοοῦντες τὴν ὡς ὑπόστασιν, ὅτι φύσις μὲν ὅλη Θεοῦ ἡ οὐσία τοῦ Λόγου, τελείου τελεία· τὸ δὲ ἰδίωμα τῆς γεννήσεως, ὑπόστασίν τε καὶ Υἱὸν κεκλῆσθαι πεποίηκεν· ὥσπερ αὖ ἐπὶ τοῦ Πατρὸς, τὸ ἰδίωμα τῆς ἀγεννησίας καὶ τοῦ αἰτίου, ὑπόστασίν τε καὶ Πατέρα ἀπέφηνε. Τὸ δ' αὐτὸ καὶ περὶ τοῦ ἁγίου Πνεύματος ἐννοεῖν χρή· οὐ γὰρ συμπληρωτικὴ ἡ τοῦ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος φύσις, ὡς οὖν μᾶλλον ἐν τῷ ἑνὶ ἢ ἐν τοῖς τρισί. Καὶ τοῦτο τῇ φύσει ἡ Τριὰς, ὅπερ ἂν ἕν τι τῶν ἐν Τριάδι θεωρουμένων τυγχάνοι· ὅτι μὴ ἐξ ἀτελῶν τριῶν ἓν τέλειον, ἀλλ' ἐκ τριῶν τελείων ἓν ὑπερτελὲς καὶ προ- C τέλειον, ὥς που ὁ μέγας ἔφη Διονύσιος. Ἓξ τοίνυν σχέσεων ἡμῖν θεωρουμένων, δυεῖν μὲν τοῦ Πατρὸς πρὸς τὸν Λόγον, καὶ τοῦ Λόγου πρὸς τὸν Πατέρα· δυεῖν δὲ τοῦ Λόγου πρὸς τὴν σάρκα, καὶ τῆς σαρκὸς πρὸς τὸν Λόγον, δυεῖν δὲ τοῦ Χριστοῦ πρὸς ἡμᾶς· καὶ ἡμῶν πρὸς αὐτὸν, τρεῖς γίνονται καθολικαὶ συζυγίαι. Καὶ ἡ μὲν πρώτη τῶν συζυγιῶν σχέσις οὕτως ἔχει, ὡς ἡ τρίτη μὲν ἀπὸ τῆς πρώτης, δευτέρα δὲ ἀπὸ τῆς μέσης· οἷς γὰρ ᾠκείωνται αἱ ἀκρότητες πρὸς ἑαυτὰς, ἐναντίως ἔχουσαι πρὸς τὴν μέσην· ὡς ἔμπαλιν ἡ μέση. Οἷς γὰρ ἐναντίως ἔχει πρὸς ἑαυτὴν, οἰκείως ἔχει πρὸς τὰς ἀκρότητας· καὶ πάλιν οἷς οἰκείως ἔχει πρὸς ἑαυτὴν, ἐναντίως ἔχει πρὸς τὰς ἀκρότητας.

His breviter dictis, conabor explanare exemplo. Sint positæ tres res, anima simpliciter, corpus simpliciter, homo ex anima et corpore compositus, et horum inter se habitudines, ut animæ ad animam, animæ ad corpus suum ; hominis ad corpus simpliciter, et ad animam simpliciter. Anima quidem ad animam sic se habet, ut diversitate naturæ discreta sit ; unita vero ratione hypostasis, quam vita ἀλληλοῦχος, id est, mutuo accepta et reddita perfecit : hoc secunda eademque media habitudo servat : homo vero ad corpus simpliciter, et ad animam simpliciter relatus, tanquam totus omnino ab istis discretus, propter habitudinem ad partes suas, secundam communionem cum ipsis facit. Quare Christus ad nos et ad Patrem relatus, tan-

D Τούτων συντόμως εἰρημένων σαφηνίσαι αὐτὰ ἐπὶ παραδείγματος πειράσομαι. Κείσθω δὲ τρία πράγματα, ψυχὴ ἁπλῶς, σῶμα ἁπλῶς, ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος συνεστώς· καὶ τούτων αἱ πρὸς ἀλλήλαις σχέσεις, οἷον ψυχῆς πρὸς ψυχὴν, ψυχῆς πρὸς τὸ ἑαυτῆς σῶμα, ἀνθρώπου πρὸς τὸ ἁπλῶς ψυχήν. Ψυχὴ μὲν γὰρ πρὸς ψυχὴν τῷ ταυτῷ τῆς οὐσίας ἡνωμένη, τῷ διαφόρῳ τῆς ὑποστάσεως διακέκριται· τοῦτο ἡ πρώτη καὶ ἡ τελευταία σχέσις τῶν συζυγιῶν· ψυχὴ δὲ πρὸς τὸ αὐτῆς σῶμα, τῷ μὲν ἑτεροίῳ τῆς φύσεως διακέκριται, ἥνωται δὲ τῷ λόγῳ τῆς ὑποστάσεως, ἣν ἡ ἀλληλοῦχος ζωὴ ἀπετέλεσε· τοῦτο ἡ δευτέρα καὶ ἡ μέση διασώζει σχέσις· ἄνθρωπος δὲ πρὸς τὸ ἁπλῶς σῶμα, καὶ τὴν ἁπλῶς ψυχὴν, ὅλος πάντη τούτων

(18) *Causæ hypostasin*. Utitur vocabulo *causæ* pro principio, more Græcorum. Tur.

διακεκριμένος, διὰ τὴν πρὸς τὰ ἑαυτοῦ μέρη πρώτην σχέσιν, δευτέραν ποιεῖται πρὸς αὐτὰ κοινωνίαν. Ὥστε καὶ ὁ Χριστὸς πρὸς ἡμᾶς καὶ πρὸς τὸν Πατέρα, ὡς ὅλος ὢν ἐκ μερῶν, διὰ τὰ ἑαυτοῦ μέρη μεσιτεύει τοῖς ἄκροις, ὅλως μὲν ὑπόστασις ὢν πρὸς ἡμᾶς, μετὰ τῆς θεότητος διὰ τὴν ἀνθρωπότητα, ἐπαλλαττομένων τῶν κατὰ τὴν διάκρισίν τε καὶ ἕνωσιν σχέσεων, ὧν τε πρὸς ἑαυτὸν διὰ τὰ ἑαυτοῦ μέρη ἔχων γνωρίζεται, καὶ ὧν πρός τε τὸν Πατέρα καὶ ἡμᾶς, διὰ τὴν τῶν μερῶν πρὸς τὰ ἄκρα οἰκειότητα κέκτηται. Εὐγνωμόνως δὲ τῶν μερῶν ἀκουστέον· οὐ γὰρ ὡς τῇ φύσει ἀτελῆ ὄντα, μέρη ταῦτά φημι, ἀλλ' ὡς συμπληρωτικὰ τοῦ προσώπου τῆς κατὰ Χριστὸν ὑποστάσεως. Οὕτω γὰρ Γρηγορίῳ τε καὶ Κυρίλλῳ, καὶ τὸ ὅλον οὐ μία φύσις, καὶ ἁπλῶς καὶ πρός τι, τό τε ἀτελὲς καὶ τὸ τέλειον εἴρηται.

« Τί οὖν φασιν; Οὐ λέγομεν μίαν φύσιν ἀνθρώπου, καίπερ διάφορα τὰ συνελθόντα γινώσκοντες; Τί δὴ οὖν λυπεῖ, ὥσπερ ὧδε οὐκ ἐπ' ἀναιρέσει τῆς ἰδιότητος τῶν μερῶν, φύσιν καλοῦμεν τὰς φύσεις, εἰ καὶ ἐπὶ Χριστοῦ τὸ ὅμοιον ποιοῦντες φαινόμεθα; Ἀλλὰ λοιδορεῖσθε ἡμῖν καὶ διασύρετε, ὡς σύγχυσιν ἐπινοοῦσιν ἐπὶ Χριστοῦ, ἐπειδὴ τὰ μέρη τῇ τοῦ ὅλου σημαίνομεν ὀνομασίᾳ. » Εἰ μὲν τὰ μέρη τῇ τοῦ ὅλου καλεῖν ἐβούλεσθε προσηγορίᾳ, ἔδει πάντως ὑμᾶς καὶ τὸ ὅλον τῇ τῶν μερῶν γνωρίζειν ὀνομασίᾳ, καὶ οὕτως οὐδεὶς ἂν ἦν φθόνος ἡμῖν. Σάρκα δὲ ἢ ἄνθρωπον καλοῦντες μᾶλλον τὸν Κύριον, τὸ ὅλον ἐκ μέρους ἐσημαίνετε ἄν, ἀλλ' οὐ φύσιν μίαν τὰς δύο προσαγορεύοντες. Πολλάκις γὰρ τὸ μὴ κυριολεκτεῖν, καὶ δόγματος ἐργάζεται διαφωνίαν· ὅθεν ἡμεῖς κατὰ τὰς θείας Γραφάς, καὶ τὰς πατροπαραδότους θεωρίας, πολλάκις τὸ ὅλον ἐκ μέρους, καὶ τὰ μέρη τῇ τοῦ ὅλου κλήσει προσαγορεύομεν, Υἱὸν ἀνθρώπου τὸν Λόγον ὀνομάζοντες, καὶ Κύριον τῆς δόξης ἐσταυρῶσθαι ὁμολογοῦντες. Ἀλλ' οὐ παρὰ τοῦτο τῇ ἀντιδόσει τῶν ἰδιωμάτων, ἀναιροῦμεν τὸν ἴδιον λόγον τῆς θατέρου ἐν ταυτῷ ἰδιότητος. Πρὸς δὲ καὶ διὰ κυρίων ἡμῖν ταῦτα τῶν ὀνομάτων γνωρίζεται, τὴν μὲν ἀντίδοσιν τῶν ἰδιωμάτων ἐν τῇ μιᾷ ὑποστάσει θεωροῦσι, τὴν δὲ ἰδιότητα τὴν ἐν τῇ κοινότητι ἐν τῇ διαφορᾷ τῶν φύσεων ἐπιγινώσκουσιν. Ὑμεῖς δὲ τῷ παραδείγματι κεχρημένοι τοῦ ἀνθρώπου, καὶ αὐτῷ τῷ πρωτοτύπῳ συνδιαφθείρετε τὸ παράδειγμα. Μίαν μὲν γὰρ ἀνθρώπου φύσιν λέγομεν, οὐχ ὡς ἂν ὑμεῖς φαίητε, εἰς ταυτὸν ἄγοντες τὴν φύσιν τῆς σαρκὸς τῇ οὐσίᾳ τῆς ψυχῆς, ἢ τὸ ἀνάπαλιν· οὔτε μὴν ἐξ ἑκατέρων οὐδ' ὁποτέραν ἀποτετελέσθαι φαμέν.

Φύσιν δὲ ταύτην καλοῦμεν, οὐ πρὸς τὴν τῶν μερῶν σχέσιν ἀποβλέποντες (οὐδεὶς γάρ ἐστι λόγος ὁ τὸ ἑτεροφυὲς αὐτῶν κἂν τῇ ἑνώσει λυμαινόμενος), ἀλλὰ τὴν τοῦ καθόλου καὶ εἴδους σημασίαν, κατὰ τοῦ μερικοῦ καὶ ἰδίου κατηγοροῦμεν. Ἐπειδὴ γάρ, καθὼς οἱ τὰ λογικὰ σκέμματα διακρίνοντες παραδιδόασι, τὰ μὲν ἐπὶ μέρους κοινωνεῖ τοῖς καθ' ὅλου, τὰ δὲ καθ' ὅλου κατηγορεῖται κατὰ τῶν ἐπὶ μέρους· καὶ τῶν μὲν ἀτόμων, κοινωνία ἐστὶ πρὸς τὸ εἶδος κατὰ

A quam totus ex partibus, propter partes suas medius est inter extrema; ex toto hypostasis, relatus ad Patrem, propter divinitatem cum humanitate; et ex toto hypostasis relatus ad nos, propter humanitatem cum divinitate, permutatis habitudinibus secundum distinctionem et unionem quas secum propter partes suas habet; et quas cum Patre et nobiscum habet, propter convenientiam partium cum extremis. Cum autem partes dicimus, audire oportet prudenter : non enim partes dicimus, tanquam imperfectas natura, sed tanquam complentes personam hypostasis Christi. Sic enim a Gregorio et Cyrillo dictum est totum non una natura, et simpliciter, et ad aliquid, et imperfectum, et perfectum.

B « Quid igitur aiunt? Nonne dicimus unam naturam hominis, quamvis cognoscamus differentia esse, quæ coeunt in unum? Quid ergo obstat, quin sicut hic non ad tollendum proprietatem partium naturas vocamus naturam, aliquid simile in Christo facere videamur? Quin potius convicia facitis, et illuditis quasi confusionem in Christo excogitemus, quia partes appellatione totius significamus. » Si volebatis vocare partes nomine totius, oportebat profecto, ut totum etiam nominatione partium declararetis, atque ita nulla vobis invidia esset. Carnem autem, vel hominem vocantes potius Dominum, totum ex parte significaretis, et non duas naturas vocantes unam. Sæpe enim non proprie loqui discrepantiam dogmatis efficit. Unde nos secundum C Scripturas, et speculationes a Patribus traditas, sæpe totum ex parte, et partem nomine totius afficimus, cum Verbum Filium hominis nominamus; et Dominum gloriæ crucifixum confitemur. Sed non propterea communicatione idiomatum tollimus propriam rationem proprietatis alterutrius in eodem. Deinde, hæc etiam nobis per propria nomina declarantur, cum communicationem quidem idiomatum in una hypostasi contemplamur; proprietatem vero quæ est in communitate, in differentia naturarum agnoscimus. Vos autem, utentes exemplo hominis, cum ipso prototypo exemplum simul corrumpitis. Unam enim naturam hominis dicimus; D non ut vos dicitis, qui naturam carnis in substantiam animæ trahitis, ut fiant idem; aut rursus naturam animæ in substantiam carnis, nec ex alterutra utramcunque fieri dicimus.

Naturam autem vocamus hanc, non intuentes in habitudinem partium : nulla enim est ratio, quæ diversitatem naturæ partium etiam in unione lædat. Sed potius significationem universalis et speciei de particulari et proprio prædicamus : quia sicut tradunt qui regulas disserendi discernunt, particularia quidem communicant universalibus; universalia vero prædicantur de particularibus; et communicatio quidem individuorum (19-20) ad speciem relata,

(19 20) *Communicatio quidem individuorum.* Communicatio individuorum ad speciem est secundum naturam, et non secundum appellationem : quia individuum naturaliter participat speciem, quæ cum

est secundum naturam; universalium vero communicatio ad particularia, est secundum appellationem (sive prædicationem): idcirco non recusamus, ut dixi, appellatione totius appellare partem, quia una natura totum speciei humanæ repræsentat; quia nihil eorum quæ sub eadem specie numerantur, est diversæ substantiæ: unde convenienter et apte nomine communis particulare nominatur. Non enim reperiri potest aliquis homo, qui sit diversa specie ab homine universali: in Christo autem hujusmodi ordo habitudinis non reperitur, cum non sit species Christorum, sicut est species hominum, ut ex his Christis unus tanquam proprie quodammodo propter universalem et communem Christum Christus ipse nominatus, una natura dicatur ad illos, et ab illis; ut ipsum et unam naturam, et duas vocemus; unam quidem habentem, propter communitatem naturæ; duas vero, propter partes ejus, sicut in nobis cernitur. Cum enim causa quæ in nobis est, non reperiatur ab illo quod in nobis proprie et apte dicitur, ad illum non potest transferri. Manifestum autem est hic, quare homo dicitur una, et duæ naturæ. Unam naturam habet propter communicationem speciei; duas vero propter partes, quæ non sunt altera in alteram mutatæ. In Christo autem cum non sit species, quomodo duæ naturæ dici possunt una? tres enim tantum modos reperimus, quibus aliquid una natura dicitur: aut quia est species; aut quia participat speciem; aut quod confusione ex diversis speciebus diversa specie effectum est, quod utriusque particeps, nec alterutrum pure est. Quam naturam adulterinam vocant, qui hæc tractant.

A τὴν φύσιν· τῶν δὲ καθόλου, κοινωνία πρὸς τὰ μέρη κατὰ τὴν κλῆσιν· τῇ τοῦ ὅλου προσηγορίᾳ τὸ μέρος καλεῖν, ὡς ἔφην, οὐ παρῃτησάμεθα· τῆς γὰρ φύσεως τῆς μιᾶς τὸ ὅλον τοῦ ἀνθρωπείου εἴδους παριστώσης, ἐπειδὴ τῶν ὑπὸ τὸ αὐτὸ εἶδος ἀριθμουμένων οὐδέν ἐστι ἑτεροούσιον, εἰκότως τῇ τοῦ κοινοῦ προσηγορίᾳ τὸ μερικὸν ἐπονομάζεται. Οὐ γάρ ἐστιν εὑρεῖν τόν τινα ἄνθρωπον, ἑτεροειδῶς ἔχοντα πρὸς τὸν καθόλου ἄνθρωπον· ἐπὶ δὲ Χριστοῦ τοιαύτη τις τάξις σχέσεως οὐχ εὑρίσκεται· οὐ γὰρ δὴ εἴδους ὄντος Χριστῶν, ὥσπερ καὶ ἀνθρώπων, ἵνα ἐκ τούτων ὁ εἷς ὡς ἰδίως πως παρὰ τὸν καθόλου καὶ κοινὸν Χριστὸν, Χριστὸς αὐτὸς χρηματίζων, μία φύσις λέγηται πρὸς ἐκείνους τε καὶ ἀπ' ἐκείνων, ἵνα καὶ μίαν αὐτὸν καὶ δύο φύσεις καλῶμεν, τὸ μὲν B ἔχοντα διὰ τὸ κοινὸν, τὸ δὲ διὰ τὰ ἑαυτοῦ μέρη· ὥσπερ ἐφ' ἡμῶν θεωρεῖται. Τῆς γὰρ αἰτίας μὴ εὑρισκομένης, καὶ ἀπ' ἐκείνου τῆς ἐφ' ἡμῶν, τὸ ἐφ' ἡμῶν μόνον οἰκείως λεγόμενον, ἐπ' αὐτὸν ἀναφέρειν οὐχ οἷόν τε. Δῆλον δέ ἐστιν ἐνταῦθα, κατά τί μία καὶ δύο φύσεις ὁ ἄνθρωπος λέγεται· τὸ μὲν γὰρ ἔχει διὰ τὴν τοῦ εἴδους κοινωνίαν, τὸ δὲ κέκτηται διὰ τὴν τῶν μερῶν ἀτρεψίαν. Ἐπὶ Χριστοῦ δὲ οὐκ ὄντος εἴδους, πῶς ἂν μία αἱ δύο λέγοιτο; τρεῖς γὰρ εὑρίσκομεν καὶ μόνους τρόπους, καθ' οὓς μία φύσις λέγεται, τὸ λεγόμενον· ἢ γὰρ τὸ εἶδος εἶναι, ἢ τὸ τοῦ αὐτοῦ εἴδους μετέχειν, ἢ τὸ κατὰ σύγχυσιν ἐξ ἑτεροειδῶν ἑτεροειδὲς ἀποτετέλεσται, ὃ ἑκατέρου μετέχον, οὐδ' ὁπότερον καθαρῶς ἐστιν, ἣν καὶ νόθον C καλοῦσιν οἱ περὶ ταῦτα.

Præterea, ne duæ naturæ in Christo dicantur, hujusmodi dubitationes opponitis: non enim ut duas, et unam sicut in nobis dicatis, sed ut unam solam: hinc enim vobis etiam non volentibus passio confusionis insuper advenit, et nec passio divisionis recedit. Non enim necesse est ut una natura unum numero sit, quinimo tam multa, et tot numero, quot sunt hypostases complentes ipsam naturam. Consideremus etiam sic: quæ sunt eidem æqualia, inter se sunt æqualia. Describatur triangulus æquilaterus rectangulus: ut enim se habet primum latus ad secundum, et secundum ad tertium, ita se habet primum ad extremum. Scribe igitur tria latera (21), et da tres personas in unoquoque latere; et reperies, quod sicut se habet primum ad medium, et medium ad extremum, ita se habebit primum ad extremum. Quare hæc dico? Quia si datis dici unam Verbi et carnis naturam,

Καὶ ἄλλως ἐπ' ἀναιρέσει τοῦ δύο λέγειν, τὰς τοιαύτας ἐπαπορήσεις προΐσχεσθε· οὐ γὰρ ἵνα καὶ δύο καὶ μίαν, ὥσπερ ἐνταῦθα, εἴπητε, ἀλλ' ἵνα μίαν μόνην· ἐντεῦθεν γὰρ καὶ μὴ βουλομένοις ὑμῖν τὸ τῆς συγχύσεως ἐπιπλεῖ πάθος. Καὶ οὔτε τὸ τῆς διαιρέσεως ὑποχωρεῖ· οὐ γὰρ ἀνάγκη τὴν μίαν φύσιν ἓν εἶναι τῷ ἀριθμῷ· εἰ μὴ καὶ μάλιστα πολλὰ καὶ τοσαῦτα τῷ ἀριθμῷ εἴη, ὅσαι καὶ αἱ συμπληροῦσαι αὐτὴν εἰσιν ὑποστάσεις· σκοπῶμεν δὲ καὶ οὕτως (22)· Τὰ τῷ αὐτῷ ἴσα, καὶ ἀλλήλοις, φασὶν, ἐστὶν ἴσα. Κείσθω δὴ ἐν διαγράμματι ἰσόπλευρον, ὀρθογώνιον τρίγωνον· ὡς γὰρ ἔχει ἡ πρώτη πλευρὰ πρὸς τὴν δευτέραν, καὶ ἡ δευτέρα πρὸς τὴν τρίτην, οὕτως ἔχει καὶ ἡ πρώτη πρὸς τὴν τελευταίαν. Γράψον D οὖν τὰς τρεῖς πλευρὰς, καὶ δὸς τρία πρόσωπα, ἐν ἐφ' ἑκάστῃ πλευρᾷ, καὶ εὑρήσεις ὅτι ὡς ἔχει τὸ πρῶτον πρὸς τὸ μέσον, καὶ τὸ μέσον πρὸς τὸ τελευταῖον, οὕτως ἕξει καὶ τὸ πρῶτον πρὸς τὸ τελευ-

ipso communicatur secundum naturam; sed non prædicatur individuum de natura, directa scilicet et usitata prædicatione; non enim dicimus: Homo est Petrus. Contra vero fit in communicatione universalium ad particularia. Est enim hæc communicatio secundum appellationem seu prædicationem, cum universalia de particularibus directa prædicatione prædicentur; dicimus enim: Petrus est homo. Tur.

(21) *Scribe igitur tria latera.*

	Verbum	
Pater...Δ.. caro.	caro	Pater
Verbum..Δ..Pater.	caro Δ Verbum.	

Id.

(22) Schol. Ἀριστοτέλους ὡς ἀπὸ Εὐκλίδου.

ταῖον. Διά τί δὴ ταῦτά φημι; Ὅτι εἰ δώσεις μίαν λέγεσθαι τοῦ Λόγου καὶ τῆς σαρκὸς φύσιν, ὁμολογεῖτε δὲ μία φύσις εἶναι τοῦ Λόγου καὶ τοῦ Πατρός· δώσετε ἄρα μίαν φύσιν εἶναι τῆς σαρκὸς καὶ τοῦ Πατρός.

« Ἀλλ' οὐ λέγομεν, φασὶ, τῷ αὐτῷ τρόπῳ μίαν ἑκατέρων εἶναι φύσιν, ἀλλ' ἐπὶ μὲν Πατρὸς καὶ Υἱοῦ, τῷ ταυτῷ τῆς φύσεως, ἐνταῦθα δὲ τῷ λόγῳ τῆς ἑνώσεως· οὐκοῦν οὐ ταυτὸν τὸ τῇ ἑνώσει ἓν λεγόμενον, καὶ τὸ τῇ φύσει ἕν. » Εἰ δὲ οὐ ταυτὸν, κατ' ἄλλο μὲν ἐκεῖνο, καθ' ἕτερον δὲ τοῦτο· ἔσται τοίνυν τὸ αὐτὸ ἓν καὶ δύο, ἓν μὲν τῇ ἑνώσει, δύο δὲ ταῖς φύσεσιν. Εἰ δὲ μὴ τοῦτο, ἔσται τὸ αὐτὸ κατὰ τὸ αὐτὸ καὶ ὁμοούσιον, καὶ ἑτεροούσιον, καὶ μία φύσις, καὶ οὐ μία φύσις· οὗ τί ἂν γένοιτο ἀτοπώτερον; Οὕτως ὑμῖν ἡ μία φύσις λεγομένη, καὶ τὴν διαίρεσιν οὐκ ἐξέφυγεν, ἣν ἔχει ἡ φύσις ἐν τῷ πλήθει τῶν κοινωνούντων αὐτῇ προσώπων (23), καὶ τὴν σύγχυσιν παρεισήγαγεν ἐν τῷ ταυτῷ τῆς συνθέτου φύσεως, τὸ οὐδ' ὁπότερον τῶν ἡνωμένων μετὰ τὴν ἕνωσιν παραστήσασα· ἡμῖν δὲ ἑκάτερα, σὺν Θεῷ φάναι, καλῶς πεφύλακται, καὶ τὸ διάφορον τῶν ἡνωμένων, κἂν τῇ ἑνώσει τῷ διττῷ τῆς φύσεως καταγγελλόμενον, καὶ τὸ ταυτὸν τοῦ προσώπου, διὰ τῆς των ἡνωμένων φύσεων εἰς μίαν ὑπόστασιν συνδρομῆς ἀνακεφαλαιούμενον.

« Καθὼς σοι ἔδοξε προδιεστείλω ἐπὶ τοῦ καθ' ἕκαστον ἀνθρώπου, δύο λέγεσθαι φύσεις καὶ μίαν· ἐξ οὗ τί ἀκολουθεῖ; Τὸ ἐπὶ Χριστοῦ μὴ δύο μόνον φύσεις ὁμολογεῖν, ἀλλὰ καὶ τρεῖς. Πῶς τοίνυν τὸ ἕτερον ὁμολογοῦντες, θάτερον ἀπαναίνεσθε; καίπερ ἡ ἀνάγκη τοῦ λόγου, τοῦτό σε λέγειν καὶ μὴ βουλόμενον ἐξεβιάσατο. » Τί οὖν ἡμεῖς πρὸς ταῦτα; Τί γε ἕτερον, ἢ ὅπερ καὶ ἁρμόζον ἐστὶν αὐτοῖς, ὅτι *Σοφία μωροῦ ἐστιν*, κατὰ τὴν Γραφὴν, *ἀδιεξέταστοι λόγοι*; Τοὺς γὰρ ἰδίους ὥσπερ οὐ διαμασώμενοι, καὶ διὰ τοῦτο οὐδὲ πέπτοντες λόγους, ἐκ κακῶν τῆς ἀμαθίας σιτείων ἐρυγὰς ἡμῖν καὶ ἀτμοὺς, πῶς ἂν ἀλύπως εἴποιμι, καὶ οὐκ εὐώδεις ἀναπεμπάζουσι. Πάσης γὰρ ζητήσεως τὸ ἀπορούμενον διασκοπούσης, κἀκ τῶν ὁμολογουμένων αὐτῷ συμπεραινούσης, οἱ δὲ (οὐδὲ γάρ εἰσι σοφοὶ, μὴ ὅτι τὴν ἀπαιδευσίαν) ὡς ἀμφίβολον τὸ ὁμολογούμενον εἰς διάσκεψιν προτιθέασι, καὶ τὸ φανερὸν ὡς ἀφανὲς συλλογίζονται. Τῆς γὰρ ἀνθρώπου φύσεως, κατὰ τὰς κοινὰς πάντων ἐννοίας, τὴν ψυχὴν καὶ τὸ σῶμα δηλούσης, καὶ συσσημαινούσης, ὡς πολλάκις ἔφην, τῷ ὅλῳ τὰ μέρη· οἱ δὲ τὸ πᾶσιν παρακεχωρηκὸς τῆς ἐννοίας, ὡς ἄπορον λαμβάνουσιν· ὡς ἂν εἴ τινος ἡμῶν ἀποφαινομένου, ὅτι διπλοῦν τι χρῆμά ἐστιν ὁ ἄνθρωπος, ἢ σῶμα μόνον, ἢ ψυχὴ μόνον· καὶ διὰ τοῦτο ἀξιοῦσι καὶ ἐπὶ Χριστοῦ τρεῖς λέγειν φύσεις, ὡς οὐχ ἱκανῆς οὔσης τῆς ἀνθρώπου φύσεως συνεπάγεσθαι ἑαυτῇ τὰ μέρη. Δύο γὰρ φύσεις λέγομεν οὐ Θεοῦ καὶ σαρκὸς, οὔτε

A confitemini ante unam esse naturam Verbi et Patris: dabitis igitur unam esse naturam carnis et Patris.

« At, inquiunt, non dicimus eodem modo unam esse utriusque naturam; sed in Patre et Filio eadem ratione naturæ; hic autem in Christo ratione unionis; ergo non est idem quod unione unum dicitur, et quod natura unum. » Si autem non est idem, secundum aliud quidem illud; secundum vero aliud hoc: quare erit idem unum, et duo; unum quidem unione; duo vero naturis: quod si non hoc, erit idem secundum idem et unius substantiæ, et diversæ substantiæ; quo quid esse potest B magis absurdum? Sic vobis una natura, quam dicitis, non effugit divisionem quam habet natura in multitudine personarum communicantium ipsi, et confusionem introduxit in identitate naturæ compositæ, nec alterutrum unitorum post unionem exhibens: nobis autem utrumque, Dei gratia, pulchre servatum est et differentia unitorum, quam prædicamus etiam in unione duplicis naturæ, et una atque eadem persona propter concursum duarum naturarum unitarum in unam hypostasim.

« Sicut tibi visum est, explicasti, in unoquoque homine duas naturas, et unam dici; ex quo quidnam sequitur, nisi in Christo non duas tantum naturas C confiteri, sed etiam tres? Quomodo igitur alterum confitentes, alterum recusatis? cum alioqui ratio necessaria hoc fateri quamvis nolentem cogat. » Quid nos ad hæc? Quid aliud, quam quod in eos convenit? *Sapientia fatui est*, ut ait Scriptura, *sermones non expensi neque considerati*[a]. Cum enim sermones suos non mandunt, et idcirco neque concoquunt; ex malis cibis insipientiæ ructationes nobis et halitus (quomodo enim sine nausea et fastidio dicam?) non bene olentes emittunt. Cum non omnis quæstio quod in dubium venit, consideret, et ex concessis rationem concludat; isti (non enim sunt sapientes nisi in inscitia), quod est ab omnibus concessum, tanquam dubium in quæstione ponunt; et quod manifestum, tanquam obscurum inducunt. Siquidem natura hominis, secunD dum communes omnium notiones, animam et corpus significat; et consignificat, ut sæpe dixi, cum toto partes. Isti vero quod a cogitatione omnium recessit, tanquam dubium sumunt; quasi aliquis nostrum affirmet, quod homo est aliquid duplex, vel corpus solum, vel anima sola; et ideo volunt dicere in Christo tres naturas, quasi natura hominis non satis sit ad inferendum secum partes. Duas enim naturas dicimus, non Dei et carnis, neque

[a] Eccli. XXI, 21.

(23) In marg. τουτέστι τῶν ὅλων ἀνθρώπων.

Dei et animæ, sed Dei et hominis. Nec enim proprie est natura hominis, natura partis. Quare qui dixit hominem vel naturam hominis, naturas declaravit; qui autem Christum nominavit, neque nomen certum et nostris notionibus subjectum nominavit, neque rem declaravit.

Declarant hoc multæ et variæ et inter se pugnantes de eo apud Christianos opiniones, quæ non exstitissent, si statim nomen Christi veritatem rei subjectæ significaret. At appellatio hominis communis est, et omnibus vulgata, et maxime Christianis. Nomen vero Christi simile est nomini artis et scientiæ. Ut enim illa nomina artis et scientiæ illi tantum sciunt, qui illam disciplinam perceperunt; sic iis tantum qui in divinis eruditi sunt, veritas in hoc nomine abdita, explanata est. Testantur ipsi verum esse quod dico, qui semper affirmant ex duabus naturis constare Christum, et nunquam ex tribus naturis, quamvis animam rationis participem carni Christi tribuunt. Sint itaque isti primi auctores et duces hujus inscitiæ, et confitebuntur ex tribus eum naturis esse : et nos in eo acquiescemus, quod confitemur ea ex quibus factus est, servari, in quo hæc noscuntur esse : siquidem non ex tribus solum, sed ex pluribus eum esse dicere cogentur, ut demonstrabimus; quia adhuc rerum simplex et generalis notio facit, ut cognitionem habeamus universam, et non explicatam : horum autem divisio cogitatione, ad perfectam cognitionem nos adducit eorum ex quibus constant. Ob hanc causam divisionem totius in partes facimus; dividere autem in partes partium post primam divisionem, ridiculum est. Non enim huc usque evadit, et hic sistit, sed in infinitum progreditur.

Verbi gratia, ut quod dico intelligatur, partes hominis sunt corpus et anima; partes vero partium ejus, in anima quidem substantia rationis particeps, et qualitas incorporea; et hæc partim est vis ratiocinandi quæ est princeps, partim irascendi, partim concupiscendi, et harum partium illa princeps notiones format; et cogitat, et meminit, et consultat, et opinatur. Pars irascendi appetit, et declinat; pars concupiscendi habet facultatem propulsandi, et efficiendi, et multa alia subter ista dividuntur. Omittatur nunc illa quæstio, utrum sint hæc tanquam partes in anima, an tanquam potentiæ, sive facultates: et quæ sic, et quæ secus. Non enim hæc agimus nunc. Rursus divisio corporis fit in partes similes, et dissimiles; et dissimilium, in caput, et manus, et pedes; et hæc in ossa, et carnes, et nervos; et hæc rursus in quatuor elementa; et hæc in materiam et formam. Multa etiam alia medici philosophantur de facultatibus naturalibus, ex quibus aliam vocant attrahendi facultatem, aliam retinendi, aliam immutandi,

A μὴν Θεοῦ καὶ ψυχῆς, ἀλλὰ Θεοῦ καὶ ἀνθρώπου. Οὐδὲ γάρ ἐστι κυρίως ἀνθρώπου φύσις, ἡ τοῦ μέρους φύσις. Ὥστε ὁ εἰπὼν ἄνθρωπον ἢ φύσιν ἀνθρώπου, τὰς φύσεις ἐδήλωσεν· ὁ δὲ Χριστὸν ὀνομάσας, οὐχ ὁμολογουμένην καὶ ταῖς ἐννοίαις ἡμῶν ὑποπίπτουσαν, οὔτε κλῆσιν ὠνόμασεν, οὔτε πρᾶγμα δεδήλωκεν.

Καὶ δηλοῦσιν αἱ διάφοροι περὶ αὐτοῦ παρὰ Χριστιανοῖς δόξαι, πολλαί τε καὶ ποικίλαι τυγχάνουσαι, καὶ ἀλλήλαις διαμαχόμεναι· οὐκ ἂν γενόμεναι, εἰ εὐθέως ἡ τοῦ Χριστοῦ προσηγορία τὴν τοῦ ὑποκειμένου πράγματος ἀλήθειαν ἐσήμανεν. Ἀλλ' ἡ μὲν ἀνθρώπου προσηγορία, κοινή τίς ἐστι καὶ πᾶσι δεδημοσιευμένη, οὐχ ἥκιστα δὲ Χριστιανοῖς. Ἡ δὲ τοῦ Χριστοῦ τεχνικῷ καὶ ἐπιστημονικῷ προσέοικεν ὀνόB ματι. Ὡς γὰρ ἐκεῖνα μόνοι ἴσασιν οἱ τῆς αὐτῆς μετειληχότες παιδείας, οὕτω μόνοις τοῖς τὰ θεῖα σοφοῖς, τετράνωται ἡ ἐν τῷ ὀνόματι κεκρυμμένη ἀλήθεια. Μαρτυροῦσι δὲ καὶ αὐτοὶ τῇ ἀληθείᾳ τοῦ λόγου, ἐκ δύο μὲν φύσεων ἀεὶ διαβεβαιουμένοι τὸν Χριστὸν, οὐδέ ποτε δὲ αὐτὸν ἐκ τριῶν φύσεων καλέσαντες· καίπερ καὶ ψυχὴν λογικὴν, τῇ σαρκὶ τοῦ Χριστοῦ παρέχουσιν· ἐπεὶ καταρξάσθωσαν αὐτοὶ τῆς ἀπαιδευσίας, καὶ ἐκ τριῶν αὐτὸν ὁμολογήσουσι φύσεων, καὶ ἡμεῖς γε στέρξομεν· τὰ ἐξ ὧν γέγονεν ὁμολογοῦντες φυλάττεσθαι. ἐν τῷ ἐν ᾧ ταῦτα γνωρίζεται, ὁπότε οὐκ ἐκ τριῶν μόνον, ἀλλὰ καὶ ἐκ πλειόνων αὐτὸν λέγειν ἐκβιασθήσονται, ὡς αὖθις δείξομεν· ὅτι τῶν πραγμάτων ἡ ἁπλῆ καὶ καθ' ὅλου ἐπιβολὴ, ἔννοιαν ἡμῖν ὁλοσχερῆ καὶ ἀτράνωτον ἐμποιεῖ. C Ἡ δὲ τούτων κατ' ἐπίνοιαν διαίρεσις, εἰς ἀκριβῆ γνῶσιν ἡμᾶς ἄγει τῶν ἐξ ὧν συνεστήκασιν. Καὶ ταύτης ἕνεκεν τὴν τοῦ ὅλου εἰς τὰ μέρη διάκρισιν ποιούμεθα· τὸ δὲ εἰς τὰ μέρη τῶν μερῶν μετὰ τὴν πρώτην διαίρεσιν πειρᾶσθαι τέμνειν, καταγέλαστον. Οὐ γὰρ μέχρι τούτου ἵστησιν, ἀλλ' ἐπ' ἄπειρον ἐκτείνει τὴν θεωρίαν.

Ὃ δὲ λέγω τοιοῦτόν ἐστι· Μέρη ἀνθρώπου ψυχὴ καὶ σῶμα, μέρη δὲ τῶν μερῶν αὐτοῦ ἐπὶ μὲν ψυχῆς, οὐσία λογικὴ καὶ ποιότης ἀσώματος· ὧν τὸ μὲν ἡγεμονικὸν, τὸ δὲ θυμικὸν, τὸ δὲ ἐπιθυμητικόν· καὶ τούτων τὸ μὲν ἐννοηματικὸν καὶ διανοηματικὸν, μνημονευτικόν τε καὶ βουλευτικὸν καὶ δοξαστικὸν, τὸ δὲ ὀρεκτικόν τε καὶ ἐκκλητικὸν, τὸ δὲ ἀμυντικόν D τε καὶ δραστικὸν, καὶ πολλὰ ἕτερα τούτοις ὑποδιαιροῦνται. Ἀφείσθω δὲ τὰ νῦν ζητεῖν, πότερον ὡς μέρη ταῦτά εἰσιν ἐν τῇ ψυχῇ, ἢ ὡς δυνάμεις· καὶ τίνα μὲν οὕτως, τίνα δὲ ἑτέρως. Οὐ γὰρ τῆς παρούσης ἐστὶ σκέψεως· πάλιν ἡ τοῦ σώματος διαίρεσις γίνεται εἰς ὁμοιομερῆ τε καὶ ἀνομοιομερῆ· καὶ τούτων ἔτι εἴς τε κεφαλὴν καὶ χεῖρας καὶ πόδας· καὶ ταῦτα εἰς ὀστᾶ, καὶ σάρκας, καὶ νεῦρα· καὶ ταῦτα εἰς τὰ τέσσαρα στοιχεῖα· καὶ ταῦτα εἰς ὕλην καὶ εἶδος. Πολλὰ δὲ καὶ ἕτερα φιλοσοφοῦσιν ἰατρῶν παῖδες περὶ δυνάμεων φυσικῶν, ὧν τὴν μὲν ἑλκτικὴν, τὴν δὲ καθεκτικὴν, τὴν δὲ ἀλλοιωτικὴν, τὴν δὲ ἀποκριτικὴν ὀνομάζουσι. Πολλὰ δὲ καὶ περὶ αἰσθήσεως καὶ φαντασίας, καὶ τοῦ συνέχοντος τὸ ζῶον ζωτικοῦ καὶ ὀργα-

νικοῦ πνεύματος, ἑτέρου, ὥς φασι, παρὰ τὸ λογικὸν A ὑπάρχοντος.

Ὥσπερ τοίνυν ἀπόχρη πρὸς τὸ παραστῆσαι ταῦτα πάντα διὰ τοῦ σάρκα εἰπεῖν, ἢ σῶμα ἀνθρώπου, καὶ ἀπόχρη πάλιν διὰ τῆς λογικῆς ψυχῆς, τὰ εἰς ἃ διῄρηται μέρη δηλῶσαι (οὐ γὰρ τεχνολογεῖν φίλον, οὐδὲ σύνηθες τοῖς πιστοῖς)· οὕτως ἀπόχρη ἄνθρωπον ἢ φύσιν ἀνθρώπου εἰρηκότα, πάντα παραστῆσαί τε καὶ δηλῶσαι, τὰ ἐξ ὧν συνέστηκεν ἐν οἷς καὶ γνωρίζεται. Οἱ δὲ οὐχ ἵνα τὸν ἄνθρωπον τέλειον ἀποφήνωσιν, ἀλλ' ἵνα τὸν κύριον συκοφαντήσωσι, καὶ τῆς ἡμετέρας αὐτὸν ἀλλοτριώσωσι φύσεως· καὶ ἢ μὴ προσειληφότα τὴν ἀρχὴν τὸ ἡμέτερον, ἢ μὴ σῶον φυλάξαντα ὃ παρ' ἡμῶν ἔσχε τῆς σωτηρίας τῆς πά- B σης φύσεως ἀδιάπτωτον ἐνέχυρον, τὰ τοιαῦτα σοφίζονται. Ἀλλὰ μανθανέτωσαν, ὅτι ἡ μὲν τῶν μερῶν ὁμολογία, ὡς ἔφην, γνώρισμα τυγχάνει τῆς τοῦ ὅλου σωτηρίας· ἡ δὲ τῶν μερῶν εἰς τὰ μέρη ὑποδιαίρεσις, οὐ δογματικῆς ἐστι συντομίας, οὐδὲ τοῦ συντετμημένου κατὰ τὸ Εὐαγγέλιον λόγου, ἀλλὰ σκεπτικῆς θεωρίας, καὶ περιττῆς τοῖς πολλοῖς καὶ δυσλήπτου τεχνολογίας. Μέρη μὲν γὰρ Χριστοῦ ἀσύγχυτα, θεότης καὶ ἀνθρωπότης. Ψυχὴ δὲ καὶ σῶμα, οὐ μέρη Χριστοῦ, ἀλλὰ μέρη τοῦ μέρους· ὧν δηλωθέντων διὰ τῆς τελείας σημασίας τῆς κατὰ τὴν φύσιν τῆς ἀνθρωπότητος, περιττὴ ἡ εἰς φύσεις τῶν μερῶν ὑποδιαίρεσις· εἰ μὴ μέλλοιεν καὶ τὴν λοιπὴν ἐπάγειν διαίρεσιν ταῖς ὑποδιαιρέσεσιν, αἷς C καὶ ἐπὶ τοῦ κοινοῦ ἀνθρώπου ἐχρησάμεθα πρότερον, ὡς ἐντεῦθεν μὴ τρεῖς κατ' αὐτοὺς μόνας, ἀλλὰ καὶ πλείους καταγγέλλειν τὰς Χριστοῦ φύσεις, ὧν τί ἂν γένοιτο γελοιότερον;

« Ἐπειδὴ ὁ πᾶς κεκίνηται πόλεμος, τοῦ τρόπου τῆς ἑνώσεως παρὰ τοῖς πολλοῖς ἀγνοουμένου, καὶ διὰ τοῦτο παρὰ πᾶσιν ἀμφιβαλλομένου, περὶ ταύτης σε φιλοσοφῆσαι χρή, ἵνα εἰδέναι ἔχοιμεν πότερον καὶ κατ' αὐτὸν δὴ τοῦτον διαφωνοῦμεν, ἢ τούτου γε συμφώνου ἡμῖν ὄντος περὶ τοῦ ἀποτελέσματος τοῦ ἐκ τῆς ἑνώσεως ἐστιν ἡμῖν ἡ ζήτησις· καὶ πότερον περὶ τῶν πραγμάτων αὐτῶν, ἢ περὶ τῶν σημαινουσῶν ταῦτα φωνῶν. Οὕτω γὰρ εὐκρινοῦς τῆς ζητήσεως γεγενημένης, καὶ τῆς τῶν πραγμάτων ἀληθείας ἀναφανείσης, ὁ ἀμαθῶς ἢ ἀσεβῶς ἀντιλέγων δειχθή- D σεται, ἢ διορθωθησόμενος, ἢ ἐν δίκῃ μεμφθησόμενος. Τὴν ἕνωσιν τῆς θεότητος πρὸς τὴν ἀνθρωπότητα οἱ μὲν κατ' οὐσίαν, οἱ δὲ κατ' ἐνέργειαν, οἱ δὲ κατὰ γνώμην γεγενῆσθαι ἀπεφήναντο. Εἰσὶ δὲ οἳ καὶ εὐλάβειαν περιττὴν ἢ ἔχοντες ἢ ὑποκρινόμενοι, μηδετέρῳ τῶν εἰρημένων προσέθεντο, ἄρρητον δὲ αὐτὴν καὶ ἀκατονόμαστον γεγενῆσθαι ἀπεφήναντο, εἴτε οὕτω ἔχοντες, εἴτε οὔ, τοὺς ἐλέγχους ὑφορώμενοι τῆς ἀσεβείας. Ἑωράκαμεν γὰρ καὶ νῦν τινας, οἳ πάνυ ῥητήν τε καὶ πεπατημένην τὴν περὶ τῆς ἑνώσεως ἔννοιαν ἔχοντες, ἄρρητον αὐτὴν ἔλεγον, ἵνα μὴ μόνον τῷ ἐναντίῳ τὸ ἐναντίον κατασκευάσωσι, τουτέστι τῷ ἀρρήτῳ τὸ ῥητὸν, ἀλλὰ καὶ τοὺς ἐλέγχους ἐκκλίνωσιν. Ὥσπερ ἀμέλει καὶ ἕτεροι, ἐπὶ τῆς σαρκὸς τοῦ

aliam secernendi. Multa vero etiam de sensu et phantasia, et de vitali et organico spiritu; qui continet animal, qui alius spiritus est, ut aiunt, præter rationalem.

Sicut ergo ad significanda hæc omnia satis est dicere carnem, vel corpus hominis; et rursus satis est nominando animam rationalem, declarare partes in quas divisa est; nec enim fideles loqui artificiose consueverunt, nec hoc eis placet; sic satis est nominasse hominem, vel naturam hominis ad declaranda omnia ex quibus compositus est, et in quibus esse cognoscitur. Isti autem talia captiose loquuntur, non ut hominem perfectum ostendant, sed ut Dominum calumnientur, et eum a salute nostra alienent; quasi vel non assumpsisset a principio humanitatem nostram, vel non servasset incolume, quod ex nobis habuit salutis totius naturæ pignus, quod excidere non poterat. Sed sciant, quod confessio partium, ut dixi, index est incolume esse totum; iterata vero partium in partes divisio non est dogmaticæ brevitatis, neque sermonis secundum Evangelium concisi, sed scepticæ speculationis et artificii supervacanei, et plerisque difficilis ad intelligendum. Partes enim Christi non confusæ, sunt divinitas et humanitas; anima vero et corpus non sunt partes Christi, sed partes partis; quibus declaratis, per significationem perfectam humanitatis naturalis, supervacua est subdivisio in naturas partium, nisi post subdivisiones quibus prius in homine communi usi sumus, reliquam divisionem velint inducere; ut hinc non tres tantum, secundum eos, sed etiam plures naturas in Christo profiteri oporteat: quo quid esse potest magis joculare?

« Quandoquidem universum bellum motum est de modo unionis quem plerique ignorant, et idcirco omnibus in dubium venit; de hac unione philosophari oportet, ut scire possimus, utrum de hoc ipso dissentiamus; an vero nobis de hoc consentientibus quæstio sit, quid efficiat unio; et utrum de rebus ipsis sit controversia, an de vocibus res ipsas significantibus. Sic enim quæstione distincte habita, et veritate rerum ostensa, qui imperite aut impie contradicit, patefiet, vel corrigendus, vel in judicio vituperandus. » Unionem divinitatis cum humanitate alii secundum substantiam factam esse affirmarunt, alii secundum energiam, alii secundum voluntatem. Sunt autem qui nimiam reverentiam in Deum vel habentes vel simulantes, nullo ex his modo factam dixerunt, sed ineffabilem esse et carere nomine affirmarunt; sive ita haberent, sive non, metuebant certe ne impietatis arguerentur. Vidimus enim etiam nunc quosdam, qui cum notionem unionis valde expressam et tritam haberent, ἄρρητον, id est ineffabilem, eam vocabant: ut non solum contrario contrarium efficerent, id est, dicendo esse ineffabilem, vulgatam facerent, sed ut argumenta quibus redarguerentur, effugerent. Sicut alii sane, ut car-

nem Domini magis ficte apparere, quam in ea confusionem factam esse defendere studerent, incarnatum esse ut voluit, et ut ipse novit, aiebant. Non enim ut hæc probent, ad reverentiam revera a reverentia alienam se conferunt, alioqui veritas hos ad lumen suum adduceret; sed ut licenter impietate abutantur, ad honesta nomina, tanquam ad propugnaculum quoddam validum et inexpugnabile confugiunt. Vere enim neque dici nec intelligi potest unio secundum substantiam, et substantialis, et in hypostasi. Quomodo enim quæ tantopere secundum naturam differunt, et tam longe distant, inter se coierunt, et unita non sunt confusa (24); sed potius unum est, et duo noscuntur, et nec unitate personæ commista sunt: neque propter proprietates naturarum in hypostases divisa sunt. Hæc sola fides capit, et Verbum divinum, quod non pronuntiatione vocis, sed illuminatione intelligentiæ hæc declarat; et eos qui digni sunt, doctrina non sonante, sed tacita erudit.

De eis igitur qui ex reverentia ægrotant, donec quid eis propositum sit, non est manifestum, neque verbum faciendum est; qui vero neque ex lumine, si id nacti sunt, fiduciam capiunt, nec quod animas tenebris circumfusas habeant, moleste ferunt, tanquam insanabiles a nobis rejiciantur: de aliis vero sic disseremus. Qui unionem non secundum substantiam, sed secundum operationem aut beneplacitum, aut aliam quamdam hujusmodi habitudinem factam esse tradunt; ad veritatem quidem nullo modo proxime accedunt; mendacium vero, quod multiplex est, partiti sunt, aliis aliam partem ejus avellentibus, et in unam aberrationem a veritate, inter se conciliatis. Qualis enim potest esse hæc unio, et quomodo digna nomine unionis illius supra naturam, et quæ sola est post solam et primam, quæ non colligat res, et in id ipsum adducit? Unde admirari licet, quod, cum hujusmodi unionem isti profiteantur et celebrent, illud non confusas esse naturas, et illud immutabile eorum opponunt; quam enim mutationem suspicari jure possunt in divisione rerum, qui dignitates quidem in dignitatem confundunt (non enim dignitates dignitas unquam fieri possunt sine confusione, sicut neque naturæ natura sine mutatione), substantias vero separant? nec enim unio rerum est unio dignitatis. Alioqui cunctos qui divinam dignitatem sortiti sunt, in unum cum divina substantia conjungemus, et duas naturas esse in singulis sanctis docebimus: quantitas enim dignitatis omnino dividit ea quæ secundum dignitatem differunt; sed quanta fuerit, tantum conjunget naturas: nec enim omnino eas separabit, non separato eo quod conjungit. Quantum enim participant dignitatem, tantum participare debent rationem naturæ.

A Κυρίου τὴν φαντασίαν κρατύνειν, ἢ τὴν σύγχυσιν σπουδάζοντες, ἐσαρκώθη, φασὶν, ὡς ἠθέλησεν, καὶ ὡς μόνος οἶδεν αὐτός. Οὐ γὰρ ἵνα ταῦτα παραστήσωσιν, ἐπὶ τὴν ὄντως ἀνευλαβῆ χωροῦσιν εὐλάβειαν· ἢ γὰρ ἂν πρὸς τὸ ἑαυτῆς ἦγε φῶς τούτους ἡ ἀλήθεια, ἀλλ' ἵνα κατ' ἐξουσίαν ἀποκέχρηνται τῇ ἀσεβείᾳ ἐπὶ τὰ σεμνὰ τῶν ὀνομάτων, ὡς εἴς τι κρατερόν τε καὶ ἀνάλωτον φρούριον καταφεύγουσιν. Ἄῤῥητος γὰρ ὄντως ἐστὶν καὶ ἀνεννόητος μόνη ἡ κατ' οὐσίαν τε καὶ οὐσιώδης καὶ ἐνυπόστατος ἕνωσις. Πῶς γὰρ τὰ τοσοῦτον κατὰ τὴν φύσιν παρηλλαγμένα, καὶ μακρῷ διῳκισμένα ἀλλήλοις τε συνέβη, καὶ κραθέντα οὐ συγκέχυται; ἀλλὰ καὶ ἔστιν ἓν, καὶ γνωρίζεται δύο, καὶ οὔτε τῷ μοναδικῷ τοῦ προσώπου συμπέφυρται, οὔτε διὰ τὰς ἰδιότητας τῶν φύσεων εἰς ὑποστάσεις B μερίζεται. Ταῦτα πίστις χωρεῖ μόνη, καὶ λόγος θεῖος, ὁ μὴ ἐν προφορᾷ λέξεως, ἀλλ' ἐν τῇ κατ' ἔννοιαν ἐλλάμψει τρανῶν ταῦτα, καὶ ἀφθέγκτοις διδασκαλίαις μυσταγωγῶν τοὺς ἀξίους.

Τοὺς μὲν οὖν περὶ τὴν εὐλάβειαν νοσοῦντας, ἕως ἐστὶν ὁ σκοπὸς ἄδηλος, οὐδὲ λόγου ἀξιωτέον· οἱ γὰρ μήτε τὸ φῶς παῤῥησιαζόμενοι, ἂν τούτου τύχοιεν ἔχοντες, μήτε σκότῳ συγκαλυφθῆναι αὐτῶν τὰς ψυχὰς δυσχεραίνοντες, ὡς ἀνιάτως ἔχοντες, καὶ πρὸς ἡμῶν διαπτυέσθωσαν· περὶ δὲ τῶν ἄλλων, οὕτω διαλεξώμεθα. Οἱ τὴν ἕνωσιν μὴ κατ' οὐσίαν, ἀλλὰ κατ' ἐνέργειαν, ἢ εὐδοκίαν, ἢ ἄλλην τινὰ τοιαύτην σχέσιν δογματίσαντες, κατ' οὐδὲν μὲν τῇ ἀληθείᾳ ἐγ- C γίζουσι· τὸ δὲ ψεῦδος πολυσχιδὲς ἂν ἐμερίσαντο, ἄλλοις ἄλλην τινὰ μοῖραν αὐτοῦ παρασπασάμενοι, καὶ εἰς ἓν ἀλλήλοις ἐλθόντες τῇ ἀποτεύξει τῆς ἀληθείας. Ποία γὰρ ἂν εἴη αὕτη, καὶ πῶς τοῦ τῆς ἑνώσεως ἀξία ὀνόματος, τῆς ὑπερφυοῦς καὶ μόνης μετὰ τὴν μόνην καὶ πρώτην, ἣ μὴ τὰ πράγματα συνδέουσα καὶ εἰς ταὐτὸν ἄγουσα; Ὅθεν καὶ θαυμάζειν ἔπεισί μοι, ὅτ' ἂν αὐτῶν τὴν τοιαύτην ἕνωσιν πρεσβευόντων, τὸ ἀσύγχυτον προσρίπτεται καὶ τὸ ἄτρεπτον· ποίαν γὰρ ὑφορᾶσθαι τροπὴν αὐτοὺς δίκαιον ἐν τῇ διαιρέσει τῶν πραγμάτων, τὰς μὲν ἀξίας εἰς μίαν ἀξίαν συγχέοντας (οὐ γὰρ αἱ ἀξίαι ἀξίαι ποτ' ἂν γένοιντο ἀσυγχύτως, ὥσπερ οὐδὲ αἱ φύσεις μία φύσις ἀτρέπτως), τὰς δὲ οὐσίας χωρίζοντας; οὐ γὰρ πρα- D γμάτων ἕνωσις, ἡ τῆς ἀξίας ἕνωσις. Ἢ οὕτω γ' ἂν καὶ πάντας τοὺς τῆς θείας λελογχότας ἀξίας, εἰς ταὐτὸν ἄξωμεν τῇ θείᾳ οὐσίᾳ, καὶ δύο φύσεις ἐφ' ἑκάστου τῶν ἁγίων δογματίσωμεν· τὸ γὰρ ποσὸν τῆς ἀξίας, οὐ πάντη χωρίζει τὰ κατὰ τὴν ἀξίαν διάφορα, ἀλλ' ὁπόση ἂν εἴη, κατὰ τοσοῦτον συνάψει καὶ τὰς φύσεις· οὐ γὰρ δὴ πάντη αὐτὰς χωρίσει τοῦ συνάπτοντος, μὴ πάντη κεχωρισμένου. Ὁπόσον γὰρ μετέχουσι τῆς ἀξίας, μετέχειν ὀφείλουσι καὶ τῆς τοῦ λόγου φύσεως.

(24) *Unita non sunt confusa.* Utuntur orthodoxi scriptores vocabulo κράσεως, q. d. *mistionis*, in mysterio incarnationis explicando; sed utuntur sensu bono et commodo, ut præcise unionem significet. Photius de Eulogio patriarcha Alexandrino: Κέχρηται δὲ καὶ τῇ λέξει τῆς Κράσεως εὐσεβῶς μέν. *Usus est et Craseos vocabulo: sed pie testatus se id non usurpare more amentis Apollinarii, neque impii Eutychis, sed ut pietatis regula præscribit.* Turr.

Εἰ δέ τινι ἑτέρῳ τῶν ἐν τῇ Τριάδι συνάψαι βούλονται, τοὺς παρὰ τὸν Χριστὸν λοιποὺς ἁγίους, τῆς ἐν ἀσεβείᾳ αὐτῶν ἔστω ἐξουσίας· κεχρηματίκασι γὰρ θεοί τε καὶ υἱοὶ Θεοῦ καὶ πνεύματα ἅγια, κατὰ τό· *Ὁ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστι*. Πῶς τοίνυν, πάσης τῆς λογικῆς καὶ μακαρίας κτίσεως, ὅση τε ἐν ἀγγέλοις καὶ ὅση ἐν ἀνθρώποις, τῆς θεοποιοῦ καὶ υἱοποιοῦ τοῦ Πνεύματος χάριτος πληρωθείσης, μόνοις ὁ ἐκ Παρθένου πεφηνὼς Θεός τε ἐκλήθη καὶ Υἱὸς Θεοῦ ἐν τῷ λόγῳ, καὶ κατὰ τὸν λόγον, προσκυνεῖταί τε παρὰ πάσης λογικῆς φύσεως; Ἔδει γὰρ τοὺς ἀθέους εἰδέναι, ὅτι εἰ καὶ τὸ ἐξαίρετον τῆς ποικίλης διανομῆς, πρόσεστι τοῖς ὑπερτέροις παρὰ τοὺς ὑφειμένους, ἀλλὰ κοινὸν τὸ ἐφάπασι τῆς ἐνεργείας χάρισμα, καὶ τῆς ἀξίας δώρημα· καὶ ἢ κἀκείνας μετὰ τοῦ Θεοῦ Λόγου, ἢ οὗ γε βούλονται ἑνὸς τῶν ἐν τῇ ἁγίᾳ Τριάδι θεωρουμένων, ἢ καὶ ὅλης τῆς σεβασμίου Τριάδος εἰς δύο συνάπτειν φύσεις, καὶ δύο ἢ τρεῖς ἢ τέσσαρας ὑποστάσεις διαιρεῖν. Ἢ μηδὲ τούτων μετὰ τῆς φύσεως τοῦ Θεοῦ Λόγου συνάπτειν, καὶ εἰς ἕνα Υἱὸν ἢ συντιθέναι, ἢ ὁμωνύμως αὐτὸν ποιεῖν πρὸς τὸν πρωτότυπον Υἱὸν, καὶ μὴ φρονεῖν μὲν ἄλλα, φθέγγεσθαι δὲ ἕτερα. Μιᾶς γὰρ οὔσης τῆς φυσικῆς υἱότητος, ἐξ ἧς κατὰ μετοχὴν πᾶσα υἱότης, ἀνάγκη τὸν ἀποσχεδιασθέντα αὐτοῖς ἄνθρωπον ἢ τῆς φυσικῆς μετέχειν υἱότητος, ἢ τῆς ἐκ χάριτος γινομένης· καὶ ἢ πρὸς τὸν Μονογενῆ συνάπτειν αὐτὸν, ὡς τῆς ἑνώσεως τῆς κατ' οὐσίαν ἀντιδιδούσης τὰ τῇ θατέρᾳ φύσει προσόντα τῇ θατέρᾳ· ἢ εὐσεβεῖν μὴ ἀνεχομένους, προφανῶς αὐτὸν τοῖς λοιποῖς συντεταγμένως ἀφορίζειν. Οἱ δὲ τὴν μὲν ἀσέβειαν οὐ παῤῥησιάζονται (φύσει γάρ ἐστιν ἀπαῤῥησίαστον τὸ κακὸν), τὴν δὲ ἀλήθειαν οὐκ ἀγαπῶσιν, οὐδὲ τῆς δολιολάλου γλώσσης τὰ ἐπίχειρα δεδίασιν.

Ἀλλ' οὗτοι μὲν ἔξω θείου χοροῦ ἀπεληλάσθωσαν, μετὰ τῶν τῆς ἀσεβείας πατέρων Νεστορίου τε, καὶ ὅσοι τούτῳ μυσταγωγοί τε καὶ μύσται γεγόνασιν. Τῆς δὲ κατ' οὐσίαν ἑνώσεως μεγαλοφώνως κηρυττέσθω ἡ ἀλήθεια, καὶ περὶ ταύτης φιλοσοφητέον, καθὼς αὐτῇ δοκεῖ. Κίνδυνος γὰρ οὐ μικρὸς παρατραπέντας αὐτῆς, εἰς τὸ ἐναντίον μὲν, ἴσον δὲ κακὸν, τὴν σύγχυσίν φαμεν, ἐμπεσεῖν. Ἵνα δὲ ἡμῖν γνώριμος ἡ διαφορὰ γένηται, τῆς τῶν κατ' οὐσίαν ἡνωμένων, καὶ μὴ τρεπομένων πρὸς τὰ ἐκ τῆς ἑνώσεως τρέπεσθαι πεφυκότα, καὶ τί μὲν τὸ τῆς προτέρας εἶδος, τί δὲ τὸ τῆς δευτέρας ἀποτέλεσμα, ἤδη γινέσθω ἡ διαίρεσις. Πάντα τὰ ὄντα συνῆπται ἀλλήλοις, ταῖς καθ' ὅλου κοινότησι, καὶ πάλιν διῄρηται ἀπ' ἀλλήλων ταῖς εἰδοποιοῖς διαφοραῖς, καὶ οὐδὲ ταῖς ἑνώσεσι τὸ ἡνωμένον χωρίζουσιν, ἀλλ' εἰ χρὴ παραδόξως εἰπεῖν καὶ κατὰ τοὺς Πατέρας, ἥνωνται διῃρημένως, καὶ διακέκρινται συνημμένως. Τῶν δὲ ἑνώσεων καὶ τῶν διακρίσεων διττὸς ὁ λόγος. Τὰ μὲν γὰρ ἥνωται τοῖς εἴδεσι, διῄρηται δὲ ταῖς ὑποστάσεσι. Τὰ δὲ διῄρηται τοῖς εἴδεσιν, ἥνωται δὲ

A Si autem cum altera persona sanctæ Trinitatis copulare volunt reliquos sanctos præterquam cum Christo, sit hoc potestatis, quam habent in impietate; vocati namque sunt Dei, et filii Dei, et Spiritus sancti; sicut Apostolus ait, *Qui adhæret Deo, unus spiritus est* [a]. Quomodo ergo, cum omnis creatura rationalis et beata, quæcunque est in angelis et hominibus, plena sit gratia deificante, et adoptante Spiritus sancti, solus natus ex Virgine, Deus, et Filius hominis in Scriptura vocatus est; et secundum Scripturam adoratur ab omni rationali natura? Oportebat namque impios scire, quod, etsi præcipua pars variæ distributionis inest in celsioribus comparatis cum inferioribus; commune tamen esse cum omnibus charisma operationis et B donum dignitatis; et vel illas cum Verbo Dei, vel cum una quam volunt, ex personis sanctæ Trinitatis, vel cum tota veneranda Trinitate conjungere in duas naturas; et duas aut quatuor hypostases dividere. Aut si non cum his, cum natura Verbi Dei conjungere, et vel in unum Filium componere, vel ipsum unum facere homonyme Filium comparatum cum Filio primogenito: hæc, inquam, oportebat impios istos scire, et non alia loqui. Cum enim una sit naturalis habitudo Filii, ex cujus habitudinis participatione omnis habitudo filii exsistit; necesse est hominem quem ipsi faciunt, aut naturalem habitudinem filii participare, aut illam quæ ex gratia fit; et vel ipsum cum Unigenito C conjungere tanquam unione secundum substantiam reddente mutuo alteri naturæ, quæ alteri insunt: aut pios esse non patientes, aperte ipsum in eumdem ordinem cum aliis redigere. At hi in impietate quidem non fidenter audent; natura enim malum diffidentiam creat: veritatem vero non amant, neque rursus præmia linguæ dolosæ metuunt.

Verum isti quidem excludantur ex divino cœtu cum parentibus hujus impietatis Nestorio et aliis, quicunque hunc docuerunt, et quos ipse docuit. Unionis vero secundum substantiam veritas magna voce prædicetur; et de hac philosophandum est, ut ipsi veritati placet. Non enim leve periculum, si quis ab hac deflexus, et detortus in contrarium quidem, æquale vero malum, confusionem dico, D incidat. Ut autem nota sit differentia unionis eorum quæ secundum substantiam uniuntur, et non mutantur in ea, quæ ex unione, natura mutantur: et quæ species sit prioris unionis, et quis effectus secundæ, fiat jam divisio. Omnia quæ sunt conjunguntur inter se communitatibus universalibus; et rursus divisa sunt inter se differentiis specificis, et nec unionibus confundunt divisum, neque divisionibus separant unitum. Quin potius si oportet loqui præter opinionem vulgi et secundum Patres, unita sunt divise; et divisa unite. Unionum autem, et divisionum duplex est ratio. Alia enim unita quidem sunt speciebus; divisa vero hypostasibus.

[a] I Cor. VI, 17.

Alia divisa sunt speciebus, unita vero hypostasibus: et eorum quæ unita sunt speciebus, divisa autem hypostasibus, partim simplicem unionem et divisionem habent; partim compositam. De iis igitur quæ simplicem habent habitudinem, non est nunc dicendum, non enim ad quæstionem præsentem pertinet illorum per partes explicatio: ac interim multorum cognitionem, et disciplinam subterfugere. Sed de habitudinibus secundum compositionem, id est, connexionem, vel κρᾶσιν, vel unionem, vel quomodocunque vocare libet substantiales habitudines eorum quæ diversæ speciei sunt, dicendum nobis est, rejectis ad eos qui de nominibus certant, significationibus magis manifestis, aut magis propriis, ut ipsi putant. Non enim nobis vacat ad eligendum voces, qui ad intelligendum properamus.

A ταῖς ὑποστάσεσι· καὶ τῶν ἡνωμένων μὲν τοῖς εἴδεσι, διῃρημένων δὲ ταῖς ὑποστάσεσι, τὰ μὲν ἁπλῆν ἔχει τὴν ἕνωσίν τε καὶ τὴν διάκρισιν, τὰ δὲ σύνθετον. Περὶ μὲν οὖν τῶν ἁπλῆν ἐχόντων τὴν διττὴν σχέσιν, τὰ νῦν λέγειν ἀφείσθω· οὐ γὰρ τῆς παρούσης σκέψεως ἡ ἐκείνων εἰς τὰ κατὰ μέρος ἐξάπλωσις, καὶ ἄλλως τὴν τῶν πολλῶν διαφεύγειν γνῶσίν τε καὶ μάθησιν. Περὶ δὲ τῶν κατὰ σύνθεσιν, ἤγουν συμπλοκὴν, ἢ κρᾶσιν, ἢ ἕνωσιν, ἢ ὅπως ποτὲ φίλον καλεῖν, τὰς οὐσιώδεις τῶν ἑτεροειδῶν σχέσεις λεκτέον ἡμῖν, τοῖς ὀνοματομάχοις καταλιποῦσι τὰς, ὡς αὐτοὶ νομίζουσιν, ἐμφαντικωτέρας ἢ κυριωτέρας τῶν σημασιῶν. Οὐ γὰρ ἐκλογῆς λέξεων ἡμῖν σχολὴ ἐπὶ τὸ νοεῖν ἐπειγομένοις.

Eorum igitur quæ substantialiter sunt, et secundum substantiam uniuntur, partim etiam in unione servant propriam rationem essentiæ; partim confundunt, et lædunt ac tollunt, quod summum est in unitis. Priorum igitur habitudo, quæ inter ipsa et in ipsis cernitur, unum quidem ex utrisque perficit, et, ut ita dicam, demonstrat unum numero esse, et ea differentiam essentiæ in ipsa eadem unitate servare: atque hujus rei exemplum sit, in animalibus quidem homo naturæ nostræ; in simplicibus autem, aut corporibus naturalibus eorum quæ hypostasim habent, et per se esse possunt, talis habitudo inter ipsa. Ut, verbi gratia, in lampade licet cernere; aliud enim est lucerna, aliud rursus substantia ignis flammea: inter se autem, et in seipsis unita unam faciunt ambo lampadem. Ut si quis dicat, etsi durum videatur, ignis est ligneus; et lignum igneum: et hoc quidem participavit splendorem ignis; ille vero, id est ignis, terrenam crassitudinem ex face; et alterum alteri reddidit vicissim idiomata, cum ambo alioqui in proprietate sua fixa, et non confusa maneant.

B Τῶν τοίνυν οὐσιωδῶς ὑπαρχόντων καὶ κατ' οὐσίαν ἑνουμένων, τὰ μὲν κἂν τῇ ἑνώσει σώζει τὸν ἴδιον τῆς ὑπάρξεως λόγον, τὰ δὲ συγχεῖται καὶ ἐξαφανίζει τὴν ἀκρότητα τῶν ἡνωμένων λυμαινόμενα. Τῶν οὖν προτέρων ἡ μετ' ἀλλήλων καὶ ἐν ἀλλήλοις θεωρουμένη σχέσις, ἓν μέν τι ἐξ ἀμφοτέρων ἀποτελεῖ, καὶ ὡς ἄν τις εἴποι, ἓν εἶναι τῷ ἀριθμῷ ἀποδείκνυσι, τὸ διάφορον σώζοντα τῆς ὑπάρξεως ἐν τῷ ταυτῷ τῆς ἑνότητος· καὶ τούτου παράδειγμα, ἐν μὲν ζώοις ὁ καθ' ἡμᾶς ἄνθρωπος, ἐν δὲ τοῖς ἁπλοῖς ἢ φυσικοῖς σώμασιν ἡ τῶν αὐθυποστάτων καὶ καθ' ἑαυτὰ εἶναι δυναμένων πρὸς ἄλληλα ποιὰ σχέσις. Οἷον ὡς ἐπὶ λαμπάδος ἔστι θεωρῆσαι· ἄλλο μὲν γάρ τί ἐστιν ἡ θρυαλλὶς, ἕτερον δὲ πάλιν ἡ φλογώδης τοῦ πυρὸς οὐσία· σὺν ἀλλήλοις δὲ καὶ ἐν ἀλλήλοις ὄντα, μίαν C πεποίηκεν ἀμφότερα λαμπάδα. Καὶ ὡς ἄν τις ἐκβιασάμενος εἴποι, πῦρ ἐστιν ἐξυλωμένον, καὶ ξύλον ἐμπεπρησμένον, καὶ τὸ μὲν τῆς τοῦ πυρὸς μετέσχε λαμπρότητος, τὸ δὲ τῆς κατὰ τὴν δᾷδα κεκοινώνηκε γεώδους παχύτητος, καὶ ἀντιδέδωκε θάτερον θατέρῳ τῶν ἰδιωμάτων, ἐν τῇ μονίμῳ ἑαυτῶν καὶ ἀσυγχύτῳ ἰδιότητι μείναντα.

Nemo vero male feriatus et otio abutens exemplum carpat, si quid dissimile habet, proferens oleum, quod in hac unione medium est, aut qualitatem olei subjectam, aut non durare diu, sed in cinerem redigi; memor eorum quæ antea diximus de exemplo, et de ejus definitione; eadem reperiri potest unio ignis cum aere; et aeris cum aqua: mistio enim aquæ cum terra speciem attingit confundentem unionem; præparatque humidis, et tenuibus, præcipuis vero secundum immutationem qualitatum, et variationem ex mutua affectione proficiscentem. Prætereo enim dicere qualitates quæ, separatis substantiis, sæpenumero inter se sunt unitæ sine mistione; sicut stellarum lucentium splendores inter se et cum aere unitæ, servant proprietatem quanti in quali: demonstrat hoc ars, quæ naturæ est imitatrix. Si quis igitur, ut magnus Dionysius ait, multas faces accensas in una domo includat, deinde unam ex omnibus educat e domo, simul exibit cum hac et lumen proprium,

Μηδεὶς δὲ κακόσχολος πάλιν λαμβανέσθω τοῦ παραδείγματος, εἴ τι ἀνόμοιον ἔχοι, τὸ ἔλαιον προφέρων, τὸ μεσιτεῦον τῇ τούτων ἑνώσει, ἢ τὴν ὑποκειμένην ἐλαιώδη ποιότητα, ἢ τὸ μὴ διαρκεῖν ἐπὶ χρόνον, ἀλλὰ τεφροῦσθαι, μνημονεύων ὧν ἔμπροσθεν εἰρήκαμεν περὶ παραδείγματος καὶ τοῦ κατ' αὐτοῦ ὅρου· ἡ δ' αὐτὴ ἂν εὑρεθείη καὶ πυρὸς πρὸς ἀέρα σύγκρα- D σις, καὶ ἀέρος πρὸς ὕδωρ· ἡ γὰρ ὕδατος πρὸς γῆν μίξις, ἡ δὴ τοῦ συγχυτικοῦ τῆς ἑνώσεως ἅπτεται εἴδους, ὁδοποιοῦσα τοῖς ὑγροῖς τε καὶ λεπτομερέσι, διαφόροις δὲ κατὰ τὴν τῶν ποιοτήτων ἐξαλλαγὴν τὴν ἐκ τῆς ἀντιπεπονθήσεως γινομένην τῶν ἄκρων μεταβολὴν καὶ ἀλλοίωσιν. Παρίημι γὰρ τὰς ποιότητας λέγειν, αἳ καὶ τῶν οὐσιῶν κεχωρισμένων, πολλάκις ἐν ἀλλήλαις τε γίνονται, καὶ ἀμιγῶς συνάπτονται· ὥσπερ τῶν φωσφόρων ἄστρων αἱ μαρμαρυγαὶ, ἀλλήλαις τε καὶ ἀέρι κιρνάμεναι σώζουσι τὴν ἰδιότητα τοῦ ἐν τῷ ποιῷ ποσοῦ· παρίστησι δὲ τοῦτο ἡ τέχνη, τῆς φύσεως οὖσα μιμητική. Εἴ γ' οὖν τις, κατὰ τὸν μέγαν Διονύσιον, πολλὰς ἐξάψας δᾷδας ἐν

ἐνὶ οἴκῳ συγκλείσειεν, εἶτα μίαν ἐκ πασῶν ἀποσπάσας ἐξαγάγοι τοῦ δωματίου, συνεξοίσει ταύτῃ καὶ τὸ φῶς, οὔτε τι τοῦ ἰδίου πάλιν αὐτοῖς ἀπολιπούσης, καὶ καθ' ὅλου φάναι, οὐδὲν τῶν ἑνουμένων τροπὴν ἢ σύγχυσιν ὑφίσταται, μὴ οὐχὶ ἑκατέρου τῶν ἑνουμένων παθητικὰς ἔχοντος ποιότητας. Τῶν γὰρ μὴ τοιούτων, ἡ μὲν δραστήριος ποιήσαι ἄν, καὶ οὐ πάθοι· ἡ δὲ παθητικὴ. πάθοι ἄν, καὶ οὐ δράσειεν· ὧν δὲ κοινὸς ὁ λόγος τῆς ἀντιπεπονθήσεως, ταῦτα κατὰ τὴν ἐπικράτειαν ἢ τὴν ἰσονομίαν τῶν παθοποιῶν αἰτιῶν, τὴν ἐν θατέρῳ πάσχει τε καὶ ποιεῖ, ἐπὶ πλεῖον ἢ ἔλαττον. Ὥσπερ ἔχει ἐπὶ πάντων τῶν τηκτῶν, καὶ τῶν μεταλλικῶν, καὶ ὅσα τοῖς ἰατροῖς ἢ τοῖς βαναύσοις κιρνᾶσθαι ἢ συντήκεσθαι κατὰ τὴν τέχνην μεμηχάνηται.

Τούτων τοίνυν προδιεσταλμένων ἡμῖν, εἰδέναι χρὴ ὅτι τὰ μὲν ἀλλοιωτικὰ ἀλλήλων καὶ μεταβλητικὰ, ἐκ πολυειδῶν καὶ ἑτεροουσίων συνεστῶτα, οὐδὲν τῶν ἐν τῇ συνθέσει ἀποσώζει ἀκραιφνὲς μετὰ τὴν σύνθεσιν, ἀλλὰ τὰς πάντων ἰδιότητας μίξασα καὶ συγχέουσα ἐκ πάντων παρὰ πάντα, ἑτεροῖον εἶδος πάμμικτον ἀπετέλεσε, καὶ γέγονε πολλῶν ὑποστάσεων καὶ φύσεων κατὰ τὴν μίξιν φυρμὸς καὶ σύγχυσις, οὔτε τὸ ἰδιάζον τῆς ὑποστάσεως, οὔτε τὸ κοινὸν τῆς φύσεως φυλάξασα, ἀλλ' ἕτερον ἐκ τούτων μὲν γενόμενον, οὐδενὶ δὲ ταυτὸν ἀφ' ὧν γέγονεν ἀποτελέσασα. Εἰ τοίνυν θεότης καὶ ἀνθρωπότης κατ' οὐσίαν ἑνωθεῖσαι μὴ φυλάττουσι κἂν τῇ ἑνώσει τὴν ἑαυτῶν φυσικὴν ἰδιότητα, συγκέχυνται, καὶ οὔτε θεότης ἔμεινεν, οὔτε ἀνθρωπότης, ἀλλ' ἕτερον οὐσίας εἶδος ἐκ τούτων γενόμενον, καὶ οὐχὶ ταῦτα ὑπάρχον ἀποτετέλεκεν. Οὗ τί ἂν γένοιτο ἀσεβέστερον ἢ βδελυκτότερον κἂν ἐννοῆσαι, μὴ ὅτι φρονοῦντας δογματίσαι; Λείπεται τοίνυν ἐκ τῆς ἐξετάσεως τοῦ λόγου τῆς κατ' οὐσίαν ἑνώσεως, τῆς τε θεότητος καὶ τῆς ἀνθρωπότητος τὴν ἀσύγχυτον ἰδιότητα, κατὰ τὰ πρότερα λαβεῖν ὑποδείγματα, ἀμυδρὰν δέ τινα φαντασίαν ἐκ πάντων τῆς ὑπὲρ πάντα ἀληθείας συλλεγομένοις, ἥτις ἀποδείκνυσιν, ἕν μέν τι τούτων εἶναι τὸ ἀποτέλεσμα, ὃ εἴτε πρόσωπον, εἴτε ὑπόστασιν, εἴτε ἄτομον, εἴτε ὑποκείμενον, εἴτε τι ἄλλο φίλον καλεῖν αὐτὸ, οὐ διαφέρομαι. Τοὺς γὰρ ἀξίᾳ ἢ αὐθεντίᾳ, ἤ τινι τοιαύτῃ σχέσει διαιρετικῇ διὰ τοῦ συνάπτειν χωρίζοντας, πρώην ἀποῤῥαπίσας ὁ λόγος ἀποδεδίωχεν, ὑποστάσεσι τὰς φύσεις διαιροῦντας ἐλέγξας, καὶ μηδεμίαν κοινωνίαν ἢ ἀντίδοσιν ἐχούσας ἢ ἀντιδιδούσας.

Τούτων εἰρημένων, κατὰ τὸ δεδομένον ἡμῖν ἐκ Θεοῦ τῆς νοήσεως μικρὸν μέτρον, παραπέμπομεν τὸν ἐντυγχάνοντα εἰς τὰς τῶν θεηγόρων Πατέρων διδασκαλίας, ἀφ' ὧν καὶ ἡμεῖς ταῦτα ἠντληκότες, ὡς ἐν μικρῷ κρατῆρι, τῷ τῆς ταπεινῆς ἡμῶν διανοίας λόγῳ ποτίσαι ἐσπουδάσαμεν τοὺς τῆς ἀληθείας ἐραστάς. Ὑμεῖς δὲ ἐπορεγόμενοι ὑπὸ τῆς ἀληθείας, ταῦτα μὲν ἔχοιτε λήθης φάρμακον, καὶ μετὰ τὴν τελευταίαν ἐκδημίαν ἡμῶν ἀγάπης ὑπόμνημα, ὡς ἂν μὴ τῷ χρόνῳ τὸ τῆς ἀγάπης καλὸν ἐκρυὲν οἰχή-

A nihil aliorum luminum sibi assumens, neque quidquam proprii luminis rursus illis facibus relinquens; et, ut universe dicam, nihil eorum quæ uniuntur, mutationem aut confusionem subit, nisi prius utrumque unitorum qualitates habeat passibiles: si enim non sunt ejusmodi, qualitas quidem efficiendi facultatem habens, faciet, non patietur; qualitas vero passibilis patietur, non efficiet. Quorum autem communis ratio est passionem accipiendi et reddendi, hæc secundum dominatum causarum efficientium passiones, quem habent in alterutro, aut æqualitatem, patiuntur et agunt. Sicut evenit in omnibus, quæ liquantur; et in metallis, et in iis omnibus quæ medici vel artifices igne utentes commiscere et liquare ex arte solent.

B His ergo prius distinctis, sciendum est, quod quæ habent vim mutandi se inter se constantia ex diversis speciebus, et substantiis nihil purum in compositione servant post compositionem: sed potius ars proprietatis omnium miscens et confundens, ex omnibus aliam præter omnia speciem ex toto commistam reddidit: fitque multarum hypostaseon et naturarum commistio et confusio, quæ neque proprium hypostasis, neque commune naturæ conservat; sed aliud ex his fit, quod cum nullo eorum ex quibus factum est, idem exsistit. Si igitur divinitas et humanitas secundum substantiam unitæ, non servant in unione suam naturalem proprietatem, confusæ sunt; et neque divinitas mansit,

C neque humanitas, sed alia species substantiæ ex his, quæ non est ista quæ unita sunt, confecta est. Quo quid esse potest magis impium, aut magis detestabile vel cogitare tantum, nedum sentire et docere? Reliquum igitur est, ut ex investigatione quæstionis unionis secundum substantiam et divinitatis et humanitatis proprietatem sine confusione secundum exempla superiora intelligamus, colligentes ex omnibus tenuem quamdam imaginem veritatis omnia superantis, quæ demonstrat unum quoddam ex his reddi, sive personam, sive hypostasim, sive atomum, sive subjectum, sive quid aliud appellare libet, non contendo. Eos enim, qui dignitate, vel auctoritate, aut aliqua hujusmodi habitudine dividente copulando separant, paulo

D ante disputatio nostra refutavit, et convicit naturas dividere hypostasibus, nullamque communionem vel inter se accipiendi vel reddendi habere. Ac de his hactenus secundum parvam mensuram intelligentiæ, quæ a nobis tributa est.

Mittimus deinceps lectorem ad doctrinam sanctorum Patrum, a quibus nos hæc tanquam in parvo vase ratione mentis nostræ humilis hausimus, et eos qui studio veritatis tenentur, potare studuimus. Vos autem quibus hæc porrexit veritas, habete ea tanquam remedium oblivionis, et post meum ab hac vita recessum tanquam monumentum amoris, ne lapsu temporis effluens abeat: retundite autem audaciores, et simpliciores manu ducite ad fulgorem veritatis purum et liquidum, qui per hæc in

sanctis Patribus cernitur, et orate pro nobis, qui hæc propter charitatem, ut conscientia testatur, et præter voluntatem conscribere sustinuimus. Deo autem gratias agimus pro omni dono ejus in omnibus, in sæcula sæculorum. Amen.

A σεται. Ἐπιστομίζοιτε δὲ τοὺς θρασυτέρους, καὶ χειραγωγοῖτε τοὺς ἁπλουστέρους, ἐπὶ τὴν διὰ τούτων ἀναφαινομένην ἐν τοῖς ἁγίοις Πατράσιν εἰλικρινῆ καὶ καθαρὰν τῆς ἀληθείας αὐγὴν, καὶ ἡμῶν ὑπερεύχεσθε, δι' ἀγάπην, ὡς τὸ συνειδὸς μαρτυρεῖ, ταῦτα συγγράψαι, καὶ παρὰ προαίρεσιν ἀνασχομένων. Τῷ δὲ Θεῷ εὐχαριστία ὑπὲρ πάσης τῆς ἐν πᾶσιν αὐτοῦ δωρεᾶς, εἰς τοὺς αἰῶνας. Ἀμήν.

PROOEMIUM.

Allaturus in medium auctoritates sanctorum Patrum, ad confirmationem eorum quæ scripsimus, rogo lectorem, ut advertat animum : prudentem enim auditorem requirit doctrina eorum, qui fuerunt admirabiles Spiritus sancti consiliarii. Laborat enim sermo, auribus imperitiæ sordibus onustis exceptus. *Sicut monile aureum*, ait sapiens in Proverbiis, *et sardium magni pretii alligatum, sic sermo sapiens in auribus bene audientium* [5]. Auditum igitur nostrum secundum sensum divinum, repurgemus ab omni onere ex anticipatione conflato, et mentem surdam reddente. Jam enim nubem testium, sicut Apostolus ait [6], producemus. Si forte tantis cedant qui repugnant. Siquidem propter contentionem a majoribus eorum traditam non produximus auctoritatem ambiguam, aut quæ dupliciter accipi posset, nec ignobiles Patres testes citavimus, sed potius clarissimos, et qui fuerunt splendidissima orbis lumina ad dicendum testimonium vocavimus. Produximusque testimonia manifestissima, et minime dubia; ut omnem eorum adversus veritatem excogitationem excluderemus. Non recitavimus testimonia, in quibus est, ex quibus et a quibus, et de quibus (scilicet naturis) et ante unionem, ut ipsis placet vocare, aut in unione, et non etiam post unionem; siquidem est secundum sapientiam istorum finis hujus unionis : sed indicavimus sanctos, qui in testimoniis suis dixerunt in quibus, et per quas, et utrasque, et per ambas, et ambas naturas, et substantias exsistentes, et servatas in unione, et in tempus infinitum indivisibiles in unione secundum substantiam hypostatica.

ΠΡΟΟΙΜΙΟΝ ΧΡΗΣΕΩΝ ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ.

Μέλλων τὰς χρήσεις παρατίθεσθαι τῶν ἁγίων Πατέρων πρὸς βεβαίωσιν τῶν ἡμετέρων λόγων, ἐπιστῆσαι τὸν νοῦν τὸν ἐντυγχάνοντα παρακαλῶ· συνετοῦ γὰρ δεῖται ἀκροατοῦ ἡ τῶν θαυμαστῶν τοῦ Πνεύματος συμβούλων παίδευσις. Κάμνει γὰρ λόγος ἀκοαῖς B ἐνηχῶν ἀπαιδευσίας ῥύπῳ βεβαρημέναις. *Ὥσπερ γὰρ ἐνώτιον χρυσοῦν, καὶ σάρδιον πολυτελὲς ἐνδέδεται, οὕτω λόγος σοφὸς εἰς οὖς εὐήκοον*, ἡ σοφὴ ἀπεφθέγξατο Παροιμία. Οὐκοῦν τὸ κατὰ τὴν θείαν αἴσθησιν ἀκουστικὸν ἡμῶν, παντὸς ἐκκαθάρωμεν ἄχθους τοῦ ἐκ προλήψεως συνισταμένου, καὶ ἀποκωφοῦντος τὸν νοῦν· ἤδη δὲ τὸ τῶν μαρτύρων νέφος, ᾗ φησιν ὁ Ἀπόστολος, ἐποίσομεν, ἂν ἄρα κἂν τοῖς τηλικούτοις εἴξωσιν οἱ ἀπειθοῦντες. Καὶ γὰρ τῆς αὐτῶν πατροπαραδότου φιλονεικίας ἕνεκεν, οὔτε διλήμματον ἢ ἀμφίβολον χρῆσιν παρηγάγομεν, οὔτε μὴν ἀσημοτέρους Πατέρας ἐπεμαρτυράμεθα. Αὐτοὺς δὲ τοὺς φανοτάτους, καὶ μέγα ἐν τῇ οἰκουμένῃ λάμψαντας ἐπεβοησάμεθα, καὶ τρανωτάτας καὶ ἀναμφιλέκτους μαρτυρίας εἰσκεκομίκαμεν, πᾶσαν αὐτοῖς C ἀποκλείοντες κατὰ τῆς ἀληθείας ἐπίνοιαν. Οὐ τὰς ἐξ ὧν ἢ ἀφ' ὧν ἢ παρ' ὧν, καὶ πρὸ τῆς ἑνώσεως, ὡς αὐτοῖς φίλον καλεῖν, ἢ ἐν τῇ ἑνώσει, καὶ οὐχὶ καὶ μετὰ τὴν ἕνωσιν· εἴπερ ἐστὶ κατὰ τὴν αὐτῶν σοφίαν ταύτης τέλος, ἀλλὰ τὰς ἐν οἷς, καὶ δι' ὧν, ἀμφοτέρας τε καὶ δι' ἀμφοῖν καὶ ἄμφω, φύσεις τε καὶ οὐσίας, οὔσας τε καὶ φυλαττομένας ἔν τε τῇ ἑνώσει, καὶ εἰς ἄπειρον ἀδιαιρέτους· ἐν τῇ κατ' οὐσίαν ὑποστατικῇ ἑνώσει, ὑπεφήναμεν τοὺς ἁγίους καταγγείλαντας.

Si quis autem horum multitudinem vel auctoritatem personarum, sicut ille impius, quem Scriptura dicit [7], non reveretur; ait enim : Impius est, qui non reveretur personam honorati : ipse autem ignotas auctoritates, et non vel ex ipsis cognitas vel ex aliis, his nostris contrarias producit, demonstret prius non esse illorum has nostras, et sic istas recipiemus. Quandiu enim hæ satis firmitatis habent, propter splendorem librorum et propter nobilitatem Patrum, illas vel non recipiemus a principio, cum his pugnantes : vel si recipiamus, tanquam cum his consentientes, et nullo modo discrepantes recipiemus. Conari enim theologos ad contradictionem adducere, et dicere a se ipsis dissentire, hic conatus susceptus et hoc ne-

Εἰ δέ τις τὸ τούτων πλῆθος, ἢ τῶν προσώπων τὸ ἀξιόπιστον, κατὰ τὸν ἐν τῇ Γραφῇ ἀσεβῆ οὐκ αἰδεῖται D (Ἀσεβὴς γάρ, φησὶν, ὃς οὐκ ᾐδέσθη πρόσωπον ἐντίμου), ἀσήμους δὲ καὶ οὐκ ἐγνωσμένας, ὡς ἐξ αὐτῶν ἢ ἑτέρων, τούτοις ἐναντίας χρήσεις προκομίζοι, δειξάτω πρῶτον, ὅτι μὴ αὗται ἐκείνων οὖσαι τυγχάνουσι, καὶ οὕτως ἐκείνας δεξαίμεθα. Ἕως δ' ἂν αὗται τὸ ἰσχυρὸν ἔχουσι, τῇ τε τῶν συνταγμάτων λαμπρότητι, καὶ περιφανείᾳ τῇ τῶν Πατέρων, ἐκείνας ἢ οὐ παραδεξαίμεθα τὴν ἀρχὴν, κατὰ τούτων στρατευομένας· ἢ δεξάμενοι, ὡς σύμφωνον τούτοις ἐχούσας διάνοιαν, καὶ κατ' οὐδὲν μαχομένας ἐκδεξώμεθα. Τὸ γὰρ εἰς ἀντίφασιν πειρᾶσθαι τοὺς θεολόγους ἄγειν, καὶ ἀσυμφώνους σφίσιν αὐτοὺς γεγενῆσθαι λέγειν· οὐ καθ' ἡμῶν ἐστι τὸ ἐγχείρημα· κατὰ δὲ τῆς ἐκείνων δό-

[5] Prov. xxv, 12 sec. LXX. [6] Hebr. xii, 1. [7] Sap. xi, 10.

ξης, μᾶλλον δὲ τῆς τοῦ Παύλου, καὶ ἔστι τῆς τοῦ ἁγίου Πνεύματος αὐθεντίας, καὶ τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ. Μετὰ γὰρ τοὺς ἀποστόλους καὶ τοὺς προφήτας, ἐν τῇ Ἐκκλησίᾳ τοὺς διδασκάλους, κατὰ τὴν ἀνεξιχνίαστον τοῦ Πνεύματος οἰκονομίαν, τέθεικεν ὁ Θεὸς, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ. Οὐκοῦν ὁ τοὺς Πατέρας μὴ δεχόμενος τοὺς διαφανεῖς τε καὶ ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ περιβοήτους, προφανῶς τῇ διαταγῇ τοῦ Θεοῦ ἀνθέστηκεν.

Τί τοίνυν διαφέρει οὐσία ὑποστάσεως, ἤγουν φύσις προσώπου, ἐκ τῶν μεγάλων φωστήρων, Βασιλείου τε καὶ Γρηγορίου, μαθεῖν ἔξεστιν· οἵτινες ὑπὸ κανόνα καὶ ὅρον τὰ νῦν ἡμῖν ζητούμενα ἀνήγαγον, σαφῶς διδάξαντες, τί μὲν οὐσία, τί δὲ ὑπόστασις, καὶ ὡς φύσις ταυτόν ἐστι τῇ οὐσίᾳ, ὑπόστασίς τε τῷ προσώπῳ, καὶ πῶς, καὶ κατά τινων ταῦτα λέγεται, τάς τε ἀντωνυμίας αὐτῶν, καὶ τὴν ἀντεμπλοκὴν ἔμπαλιν ἐχούσης τῆς θεολογίας τῇ οἰκονομίᾳ, κατὰ τὴν τῶν ὀνομάτων τούτων ἐπίζευξίν τε καὶ ὑπαλλαγήν. Μετὰ δὲ τὴν τούτων παράθεσιν, καὶ τοὺς ἄλλους ἱεροὺς διδασκάλους παράξομεν εἰς μέσον· μιᾶς που ἢ δευτέρας χρήσεως, τὴν πᾶσαν ἡμῖν τῶν θεοσόφων διάνοιαν παριστώσης. Ἱκαναὶ γὰρ καὶ αὗται καταιδέσαι τοὺς εὐγνώμονας. Τοὺς γὰρ μὴ τοιούτους οὐδ' ἂν ὁ πᾶς πεῖσαι τῶν ἁγίων χορὸς, καὶ εἰ τὰς πάσας αὐτῶν καὶ ἀθρόως ἐξαντλοῦντες καταχέοιμεν διδασκαλίας.

A gotium non est contra nos, sed contra illorum gloriam, imo vero contra Paulum, et adhuc contra Spiritus sancti auctoritatem, et Christum qui in Paulo loquebatur; . Post enim apostolos et prophetas, doctores posuit in Ecclesia Deus secundum providentiam Spiritus sancti incomprehensam, in opus ministerii, ad ædificationem corporis Christi[a]. Quare qui Patres illos non recipit qui in Ecclesia clari et celebres sunt, plane ordinationi et constitutioni Dei resistit.

Quid ergo substantia ab hypostase differat, id est natura a persona, ex magnis luminibus Basilio et Gregorio licet discere; qui sub regulam et definitionem, quæ nunc quærimus reduxerunt, clare et distincte docentes, quid substantia, et quid hy- B postasis, et quod natura idem est quod substantia, idem hypostasis et persona, et quomodo, et de quibus hæc dicuntur. Et quod Trinitas (26) contra atque incarnatio habet pronomina, et complexionem secundum adjunctionem et variationem nominum. Post hanc comparationem, producemus in medium alios sacros doctores, una aut altera auctoritate recitata, quæ totam mentem sanctorum nobis ob oculos ponat. Hæ enim sufficiunt reverentiæ et pudori prudentium. Nam qui non fuerint tales, nec universus cœtus sanctorum eis persuadebit, quamvis omnes eorum doctrinas hauriamus, et in istos effundamus.

C

In editione Latina Leontii sequuntur multæ Patrum auctoritates. Verumtamen cum legantur sive in operibus Patrum a nobis jam editis, sive in concilio Chalcedonensi ed. Rom. act. IV, part. III, quod in Conciliorum editione sumus edituri, minuendi voluminis gratia, plerasque illas auctoritates hic omittimus, paucis admodum retentis quas hic subjicimus.

Πρόκλου ἐπισκόπου Κωνσταντινουπόλεως εἰς τὸ, « Παιδίον ἐγεννήθη ἡμῖν. »

Ὁ αὐτὸς ἀληθῶς Θεὸς καὶ ἀψευδῶς ἄνθρωπος, τῷ Πατρὶ καθ' ὃ ἦν ὁμοούσιος, καὶ ἐμοὶ καθ' ὃ γέγονεν ἄνευ ἁμαρτίας ὁμόφυλος, ἡ θεία φύσις ἄκτιστος, ἡ ἐξ ἐμοῦ προσληφθεῖσα ἀνόθευτος, καὶ εἷς ἐστιν Υἱὸς, οὐ τῶν φύσεων εἰς δύο ὑποστάσεις διαιρουμένων, ἀλλὰ τῆς φρικτῆς οἰκονομίας τὰς δύο φύσεις εἰς μίαν ὑπόστασιν ἑνωσάσης (25).

Proclus Constantinopolitanus in illud: « Puer natus est nobis[b]. »

Ipse vere Deus, et vere homo, Patri, quatenus erat, consubstantialis; et mihi, quatenus factus est sine peccato, ejusdem naturæ; divina natura est increata; quæ ex me sumpta est, legitima, et unus est Filius, non duabus naturis in duas hypostases divisis; sed stupenda incarnatione naturas D duas in unam hypostasim uniente.

Τοῦ ἁγίου Εἰρηναίου, ἐπισκόπου Λουγδούνου καὶ μάρτυρος.

Ὥσπερ γὰρ ἡ κιβωτὸς, κεχρυσωμένη ἔσωθεν καὶ ἔξωθεν χρυσίῳ καθαρῷ ἦν, οὕτω καὶ τὸ τοῦ Χριστοῦ σῶμα καθαρὸν ἦν καὶ διαυγές· ἔσωθεν μὲν τῷ λόγῳ

Sancti Irenæi, episcopi Lugdun. et martyris.

Sicut enim arca aurata erat intus et extra auro puro, sic corpus Christi purum erat et fulgens; intus quidem Verbo decoratum, extra vero Spiritu

[a] Ephes. IV, 11, 12. [b] Isa. IX, 6.

(25) Deest hoc inter fragmenta Procli a Gallandio collecta *B. PP.* t. IX, p. 703.

(26) Adde: pronomina sunt, quæ ponuntur pro nominibus personarum: in Trinitate est alius et alius, sed non aliud et aliud, et est hic, et iste, et ille: in incarnatione contra, non est hæc complexio, est alius et alius, sed est aliud et aliud, nec est hic Deus, et ille homo, sed ipse idem est Deus et homo; non sic in Trinitate; hic Pater non est ipse Filius, etc.; in alio loco vocat hæc pronomina voces indicativas. TUR.

splendescens; ut ex utrisque claritas naturarum demonstraretur.

A κοσμούμενον, ἔξωθεν δὲ τῷ πνεύματι φαιδρυνόμενον (28)· ἵνα ἐξ ἀμφοτέρων τὸ περιφανὲς τῶν φύσεων ἐπιδειχθῇ.

Sancti Hippolyti episcopi et martyris ex benedictionibus Balaam.

Ut demonstretur utrumque quidem in se habere substantiam, scilicet Dei et hominum, sicut Apostolus ait: *Mediator* quidem *Dei et hominum, homo Christus Jesus* [10]. — *Mediator autem unius* hominis *non est* [11], sed hominum (27). Oportebat ergo, ut Christus factus mediator Dei et hominum, ab utrisque arrhabonem quamdam acciperet, ut appareat mediator duarum naturarum.

Τοῦ ἁγίου Ἱππολύτου, ἐπισκόπου καὶ μάρτυρος, ἐκ τῶν εὐλογιῶν τοῦ Βαλαάμ (29).

Ἵνα δειχθῇ τὸ συναμφότερον ἔχων ἐν ἑαυτῷ τήν τε τοῦ Θεοῦ οὐσίαν καὶ τὴν ἐξ ἀνθρώπων, ὡς καὶ ὁ Ἀπόστολος λέγει· *Μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς. Ὁ δὲ μεσίτης ἑνὸς ἀνθρώπου οὐ γίνεται, ἀλλὰ δύο.* Ἔδει οὖν τὸν Χριστὸν, Θεοῦ καὶ ἀνθρώπων μεσίτην γενόμενον, παρ' ἀμφοτέρων ἀῤῥαβῶνά τινα εἰληφέναι, ἵνα φανῇ δύο προσώπων μεσίτης.

Sancti Petri, episcopi Alexandriæ et martyris, ex homilia de adventu Salvatoris nostri.

Et Judæ dixit: *Osculo Filium hominis tradis* [12]? Hæc, et his similia, et signa omnia quæ fecit, et virtutes demonstrant esse eum Deum factum hominem. Utraque itaque demonstrantur, et quod erat Deus natura, et quod fuit homo natura.

B *Τοῦ ἁγίου Πέτρου, ἐπισκόπου Ἀλεξανδρείας καὶ μάρτυρος, ἐκ τοῦ περὶ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας* (30).

Καὶ τῷ Ἰούδᾳ φησί· *Φιλήματι τὸν Υἱὸν τοῦ ἀνθρώπου παραδίδως;* Ταῦτα τά τε τούτοις ὅμοια, τά τε σημεῖα πάντα ἃ ἐποίησε, καὶ αἱ δυνάμεις, δεικνύουσιν αὐτὸν εἶναι Θεὸν ἐνανθρωπήσαντα. Τὰ συναμφότερα τοίνυν δείκνυται, ὅτι Θεὸς ἦν φύσει, καὶ γέγονεν ἄνθρωπος φύσει.

Sancti Cyriaci, episcopi Paphi et confessoris, qui fuit unus ex Patribus synodi Nicænæ, ex homilia in Theophania.

Qui cum in forma, inquit, *Dei esset, non rapinam arbitratus est se esse æqualem Deo, sed semetipsum exinanivit, formam servi accipiens* [13]. Si forma Dei æqualis est Deo, et perfectus Deus erat; et forma servi perfectus homo; hoc enim docet Scriptura divina: perfectus ergo in ambabus substantiis Christus consubstantialis Deo et Patri; et consubstantialis Virgini et Matri: sine matre supra, ex Patre; sine patre infra, ex Matre.

Τοῦ ἁγίου Κυριακοῦ, ἐπισκόπου τῆς Πάφου καὶ ὁμολογητοῦ, ἐκ τοῦ εἰς τὰ Θεοφάνεια λόγου· εἷς δὲ καὶ αὐτός ἐστι τῶν ἐν Νικαίᾳ (31).

Ὃς ἐν μορφῇ Θεοῦ, φησὶν, *ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών.* Εἰ ἡ μορφὴ τοῦ Θεοῦ ἴση ἐστὶ τοῦ Θεοῦ, καὶ τέλειος ἐτύγχανε Θεὸς, C καὶ ἡ μορφὴ τοῦ δούλου τέλειος ἄνθρωπος (τοῦτο γὰρ διδάσκει ἡ θεία Γραφή)· τέλειος ἐν ἀμφοτέραις ταῖς οὐσίαις ὁ Χριστός· ὁμοούσιος τῷ Θεῷ καὶ Πατρὶ, καὶ ὁμοούσιος τῇ Παρθένῳ καὶ Μητρί· ἀμήτωρ ἄνω παρὰ Πατρὸς, ἀπάτωρ κάτω παρὰ Μητρός.

Sancti Ambrosii, episcopi Mediolanensis et confessoris, ex libro Contra Apollinarium.

Unus enim est in utroque, id est, in divinitate et corpore: non enim alius ex Patre, et alius ex Virgine, sed idem ipse: aliud quidem ex Patre, aliud vero ex Virgine: et generatio generationi non præjudicat; neque caro divinitati.

Τοῦ ἁγίου Ἀμβροσίου, ἐπισκόπου Μεδιολάνου καὶ ὁμολογητοῦ, ἐκ τοῦ κατὰ Ἀπολιναρίου θ' λόγου.

Εἷς γάρ ἐστιν ἐν ἑκατέρῳ, τουτέστι, τῇ θεότητι καὶ τῷ σώματι· οὐ γὰρ ἕτερος ἐκ Πατρὸς, καὶ ἕτερος ἐκ Παρθένου· ἀλλ' ὁ αὐτὸς, ἕτερον μὲν ἐκ Πατρὸς, ἕτερον δὲ ἐκ Παρθένου· καὶ γεννήσει γέννησις οὐ προκρίνει, οὐδὲ ἡ σὰρξ τῇ θεότητι (32).

[10] I Tim. ii, 5. [11] Galat. iii, 20. [12] Luc. xxii, 48. [13] Philipp. ii, 6, 7.

(27) Non unius hominis, sed hominum; quia natura communis non est unius singularis tantum; quod enim de phœnice ferunt, Maximus fabulam esse demonstrat ob hanc causam et rationem. Unus itaque est Deus, id est, una natura communis trium personarum, et una natura hominum, et Christus mediator duarum naturarum. Tur.

(28) In editione Veneta an. 1734 S. Irenæi t. I, p. 342, occurrit hoc fragmentum, sed ibi est falsa lectio φρουρούμενον pro recta nostra φαιδρυνόμενον.

(29) Confer *Script. vet.* t. VII, p. 134. Basnagius, in adn. ad Leontium Latinum, negat hoc opus fuisse Hippolyti, quia in laterculo vaticano marmoreo desideratur. Sed quis nescit imperfectum esse illum catalogum? Quis item, inspectis catenis biblicis, non pervidet Hippolytum scripsisse etiam in libros Moysis? quibus in commentariis de benedi- D ctionibus quoque Balaami locutum Hippolytum credibile est.

(30) Frustra eripit hunc librum vel sermonem Petro Alexandrino Basnagius, quia, ut ait, in ejus operum syllabo non ponitur. Atqui nullus est authenticus vel priscus operum Petri catalogus. Rectius ergo Basnagius dixisset ponendum esse hunc sermonem in syllabo, teste Leontio. Nunc vero Græca verba adjiciantur Latino fragmento apud Gallandium *B. PP.* t. IV, p. 109.

(31) Negat Basnagius Cyriacum fuisse in numero Nicænorum Patrum; sed tamen Leontii affirmationi suffragatur Ephræmus Antiochenus apud Photium cod 229, p. 828. Neque vero catalogis Nicænorum Patrum impressis, propter eorum varietatem, tuto esse fidendum dixi *Script. vet.*, t. X, p. 37.

(32) De hoc contra Apollinarem, sub Ambrosii

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Σαβῖνον ἐπίσκοπον λόγου (33).

Οὐκοῦν ἐν τῷ τελείῳ τῆς θεότητος ὢν ἐκένωσεν ἑαυτὸν, καὶ ἔλαβε τὸ τέλειον, τῆς κατὰ ἄνθρωπον φύσεως ὁλόκληρον· ὡς οὐδὲν ἔλιπε τῷ Θεῷ, οὕτως οὐδὲ τῷ καταρτισμῷ τῷ κατὰ ἄνθρωπον, ἵνα τέλειος ἐν ἑκατέρᾳ φύσει τυγχάνῃ.

Ejusdem ex libro ad Sabinum episcopum.

Igitur cum esset in divinitate perfecta, *exinanivit seipsum* [14], et accepit perfectam et integram naturam humanam. Sicut nihil defuit Deo, sic nihil defuit perfectioni humanitatis, ut esset in utraque natura perfectus.

Τοῦ ἁγίου Γελασίου, ἐπισκόπου Καισαρείας, καὶ αὐτὸς τῆς συνόδου τῶν ρν', ἐκ τῆς Ἑρμηνείας τοῦ Συμβόλου.

Sancti Gelasii, episcopi Cæsareæ Palæstinæ, et confessoris, unius ex Patribus synodi Constantinopolitanæ centum quinquaginta, ex Interpretatione Symboli.

Ἀλλ' οὐκ ἴσχυσεν ἀνθρωπίνη γλῶσσα μόνη τοῦτο ποιῆσαι· ἀσθενὴς γὰρ ἦν ἡ φύσις. Ἦλθε τοίνυν εἰς ταυτὸν Θεὸς ἅμα καὶ ἄνθρωπος, ἵνα σῶμα μὲν ὑπηρετήσηται, Θεὸς δὲ δι' αὐτοῦ τὴν ἐνέργειαν παράσχηται. Διπλᾶ πάντα, καὶ ἀληθῆ πάντα, καὶ τέλεια πάντα· καὶ φιμούσθω πᾶν αἱρετικὸν στόμα· μεθ' ἡμῶν ὁ Θεὸς, μεθ' ἡμῶν ὁ μετὰ Πατρὸς, μεθ' ἡμῶν ὁ ἐξ ἡμῶν· Σάρξ μου, φησὶν, ἐξ αὐτῶν. Ἀλλὰ τὸ μὲν ἀεὶ, τὸ δὲ δι' ἡμᾶς. Καὶ ἡ μὲν θεότης ἀεὶ, ἡ δὲ ἀνθρωπότης δι' ἡμᾶς (34).

At non potuit hoc facere humana lingua, infirma quippe erat natura. Venit igitur in eumdem Deus et homo, ut corpus quidem ministraret; Deus autem per corpus actionem exhiberet. Duplicia omnia; et vera omnia, et perfecta omnia. Obstruatur omne os hæreticum. Nobiscum Deus; nobiscum qui est cum Patre; nobiscum, qui est ex nobis: Caro mea, inquit, ex ipsis. Verum alterum quidem semper, alterum vero propter nos. Ac divinitas quidem semper; humanitas vero propter nos.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Ἡμεῖς δὲ τῷ θείῳ δᾳδουχούμενοι Λόγῳ, ἀνύβριστον τοῦ Μονογενοῦς φυλάξωμεν τὴν εὐγένειαν, μήτε διὰ τὸ ταπεινὸν τῆς σαρκὸς ἀθετοῦντες τὸν Λόγον, μήτε διὰ τὸ ὕψος τῆς θεότητος παρορῶντες τὴν σάρκα· ἀλλὰ τὸν μὲν Λόγον ὡς Θεὸν, τὴν δὲ σάρκα ὡς ναὸν Θεοῦ τιμήσωμεν.

Ejusdem ex eodem libro.

Nos autem, divino Verbo illustrati, custodiamus sine contumelia nobilitatem Unigeniti: neque propter humilitatem carnis Verbum repudiantes; neque propter altitudinem divinitatis carnem contemnentes. Quin potius Verbum, ut Deum; carnem, ut templum Dei honoremus.

Τοῦ μεγάλου Ἐφραίμ, ἐκ τοῦ εἰς τὸν μαργαρίτην λόγου (35).

Τῶν δύο φύσεων μετέχει ὁ μαργαρίτης ὁ πολύτιμος, ἵνα δείξῃ Χριστόν· ὅτι λόγος ὢν Θεοῦ, ἐκ Μαρίας ἄνθρωπος γεγέννηται· οὐ μερικὴν ἔσχε τὴν φύσιν, ἐπεὶ οὐδ' ἕτερον ἂν ζῶον ἐτύγχανε. Τελείαν ἔχει τὴν διπλῆν φύσιν, ἵνα μὴ ἀπολέσῃ τὰς δύο. Οὔτε ἡμίθεος ὤφθη ἐπὶ τῆς γῆς, οὔτε ἡμιάνθρωπος ἀνέβη εἰς τοὺς οὐρανούς· ἐκ τελείου τέλειος, ἐξ ἀνθρώπου ἄνθρωπος, ἐκ Θεοῦ Θεὸς, ἐκ Παρθένου Χριστός.

Sancti Ephræm, ex homilia in margaritam.

Duarum naturarum est particeps margarita magnæ æstimationis, ut ostendat Christum, quod cum esset Verbum Dei, ex Maria ortum est. Non habuit naturam ex parte; quia nec aliud animal erat. Perfectam habet duplicem naturam, ne amittat duas. Neque semideus visus est in terra; neque semihomo ascendit ad cœlos. Ex perfecto perfectus; ex homine homo; ex Deo Deus; ex Virgine Christus.

Τοῦ ἁγίου Φλαβιανοῦ, ἐπισκόπου Ἀντιοχείας, ἐκ τοῦ εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον λόγου.

Sancti Flaviani, episcopi Antiochiæ, in Evangelium Joannis.

Ἔδειξεν γὰρ ἑαυτὸν διὰ τοῦ σωματικοῦ νέφους, ὁ τὴν ἡμετέραν φύσιν ὑπελθὼν, ἵνα ἀμφοτέρας αὐτοῦ διδαχθῶμεν τὰς φύσεις, καὶ τὸν ὁρώμενον ἄνθρωπον, καὶ τὴν διὰ τοῦ σώματος ἐνεργοῦσαν θεότητα (36).

Demonstravit seipsum per nubem corporis, qui naturam nostram induit, ut ambas naturas ejus discamus, et hominem qui cernebatur, et divinitatem, quæ per corpus operabatur.

[14] Philipp. II, 6, 7

Mediolanensis nomine, laudato opere a Leontio, videsis Maurinos Ambrosii editores in calce Præfationis tomi secundi. Valde tamen Basnagio assentior intelligendum esse potius Ambrosium Alex., cujus tractatum adversus Apollinarem memorat Hieronymus in *Catalogo vir. ill.*, cap. 126.

(33) Sabini episcopi Græcam narrationem de obitu ac funere S. Epiphanii nos edidimus *Script. vet.*, t. VII, p. 178-180. Sabini monachi (postea fortasse episcopi) exstitit epitome synodorum, teste antiquo catalogo op. cit. t. X, Præf. p. 12. In hoc Sabino haud scio an agnoscendus sit auctor anonymus breviatæ historiæ synodorum apud Justellum, de qua dixi in *Spicil.* t. VII, Præf. p. 7-8.

(34) Prioris hujus loci Gelasiani partem nos jam edidimus in Anastasii presbyteri opere dogmatico, *Script. vet.*, t. VII, p. 23. Porro ibidem p. 10, in titulo Gelasiano mallem scribere μαθήματος quam μαθηματικοῦ. Etenim μάθημα dictum fuisse ab antiquis pro σύμβολον scimus.

(35) Ex hoc Ephræmii sermone duo jam protuleram fragmenta, *Script. vet.* t. VII, pp. 18 et 131. Tertium nunc accedit. Est autem ubique intelligendus Ephræmius episcopus Antiochenus, non ille Syrus monachus.

(36) Consonum alium Flaviani locum recitat Theodoretus dialog. II.

Antiochi, episcopi Ptolemaidis. Hujus auctoritatis meminit Cyrillus.

Ne confundas naturas, et non torpebis circa œconomiam, id est, mysterium incarnationis. Tene Deum : tribue Deo, quæ eum decent. Recipe humanitatem : reddi humanitati, quæ eam decent.

Scholium Leontii.

In omnibus superioribus studuimus, ut in medium afferremus auctoritates et beati Cyrilli (37) et Patrum qui eum antecesserunt, quæ totam mentem ejus et confirmarent et interpretarentur : ut sciant omnes, quod nec ipse, nec alius ex Patribus illud ex duobus aut ex ambobus ad negandum eum qui erat in duobus, dixerunt. Multis enim in locis contendens adversus divisionem Nestorii posuit non solum, ex quibus, sed in præpositione in utriusque naturis usus est, ut ex auctoritatibus ejus quæ subjunximus, facile est perspicere. In omnibus autem sermonibus ejus eas tantum auctoritates, quæ nihil dubii habent, et quas nec insani prave interpretari poterunt, afferre curavimus.

A *Ἀντιόχου ἐπισκόπου Πτολεμαΐδος* (38), *ἧς χρήσεως ἐμνήσθη ὁ μακάριος Κύριλλος.*

Μὴ συγχέῃς τὰς φύσεις, καὶ οὐ ναρκήσεις περὶ τὴν οἰκονομίαν· κράτει τὸν Θεὸν, δίδου τὰ πρέποντα τῷ Θεῷ· δέχου τὸ ἀνθρώπινον, δίδου τὰ πρέποντα τῇ ἀνθρωπότητι.

Σχόλιον Λεοντίου.

Ἐπὶ πᾶσι δὲ τοῖς προηγησαμένοις, καὶ τοῦ μακαρίου Κυρίλλου βεβαιωτικὰς τῶν τε πρὸ αὐτοῦ Πατέρων, καὶ ἑρμηνευτικὰς τῆς ὅλης αὐτοῦ διανοίας παραθέσθαι ἐσπουδάσαμεν· ἵνα γνῶσιν ὅτι οὔτε αὐτὸς, οὔτε τις ἕτερος τῶν Πατέρων, τὸ, ἐκ δύο ἢ τὸ ἐξ ἀμφοῖν, ἐπ' ἀναιρέσει τοῦ, ἐν δύο, εἰρήκασι. Πολλαχοῦ γὰρ κατὰ τῆς διαιρέσεως Νεστορίου μα- B χόμενος, οὐ μόνον τὰ *ἐξ ὧν* τέθεικεν, ἀλλὰ καὶ τῇ *ἐν* προθέσει ἐπ' ἀμφοτέρων ἐχρήσατο, ὡς αὐτόθεν ἐξ ὧν ὑπετάξαμεν αὐτοῦ χρήσεων, ῥᾷόν ἐστι μαθεῖν. Ἐφ' ἅπασι δὲ αὐτοῦ τοῖς λόγοις τῶν χρήσεων τὰς ἀναμφιλέκτους μόνας, ἃς οὐδὲ μανέντες παρερμηνεῦσαι δυνήσονται, παραθέσθαι ἐσπουδάσαμεν.

Allatis iterum pluribus sancti Cyrilli testimoniis quæ, quia in editis prostant, prætermisimus, primum hunc librum sic concludit Leontius : « Hactenus confutatio, et eversio contraria Nestorii et Eutychis fictionis et opinationis circa divinitatem Christi et humanitatem. »

(37) Erant qui Cyrillum accusabant in hoc dogmate, unde necesse fuit illi suos anathematismos alioqui catholicos contra Nestorium interpretari, quos male quidam intelligebant, ut Theodoretus, C qui eos confutavit non intelligens, et non paucis suaserat, male sentire Cyrillum. CAN.

(38) Lege, si lubet, de hoc Antiocho quæ diximus *Script. vet.*, t. VII, p. 87, in adn.

ΛΟΓΟΣ Β'

ΠΡΟΣ ΤΟΥΣ ΕΚ ΤΩΝ ΗΜΕΤΕΡΩΝ ΠΡΟΣΘΕΜΕΝΟΥΣ ΤΗ ΚΑΤΕΦΘΑΡΜΕΝΗ ΤΩΝ ΑΦΘΑΡΤΟΔΟΚΗΤΩΝ.

LIBER SECUNDUS

CONTRA ILLOS E NOSTRIS QUI CORRUPTÆ INCORRUPTICOLARUM SENTENTIÆ ADHÆRENT.

(MAI, *Spicileg. Rom.* t. X, p. 95.)

Solvimus pro viribus in superioribus, Deo adjuvante, objecta argumenta *falsi nominis scientiæ* [15], quibus adversus nos utentes qui sunt contrariæ fictionis (non enim hoc nomine appellare eos desinemus, quia namque fas est), simpliciores a veritate abducere se putant. Nunc autem alterius quæstionis considerationem evolvere et explicare aggrediar. Sit dux disputationis nostræ Christus Deus et Verbum, et lumen, et vita, et veritas aspirans nobis intelligentiam, ut possimus recte intelligere et

D Ἐν μὲν τοῖς ἔμπροσθεν εἰρημένοις ἡμῖν, σὺν Θεῷ δὲ φάναι τὰς ἐνστάσεις καὶ ἀντιθέσεις τῆς *ψευδωνύμου γνώσεως*, εἰς δύναμιν διαλελύκαμεν αἷς δὴ χρώμενοι καθ' ἡμῶν οἱ τῆς ἐναντίας δοκήσεως, (οὐ γὰρ μή ποτε τοῦτο καλεῖν αὐτοὺς παυσαίμην, ὅτι μηδὲ θέμις), τῆς εὐθείας ἀπάγειν τοὺς ἁπλουστέρους ὑπολαμβάνουσι. Νῦν δὲ αὖθις ἑτέρου σκέμματος καὶ προβλήματος τὴν θεωρίαν ἀναπτύξαι τε καὶ διευκρινῆσαι πειράσομαι. Ἡγείσθω δὲ τοῦ λόγου Χριστὸς ὁ Θεὸς καὶ Λόγος, καὶ φῶς, καὶ ζωή,

[15] I Timoth. VI, 20.

καὶ ἀλήθεια, ἐμπνέων ἡμῖν σύνεσιν εἰς τὸ μετὰ χάριτος καὶ σοφίας τῆς ἄνωθεν, τὰ συντελοῦντα εἰς τὴν ὑπόθεσιν, καὶ νοῆσαι καλῶς, καὶ φράσαι δυνηθῆναι.

Εἰ μὲν οὖν ἑώρων τὴν νῦν ἐν τοῖς ὑπεναντίοις ἐπαναστᾶσαν κατ' ἀλλήλων ζυγομαχίαν μέχρις αὐτῶν ἐκείνων μείνασαν, ἀλλὰ μὴ καὶ εἰς ἡμᾶς διαβῆναι φιλονεικοῦσαν, τάχα που καὶ κέρδος ὑπελάμβανον τὴν τῶν ἐναντίων μάχην τε καὶ ἀντιπαράταξιν· αὐτοὶ γὰρ ὑπὸ σφῶν βαλλόμενοι καὶ ἀνατρεπόμενοι, οὐδὲν ἡμῖν πρᾶγμα, ὅτι μὴ θεωρίαν ψιλὴν τοῦ πολέμου, προὐξένουν. Ἑνὶ τούτων μόνον ἡμῶν ἀλγυνομένων, τῇ ἀπωλείᾳ τῶν ἀθετῆσαι μὲν εἰς τὸν οἶκον Δαβὶδ, κατὰ τὸ λόγιον, τολμησάντων, ὑπεριδόντων δὲ καὶ τὴν πρὸς τὸν οἶκον Ἱεροβοὰμ ὁμόνοιαν, καὶ μηδὲ ἐκείνην συντηρησάντων, ἀλλὰ σχισθέντων τε καὶ διαιρεθέντων ἀπ' ἀλλήλων τε καὶ πρὸς ἀλλήλους· ὡς ἐξεῖναι τοῖς συνετωτέροις ἐκ τοῦ καρποῦ τὸ δένδρον ἐπιγινώσκειν, κατὰ τὸν Σωτήριον λόγον, διὰ τῶν πολυσχιδῶν στάσεων τοῦ ἐν αὐτοῖς ἐνεργοῦντος ταραχώδους πνεύματος τὰ μάλιστα δεικνυμένου. Συμπέφυκε γάρ πως τῇ ἀσεβείᾳ τὸ φίλεχθρόν τε καὶ πολεμοχαρές. Νῦν δὲ δὴ γέγονεν ἡμῖν πρὸς κακοῦ ἡ τῶν ἐχθρῶν πρὸς ἀλλήλους δυσμένεια. Ὦ τῆς ἀπαιδευσίας! καὶ τῶν ἐν κακίᾳ παρ' αὐτοῖς δευτέρων γεγόναμεν ἀθλιώτεροι· μηδὲ ὅσον οἱ ἐχθροὶ τὰ ἡμέτερα ἐποπτεῦσαί τε καὶ φυλάξαι δυνάμενοι. Εἴπερ ὁ μὲν θατέρου μέρους τῶν σχισμάτων πατὴρ τὸ δέον ἔγνω, καὶ ᾐδέσθη τὸν κατὰ τῆς ἀληθείας προφανῆ πόλεμον, ἡμεῖς δὲ τὴν ἐκείνων ἐπίγνωσιν, ἀγνοίας ἐφόδιον πεποιήμεθα, καὶ γεγόναμεν καὶ τῶν ἐχθρῶν ἀσυνετώτεροι.

Σευήρου γὰρ καὶ Ἰουλιανοῦ, τῶν δύο τῆς μιᾶς ἀσεβείας ἀρχῶν πρὸς ἑαυτοὺς διενεχθέντων, ἀνοήτως μὲν ὡς πρὸς τὰς οἰκείας ἀρχὰς, ἐμφρόνως δὲ ὡς πρὸς αὐτὴν τὴν ἀλήθειαν, καὶ περὶ τοῦ φθαρτοῦ ζυγομαχούντων, οἱ μὲν τῆς Σευήρου μερίδος, φιλαλήθως εἰπεῖν, τῆς τῶν ἐχθρῶν παρεκέρδαινον πονηρίας· ἃ γὰρ οὐκ ἄν τις αὐτοὺς πρὸ τούτου εἰπεῖν ἔπεισε, ταῦτα ἡ νῦν πρὸς τοὺς οἰκείους δυσμένεια ὁμολογῆσαι ἠνάγκασεν· ἡνίκα δὲ πρὸς τὰς αὐγὰς τῆς ἀληθείας ἀνανεύειν ἤρξαντο, τὴν ἐκείνων ἀνάνευσιν ἀβλεψίας ὑπόθεσίν τινες ἔσχον τῶν ἡμετέρων, τῇ χείρονι μοίρᾳ προσθέμενοι, καὶ δι' ἑνὸς ῥήματος εἰς ταυτὸν ἦλθον τοῖς ἐναντίοις· καὶ δι' εὐπρέπειαν ὀνόματος, πᾶσαν σὺν ἐκείνοις ἀπεσκευάσαντο τὴν οἰκονομίαν.

Ἐκείνων γὰρ, ὡς ἔφην, ἀνοήτως μὲν ὡς πρὸς τὰς τῆς ἀληθείας ἀφορμὰς ζητούντων, πότερον δεῖ φθαρτὸν καὶ παθητὸν τὸ σῶμα λέγειν, ὅπερ ἐξ ἡμῶν ὑπὲρ ἡμῶν φορέσας ὁ Κύριος ἡμῶν κατεδέξατο, Σευῆρος ὀψὲ μὲν, ὅμως δ' οὖν ᾔσθετο ἑαυτοῦ, καὶ τοῦ κατὰ τῶν οἰκείων παρεκέρδανε πολέμου, ἀναγκασθεὶς διαφοράν τε καὶ ἰδιότητας ὁμολογῆσαί τε καὶ κηρύξαι. Τῆς αὐτοῦ δ' ἂν εἴη σοφίας, καὶ τῶν ἐζηλωκότων αὐτὸν, διαφορὰν καὶ ἰδιότητας κατηγορεῖν, οὐ καθ' ὑποκειμένων πραγμάτων· ἢ δύο παραιτούμενον φύσεις ὁμολογεῖν, δύο λέγειν

exprомere cum gratia et sapientia cœlesti, quæ ad materiam propositi argumenti pertinent.

Si igitur pugnam nunc adversariorum inter ipsos excitatam, viderem in ipsis illis mansisse, et non ad nos usque progredi contendentem, fortasse lucrum ducerem pugnam et concertationem adversariorum: ipsi enim a seipsis percussi et eversi nullum negotium nobis, nisi solum spectaculum belli adhiberent. Uno tantum horum interitu doleremus; qui domum quidem David, sicut ait Scriptura, respuere ausi sunt, concordiam vero cum domo Jeroboam neglexerunt, nec illam servarunt, sed disrupti, et discissi a se et adversus se sunt; ut liceat paulo acutioribus ex fructu arborem cognoscere, sicut Salvator dixit, cum turbulentus spiritus qui in eis operatur, ex tam multiplici scissione eorum maxime demonstretur. Insitum est enim impietati studium inimicitiæ et belli. Nunc autem inimicorum inter se malevolentia et dissidium nobis nocet. O imperitiam! et facti sumus miserabiliores, quam qui apud eos in malitia secundas tenent; qui neque quantum inimici, nostra videre et custodire possumus. Si quidem alterius partis schismatum pater cognovit quid opus esset; et veritus est bellum aperte contra veritatem suscipere; nos vero cognitionem illorum aditum ad ignorantiam fecimus, factique sumus imprudentiores quam inimici.

Cum enim Severus et Julianus, duo initia unius impietatis, inter se dissiderent, stulte quidem, quoad propria principia, cordate vero quoad ipsam veritatem, et de corruptibili et incorruptibili concertarent; qui erant partis Severi, ut verum dicam, inimicorum pravitatem in lucro ponebant: quæ enim nullus eis ante hunc dicere suasit, hæc nunc malevolentia in suos, confiteri coegit: postquam vero in splendorem veritatis conjicere oculos cœperunt, conjectus illorum fuit causa cæcitatis quibusdam, qui ex nostris, ad pejorem partem se adjunxerunt et per unum verbum eo devenerunt, ut idem atque adversarii sentirent, et propter decorem nominis totum incarnationis mysterium sustulerunt.

Cum enim, ut dixi, stulte illi quoad propria principia, prudenter vero quoad causas veritatis quærerent, utrum corruptibile an incorruptibile dicendum esset corpus Domini, quod ex nobis pro nobis Dominus induit et suscepit; Severus sero quidem, tamen sensit demum seipsum; et bellum contra suos lucratus est, coactus confiteri et prædicare differentiam et proprietates. Sit autem sapientiæ ejus, et eorum qui student ei, differentiam et proprietates prædicare non de subjectis rebus; vel duas naturas confiteri recusantem, non vereri

nunc dicere duas proprietates corruptibilis et incorruptibilis, et divisionem numeri duorum, quam sursum deorsum versans et omnia miscens in superioribus accusabat; aut quomodo non admiremur eruditionem ejus, qui participationem quidem clara voce prædicat; id autem ex quo ducta est participatio, non solum non servat, sed oppugnare nititur? Si enim corpus dicit passibile, et passiones naturales ei tribuit, idque post unionem; respondeat igitur nobis iste sapiens, an non a natura naturalia proficiscantur, ut ab arte artificiosa?

Verum quæ illius sunt, reservemus longioribus libris, vel iis qui majore otio, quam nos abundant. Quid autem dices de iis, qui hæc semper clara et omnibus manifesta voce denuntiabant, ac præterea operationem aliam quidem esse carnis, aliam vero divinitatis; et passionem circa corpus, et impassibilitatem circa Verbum confitebantur; si et unioni rerum communicationem harum operationum concesserunt, et ut de alterutra natura reciproce propter proprietatem alterutrius in eodem variantem prædicarentur; nunc autem tanquam ex necessitate sibi contradicunt, et incorruptibili assentiuntur. De quibus nescio quid dicere debeam, admirerne firmitatem eorum, an laudem levitatem; qui uno verbo decoro anima avide invitata, ad speciosam fallaciam abducti et detorti sunt. Id quod aliis olim et nunc accidisse scimus. Jam enim nonnulli superioribus temporibus ad fallaciam Encratetarum se adjunxerunt, elegantia vocis in barathrum Manichæi præcipitati. Alii autem inquinati immunditie eorum, Cathari, id est, mundi vocabantur, nulla alia re nisi specioso nomine depravati sunt. Plerique etiam recentium et veterum, quorum numerare nomina difficile esset, suo corrupto patrocinio impassibilitatis Verbi, in Nestorii hæresim inciderunt.

In summa, totas classes animarum tanquam a quadam Scylla, aut ei objecta Charybde raptas, et submersas esse scimus inscite offensas humilibus verbis et rebus Christi Dei nostri, propter ejus erga nos condescensum. Quid enim aliud infinitas nationes gentium, aut Judaicas copias in nos armavit, et furore accendit, nisi, ut Paulus nominavit [16], stultitia prædicationis? Ecquis novorum dogmatistarum eruditionem non admiraretur, si secundum eorum nugas omnes martyres celebres et omnes confessores, sine tormentis coronas pro pietate per has duas voces obtinere potuissent, si eas quidem didicissent? Qui autem istius magnæ sapientiæ expertes essent, recessissent per negligentiam decepti, non facti in vita columnæ fortitudinis; nullus, opinor, ex crudelissimis et maxime malevolis persecutoribus pœnas ab ullo Christiano repetisset, si in tribunali natum ex Virgine, et crucifixum, et sepultum, ac suscitatum a mortuis hominem tantum fuisse confessi essent. Quæ enim

A ἰδιότητας φθαρτοῦ καὶ ἀφθάρτου, καὶ τὴν διαίρεσιν τῆς δυάδος, ἣν ἄνω καὶ κάτω στρέφων, καὶ τὰ πάντα κυκῶν, ἐν τοῖς προλαβοῦσι διέβαλλεν, ἥκιστά γε τὰ νῦν εὐλαβεῖσθαι· ἢ πῶς γε μὴ ἀγάσαιτό τις αὐτὸν τῆς παιδεύσεως, τὴν μετοχὴν μὲν λαμπρᾷ κηρύττοντα τῇ φωνῇ, ἐξ οὗ δὲ αὐτὴ παρῆκται οὐ φυλαττόμενον μόνον, ἀλλὰ καὶ πολεμεῖν σπεύδοντα; Εἰ γὰρ φύσει μὲν παθητὸν λέγει τὸ σῶμα, καὶ φυσικὰ πάθη δίδωσιν αὐτῷ, καὶ ταῦτα μετὰ τὴν ἕνωσιν, ἀποκρινάσθω δὴ οὖν ἡμῖν ὁ σοφὸς, εἰ μὴ ἐκ φύσεως τὰ φυσικὰ, ὥσπερ ἐκ τέχνης τὰ τεχνητά.

Ἀλλὰ τὰ μὲν κατ' αὐτὸν μακροτέροις ταμιευσόμεθα λόγοις, ἢ τοῖς ἡμῶν μάλιστα σχολὴν ἄγουσιν. Τί δ' ἂν εἴποις περὶ τῶν ταῦτα λαμπρᾷ κηρυττόντων καὶ διαπρυσίῳ ἀεὶ τῇ φωνῇ; ἐνέργειάν τε πρὸς τούτοις, B ἄλλην μὲν σαρκὸς, ἑτέραν δὲ θεότητος, πάθος τε περὶ τὸ σῶμα, καὶ ἀπάθειαν περὶ τὸν λόγον ὁμολογούντων, ἀντιπεριχωρεῖν ταύτας δεδώκασι, καὶ ἀντικατηγορεῖσθαι θατέρου, διὰ τὴν ἐν θατέρῳ ταυτοῦ ἐπαλλάττουσαν ἰδιότητα· τὰ δὲ νῦν ὥσπερ ἐξεπίτηδες τοῖς οἰκείοις περιπιπτόντων, καὶ τῷ ἀφθάρτῳ προσθεμένων. Ὧν οὐκ οἶδα τί καὶ λέγειν χρεὼν, θαυμάσω τὴν στεῤῥότητα, ἢ ἐπαινέσω τὴν κουφότητα, ἑνὶ ῥήματι εὐπρεπεῖ τῇ λίχνῳ τῆς ψυχῆς προσκλήσει, πρὸς τὸ πιθανὸν τῆς ἀπάτης παρασυρέντων. Ὃ δὴ καὶ ἑτέρους πάλαι τε καὶ νῦν πεπονθότας γινώσκομεν. Ἤδη γάρ τινες ἐν τοῖς ἔμπροσθεν τῇ τῶν Ἐγκρατητῶν ἀπάτῃ προσέθεντο, τῷ κομψῷ τῆς φωνῆς εἰς τὸ τοῦ Μάνεντος βάραθρον C κατασυρέντες. Ἄλλοι δὲ τῇ τῶν Καθαρῶν οὕτω καλουμένων ἐμμολυνθέντες ἀκαθαρσίᾳ, οὐδενί γε ἑτέρῳ ἢ τῷ χαρίεντι τούτῳ ὀνόματι προσεφθάρησαν. Πολλοί τε τῶν τε νέων καὶ τῶν παλαιῶν, ὧν καὶ τὰς προσηγορίας ἀριθμεῖν ἐργωδέστατον, τῇ κατ' αὐτοὺς ἐμπαθεῖ συνηγορίᾳ τῆς ἀπαθείας τοῦ Λόγου, εἰς τὸ Νεστορίου βάραθρον ἐμπεπτώκασι.

Καὶ συλλήβδην εἰπεῖν, ὅλους στόλους ψυχῶν, ὥσπερ ὑπὸ Σκύλλης τινὸς, ἢ τῆς ἀντιθέτου Χαρύβδεως ἡρπασμένους τε καὶ ὑποβρυχίους γεγονότας ἔγνωμεν, τοῖς ταπεινοτέροις Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, διὰ τὴν πρὸς τὸ ἡμέτερον αὐτοῦ συγκατάβασιν, ῥήμασί τε καὶ πράγμασιν ἀπαιδεύτως προσπταίσαντας. Τί γὰρ ἄλλο τὰ μυρία φῦλα τῶν D ἐθνῶν, ἢ τὰς Ἰουδαϊκὰς ἡμῖν φάλαγγας ἐξώπλισέ τε καὶ ἐξέμηνεν, ἀλλ' ἢ, ὡς ὁ Παῦλος ὠνόμακεν, ἡ μωρία τοῦ κηρύγματος; Καὶ τίς ἂν μὴ θαυμάσειε τῆς παιδεύσεως τοὺς νέους δογματιστὰς, εἴπερ οἷόν τε ἦν, κατὰ τοὺς αὐτῶν λήρους, πάντας μὲν τοὺς ἀοιδίμους μάρτυρας, πάντας δὲ τοὺς ὁμολογητὰς, καὶ βασάνων ἐκτὸς τοὺς ὑπὲρ εὐσεβείας στεφάνους ἀπολαβεῖν, διὰ δύο τουτωνὶ λέξεων, εἴ γε μεμαθηκότες αὐτὰς ἔτυχον; Οἱ δὲ τῆς οὕτω μεγάλης αὐτῶν σοφίας ἀμέτοχοι διαμείναντες, ἀπῆλθον ἀπάτης πάρεργον, οὐκ ἀνδρείας στῆλαι τῷ βίῳ γενόμενοι· οὐδεὶς γὰρ ἂν, ὡς οἶμαι, τῶν τε πικροτάτων καὶ δυσμενῶν διωκτῶν, δίκην τινὰ Χριστιανῶν εἰσεπράξατο,

[16] I Cor. I, 18, 23.

εἰ ἐπὶ τοῦ βήματος ὡμολόγουν, ἄνθρωπον αὐτὸν μόνον εἶναι τὸν γεγεννημένον ἐκ τῆς Παρθένου, καὶ ἐσταυρωμένον, καὶ τεθαμμένον, καὶ ἐγηγερμένον. Ποῖος γὰρ ἂν φθόνος αὐτοὺς ὑπεισῆλθεν, τῆς ἀναστάσεως ἀνθρώπου καταγγελλομένης; Οἵ γε οὐδὲ ἐπ' ἄλλῳ τινὶ τῶν εἴτε μεμυθευμένων, εἴτε ἀληθῶς ἀναβιῶναι ἱστορουμένων, ἥλωσαν βασκανίᾳ πολλῶν γε ὄντων· οὔτε δὲ εἰ κατὰ τοὺς τὴν νέαν σοφίαν σοφισθέντας, καὶ αὐτὸ τὸ σῶμα τοῦ Χριστοῦ ἀπαθές τε καὶ ἄτρεπτον, καὶ ἀναλλοίωτον τῆσδε αὐτῆς ἐξουσίας ἠρτήσθω, καὶ ἀόρατον αὐτὸ βλασφημεῖν, καὶ ἀναφὲς, καὶ ἀψηλάφητον, ἄποιόν τε καὶ ἄποσον, καὶ συλλήβδην ἀσώματον· ἅπερ πάντα τῷ θαυμαστῷ τούτῳ τῆς ἀφθαρσίας συνεπινοοῦσιν ὀνόματι.

A eos invidia cepisset resurrectione hominis prædicata? Qui quidem in nullo alio eorum, sive qui falso, sive qui vere ad vitam revocati esse narrantur, invidia commoti sunt, cum multi alioqui fuerint: neque vero si secundum novam istorum sapientiam, ipsum corpus Christi sit impassibile et immortale, et invariabile; ex eadem potestate pendeat, invisibile ipsum blaspheme dicere, et intactile et non tractabile, sine quantitate et sine qualitate, et in summa, incorporeum: quæ quidem omnia una cum hoc admirabili nomine incorrupti cogitant.

Τίς γὰρ ἡ ἀποκλήρωσις, τὰ μὲν διδόναι τῶν θεοπρεπῶν ὀνομάτων αὐτῷ, τὰ δὲ ἀποστερεῖν; καὶ πολύ τι μέρος τῆς ἀξίας τε καὶ τιμῆς ὑποτέμνεσθαι τοῦ, καθάπερ αὐτοὶ ἀτίμως δοξάζουσιν, ὑπερουσίου καὶ ὑπερφυοῦς καὶ ἀσωμάτου σώματος; Τίς δ' ἂν καὶ χαλεπαίνοι τῶν ἀπίστων ἡμῖν, εἴ γε μὴ φύσει τὸ σῶμα τοῦ Κυρίου λέγοιμεν, ὀφθῆναί τε καὶ βρῶσιν καὶ ποτὸν προσενέγκασθαι, καί γε ὑπνῶσαι, ἢ πεπονθέναι, καὶ ὅσα πρὸς τούτοις ἀναμαρτήτως ὑπομεῖναι τὴν ἀνθρωπίνην οὐκ ἀπερυθριάσας ἀσθένειαν; Ἔστι γὰρ δή που τοῖς πᾶσι καταφανὲς, ὅτι πολλὰ τοιαῦτα ἤδη γεγένηται νόμῳ θαύματος, ἀλλ' οὐ λόγῳ φύσεως. Οὐ γὰρ ἂν εἰς τοῦτο μανίας ἐξοίστρησεν ὁ πολυάνθρωπος τῶν Ἰουδαίων δῆμος, εἴ τις αὐτῷ παρέστησε λόγος, μὴ ὅμοιον ἡμῖν εἶναι κατὰ πάντα, καὶ ὄντως ἀνθρωπίνην φύσιν, τὸ ὑπ' αὐτῶν σταυρωθέν τε καὶ πάθος δεξάμενον σῶμα, καὶ τεθαμμένον ὑπὸ τῶν γνωρίμων. Πολλῶν γὰρ θεοφανειῶν ἀναπεπλησμένης τῆς ἱερᾶς Γραφῆς, συνιδεῖν ἔξεστιν ὅτι γε δὴ κατὰ τὸ τοῖς οἰκονομουμένοις συμφέρον, εἰς ἀνθρώπινα σχήματά τε καὶ πράγματα, ἐνεργείας τε καὶ λόγους καθῆκεν ἑαυτὴν ἡ τοῦ Θεοῦ ἡμῶν περὶ ἡμᾶς ἀγαθὴ πρόνοια· καὶ τούτων ὅμως οὐδὲν αὐτοὺς προήγαγε τὸ ἀνθρωπίνας ὑπολήψεις περὶ τοῦ Θείου λαβεῖν, εἰ καὶ ἀνθρωπίνως παρ' αὐτοῦ ᾠκονόμητο. Πείθει δὲ αὐτοὺς καὶ τὰ τολμήματα, ὅτι ἄνθρωπός ἐστιν πᾶσιν ὁμοιοπαθὴς ὁ Κύριος, εἰ καὶ μὴ πέπεικε τὰ θαύματα, ὅτι καὶ Θεὸς εἴη ὑπεροχῇ φύσεως πάντων ἀνῳκισμένος.

B Quæ enim sortitio est, alia quidem ex divinis nominibus tribuere ei, et aliis privare; et magnam partem dignitatis et honoris abscindere, a supra substantiam, ut ipsi opinantur, et supra naturam, et incorporeo corpore? Quis autem ex infidelibus ægre ferat, si dicamus corpus Christi non esse natura visum, et cibum et potionem adhibuisse, et dormisse, ac passum esse, et quæcunque alia præter hæc humanam infirmitatem sustinuisse? Est enim omnibus manifestum, multa hujusmodi jam facta esse lege miraculi, non ratione naturæ. Non enim eo dementiæ provecta esset multitudo Judæorum, si quæ ratio ipsis probasset, non fuisse simile nobis per omnia, et revera humanæ naturæ corpus, quod ab ipsis crucifixum C et passione affectum est et a discipulis sepultum. Siquidem cum plena sit Scriptura sacra multis Dei apparitionibus, videre tamen licet, quemadmodum bona Dei erga nos providentia, ut ratio utilitatis eorum quibus consulebat, postulabat, ad humanas figuras, et res, et operationes, ac sermones se accommodaverit; nihil tamen horum eos adduxit ad suspicandum de Deo humana, tametsi humane ab eo gerebantur. Suadent Judæis quæ ausi sunt, fuisse hominem similem nobis passibilem Dominum, quamvis non suaserunt eis miracula, esse Deum præstantia naturæ universis superiorem.

Οὕτως ἥ τε τοῦ μονογενοῦς Λόγου, κατὰ τοῦ Χριστοῦ, τῶν ἀθέων ἀπάθεια, καὶ ἡ τῆς σαρκὸς κατὰ τῆς ἡμετέρας σωτηρίας τῶν νῦν σοφιστῶν ἀφθαρσία, ἐμπαθὴς ὄντως καὶ φθαρτὴ οὖσα γινώσκεται· ἡ μὲν οὐ ποιοῦσα μεθ' ἡμῶν τὸν ὑπὲρ ἡμᾶς, ἡ δὲ οὐκ ἐῶσα μένειν τὸν μεθ' ἡμῶν καθ' ἡμᾶς, ἕως τῆς ἰατρείας ἀπαιτεῖ χρόνος, καὶ ἡ ἐν λόγῳ καὶ τάξει γινομένη τοῦ ἡμετέρου πρὸς τὸ ὑπὲρ ἡμᾶς, ἀνάβασίς τε καὶ ἀνάστασις. Πῶς γὰρ δὴ τὸ θεομίμητον ἕξομεν, μὴ συμπαθόντες τῷ πεπονθότι; πέπονθε δὲ πῶς, μὴ καθ' ἡμᾶς παθών; Οὐκ ἄρα δὲ πέπονθε καθ' ἡμᾶς, εἰ μὴ μεμένηκε καθ' ἡμᾶς. Δεδόξασται δὲ οὐδαμῶς, μὴ οὐχὶ τοῦτο λαβὼν κατὰ σάρκα, ὅπερ ἀεὶ ἔχων ἦν κατὰ πνεῦμα.

Sic unigeniti Verbi contra Christum impassibi-D litas impiorum, et carnis contra nostram salutem incorruptibilitas nunc sophistarum, vere passione et corruptione affecta esse cognoscitur; dum illa quidem non facit nobiscum esse eum qui est supra nos; hæc vero non sinit eum qui nobiscum est, manere sicut nos, donec adsit tempus medicinæ, et humanitas nostra, ratione et ordine ad id quod supra nos est, ascendat et excitetur. Quomodo enim similitudinem Dei habebimus, non compatientes cum eo qui passus est? Quomodo vero passus est, si non est sicut nos passus? Non igitur sicut nos passus est, si non mansit similis nobis. Glorificatus vero nequaquam est, si non accepit secundum carnem, quod semper secundum spiritum habuit.

Verum quidam ex iis qui in his sapientes sunt, nuper mecum colloquens, satis esse aiebat, sumpsisse Dominum humanitatem ad salvandum nos.

O. Quid vero, inquam ego, non sola voluntas saluti sufficiebat?

H. Sufficiebat, inquit.

O. Quomodo ergo, inquam, non sola voluntate salvavit nos?

H. Quia non potestate, inquit, usus est, sed potius charitate et justitia salvare placuit. Illud enim necessitatis herilis erat; hoc providentiæ paternæ. Illud solius violentiæ; hoc voluntarii condescensus. Et illud quidem ipsius solum; hoc vero etiam nostrum. Siquidem non velle simpliciter, consentaneum est Deo; sed illa etiam facere, quæ suadent et pudore flectunt quos salvat.

O. Optime, inquam: propterea enim, ut mihi quidem videtur, novus beneficii erga nos modus inductus est post crebram et multiplicem providentiam ab exordio erga genus humanum demonstratam, ut jam solum hoc salutis remedium reliquum esset. Nullum enim remedium valentius ad convertendum ad melius reperiemus, quam mysterium incarnationis. Hac via et ratione qui solus sapiens est medicus animarum, passiones hominum in se recipiens, omnium infirmitatem in se ipso curavit.

H. Non igitur fas est recte sentientibus aliter confiteri, quam quod ad perfectam salutem admirabile incarnationis sacramentum maxime nobis sufficit.

O. Nec ipse, inquam, non hæc ita esse, dicere unquam possim. Modum vero incarnationis qui curiositati mentis ad majorem explanationem abditus est, libentissime disceremus.

H. Considera unicum, inquit, si tibi placet.

O. Quia igitur, dixi, oportebat non solum velle, sed fecisse Deum aliquid erga nos, necessario tale esse oportebat quod fieret, ut nullam hyperbolen sapientiæ haberet (32).

H. Recte, inquit. Quoniam nec esset aliud congruentius, opus erat illo modo, et non hoc, ad perficiendum perfecte quod studebat.

O. Recte hæc, inquam, dicis, amice. Sed illud est multa consideratione dignum. Si enim solam carnem sibi Dominus univisset, annon maxima re salus nobis periclitabatur?

H. Maxime, inquit.

O. Anima enim, inquam ego, ut opinor, maxime purgatione indigebat; et ob eam causam assumpta est, quia primum passa, prima etiam damnata est.

A 'Αλλ' ἐντυχών μοί τις ἔναγχος τῶν τὰ τοιαῦτα σοφῶν, ἀρκεῖν ἔλεγε τὸ ἐνανθρωπῆσαι τὸν Κύριον, εἰς τὸ σωθῆναι ἡμᾶς.

O. (*) Τί δὲ καὶ οὐχὶ ἡ βούλησις, πρὸς αὐτὸν ἔφην, μόνη πρὸς σωτηρίαν ἀποχρῆναι;

A. 'Απόχρη ἔφη.

O. Πῶς οὖν, ἔφην, μὴ οὐχὶ τῷ βούλεσθαι μόνῳ καὶ σέσωκεν;

A. Ὅτι μὴ τῇ ἐξουσίᾳ πρὸς ἐμὲ, ἔφη, κεχρῆσθαι, τῇ δὲ φιλανθρωπίᾳ μᾶλλον καὶ τῇ δικαιοσύνῃ φίλον αὐτῷ. Τὸ μὲν γὰρ ἀνάγκης δεσποτικῆς, τὸ δὲ κηδεμονίας ἐτύγχανε πατρικῆς. Καὶ τὸ μὲν ἦν μόνης τῆς βίας, τὸ δὲ καὶ τῆς ἑκουσίου συγκαταβάσεως· καὶ τὸ μὲν αὐτοῦ μόνου, τὸ δὲ καὶ ἡμέτερον. Εἴπερ οὐ τὸ βούλεσθαι ἁπλῶς ἕπεται τὸν B Θεὸν, ἀλλὰ καὶ τὸ πράττειν ἐκεῖνα, ἅπερ πείθει καὶ καταιδεῖ τὸν σωζόμενον.

O. Εὖγε, ὦ θαυμάσιε, ἦν δ' ἐγώ· διὰ ταῦτα γὰρ, ὥς γέ μοι φαίνεται, ὁ καινοπρεπὴς τῆς περὶ ἡμᾶς εὐεργεσίας εἰσήχθη τρόπος, μετὰ τὸ συχνόν τε καὶ πολυειδὲς, τῆς ἀνέκαθεν περὶ τὸ ἀνθρώπινον ἐνδεδειγμένης προνοίας, ὡς μόνον σωτηρίας ὑπολειπόμενον φάρμακον. Τῆς γὰρ μετὰ σαρκὸς οἰκονομίας οὐδὲν ἂν εὕροιμεν τῆς ἐπὶ τὸ κρεῖττον ἐπιστροφῆς δραστικώτερον. Ταύτῃ γὰρ εἰς ἑαυτὸν ὁ μόνος σοφὸς τῶν ἡμετέρων ψυχῶν ἰατρὸς, τὰ πάθη τῶν ἀνθρώπων ἀναδεξάμενος ἐν ἑαυτῷ, τὴν πάντων ἐξιάσατο νόσον.

A. Οὐ θέμις τοίνυν, ἔφη, τοῖς φρονοῦσιν ἑτέρως C ὁμολογεῖν, ἢ ὅτι γε δὴ πρὸς παντελῆ σωτηρίαν ἡμῖν τὸ θαυμαστὸν καὶ μέγα μυστήριον τῆς θείας ἐνανθρωπήσεως αὐταρκέστατον.

O. Οὐδ' αὐτὸς, ἔφην, μὴ οὐχὶ ταῦτα οὕτως ἔχειν εἴποιμ' ἄν· τὸν δὲ τῆς σαρκώσεως τρόπον ἥδιστα ἂν καταμάθοιμεν, τῇ πολυπραγμοσύνῃ τοῦ νοῦ πρὸς τὸ σαφέστερον ἐκκαλυπτόμενον.

A. Συνδιασκόπει, ἔφη, εἴ σοι φίλον ἐστίν.

O. Ἐπειδὴ τοίνυν, εἶπον, ἐχρῆν οὐ βουληθῆναι μόνον, ἀλλὰ καί τι πρᾶξαι τὸν Θεὸν εἰς ἡμᾶς, πάντως που καὶ τοιοῦτον ἔδει τὸ πραττόμενον εἶναι, ὥστε μηδεμίαν ἔχειν σοφίας ὑπερβολήν.

A. Εὖ λέγεις, ἔφη, ἐπεὶ μηδὲ εἶεν ἁρμοδιώτερον· ἐδέησε γὰρ ἂν ἐκείνου, καὶ οὐχὶ τούτου τοῦ τρόπου, πρὸς τελείαν τοῦ σπουδαζομένου κατόρθωσιν.

D O. Ταῦτα μὲν ὀρθῶς, ἔφην, λέγεις, ὦ φίλτατε· ἀλλ' ἐκεῖνό γε πολλῆς ἐστιν διασκέψεως ἄξιον. Εἰ γὰρ σάρκα μόνην ὁ Κύριος ἥνωσεν ἑαυτῷ, ἆρ' οὐχὶ τῷ μεγίστῳ ἐκινδύνευε τὰ τῆς σωτηρίας ἡμῖν;

A. Πάντως.

O. Ψυχῆς γὰρ, ἔφην ἐγὼ, τὰ μάλιστα προσδεομένης καθάρσεως, ὡς ἡγοῦμαι, καὶ διὰ τοῦτο προσειλημμένης, διότι πρωτοπαθήσασα, πρώτη καὶ κατακέκριτο.

(32) *Ut nullam hyperbolen.* Ὥστε μηδεμίαν ἔχειν σοφίας ὑπερβολήν. Hyperbole sapientiæ fuisset, si corpus natura impassibile passum fuisset. Quis enim crederet? Etsi enim credimus, quæ sunt supra naturam quam videmus, et supra rationem quam attingimus: non tamen sunt contra naturam et contra rationem simpliciter. TUR.

(*) Deinceps littera O orthodoxum, littera vero A Aphtartodocetam seu Incorrupticolam in Græco designabo loquentes; in Lat. vero littera O orthodox., litt. H Aphtartod. significabit.

Α. Θείως, ἔφη, λέγεις.

Ο. Ὅλον οὖν ἄνθρωπον, τὸν ἐκ σώματος λέγω καὶ ψυχῆς λογικῆς τε καὶ νοερᾶς συγκείμενον, οὐσιωδῶς προσλαβὼν, ὅλου ἀνθρώπου τὴν σωτηρίαν εἰργάσατο, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων.

Α. Κάλλιστά γε, ἔφη, ταῦτα λέγεις καὶ τελεώτατα.

Ο. Ἀλλ' ἔγωγε πρὸς αὐτόν· Οὐκοῦν ὥσπερ οὖν εἰ ψυχὴν λαβὼν, οὐ τὴν ἐμὴν προσειλήφει. Εἰ δὲ καὶ τὴν ἐμὴν, εἰ μὴ κατὰ τὴν ἐμὴν διὰ πάντων οὐσιωδῶς ὑπάρχουσαν, ἄλλο τι παρὰ τὴν ἐμὴν πάντως ὑπῆρχε ψυχὴν τὸ σωζόμενον.

Α. Δηλονότι, ἔφη· ἐκείνης γὰρ δὴ πάντως ὑπῆρχεν ἡ σωτηρία, πρὸς ἣν καὶ ἀπαραλλάκτως ἔχουσα εὑρίσκετο.

Ο. Κατὰ τὸν ἴσον δὴ τρόπον, ἔφην, εἰ καὶ σάρκα λαβὼν μὴ τὴν ἐμήν. Εἰ δὲ καὶ τὴν ἐμὴν, ἀλλὰ κατά τι παρηλλαγμένην, ἔχοι δ' ἂν τὸ διάφορον· εἰ μὴ καὶ ὁμοιοπαθὴς εἴη, καὶ κατὰ πάντα τοῖς ἡμετέροις συμβαίνουσα, πάντως ἂν ἡ σωτηρία τῆς σαρκὸς ἐκείνης ἐτύγχανεν οὖσα, πρὸς ἣν ἀφομοιῶσαι τὴν σάρκα τὴν ἑνωθεῖσαν αὐτῷ κατηξίωσεν.

Α. Καὶ τίς, ἔφη, πρὸς τοσοῦτον μανίας ἐλήλακεν, ὅστις οὐχὶ ταῦτα ἀληθῆ τε εἶναι ὁμολογεῖ, καὶ τοὺς μὴ οὕτως ἔχοντας, τοῖς κατακρίτοις συναριθμεῖ;

Ο. Ἐκεῖνοι πάντως, εἶπον, οἱ ἀπαθὲς ὑπάρχειν αὐτὸ καὶ ἄφθαρτον ὁριζόμενοι.

Α. Οὐ κατὰ φύσιν ἀπαθὲς, ἔφη, τὸ σῶμα καὶ ἄφθαρτον λέγομεν, ἀλλ' ἑνώσει τῇ πρὸς τὸν Θεὸν Λόγον γενόμενον.

Ο. Οὐδὲν διαφέρει, ἦν δ' ἐγὼ, τοῦ προτέρου τὸ δεύτερον, ἀλλὰ τὴν ἴσην πρὸς τὸ κακὸν δύναμιν ἔχει, εἴπερ γε ὅλως τὴν πρὸς τὸ ὁμοιοπαθὲς τοῦ ἡμετέρου σώματος συγγένειαν, παρῄτηται ἡ τοῦ Κυρίου σάρξ.

Α. Πῶς τοῦτο, ἔφη, λέγεις;

Ο. Ὅτι μὴ τοῦτο, εἶπον, ἔστι τὸ σκοπούμενον, πότερον ἑνώσει ἢ κατασκευῇ φύσεως ἄφθαρτον γέγονεν· ἀλλ' εἰ μὴ τῆς ἡμετέρας φύσεως ἀπαραλλάκτως τὰ γνωρίσματα, πλὴν τῆς ἁμαρτίας διέσωζεν, ἔφη.

Α. Ὅσον γε ἐπὶ τῇ πρώτῃ αὐτῆς συστάσει, καὶ τὸ τὰς ἀρχὰς ἔχειν ἐκ τῆς Θεοτόκου, ἀδελφῆς τε ἡμῶν οὔσης κατὰ τὴν φύσιν, καὶ πάσης κοινωνούσης τῆς ἰδιότητος τοῦ ἀνθρωπείου συγκρίματος.

Ο. Σαφεστέρας δεῖσθαι τὴν ἀπόκρισιν ἐξηγήσεως, ἔφη, παριστώσης ἡμῖν τηλαυγέστερον τὸ ζητούμενον. Οὐ γὰρ ἁπλῶς οὕτως ἐξ ὧν εἴρηκας, γινώσκειν ἔχω.

Α. Τί μὴν, ἔφη, ἀσαφέστερον εἴρηκα;

Ο. Πότερον, ἔφην, ἆρα τοῦ σώματος τῆς Παρθένου μεταστοιχειωθέντος, καὶ τῆς ἰδίας ἐκστάντος φύσεως, ὑπὸ τῆς τοῦ Λόγου δυνάμεως οὕτως ἐξ αὐτῆς τῆς μήτρας, ἄλλως ἔχουσαν τὴν ἡμετέραν αὐτῷ φύσιν ἡνῶσθαι λέγεις; ἢ τῆς Παρθένου μὲν ἐν τοῖς ἰδιώμασι τῆς φύσεως μεινάσης, τῶνδε πρώτων ἀρχῶν, τῶν παρθενικῶν αἱμάτων λέγω, μεταποιηθέντων, ἄφθαρτον γεγενῆσθαι τὴν σάρκα;

Α. Τινὲς μὲν, ἔφη, καὶ τῇ προτέρᾳ δόξῃ τῶν ἁπλουστέρων οἶμαι προστίθενται, πλέον ἢ προσῆκε

A H. Divine, inquit, dicis.

O. Toto igitur homine, ex corpore, inquam, et anima rationis compote et intelligente composito secundum substantiam assumpto, totius hominis salutem operatus est, simili simile repurgans.

H. Bellissime, inquit, hæc omnia, et absolutissime dicis.

O. At ego illi: Igitur sicut si cum animam sumpsit, non meam animam sumpsisset; si autem et meam, non tamen per omnia secundum substantiam, sicut mea fuisset; aliud plane præter meam animam esset, quod factum est salvum.

H. Sane, inquit: illius enim prorsus animæ salus fuisset, a qua non differre reperta esset.

B O. Ad eumdem modum, inquam ego, si carnem sumpsisset non meam; si vero meam, tamen aliquanto differentem, esseťque differentia, si non esset similiter passibilis, et per omnia cum iis quæ carnis nostræ sunt, conveniens; necessario illius carnis salus esset, cui carnem sibi unitam assimilare voluisset.

H. Et quis, inquit, eo insaniæ processerit, ut vera esse hæc non confiteatur; et eos qui non sic sentiunt, in damnatis non numeret?

O. Illi, inquam, certe, qui definiunt corpus fuisse impassibile et incorruptibile.

H. Non, inquit, impassibile natura corpus factum esse dicimus, sed unione cum Verbo.

C O. Ego vero nihil posterius a priore differre dixi, sed eamdem vim ad nocendum habere, si caro Domini penitus affinitatem cum passibilitate nostri corporis recusat.

H. Quomodo, inquit, hoc ais?

O. Quoniam non est, inquam, hoc quod quæritur, utrum unione, an naturæ fabricatione factum est incorruptibile; sed an naturæ nostræ notas et signa sine ulla immutatione, excepto peccato, servabat.

H. Quoad primam, inquit, ipsius naturæ constitutionem et principia ex Matre Dei et sorore nostra secundum naturam, quæ omnem proprietatem humani corporis participavit.

D O. Clariorem expositionem responsio postulabat, quæ nobis dilucidius quæstionem explicaret; non enim sic simpliciter ex iis quæ dixisti, intelligere possum.

H. Quid, inquit, obscurius dixi?

O. Utrum, inquam, corpore Virginis mutato, et a propria natura virtute Verbi alienato, naturam nostram sic ex ipso utero aliter habentem unitam esse ei dicis; an vero manente Virgine in proprietatibus naturæ, principiis vero primis, sanguinis scilicet virginalis, transmutatis carnem incorruptibilem generatam esse?

H. Nonnulli, inquit, priori opinioni simpliciorum, opinor, adhærescunt, plusquam convenit, honoran-

tes Virginem, et absurdum inde proficiscens non providentes, et quod si quid hujusmodi accidisset Virgini, habilitate pariendi privata fuisset.

O. Verissima, inquam ego, dicis. Quod enim incorruptibile est, nunquam ad ferendum partum et pariendum idoneum erit. Adventus autem Spiritus sancti non fecit, neque prohibuit, quin Virgo ad generandum apta esset. Contra potius ad conceptum sine semine provisum supra naturam provexit. Illud vero mihi in mentem venit, quod si, ut illi opinantur, Virgo per adventum Spiritus sancti facta est incorruptibilis, illa necessario facta est immortalitatis generis nostri radix, et non surculus divinus ex ea productus.

H. Optime, inquit, dicis; nec enim semel proditum est, vitam Virginis naturalis habitus mutationem cepisse: puritatem enim animæ et sanctificationem carni attulit adventus Spiritus sancti; non autem substantiæ aut naturæ immutationem in ea effecit.

O. Illud, inquam, adde ad superiora, quod Spiritus quidem Virginem virtute gravidante implevit, ut natura supra naturam, spicam sine aratione produceret, et ramus ex radice virginali supra quam naturaliter oriretur.

H. Recte, inquit, bone vir.

O. Nunc vero tempus est, amice, ut amanter et placide quod deinceps sequitur, consideremus. Cum enim conveniat inter nos, eadem natura fuisse semper Virginem, nec in alium naturæ statum, quam quo a principio erat, transisse; pignus ex ipsa natura nostra, annon via et ordine naturæ, tempora partus servabat?

H. Imo maxime, inquit.

O. Paulatim enim, inquam, in utero virginali fictus et formatus, proficiebat lege partus, tanquam ad maturitatem perfectam infantis, ut ex verbis Evangelii perspici potest, cum ait: *Et impleti sunt dies ut pareret* [17] ipsa. Ubi circa partum, sicut circa conceptum, miraculum admirabile et novum factum est, quod neque partus virginitatem solvit, neque virginitas partum impedivit.

H. Divine, inquit, ais.

O. Sed, inquam ego, sicut conceptus supra naturam nostram factus, non fuit a natura alienus; sic quidem generatio quæ admirabilitatem habebat, non mutavit naturam ejus qui propter nos natus est: quin imo ortus est ramus et fructus similis utero qui generavit.

H. Nos igitur, inquit ille, sic de carne Christi confitemur, quod secundum principium conceptus simul et virginalia viscera attigit, et quod assum-

[17] Luc. II, 6.

A τὴν Παρθένον ἀποσεμνύνοντες, καὶ τὴν ἐντεῦθεν ἀναφυομένην ἀτοπίαν οὐ προορώμενοι, καὶ ὡς εἴπερ τι τοιοῦτο τῇ Παρθένῳ συμβεβήκει, καὶ αὐτῆς ἂν τῆς πρὸς τὸ τίκτειν ἐπιτηδειότητος ἀπεστέρητο.

Ο. Ἀληθέστατα, ἦν δ' ἐγὼ, λέγεις. Τὸ γὰρ ἄφθαρτον καταστὰν, οὐκ ἄν ποτε τοῦ κυοφορεῖν τε καὶ σαρκικῶς ἀποτίκτειν γένοιτο δεκτικόν. Ἡ δὲ τοῦ Πνεύματος ἐνδημία οὐχὶ τὴν ἐπιτηδειότητα τοῦ γεννᾷν τὴν Παρθένον ἀφείλετο ἢ κεκώλυκεν. Τουναντίον μὲν οὖν ἐπὶ τὴν ἀσπόρως οἰκονομηθεῖσαν σύλληψιν, ὑπερφυῶς αὐτὴν προσηγάγετο. Κἀκεῖνο δέ μοι σκοπεῖν ἔπεισιν, ὡς εἰ κατ' ἐκείνους ἡ Παρθένος, ἄφθαρτος τῇ ἐπιφοιτήσει τοῦ Πνεύματος γέγονεν, ἐκείνη πάντως ἂν καὶ ῥίζα τῆς τοῦ γένους ἡμῶν ἀφθαρσίας ἐτύγχανεν, ἀλλ' οὐχ ὁ ἐξ αὐτῆς προελθὼν θεῖος βλα-
B στός.

Α. Κάλλιστα, ἔφη, λέγεις· οὐδὲ γὰρ ἡ λοιπὴ τῆς Παρθένου ζωὴ παραδεδέχθαι καθάπαξ ἱστόρηται τῆς φυσικῆς ἕξεως μεταποίησιν· καθαρότητος μὲν γὰρ ὑπῆρχεν αὐτῇ τῆς κατὰ ψυχὴν, καὶ ἁγιασμοῦ τοῦ κατὰ τὴν σάρκα πρόξενος ἡ τοῦ Πνεύματος ἐπιφοίτησις, οὐ μὴν οὐσίας ἢ φύσεως ἄμειψιν ἐν αὐτῇ κατεσκεύασε.

Ο. Κἀκεῖνο, ἔφην, τοῖς εἰρημένοις προστίθει· ὅτι γε δὴ τὸ Πνεῦμα, εἰ τὸ ὑπὲρ τὴν φύσιν ὑπάρξαι τῇ φύσει καρποφορῆσαι στάχυν ἀνήροτον, καὶ κλάδον παρθενικῆς ῥίζης ὑπερφυῶς ἐκφυόμενον.

Α. Εὖ γε, ἔφη, ὦ βέλτιστε.

C Ο. Νῦν δὲ δὴ καιρὸς, ὦ φιλότης, ἔφην, ἀγαπητικῶς τε καὶ πραέως τὸ ἑξῆς συνδιασκέψασθαι. Τῆς γὰρ Παρθένου συνομολογούσης ἡμῖν ὡσαύτως ἔχειν κατὰ τὴν φύσιν ἀεὶ, καὶ μὴ πρὸς ἑτέραν παρὰ τὴν ἐξ ἀρχῆς ὑπάρχουσαν αὐτῇ, μεταχωρῆσαι κατάστασιν, ὁ ἐξ αὐτῆς τῆς ἡμετέρας φύσεως ἀῤῥαβὼν, ἆρ' οὐχὶ ὁδῷ καὶ τάξει φύσεως, τοὺς χρόνους ἐγίνωσκε τῆς κυήσεως;

Α. Πάνυ μὲν οὖν, ἔφη.

Ο. Κατὰ βραχὺ γὰρ ἐν τῇ παρθενικῇ μήτρᾳ, προέκοπτε νόμῳ κυήσεως, ὡς πρὸς τὴν ἀπηρτισμένην τοῦ βρέφους τελείωσιν, ὡς καὶ τῆς εὐαγγελικῆς ἔστιν ἀκοῦσαι φωνῆς, *Ἐπλήσθησαν*, λεγούσης, *αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν*. Ἔνθα περὶ τὸν τόκον, ὥσπερ δὴ καὶ περὶ τὴν πρώτην σύλληψιν, καινοτο-
D μεῖται θαῦμα παράδοξον, οὔτε τοῦ τόκου τὴν παρθενίαν λύσαντος, οὔτε τῆς παρθενίας ἐμποδὼν τῇ κυοφορίᾳ γενομένης.

Α. Θείως, ἔφη, λέγεις.

Ο. Ἀλλ' ὥσπερ, ἦν δ' ἐγὼ, ἡ σύλληψις ὑπὲρ ἡμᾶς γεγενημένη, τὸ καθ' ἡμᾶς οὐκ ἠγνόησεν, οὕτω δὴ καὶ ἡ γέννησις τὸ παράδοξον ἔχουσα, τοῦ δι' ἡμᾶς τεχθέντος τὴν φύσιν οὐκ ἤμειψεν, ἀλλ' ἐξέφυ κλάδος τε καὶ καρπὸς, τῇ φυσάσῃ γαστρὶ παραπλήσιος.

Α. Ἡμεῖς μὲν οὖν, ἔφη, τοιάδε περὶ τῆς σαρκὸς Χριστοῦ δοξάζομεν, ὅτι κατ' αὐτήν γε τῆς συλλήψεως τὴν ἀρχὴν, ἅμα τῶν παρθενικῶν ἐφῆπται σπλάγχνων,

καὶ τὸ προσληφθὲν εἰς ἀφθαρσίαν μετεσκευάζετο· A πῶς γὰρ οἷόν τε ἦν αὐτῷ, μὴ τὴν φθαρτὴν ἀποτίθεσθαι φύσιν, τῷ ἀφθάρτῳ λόγῳ προσενωθέν;

Ο. Μᾶλλον ἔοικάς μοι, ὦ βέλτιστε, τῶν οἰκείων, ἔφην, λόγων ἀμνημονεῖν. Τὴν γὰρ Θεοτόκον Παρθένον ἐν τοῖς πρότερον ἄτρεπτον διαμεῖναι συνωμολόγησας, καὶ ὅτι τὸν ὡρισμένον τῆς ἀνθρωπίνης συλλήψεως χρόνον, ἐν τῇ παρθενικῇ μήτρᾳ μορφούμενος ὁ τῶν χρόνων Δημιουργός, οἰκῆσαι οὐκ ἀπηνήνατο. Πῶς τοίνυν ὁ σπλάγχνοις μητρὸς ἐνοικῆσαι καταδεξάμενος, καὶ τοὺς τῆς κυήσεως χρόνους ἐκτετελεκὼς, κατ' οὐδὲν τῆς Παρθένου προὐχούσης ἡμῶν, πλήν γε μόνης τῆς ἁγιότητος, ὥσπερ ἐκ μεταμελείας τινὸς, τὴν τοῦ οἰκείου σώματος φύσιν ἀπαξιοῖ, καὶ ταῦτα τῇ γεννησαμένῃ διὰ πάντων ἀπαραλλάκτως συμβαίνοντος; B

Α. Τούτοις μὲν οὖν, ἐκεῖνος ἔφη, πάντες κοινῶς συνθήσονται. Τὸ δὲ, ὅτι φθαρτὸν ἐκ μήτρας λαβὼν τὸ ἐκ τῆς Παρθένου σῶμα, εὐθέως αὐτὸ πρὸς ἀφθαρσίαν μετεκεράσατο, τῶν ὀρθῶς ἡμῖν δοκούντων ἐστίν.

Ο. Καὶ ποῦ ὁ τῆς συμπολιτεύσεως ὅρος καὶ χρόνος, ἔφην, οὗ μάλιστα ἐν χρείᾳ καθειστήκειμεν, ἐν ἀτόμῳ καὶ ῥιπῇ ὀφθαλμοῦ, τὴν πρὸς ἡμᾶς ὁμοιότητα, ὡς φῄς, ἐπιδειξαμένου, καὶ θᾶττον μεταθεμένου, ὁπότε οὐ τούτου μόνου προσεδεόμεθα, ἀλλὰ καὶ τοῦ συναναστραφῆναι ἡμῖν τὸν Κύριον, καὶ διὰ πάντων ἐλθεῖν, δι' ὧν ἡ ἀνθρωπεία φύσις ἀρχομένη, καὶ διὰ τῶν ἐν μέσῳ χωρήσασα, πρὸς τὸ οἰκεῖον ἔρχεται τέλος; C

Α. Τί γὰρ, ἔφη, τὸ κωλῦον ἦν, καίπερ ἀπαθὲς τῆς ἑνώσεως ποιησάσης τὸ σῶμα;

Ο. Καὶ πῶς, ἔγωγε ἔφην πρὸς αὐτὸν, ἢ τοῖς ἀνθρώποις συνδιαιτῷτο τὴν ἀρχὴν, ἢ τὰ ὑπὲρ ἡμῶν κατεδέξατο πάθη, ἠρνημένος ἐκ πρώτης ἑνώσεως τὸ ὁμοιοπαθὲς ἡμῖν καὶ ἐπίκηρον;

Α. Ἔπασχε μὲν, ἐκεῖνος ἀπεκρίνατο, ἀλλ' οὐ δή που ἀνάγκῃ φύσεως, ἀλλὰ λόγῳ οἰκονομίας τοῦ Λόγου ἐφιέντος τὸ παθεῖν.

Ο. Αἰνίγματος οὐδὲν ἀπᾴδειν ἔφην ἐγὼ τὸ ῥηθέν. Πῶς γὰρ καὶ φύσιν ἔσχεν ἀνωτέραν παθῶν, καὶ πάσχειν πάλιν τὰ τῆς φύσεως σαρκὸς ἠφίετο παρὰ τὴν φύσιν; Εἰ μὲν γὰρ ἡ ἕνωσις τοῦ Λόγου, τὸ ἀπαθὲς τῇ σαρκὶ ἐδωρήσατο, οὐκ ἂν αὐτὴν ἀπεστέρησεν D τοῦ γε δεδωρημένου καὶ ἅπαξ προσνεμηθέντος αὐτῇ. Πρὸς δέ γε καὶ εἰ ἐκ τῆς ἑνώσεως τοῦ Λόγου, τῆς ἀφθαρσίας μετειλήφει, ὥρα σοι καὶ ἀποσχίζειν ἀθέσμως τολμᾷν τὴν ὑπερφυᾶ καὶ θαυμασίαν ἕνωσιν. Οὐ γὰρ οἷόν τε ἦν πάσχειν τὸ ἐκ τῆς ἑνώσεως ἀπαθὲς, μὴ τῆς ἑνώσεως πρότερον ἀναιρεθείσης· ὥσπερ οὐδὲ σκότος ἂν ὑποσταίη ποτ' ἂν, μὴ τοῦ αἰτίου καὶ φωτίζοντος ὑποχωροῦντος· καὶ ἁπλῶς γὰρ εἰπεῖν, οὐδὲν τῶν ἐκ τοῦ συνεκτικοῦ αἰτίου τοῖς αἰτιατοῖς παραμένειν πέφυκεν, μὴ τοῦ αἰτίου παρόντος. Σκόπει δὲ δὴ καὶ τοῦτο· ὡς, εἴ γε πάσχοντι αὐτῷ συνεῖναι ὑπέμεινεν, ὑπομεῖναι ἂν καὶ παθητῷ γε ὄντι ἡνῶσθαι τῷ σώματι.

Α. Ἆρ' οὖν, ἔφη πρὸς ἡμᾶς, οὐχὶ βουλομένου

A ptum est, in incorruptibilitatem mutatum est: quomodo enim fieri poterat, ut naturam corruptibilem non deponeret, quod Verbo immortali unitum erat?

O. Quin imo, inquam, videris mihi tuorum verborum immemor. Superius enim Virginem Dei Matrem immutabilem mansisse confessus es; et quod Auctor temporum non recusavit, cum formatus est, habitare in utero tempus humani conceptus. Quomodo igitur qui voluit habitare in visceribus matris, et tempora partus explevit, et cum non esset præstantior quam nos Virgo, excepta sanctitate, tanquam pœnitentia quadam ductus naturam corporis sui respuit, idque a matre quæ eum genuit, per omnia non differret?

H. His, inquit ille, omnes communiter assentientur. Verum corpus ex utero corruptibile quod ex Virgine sumpsit, quod statim ad immortalitatem transtulit, eorum est qui nobis recte sentire videntur.

O. Et ubi, inquam ego, est ratio, et tempus vitæ communis ac conversationis, quæ maxime nobis utilis et necessaria fuit, si puncto et momento temporis similitudo, ut ais, nobiscum ab eo demonstrata, celeriter mutata est; quando non hoc solum indigebamus, sed ut conversaretur nobiscum Dominus; et per omnia pergeret per quæ natura humana principium capiens, et per media progrediens, ad finem suum evadit?

H. Quid enim, inquit, ista probibebat, quamvis unio corpus impassibile fecisset?

O. Et quomodo, inquam, vel cum hominibus principio vixisset, vel passiones pro nobis suscepisset, si ex ipso principio unionis negatum esset, esse similem nobis passibilem, et mortalem?

H. Passus est, respondit ille, sed non necessitate naturæ, verum ratione œconomiæ, permittente Verbo ut pateretur.

O. Ergo, inquam, quod dictum est, nihil ab ænigmate differt. Quomodo enim naturam habebat superiorem quam ut pati posset, et rursus sinebatur, præter naturam, quæ carnis sunt pati? Si enim unio Verbi carni impassibilitatem dedisset, nunquam eam dono quod semel tribuisset, privasset. Præterea, si ex unione Verbi accepisset non posse corrumpi, tempus est ut audeas nefarie avellere admirandam, et supra naturam unionem. Siquidem non poterat pati, quod ex unione erat a passione liberum, nisi unione prius sublata; sicuti neque tenebræ unquam erunt, nisi causa et lumine recedente: et in summa, nihil ex causa continente proficiscens aptum natum est, ut in effectis permaneat, nisi causa adsit. Considera autem et hoc, quod si sustinuit Verbum ut cum patiente congrederetur, sustineret etiam, ut corpori passibili uniretur.

H. Num igitur, inquit, non patiebatur caro vo-

lente Verbo, sed naturæ legibus subjecta erat?

O. Ecquis, respondi ego, hoc diceret, quod non volente Verbo, quidquam eorum quæ naturaliter accidunt, carni eveniret; ac non magis ipso permittente, ut quæ naturalia erant sine peccato, caro pateretur, quæ ad patiendum natura apta nata erat? Non enim si secundum naturam erat supra quam ut pati posset, apta ad patiendum per Verbum facta esset. Contra potius, aliquando passiones caro superabat, tribuente ei Verbo, ut plurimum, dominatum in passiones, ut naturalis coagmentatio naturæ Verbi cum carne inseparabilis esset, et semper indissolubilis; passiones vero non participare non semper corpori liceret. Non enim ex unione habuit non pati, sed ex voluntate uniti hoc opportune, et ad aliquam utilitatem gubernantis ac disponentis. Nisi enim hoc verum esset, alterum duorum confiteri necesse esset, aut non passam esse quidquam penitus, quæ erat propter unionem natura impassibilis; aut si passa est, ab unione penitus divulsam esse.

H. Si igitur, ait ille, ut tu dicis, caro cum naturam haberet aptam ad patiendum, tum alia propter se, tum mortem sustinuit, exciderunt nobis et perierunt gloriationes, quibus gloriabamur, tanquam ipsa propter nos passa fuisset.

O. Propter nos pati carnem Domini, inquam ego, bone vir, dupliciter dicitur, et quod permittente Verbo passio circa ipsam accidit, quia scilicet cum prohibere posset, non prohibuit, ut magnus Athanasius ait; et quod superior omni peccato cum esset, non debebat propter se mortem, siquidem principio mors propter peccatum irrupit, et in totam naturam humanam pervasit, *in quo*, inquit Paulus, *omnes peccaverunt* [18]: non enim est, aut fuit ab omni sæculo anima hominis voluntarii, et non voluntarii peccati pura. Imo etiam animas sanctorum Patrum aliquid sordium et vitii, et si non secundum actum, saltem cogitationem admisisse dicam. Et hoc aperte licet ex Domino docente audire, cum ait: *Venit princeps hujus mundi, et in me nihil invenit* [19]. Cum dixit *in me* et *nihil*, plane significavit, se solum ab omni peccato etiam cogitationis liberum fuisse. Quamobrem damnatio peccati cum nullum locum in eo reperisset, substitit, et circumscripta est, et a reis deinceps recessit. Mortua enim mors est, cum carnem quæ non peccaverat, degustavit. Existimare autem, quod caro natura passionis expers, et immortalis, quod naturæ ejus non inerat sponte admisit, primum pridem hoc est ignorare, velle et non velle non esse carnis proprium, sed animæ rationalis, in qua potestas liberi arbitrii, et voluntatis in utramque partem propensio et inclinatio cernitur. Deinde faciunt eam ream, quæ voluit quod præter naturam erat; et id elegit, ad quod

[18] Rom. v, 12. [19] Joan. xiv, 30.

A τοῦ Λόγου ἔπασχεν ἡ σάρξ, ἀλλὰ νόμοις ὑπέκειτο φύσεως;

O. Καὶ τίς γὰρ ἄν, ἀποκριθεὶς εἶπον ἐγώ, τοῦτο φήσειεν, ὅτι γε μὴ βουλομένου τοῦ Λόγου, τῶν φυσικῶν τι συμπτωμάτων συνέβαινε τῇ σαρκὶ, καὶ οὐχὶ μᾶλλον ἐφιέντος αὐτοῦ, τῇ πάσχειν πεφυκυίᾳ τὰ κατὰ φύσιν ἀναμαρτήτως ὑφίστασθαι; Οὐ γὰρ ἀνωτέρα κατὰ φύσιν παθῶν οὖσα, παθητὴ διὰ τὸν Λόγον ἐγίνετο. Τοὐναντίον μὲν οὖν ἔστιν ὅτε καὶ τῶν κατὰ φύσιν ὑπερεῖχεν παθῶν, τοῦ Λόγου αὐτῇ, ὡς τὰ πολλὰ, τὴν κατὰ παθῶν ἐπικράτειαν χαριζομένου· ὥστε τὴν πρὸς τὴν σάρκα τοῦ Λόγου συμφυΐαν, ἀχώριστον εἶναι καὶ μέχρι παντὸς ἀδιάσπαστον· τὴν δὲ τῶν παθῶν ἀμεθεξίαν, οὐ πάντοτε παραμένειν τῷ σώματι. Καὶ γὰρ οὐκ ἐκ τῆς ἑνώσεως ἔσχε τὸ

B ἀπαθὲς, ἀλλ' ἐκ τῆς βουλήσεως τοῦ ἑνωθέντος, κατὰ καιρὸν τοῦτο καὶ πρός τι χρήσιμον οἰκονομοῦντος. Εἰ γὰρ μὴ τοῦτο ἦν ἀληθὲς, δυοῖν ἀνάγκη θάτερον ὁμολογεῖν, ἢ μηδὲ πεπονθέναι τι παντελῶς, ἀπαθῆ τῇ φύσει τυγχάνουσαν διὰ τὴν ἕνωσιν, ἢ πάσχουσαν ὅλως τῆς ἑνώσεως ἀποσχίζεσθαι.

A. Εἰ τοίνυν, ἐκεῖνος ἔφη, κατά γε τοὺς σοὺς λόγους, φύσιν ἡ σάρξ ἔχουσα παθητὴν τά τε ἄλλα δι' αὐτὴν, καὶ δὴ καὶ τὸν θάνατον ἐπέσχεν, οἰχήσεται ἡμῖν τὰ αὐχήματα καὶ διόλωλεν, ἅπερ ἐξ αὐτῆς ὡς δι' ἡμᾶς παθούσης ἐσχήκαμεν.

O. Τὸ δι' ἡμᾶς, ἔφην, ὦ βέλτιστε, παθεῖν τὴν τοῦ Κυρίου σάρκα διττῶς λέγεται, ὅτι τε συγχωροῦντος

C τοῦ Λόγου τὸ περὶ αὐτὴν πάθος συνέβαινε (δυνάμενος γὰρ κωλύειν οὐκ ἐκώλυσε, κατὰ τὸν μέγαν Ἀθανάσιον), καὶ ὅτι πάσης ἁμαρτίας κρείττων φανεῖσα, οὐκ ἐχρεώστει δι' ἑαυτὴν θάνατον· εἴπερ καὶ τὴν ἀρχὴν ὁ θάνατος διὰ τὴν ἁμαρτίαν εἰσέφρησε, καὶ διὰ πάσης κεχώρηκε τῆς ἀνθρωπίνης φύσεως, *ἐφ' ᾧ*, κατὰ τὸν Παῦλον, *πάντες ἥμαρτον*· οὐ γὰρ ἔστιν ἢ γέγονεν ἐκ τοῦ παντὸς αἰῶνος ἀνθρώπου ψυχὴ, ἑκουσίου τε ἢ ἀκουσίου ἁμαρτίας καθαρά. Ἀλλὰ καὶ τὰς τῶν ἁγίων ψυχὰς εἴποιμ' ἂν μικρὸν, εἰ καὶ μὴ κατ' ἐνέργειαν, ἀλλ' οὖν γε κατὰ διάνοιαν πάντως ῥύπου κακίας εἰσδέξασθαί τι. Καὶ τοῦτο σαφῶς ἔστιν ἀκοῦσαι τοῦ Κυρίου διδάσκοντος, ἐν οἷς φησιν· *Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρίσκει οὐδέν*. Τὸ γὰρ *ἐν ἐμοὶ* καὶ τὸ *οὐδὲν* εἰ-

D πὼν διαῤῥήδην ὑπέδειξεν, ὅτι γε μόνος ἁπάσης μεμένηκε καὶ τῆς κατ' ἐπίνοιαν ἁμαρτίας ἐλεύθερος. Διὸ καὶ τὸ τῆς ἁμαρτίας κατάκριμα μηδεμίαν ἐπ' αὐτῷ χώραν εὑρὸν, ἔστη καὶ περιεγράφη, καὶ τῶν ὑπαιτίων εἰς τὸ ἑξῆς ἀνακεχώρηκε. Τέθνηκε γὰρ ὁ θάνατος, ἀναμαρτήτου σαρκὸς ἀπογευσάμενος. Τὸ δέ γε οἴεσθαι ὡς ἀπαθὴς τῇ φύσει καὶ ἀθάνατος οὖσα, τὸ μὴ τῇ φύσει πρὸς ὃν ἐθελουσίως προσήκατο, πρῶτον μὲν οὐκ εἰδότων ἐστὶν, ὅτι τὸ βούλεσθαι καὶ μὴ βούλεσθαι, οὐκ ἔστι σαρκὸς ἴδιον, ἀλλὰ λογικῆς ψυχῆς· περὶ ἣν ἡ αὐτεξουσιότης τε καὶ ἡ ἐφ' ἑκάτερα τοῦ θέλειν ῥοπὴ θεωρεῖται. Ἔπειτα καὶ ὑπαίτιον αὐτὴν εἶναι κατασκευάζουσιν, τὸ

παρὰ τὴν φύσιν θελούσης, καὶ ὃ μὴ πέφυκεν αἱρουμένης. Οὗτος δὲ ἁμαρτίας ὅρος ὁ ἔσχατος. Καὶ τοῦτο δὲ μὴ καταλείψωμεν ἀπαρασήμαντον, ὅτι τριῶν αἰτιῶν θεωρουμένων, ἐξ ὧν πᾶσα ἀποτελεῖται ἐνέργεια· ἡ μὲν γάρ ἐστιν ἐκ φυσικῆς δυνάμεως, ἡ δὲ ἐκ παρατροπῆς τῆς κατὰ φύσιν ἕξεως, ἡ δὲ ἑτέρα θεωρεῖται κατὰ τὴν πρὸς τὸ κρεῖττον ἀνάβασίν τε καὶ πρόοδον· τούτων ἡ μὲν φυσική, ἡ δὲ παρὰ φύσιν, ἡ δὲ ὑπὲρ φύσιν ἐστὶ καὶ ὀνομάζεται. Ἡ μὲν οὖν παρὰ φύσιν, κατ' αὐτό γε τὸ ὄνομα, ἀπόπτωσίς τις οὖσα τῶν φυσικῶν ἕξεων καὶ δυνάμεων, λυμαίνεται τῇ τε οὐσίᾳ αὐτῇ, καὶ ταῖς ταύτης φυσικαῖς ἐνεργείαις. Ἡ δὲ φυσικὴ ἐκ τῆς ἀπαραποδίστου καὶ κατὰ φύσιν ἐρηρεισμένης ἀποτελεῖται αἰτίας. Ἡ δὲ ὑπὲρ φύσιν ἀνάγει τε καὶ ὑψοῖ, καὶ πρὸς τὰ τελειότερα δυναμοῖ, καὶ ἅπερ οὐκ ἂν ἴσχυσεν ἐνεργεῖν τοῖς κατὰ φύσιν ἐναπομείνασα. Οὐκ ἔστιν οὖν τὰ ὑπὲρ φύσιν τῶν κατὰ φύσιν ἀναιρετικά, ἀλλὰ παράγωγα καὶ παρορμητικά, εἰς τὸ κἀκεῖνά τε δυνηθῆναι, καὶ τὴν πρὸς τὰ ὑπὲρ ταῦτα δύναμιν προσλαβεῖν.

Α. Παραδείγματι οἰκειοτέρῳ σαφήνισον τὸ λεγόμενον· οὐ γάρ μου ὁ νοῦς πω εἷλεν αὐτό.

Ο. Σκόπει δέ, ἔφην, ᾧ δή, καθάπερ ἐπὶ τῶν τεχνικῶς κατεσκευασμένων ἔστιν ἰδεῖν, μετακοσμοῦσαν τὴν τέχνην τῷ κατασκευάσματι, καὶ τὴν φυσικὴν τῆς ὑποκειμένης ὕλης ἀμορφίαν ἐπὶ τὸ εὐπρεπέστερον σχῆμά τε καὶ εἶδος μετάγουσαν, καὶ πρὸς τὸ χρειῶδες μᾶλλον ἐκκαλουμένην· χαρίζεται γὰρ ἡ τέχνη ὅπερ οὐκ ἔσχεν ἡ φύσις· οὕτω γὰρ αὐλοὶ καὶ κιθάραι, καὶ τὰ τούτοις τῶν ὀργάνων ὅμοια φθέγγεσθαι παρὰ τῆς τέχνης ἐξεβιάσθησαν· οὕτω καὶ πλαστικὴ τά τε ἄλλα καὶ τὸν χρυσὸν εἴς τε μυρία γένη τῶν ἀλόγων ζώων, καί γε πρὸς τὰς ἀνθρωπικὰς μεταμείβει μορφάς· μηχανική τε αὖ πάλιν ἀστρονομικὰς σφαίρας καὶ ὡροσκόπια, καὶ τὰ τοιαῦτα ἐπινενόηκε· μακρὸν δ' ἂν εἴη τὰ κατ' εἶδος καταριθμεῖν, οἷς ὁ τεχνικὸς λόγος ἐπὶ τῶν οἰκείων ὅρων αὐτῆς μεινάσης τῆς φύσεως, καὶ οὐδὲν ὅλως παραβλαβείσης, τὴν ἀπὸ τῆς τέχνης εὐκοσμίαν τε καὶ εὐχρηστίαν προστίθησι· τὸν αὐτόν γε δὲ τρόπον, ἵνα τοῖς θείοις τε καὶ ὑπερτέροις τὰ χαμαίζηλα καὶ πολλοστὸν τῆς ἀληθείας ἀπήχημα φέροντα, πρὸς παράδειγμα λάβωμεν, καὶ τὴν τοῦ Κυρίου νόει μοι σάρκα τῶν τῆς φύσεως νόμων, καὶ μετὰ τὴν ὑπερφυᾶ καὶ θαυμασίαν ἕνωσιν, ἀλωβήτων αὐτῆς συντηρηθέντων, καὶ τὰ ὑπὲρ τὴν φύσιν δεδέχθαι, ὡς μηδ' ὁπότερον ἐκ τοῦ θατέρου χωρίζεσθαι ἢ ἐμποδίζεσθαι. Οὐδὲ γὰρ τὰ ὑπὲρ φύσιν ἔχει χώραν, μὴ τῆς φύσεως ἐχούσης κατὰ φύσιν. Ἀφήρηται δὲ καὶ τὸ εἶναι θαῦμα, τῷ ὑπὲρ φύσιν τῆς φύσεως μεταστάσης, καὶ γίνεται ὕβρις ἡ φιλοτιμία τυραννήσασα τὴν ἀλήθειαν.

Α. Κἀμοὶ δή, ἔφη, ταῦτα δοκεῖ. Οὕτω μέν τοι ὡς τὰ μὲν πάθη θαύματος λόγῳ τῇ σαρκὶ τοῦ Κυρίου συμβαίνειν· τὸ δέ γε ἀπαθὲς αὐτῇ καὶ ἀνώλεθρον, φύσεως νόμοις ἀδιαπτώτοις ἐρηρεῖσθαι.

Ο. Καὶ πόθεν, εἶπον ἐγώ, τοῦτο λαβὼν ἔχεις, ὦ βέλτιστε; Τίς δέ σοι γεγένηται τῆς ξένης ταύτης σοφίας ὑποφήτης; Ἢ ἀγνοεῖς ὅτι νόμος φύσεως οὐ

A nata non erat. Hic autem ultimus peccati limes. Nec hoc est sine animadversione prætereundum, quod cum tres causæ cernantur ex quibus omnis actus proficiscitur, unus quidem est ex naturali potentia; alius vero ex depravatione habitus secundum naturam; tertius consideratur secundum ascensum et progressum ad melius: ex his primus est naturalis; secundus præter naturam; tertius supra naturam est, et nominatur. Ille ergo actus qui vocatur præter naturam, qui est aberratio quædam a naturalibus habitibus et potentiis, lædit substantiam ipsam et operationes ejus naturales: naturalis autem actus ex causa non impedita, et secundum naturam nixus proficiscitur: actus vero supra naturam, evehit, et elevat, et ad perfectiora B roborat, et ad ea quæ non potuisset efficere, si in iis quæ sunt secundum naturam mansisset. Quæ igitur supra naturam sunt, non interimunt quæ sunt secundum naturam, sed potius deducunt et impellunt, ut ea quæ secundum naturam sunt, possimus, et virtutem ad ea quæ supra hæc sunt, accipiamus.

H. Exemplo, inquit, familiari declara quod dicis; nondum enim mens mea illud percipit.

O. Considera, inquam, sic: Sicut in iis quæ arte fiunt, videre licet, quemadmodum ars artificio mutat in aliam formam, et naturalem materiæ subjectæ deformitatem ad pulchriorem habitum et speciem transfert, et magis ad utilitatem evocat; C largitur enim ars, quod natura non habuit: ad hunc modum tibiæ, et citharæ, et alia ejusmodi instrumenta vi artis sonos emittunt: sic ars fingendi cum alia, tum aurum in infinita genera animalium ratione carentium, et in formas humanas mutat. Ac rursus ars mechanica sphæras astronomicas, et horologia, et alia hujusmodi excogitavit. Longum esset, numerare formas quibus ratio artificiosa manente natura intra fines suos, et nihil læsa, pulchritudinem et commoditatem ex arte adhibet. Ad eumdem modum, ut quæ humilia sunt, et similitudinem longe a veritate remotissimam ferunt, cum divinis exempli causa conferamus: considera mihi carnem Domini salvis naturæ legibus post unionem supra naturam et ad- D mirabilem; etiam ea quæ supra naturam sunt, locum habent, non habente natura quod secundum naturam est. Desinitque miraculum esse, cum id quod est supra naturam, naturam mutat, ac magnificentia quæ naturæ violentiam adhibet, in contumeliam vertitur.

H. Et mihi, inquit, hæc videntur: sic tamen, ut passiones ratione miraculi carni acciderent; non posse autem pati, et immortalitas ejus in naturæ legibus indissolubilibus niteretur.

O. Et unde, inquam ego, hoc accepisti, bone vir? Quis fuit tibi hujus novæ et peregrinæ sapientiæ magister? An ignoras, quod lex naturæ

non est, quod rarum est, sed quod semper, vel ut plurimum cernitur et permanet? Dominus igitur noster totis triginta tribus annis nobiscum secundum carnem versatus, non abhorrendo ullo modo a nostra consuetudine, humanitatem honoravit, cibo et potu et somno utens, et alia omnia naturaliter adhibens quæ veritatem sumpti corporis demonstrabant, et miracula non priusquam triginta annos natus, facere cœpit. Ne enim mihi ullus miracula Domini puerilia ex puerili sensu proferat; hæc ætas perfectam virtutis periclitationem, et doctrinæ maturum tempus habebat, quando vera Evangelia nobis prædicavit; et ad confirmationem doctrinarum divinarum admirabilitate miraculorum ea quæ dicebantur, munivit: et usque adeo hic cernitur naturalibus, et citra reprehensionem corporis consuetudinibus usus, ut existimationem voracis et vini potoris sustineret [20], dum, similiter ut nos, modum necessitatis expleret. Quid præterea dices, quo pacto semper in nostra forma videbatur, et cum multitudine versans, et nihil a multis habitu differens? Siquidem premebant eum turbæ, ut Petrus ait [21]; et qui eum prodidit signa dedit ex quibus deicidæ eum agnoscerent, propter similitudinem, ut quidam ex nostris dixit, habitus Domini cum habitu discipulorum. Hæc vero ab ortu ejus usque ad ascensum in crucem, et usque ad sepulturam tridui quadam serie et ordine naturali processerunt: ad ostensionem vero divinitatis, quæ nondum declarata erat, raro quoad totam vitæ seriem miracula circa corpus fecit, ad ostensionem, ut dixi, divinitatis, non ad negationem veritatis corporis. Idcirco super mare ambulans non deprimitur; et in monte transfiguratur; totis quadraginta diebus jejunus, naturalis necessitatis oblitus est; ex visceribus virginalibus ortus est salvo et integro flore virginitatis: hæc ad declarandum thesaurum divinitatis, non ad interimendam et mutandam assumptam humanitatem mirabiliter operatus est. Et ut breviter dicamus, miracula divina et arcana quæ faciebat, notæ et indicia divinitatis erant; passiones vero, et ante eas conceptus, et partus, et fasciæ, et accretio ætatis, et cætera omnia quæ lege naturæ circa corpus ejus facta sunt, verum hominem et nostræ substantiæ esse demonstrabant. Sed quod pene mentem effugerat, illud addam.

A τὸ σπάνιον, ἀλλὰ τὸ ὡς ἀεὶ, ἢ κατά γε τὸ πλεῖστον ἐνθεωρούμενον καὶ παραμένον; Ὁ γοῦν Κύριος ἡμῶν τριάκοντα καὶ τρισὶν ὅλοις ἔτεσι, μεθ' ἡμῶν κατὰ σάρκα πολιτευσάμενος, τῇ μὲν ἀπαραλλαξίᾳ τῶν ἡμετέρων, τὸ ἀνθρώπινον ἀπεσέμνυνεν, ἐσθίων τε καὶ πίνων καὶ ὑπνῶν, καὶ τ' ἄλλα δὴ πάντα φυσικῶς προσιέμενος, ἅπερ τὴν ἀλήθειαν συνίστησι τοῦ εἰλημμένου σώματος· καὶ θαυματουργεῖν δὲ τριακονταέτης γεγονὼς, οὐ πρότερον ἤρξατο. Μὴ γάρ μοι τὰ παιδικά τις τοῦ Κυρίου, ἐκ παιδικῆς φρενὸς προβαλλέσθω θαυματουργήματα, τελείαν βάσανον ἀρετῆς καὶ διδασκαλίας καιρὸν ταύτης ἐχούσης τῆς ἡλικίας, ἡνίκα καὶ τὰ ὄντως ἡμῖν ἐκήρυξεν Εὐαγγέλια, καὶ τὸ πιστὸν ἐπάγων τοῖς θεοπνεύστοις διδάγμασι, τῷ παραδόξῳ τῶν θαυμάτων ἐπεσφράγισε τὰ λεγόμενα· B τοσοῦτον δὲ κἀνταῦθα φαίνεται τοῖς τοῦ σώματος φυσικοῖς τε καὶ ἀδιαβλήτοις προσχρησάμενος, ὥστε φάγου τε καὶ οἰνοπότου δόξαν ἠνέγκατο, παραπλησίως ἡμῖν τὸ τῆς χρείας μέτρον ἀποπληρῶν. Τί δ' ἂν ἔχοις εἰπεῖν, περὶ τοῦ διὰ παντὸς αὐτὸν ἐν τῇ καθ' ἡμᾶς ὁρᾶσθαι μορφῇ, μετὰ τοῦ πλήθους τε ἀναστρεφόμενον, καὶ οὐδὲν τῶν πολλῶν τῷ σχήματι διαλλάττοντα; Καὶ γὰρ ἀπέθλιβον αὐτὸν οἱ ὄχλοι, ὡς ὁ Πέτρος φησί· καὶ ὁ παραδιδοὺς αὐτὸν σημεῖα ἐδίδου, δι' ὧν γνωσθείη τοῖς θεοκτόνοις, διὰ τὴν, ὡς ἔφη τις τῶν ἡμετέρων, κατὰ τὸ σχῆμα τοῦ Κυρίου πρὸς τοὺς μαθητὰς ὁμοιότητα. Ταῦτα δὲ ἀπὸ τῆς πρώτης γεννήσεως μέχρι τῆς ἐν τῷ σταυρῷ ἀναβάσεως, καί γε τῆς τριημερονύκτου ταφῆς, εἱρμῷ τινι καὶ τάξει φυσικῇ προὔβαινεν· C εἰς φανέρωσιν δὲ τῆς οὔπω τοῖς πολλοῖς δεδηλωμένης θεότητος, σπανιάκις ὡς πρός γε τὴν ὅλην ἀκολουθίαν, ἐκαινοτόμει τὰς περὶ τὸ σῶμα θεοσημείας, εἰς δήλωσιν, ὡς ἔφην, τῆς οἰκείας θεότητος, οὐκ ἀναίρεσιν τῆς ἀληθείας τοῦ σώματος. Διὰ τοῦτο ἐπὶ πελάγους κουφίζεται, καὶ μεταμορφοῦται ἐπὶ τοῦ ὄρους, καὶ πρό γε τούτων, ἄγευστος ἐπὶ ὅλας τεσσαράκοντα τὰς πάσας ἡμέρας μεμενηκὼς, τῆς φυσικῆς χρείας ἐκλέληστο· παρθενικῶν τε σπλάγχνων ἀνέθηλε, τοῦ τῆς παρθενίας ἄνθους ἀδιαφθόρου συντηρηθέντος, εἰς δήλωσιν τοῦ θησαυρίσματος τῆς θεότητος, ἀλλ' οὐκ ἀναίρεσιν καὶ μεταστοιχείωσιν τοῦ προσλήμματος τεθαυματούργηκεν. Καὶ ἵνα συνελθόντες εἴπωμεν, τὰς μὲν ἀῤῥήτους θεουργίας, τῆς D ὑπερκειμένης θεότητος προὔβάλλετο γνωρίσματα· τὰ δὲ πάθη, καὶ πρὸ τούτων τὴν σύλληψιν καὶ τὰ σπάργανα, τήν τε τῆς ἡλικίας αὔξησιν, καὶ τῶν ἄλλων ἕκαστον, ὅσα δὴ νόμῳ φύσεως περὶ τὸ σωματικὸν αὐτοῦ ἐγίνετο, ἀληθῆ αὐτὸν καὶ ἡμῖν ὁμοούσιον ἀπέφαινεν ἄνθρωπον. Ἀλλ' ὃ τὴν ἐμὴν μικροῦ ἀπέδρα διάνοιαν, κἀκεῖνο προσθήσω.

H. Dic, inquit, id.

O. Cogitavi, inquam ego, illud recte habere, et pium omnibus videri, quod sicut Dominus omnia sua cum carne communicans, non recessit a se, manetque fixus ac stabilis in statu suo naturali; sic etiam humanitas ejus perseverans in iis quæ naturæ ejus sunt, et habens naturales facultates, et

Α. Φάθι γε δῆτα αὐτὸ, εἶπεν.

Ο. Ἐννενόηκα, ἦν δ' ἐγὼ, ἐκεῖνό γε τὸ καλῶς ἔχειν καὶ εὐσεβῶς πᾶσι δοκοῦν, ὅτι, ὥσπερ ὁ Κύριος πάντων τῶν ἑαυτοῦ μεταδιδοὺς τῇ σαρκὶ, ἀνεκφοίτητος μεμένηκεν ἑαυτοῦ, καὶ τὴν κατὰ φύσιν ἑδραίαν ἔχει μονὴν, οὕτω καὶ ἡ κατ' αὐτὸν ἀνθρωπότης, ἐν τοῖς κατὰ φύσιν ἑστῶσα, καὶ τὰς τοῦ σώματος ἔχουσα

[20] Matth. xi, 19. [21] Luc. viii, 45.

φυσικάς δυνάμεις τε καὶ ἐνεργείας, καὶ τὰ πάθη τὰ κοινὰ καὶ ἀδιάβλητα οὐ ποτε λείπουσα, τόν τε ὅρον τῆς καθ' ἡμᾶς τελειότητος οὐσιωδῶς κεκτημένη, πάντων κεκοινώνηκε τῶν ἐκ τοῦ Λόγου καλῶν, μᾶλλον δὲ αὐτὴν πηγὴν τῶν καλῶν τὸν Λόγον ἔχουσα, πηγάζει ἐξ ἑαυτῆς πάντα τὰ τοῦ Λόγου διὰ τὸν Λόγον. Μὴ γὰρ δὴ οἰώμεθα μέγα τι λέγειν περὶ τῆς σαρκὸς τοῦ Κυρίου, ἐκεῖνο αὐτῇ διδόντες ὃ μηδὲ αὐτὴν τετίμηκε, καὶ τὴν ἡμῶν ἀφήρηται τιμήν· οὐδὲ γὰρ τοῦ Λόγου ἦν, τῶν ἡμετέρων αὐτὴν στερῆσαι, μένουσαν μεθ' ἡμῶν· οὔτε τῆς ἀνθρωπότητος, τὴν ἐξ ἡμῶν ἐχούσης συγγένειαν, ὑπερηφανῆσαι τὴν ὁμοιοπάθειαν· εἴ γε μὴ μέλλοιμεν τῆς θεομιμησίας αὐτῆς ἀποπίπτειν. Οὔτε δὲ τὰ κοινῶς ὑπάρξαντα, δικαίοις τε καὶ ἀδίκοις μετὰ τὴν ἀνάστασιν, φημὶ δὴ τὴν ἀθανασίαν καὶ ἀφθαρσίαν, καὶ πρὸ τούτων τὸ μὴ πεινεῖν καὶ διψεῖν [ita cod.], καὶ ὕπνου ὀρέγεσθαι, ὡς μέγα τι προσρίπτειν τῇ σαρκὶ τοῦ Κυρίου. Ὧδε γάρ ἐστιν ἀληθῶς εἰπεῖν, ὅτι ἡ δόξα ἐν τῇ αἰσχύνῃ τῶν διὰ τιμῆς ἀτιμαζόντων καὶ ἡμᾶς καὶ τὴν τοῦ Κυρίου σάρκα, τὴν μὲν τῇ στερήσει τῶν ἡμετέρων, ἡμᾶς δὲ τῇ ἀποπτώσει τῶν ἀπ' ἐκείνης· οὐ γὰρ δοξάσει μὴ συμπαθοῦσα, ἡ διὰ τοῦ παθεῖν δοξάζουσα.

A actiones corporis, ac passiones communes, et a crimine alienas ac liberas nunquam deserens, et definitionem perfectionis nostræ secundum substantiam possidens, omnia bona ex Verbo participavit, quin potius ipsum fontem bonorum, Verbum scilicet habens, emittit e se omnia quæ Verbi sunt, propter Verbum. Ne enim existimemus, magnum aliquid de carne Domini dicere, si ei tribuamus, quod nec ipsam honoravit, et quod honorem nostrum abstulit; nec enim Verbi erat, privare eam nostris proprietatibus manentem alioqui nobiscum: nec erat humanitatis, affinitatem nobiscum habentis, delere similitudinem patiendi, nisi velimus excidere ab ejus imitatione et similitudine. Nec vero ea quæ communiter justi et injusti post resurrectionem habebunt, immortalitatem dico, et non B posse interitum capere, et in primis non esurire, non sitire, non expetere somnum, tanquam grande aliquid carni Christi projiciamus. Hic enim vere dici potest, gloria in confusione eorum, qui per honorem et nos et carnem Domini inhonorant: carnem (33) quidem Domini, cum eam iis quæ nostra sunt, privant: nos vero, cum faciunt, ut ab iis quæ carnis Domini sunt, excidamus: non enim glorificabit non compatiens, quæ per passionem glorificat.

Α. Ἰδοὺ δὴ νῦν, ἔφη, καὶ μὴ βουλόμενος, ἀπεδιεστείλω τοῦ παθητοῦ τὸ φθαρτόν· πάσχει γὰρ ἐν τῇ κολάσει τὰ σώματα τῶν ἁμαρτωλῶν σὺν αὐταῖς ψυχαῖς, οὐ δή που δὲ καὶ πάσχοντα θανάτῳ ἢ φθορᾷ ὑποπεσεῖται· ὡς ἐντεῦθεν γνώριμον εἶναι, ὅτι οὐ ταυτόν ἐστι τῷ παθητῷ τὸ φθαρτὸν, εἴπερ κἀκεῖνα πάσχει μὲν, οὐ φθείρεται δέ.

H. En nunc, inquit, nolens distinxisti corruptibile a passibili: patiuntur enim in cruciatu corpora peccatorum cum ipsis animis; non tamen patiendo, mortem vel interitum capient: ut hinc C pateat, non esse idem corruptibile atque passibile; siquidem illa patiuntur, sed non corrumpuntur.

Ο. Ἀλλ', ὦ βέλτιστε, ἦν δ' ἐγὼ, οὐ τοῦτό φημι, ὅτι ποτὲ πάθος φθαρτικόν ἐστι τοῦ πάσχοντος, ἀλλὰ τὰ τοιάδε καὶ τοῦ τοιοῦδε. Τῶν ἐν ᾅδου τοίνυν κολάσεων, καὶ τῆς ἐξ αὐτῶν γινομένης πικρᾶς συναισθήσεως, οὐκ ἂν εἴποιμεν ἴδιον τὸ φθείρειν τὴν ὑποκειμένην φύσιν· εἰ γὰρ ἔστι τολμήσαντα εἰπεῖν, καὶ συντελεῖ τι πρὸς τὴν διαρκῆ ἐπιμονὴν τῶν κολαζομένων· ἴδοι δ' ἄν τις αὐτὸ τοῦτο συμβαῖνον καὶ ἐν τοῖς ἰατρικοῖς φαρμάκοις· ἀναζῇ τε γὰρ ἐκεῖνα καὶ ἀναθάλπει τὴν φύσιν, τὸ βάθος κεντρίζοντα, καὶ οὐκ ἐᾷ τῇ ἀναισθησίᾳ μαραίνεσθαι, ἀλλὰ τῇ ὀδύνῃ συντηρεῖ, καὶ τῷ διακαεῖ συντονίαν ἄγει καὶ πύκνωσιν. Τὰ δὲ ἀνθρώπινα πάθη καὶ φυσικὰ τῆς σαρκὸς, ἅπερ ὁ Κύριος κατεδέξατο, πέφυκέ πως καὶ τὴν σάρκα καταμαραίνειν, κοποῦν τε αὐτὴν καὶ ἀνιᾶν, καὶ τέλος διαλύειν, ὃ δὴ γεγονὸς καὶ κατὰ τὸν σταυρὸν ἔγνωμεν. Τῇ δὲ διαλύσει ὅσον γε ἐπὶ τῇ φύσει, καὶ τὸ φθαρῆναι ἕπεται. Τὰ τοίνυν ἀνθρώπινα πάθη λυπεῖν οἶδεν τὴν φύσιν, καὶ τῇ συνθέσει λυμαίνεσθαι, καὶ τέλος καὶ χωρισμὸν εἰσάγειν, καὶ φθορᾷ ὑποβάλλειν, ὧνπερ ὁ Κύριος παραπλησίως ἡμῖν

O. At, inquam ego, bone vir, non hoc dico, quod omnis passio interire facit patientem; sed tales passiones et talem. Suppliciorum igitur quæ in inferis sunt, et acerbi sensus eorum non est proprium naturam subjectam corrumpere: si enim audacter dicendum est, conferunt etiam aliquid tortis et cruciatis ad permanendum et perdurandum: videre etiam licet quemadmodum hoc ipsum eveniat in medicamentis: faciunt enim illa reviviscere, et naturam fovent, cum aliqui alte stimulent et pungant, nec sinant nos sentiendo D marcescere, sed potius dolore conservent, et urendo corroborent et densent. Humanæ vero et naturales passiones carnis quas Dominus suscepit, quodammodo erant natura aptæ ad debilitandum carnem, et defatigandum, ac dolore afficiendum, et denique ad dissolvendum; quod quidem in cruce factum esse cognovimus. Dissolutionem vero quantum in natura est, corruptio sequitur. Passiones igitur humanæ naturam possunt offendere, compositum lædere, et finem atque separationem

(33) Caro Domini per passionem glorificat compatientes, Rom. VIII; compati autem non possumus, nisi caro Domini compateretur, quod est pati nobiscum, et nos cum ipso. CAN.

inferre, et interitui subjicere : quæ quidem omnia, similiter atque nos, Dominus participavit, secundum magnam Apostoli doctrinam [22].

H. Quid aliud, inquit, his omnibus suadere et demonstrare studuisti, nisi quod cum Christus sit passibilis, idque natura corporis, non voluntate divinitatis, necessario erit corruptibilis ? Non enim ignoramus te hoc moliri : quod quidem nunquam concedemus, etsi infinita istis addas. Magis enim credendum est principi apostolorum Petro, ac prælerea David regi a Deo electo, et prophetarum principi, qui dixerunt, quod caro ejus non vidit corruptionem [23].

O. Quandoquidem ab humanis cogitationibus, inquam ego, sero tandem, et a probabilitatibus recessisti, et ad Scripturas sacras confugisti; et nos memoria cujusdam dicti prophetici contra ea quæ a te dicta sunt, effugerat : rogo te nunc ut hoc nobis declares.

H. Quid, inquit, hoc est quod dicis?

O. Quod divinus Jeremias, respondi ego, in Lamentationibus locutus est, demonstrans prophetice eum qui lamentationes dissoluturus erat, *Christus Dominus*, inquit, *in corruptionibus nostris comprehensus est* [24]. Aliud hujusmodi reperire licet dictum ex persona Domini per Prophetam : *Quæ utilitas in sanguine meo, dum descendo in corruptionem* [25]? Inscriptio autem psalmi, et tota verborum consequentia, docet nos intelligere Christum per psalmum mystice præfiguratum, secundum interpretationem theologorum. Imo et Petrus ipse iis qui resurrectionem Salvatoris non credebant, gravissime, ut videmus, dicit [26], quod suscitavit eum, non amplius ad corruptionem reversurum; quod autem dicit, non amplius reversurum esse eum, plane declarat eum de quo hoc dixit, non fuisse alienum a capienda corruptione. An igitur non putas adversari hæc iis quæ a te allata sunt, et nos majoribus vinculis quæstionis implicare?

H. Per veritatem, inquit ille, multa obscuritate plena sunt hæc, nisi aliquem interpretem adipiscantur, qui discrepantiam quæ in ipsis videtur esse, ad scopum veritatis collineet.

O. Age ergo, inquam, bone vir, sententiam horum obscuritate involutam explica, et veritatem nobis detege, sive eam a te, sive ab alio accepisti.

H. Non, inquit, aliquam valde bellam et speciosam excusationem invenisse mihi visus es, cum contrariis auctoritatibus veritatem majore obscuritate involvisti : ut quæstio quidem dubitationem, dubitatio vero concessionem falsi latenter includat. Ego vero, sive quis nobis dubium auctoritatum interpretetur, sive non, nunquam a sententia mea discedam; cum aperte clamet Scriptura, quia non

A πάντων μετέσχηκεν, κατὰ τὴν μεγάλην τοῦ Ἀποστόλου μυσταγωγίαν;

Α. Τί δὴ ἄλλο γε, ἔφη, διὰ τῶν εἰρημένων τούτων πείθειν τε καὶ δεικνύειν ἐσπούδακας, ἢ ὅτι παθητὸς ὢν ὁ Χριστὸς, καὶ τοῦτο σώματος φύσει, οὐχὶ θελήσει θεότητος, καὶ φθαρτὸς ἐξ ἀνάγκης ἔσται; Οὐ γὰρ ἔλαθες τοῦτο κατασκευάζων· ὅπερ οὐκ ἂν δεξαίμεθα πώποτε, κἂν μυρία πρὸς τούτοις ἐρεῖς. Πειστέον γὰρ μᾶλλον τῷ κορυφαίῳ τῶν ἀποστόλων Πέτρῳ, προσέτι δὲ καὶ τῷ ἐν βασιλεῦσι θεοχρίτῳ, καὶ ἀρχιπροφήτῃ Δαβὶδ ἀποφαινομένοις, ὅτι ἡ σὰρξ αὐτοῦ οὐκ ἴδεν διαφθοράν.

Ο. Ἐπειδὴ τῶν μὲν ἀνθρωπίνων, εἶπον ἐγὼ, ὀψέ γ' οὖν ἀπέστης λογισμῶν καὶ πιθανοτήτων, πρὸς δὲ
B τὰς θείας Γραφὰς καταπέφευγας, μνήμη δέ τις καὶ ἡμᾶς προφητικῆς ὑπέδραμε ῥήσεως, ἐναντίως ἔχειν δοκοῦσα τοῖς παρὰ σοῦ· ταύτην, αἰτῶ σε, τὰ νῦν ἡμῖν διασάφησον.

Α. Τίνα ταύτην, ἔφη, λέγεις, διέξιθι.

Ο. Τὴν Ἱερεμίου τοῦ θεηγόρου, πρὸς αὐτὸν ἀποκρινόμενος εἶπον, ἣν ἐν τοῖς Θρήνοις τὸν τῶν θρήνων λυτῆρα προαναῤῥητικῶς ὑποφαίνων ἐφθέγξατο, *Χριστὸς Κύριος*, λέγων, *συνελήφθη ἐν ταῖς διαφθοραῖς ἡμῶν*. Καὶ ἄλλο δὲ δὴ τοιοῦτο ἐκ προσώπου τοῦ Κυρίου, διὰ τοῦ προφήτου κηρυχθὲν ἔστιν εὑρεῖν, *Τίς ὠφέλεια ἐν τῷ αἵματί μου*, λέγοντος, *ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν;* Ἥ τε γὰρ ἐπιγραφὴ τοῦ ψαλμοῦ, καὶ ἡ ὅλη τῶν ῥημάτων ἀκολουθία τὸν Κύριον ἡμῖν νοεῖν ὑποτίθεται, διὰ τοῦ ψαλ-
C μοῦ μυστικῶς προτυπούμενον, κατὰ τὴν τῶν θεολόγων ἐξήγησιν. Ἀλλὰ καὶ αὐτὸς ὁ Πέτρος φαίνεται, τοῖς ἀπιστοῦσι τῇ ἀναστάσει τοῦ Σωτῆρος ἐμβριθέστατα λέγων, ὅτι ἀνέστησεν αὐτὸν, μηκέτι μέλλοντα ὑποστρέφειν εἰς διαφθοράν· τὸ δὲ μηκέτι μέλλειν αὐτὸν ὑποστρέφειν, οὐκ ἂν ἐπίδεκτον φθορᾶς εἶναι· δηλοῖ τὸν περὶ οὗ ταῦτα εἴρηκεν; Ἆρ' οὖν οὐκ οἴει ταῦτα τοῖς παρὰ σοῦ προενηνεγμένοις ἀντιστατεῖν, καὶ μείζοσιν ἡμᾶς ἀπορίας δεσμοῖς περιβάλλειν;

Α. Νὴ τὴν ἀλήθειαν, ἐκεῖνος ἔφη, πολλῆς ταῦτα γέμει τῆς ἀσαφείας, εἰ μή πού τινος ἐξηγητοῦ τυγχάνοιεν, κατὰ σκοπὸν τῆς ἀληθείας, τὴν δοκοῦσαν ἐν αὐτοῖς διαφωνίαν εὐθύνοντος.

D Ο. Δεῦρο δὴ οὖν, εἶπον, ὦ κάλλιστε κἀγαθὲ, τὸ τῆς τούτων διανοίας συνεσκιασμένον, εὐθυβόλως ἀνακαλύψας, τὴν ἀλήθειαν ἡμῖν παραγύμνωσον, εἴτε παρ' ἑαυτοῦ ταύτην, εἴτε καὶ παρ' ἑτέρου λαβὼν ἔχεις.

Α. Οὐ καλὴν, ἔφη, τινὰ παντελῶς, οὐδὲ εὐπρόσωπον ἔδοξάς μοι τὴν πρόφασιν ἐξευρεῖν, ταῖς ἀντιθέτοις τῶν ῥήσεων, μείζονι τὴν ἀλήθειαν ἀσαφείᾳ περιβαλὼν, ἵνα σοι ἡ μὲν ἀπορία τὴν ἀμφιβολίαν, ἡ δὲ ἀμφιβολία τὴν ὁμολογίαν παρεισκυκλήσῃ τοῦ ψεύδους. Ἐγὼ γοῦν εἴτε τις ἑρμηνεύσοι λόγος ἡμῖν, εἴτε καὶ μὴ τὸ τῶν ῥήσεων ἄπορον, οὐκ ἂν ποτε τῆς ἐμαυτοῦ γνώμης ἀποσταίην, διαῤῥήδην τῆς θεοπνεύστου βοώσης Γρα-

[22] Hebr. II, 14. [23] Psal. XV, 10; Act. II, 27. [24] Thren. IV, 20. [25] Psal. XXIX, 10. [26] Act. II, 31 seqq.

φῆς, ὅτι οὐκ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς τὸν ᾅδην, οὐδὲ ἡ σὰρξ αὐτοῦ ἴδεν διαφθοράν. A

Ο. Ὡς πεφυκυῖα τοῦ φθείρεσθαι, πρὸς αὐτὸν εἶπον, οὐκ ἴδεν διαφθοράν; ἢ εἰ μὴ τοῦτο, ἀπόκριναι.

Α. Ὡς μὴ πεφυκυῖα, εὐθὺς μηδὲ παντελῶς ὑποστειλάμενος, ἔφη.

Ο. Οὐκοῦν, ἔλεγον, ταυτὸ δὴ τοῦτο καὶ περὶ τῆς ψυχῆς ἀνάγκη σε πάντως ὁμολογεῖν· περὶ γὰρ ἀμφοῖν συνημμένως ὁ προφήτης ἐκ προσώπου τοῦ Σωτῆρος εὐχαριστῶν, τὸ μὴ ἐγκαταλειφθῆναι τὴν ψυχὴν αὐτοῦ εἰς τὸν ᾅδην, μηδὲ τὴν σάρκα αὐτοῦ ἰδεῖν διαφθορὰν ἀνεφώνησεν.

B Α. Καὶ γὰρ δὴ καὶ περὶ τῆς ψυχῆς, ἔφη, τοῦ Κυρίου τὸ ἴσον εἴποιμ' ἄν, ὅτι φύσιν οὐκ εἶχεν εἰς ᾅδου καταλιμπάνεσθαι.

Ο. Ἆρ' οὖν, ἔφην, οὐδὲ εἰς τὸν ᾅδην αὐτὴν καταπεφοιτηκέναι δώσομεν.

Α. Ὁ δὲ, Τοῦτο μὲν οὐκ ἂν ἀρνηθείην, ἔλεγεν, κρατεῖσθαί γε μὴν οὐ πέφυκε παντάπασιν.

Ο. Παραλλάττει γοῦν, ἔφην, τῶν ἡμετέρων ψυχῶν κατὰ τὴν φύσιν ἡ τοῦ Κυρίου ψυχή;

Α. Οὐχ ὅτι παραλλάττει, ἔφη, ἀλλ' ὅτι τῷ Κυρίῳ συγκεκραμένη, τῆς τοῦ ᾅδου κατοχῆς ὑψηλοτέρα καὶ κρείττων ἐτύγχανεν.

Ο. Οὐκοῦν, ἔφην, οὐ διὰ τὴν ἑαυτῆς φύσιν (ταύτην γὰρ ὁμοίαν εἶχεν ταῖς ἄλλαις ἁπάσαις ψυχαῖς), ἀλλὰ διὰ τὴν τοῦ Λόγου θεότητα, μεθ' ἧς καὶ εἰς C ᾅδου καταβέβηκεν, οὐ τοῦ κρατεῖσθαι μόνον ἐξῄρητο, ἀλλὰ καὶ τῶν ἐκεῖσε κεκρατημένων, καὶ πιστευσάντων αὐτῷ, τὰ δεσμὰ λέλυκεν.

Α. Οὕτως εἶπεν ἔχειν.

Ο. Τὰ παραπλήσια δὲ, ἐγὼ εἶπον, καὶ περὶ τῆς σαρκὸς τοῦ Κυρίου νοεῖν ἔξεστιν· ὅτι ὅσον μὲν ἐπὶ τῷ ὁμοφυεῖ τῆς σαρκὸς αὐτοῦ, πρὸς τὰ τῶν λοιπῶν ἀνθρώπων σώματα, ὥσπερ τέθνηκεν, οὕτω καὶ φθαρῆναι ἠδύνατο· τὸ δὲ μὴ ἐφθάρθαι αὐτὸ, οὐ τῆς φύσεως τὴν παραλλαγὴν δείκνυσιν, ἀλλὰ τῆς θείας ῥοπῆς τὴν πανσθενῆ τε καὶ δραστήριον δύναμιν· ὥσπερ αὖ καὶ τὸ ἐπὶ πελάγους πεζεύειν, οὐ δήλωσις ἦν τῆς φύσεως τοῦ σώματος, ἀλλὰ γνώρισμα τῆς θεότητος· ὥστε τὸ μὲν τεθνηκέναι, τῆς φύσεως τοῦ D σώματος, ἴδιον· τὸ δὲ μὴ ἐφθάρθαι αὐτὸ, τῆς θεότητος τὴν δύναμιν σημαίνειν.

Α. Οὕτως ἔχειν καὶ αὐτὸς οἶμαι.

Ο. Καὶ τί δή ποτε, πρὸς αὐτὸν εἶπον, *Ὀρθῶς προσφέρων, μὴ ὀρθῶς καὶ διαιρεῖς;* κατὰ τὸ λόγιον, ἀποδιδοὺς τῇ σαρκὶ μὲν τὰ τῆς φύσεως, τὰ δὲ ὑπὲρ αὐτὴν τῇ ἀποῤῥήτῳ τοῦ Λόγου καὶ ὑπερουσίῳ δυνάμει. Ταύτῃ γὰρ ἔσῃ καὶ τὴν τῶν ἀνωτέρω ῥητῶν διαφωνίαν ἐπιλυσάμενος, καὶ τῆς ἀληθείας καταστοχάσῃ· συνειλῆφθαι μὲν αὐτὸν ἐν ταῖς διαφθοραῖς ἡμῶν τὸ πεφυκέναι λέγων, καὶ κατεληλυθέναι εἰς διαφθορὰν, ἐν τοῖς φθοροποιοῖς γενόμενον

est derelicta anima ejus in inferno, neque caro ejus vidit corruptionem.

O. Tanquam apta nata ad corruptionem, inquam ego, non vidit corruptionem? Aut si non est ita, responde.

H. Tanquam non apta natura non vidit corruptionem, statim inquit ille, nihil prorsus dubitans.

O. Igitur, inquam ego, hoc ipsum etiam necesse est te de anima prorsus confiteri : de utrisque enim conjuncte Propheta ex persona Salvatoris pronuntiavit gratias agens, quod anima ejus non esset relicta in inferno, neque caro ejus vidisset corruptionem.

H. Atqui, inquit, idem de anima Domini dicam, quod non habebat naturam, ut relinqueretur in inferno.

O. Igitur, inquam ipse, nec ad infernum eam descendisse concedemus.

H. Hoc vero, inquit ille, non negaverim, verum ut teneretur ibi, non fuit apta penitus.

O. Differt igitur, aio, ab animis nostris secundum naturam anima Christi.

H. Non quia differt, inquit ille, sed quia erat unita Domino, non poterat in inferis detineri.

O. Non igitur, dixi ego, propter naturam suam, hanc enim similem cæteris omnibus animis habebat; sed propter divinitatem Verbi, cum qua ad inferos descendit, non solum ne teneri posset, libera fuit, sed eorum qui illic tenebantur et crediderunt ei, vincula solvit.

H. Sic, inquit, habet.

O. Similia, inquam ego, de carne Domini intelligere licet; quod scilicet, quantum attinet ad similitudinem carnis ejus cum reliquorum hominum corporibus, sicut mortuus est, sic etiam corrumpi potuit. Non fuisse tamen corruptum non demonstrat mutationem naturæ, sed omnipotentem et efficacem virtutem divini nutus et voluntatis : sicuti ingredi pedibus super mare non fuit declaratio naturæ, sed indicium divinitatis. Quare mortuum quidem esse proprium fuit naturæ corporis; corruptum vero non fuisse, potentiam divinitatis significabat.

H. Sic, inquit, et ipse opinor.

O. Quid ergo, inquam ego illi, *Cum recte offers, non recte dividis?* ut ait Scriptura [27] : tribuis quidem carni quæ naturæ sunt; quæ vero supra naturam sunt, potentiæ Verbi quæ supra substantiam est? Hoc enim modo superiorum auctoritatum discrepantiam solves, et veritatem assequeris : comprehensum quidem esse in corruptionibus nostris significabat quod naturæ inerat : descendisse vero in corruptionem, significabat venisse ad loca et

[27] Gen. IV, 7 sec. LXX.

res corrumpentes : non vidisse corruptionem, significat non esse expertum corruptionem Verbo prohibente ; ut sit hoc etiam cum aliis præcipuum munus gratiæ in resurrectione, cœpta quidem incorruptibilitate ab ipso et in ipso, pervadente autem et pervasura usque in omnem humanam massam, cujus ipse factus primitiæ, in se totam massam fermentavit.

H. Christum quidem passum esse, in divina Scriptura, quæ hoc dicit, audivimus, et passibilem esse secundum carnem Christum magnus Paulus prædicat; corruptibilem tamen esse Christum, nulla Scriptura sic explanate et nuda voce tradidit. Non enim omnino hoc declarat illud, comprehensum esse in corruptione.

O. Nunquid igitur, dixi illi, solum passum esse cum Scriptura dixit, an etiam secundum carnem natum ex Virgine?

H. Et hoc, inquit, eorum est quæ conceduntur. Alioqui quomodo intelligeremus illud : *Liber generationis Jesu Christi* [28] ?

O. Ergo, dixi illi, ad passionem spectat generatio ejus ab Scriptura prædicata?

H. Assentior, inquit.

O. Quid? inquam, annon accepimus ex Scriptura accretionem corporis ejus?

H. Maxime, inquit.

O. Illam vero, inquam ego, quam exteri philosophi vocant ἀλλοίωσιν, existimas ex potestate patiendi proficisci, an non?

H. Et ubi, inquit, in Scriptura hoc reperimus?

O. Ab ipso, inquam, Verbo salutari docemur, cum aperte dicit : *Spiritus promptus est, caro autem infirma* [29]. Et rursus de eo ait Apostolus : *Etsi crucifixus est ex infirmitate, sed vivit ex virtute Dei* [30]. Quid autem aliud est infirmitas, quam potentiæ secundum habitum variatio et mutatio? Et magnus Isaias ait : *Homo in plaga exsistens, et sciens ferre infirmitatem.* Et paulo ante : *Et vidimus eum, et non habebat speciem neque decorem : sed species ejus inhonorata, et deficiens præter filios hominum* [31]. An aliud est dicere defectionem et infirmitatem, quam immutationem quam corpus ex passione sustinuit colore privatum, et colorem in corpore naturaliter florescentem non servans, calore in intimum revocato, et superficie propter contractionem sanguinis refrigerata, et in pallorem mutata?

H. Optime, inquit, dicis, et mihi videris imitari magnum Basilium, passiones corporis physice describentem.

O. Nec aliud quid eorum quæ dixi, meum est; omnia ex Patribus accepi. Sed consideremus, si placet, quod sequitur.

H. Quid? inquit.

O. Concessis aperte ex sanctis Scripturis gene-

A καὶ τόποις καὶ πράγμασι· μὴ ἰδεῖν δὲ διαφθορὰν, τὴν ταύτης πεῖραν τοῦ Λόγου κωλύσαντος, ἵν' ᾖ μετὰ τῶν ἄλλων καὶ τοῦτο τῆς κατὰ τὴν ἀνάστασιν χάριτος, τὸ ἐξαίρετον δώρημα· ἀρξαμένης μὲν ἀπ' αὐτοῦ καὶ ἐν αὐτῷ τῆς ἀφθαρσίας, διαβάσης δὲ καὶ διαβησομένης μέχρι παντὸς τοῦ ἀνθρωπίνου φυράματος· οὗ καὶ ἀπαρχὴ γεγονὼς, εἰς ἑαυτὸν ἀνεζύμωσεν καὶ τὸ ὅλον φύραμα.

Α. Τὸν μὲν Χριστὸν, ἔφη, πεπονθέναι, τῆς θείας ἠκούσαμεν λεγούσης Γραφῆς· καὶ τὸ παθητὸν εἶναι κατὰ σάρκα τὸν Χριστὸν, ἡ Παύλου μεγαλόνοια διαγορεύει· τὸ μέντοι φθαρτὸν εἶναι τὸν Χριστὸν, οὐδεμία Γραφὴ τρανῶς οὕτω καὶ γυμνῇ τῇ φωνῇ παραδέδωκεν· οὐ γὰρ τὸ συλληφθῆναι αὐτὸν ἐν διαφθορᾷ πάντως τοῦτο δηλοῖ.

B Ο. Ἆρ' οὖν, πρὸς ἐκεῖνον εἶπον, τὸ πεπονθέναι μόνον αὐτὸν ἡ Γραφὴ διηγόρευσεν, ἢ καὶ τὸ γεγενῆσθαι κατὰ σάρκα ἐκ Παρθένου;

Α. Καὶ τοῦτο, ἔφη, τῶν ὁμολογουμένων ἐστί. Πῶς γὰρ ἂν ἄλλως νοήσαιμεν τὸ, *Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ;*

Ο. Οὐκοῦν, εἶπον, πρὸς τὸ πεπονθέναι, καὶ γένεσις αὐτοῦ παρὰ τῆς Γραφῆς καταγγέλλεται;

Α. Σύμφημι, ἔφη.

Ο. Τί δέ; οὐχὶ καὶ αὔξησιν αὐτοῦ σωματικὴν, εἶπον, ἐκ τῆς Γραφῆς παρειλήφαμεν;

Α. Πάνυ μὲν οὖν, ἔφη.

Ο. Τὴν δὲ παρὰ τῶν ἔξωθεν λεγομένην *ἀλλοίωσιν,* εἶπον ἔγωγε πρὸς αὐτὸν, ἐκ παθητικῆς οἴῃ δυνάμεως τίκτεσθαι, ἢ οὔ;

C Α. Καὶ ποῦ τῆς Γραφῆς τὸ τοιοῦτον εὕρομεν;

Ο. Πρὸς αὐτοῦ γε, εἶπον, τοῦ σωτηρίου Λόγου μυσταγωγούμεθα, *Τὸ Πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής,* ἄντικρυς λέγοντος. Καὶ πάλιν περὶ αὐτοῦ ὁ θεῖος Ἀπόστολος, *Εἰ καὶ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως.* Ἀσθένεια δὲ τί ἕτερόν ἐστιν, ἢ τῆς καθ' ἕξιν δυνάμεως ἀλλοίωσις καὶ μεταβολή; καὶ ὁ μέγας δὲ Ἡσαΐας φησίν· *Ἄνθρωπος ἐν πληγῇ ὢν, καὶ εἰδὼς φέρειν μαλακίαν.* Καὶ μετ' ὀλίγα· *Καὶ ἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ δόξαν· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.* Ἆρ' οὖν ἄλλο τί ποτέ ἐστιν καλεῖν ἔκλειψιν καὶ μαλακίαν, ἢ τὴν ἐκ πάθους ἀλλοίωσιν, ἣν τὸ σῶμα

D πέπονθεν ἄχρουν τε γενόμενον, καὶ τὸ φυσικῶς ἐπανθοῦν τῷ σώματι χρῶμα μὴ διασῶζον, ἐκ τοῦ εἰς τὸ βάθος συννεῦσαι τὴν θερμότητα, καὶ τὴν ἐπιφάνειαν, διὰ τὴν τοῦ αἵματος συστολὴν, κατεψύχθαι τε καὶ πρὸς τὸ ὠχρὸν μεταχωρῆσαι;

Α. Ὀρθότατα, ἔφη, λέγεις· καί μοι δοκεῖς ἐν τούτοις τὸν μέγαν ἐκμιμεῖσθαι Βασίλειον, τὰ τοῦ σώματος φυσιολογοῦντα πάθη.

Ο. Οὐδὲ ἄλλο τι τῶν εἰρημένων, εἶπον, ἐστὶν ἐμὸν, πάντα δὲ ἐκ Πατέρων λαβὼν ἔχω· ἀλλὰ τὸ ἑξῆς, εἰ βούλει, συνδιασκεψώμεθα.

Α. Ὁποῖον; ἔφη.

Ο. Γεννήσεως, εἶπον ἐγὼ, καὶ αὐξήσεως καὶ ἀλ-

[28] Matth. I, 1. [29] Matth. XXVI, 41. [30] II Cor. XIII, 4. [31] Isa. LIII, 2, 3.

λοιώσεως σαφῶς ἐκ τῶν θείων Γραφῶν δεδομένης, ζητοῦμεν καὶ τὰς λοιπὰς συζυγίας, εἴ γε καὶ ταύτας ἔστιν ἐν τοῖς θείοις λογίοις εὑρεῖν.

Α. Τοῦ ἐντεῦθεν, ἔφη, κατασκευαζομένου συνίημι· τὴν γὰρ μεταβατικὴν ὁμολογουμένην ἔχων, τὴν ἀπὸ τόπων εἰς τόπους τοῦ Κυρίου κίνησιν, τὰ περὶ μειώσεως καὶ φθορᾶς ἀποδεικνύειν ἐπιχειρεῖς, ὅπερ οὐκ ἄν, ὥς γέ μοι δοκεῖ, συμπερανεῖς.

Ο. Ὀρθῶς μὲν λέγεις, ἦν δ' ἐγώ, πρὸς τὴν ἡμετέραν ἀσθένειαν ἀφορῶν, ἡ δέ γε ἀλήθεια συμμαχουμένη συμμαχεῖ τοῖς ὑπερμαχοῦσιν αὐτῆς. Δοκεῖ σοι οὖν τὸ πεινῆν τε καὶ διψῆν, βρώσεώς τε καὶ πόσεως ἔφεσις εἶναι;

Α. Δοκεῖ, ἔφη.

Ο. Συμβαίνειν δὲ τὰς ἐφέσεις, οὐ περὶ τὰς ἐνδείας, ἔφην, ὑπείληφας;

Α. Ναί· τί γάρ ἐστιν ἕτερον ὄρεξις, ἢ ἐπιθυμία τοῦ ἐλλείποντος, πρὸς ἀναπλήρωσιν τοῦ ὑπεκρεύσαντος;

Ο. Κάλλιστά γε τὸν τῆς ὀρέξεως ὅρον ἀποδέδωκας· καὶ γὰρ καὶ ὁ μέγας Βασίλειος, πεινῆσαι λέγει τὸν Κύριον, τῆς στερεᾶς αὐτῷ τροφῆς διαπνευσθείσης ἐν τῷ σώματι· καὶ τὰ ἐπὶ τούτοις σαφῶς ἐπίστασαι. Ὕπνου δὲ συστολὴν οὐχ ἕτερον ὑπάρχειν φαμὲν, ἢ τοῦ αἰσθητικοῦ πνεύματος ἀτονίαν· ἐν γὰρ τούτοις ἐνδεῖ καὶ μειοῦται τὰ τῆς φύσεως, καὶ δεῖται ὕπνου μὲν εἰς τὸ ἀνακτήσασθαι τὴν ζωτικήν τε καὶ αἰσθητικὴν δύναμιν· ἀνέσεως δὲ, ἵνα χαλασθῶσιν οἱ τόνοι τῶν εἴτε ποδῶν, εἴτε χειρῶν, εἴτε καὶ ὅλου τοῦ σώματος ἐξ ὁδοιπορίας τινὸς, ἢ τῆς περὶ τὰ λοιπὰ τῶν ἔργων συντονίας ἀπειρηκότος. Τροφὴν δὲ καὶ ποτὸν ἡ φύσις ἐπιζητεῖ, τῶν στερεῶν ἡμῶν καὶ ὑγρῶν, ἐξ ὧν συνεστήκαμεν, διαπεφορημένων καὶ τῆς ἀντεισαγωγῆς προσδεομένων, τοῦ κενωθέντος ἤδη καὶ ῥεύσαντος.

Α. Ταύτῃ μὲν ἐπὶ τῶν ἡμετέρων, ἐκεῖνος ἔφη, σωμάτων, ὦ βέλτιστε· οὐ μὴν δὲ ἐπὶ τῆς τοῦ Κυρίου σαρκὸς οὕτω ταῦτα.

Ο. Ἀλλ' εἰ μὴ οὕτω ταῦτα, πρὸς αὐτὸν ἔφην, καὶ ἐπὶ τῆς τοῦ Κυρίου σαρκὸς, καὶ κατὰ τὸν ἴσον συνέβαινε τρόπον, εἴποιμ' ἂν θαῤῥούντως ὡς οὐδ' ὅλως γεγέννηται. Ἐπεὶ τὸν ἕτερον ἡμῖν παράστησον τρόπον. Οὐ γὰρ δὴ τὴν φαντασίαν εἴποις ἂν πώποτε.

Α. Μηδὲ γάρ ποτε οὕτω μανείην, ἐκεῖνος ἔφη· καὶ γὰρ ἀληθῶς ταῦτα συνέβαινεν· ἀλλὰ βουλομένου τοῦ Λόγου, καὶ ἐφιέντος τῇ σαρκί.

Ο. Εὖ ἔφης, πρὸς αὐτὸν εἶπον, μηδὲ γὰρ τύχοι τῆς κρείττονος ἀλλοιώσεως, ὁ μὴ τῇ παραχωρήσει τοῦ Λόγου τὰ φυσικὰ τῇ σαρκὶ συμβῆναι πάθη λέγων τε καὶ φρονῶν.

Α. Οὕτω δὴ καὶ ἡμεῖς, ἐκεῖνος ἔφη, πιστεύομεν· Θεὸς γὰρ ἄληπτός ἐστιν ἀνθρώποις, ἥν τε θελήσῃ.

Ο. Δεδομένης τοίνυν, εἶπον, ὦ θαυμάσιε, γενέσεως, ἀλλοιώσεως, αὐξήσεως, μεταβατικῆς κινήσεως τῷ σώματι τοῦ Κυρίου, τί τὸ κωλῦον, εἰπέ μοι, μὴ οὐχὶ καὶ τὴν λοιπὴν αὐτῷ συζυγίαν διδόναι;

Α. Οὐκοῦν κατὰ τοὺς σοὺς, ἔφη, λόγους, καὶ ἔφθαρται;

A ratione, accretione et immutatione, quæramus reliquas conjugationes, utrum eas forte in divinis Scripturis reperire possimus.

H. Sentio quid hinc efficere velis. Cum enim habeas concessum motum Domini a locis in loca, conaris demonstrare de extenuatione et corruptione: quod nunquam, ut mihi quidem videtur, concludes.

O. Recte quidem, inquam ego, dicis intuens in meam infirmitatem. At veritas adjuta adjuvat eos qui eam defendunt. Igitur videturne tibi esurire et sitire, esse cibi et potionis appetitus?

H. Videtur, inquit.

O. Solere autem esse appetitus earum rerum quæ
B desunt, annon putas, inquam?

H. Maxime. Quid enim aliud est appetitus, quam cupiditas ejus quod deest, ad supplendum quod effluxerat?

O. Pulchre, inquam, appetitum definisti. Siquidem magnus Basilius esurisse dicit Dominum, solido cibo ipsi exhalato in corpore; et quæ sequuntur perspicue nosti. Somno autem corripi nihil aliud esse dicimus, quam languidum et remissum esse spiritum sentientem, sicut et defatigationem esse musculorum et nervorum nimiam extensionem: in his enim ea quæ naturæ sunt, deficiunt et imminuuntur; et indigent somno quidem ad recreandam vitalem et sentientem virtutem; remissione vero,
C ut remittantur contentiones sive pedum, sive manuum, sive totius corporis ex itinere, aut ex alia in aliis operibus contentione defessi. Cibum vero et potionem natura requirit solidis et humidis, ex quibus constituti sumus, digestis, et indigentibus repletione ejus quod exinanitum est et fluxit.

H. Sic quidem, inquit ille, in nostris corporibus fit, bone vir, non tamen sic in carne Domini.

O. At si non sic hæc, inquam ego, etiam in carne Domini, et ad eumdem modum eveniebant; confidenter dicam, nec prorsus genitus est. Proba enim nobis alium modum. Non enim dices unquam, phantasiam fuisse, id est, inane visum.

H. Nunquam, inquit ille, sic insanus ero: vere
D siquidem hæc accidebant, sed volente Verbo et permittente carne.

O. Bene, inquam, dixisti: nec enim meliorem immutationem assequetur, qui non dixerit et senserit passiones naturales carni accidisse permissu Verbi.

H. Sic, inquit ille, credimus: Deus enim voluntate neque potest, neque poterat ab hominibus capi.

O. Concessa igitur, inquam ego, bone vir, generatione, immutatione, accretione, motu secundum locum; quid prohibet, dic mihi, quin reliquam conjugationem ei tribuamus?

H. Ut tu igitur, inquit, loqueris, corruptus est?

O. Absit, respondi.

II. Quomodo, inquit, hoc dicis?

O. Quia neque fas est, inquam.

II Quamobrem? inquit.

O. Quia, inquam, oportebat passiones nostras gustare usque ad experientiam mortis, non tamen in corruptione manere actu; quinimo sicut in omnibus habuit quod nostrum est, et quod supra nos est, sic in morte ipsa: mortuum enim esse nostrum est, et curatio nostræ mortalitatis; non esse autem corruptum valentioris potestatis Verbi erat: Verbum enim experientiam prohibuit, minime concedens carni, ut corrumperetur, ut primitiæ immortalitatis ab ipsa in nos etiam transeant. Non esse igitur factam corruptionem, potentiæ divinæ est, quæ superari non potest; et ratione miraculi, at non lege naturæ.

II. Atqui, inquit ille, et novus Adam vocatus est Dominus. Quomodo autem sic vocaretur, nisi corpus protoplasti tulisset? Incorruptibilis autem erat protoplastus, antequam peccaret; incorruptibile igitur fuit etiam corpus Domini: siquidem sine peccato perseveravit semper.

O. Ego vero, inquam, sive corpus protoplasti corruptibile erat, sive non, nondum dico, quandiu non pudet ipsos qui hoc dicunt, immortalitatem protoplasti non tribuere Domino. Mortuum enim esse eum, necessario concedent; nisi sibi ipsis crimen phantasiæ, id est, inanis visi in Adam vere mortuo, inferre velint: sumpsisse vero Dominum tale corpus, quale erat non solum corpus Adæ, sed corpus nostrum; non enim propter illum tantum venit, sed propter nos etiam; valde absurdum et a ratione alienum erat, unius quidem esse similem, cæterorum vero omnium dissimilem, qui quidem ad rationem medicinæ faciendæ eadem similitudine indigebant. Unde, optime vir, corpus protoplasti incorruptibile erat? Non enim in constitutione sua habebat, ut immortalis esset, ac multo magis non habebat, ut esset incorruptibilis, alioqui nunquam, opinor, ligno vitæ ei opus fuisset, tanquam futuro immortali, usu vitalis fructus quo eum privavit peccatum, sicut Patres dicunt: sed de his non est nunc disputandi tempus, quoniam neque dogma est hoc de Adam. Quod enim nunc in quæstione positum, illud est, quod talem carnem Dominus sibi univit secundum hypostasim, qualem habuit Adam post peccatum damnatus, et nos omnes ex eadem massa. Non enim venit Dominus ut salvaret a peccato vacuum, ut ejus similis fieret, sed peccato irretitum et jam lapsum, ut eum miseratus consuscitaret. Alioqui quomodo debitum pro nobis solvisset? aut ruinam resarcisset? aut norma virtutis factus esset? et omnibus optimæ vitæ regulam in se vitam perfectissimam proposuisset?

II. Et quomodo, inquit ille, poterit aliquis vitam Domini imitari?

A O. Μὴ γένοιτο, πρὸς αὐτὸν ἀπεκρινάμην.

Α. Πῶς τοῦτο, ἔφη, λέγεις;

Ο. Ὅτι μηδὲ θέμις, εἶπον.

Α. Δι' ἣν αἰτίαν; εἶπεν.

Ο. Ἐπειδήπερ, ἔφην, ἀπογεύσασθαι ἔδει τῶν ἡμετέρων παθῶν, μέχρις αὐτῆς τῆς τοῦ θανάτου πείρας, οὐ μὴν καὶ ἐν τῇ κατ' ἐνέργειαν γενέσθαι φθορᾷ· ἀλλ' ὥσπερ ἐν πᾶσιν ἔσχε τὸ ἡμέτερον, καὶ τὸ ὑπὲρ ἡμᾶς, οὕτω καὶ κατ' αὐτὸν δὴ τὸν θάνατον· τὸ μὲν γὰρ τεθνηκέναι ἡμέτερον, καὶ τῆς ἡμετέρας νεκρότητος ἴαμα· τὸ δὲ μὴ ἐφθάρθαι, τῆς κρείττονος τοῦ Λόγου δυνάμεως, ὅς γε τὴν πεῖραν κεκώλυκεν, ἥκιστα φθαρῆναι συγκεχωρηκὼς τῇ σαρκί· ὡς ἂν ἀπ' αὐτῆς καὶ εἰς ἡμᾶς διαβαίη, καὶ γένηται B τῆς ἀφθαρσίας ἡμῶν ἀπαρχή· τὸ τοίνυν μὴ γενέσθαι τὴν φθορὰν, τῆς ἀνικήτου ἐστὶ δυνάμεως, καὶ λόγῳ θαύματος, ἀλλ' οὐ νόμῳ φύσεως.

Α. Ἀλλὰ μὴν, ἐκεῖνος ἔφη, καὶ νέος Ἀδὰμ ὠνομάσθη ὁ Κύριος· πῶς δ' ἂν τοῦτο ἐλέγετο, εἰ μὴ τὸ τοῦ πρωτοπλάστου φορέσας σῶμα; Ἄφθαρτος δὲ ἦν ὁ πρωτόπλαστος πρὸ τῆς παραβάσεως· ἄφθαρτον ἄρα καὶ τὸ τοῦ Κυρίου σῶμα· καὶ γὰρ ἀναμάρτητον πάντη διαμεμένηκεν.

Ο. Ἐγὼ δὲ, Εἰ μὲν ἄφθαρτον, ἔφην, ἢ μὴ, τοῦ πρωτοπλάστου τὸ σῶμα ἐτύγχανεν, οὔπω λέγω, ἕως ἂν μὴ τὸ ἀθάνατον αὐτοὺς καταιδεῖ τοῦ πρωτοπλάστου μὴ διδόμενον τῷ Κυρίῳ. Τεθνηκέναι γὰρ αὐτὸν πάντως δώσουσιν, εἰ μὴ μέλλοιεν τὸ τῆς φαντασίας C ὅλον εἰς ἑαυτοὺς ἀποφέρεσθαι ἔγκλημα· τὸ δέ γε σῶμα τὸν Κύριον ἀνειληφέναι τοιοῦτον, ὁποῖον οὐχὶ τὸ τοῦ πρωτοπλάστου μόνον, ἀλλὰ καὶ δι' ἡμᾶς, καὶ σφόδρα θαῤῥούντως ἂν διατεινοίμην· κοινῆς γὰρ οὔσης τῆς νόσου, πολὺ τὸ παράλογον ἑνὶ μὲν ἐοικέναι, τῶν δὲ λοιπῶν πάντων ἀπεμφαίνειν, οἵ γε τῆς αὐτοῦ διὰ πάντων ἐμφερείας, εἰς τὸν τῆς ἰατρείας ἐδέοντο λόγον. Πόθεν δὲ, ὦ βέλτιστε, ὅτι περ ἄφθαρτον τὸ τοῦ πρωτοπλάστου σῶμα ἐτύγχανεν; οὐ γὰρ ἐν τῇ κατασκευῇ εἶχεν τὸ ἀθάνατον· μήτι γε δὴ τὸ ἄφθαρτον, ἐπεὶ οὐκ ἂν, οἶμαι, τοῦ ξύλου τῆς ζωῆς αὐτῷ προσεδέησεν, οὗ τῆς μεταλήψεως αὐτὸν παράβασις ἀπεστέρησεν, καθὼς οἱ Πατέρες φασὶν, ὡς τῇ τῶν ζωτικῶν καρπῶν μεταλήψει ἀπαθανατισθησόμενος· περὶ μὲν οὖν τῶν, οὐ τοῦ παρόν- D τος ἐστὶ καιροῦ, ὅτι μηδὲ δόγμα τὸ κατὰ τὸν Ἀδὰμ τυγχάνει. Τὸ γὰρ νῦν ἐν ζητήσει προκείμενόν ἐστιν, ὅτι σάρκα τοιαύτην ὁ Κύριος ἥνωσεν ἑαυτῷ καθ' ὑπόστασιν, ὁποίαν ἔχων ἐφάνη μετὰ τὴν παράβασιν ὁ κατάκριτος, ἡμεῖς τε πάντες οἱ ἐκ τοῦ αὐτοῦ φυράματος. Οὐ γὰρ τὸν ἀναμάρτητον Ἀδὰμ ἦλθεν σῶσαι, ἵνα ὁμοιωθῇ ἐκείνῳ, ἀλλὰ τὸν ἡμαρτηκότα καὶ πεπτωκότα, ἵνα δὴ συμπεπονθὼς αὐτῷ καὶ συναναστήσῃ. Πῶς δὲ καὶ τὸ ὑπὲρ ἡμῶν ἐξέτισε χρέος, ἢ τὴν ἧτταν ἀνεκαλέσατο, ἢ ὑπογραμμὸς ἀρετῆς γέγονε, καὶ τοῖς πᾶσι τῆς ἀρίστης πολιτείας ὅρον ἐν ἑαυτῷ τὸν τελεώτατον προύθηκε βίον;

Α. Καὶ πῶς ἄν τις, ἐκεῖνος ἔφη, δυνήσηται τὴν τοῦ Κυρίου μιμεῖσθαι ζωήν;

A Ο. Ἡ ἀπαράλλακτος, εἶπον, τῆς σαρκὸς τοῦ Κυρίου πρὸς τὴν ἡμετέραν ὁμοίωσις, δυνατὴν πεποίηκε τὴν πρὸς αὐτὸν ἀφομοίωσιν, ἵν' ἐξῇ Παύλῳ καὶ τοῖς κατ' αὐτὸν λέγειν· *Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ·* αὐτῷ τε τῷ Κυρίῳ, « *Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ.* Οὐ μὴν οὐδὲ ὁ θάνατος, διὰ τῆς τοῦ Κυρίου νεκρώσεως τεθνηκὼς, τῶν ἑξῆς ἀνθρώπων ἀπέσχετο ἂν πώποτε, μὴ διὰ πάντων ὁμοίως τῷ πάλαι καταπεσόντι προσβαλὼν, οὗ ἐπειδὴ γευσάμενος ἔτυχε, τοσοῦτον ἠμωδίασαν αὐτῷ οἱ ὀδόντες, κατὰ τὸν λόγον, ὥστε μηκέτι μὲν ἅψασθαι τολμᾷν τῶν ἐοικότων αὐτῷ, προσεξεμέσαι δὲ καὶ οὓς πρώην καταπεπώκει. Ἡ γὰρ ἐνέργεια σαφῶς, οἶμαι, τοῦ φαρμάκου τὴν φύσιν ἐνδείκνυται· τὸ γὰρ ὁμοφυὲς ἅπαν ἐξεμέσαι τὸν λαφύξαντα κατηνάγκασεν. Πῶς δ' ἂν καὶ B ὁ τῆς συμπλοκῆς νόμος, ἐν τῇ προσαχθείσῃ πείρᾳ πεφύλακται, μὴ τῷ πεπτωκότι τὴν κατὰ φύσιν ἐχούσης ἐμφέρειαν τῆς πειραζομένης φύσεως; οὐ γὰρ νικᾷν, ἀλλ' ἐπηρεάζειν ἐστὶν, τὸ παρὰ τοὺς νόμους τῆς ἀγωνίας συμπλέκεσθαι· νόμος δὲ ἀγωνίας, τὸ διὰ τοῦ πάλαι καταπεπτωκότος, καταπαλαίειν τὸν ἤδη νενικηκότα, καὶ ταύτῃ γε δὴ τὴν ἔμπροσθεν ἧτταν ἀνακαλεῖσθαι. Πῶς δ' ἂν καὶ ἡμεῖς τὸν παρὰ τὴν τοῦ ὀργάνου διαφορὰν, τὸ τῆς ἀρετῆς ἐξαίρετον ἔχοντα μιμησαίμεθα, ἐν παθητῷ καὶ φθαρτῷ σώματι τὴν πρὸς τὸ ἄφθαρτον ὁμοίωσιν ἀπαιτούμενοι; Παραπλήσιον γὰρ τὸ τοιοῦτο εἶναι δοκεῖ, καθάπερ εἴ τις ἐν τεκτονικοῖς σκεύεσι τὴν χαλκευτικὴν ἐκπληροῦν τέχνην νομοθετοίη. Καὶ γὰρ εἰ τοῦτο ἦν, καὶ τὸ τῆς θεομιμησίας διαμαρτεῖν, ἀνέγκλητον C πάντῃ ἐτύγχανεν. Οὐ γὰρ ἐγγὺς τὸ παράδειγμα, καὶ τοῖς ταύτην ἐκμιμουμένοις, τὸ τὸν διδάσκαλον ὑπερβάλλειν περιεγένετο, ἐν ἀσθενεστέρᾳ τῇ φύσει πεπολιτευμένοις καὶ διηθληκόσιν. Ἐῶ γὰρ λέγειν ὅτι μηδὲ πρακτικῆς καὶ ἀνθρωπίνης ἀρετῆς νόμους ἔστιν εὑρεῖν ἐν ἀφθάρτῳ σώματι, ᾧ γε διὰ τὸ ἄνω κεῖσθαι τῶν ἀνθρωπίνων παθῶν, οὐδὲ πεῖνα ὅτι μηδὲ ἐγκράτεια, οὐδὲ πόνος ὅτι μὴ ὑπομονὴ, οὐδὲ ὕβρις, ὅτι μηδὲ ταπείνωσις, οὐδέ τι τῶν τοιούτων πρόσεστιν, ἵνα μὴ τὰ καθ' ἕκαστα διεξιόντες ἐνδιατρίβοιμεν. Οὐ μέγα δὲ εἰπεῖν, ὅτι μηδὲ ἀρετῆς ἐπίδειξιν ἔστιν ἐπὶ τῆς ἀφθάρτου καὶ ἀνενδεοῦς φύσεως ἐπιδεῖν. Ἀλύπου γὰρ φύσεως ἀγὼν οὐκ ἔστιν· εἰ δὲ μὴ, οὐδὲ νίκη· εἰ δὲ μὴ νίκη, οὐδὲ στέφανοι. Εἰς D τοῦτο δὴ τῆς ἀτοπίας τὸ μέγεθος, τὸ κομψὸν ὑμᾶς τῆς ἀφθαρσίας ἀπήγαγεν ὄνομα.

Α. Κομιδῇ γοῦν, ἐκεῖνος ἔφη, τὸ μέγα τῆς ἑνώσεως ἐκταράττει μυστήριον· εἰ μὴ τὰ τῆς ἀφθαρσίας ὁ Λόγος ἀπ' ἀρχῆς τῷ οἰκείῳ δεδώρηται σώματι, ἀλλὰ κατὰ τὸν ἴσον τρόπον ἡμῖν αὐτοῖς, καὶ αὐτῷ τὴν εἰς ὕστερον ἀφθαρσίαν ἐταμιεύσατο.

Ο. Μείζονος δ' ἂν εἴη τῆς εὐλαβείας ἄξιον, εἶπον, τὸ μετά τινα λέγειν γεγενῆσθαι καιρὸν, τοῦ Κυρίου τὴν ἀνάληψιν, καὶ τὴν ἐκ δεξιῶν ἵδρυσιν, ἀλλὰ μὴ

XXIII. Libros tuos ii qui tuæ sectæ sunt, in sermonem Chaldaicum et Armenicum verterunt; qui hæresim hæresi Ariana pejorem ac magis impiam gentibus tradiderunt. Siquidem hoc imitari studuerunt Ariani, nisi quod hi barbaros Occidentis, illi gentes Orientis, utrique ad suam impietatem adduxerunt.

C

ΚΔ'. Μικρά σοι ταῦτα· σὺ δέ μοι προστίθει καὶ τὴν πεπλασμένην Ἀδὰμ παράβασιν, ἣν ὑπὸ Θεοῦ λαβὼν ἔπαθεν, ἵνα γένηται κόσμος αὐτῷ εὐπροφάσιστον ἀρχὴν ἔχων, τὴν τοῦ μὴ ἡμαρτηκότος μὲν, σεσυκοφαντημένου δὲ, ἀδικωτάτην καὶ δίκην καὶ ἐξορίαν. Οὐ γὰρ ταύτης σοι ἕνεκεν τῆς τῶν κακῶν ῥίζης, καὶ τῆς λοιπῆς κατὰ τὸ ἑξῆς τῶν ἀνθρώπων ἀσεβείας καὶ πονηρίας ὁ Χριστὸς ἦλθε, τὸ πεπλανημένον πρόβατον τὸν Ἀδὰμ, τῆς τῶν ἑκατὸν ἀποσπασθὲν συννομῆς, ὡς καλὸς σῶσαι καὶ ἐπιστρέψαι ποιμήν;

XXIV. Parva hæc. Tu vero adde mihi, fictum esse peccatum Adæ, idque Deo auctore, ut judicium iniquissimum in Adam qui non peccasset, sed per calumniam damnatus fuisset, et exsilium ei decretum, justa et probabilis causa redimendi mundum fierent. An non propter hanc radicem malorum et reliquæ deinceps impietatis hominum Christus venit, ut Adam ovem, a compascuo centum abductam, et aberrantem tanquam bonus pastor salvaret?

ΚΕ'. Πρόσθες, εἰ βούλει, καὶ τοὺς τῷ σκότῳ τῷ σῷ συνδημιουργηθέντας ἀγγέλους· οὐ γὰρ ἀξιόχρεώς σοι τῆς αὐτῶν φύσεως ἐξηγητὴς ὁ ἱεροψάλτης πρὸς τὸν Θεὸν ἐν πνεύματι τὴν λύραν ἀνακρουόμενος, *Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα*. Τὸ γὰρ *ποιῶν* τοῦ ἐνεστῶτος χρόνου ὂν σημεῖον, τὸν παρεληλυθότα Γραφικῷ ἰδιώματι δηλοῖ, ὡς εὐθέως γε ἐπάγων διδάσκει, *ὁ θεμελιῶν τὴν γῆν*, τουτέστιν ὁ θεμελιώσας· οὔτε μὴν αἱ ἄλλαι σε τῶν Γραφῶν ἀγγελοφάνειαι καταιδοῦσι, φῶς τε φαινόμεναι, καὶ ἀστραπὰς ἀποστίλβουσαι.

D

XXV. Adde, si vis, angelos una cum tuis tenebris creatos: non enim fuit apud te idoneus et auctoritate dignus sacer enarrator naturæ eorum David, qui in Dei laudem fidibus in spiritu in Psalmis canens: *Qui facit*, inquit, *angelos suos spiritus, et ministros suos flammam ignis*[37]. Quod enim ait, *facit*, præsentis temporis est, quod propria Scripturæ sanctæ consuetudine præteritum tempus significat, ut continuo docet, cum subjungit: *Qui fundat terram*[38], id est, qui fundavit: neque te movent, cum alias in Scripturis angeli tanquam lumina apparuerunt, et ut fulgura fulgentes.

[37] Psal. CIII, 4. [38] ibid. 5.

(p) En antiquum testimonium, quomodo Chaldæi et Armenii facti fuerint hæretici, nimirum ob libros Theodori et prædicationem Barsumæ.

XXVI. Adde Manichæorum tenebras substantiales primas ante visibilem creaturam, aut non creatas minutam subsistentiam habuisse, aut a Deo factas esse.

XXVII. In illo præterea insipienter sapientiam simula, quod ais Antichristum diaboli non esse puniendum, sed corrumpendum, et in nihilum rediturum; ut manet ad animas bonum ex bono, metus scilicet Dei, quem aliunde non erant habituræ: non ex judicio, hoc enim sustulisti; non ex felicitate fruenda; non ex naturali et recondito desiderio erga Deum; sed ex solo Antichristi in nihilum interitu.

XXVIII. Da deinde, non quidquid est, esse ex Dei creatione et providentia, sed multa inutilia suborta esse ex accidenti et consecutione rerum, non facta Deo volente, sed ex natura rerum, Deo non prohibente: lateret nos lapsus temporis, si totam vindemiam in tua vinea Sodomorum facere propositum esset. Tu vero non defatigaris voluptatem ex tuis impietatibus capiens. O ingenium malorum feracissimum et uberrimum! Deum putas non esse bonum οὐσιῶδες, id est secundum substantiam; nec esse ipsum fontem et principium omnis boni omnisque virtutis, omniaque bona ex ipso substantialiter manare. Dic nobis, unde accepit bonum? Ipse enim non est, opinione tua, per se bonum: et quæ hujus boni origo, et principium? Nihil, aut parum abes a magniloquentia Marcionis et principiorum ejus.

XXIX. Accedit jam nostra oratio ad ipsum summum fastigium tuarum impietatum. Unde tibi effectus est homo ad Trinitatis æquationem, ut sit hujus animatum idolum, vitæ infinitæ omnium quæ sunt, adæquatum, quod exhibes, ut pro Trinitate ab omni creatura visibili et non visibili nunc et in posterum colatur? Neque lex Moysis tibi suasit cum jussit Dominum Deum colere et ei soli servire? Neque Salvator, qui hoc tentanti objecit?

XXX. Tu vero, ut dixi, fingis creatum esse ab ipsa Trinitate alterum animatum idolum Christum tuum: ipsam Trinitatem calumniaris, quasi doceat colere creaturam. Quod nihil differt a vetere errore, quo homo a Deo excidit, et creaturæ pro Creatore servivit. Nisi graviorem hunc errorem illo vetere moliris. Non enim doces, ut hominibus solum hoc eveniat, sed post Trinitatem omni creaturæ a Trinitate creatæ. Non enim Deo homini facto doces, sed homini appellatione Dei honorato cultum in æternum adhibere. O te præconem horum malorum evangeliorum! Prædicas referendum esse cultum ad Christum tuum, quod perinde est ut si prædices cultum qui refertur ad Trinitatem, referendum esse exempli causa ad regem. Libenter autem percontabor te, quomodo, aut quem ipse

A ΚϚ'. Πρόσθες καὶ τὸ Μανιχαίων οὐσιῶδες σκότος, πρῶτόν σοι τῆς ὁρατῆς κτίσεως, ἢ ἀγενήτως παρυποστᾶν, ἢ παρὰ Θεοῦ γενόμενον.

ΚΖ'. Κἀκεῖνο δὲ ἀσόφως σοφίζου, τὸν τοῦ διαβόλου Ἀντίχριστον μὴ κολασθήσεσθαι λέγων, φθαρήσεσθαι δὲ καὶ εἰς τὸ μὴ ὂν ἀναλυθήσεσθαι· ἵνα ἔλθῃ καλὸν ἐκ καλοῦ ταῖς ψυχαῖς, ὁ φόβος τοῦ Θεοῦ, ὃν οὐκ ἄλλοθεν ἔμελλον ἔχειν· ἡ γὰρ κρίσις σοι ἀνῄρηται, οὐκ ἐκ τῆς τῶν ἀγαθῶν ἀπολαύσεως, οὐδ' ἐκ τοῦ φυσικοῦ καὶ ἀῤῥήτου πρὸς Θεὸν πόθου, ἐκ δὲ μόνης τῆς τοῦ Ἀντιχρίστου παντελοῦς φθορᾶς, καὶ εἰς τὸ μὴ ὂν ἀναλύσεως.

ΚΗ'. Δίδου δὲ καὶ τῆς δημιουργίας καὶ τῆς
B προνοίας, οὐχ ὅσον ἐστὶν εἶναι ἐκ Θεοῦ, πολλὰ δὲ καὶ τῶν οὐ χρησίμων παρεισῆχθαι παρακολουθήματα, καὶ παρασυμβάματα ὄντα τῶν γεγονότων, οὐκ ἐκ Θεοῦ δὲ βουλομένου γινόμενα, τῇ δὲ φύσει τῶν πραγμάτων ἑπόμενα καὶ μὴ κωλυόμενα· λάθοι δ' ἂν ἡμᾶς παραρρέων ὁ χρόνος, τὸν καθ' ἕνα τῶν σῶν τῆς Σοδομηνῆς ἀμπέλου βοτρύων ἀπειρολογουμένους. Σὺ δ' οὐ κάμνεις ἐντρυφῶν ταῖς ἀσεβείαις, ὦ τῶν κακῶν ποριμωτάτη φύσις, ὅτι μὴ τὸν Θεὸν οὐσιῶδες εἶναι ἀγαθὸν ὑπολαμβάνεις, οὐδ' εἶναι αὐτὸν πηγὴν καὶ ἀρχὴν παντὸς καλοῦ τε καὶ ἀγαθοῦ, οὐσιωδῶς αὐτὰ προνάουσαν. Εἰπὲ δὲ ἡμῖν, πόθεν αὐτῷ πεπόρισται τὸ καλόν; οὐ γάρ ἐστι κατὰ σὲ αὐτὸ καλόν· καὶ τίς ἡ τούτου ἀρχή; Αὐτὸς δ' ἄρα σὺ τῶν τοιούτων κακῶν πέλεις ἀρχή,
C τῆς μεγαλορημοσύνης Μαρκίωνος, καὶ τῶν τούτου ἀρχῶν οὐδέν τι ἢ μικρὸν ἀποδέων.

ΚΘ'. Ἥκει δ' ἡμῖν ὁ λόγος ἐπ' αὐτὸν τὸν κολοφῶνα τῶν σῶν ἀσεβημάτων. Πόθεν σοι πέπλασται ὁ εἰς ἀντίδειξιν τῆς Τριάδος γενόμενος ἄνθρωπος, ἵν' ᾖ ταύτης ἔμψυχον εἴδωλον, τῇ ἀπείρῳ τῶν ὄντων ζωῇ παραμετρούμενον, ὃν ἀντὶ τῆς Τριάδος προσκυνεῖσθαι δίδως, ὑπὸ πάσης ὁρατῆς τε καὶ ἀοράτου κτίσεως νῦν τε καὶ ὕστερον; Οὐδ' ἡ Μωσέως σε πέπεικεν νομοθεσία, Κύριον τὸν Θεὸν προσκυνεῖν, καὶ αὐτῷ μόνῳ λατρεύειν, νομοθετήσαντος; οὐδ' αὐτὸς ὁ Σωτὴρ τοῦτο τῷ πειράζοντι προβαλλόμενος;

Λ'. Σὺ δ', ὡς ἔφην, ὑπ' αὐτῆς τῆς Τριάδος ἕτερόν τι ἔμψυχον εἴδωλον τὸν Χριστὸν δεδημιουργῆσθαι
D πλάττῃ, κτισματολατρείαν αὐτὴν διδάσκειν συκοφαντῶν· οὐδὲν ὅ τι μὴ τῆς παλαιᾶς πλάνης, καθ' ἣν ἐξολισθῆσαι τοῦ Θεοῦ συνέβη τὸν ἄνθρωπον, καὶ δουλεῦσαι τῇ κτίσει παρὰ τὸν Κτίσαντα. Εἰ μὴ καὶ μάλιστα χαλεπωτέραν ἐκείνης ταύτην κατασκευάζεις· οὐ γὰρ ἀνθρώπους αὐτὸ μόνον πείσεσθαι διδάσκεις, ἀλλὰ πᾶσαν τὴν μετὰ τὴν Τριάδα ὑπὸ τῆς Τριάδος γεγενημένην κτίσιν. Οὐ γὰρ Θεῷ ἀνθρώπῳ γενομένῳ, ἀλλὰ ἀνθρώπῳ Θεοῦ προσηγορίᾳ τετιμημένῳ εἰς αἰῶνας λατρεύειν, ὦ τῶν κακῶν σὺ τούτων Εὐαγγελίων κῆρυξ, διαγγέλλεις ἀναφορᾷ τῆς εἰς τὸν Χριστόν σου τῶν ὄντων λατρείας, ὡς ἀπὸ εἰκόνος εἰς βασιλέα, τῆς αὐτοῦ τιμῆς ἐπὶ τὴν Τριάδα ἀναγομένης. Ἡδέως δ' ἂν σου πυθοίμην αὐτὸν ἢ

τὸν Χριστὸν, πῶς καὶ τίνι λέγεις προσκυνεῖν; Εἰ μὲν αὐτὸν ἑαυτῷ, γελοιότατον· εἰ δὲ τῇ Τριάδι, διὰ μέσου τινός· οὐ γὰρ δι' ἑαυτοῦ ὁ αὐτὸς, εἰ μόνος τῶν ἁπάντων, τοῦτο γέρας ἔχων εὑρίσκεται τὸ μηδενὶ λατρεύειν· ἐπεὶ μὴ τὸν σὸν μεσίτην μόνος αὐτὸς ἔσχηκε, καὶ τίς ἀντὶ Θεοῦ ὅρος, ἢ ὃν σὺ τῷ Χριστῷ δίδως μόνον αὐτὸν τιμώμενον, ἀλλ' οὐ τιμῶντα εἰσάγων τὸν οὕτω τιμήσαντα;

ΛΑ'. Ὡς ἡδύς τις εἶ! σεμνὴν γὰρ καὶ ἀστείαν γέννησίν τε καὶ ἀνατροφὴν τούτῳ προσπλέκεις τῷ ἀνθρώπῳ, καὶ ὅσον προφητικὴν, καὶ μικρὸν ταύτην ὑπεραίρουσαν. Ὅτι δὲ κατὰ πρόγνωσιν ὁ Θεὸς Λόγος, γνώμῃ ἐν αὐτῇ τῆς μήτρας διαπλάσει, τὴν ἕνωσιν αὐτῷ προσκέχρηκεν, γινώσκων αὐτοῦ τὴν περὶ τὰ καλὰ πρόθεσιν ἀδιάπτωτον ἔσεσθαι.

ΛΒ'. Ἀγνοίας τε αὐτὸν ζόφῳ καλύπτεις μηδὲν ἐπιστάμενον, ὅτι μὴ ὅπερ ἐδόκει τῷ κατ' ἀξίαν αὐτῷ ἡνωμένῳ Λόγῳ. Πῶς δ'; ἀγνοίας αὐτὸν ἀναπεπλησμένον εἰσάγων, οὐχὶ καὶ ἁμαρτίας; Ἐξ ἐκείνης γὰρ αὕτη, ὡς ἀπὸ πηγῆς ποταμὸς προχέεται· ἢ τάχα τὴν ἄγνοιαν αὐτῷ βοηθεῖν δογματίσεις, ἐπεὶ ὡς τὰ πολλὰ συγγνώμης ἀξιοῦται τὸ ἐξ ἀγνοίας παρὰ λόγον πραττόμενον, ἄνπερ μὴ λίαν ᾖ φορτικόν. Ἀγνοεῖν δ' αὐτὸν λέγεις τοσοῦτον, ὅτι καὶ πειραζόμενος οὐκ ἐγίνωσκεν ὅστις εἴη ὁ πειράζων αὐτόν· καὶ τῆς κατὰ διάνοιαν ἁμαρτίας οὐδ' αὐτὸν Κύριον, μὴ ὅτι τοὺς ἁγίους καθαρεύειν παραχωρεῖς, οὐδ' ἁμαρτίαν αὐτὴν οἰόμενος εἶναι.

ΛΓ'. Ὀχλεῖσθαί τε αὐτὸν πλέον ἐκ τῶν ψυχικῶν παθῶν ἢ τῶν σωματικῶν δογματίζειν οὐ φρίττεις, σαφῶς οὑτωσὶ λέγων· καὶ τῷ κρείττονι λογισμῷ τὰς ἡδονὰς ἐχειροῦτο.

ΛΔ'. Δίδως δ' αὐτὸν ἐκ προκοπῆς ἀρετῶν κατὰ μικρὸν καθαίρεσθαι, καὶ ἐπιτηδειότερον ὁσημέραι γίνεσθαι πρὸς ὑποδοχὴν τῶν θεόθεν αὐτῷ ὡς ἀνθρώπῳ παρεσομένων ἀγαθῶν.

ΛΕ'. Βαπτίζεις δ' αὐτὸν, ἵν' ἔκτοτε οὔπω γὰρ πρότερον, τελειωθεὶς κατὰ νομικὴν ἀρετὴν, Χριστὸς χρηματίσῃ τέλειος καὶ τῆς εὐαγγελικῆς ἐφάψηται πολιτείας, καὶ ταύτην ἐκπληρώσῃ. Πῶς δ' οὐχὶ καὶ τὸν χρόνον αὐτῷ διὰ τοῦτο συντετμῆσθαι λέγεις; Ἀποκάμοι γὰρ ἂν πρὸς τὸ τούτου διάστημα, καὶ διὰ τοῦτο σύντομον ὁδὸν σωτηρίας τὸν σταυρὸν ἀνευρίσκων.

ΛϚ'. Εἰς ὃν καὶ ἄκοντα αὐτὸν ἀναφέρεις, ὑπὲρ ἑαυτοῦ μὲν, οὐχ ἥκιστα δὲ καὶ ὑπὲρ ὅλου κόσμου τεθνηξόμενον· ὡς οὐκ ἄλλως αὐτῷ περιεσομένης τῆς κατὰ τὴν ἀνάληψιν, καὶ τῆς ἐκ δεξιῶν καθέδρας δόξης, μὴ διὰ μαρτυρίου τελειωθέντι. Οὐκ οἶδα τίς πόθεν πέλεν ἀνδρῶν, ὃς τηλικοῦτο παρὰ σοῦ ἐγχειρίζεται πρᾶγμα, καὶ οἰκονομίαν μεγάλην καὶ οὕτως ἐξαίρετον, καὶ μὴ ὅτι τὴν ἀνθρώπου, ἀλλὰ καὶ πᾶσαν γενητὴν ὑπεραίρουσαν φύσιν.

ΛΖ'. Δέδοικε δὲ τὸν θάνατον, οὐχ ὡς ἡμᾶς τυπῶν ἐν ἑαυτῷ, καὶ λύων ἡμῶν ἐν ἑαυτῷ τὴν δειλίαν, ἀλλ' ὡς αὐτὸς τοῦτον προτροπάδην φεύγων· ὃν οὔποτ' ἂν ὑπελθεῖν ἑκουσίως κατεδέξατο, εἰ μὴ τῆς

A Christus tuus adorabit? Si enim se ipsum, valde ridiculum est; sin autem Trinitatem, per medium aliquem; non enim idem per se ipsum; si solus ex omnibus hunc honorem habet, reperitur neminem colere; quoniam ipse solus non habuit tuum mediatorem: et reperitur aliqua præscriptio contra Deum, quam tu Christo tribuis, cum eum facis solum honorari, et non honorare, qui sic honoravit.

XXXI. Quam suavis et dulcis es! honoratum et speciosum ortum, et educationem huic homini applicas, et paulo fere excellentiorem ortu prophetico. Quod scilicet Verbum Dei secundum præcognitionem in ipsa formatione quæ in utero fiebat, unionem ei commodare voluit, cognoscens nunquam a proposito circa virtutes discessurum esse. B

XXXII. Ignorantiæ etiam caligine eum tegis nihil scientem præterquam quod Verbo ei secundum dignitatem unito videbatur. Quomodo ignorantia oppletum introducis eum, et non peccato? Ex ignorantia enim peccatum, sicut ex fonte fluvius, manat: aut fortasse docebis ignorantiam ei opem tulisse, quia ut plurimum, veniam fert, quod per ignorantiam fit præter rationem, si non sit quidem valde grave. Usque adeo autem ignorasse eum dicis, ut, cum tentaretur, nesciret quis esset qui eum tentabat: et a peccato κατὰ διάνοιαν, id est, a peccato cogitationis concedis nec ipsum mundum fuisse, nedum sanctos, neque ipsum peccatum cogitationis peccatum esse putas.

C XXXIII. Non horres docens molestiores fuisse illi passiones animæ quam corporis: sic enim perspicue ais; et ratione fortiore voluptates subigebat.

XXXIV. Concedis progressu virtutum paulatim purgatum esse, et aptiorem factum quotidie ad suscipienda divinitus bona, quæ ei ut homini adfutura erant.

XXXV. Baptizas eum, ut ex eo tempore, ac non prius, perfectus secundum virtutem legis, Christus vocaretur perfectus; et ad evangelicam vitam aggrederetur, et hanc compleret. Nonne dicis tempus etiam fuisse illi ob hanc causam contractum in brevius (potuisset enim defatigari spatio temporis), D et idcirco brevem salutis viam, id est crucem, adinvenisse?

XXXVI. In crucem invitum eum agis, pro se quidem non minus quam pro toto mundo moriturum; tanquam non posset aliter gloriam ascensus in cœlum, et consessus ad dexteram Dei assequi, nisi per martyrium consummatus. Nescio quis vir est, et unde, qui tam ingens a te negotium suscipit, et œconomiam ita magnam et eximiam, ut non naturam hominis, sed omnem naturam creatam longe superet.

XXXVII. Timuit mortem, non tanquam exprimens nos in seipso, et solvens timorem nostrum in se, sed tanquam hanc enixe fugiens; quam nunquam sponte sustinere voluisset, nisi tuam longam

et prolixam admonitionem nactus esset, quam a te fictam angelo attribuis. Nec enim angelos calumniari recusas, quando hymnum angeli divinum, et quem in laudem victoriæ Christo, utpote Deo, cecinit, mox per hunc admirabilem, et supra naturam actum timoris, vere veri timoris, nos ab acerbo et crudeli hominum tyranno morte liberaturo, tu tanquam timido cuipiam et effeminato, et penitus sui amico, Salvatori ab angelo in modum consolationis adhibitum esse insane et delire dicis. Illud enim : *Apparuit angelus Domini confortans eum* [39], tum alii Patres dixerunt, tum Cyprius senex, Apparuit hymnos canens, et divina loquens. Et ad probationem hujus contemplationis produxerunt, quod Moyses a Deo eruditus in magno illo cantico dixit : *Et confortent eum omnes angeli Dei* [40]. Ut autem tu impie dicis, opus illi fuit longa consolatione angeli, qui animam Christi timore mortis absorptam et tristitia prostratam, celeriter erigeret et recrearet, erat enim in summo discrimine ; et omnia in eo erant agitata et quassata. Falsa hæc esse dicis ; magno hoc emissem, magnique æstimassem. Nunc autem testes sunt præclara et admiranda tua certamina contra incarnationem Verbi ; et bella ficta quidem et simulata contra hæreticos adversarios, vere autem contra veritatem suscepta ; quam cum oppugnare propositum tibi esset, et susceptum perfici non posse cognosceres, inscriptionem belli contra veritatem inscriptione belli contra hæreticos commutasti. Imo et deliramenta tua contra Magusæos (42-52) hæc prædicant, et reliquæ falsæ tuæ Scripturarum enarrationes : nusquam enim non sunt isti tui admirandi labores pervulgati, qui a Paulo quidem Samosatensi ortum duxerunt, per interjectos vero ad Diodorum pervenerunt, qui tibi fuit malorum tuorum dux. Sic autem a te elaborati et culti sunt, et tantam magnitudinem incrementi acceperunt, ut tuus largissimus fluvius fontem impium operiat.

XXXVIII. Rivus fuit a fonte ductus, et fossa angusta, quæ non potuit capere totam impietatis tuæ fluxionem, Nestorius. Et si potuit capere, non tamen audere, et fontes tuos omnibus profundere ; non quidem pigritia voluntatis, excusabo enim, sed quia non habebat locum propter multitudinem hominum qua erat constipatus. Tu vero quia erat tibi quietus cum impietate convictus, totum ejus rivum ebibisti. Ille autem postquam unum ex tuo cœno et ex tuis lutulentis dogmatibus rejectum, suasit, sibi in commune proposuit, et solam vocem Θεοτόκον, id est Deiparam, prohibuit, artificiose con-

A μακρᾶς οὕτω σου καὶ πολυστίχου νουθεσίας τετύχηκεν, ἣν σὺ περιπλάττων τῷ ἀγγέλῳ προσνέμεις. Οὐδὲ γὰρ ἀγγέλους συκοφαντεῖν παραιτῇ, ὁπότε τὸν θεολογικὸν τοῦ ἀγγέλου ὕμνον, καὶ τὸν ἐπινίκιον ὃν ᾖσε τῷ Χριστῷ οἷα Θεῷ, ὅσον οὐδέπω διὰ τοῦ θαυμασίου τούτου καὶ ὑπερφυοῦς τῆς δειλίας δράματος, ἀληθινῆς ὄντως δειλίας τοῦ κατὰ τὸν θάνατον, ἐλευθεροῦντι τοῦ πικροῦ τῶν ἀνθρώπων τυράννου · σὺ ὡς ἂν δειλῷ τινι καὶ ἀνάνδρῳ καὶ τὸ ὅλον φιλαύτῳ τῷ Σωτῆρι ὑπὸ τοῦ ἀγγέλου γεγενῆσθαι παραληρεῖς, ψυχαγωγίας τρόπῳ καὶ παρηγορίας. Τὸ γὰρ, *Ἐφάνη ἄγγελος Κυρίου ἐνισχύων αὐτὸν*, ὑμνῶν εἶπεν καὶ θεολογῶν · ἄλλοι τέ τινες τῶν Πατέρων, καὶ ὁ Κύπριος γέρων, ὁ μέγας, φημὶ, Ἐπιφάνιος, καὶ εἰς σύστασιν τῆς θεωρίας ταύτης προήγαγον τὸ B ἐν τῇ μεγάλῃ ᾠδῇ τῷ θεοσόφῳ Μωϋσῇ εἰρημένον, *Ἐνισχυσάτωσαν αὐτὸν πάντες ἄγγελοι Θεοῦ*. Ὡς δὲ σὺ ἀσεβεῖς, τῆς μακρᾶς ἐδέησε τοῦ ἀγγέλου παρηγορίας, καταπεπτωκυῖαν τῇ λύπῃ καὶ καταποθεῖσαν τοῦ Χριστοῦ τὴν ψυχὴν, ἐκ τοῦ κατὰ τὸν θάνατον δέους ἀναστῆσαι σπεύδοντος. Κίνδυνον γὰρ εἶχε τὸν ἔσχατον, τόδε τὸ πᾶν ἐπ' αὐτῷ σαλευόμενον. Ψευδῆ ταῦτα εἶναι φῄς · πολλοῦ γε δὴ τοῦτ' ἂν ἐτιμησάμην. Νῦν δὲ οἱ θαυμαστοὶ καὶ λαμπροὶ σου ἀγῶνες κατὰ τῆς τοῦ Θεοῦ Λόγου ἐνανθρωπήσεως, καὶ οἱ πεπλασμένοι μὲν κατὰ τῶν ἀντιθέτων αἱρετικῶν πόλεμοι, κατὰ δὲ τῆς ἀληθείας ὄντως στρατευσάμενοι, ἣν ἐπειδὴ πολεμῆσαι προθέμενος, ἀδυνατοῦν σοι ἐγίνωσκες τὸ ἐγχείρημα, ἐπίγραμμα C τοῦ κατ' αὐτῆς πολέμου, τὸ κατὰ τῶν αἱρετικῶν προέγραψας πρόγραμμα. Ἀλλὰ καὶ τὰ κατὰ Μαγουσαίων λήρηματα, ταῦτα κηρύττουσιν, αἵ τε λοιπαὶ τῶν Γραφῶν παρεξηγήσεις · οὐ γάρ ἐστιν ὅπου μὴ ταῦτα τῶν θαυμασίων σου πόνων διατεθρύληται, ἀπὸ μὲν Παύλου τοῦ Σαμοσάτων ἀρξάμενα, διὰ δὲ τῶν ἐν μέσῳ εἰς Διόδωρον καταντήσαντα, ὅστις σοι τῶν κακῶν τούτων γέγονεν ἡγεμών, οὕτω δὲ γεωργηθέντα παρὰ σοῦ, καὶ τοσοῦτον προσλαβόμενα μέγεθος, ὡς ἐπικαλύψαι τὴν ἄθεον πηγὴν, τὸν σὸν δαψιλῆ ποταμόν.

ΛΗ'. Σὸς δὲ γέγονεν ὁλκός τε καὶ διώρυξ στενὴ, καὶ οὐχ ὅλον σου δυνηθεῖσα χωρῆσαι τῆς ἀσεβείας τὸ ῥεῦμα, Νεστόριος. Εἰ δὲ καὶ χωρῆσαι ἴσχυσεν, D ἀλλ' οὐκ ἤδη καὶ παῤῥησιάσασθαι, καὶ πᾶσι προχέαι τὰ σὰ τῶν βλασφημιῶν νάματα, οὐ γνώμης ῥᾳθυμίᾳ (ἀπολογήσομαι γὰρ), ἀλλὰ τῷ στενοῦσθαι τοῖς πλήθεσιν. Αὐτὸς μὲν γὰρ καθ' ἡσυχίαν τῇ ἀσεβείᾳ συγγινόμενος, ὅλον αὐτῆς ἐκπέπωκας τὸν ὀχετόν. Ἐκεῖνος δὲ ἐπειδὴ ἕν τι τῶν σῶν ἄρας ἀμαρευμάτων σκύβαλον, εἰς τὸ κοινὸν προὔτεινε, καὶ τὴν *Θεοτόκος* φωνὴν ἀπηγόρευσε μόνην, εὐμηχάνως μὲν πρὸς τὰς ἀρχὰς τῆς ἀληθείας ἱστάμενος, καὶ τῇ

[39] Luc. XXII, 43. [40] Deut. XXXII, 43 sec. LXX.

(42-52) *Contra Magusæos*. Suidas verbo, *Persæ et Magog*, ait Persas dictos esse Magusæos. Intelligit autem Leontius tres libros Theodori Περὶ τῆς ἐν Περσίδι μαγικῆς, *De Magia in Perside* : ipsosque Persas magos nominat *magusæos* : meminit hujus operis Photius in sua *Bibliotheca*. Tur.

πρώτῃ τοῦ Θεοῦ ἡμῶν κατὰ σάρκα γεννήσει, τὴν πᾶσαν ἑξῆς ἀναιρῶν τοῦ μυστηρίου ἀκολουθίαν. Ὅμως δ' οὖν ἥλω καὶ τὴν ἐσχάτην ἔτισε δίκην, ἔξω θείου χοροῦ μετὰ τῶν ἀσεβημάτων ὧν ἐκ σοῦ γεγεώργηκεν ἀπελαθεὶς, καὶ τὴν ἀξίαν ἀντέκτισε τῶν σῶν μαθημάτων ποινήν. Ἀπόχρη καὶ ταῦτα τὴν πᾶσαν τοῦ ἀνδρὸς παραστῆσαι ἀσέβειαν, ἐξ ὄνυχος, ᾗ φασι, ὑποδεικνύντα τὸν λέοντα. Εἰ δέ τις ἀπιστεῖ τούτοις, καὶ γὰρ ὄντως εἰσὶν ἀπιστίας ἄξια, καὶ οὐ μέμφομαι τοῦ πάθους δικαιοτάτου γε ὄντος, ἐπεὶ τὸ μὴ ἀπιστεῖν τῶν τοιούτων κακῶν οὐκ ἄμοιρον ἐλέγχει τὸν ῥᾳδίως πιστεύσαντα. Τὸ γὰρ εἰς συγκατάθεσιν ἕτοιμον, καὶ εἰς πεῖραν ἑτοιμότατον. Ἀλλ' ἡμᾶς γε ἡ πεῖρα, ἥν τε ἐκ τῶν βίβλων αὐτοῦ συνειλέγμεθα, καὶ ἣν ἐκ τῶν ζηλούντων αὐτὸν ἀκηκόαμεν, ἀπιστεῖν οὐκ ἐπιτρέπει, καίπερ ἐθέλοντας. Πῶς δὲ καὶ ἀπιστεῖν δυναίμην, τῶν κακῶν τὴν πεῖραν ἐν ἐμαυτῷ σχεῖν κινδυνεύσας;

A tra initia veritatis insistens, et primo Dei nostri secundum carnem ortu, totam deinceps mysterii consecutionem destruens. Captus tamen est; et summum supplicium subivit ejectus ex cœtu divino cum impietatibus, in quibus a te sumptis cultus ejus elaboravit: pœnasque doctrinis tuis dignas persolvit. Satis sunt hæc ad repræsentandum istius viri impietatem, quæ, ut est in proverbio, ex unguibus leonem demonstrant. Si quis vero hæc non credit, sunt enim revera digna ut non credantur: non vitupero, neque queror, quod hoc accidat, quia non videri hæc incredibilia ostendit eum qui facile credidit, non esse expertem hujusmodi malorum. Quod enim est paratum et in promptu ut assensum habeat, etiam est paratissi- B mum ad experientiam. At nos experientia quam ex libris ejus collegimus, et quam ex iis qui eum studiose imitati sunt, audivimus, non permittit non credere cum alioqui vellemus. Quomodo vero possem non credere, qui malorum experimentum in me ipso habere visus sum?

ΛΘ'. Οἱ δὲ (οὐδὲ γὰρ εἰσι σοφοὶ, πλὴν μόνου τοῦ κακοποιεῖν), ἐπεὶ μὴ δύνανται ὑπὲρ τούτων ἀπολογήσασθαι, τὸν μέγαν ἡμῖν προτείνουσι Βασίλειον γεγραφότα τε Διοδώρῳ, καὶ ἀποδεξάμενον αὐτοῦ τινα τῶν περὶ Τριάδος συνταγμάτων· οὐ γὰρ ἐνανθρωπήσεως εἰπεῖν ἔχουσιν· ἄλλους τέ τινας τῶν Πατέρων, ἢ γεγραφότας, ἢ μεμνημένους αὐτοῦ παρεισκυκλοῦσιν.

XXXIX. Isti vero (non enim sunt sapientes, nisi ad nocendum), quia non possunt hæc defendere, objiciunt nobis magnum Basilium, qui ad Diodorum scripserit, et quædam ejus de Trinitate scripta approbaverit: non enim de incarnatione possunt dicere; quosdam etiam Patres qui de eo scripserunt aut meminerunt, circumferunt.

Μ'. Τὸν δὲ Ὠριγένην οὐ θαυμάζουσιν, ὅτι ὁ τῶν θαυμάτων ἐπώνυμος Γρηγόριος, τὸν ἐξιτήριον συντάττων, μυρίους ἐγκωμίων διέξεισιν εἰς αὐτὸν κύκλους. Καὶ τί λέγω Ὠριγένην; Ὅπου γε καὶ Ἀπολινάριος, ὁ κατὰ διάμετρον αὐτῷ τῆς ἀληθείας ἀποσφαλεὶς, μυρίας πρὸς αὐτὸν ἐπιστολὰς γεγενῆσθαι κομπάζει Ἀθανασίου τε τοῦ μεγάλου, καὶ Σαραπίωνος, καί γε τῶν ἄλλων ὅσοι τότε γεγόνασι λαμπροὶ φωστῆρες, καὶ τῆς ἀληθείας πρόμαχοι· εἰ δέ τις τὴν ὅλην μετὰ χεῖρας λάβοι, ἣν ὁ γνώριμος Ἀπολιναρίου Τιμόθεος ἐκκλησιαστικὴν συντάττει ἱστορίαν, οὐδ' ἄλλον τινὰ τοῦ τοσούτου πόνου σκοπὸν εὑρήσει, πλὴν τὴν Ἀπολιναρίου σύστασιν, ἣν ἐκ μυρίων συγκεκρότηκε τῶν ἀπ' αὐτοῦ τε καὶ εἰς αὐτὸν γραφεισῶν τε καὶ ἀντιγραφεισῶν ἐπιστολῶν· οἱ δ' αὐτοί μοι δοκοῦσι καὶ Δημᾶν τάχα συστήσειν ἡμῖν, ὅτι καὶ Παῦλος αὐτὸν Ῥωμαίοις συνέστηκεν, καὶ τὸν Ἰούδαν συντάττειν τῷ χορῷ τῶν ἀποστόλων, πολλάκις τῷ Σωτῆρι συναλισθέντα· ἀλλ' ἀκουέτωσαν καὶ πρὸς ἡμῶν, ὡς εἰ μέλλοιεν τὰς πρός τινας τῶν Πατέρων γεγραμμένας ἐπιστολὰς, πρὸ τῆς ἀληθείας αἰδεῖσθαι, οὐ Θεόδωρον ἢ Διόδωρον μόνον, ἀλλὰ καὶ ἄλλους πολλοὺς, καὶ οὓς οὐδ' αὐτοὶ βούλονται, συμπαραδέχεσθαι βιασθήσονται.

XL. Origenem vero non admirantur, quoniam C Gregorius qui a miraculis faciendis cognomentum duxit, in oratione quam in discessu suo composuit, infinitas laudes ejus persequitur. Et quid dico Origenem? Quandoquidem Apollinarius, qui omnino ex adverso (53) ei a veritate aberravit, gloriatur innumerabiles epistolas ad eum scriptas esse Athanasii magni, et Serapionis, et aliorum, quicunque fuerunt tunc fulgentia sidera, et veritatis propugnatores: et si quis in manus sumat ecclesiasticam historiam quam Timotheus Apollinarii discipulus composuit, nullum alium finem tanti laboris propositum ipsi reperiet, quam commendationem Apollinarii, quam ex eo collegit, quod ab ipso et ad ipsum infinitæ epistolæ scriptæ et rescriptæ essent: D qui mihi videntur eadem ratione Demam nobis commendaturi, quia Paulus eum Romanis commendavit; et Judam choro apostolorum adnumerare, quia sæpe cum Salvatore cibum sumpsit: sed audiant a nobis, quod si scriptis epistolis majorem reverentiam, quam veritati adhibere volunt, non solum Theodorum aut Diodorum, sed et alios multos, et quos nec ipsi volunt, comprobare cogentur.

ΜΑ'. Οἷον δὲ αὐτῶν κἀκεῖνο· Ἐφ' οἷς γὰρ, φησὶν, εὐθύνετε Θεόδωρον ἢ Διόδωρον, καὶ τοὺς λοιποὺς Πατέρας ὑπαιτίους εὑρίσκομεν. Καὶ προφέρουσιν

XLI. Quale prætera est illud: In quibus, inquit, corrigitis Theodorum aut Diodorum, in eisdem etiam reliquos Patres reos esse reperimus. Et pro-

(53) *Qui omnino ex adverso.* Etiam hinc liquet Leontium Origenis sectatorem non fuisse, saltem cum hæc scriberet; cum Origenem errorum arguat. TUR.

ferunt nobis ex Serapione quidem illud, Deus hominem induit; ex Basilio autem, homo deifer; illud utrumque ex Gregoriis, quorum alter quidem dixerit : Dicatur Deus non Verbi, sed ejus qui cernebatur; alter vero : Et servi livores circa quem Dominus; et quasdam reliquorum Patrum similes voculas veluti unguibus corradunt, cujusmodi est, *Suscepit*, *assumpsit*, *induit*, et *duplex erat*, et alia ejusmodi, quæ differentiam naturarum Christi secundum substantiam unitarum declarant. Et præter cætera omnia, Cyrilli hypostases, et hominem ex Maria, et templum ex Virgine. Deinde mistionem et commistionem et naturalem cohæsionem, et deificationem, et sanguinem Dei, et crucem, et passionem; et quod plus est, secundam Verbi secundum carnem generationem; cum iidem alioqui dicant, non tamen isti audiunt.

Et quid opus est dicere de unione secundum substantiam, et de hypostasi duarum naturarum, quibus nihil est magis unum, et naturaliter cohærentius? Primum igitur, illud est consideratione dignum, quod non est nobis de vocibus controversia, sed de modo totius mysterii Christi. Hoc autem non simpliciter ex hac aut illa voce, aut ex quibusdam verbis est approbandum aut accusandum, sed ex primis principiis. Circa hæc enim omnis hæresis controversatur. Post principia enim omnes inter se de vocibus conveniunt, ita ut ipsarum Scripturarum voces sibi vindicent eas ad proprium scopum accommodantes. Quæ vero sunt horum principia? modus scilicet unionis secundum substantiam, et secundum habitudinem factus; ut esset in humanitate perfecta Verbum quod in nobis homo interior secundum Apostolum συνυφεστῶς, id est, consubsistens, et ad totius definitionem pertinens post unionem, sicut Patres qui Paulum Samosatensem deposuere, enuntiarunt.

Sed neque eos qui e contrario nobis stant contra veritatem, qui voces sibi, ut arbitrantur, aptas proferunt, curamus, tanquam eis nos utentes cum ipsis, aut fictionem naturæ, aut confusionem profiteamur, neque quæ a nobis ipsis proferuntur, ad defendendam, quam putatis, fictionem divinitatis, aut vanam spem vestram in homine puro, tanquam a Patribus prolata, admittimus; quia, ut dixi, non de vocibus nobis est disceptatio, sed de ipsis rebus, et harum unione, et naturali cohæsione, quam Patres secundum substantiam factam esse senserunt : vos autem secundum habitudinem et voluntatem eam introducitis : et ista unione anthropolatriam per vim munitis, quo quid esse potest magis impium? Solius enim impietatis Pauli, Marcelli, Photini, Nestorii et Theodori erat sic sentire, qui aperte Christum hominem tantum esse definierunt : quod quidem unusquisque private, et in commune omnes divini Ecclesiæ magistri concordi sententia accusarunt et exploserunt; ac maxi-

A ἡμῖν Σαραπίωνος μὲν τὸ, ὁ Θεὸς τὸν ἄνθρωπον περιεβάλετο· Βασιλείου δὲ τὸ, ὁ θεοφόρος ἄνθρωπος· Θεὸς λέγοιτο ἂν οὐ τοῦ Λόγου, τοῦ ὁρωμένου δὲ, τοῦ [δὲ] φάσκοντος, καὶ τοῦ δούλου τοὺς μώλωπας, περὶ ὃν ὁ Δεσπότης· τῶν τε λοιπῶν Πατέρων τοιαῦτά τινα περιονυχίζοντες ἀποξέουσι λεξείδια· οἷόν ἐστι τό τε *ἀνέλαβε*, καὶ *προσείληφε*, καὶ *ἐνεδύσατο*, καὶ τὸ, *διπλοῦς γὰρ ἦν*, καὶ ὅσα τοιαῦτα, τῆς διαφορᾶς ὄντα δηλωτικὰ τῶν οὐσιωδῶς ἡνωμένων φύσεων τοῦ Χριστοῦ. Ἐπὶ πᾶσι δὲ Κυρίλλου τὰς ὑποστάσεις, καὶ τὸν ἐκ Μαρίας ἄνθρωπον, καὶ τὸν ἐκ Παρθένου ναόν. Τὴν δὲ κρᾶσιν καὶ ἀνάκρασιν συμφυΐαν τε καὶ θέωσιν, αἷμά τε Θεοῦ, καὶ σταυρὸν, καὶ πάθος, καὶ θάνατον, καὶ πρὸ τούτων δευτέραν τοῦ Λόγου κατὰ σάρκα γέννησιν, τῶν αὐτῶν λεγόντων οὐκ ἐπαΐουσι.

B

Καὶ τί δεῖ λέγειν περὶ τῆς κατ' οὐσίαν καὶ οὐσιώδους ἑνώσεως, τήν τε μίαν ὑπόστασιν τῶν δύο φύσεων, ὧν οὐδὲν ἑνικώτερον ἢ συμφυέστερον; Πρῶτον μὲν οὖν ἐκεῖνο σκοπεῖν ἄξιον, ὅτι οὐ περὶ λέξεών ἐστιν ἡμῖν τὸ ἀμφισβητούμενον, ἀλλὰ περὶ τοῦ τρόπου τοῦ ὅλου κατὰ Χριστὸν μυστηρίου. Τοῦτο δὲ οὐχ ἁπλῶς ἐκ τῆσδε ἢ τῆσδε τῆς λέξεως, ἢ ἐνίων ῥημάτων ἔστιν ἐγκρίνειν, ἢ διαγράφεσθαι, ἀλλ' ἐκ τῶν πρώτων ἀρχῶν. Περὶ γὰρ ταύτας πᾶσα αἵρεσις διαστασιάζει, ἐπεὶ μετὰ τὰς ἀρχὰς πάντες πᾶσι κατὰ τὰς λέξεις συμφέρονται, ὡς καὶ αὐτῶν τῶν Γραφῶν τὰς λέξεις σφετερίζεσθαι, πρὸς τὸν οἰκεῖον ταύτας σκοπὸν ἐφαρμόζοντας. Τίνες δέ εἰσιν C αἱ τούτων ἀρχαί; ὁ τρόπος δηλαδὴ τῆς ἑνώσεως, οὐσιωδῶς ἀλλ' οὐ σχετικῶς γεγονώς· ὡς εἶναι ἐν τῇ τελείᾳ ἀνθρωπότητι τὸν Λόγον, ὅπερ ἐν ἡμῖν ὁ ἔσω ἄνθρωπος κατὰ τὸν Ἀπόστολον *συνυφεστώς*, καὶ εἰς τὸν τοῦ ὅλου ὅρον συντελῶν μετὰ τὴν ἕνωσιν, καθὰ καὶ οἱ τὸν Σαμοσατέα στηλιτεύσαντες Πατέρες ἀπεφήναντο.

Ἀλλ' οὔτε τῶν ἐκ διαμέτρου ἡμῖν πρὸς τὴν ἀλήθειαν ἱσταμένων, τὰς, ὡς οἴονται, ἁρμοττούσας αὐτοῖς προφερόντων ἐπιστρεφόμεθα· ὡς ἐντεῦθεν τὴν δόκησιν καὶ τὴν φαντασίαν, ἢ τὴν τροπὴν καὶ τὴν σύγχυσιν, μετ' αὐτῶν ἡμᾶς πρεσβεύειν· οὔτε δὲ παρ' ὑμῶν αὐτῶν, ὡς ἂν οἴησθε, εἰς συνηγορίαν τῆς κατὰ τὴν θεότητα φαντασίας, ἢ τῆς κατὰ τὸν D ψιλὸν ἄνθρωπον, ὑμῶν ματαίας ἐλπίδος, ὡς ἐκ τῶν Πατέρων προφερόμενα προσιέμεθα· ἐπειδήπερ, ὡς ἔφην, μὴ περὶ λέξεων ἡ διαμάχη ἐστὶν ἡμῖν, ἀλλὰ περὶ αὐτῶν τῶν πραγμάτων, καὶ τῆς πρὸς ἄλληλα τούτων ἑνώσεώς τε καὶ συμφυΐας, ἣν οἱ Πατέρες οὐσιωδῶς γεγενῆσθαι ἐφρόνησαν, ὑμεῖς δὲ σχετικὴν τε καὶ γνωμικὴν ταύτην εἰσάγετε, καὶ διὰ ταύτης τὴν ἀνθρωπολατρείαν κρατύνειν βιάζεσθε· οὗ τί ἂν γένοιτο ἀσεβέστερον; Τῆς γὰρ Παύλου καὶ Μαρκέλλου, Φωτεινοῦ τε καὶ Νεστορίου καὶ Θεοδώρου δυσσεβείας μόνης τὰ τοιαῦτα φρονεῖν, τῶν ψιλὸν ἄνθρωπον τὸν Χριστὸν ἄντικρυς διορισαμένων, ἅπερ ἰδίᾳ τε ἕκαστος, καὶ κοινῇ πάντες οἱ θηγόροι τῆς

Ἐκκλησίας μυσταγωγοὶ, ὁμόφροσιν ἀποφάσεσι διέγραψάν τε καὶ ἀπεκήρυξαν· καὶ μάλιστα ἡ τελευταία πασῶν, καὶ τῶν πρὸ αὐτῆς ἁγίων συνόδων σφραγὶς γενομένη κατὰ τὴν Χαλκηδονέον, ἣ καὶ τὸν ὑμέτερον τῆς ἀσεβείας πρόβολον τέλεων καταλέλυκεν, τό τε τῆς πίστεως σύμβολον κρατύνας, καὶ τὸν τῆς ἀσεβείας ὑμῶν καθαιρέτην, λαμπραῖς ἀνακηρύξασα ταῖς εὐφημίαις, καὶ τὸν ὄντως Λέοντα κατὰ τῆς δολερᾶς Εὐτυχέος ἀλώπεκος ἐξαναστάντα δικαίως, καὶ τὴν κρυπτομένην ἀσέβειαν, τοῖς ἐλεγκτικοῖς διασπάσαντά τε καὶ νεκρώσαντα λόγοις, ταῖς πρεπούσαις αὐτῷ κατεστεφάνωσαν δόξαις.

ΜΒ'. Ἀλλ' ἐκεῖνοι μὲν, φασὶ, κατεκρίθησαν, τούτων δὲ οὐδεὶς κατέγνω. Τοῦτο, ὦ βέλτιστοι, οὐκ ἐκ τοῦ καθ' ἑαυτοὺς ἔσχον ἀμέμπτου, ἀλλ' ἐκ τοῦ σφόδρα τὸ λαθεῖν ἐπιτηδεῦσαι· οὐ γὰρ εἰς πολλοὺς ἐκφαίνειν ὑπέμενον τὴν ἀσέβειαν, ὅτι μηδ' ἀσφαλὲς αὐτοῖς τοῦτο ἐγίνωσκον. Καὶ ἄλλως ἡ τῶν Ἀρειανῶν τότε φλεγμαίνουσα αἵρεσις, καὶ ὥσπερ ἀγρία φλὸξ νεμομένη τὰς Ἐκκλησίας, σχολὴν μὲν παρεῖχε πολλοῖς, ἀτὰρ δὴ Ἀπολιναρίῳ, τέως αὖ καὶ Μακεδονίῳ τὸ βλασφημοῦσι λανθάνειν. Καὶ τὸ τῆς ἰατρικῆς ἐστι καλῶς ἐνταῦθα λέγειν, ὡς δύο πόνων ἐπικρατούντων ἐν σώματι, ὁ σφοδρότερος ἀμαυροῖ τὸν ἐλάττονα. Ταύτῃ γὰρ καὶ Ἀπολινάριος ὥσπερ τις σπλὴν ηὔξανεν (ἵνα κατὰ τὸν ὑμέτερον ὑποφήτην εἴπω, καί τι κἂν τοῖς ἐλέγχοις ὑμῖν χαρίσωμαι), ἐν τῇ τοῦ ὅλου σώματος κακοπραγίᾳ, τὸ παρὰ φύσιν προσκτώμενος μέγεθος. Τῷ αὐτῷ δὴ παραδείγματι καὶ τὸ ὑμέτερον παραβάλλειν ἔχω. Ἡ γὰρ τῶν Πατέρων περὶ τὰ ἀναγκαιότατα, καὶ μάλιστα κατεπείγοντα σπουδὴ, λαθεῖν τοὺς ὑμετέρους τῆς ἀσεβείας προγόνους παρεσκεύασεν, καὶ μάλιστα πλαττομένους τὴν ἐν τοῖς περὶ Τριάδος σὺν αὐτοῖς ἀγωνίαν καὶ ἀντιπαράταξιν, καὶ ἐντεῦθεν κλέπτοντάς τε τὴν εὔνοιαν, καὶ τῷ τῆς ὁμοφροσύνης προσχήματι τὸ λαθεῖν προπίνοντας. Δυσφώρατον γὰρ ἡ πονηρία, εὐνοίας προσωπείῳ κεκαλυμμένη.

ΜΓ'. Ἐπεὶ ἐν τῷ κατὰ τὸν δυστυχέστατον Νεστόριον ἀναθέματι (δυστυχὴς γάρ ἐστιν ὄντως, μόνος τοῦ φόνου τὴν δίκην ὑποσχὼν, παρ' ἄλλων, ἧ φασι, τὸ ξίφος κεκομισμένος) καὶ αὐτοὶ συνεκβέβληνται. Ἐν γὰρ τῷ μαθητῇ, τῷ, ὡς ἡ Γραφή φησι, κατηρτισμένῳ κατὰ τὸν διδάσκαλον, τοὺς ἑαυτῶν πόνους ἐδρέψαντο. Καίτοι καὶ εἰ τοῦτο ζητοίη τις, εὑρήσει καὶ αὐτοὺς, ὡς γραφὴν ἔσχον παρά τε ἑτέρων συχνῶν, καὶ τῶν ζηλωτικωτάτων κατὰ τῆς ἡμῶν ἀσεβείας, Κυρίλλου τε καὶ Πρόκλου. Ὧν ὁ μὲν ὅλην γραφὴν κατ' αὐτῶν πεποίηκεν. Εἰ καὶ ἀπολογήσασθαί τινες ὑπέμειναν ἀπολογίαν μείζονα τῆς κατ' αὐτῶν κατηγορίας εἰσάγουσαν ὑπόθεσιν· ὁ δὲ τὴν πρὸς Ἀρμενίους συνοδικὴν γράφων ἐπιστολὴν, ταύτῃ τῶν βλασφημιῶν Θεοδώρου κεφάλαια εἰς ἔλεγχον αὐτοῦ τῆς ἀσεβείας ὑπέταξεν. Τί γὰρ δεῖ λέγειν περὶ τοῦ ἁγίου Ῥαββούλου, τοῦ ἐπισκόπου Ἐδέσσης, ἀνδρὸς, ὥς φασι, προφήτου; οὗ τὴν παῤῥησίαν καὶ τὸν ἔλεγχον ἐπειδὴ μὴ ἤνεγκαν οἱ τότε τῆς δυσσεβείας Θεοδώρου ζηλωταὶ, μετὰ τοὺς μυ-

me postrema omnium synodorum antegressarum sigillum et obsignatio, quæ vestrum propugnaculum impietatis funditus evertit, et symbolum fidei roboravit, atque vestræ impietatis eversorem, illustribus præconiis prædicavit vere Leonem, qui contra Eutychem dolosam vulpem juste surrexit, et abditam impietatem confutationibus dissipavit et exstinxit; quem synodus laudibus quæ eum decebant, celebravit.

XLII. At illi quidem, inquiunt isti, damnati sunt, horum vero nullus. Hoc, o boni viri, non ex innocentia reportarunt, sed ex nimio studio quod, ut laterent, adhibuerunt: non enim patiebantur efferri in vulgus impietatem, quia neque sibi tutum esse sciebant. Præterea Ariana tunc hæresis fervens, et tanquam vehemens flamma Ecclesias depascens, multis otium dedit ad latendum interea, ut Apollinario et Macedonio impiis. Convenit hic illud in arte medicinæ tritum dicere: Cum duo morbi in corpore dominatum obtinent, vehementior obscurat minorem. Hac ratione et via Apollinarius tanquam quidam splen crevit (ut secundum vestrum doctorem dicam, et aliquid etiam in arguendo vobis largiar), in totius corporis ægrotatione magnitudinem præter naturam capiens. Eodem exemplo possum vestra conferre. Studium Patrum in maxime necessariis et maxime urgentibus rebus occupatum, fecit, ut vestræ impietatis parentes et auctores laterent, præsertim cum in iis quæ ad Trinitatem pertinebant fingerent se una cum ipsis adversus hostes Trinitatis pugnare; et eo modo benevolentiam simularent, specie ac simulatione idem sentiendi latebras sibi præparantes. Difficillima enim res est ad deprehendendum malitia, simulatione benevolentiæ tecta.

XLIII. Verum in anathemate infelicissimi Nestorii (vere enim infelix est, qui solus cædis supplicium sustinuit, cum ab aliis pugionem tulisset) ipsi simul ejecti sunt. In discipulo enim perfecto, qui, ut ait Scriptura, sicut magister ejus est, fructus laborum suorum decerpserunt. Tametsi hoc si quis inquirat, reperiet eos accusatos cum ab aliis multis frequenter, tum ab ardentissimis impietatis vestræ insectatoribus Cyrillo et Proclo. Ex quibus ille totam accusationem contra eos instruxit. Quamvis quidam defensionem scribere voluerunt, quæ copiosius argumentum accusationis afferebat. Hic autem, id est Proclus, epistolam ad Armenios scripsit. Huic epistolæ subjecit capita blasphemiarum Theodori ad ostendendum illius impietatem. Quid autem opus est dicere de sancto Rhabulo (54-56), episcopo Edesseno, viro, ut aiunt, propheta? cujus fiduciam atque confutationem postquam qui tunc erant impietatis Theodori sectatores, pati non potuerunt, post multa pericula illius, dolo aggrediuntur, uni

(54-56) *Rhabulo*. Hunc alii vocant *Rabulam*. Tur.

ex iis qui intus erant, negotio commisso. Si igitur hac via vobis persuaserimus, et tandem mutari volueritis, veritatem magis quam personas honorantes, hoc melius, et Deo gratias agemus: sin minus, vos quidem deflebimus fletu et lamentis dignos; nos vero faciemus, ut ipsi ex Deo pendeamus, et in beata spe nixi, nunquam desistemus ab ea quam Patres nostri habuerunt, et hanc amantissime per successores interjectos nobis transmiserunt et tradiderunt: hoc solum lucri a nobis reportantes, ut depositum eorum sine offensione custodiamus, quod Ecclesia sancta sine immutatione et accessione custodire perseverat, et perseverabit usque ad magnum et illustrem adventum magni Dei et Salvatoris nostri Jesu Christi, cui gloria et imperium in sæcula. Amen.

Prologus auctoritatum Theodori** (57), **et aliorum hæreticorum.

Ex blasphemiis Theodori pauca ex multis proponere studuimus, ad ostendendum fatuitatem ejus absurdam circa dogma, ut ex his fidem faciamus, nihil contra eum nos finxisse, aut contra eos qui cum eo sentiunt. Si enim facile esset scripta ejus reperire, non pigeret nos, in omnibus capitibus de quibus eum accusavimus, ipsum illum testem producere. Quia vero nos vix et magno labore, et multis cogitationibus usi librum ejus contra incarnationem reperire potuimus; vehementer enim observant, et cavent ne illius libros cum iis qui non sunt in illis instituti, communicent; ob hanc causam ea solum quæ contra incarnationem Salvatoris dixit, nunc colligere potuimus: si quis vero non adhibuerit fidem, et ei vacat et est animus, quærat quæ vane elaboravit in Genesin et in librum contra Job, et pravam interpretationem in Epistolam ad Hebræos, et in Epistolam ad Corinthios, et ad Galatas, et quæ contra Magusæos scripsit, et præmeditationem excæcantem in sacros Psalmos, et quæ pro Eunomio contra Basilium scripsit. Sic ego voco totam ejus apologiam omni accusatione plenam: item enarrationes turbidas et blasphemas in Evangelium Matthæi, Joannis et Lucæ, et ipsorum sanctorum apostolorum et evangelistarum superbas quas ausus est, reprehensiones,

A ρίους ἐκείνους κινδύνους, δόλῳ μετῆλθον, ἑνὶ τῶν ἔνδον τὸ δρᾶμα πιστεύσαντες. Εἰ μὲν οὖν ταύτῃ πείσομεν ὑμᾶς, καὶ μεταβάλοισθε ὀψὲ γοῦν, ἀλήθειαν προτιμῶντες προσώπων, τοῦτ' ἄμεινον, καὶ τῷ Θεῷ χάρις· εἰ δ' οὔ, ἀλλ' ὑμᾶς γε δακρύσομεν, θρήνων καὶ ὀδυρμῶν ὄντας ἀξίους· ἡμᾶς δ' αὐτοὺς τοῦ Θεοῦ τε ἀναρτήσομεν, καὶ τῶν μακαρίων ἐλπίδων ἐχόμενοι, οὔ ποτε λήξομεν ὧν τε ἔσχον οἱ Πατέρες ἡμῶν,. καὶ ἡμῖν ταύτας φιλανθρώπως λίαν διὰ τῶν ἐν μέσῳ παρέπεμψαν καὶ μεταπαρέδοσαν, τοῦτο μόνον παρ' ἡμῶν ἐκβιβάζοντες, ἀπρόσκοπον αὐτῶν φυλάττειν τὴν παρακαταθήκην· ἀμείωτόν τε καὶ ἀπλήθυντον φυλάττουσα ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία διατελεῖ, καὶ διατελέσει μέχρι τῆς μεγάλης ἐπιφανείας τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ B Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Πρόλογος τῶν ὑποκειμένων χρήσεων Θεοδώρου αἱρετικοῦ.

Ἐκ τῶν βλασφημιῶν Θεοδώρου ὀλίγα ἐκ πολλῶν, εἰς ἔνδειξιν τῆς ὅλης αὐτοῦ περὶ τὸ δόγμα σκαιότητος παραθέσθαι ἐσπουδάσαμεν, ἵνα ἐκ τούτων καὶ περὶ τῶν λοιπῶν πιστωσώμεθα, ὡς οὐδὲν αὐτοῦ κατεψευσάμεθα, ἢ τῶν τὰ ἐκείνου φρονούντων. Εἰ μὲν γὰρ οἷόν τε ἦν εὐκόλως εὑρεῖν τὰς πάσας αὐτοῦ συντάξεις, οὐκ ἂν ὠκνήσαμεν περὶ πάντων τῶν κεφαλαίων C ὧν αὐτὸν ἐγραψάμεθα, αὐτὸν ἐκεῖνον ποιήσασθαι μάρτυρα. Ἐπειδὴ δὲ μόλις καὶ μετὰ πολλοῦ κόπου ἐπινοιῶν τε μυρίων τὴν κατὰ τῆς ἐνανθρωπήσεως αὐτοῦ βίβλον εὑρεῖν δεδυνήμεθα (σφόδρα γὰρ παραπεφυλαγμένως τὰ αὐτοῦ τοῖς ἀμυήτοις ἐκδιδόναι θαῤῥοῦσι), τούτου ἕνεκεν τὰ κατὰ τῆς ἐνανθρωπήσεως τοῦ Σωτῆρος αὐτῷ εἰρημένα μόνα, ἐν τῷ παρόντι συλλέξασθαι δεδυνήμεθα· εἰ δέ τις ἀπιστήσει, ἄγοι δὲ ὅλως σχολὴν καὶ προθυμεῖται, ζητησάτω αὐτοῦ τάς τε εἰς τὴν γένεσιν ματαιοπονίας, καὶ τὴν κατὰ τοῦ Ἰὼβ βίβλον, τήν τε παρεξήγησιν ἣν εἰς τὴν πρὸς Ἑβραίους Ἐπιστολὴν πεποίηται, καὶ μὴν καὶ εἰς τὴν πρὸς Κορινθίους καὶ Γαλάτας, τά τε κατὰ Μαγουσαίων αὐτῶν συγγραφέντα, καὶ τὸν κατὰ τῶν ἱερῶν Ψαλμῶν τυφλοποιὸν D προθεωρίαν, τά τε ὑπὲρ Εὐνομίου κατὰ Βασιλείου τοῦ πάνυ (οὕτω γὰρ ἐγὼ καλῶ τὴν πάσης κατηγορίας μεστὴν ὑπὲρ αὐτοῦ ἀπολογίαν)· τάς τε εἰς τὸ κατὰ Ματθαῖον καὶ Ἰωάννην καὶ μέντοι γε Λουκᾶν τεθο-

(57) *Prologus auctoritatum Theodori*. Bene factum, quod Leontius impii Theodori impia dogmata commemoraturus, se et lectorem suum præmunit. Similia Theodori dogmata prodiderunt ex ipsis Theodori libris, cum alii, tum Pelagius pontifex in Epistola secunda ad episcopos Istriæ, ubi inter cætera ista leguntur: *Hæc de innumeris pauca protulimus, ut quasi per foramen angustum, quam nimium barathrum intus lateret, monstraremus: ecce quales plusquam decem millia libros Theodorus scripsisse perhibetur. Pensate, quæso, si non tanto acriora tormenta promeruit, quanto pluriora conscripsit. Sed hæc illius dicta quæ prolata sunt, utrum ejus sint, fortasse dubitatur. Patrum, si placet, scripta proferamus. Armeniæ quippe episcopi Proclo Constantinopolitanæ urbis episcopo libellos contra Theodorum porrigentes, dicunt: « Fuit autem aliquis pestis homo, magis autem fera, hominis habens formam diabolicam, mentito nomine Theodorus, qui schema et nomen episcopi habuit, in angulo et ignobili loco orbis terrarum latitans, in Mopsuestano Ciliciæ secundæ vel oppido, vere quidem et principaliter a Paulo Samosateno descendens, licet Photino et cæteris hæresiarchis in libro De Incarnatione Domini nostri Jesu Christi in toto suo proposito ipsis verbis inveniatur usus. »* Hæc et plura alia in suis litteris Pelagius pontifex, consentientia cum his, quæ Leontius adducit ex Theodoro, a quo Nestorius suam impietatem hausit, Theodorus autem a Diodoro Tarsensi, omnesque a Paulo Samosatensi, ut productis testimoniis copiose demonstrat Leontius. TUR.

λωμένας ἐξηγήσεις καὶ βλασφημίας, καὶ κατ' αὐτῶν δὲ τῶν ἱερῶν ἀποστόλων καὶ εὐαγγελιστῶν ὑπερηφάνους καὶ ἀποτετολμημένας μέμψεις, τά τε ἄλλα αὐτοῦ, ἵνα μὴ τὸ καθ' ἓν λέγω, συντάγματα, ὄψεται βυθὸν ἀσεβείας πάσης τῆς Μαρκίωνος καὶ Βαλεντίνου, πρὸς δὲ καὶ τῆς πηγῆς τῶν κακῶν τοῦ Μάνεντος λέγω, βδελυκτοτέραν τε καὶ ἀθεωτέραν γνώμην τε καὶ ἐγχείρησιν. Ἡμεῖς δὲ, ὡς ἔφαμεν, τοῦ μὴ δόξαι πάντη ἀμάρτυρα τὰ κατ' αὐτοῦ λεγόμενα καταλιπεῖν, πολλαῖς, ὡς ἔφην, ἐπινοίαις τε καὶ μεθόδοις χρησάμενοι, μόνον τὸ κατὰ τῆς ἐνανθρωπήσεως αὐτῷ συνταχθὲν εὑρεῖν ἰσχύσαμεν, ἀφ' οὗ καὶ ταύτας τὰς χρήσεις παραθέσθαι ἐσπουδάσαμεν. Εἰ δὲ Θεὸς ἐπιτρέποι, καὶ ὁ χρόνος ἡμᾶς μὴ ἐπιλείποι, ἑτέραν κατ' αὐτοῦ σύνταξιν ποιησόμεθα, ἐν ᾗ κατὰ σχολὴν ἑκάστην αὐτοῦ ἀσέβειαν ἐκ τῶν αὐτοῦ λόγων συλλεξάμενοι, πρὸς τίνα τε τῶν παρ' ἐκείνοις χρήσεων δείξομεν. Καὶ μὴν καὶ τὴν ὅλην αὐτοῦ φρενοβλάβειαν, καὶ ἣν πρὸς πάντας τοὺς ἁγίους ἔχει Πατέρας, περὶ πάντα ἐναντίαν γνώμην ἐκ τῶν ἱερωτάτων αὐτοῦ πονημάτων ἐπιδείξομεν· ἀντιῤῥητικαῖς τε πρὸς αὐτὸν ἐπὶ τούτοις χρησόμεθα ἀνασκευαῖς. Τὸ δὲ νῦν ἀρκεσθήσομαι τῇ κεφαλαιωδεστέρᾳ κατ' αὐτοῦ γενομένῃ γραφῇ, ἵνα μὴ πάντη λανθάνων βλάπτῃ τοὺς ἁπλουστέρους· γινώσκοιεν δὲ καὶ οἱ ἐζηλωκότες αὐτὸν, ὡς τοῦτον συνιστάναι ἀξιοῦσιν, οὗ μηδὲ τῆς ἀσεβείας ἔστιν ἐφικέσθαι ῥᾳδίως καὶ τὸν πάνυ προθυμούμενον. [ANG. MAI. *Script. vet. Collect.* VI, p. 299.]

A et alia ejus opera, ne singula enumerem; et videbit profundum omnis impietatis Marcionis et Valentini, adde etiam exsecrabiliorem, et magis impiam sententiam, et susceptum scelestius, quam Manichæi, fontis malorum: nos vero, ut diximus, ne videremur, quæ contra eum a nobis dicuntur, sine testibus dicta relinquere, multis viis et cogitationibus usi, solum quod contra incarnationem composuit, reperire potuimus. Si autem Dominus permiserit, et tempus nos non deficiet, alium librum contra eum componemus, in quo per otium unamquamque impietatem ejus ex ipsius libris colligemus, et cum quo ex hæreticis unaquæque cognationem habeat, et auctoritatibus ejus demonstrabimus. Quinetiam totam ejus amentiam, et quam B habeat contra omnes Patres sententiam in omnibus contrariam eis, et sanctissimis, ejus operibus ostendemus. Ad hæc, confutationibus adversus eum utemur. Nunc autem contentus ero accusatione brevi contra eum composita, ne, penitus latens, simplicioribus noceat; cognoscantque qui eum sectantur, hunc se commendare et defendere, cujus nec impietatem facile est assequi, vel si quis maxime velit.

Allatis hic permultis Theodori Mopsuesteni auctoritatibus, quas, quia exstant inter Opera Theodori, hujus *Patrologiæ* t. LXVI, col. 672, prætermisimus, hæc addit Leontius:

Καὶ ταῦτα μὲν ὁ ἀσεβὴς Θεόδωρος, κατὰ τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ λυττήσας ἐβλασφήμησεν, ἄλλον εἶναι λέγων τὸν Θεὸν Λόγον, καὶ ἄλλον Ἰησοῦν τὸν Χριστόν· καὶ τὸν μὲν εὐεργετοῦντα, τὸν δὲ εὐεργετούμενον· καὶ τὸν μὲν σώζοντα, τὸν δὲ σωζόμενον. Ὁ δὲ ταῦτα λέγων, φανερῶς ἀρνεῖται τὴν διὰ τοῦ Δεσπότου Χριστοῦ προσγενομένην ἡμῖν σωτηρίαν. Ὁ γὰρ παρ' ἄλλου εὐεργεσίαν λαβὼν, ἤτοι σωθεὶς, ἑτέρους πῶς δύναται σώζειν; Οἱ τοίνυν ταῦτα φρονοῦντες, τίνος οἴονται σῶμα καὶ αἷμα μεταλαμβάνειν; τοῦ εὐεργετήσαντος, ἢ τοῦ εὐεργετηθέντος; Ἀλλ' εἰ μὲν τοῦ εὐεργετήσαντος Θεοῦ Λόγου, πῶς τοῦτο λέγουσι, μὴ ὁμολογοῦντες αὐτὸν σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι; Εἰ δὲ τοῦ εὐεργετηθέντος, ματαία αὐτῶν ἡ ἐλπὶς, ἀνθρωπολατρείαν πρεσβευόντων· καὶ εἰς ἄνθρωπον τὰς ἐλπίδας ἔχοντες, ἐπικατάρατοί εἰσιν, ὅτι ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν Κτίσαντα, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἀναγκαῖον δὲ ἡγησάμην, καὶ τοῦ πρωτάρχου τῆς ἀσεβείας αὐτῶν γενομένου ὀλίγας παραθέσθαι χρήσεις, δι' ὧν συμπεπλεγμένους αὐτοὺς κατὰ τὴν ἀσέβειαν κατιδεῖν ἔξεστιν.

C Atque hæc quidem impius Theodorus, rabie in magnum Deum et Salvatorem nostrum Jesum Christum percitus, blaspheme scripsit, dicens alium esse Deum Verbum, et alium Jesum Christum: illum beneficio afficientem, hunc beneficio affectum; illum salvum facientem, hunc salvum factum. Qui autem hæc dicit, manifesto negat salutem per Christum allatam. Qui enim ab alio beneficium accipit, id est, qui factus est salvus, quomodo poterit alios salvos facere? Qui hæc sentiunt, cujus corpus et sanguinem se putant in communione sumere, ejus qui beneficium contulit, an qui beneficium accepit? Si Dei Verbi beneficium conferentis, quomodo hoc dicunt, non confitentes eum incarnatum esse? Si vero beneficium accipientis, inanis est eorum D spes anthropolatriam profitentium. Et qui in homine spem collocant, maledicti sunt: qui coluerunt et servierunt creaturæ præter Creatorem, qui est benedictus in sæcula. Amen.

Necessarium existimavi, ejus qui fuit princeps auctor hujus impietatis, paucas auctoritates apponere, ex quibus licet perspicere, connexos fuisse ipsos in hac impietate.

Διοδώρου ἐκ τοῦ κατὰ συνουσιαστῶν λόγου α'.

« Ἀσφαλίζεσθαι εἰς τὴν ἀκρίβειαν τῶν δογμάτων ὑμᾶς ἐνάγομεν. Τέλειος πρὸ αἰώνων ὁ Υἱός· τέλειον τὸν ἐκ Δαβὶδ ἀνέληφεν Υἱὸς Θεοῦ υἱὸν Δαβίδ. Ἐρεῖς

Diodori ex libro I *Contra Synusiastas.*

« Hortor vos, ut muniti sitis et firmi ad diligentem cognitionem dogmatum. Perfectus ante sæcula Filius; perfectum, quod ex David assumpsit,

Filius Dei, filius David. Dices mihi, Duos igitur filios prædicas? Duos filios David non dico; non enim dixi Deum Verbum filium David. Sed neque duos filios Dei secundum substantiam dico: nec enim dico duos ex substantia Dei, cum dico Deum Verbum ante sæcula habitasse in genito ex semine David. »

Ejusdem ex eodem libro.

« Gratia Filius homo ex Maria natus; natura autem Deus Verbum: illud gratia et non natura; hoc autem natura et non gratia. Sufficiet corpori ex nostro genere filiatio secundum gratiam, gloria, immortalitas; et quod templum Dei Verbi factum est, ne elevetur supra naturam; et Deus Verbum loco actionis gratiarum quam debemus, ne contumelia afficiatur: et quæ contumelia, componere eum cum corpore, et existimare opus illi esse corpore ad perfectam filiationem? Nec enim ipse Deus Verbum vult esse filius David, sed Dominus. Corpus vero vocari filium David non modo non invidit, sed propter hoc venit. »

Et post alia: « Et quando de generationibus secundum naturam fuerit sermo, ne filius Mariæ putetur Deus Verbum; mortalis enim mortalem generat secundum naturam, et corpus generat consubstantiale. Et duas generationes Deus Verbum non sustinebat, unam ante sæcula, alteram posterioribus temporibus. »

Ejusdem Diodori ex eodem libro.

« Si quis voluerit Filium Dei Deum Verbum nominare καταχρηστικῶς, id est per abusionem, filium David propter templum Verbi Dei ex David, nominet: et genitum ex semine David Filium Dei gratia, et non natura vocet: non ignorans patres naturales, nec ordinem pervertens, neque dicens incorporeum, et ante sæcula esse ex Deo et David, passum et impassibilem. »

Ejusdem ex eodem libro.

« Filius Dei propter nullum; natura enim Filius; caro Filius propter Filium; et quid dico propter Filium? Propter nos caro. Et ne existimetis blasphemum esse verbum, petite demonstrationes. Si homines non peccassent, non opus fuisset lege: *Justo* (enim) *non est posita lex* [41]. Si non auxissent peccatum qui erant in lege, non opus fuisset gratia. Nonne quia non poterat lex peccatum occidere, nonne propter nos carnem sumpsit, ut morti et sententiæ mortis remedium afferret crucifixus et mortuus, ac suscitatus? Si non fecisset progressum fallacia, et sententia mortis contra nos, quid opus erat ista crucis œconomia? Quid opus erat induere corpus? Nonne propter nos carnem accepit? »

Sed tempus jam vocat nos, ut primum parentem hujus impietatis a quo semina acceperunt, in medium afferamus. Hic est Paulus, zizanium diaboli

[41] I Tim. I, 9.

A μοι· Δύο οὖν υἱοὺς κηρύττεις; Δύο υἱοὺς τοῦ Δαβὶδ οὐ λέγω· μὴ γὰρ εἶπον τὸν Θεὸν Λόγον υἱὸν Δαβίδ· ἀλλ' οὐδὲ δύο υἱοὺς τοῦ Θεοῦ κατ' οὐσίαν λέγω· μὴ γὰρ δύο φημὶ ἐκ τῆς τοῦ Θεοῦ οὐσίας, τὸν πρὸ αἰώνων Θεὸν Λόγον λέγων κατῳκηκέναι ἐν τῷ ἐκ σπέρματος Δαβίδ. »

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

« Χάριτι Υἱὸς ὁ ἐκ Μαρίας ἄνθρωπος, φύσει δὲ ὁ Θεὸς Λόγος· τὸ μὲν χάριτι καὶ οὐ φύσει, τὸ δὲ φύσει καὶ οὐ χάριτι· ἀρκέσει τῷ ἐξ ἡμῶν σώματι, τὸ τῆς κατὰ χάριν υἱότητος, τὸ τῆς δόξης, τὸ τῆς ἀθανασίας· ὅτι ναὸς τοῦ Θεοῦ Λόγου γέγονεν, μὴ ὑπὲρ φύσιν ἀναγέσθω· καὶ ὁ Θεὸς Λόγος ἀντὶ τῆς παρ' ἡμῶν ὀφειλομένης εὐχαριστίας μὴ ὑβριζέσθω. Καὶ
B τίς ἡ ὕβρις τοῦ συντιθέναι αὐτὸν μετὰ τοῦ σώματος, καὶ δεῖσθαι νομίζειν εἰς τελείαν υἱότητα τοῦ σώματος; οὐδὲ αὐτὸς ὁ Θεὸς Λόγος βούλεται ἑαυτὸν τοῦ Δαβὶδ εἶναι υἱὸν, ἀλλὰ Κύριον. Τὸ δὲ σῶμα καλεῖσθαι τοῦ Δαβὶδ Υἱὸν, οὐ μόνον οὐκ ἐφθόνησεν, ἀλλὰ καὶ διὰ τοῦτο παραγέγονεν. »

Καὶ μεθ' ἕτερα· « Καὶ περὶ τῶν κατὰ φύσιν γεννήσεων ὅτ' ἂν ᾖ λόγος, μὴ τῆς Μαρίας υἱὸς ὁ Θεὸς Λόγος ὑποπτευέσθω· θνητὸς γὰρ θνητὸν γεννᾷ κατὰ φύσιν, καὶ σῶμα τὸ ὁμοούσιον. Καὶ δύο γεννήσεις ὁ Θεὸς Λόγος οὐχ ὑπέμεινε, τὴν μὲν πρὸ αἰώνων, τὴν δὲ ἐν ὑστέροις καιροῖς. »

Τοῦ αὐτοῦ Διοδώρου ἐκ τοῦ αὐτοῦ Λόγου.

C « Εἴ τις βούλοιτο καταχρηστικῶς, καὶ τὸν Υἱὸν τοῦ Θεοῦ τὸν Θεὸν Λόγον, υἱὸν Δαβὶδ ὀνομάζειν, διὰ τὸν ἐκ Δαβὶδ τοῦ Θεοῦ Λόγου ναὸν, ὀνομαζέτω· καὶ τὸν ἐκ σπέρματος Δαβὶδ Υἱὸν τοῦ Θεοῦ χάριτι καὶ οὐ φύσει προσαγορευέτω, τοὺς φυσικοὺς πατέρας οὐκ ἀγνοῶν, οὐδὲ τὴν τάξιν ἀνατρέπων, οὐδὲ τὸν ἀσώματον λέγων καὶ πρὸ αἰώνων ἐκ Θεοῦ καὶ ἐκ Δαβὶδ, καὶ πεπονθότα καὶ ἀπαθῆ. »

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

« Ὁ Υἱὸς τοῦ Θεοῦ, δι' οὐδένα· φύσει γὰρ Υἱός· ἡ σὰρξ Υἱὸς, διὰ τὸν Υἱόν· καὶ τί λέγω διὰ τὸν Υἱόν; δι' ἡμᾶς ἡ σάρξ· καὶ μὴ νομίσητε βλάσφημον τὸ ῥῆμα· ἀλλὰ ἀπαιτήσατε τὰς ἀποδείξεις. Εἰ μὴ ἔπταισαν οἱ ἄνθρωποι, μὴ χρεία ἦν νόμου· *Δικαίῳ*
D *γὰρ, νόμος οὐ κεῖται.* Εἰ μὴ ἐπέτειναν τὴν ἁμαρτίαν οἱ ἐν νόμῳ, μὴ χρεία ἦν τῆς χάριτος. Οὐχ, ἐπειδὴ οὐκ ἐδύνατο ὁ νόμος ἀποκτεῖναι τὴν ἁμαρτίαν, [οὐχὶ] δι' ἡμᾶς [σάρκα] ἔλαβεν, ἵνα τὸν θάνατον καὶ τὴν ἀπόφασιν τοῦ θανάτου ἀνακαλέσηται, σταυρωθεὶς καὶ ἀποθανὼν καὶ ἀναστάς; Εἰ μὴ ἀπάτη προκεχωρήκει, καὶ ἡ ἀπόφασις τοῦ θανάτου καθ' ἡμῶν, τίς χρεία ἦν τῆς οἰκονομίας ταύτης τοῦ σταυροῦ; τίς χρεία τῆς ἐνσωματώσεως; οὐ δι' ἡμᾶς ἔλαβε τὴν σάρκα; »

Καιρὸς δὲ ἤδη καλεῖ, καὶ τὸν πρῶτον αὐτῶν τῆς ἀσεβείας πατέρα, παρ' οὗ καὶ τὰ σπέρματα ταύτης δεξάμενοι ἔτυχον, εἰς μέσον τῷ λόγῳ παρ-

αγαγεῖν. Παῦλος δὲ οὗτός ἐστιν, τὸ ἐκ Σαμοσάτων βλαστῆσαν πικρὸν τοῦ διαβόλου ζιζάνιον. Ἀλλὰ γὰρ καὶ Νεστορίου, τοῦ τελευταίου τῆς πρώτης ῥίζης ἀθεωτάτου βλαστήματος, τὸν φθοροποιὸν καρπὸν στηλιτεῦσαι δίκαιον· ἵνα ἐν τοῖς ἄκροις ἡ τῶν μέσων περιφανὴς καὶ βλάσφημος ξυνωρὶς, τῶν ἀμφὶ τὸν Διόδωρον, φημὶ, καὶ Θεόδωρον, συνηρμοσμένη γνωσθείη. Ἴσως ἀνανῆψαι τῆς μέθης κἂν ὀψὲ γοῦν δυνηθήσονται, ἅπαξ μαθόντες, πρὸς τίνας αὐτοῖς καὶ ἡλίκους τῶν κακῶν πατέρας ἐστὶν ἡ πρώτη συγγένεια, καὶ ὡς ἐξ ἐκείνων διὰ τῶν ἐν μέσῳ ὁ τελευταῖος οὗτος τῆς ἀσεβείας ἐξέφυ κλάδος· οὗ τὸν καρπὸν ἄρδην σπάσαντες, ἐμφορεῖσθαι ἐπείγονται. Ἔστι δὲ ὁ προκείμενος ἀμφοτέρων, Παύλου, φημὶ, καὶ Νεστορίου, ἔλεγχος, ἐκ τῆς διαμαρτυρίας τῆς δημοσίᾳ προτεθείσης, ὥς φασι, παρὰ Εὐσεβίου τοῦ τηνικαῦτα ἐν τῇ δικανικῇ ἐμπρέποντος, ὕστερον δὲ τῆς Δορυλαέων ἐπιστεύθη τοὺς οἴακας· καὶ ζῆλον ἔχων, ὡς μαρτυρεῖται, θεῖον, πρῶτος τήν τε αὐτοῦ Νεστορίου, καὶ μέντοι καὶ Εὐτυχοῦς, πεφώρακέ τε καὶ ἐξήλεγξεν αἵρεσιν, μετὰ μυρίων τῶν ὑπὲρ τῆς εὐσεβείας κινδύνων. Ἄκουε γοῦν αὐτοῦ οἵαις καὶ ὅσαις τῶν ἐκ τοῦ Σαμοσατέως βλασφημιῶν συλλογαῖς τὰς Νεστορίου συνήρμοσε, καὶ ἓν ἀμφοτέρων ἔδειξε τὸ ἀφρονέστατον φρόνημα. Εἰ δέ τι ἀπᾴδει τῶν Σειρηναίων τούτων μελῳδιῶν, τὸ Θεοδώρου καὶ Διοδώρου, θανατηφόρον ᾆσμα τοῖς ἀκινδύνως ἐπαΐειν δεδυνημένοις καὶ κρίνειν ἐπιτρέπομεν.

A amarum, Samosatis ortum. Imo et Nestorii qui fuit postremus illius radicis surculus, fructum pestilentem oportet publice vituperare, ut inter extrema par illustre et blasphemum duorum interjectum, Diodorum dico et Theodorum, apte et apposite locatum noscatur. Fortasse sero tandem poterunt ab ebrietate ad sobrietatem redire, si semel intellexerint ad quos et quantos malorum suorum patres eorum prima cognitio pertineat; et quod ex illis hic postremus per intermedios ramus impietatis natus est, cujus fructum certatim metentes, satiari properant. Est autem proposita utriusque confutatio, Pauli scilicet et Nestorii, ex testimonio publice proposito, ut aiunt, ab Eusebio (58), qui tunc florebat in judicandi potestate, postea autem præfe- B ctus fuit Ecclesiæ Dorylensium, qui divino zelo, ut testantur, incensus primus hæresim Nestorii et Eutychis deprehendit, et convicit, infinitis periculis pro pietate objectus Audi igitur eum, quibus, et cujusmodi blasphemiis ex Paulo Samosatensi collectis, Nestorii blasphemias conjunxit, et unam utriusque mentem amentissimam esse demonstravit. An vero et ab harum Sirenum cantibus, Theodori dico et Diodori, canticum mortiferum discrepet, iis qui sine periculo audire et judicare possunt, judicium committimus.

Διαμαρτυρία προτεθεῖσα ἐν δημοσίῳ τόπῳ, καὶ κατὰ Ἐκκλησίαν ἐμφανισθεῖσα.

C

« Ὁρκίζω τὸν λαμβάνοντα τὸ χαρτίον, κατὰ τῆς ἁγίας Τριάδος, ὥστε φανερὸν αὐτὸ ποιῆσαι ἐπισκόποις, πρεσβυτέροις, διακόνοις, ἀναγνώσταις, λαϊκοῖς, οἰκοῦσι Κωνσταντινούπολιν· ἔτι τε καὶ τὸ ἴσον αὐτοῖς ἐκδοῦναι, πρὸς ἔλεγχον τοῦ αἱρετικοῦ Νεστορίου, ὅτι ὁμόφρων ἐστὶ τοῦ ἀναθεματισθέντος Παύλου τοῦ Σαμοσατέως πρὸ ἐτῶν ἑκατὸν ἑξήκοντα ὑπὸ ὀρθοδόξων ἐπισκόπων. Ἔστι δὲ τὰ παρ' ὁποτέρων εἰρημένα οὕτως·

« Παῦλος εἶπεν· Μαρία τὸν Λόγον οὐκ ἔτεκεν. Νεστόριος συμφώνως εἶπεν· Οὐκ ἔτεκεν, ὦ βέλτιστε, Μαρία τὴν θεότητα. — Παῦλος εἶπεν· Οὐδὲ γὰρ ἦν πρὸ αἰώνων. Νεστόριος εἶπεν· Καὶ μητέρα χρονικὴν τῇ δημιουργῷ τῶν χρόνων ἐφιστῶσι θεότητι. — Παῦλος εἶπεν· Μαρία τὸν Λόγον ὑπεδέξατο, καὶ οὐκ ἔστι πρεσβυτέρα τοῦ Λόγου. Νεστόριος εἶπεν· Πῶς οὖν Μαρία τὸν ἑαυτῆς ἀρχαιότερον ἔτεκεν; — Παῦλος εἶπεν· Μαρία ἔτεκεν ἄνθρωπον ἡμῖν ἴσον. Νεστόριος εἶπεν· Ἄνθρωπος ὁ τεχθεὶς ἐκ παρθένου. — Παῦλος εἶπεν· Κρείττονα δὲ κατὰ πάντα, ἐπειδὴ ἐκ Πνεύματος ἁγίου, καὶ ἐξ ἐπαγγελιῶν, καὶ ἐκ τῶν γεγραμμένων ἡ ἐπ' αὐτῷ χάρις. Νεστόριος εἶπεν· *Τεθέαμαι* γὰρ, φησὶν, τὸ *Πνεῦμα καταβαῖνον* ὡς περι-

Testimonium in loco publico propositum et in Ecclesia publicatum.

« Adjuro eum qui hanc chartam acceperit, per sanctam Trinitatem, ut ostendat episcopis, presbyteris, diaconis, lectoribus, laicis habitantibus Constantinopoli, adhuc etiam, ut exemplum ejus det illis ad confutationem Nestorii hæretici, quod sentit idem cum Paulo Samosatensi anathematizato ante annos centum sexaginta ab episcopis orthodoxis. Sunt autem, quæ ab utroque dicta sunt, hæc :

« Paulus dixit : Maria non peperit Verbum. Nestorius consentiens dixit : Non peperit, o bone, Maria divinitatem. Paulus dixit : Nec enim erat ante sæcula. Nestorius dixit : Et matrem ex tempore attribuunt Deo auctori temporum. Paulus dixit : D Maria Verbum suscepit, et non est senior Verbo. Nestorius dixit : Quomodo igitur Maria antiquiorem se peperit? Paulus dixit : Maria peperit hominem nobis æqualem. Nestorius dixit : Homo qui natus est ex virgine. Paulus dixit : Præstantiorem in omnibus, quia ex Spiritu sancto et ex promissionibus, et ex scriptis gratia in ipso. Nestorius dixit : *Vidi* enim, inquit, *Spiritum descendentem tanquam columbam et manentem super eum* [42].

[42] Joan. I, 32.

(58) *Ab Eusebio.* Hujus Eusebii celebris mentio est passim apud veteres, maxime in concilio Chalcedonensi, Act. 1. Indefessus Nestorii et Eutychis oppugnator fuit. Tur.

quod ei donavit assumptionem. *Præcipiens apostolis*, ait, *quos elegit per Spiritum sanctum, assumptus est* [43]; hunc dico Spiritum, qui tantam Christo largitus est gratiam. Paulus dixit : Ne autem ex David unctus, alienus sit a sapientia, neque sapientia in alio sic habitet : etenim in prophetis erat, magis autem in Mose et in multis dominis, magis autem in Christo tanquam in templo. Et alibi dicit, alium esse Jesum Christum, et alium Deum Verbum. Nestorius dixit, non esse possibile eum qui est ante sæcula, aliud genitum esse, idque divinitate. »

Ecce aperte dicit Nestorius : Non est natus ex Maria, qui est genitus ex Patre. Ecce convenit cum Paulo hæretico, qui ait alium esse Verbum, et alium Jesum Christum, et non unum, ut fides recta prædicat. Hactenus testimonium.

Pauli Samosatensis.

« Homo ungitur : Verbum non ungitur. Nazaræus ungitur, Dominus non ungitur. Etenim Verbum majus erat Domino Christo. Christus enim per sapientiam magnus factus est ; Verbum autem ἄνωθεν, id est de supernis : Jesus autem Christus homo hinc. Maria Verbum non peperit, nec enim erat ante sæcula Maria : non est senior Verbo Maria ; sed hominem nobis æqualem peperit, præstantiorem vero in omnibus, quia ex Spiritu sancto. »

Ejusdem ex dialogo contra Malchionem.

« Ut nec unctus ex David alienus sit a sapientia ; neque sapientia in alio sic habitet. »

Ejusdem.

« Qui videbatur, non erat sapientia : non enim poterat reperiri in figura, sive habitu, nec in spectatione viri : major enim est iis quæ spectantur. »

Nestorii.

« Magna res fuit Virgini Christiparæ parere humanitatem, divinitatis Dei Verbi organum ; quod satis ei erat ad honorem excellentem, genuisse scilicet mediatorem dignitati Dei copulatum. »

Hæc nos pauca ex multis contulimus et comparavimus, ut ostenderemus consensionem et convenientiam horum cum antiquis hæreticis eorum patribus. Potest qui voluerit, legere epistolam encyclicam scriptam contra Paulum Samosatensem a sancta synodo depositum, et dialogum quem contra eum Malchion presbyter disputans scripsit. Certo enim cognoscet, quam verus illius discipulus sit Theodorus ; fere enim eisdem verbis utitur, ut horum libri non scripti, sed transcripti videantur ; vel potius illa Pauli translata a Theodoro in sua. Quomodo autem de unione sancti Patres, et Ecclesiæ sanctæ quas gubernabant, a principio senserint,

[43] Act. I, 2.

A *στερὸν, καὶ μένον ἐπ' αὐτὸν*, τὸ τὴν ἀνάληψιν αὐτῷ χαρισάμενον. *Ἐντειλάμενος τοῖς ἀποστόλοις*, φησὶν, *οὓς ἐξελέξατο διὰ Πνεύματος ἁγίου, ἀνελήφθη*· τοῦτο δὴ τὸ τηλικαύτην τῷ Χριστῷ χαρισάμενον δόξαν. — Παῦλος εἶπεν· Ἵνα δὲ μήτε ὁ ἐκ Δαβὶδ χρισθεὶς, ἀλλότριος ᾖ τῆς σοφίας, μηδὲ ἡ σοφία ἐν ἄλλῳ οὕτω οἰκῇ· καὶ γὰρ ἐν τοῖς προφήταις ἦν, μᾶλλον δὲ ἐν Μωσῇ καὶ ἐν πολλοῖς κυρίοις, μᾶλλον δὲ ἐν Χριστῷ ὡς ἐν ναῷ. Καὶ ἀλλαχοῦ λέγει ἄλλον εἶναι τὸν Ἰησοῦν Χριστὸν, καὶ ἄλλον τὸν Θεὸν Λόγον. Νεστόριος εἶπεν μὴ ἐγχωρεῖν τὸν πρὸ πάντων τῶν αἰώνων, ἄλλο ἅπαξ γεννηθῆναι, καὶ ταῦτα θεότητι. »

Ἰδοὺ δέδεικται σαφῶς λέγων ὁ παραβάτης, Οὐκ ἐτέχθη ἐκ Μαρίας ὁ γεννηθεὶς ἐκ Πατρός. Ἰδοὺ B συναινεῖ τῷ αἱρετικῷ Παύλῳ λέγοντι, ἄλλον εἶναι τὸν Λόγον, καὶ ἄλλον τὸν Χριστὸν Ἰησοῦν, καὶ οὐχὶ ἕνα, ὡς ἡ ὀρθοδοξία κηρύσσει. Ἕως ὧδε ἡ διαμαρτυρία.

Παύλου Σαμοσατέως.

« Ἄνθρωπος χρίεται, ὁ Λόγος οὐ χρίεται· ὁ Ναζωραῖος χρίεται, [οὐχ] ὁ Κύριος ἡμῶν. Καὶ γὰρ ὁ Λόγος μείζων ἦν τοῦ Χριστοῦ. Χριστὸς γὰρ διὰ σοφίας μέγας ἐγένετο· Λόγος μὲν γὰρ ἄνωθεν, Ἰησοῦς δὲ Χριστὸς ἄνθρωπος ἐντεῦθεν. Μαρία τὸν Λόγον οὐκ ἔτεκεν· οὐδὲ γὰρ ἦν πρὸ αἰώνων ἡ Μαρία· οὐκ ἔστι πρεσβυτέρα τοῦ Λόγου Μαρία, ἀλλὰ ἄνθρωπον ἡμῖν ἴσον ἔτεκεν, κρείττονα δὲ κατὰ πάντα, ἐπειδὴ ἐκ Πνεύματος ἁγίου. »

C ***Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Μαλχίωνα διαλόγου.***

« Ἵνα μήτε ὁ ἐκ Δαβὶδ χρισθεὶς ἀλλότριος ᾖ τῆς σοφίας, μήτε ἡ σοφία ἐν ἄλλῳ οὕτως οἰκῇ. »

Τοῦ αὐτοῦ.

« Ὁ φαινόμενος οὐκ ἦν σοφία· οὐ γὰρ ἠδύνατο ἐν σχήματι εὑρίσκεσθαι, οὐδὲ ἐν θέᾳ ἀνδρός· μείζων γὰρ τῶν ὁρωμένων ἐστίν. »

Νεστορίου.

« Μέγα τῇ Χριστοτόκῳ Παρθένῳ τὸ τεκεῖν ἀνθρωπότητα, τῆς τοῦ Θεοῦ Λόγου θεότητος ὄργανον· ἀρκοῦν αὐτῇ πρὸς τιμὴν ὑπεραίρουσαν τὸ γεννῆσαι μεσίτην τῇ τοῦ Θεοῦ συνημμένον ἀξίᾳ. »

D Ταῦτα ἡμεῖς ὡς ὀλίγα ἐκ τῶν πολλῶν ἀντιπαρατεθείκαμεν, τὴν ἐν τῷ κακῷ συμφωνίαν πρὸς τοὺς παλαιοὺς τῶν αἱρετικῶν πατέρας τούτων παραστῆσαι βουλόμενοι. Ἔξεστι δὲ τῷ θέλοντι ἐντυχεῖν τῇ κατὰ τοῦ Σαμοσατέως γραφείσῃ ἐγκυκλίῳ ἐπιστολῇ, τῆς αὐτὸν καθελούσης ἁγίας συνόδου, καὶ μέντοι καὶ τῷ διαλόγῳ ὃν πρὸς αὐτὸν ὁ πρεσβύτερος Μαλχίων ἐνεστήσατο. Γνώσεται γὰρ ἀσφαλῶς, ὡς γνήσιοι ἐκείνου τυγχάνουσι μαθηταὶ οἱ περὶ Θεόδωρον· σχεδὸν γάρ τι καὶ διὰ τῶν αὐτῶν χωροῦσι λέξεων· ὡς μὴ συγγραφὴν δοκεῖν εἶναι τὰ τούτων συντάγματα, ἀλλὰ μεταγραφὴν μᾶλλον, τὰ ἐκείνου εἰς τὰ οἰκεῖα μεταβαλλόντων. Ὅπως δὲ ἐφρόνησαν

περὶ τῆς ἑνώσεως, οἱ ἀπ' ἀρχῆς ἅγιοι Πατέρες, αἵ τε ὑπ' αὐτῶν κυβερνώμεναι ἁγιώταται Ἐκκλησίαι, ἐκ τῆς κατὰ τοῦ Σαμοσατέως γενομένης ἁγίας συνόδου, καὶ τῆς ἐγκυκλίου αὐτῶν ἐπιστολῆς σαφῶς ἔστι γνῶναι· ἐν οἷς πρὸς τοῖς ἄλλοις καὶ ταῦτα αὐτοῦ κατηγοροῦσιν αὐταῖς λέξεσι· « Φησὶ τοίνυν ἐν τοῖς ὑπομνήμασιν, ὡς περὶ Παύλου λέγοντες) τηρεῖν τὸ ἀξίωμα τῆς σοφίας. »

Καὶ μεθ' ἕτερα· « Εἰ δὲ κατὰ τὴν σύστασιν καὶ γένεσιν συνῆπτο, τῷ ἀνθρώπῳ τοῦτο συμβαίνειν. » *Καὶ πάλιν·* « Οὐ γὰρ συγγεγενῆσθαι τῷ ἀνθρωπίνῳ τὴν σοφίαν, ὡς ἡμεῖς πιστεύομεν οὐσιωδῶς, ἀλλὰ καὶ κατὰ ποιότητα. »

Καὶ μεθ' ἕτερα· « Τί δὲ βούλεται καὶ τὸ ἑτέραν φάσκειν τὴν κατασκευὴν τοῦ Ἰησοῦ Χριστοῦ τῆς ἡμετέρας; ἡμῶν ἐνὶ μεγίστῳ δὴ τούτῳ διαφέρειν αὐτοῦ τὴν σύστασιν ἀξιούντων, τὸ τὸν Θεὸν Λόγον ἐν ἑαυτῷ εἶναι, ὅπερ ἐν ἡμῖν ὁ ἔσω ἄνθρωπος. »

Καὶ μεθ' ἕτερα· « Εἰ τὸ ἐνοικῆσαι ἐν αὐτῷ τὴν σοφίαν λέγειν, ὡς ἐν οὐδενὶ ἄλλῳ· τοῦτο γὰρ τὸν μὲν τρόπον τῆς ἐνοικήσεως τὸν αὐτὸν δηλοῖ, μέτρῳ δὲ καὶ πλήθει ὑπερφέρει, οἷον διπλάσιον, ἢ καὶ ὁπωσδήποτε πλεῖον ἢ ἔλασσον τοῦ διπλασίου, γινώσκοντος αὐτοῦ ἀπὸ τῆς σοφίας, ἢ οἱ ἄλλοι. Τοῦτο δὲ οὐκ ἀξιοῦσιν οἱ καθολικοὶ καὶ ἐκκλησιαστικοὶ κανόνες, ἀλλ' ἐκείνους μὲν μετεσχηκέναι σοφίας ἐμπνεούσης ἔξωθεν, καὶ ἄλλης οὔσης παρ' αὐτοῖς· αὐτὴν δὲ τὴν σοφίαν δι' ἑαυτῆς ἐπιδεδημηκέναι οὐσιωδῶς ἐν τῷ ἐκ Μαρίας σώματι. »

Καὶ μεθ' ἕτερα· Καίτοι φησὶ, μὴ δύο ὑφίστασθαι υἱούς. Εἰ δὲ Υἱὸς ὁ Ἰησοῦς Χριστὸς τοῦ Θεοῦ, υἱὸς δὲ καὶ ἡ σοφία, καὶ ἄλλο μὲν ἡ σοφία, ἄλλο δὲ Ἰησοῦς Χριστὸς, δύο ὑφίστανται υἱοί.

Καὶ μεθ' ἕτερα· « Τὴν δὲ συνάφειαν ἑτέρως πρὸς τὴν σοφίαν νόει, κατὰ μάθησιν καὶ μετουσίαν, οὐχὶ οὐσίαν οὐσιωμένην ἐν σώματι. »

Καὶ μεθ' ἕτερα· « Οὔτε δὲ τῶν ἀνθρωπίνων προηγουμένως παθῶν ἀμέτοχος ἦν, ὁ φορέσας καὶ ἐνδυσάμενος τὸ ἀνθρώπινον Θεός· οὔτε τῶν θείων προηγουμένως ἔργων ἄμοιρον τὸ ἀνθρώπινον ἐν ᾧ ἦν, καὶ δι' οὗ ταῦτα ἐποίει. Ἐπλάσθη προηγουμένως ὡς ἄνθρωπος ἐν γαστρὶ, καὶ κατὰ δεύτερον λόγον Θεὸς ἦν ἐν γαστρὶ, συνουσιωμένος τῷ ἀνθρωπίνῳ. »

Ἐκ τῶν περὶ αὐτοῦ πεπραγμένων πρὸς αὐτὸν παρὰ Μαλχίωνος, ἀντίῤῥησις.

« Οὐ πάλαι τοῦτο ἔλεγον, ὅτι οὐ δίδως οὐσιῶσθαι ἐν τῷ ὅλῳ Σωτῆρι τὸν Υἱὸν τὸν μονογενῆ, τὸν πρὸ πάσης κτίσεως ἀϊδίως ὑπάρχοντα; »

ex sancta synodo contra Paulum Samosatensem habita, clare licet cognoscere, in quibus præter alia, de his eum accusant his verbis : « Ait igitur in commentariis (de Paulo loquuntur), servare dignitatem sapientiæ. »

A *Et post alia :* « Si autem secundum formationem et gubernationem copulatus erat, homini hoc accidere. » *Et rursus :* « Non enim congeneratam fuisse cum humanitate sapientiam, ut nos credimus, substantialiter, sed secundum qualitatem. »

Et post alia : « Quid autem vult dicere aliam esse et diversam formationem Christi a nostra? volentibus nobis in hac maxima una re differre ipsius constitutionem a nostra, quod scilicet in ipso sit Verbum quod in nobis homo interior (60). »

Et postea : « Si dicere habitasse in eo sapientiam, sicut in nullo alio; hoc modum quidem inhabitationis eumdem declarat, mensura vero et multitudine excellit; verbi gratia, duplo plus, aut quomodocunque amplius, vel minus duplo quam alii, cognoscente ipso a sapientia. Hoc autem nolunt catholici et ecclesiastici canones, sed potius illos quidem participasse sapientiam foris inspirantem, quæ alia est apud ipsos; ipsam vero sapientiam per se ipsam substantialiter in corpus ex Maria venisse. » B

Et post alia : « Ac dicunt, non esse duos filios. Si autem Filius est Dei Jesus Christus, Filius vero etiam sapientia; et aliud est sapientia, et aliud Jesus Christus : duo sunt filii. »

Et postea : « Copulationem (61) vero cum sapientia aliter intellige secundum disciplinam et participationem; non autem secundum substantiam in corpore formatam. » C

Et post alia : « Neque Deus, qui corpus humanum ferebat et induerat, passionum humanarum principaliter expers erat; neque corpus humanum divinorum operum principaliter expers erat in eo in quo erat, et per quem hæc opera faciebat. Formatus est principaliter ut homo in ventre; et secundario (62) Deus erat in ventre συνουσιωμένος τῷ ἀνθρωπίνῳ, id est, copulata substantia ejus cum homine. »

Confutatio ex actis contra Paulum Samosatensem a Malchione.

« Nonne ante dicebam, quod non concedis Filium unigenitum qui est ex æternitate ante omnem creaturam, in toto Salvatore οὐσιῶσθαι, id est, unitum esse secundum substantiam? »

(60) Nos dicimus, quod homo exterior et interior sunt una persona : sic Deus Verbum et humanitas assumpta sunt una persona, quod negat hic Paulus. CAN.

(61) Συνάφειαν, humanitatem aiebat Paulus unitam esse cum sapientia, sicut disciplina unitur cum discente per participationem. ID.

(62) *Secundario* Κατὰ δεύτερον λόγον. TUR.

(Omittimus sequentia apud Leontium Nazianzeni, Nysseni, Athanasii, Cyrilli, Isidorique Pelusiotæ testimonia, quæ in eorum Operibus a nobis editis legi queunt.)

Sancti Ephræm ex Oratione in Margaritam contra Marcionem.

« Quæ vides et attrectas, sint tibi testimonium, natura scilicet quam nescis explicare, quod Filius sine semine nascitur, et duo contraria secundum substantiam conspirarunt ostensa hypostasi in unaquaque natura. »

Arbitror per omnia demonstratum esse, opinionem Theodori et sectatorum ejus eamdem esse quæ Pauli Samosatensis; et a sanctis Patribus differre, eisque adversari. Pendeat ex potestate legentium adhærere veritati, et dare huic, ut ferat præmium victoriæ.

A *Τοῦ ὁσίου Ἐφραὶμ ἐκ τοῦ λόγου τοῦ εἰς τὸν μαργαρίτην (62*) κατὰ Μαρκίωνος.*

« Ἃ βλέπεις καὶ ψηλαφᾷς, γενέσθω σοι μαρτυρία ἡ φύσις, ἣν εἰπεῖν οὐκ ἐπίστασαι, ὅτι Υἱὸς ἄνευ σπορᾶς γίνεται, καὶ δύο ὑπεναντία οὐσιωδῶς ὡμονόησαν, τῆς ὑποστάσεως δεικνυμένης ἐπὶ ἑκάστης φύσεως. »

Οἶμαι διὰ πάντων ἀποδεδεῖχθαι τὴν Θεοδώρου καὶ τῶν ἀμφ' αὐτὸν πρός τε τὸν Σαμοσατέα ὁμοδοξίαν, καὶ πρὸς τοὺς ἁγίους Πατέρας ἐναντίαν καὶ διάφορον γνώμην. Τῆς δὲ τῶν ἐντυγχανόντων ἠρτήσθω ἐξουσίας τῇ τε ἀληθείᾳ προσθέσθαι, καὶ δοῦναι ταύτῃ κατὰ τὸ ψεῦδος ἔχειν τὰ νικητήρια.

(62*) Sermonis hujus alia duo Græca fragmenta dedimus ex *Script. vet.* t. VII, p. 28 et 131.

MONITUM IN TRACTATUM CONTRA NESTORIANOS.

(ANG. MAI *Script. Veter Nova Collectio*, t. IX, p. XIII.)

Leontius patria Byzantinus, incolatu autem Hierosolymitanus, quippe in laura S. Sabæ prope sanctam urbem monachatum professus, ingenium suum, quo pollebat plurimo, contra præsertim Monophysitas ac Nestorianos, duas contrariæ sententiæ sectas, diu exercuit sæculo Christi desinente sexto, cujus zeli atque laboris testes exstant nonnulla opuscula in antiquis Canisii lectionibus obvia, quæ in Gallandii mox bibliotheca t. XII, cumulata fuerunt. Ego vero libris orientalium Ecclesiarum cognoscendis jamdiu addictus, ideoque erroribus, qui ab antiquis ipsarum doctoribus dictati sunt, peculiari studio eruendis intentus, Leontium sæpenumero ducem optimum expertus sum; cujus nunc tractatum nondum luce donatum contra Nestorianos, copiosum atque præclarum, nec tam aliena auctoritate pugnantem, quam proprii ratiocinii acumine convincentem, in præsenti volumine vulgandum suscepi. Nempe hoc opus in octo distinctum libros (quanquam ultimus deest) cunctas Nestorianorum adversus catholicum dogma objectiones complexum est, cum invictis Leontii nostri refutationibus. Agitur enim per contradictionem et Apologiam in I libro, *De conjunctione divinæ Verbi naturæ cum humana;* in II, *De unica Christi persona;* in III, *De unico Filio Christo;* in IV, *De Virgine deipara;* in V, *De Christo Deo et homine;* in VI, *De Christo non homine theophoro sed humanato Deo;* in VII, *De illo dicto: « Unus de S. Trinitate passus est in carne. »* In VIII, qui, ut dixi, desideratur, Nestorianorum impietas coarguebatur hypostaticam unionem negantium, alias vero nescio quas haud reapse uniones comminiscentium, puta honoris, dominationis, affectus, habitationis, quamlibet scilicet conjunctionem moralem, non hypostaticam et naturalem. Hæc enim est Nestoriani erroris summa, hæc virulenta vis hæreseos qua divina incarnatio pessumdatur, Christus revera deitate dijicitur, et de beatissima Maria Deum esse natum negatur. Namque, ut observat Justinianus imp. in theologica epistola (apud nos t. VII, p. 299), impius Nestorius aiebat: Οὐδαμοῦ τοίνυν ἡ θεία Γραφὴ Θεὸν ἐκ τῆς Χριστοτόκου παρθένου λέγει γεγεννῆσθαι. Tum postquam dixerat, sacris verbis utens, Moysen Pharaonis Deum, Israëlem Dei filium, Saulem et Cyrum Christos, sic horrende blasphemans concludebat: Οὕτω λέγομεν καὶ τὸν Δεσπότην Χριστὸν, καὶ Θεὸν, καὶ Υἱὸν, καὶ ἅγιον, καὶ Χριστόν.

Sane intererat scire, ex quibusnam nominatim sectæ discipulis aut doctoribus, tot objectiones Leontius hauserit; sed quia is nomina reticet, cogitandum est de plurimis illis Nestorianorum scriptoribus, quantum ætas patitur, quos recenset in Catalogo Chaldæus Ebediesus a cap. 59 et deinceps, cum Assemani appendice, in quo copiosissimo numero tractatores passim occurrunt, qui Nestorianum dogma de morali unione duplicique persona propugnant. Et quidem, ne forte miremur tantam in semibarbaris argumentorum subtilitatem, deprehendimus in dicto catalogo logicos tractatus varios, et aristotelicæ dialecticæ interpretationes. Est autem de Persis nominatim locus insignis chronographi Georgii hamartoli apud nos, p. 375: « Aiunt ipsos acute intelligere sermonum nexus et fallacias et involucra; et brevibus dictis eos quicum loquuntur convincere; etenim et syllogismi artem apprime callere dicuntur, et alienas

objectiones facile solvere, et proverbiis uti, ac sapientissimis ænigmatibus, quanquam reapse nullis philosophicis aut rhetoricis innutriti fuerint doctrinis, sed solam habeant naturam magistram. Indos autem multo adhuc sapientiores et acriore præditos ingenio aiunt. Quin adeo propinqui nostri nomades Ismaelitæ, multa ingenii sagacitate, intelligentiaque et solertia ornantur, mentemque acutam et calliditatem habent ad dignoscendam potissimum veritatem, falsitatem coarguendam, et a meliore deterius distinguendum. » Sed et Græcæ linguæ Nestoriani multi fuere auctores : est enim exploratum, Orientales ex Græcis urbibus errorem suum in patriam comportavisse : ex quo enim in concilio Ephesino discidium accidit Orientalium episcoporum Joanni Antiocheno contra sanctum Cyrillum faventium, indidem scilicet prima veriorque Nestorianismi apud Orientales origo repetenda est. Scilicet dum Nestoriani non obtemperant Ephesinæ synodo, et paulo post Eutychiani seu Monophysitæ rejiciunt ac detestantur Chalcedonensem, duæ teterrimæ hæreses radices suas altius egerunt totumque Orientem ad hanc usque diem contaminarunt. Adeo dissidere ab Ecclesia exitiosum est! Scio equidem, inter hæreseos primipilos, sanctosque, ut miseri Chaldæi vocant, doctores numerari antiquiores homines Diodorum Tarsensem et Theodorum Mopsuestenum, quorum cum Nestorio celebrem in menæis atque liturgia commemorationem festumque agunt; verumtamen Diodorus quidem in Ecclesiæ pace mortuus est; quare hujus damnantur scripta a Catholicis, non persona : Theodorus æque præmortuus erat damnationi Nestorii et Ephesino concilio. Attamen ex eo discidii tempore, schola Edessena, ubi utraque lingua, Græca scilicet et Aramæa, audiebatur, Nestoriano contagio, quod diu retinuit, infecta est, ut narrant Theodorus Lector aliique auctores apud Assemanum, *Bibl. Or.*, t. III part. II, p. 926, conversis ibi in vernaculum idioma Diodori atque Theodori multis libris, donec ejus corruptæ scholæ parietes, Zenone imp. jubente, diruti sunt, ibique templum S. Mariæ Deiparæ substitutum. Quod si Chaldæi Nestorianum nomen sibi affingi indignantur (teste etiam apud me Ebediesu in tomo X), rem tamen ipsam retinent; Græci autem et Ægyptii, seu catholici seu Monophysitæ, propter notissimum sibi Nestorii nomen, Orientalibus ejusdem erroris asseclis appellationem, ut fit, famosæ apud se hæreseos indiderunt. Nestoriani certe Cyrillo in primis, jam inde a concilio Ephesino, valde succensent, quem *Ægyptium* contemptim vocant : namque et apud Leontium nostrum, pag. 465, non Severus sed Cyrillus intelligendus est in hac sententia : Ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι, βοᾷ ὁ Θεός· Σαρκὶ καθ' ὑπόστασιν ἥνωται ὁ Λόγος, βοᾷ ὁ Αἰγύπτιος· ὁ δεχόμενος τὸν Κύριλλον ἀληθεύσαντα, ψεύστην ποιεῖ τὸν Θεόν· *Ego sum, et non immutor, clamat Deus. Carni secundum hypostasim unitum est Verbum, clamat Ægyptius. Igitur qui Cyrillum ceu vera dicentem recipit mendacem facit Deum.* (Quo loco librum quoque Severi celebrem, Φιλαλήθη inscriptum, seu *Cyrillum*, simul innui, non est incredibile.) Cui objectioni (quam hic dilui æquum est) sic respondet, similitudine utens Leontius : Εἰ ἡ ἕνωσις, ἀλλοίωσίς ἐστιν ἁπλῶς, πᾶσα ψυχὴ ἑνωθεῖσα σώματι ἠλλοίωται· *Atqui si unio, perinde est simpliciter ac immutatio, omnis anima corpori unita immutatur.* Sed enim plura de Leontii opere non sum dicturus, quod cum peracutorum ratiociniorum thesaurus sit, conferri ad compendium nequit; ideoque id opus a Nestorianæ pravitatis curiosis indagatoribus, et a theologiæ præsertim doctoribus assidua manu versandum est.

ΤΟΥ ΠΑΝΣΟΦΟΥ ΜΟΝΑΧΟΥ

ΚΥΡ ΛΕΟΝΤΙΟΥ

ΤΟΥ ΙΕΡΟΣΟΛΥΜΙΤΟΥ

ΚΑΤΑ ΤΩΝ ΔΥΟ ΤΑΣ ΥΠΟΣΤΑΣΕΙΣ ΧΡΙΣΤΟΥ ΛΕΓΟΝΤΩΝ, ΤΗΝ ΔΕ ΟΙΑΝΟΥΝ ΣΥΝΘΕΣΙΝ ΕΠ' ΑΥΤΟΥ ΟΥΧ ΟΜΟΛΟΓΟΥΝΤΩΝ.

SAPIENTISSIMI MONACHI

D. LEONTII HIEROSOLYMITANI

ADVERSUS EOS QUI DUAS AFFIRMANT CHRISTI PERSONAS, NULLAMQUE IN IPSO CONJUNCTIONEM CONFITENTUR.

(Ang. Mai. *Scriptor. vet. nov. Collectio*, t. IX, p. 410.)

LIBER PRIMUS.

PROOEMIUM.

A Hic nobis sese offert anceps opinio vel potius lingua dividens, cujus pars cum infidelibus ponetur, cum advenerit Dominus ac Judex omnium, quæcunque adversus semetipsum locuti fuerint impii peccatores damnaturus, sicut scriptum est [1]; nisi tandem corde intelligant ut ad Dominum convertantur, atque (doctrinæ) errorem inter homines fateantur; propterea enim nos cæterum accusant ineffabilis divinæque unionis Verbi ad carnem *divisores*, adversumque nos obloquuntur qui œconomiam ipsius (Verbi) detrectant negantque qui ipsos redemit. Primo, unionem divinæ humanæque naturæ non recte docere; secundo, cum sint duæ hypostases Christi, secundum hypostasim unionem
B fieri non bene dicere, unamque ipsius hypostasim agnoscere; tertioque iterum, cum duo sint filii, male unum confiteri Filium esse Christum; quarto, false sanctam Virginem Matrem Dei appellare; quinto, non solum merum hominem natura scire Christum, sed etiam Deum; sexto, non deiferum hominem, sed Deum incarnatum scire Verbum; septimo, unum ex sancta Trinitate injuste passum

ΠΡΟΟΙΜΙΟΝ.

Ἐντεῦθεν ἡμῖν ἡ διχότομος δόξα, μᾶλλον δὲ ἡ διχότμητος γλῶσσα, κατεξανίσταται· ἧς τὸ μέρος μετὰ τῶν ἀπίστων τεθήσεται, ἥκοντος τοῦ Δεσπότου καὶ Κριτοῦ τῶν ἁπάντων ἐλέγξαι ὅσα ἐλάλησαν κατ' αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς, ὡς γέγραπται· ἐὰν ἄρα μὴ νοήσῃ τῇ καρδίᾳ ἐπιστραφῆναι πρὸς Κύριον, ἀναγγεῖλαί τε ἐν ἀνθρώποις τὴν ἑαυτῆς μέμψιν· ταυτὶ γὰρ ἡμῖν ἑτέρωθεν ἐγκαλοῦσιν οἱ τῆς ἀφράστου καὶ θεοπρεποῦς ἑνώσεως τοῦ Λόγου πρὸς τὴν σάρκα *διαιρέται*, καὶ τῆς καθ' ἡμᾶς οἰκονομίας αὐτοῦ ἀπαγορευταὶ, οἱ τὸν ἐξαγοράζοντα αὐτοὺς Θεὸν ἐξαρνούμενοί φασιν, πρῶτον μὲν, ὅτι οὐκ ὀρθῶς σύνθεσιν τῆς θείας καὶ ἀνθρωπείας φύσεως δοξάζομεν. Δεύτερον, ὅτι δύο οὐσῶν τῶν ὑποστάσεων Χριστοῦ, οὐ καλῶς καθ' ὑπόστασιν ἕνωσιν γενέσθαι λέγομεν, καὶ μίαν αὐτοῦ τὴν ὑπόστασιν γινώσκομεν. Καὶ τρίτον πάλιν, ὅτι δύο ὄντων υἱῶν, κακῶς ἕνα ὁμολογοῦμεν εἶναι Υἱὸν τὸν Χριστόν. Τέταρτον, ὅτι ψευδῶς Θεοτόκον τὴν ἁγίαν Παρθένον ὀνομάζομεν. Πέμπτον, ὅτι μὴ ψιλὸν ἄνθρωπον μόνον τῇ φύσει ἴσμεν Χριστὸν, ἀλλὰ καὶ Θεόν. Ἕκτον, ὅτι μὴ θεοφόρον ἄνθρωπον, ἀλλὰ Θεὸν ἐνανθρωπήσαντα ἴσμεν τὸν Λόγον,

[1] Matth. XII, 36.

Ἕβδομον, ὅτι ἀθέσμως τὸν ἕνα τῆς ἁγίας Τριάδος πεπονθέναι σαρκὶ κηρύττομεν. Ἐν ὀγδόῳ δὲ τῆς δυσσεβείας, τὴν καθ' ὑπόστασιν ἕνωσιν ἀρνούμενοι, ἀσυστάτους τινὰς ἑτέρας τερατεύονται. Ὅσα μὲν οὖν οὐκ ἀλόγως τοῖς λέγουσι τὴν μίαν τε φύσιν ὡς καὶ ὑπόστασιν ἐπὶ Χριστοῦ ἀπορήσοιεν, τούτων ἡμεῖς οὐχ ὑπεραπολογησόμεθα· τοῖς δὲ ἐν ἑκάστῳ τῶν προειρημένων κεφαλαίων ὑπ' αὐτῶν λεγομένοις καθ' ἡμῶν ἰδίως, τῶν μίαν μὲν τὴν ὑπόστασιν, δύο δὲ τὰς φύσεις Χριστοῦ τοῦ Κυρίου ἡμῶν ὁμολογούντων, ἐν δυνάμει αὐτοῦ τοῦ Θεοῦ ἡμῶν Χριστοῦ ὑπαντήσαντες, καὶ ταῦτα ἀνατρέψαντες, πᾶσαν αὐτῶν τὴν τοῦ δόγματος ὑπόθεσιν ἀσεβεστάτην διελέγξομεν. Ἐγκαλοῦσι δ' οὖν ἡμῖν, ὡς εἴρηται πρωτίστως, περὶ τῆς ὁμολογίας τῆς τῶν φύσεων συνθέσεως ἐπὶ τοῦ Δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ, καὶ λέγουσι τάδε·

A fuisse carne prædicare; octavo tandem isti impii, unionem secundum hypostasim diffitentes, quasdam alias non subsistentes effingunt. In his autem quæ non imperite dixerint unamque esse naturam quasi hypostasim in Christo esse ignorarent, nos non patrocinabimur; sed quæ ab illis in supradictis capitibus dicta sunt contra nos unam hypostasim duasque naturas Christi Domini nostri singulatim confitentes, in virtute ipsius Dei nostri Christi impugnantes, atque evertentes, omne eorum doctrinæ systema impiissimum confutabimus. Exprobrant autem nobis, ut primo dictum est, confessionem naturarum in Domino nostro Jesu Christo Deo, sicque loquuntur:

B

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

Πᾶν ὅ τι οὖν συντιθέμενον ἑτέρῳ, ἢ ὅλον ὅλῳ συντίθεται, ἢ μέρος μέρει, ἢ μέρος ὅλῳ· ἄλλως γὰρ σύνθεσιν λέγειν ἀδύνατον· ὅλον δὲ καὶ μέρος ἐπὶ τοῦ ἀπεριγράφου οὐ λέγεται· οὐκ ἄρα συνετέθη ὁ Θεὸς Λόγος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ ἀπερίγραφος ὑπάρχων· εἰ δὲ συνετέθη, καὶ ἐμμερὴς καὶ περιγραπτός ἐστιν, ὅπερ ἀσεβές. Πρῶτον μὲν οὖν οἱ πάντα τρόπον τῶν γινομένων ὑπὸ Θεοῦ συνθέσεων τῇ οἰκείᾳ γνώσει περιορίζοντες, πῶς λέγουσι πᾶν τὸ συντιθέμενον ἢ ὡς ὅλον ἢ ὡς μέρος συντίθεσθαι; Τὸ γὰρ αἰσθητὸν τόδε πᾶν, ἤγουν ὁ κόσμος ὁ ὁρατὸς, ἐν συνθέσει ἐστὶ δηλαδή· τί οὖν φασι, ἐξ ὅλων ἢ ἐκ μερῶν τινων εἶναι προϋπαρξάντων τούτου τὴν σύνθεσιν; ἢ μᾶλλον ἐκ μὴ ὄντων ὅλως συμπαγῆναι αὐτόν; Εἰ μὲν γὰρ ἔκ τινων προϋπαρξάντων ὅλων ἢ μερῶν κατ' ἀρχὰς γενέσθαι αὐτὸν οἴονται, τὴν οἰκείαν δόξαν γνωριζέτωσαν ἡμῖν, ἵνα εἰ οὕτως λέγωσιν, ὡς πρὸς Ἕλληνας λοιπὸν, καὶ οὐ περὶ τοῦ τρόπου τῆς οἰκονομίας διαφερομένους μόνον πρὸς ἡμᾶς, διαλεξώμεθα. Εἰ δὲ τῆς φιλονεικίας προκρίναντες τὴν εὐσέβειαν, ἐκ μὴ ὄντων φασὶ τὸν σύνθετον κόσμον γενέσθαι, ἀκούσονται ὅτι τὸ μὴ ὂν, οὔτε ὅλον οὔτε μέρος ἐστί. Πῶς οὖν, οὔτε ὅλου τινὸς οὔτε μέρους προϋπάρξαντος, ἡ σύνθεσις τοῦδε τοῦ παντὸς γέγονε κόσμου; Παντὸς συνθέτου γινομένου ὅλου τινὸς ὅλῳ, ἢ μέρους μέρει, ἢ μέρους ὅλῳ τινὶ, ἀναγκαίως συντεθειμένου, ὥς φατε· ψευδὴς ἄρα ἡ καθόλου ὑπόφανσις τῆς πρώτης εὐθὺς προτάσεως.

CAPUT PRIMUM.

Quodcunque (inquiunt) alteri unitum est, vel totum toti unitur, vel pars parti, vel pars toti; aliter enim unionem dicere impossibile est: totum vero et pars de infinito non dicitur; non ergo Deus Verbum, cum sit infinitus, homini ex nobis unitus est; si vero sit unitus, compositus finitusque est, quod est impium. Primum autem, quomodo, qui scientia propria omnem modum unionum a Deo factarum determinant, quodlibet unitum vel ut totum vel ut partem uniri dicunt? Omne enim hoc sensibile, seu mundus visibilis, in unione sine dubio subsistit; quid ergo dicunt, ex totis vel ex partibus aliquot illum præcedentibus esse unionem? seu potius ex non C entibus omnino compositum fuisse? Namque si ex aliquot præcedentibus totis vel partibus a principio factum illum fuisse putant, nobis suam opinionem patefaciant, ut, si ita loquuntur, illos jam quasi Græcos, non quasi de modo tantum œconomiæ nobiscum dissentientes, alloquantur. Si vero contentioni pietatem anteponentes, ex non entibus mundum unitum factum fuisse dicunt, non ens, nec totum nec partem esse, fateri cogentur. Quomodo ergo, cum nullum totum, nullaque pars præcesserit, unio hujusce totius mundi facta fuerit? Cum quodlibet unitum, quoddam totum toti, sive pars parti, sive pars cuidam toti, uniatur necesse sit, prout dicitis, falsa ergo est jam primæ propositionis demonstratio.

D

Καὶ ἕτερον δ' οὖν ἡμῖν πυνθανομένοις ἀποκρίνασθε· Ἐπεὶ πᾶν σῶμα καὶ ἐκ *ποιοῦ* καὶ *ποσοῦ* συγκεῖσθαι λέγεται, τούτων ὡς ὅλων, ἢ ὡς μερῶν λέγεται εἶναι τὴν σύνθεσιν; Εἰ μὲν γὰρ ὡς ὅλων, ἐπεὶ χωρισταὶ οὐσίαι ταῦτα οὐκ εἰσὶ πρὸ σώματος, ποῦ καὶ πῶς ὄντων ὅλων; Εἶτα δὲ πῶς, τῆς ὁλότητος τοῦ *ποιοῦ* καὶ *ποσοῦ* ἐν τῷ ἑνὶ σώματι τῷ πρώτῳ τῶν ἀτόμων συντεθείσης, μετὰ τὸ πρῶτον σῶμα, δεύτερον ἔτι γέγονέ τι ἐκ *ποιοῦ* καὶ *ποσοῦ* σῶμα; Οὐδὲ γὰρ ἦν τι ὑπολειφθὲν ἀσύνθετον, τῶν τοῦ *ποιοῦ* καὶ *ποσοῦ* ὁλοτήτων συντεθεισῶν. Εἰ δὲ ὡς μέρος μέρει ἀλλήλοις τάδε σύγκειται, πρῶτον μὲν

Aliud autem quærentibus nobis respondete: Cum omne corpus *ex quo* et *quanto* compositum dicatur, illorumne ut totorum vel partium unio esse dicitur? Si enim ut totorum, cum ista non sint substantiæ distinctæ ante corpus, ubi et quomodo entia tota? Deinde vero quomodo, totalitate *cujus* et *quanti* in uno corpore primo atomorum unita, post primum corpus, secundum adhuc aliquod corpus ex *quo* et *quanto* factum fuit? Nihil enim supererat non unitum, totalitatibus *cujus* et *quanti* unitis. Si vero ut pars parte alia aliis componuntur, prima cujus totalitatis pars τὸ *quid* ut *quid?*

Si æqualium sit partium hæc totalitas, *quanto* hæc unica pars a sua totalitate differt. Secundum *quantum* pars etiam ergo est. Porro si secundum quod pars est, secundum illud etiam componitur, ergo secundum *quantum*, τὸ *quid* τῷ *quanto* componitur in corpore. Si vero inæqualium partium sit hæc totalitas, cum *totius* et *partis* non sit eadem species, de his totius partibus *quid* erit? Hujus vero quanta pars, vel quæ alia pars erit? Quandoque rursus *quantum* erit, hujus pars, *quid* vel aliud quid erit? aliterque si, ut partis cum parte, illorum est unio, inquirenda adhuc erit horum uniuscujusque totalitatis unio, an ex totis vel partibus sit, quod ignorabitur usquedum ex omnibus unitis quid sit reperiamus; solum enim divinum omnino simplex, nec ex totis nec ex partibus factum est. Sic ergo omnino demonstrabitur non omne unitum, toto quodam toti, vel parte parti, vel parte toti unita, componi. Hæc ergo est primæ vestræ propositionis inconsequentia.

Secunda propositio eorum in eo consistit quod omne, secundum quamcunque unionem unitum, omnino compositum finitumque necessario sit; simplexque aliquod, totum nunquam posse uniri, respondere prætermittunt; exempli enim gratia, punctum indubitanter sine parte est, unitum autem lineam efficit. Quomodo ergo unitum est quod non erat compositum? Punctum enim, vulgo loquendi modo, simplex esse traditur. Similiter quoque ultima momenta temporis, quæ dividi non possunt, tempus ex unione perficiunt. Dein autem quid et de anima nostra dicitis? An etiam vobis ex partibus coalescere videtur, quæ corpori conjungitur? An simplex nec unita, ad corpus astaret tantum, juxta vestram sententiam? Siquidem quodlibet unitum ex partibus factum est. Si ergo hanc simplicem atque indefinitam, propter quod non unitam ad corpus scitis, non diuturnissimis ratiociniis vos interrumpemus, sed flammam ignis carni vestræ, si adhuc tamen vestra dicenda est, admoventes, a vobis exquiremus: An patitur quasi aliquid comburens anima vestra de his nobiscum colloquens, vel non? non enim hoc a corpore exquirimus. Si autem nihil animam vestram ab aliquo comburente pati dixeritis, silentes discedemus, inscitia vestra] de his ob insensibilitatem vestram manifestissime probata. Si vero nimis vehementer pati dixeritis, nec de his ob ardorem colloqui sustinere, a nobis scietis, flammam nos non ablaturos nec remoturos esse donec nobis hæc sympathiæ causa persuadeatur. Magna a nobis surgit difficultas; ideo corpus ex partibus factum nos comburimus non vos, seu vestram simplicem nec unitam corpori animam, cui loquimur; eidemque tamen operatione naturali hæc impediri dicit; etenim si anima vere sit partium expers, seu natura alia quævis in nobis, multo modo ad aliquod subjicitur, quod secundum nullum modum alicui subjectum est; sed semper absolutum ac per se subsistens, cum percusso non

A ποίας ὁλότητος μέρος τὸ *ποιὸν* ὡς *ποιόν*; Εἰ μὲν γὰρ ὁμοιομεροῦς, ποσῷ διάφορον μόνον ἐστὶ πρὸς τὴν οἰκείαν ὁλότητα· κατά γε οὖν *ποσὸν*, καὶ μέρος ἐστίν. Εἰ δὲ καθ' ὃ μέρος ἐστὶ, κατὰ τοῦτο καὶ σύγκειται, κατὰ *ποσὸν* ἄρα, καὶ τὸ *ποιὸν* τῷ *ποσῷ* σύγκειται ἐν σώματι. Εἰ δὲ ἀνομοιομεροῦς ἐστι τᾶδε ὁλότητος, ἐπείπερ οὐ ταυτὸν τῷ τε *ὅλῳ* καὶ τῷ *μέρει* εἶδός ἐστιν, ἐπὶ τῶν τοιῶνδε τοῦ ὅλου *ποιοῦ* ὄντος. Τούτου δὲ μέρος ποσὸν, ἢ ἕτερόν τι ἔσται; Καὶ τοῦ ὅλου πάλιν *ποσοῦ* ὄντος, τὸ τοῦδε μέρος, *ποιὸν* ἢ ἕτερόν τι ἔσται; καὶ ἄλλως δὲ, εἰ ὡς μέρους πρὸς μέρος ἐστὶ τούτων ἡ σύνθεσις, ζητητέον ἔτι καὶ τῆς τούτων ἑκατέρας ὁλότητος τὴν σύνθεσιν, εἰ ἐξ ὅλων ἢ μερῶν ἐστι; καὶ ἐπ' ἄπειρον τοῦτο, ἕως οὗ εὕροιμέν τι ὃ τῶν πάντων συνθέτων ὂν (μόνον γὰρ τὸ B Θεῖον πάντη ἁπλοῦν), μήτε ἐξ ὅλων μήτε ἐκ μερῶν γέγονεν. Καὶ οὕτω πάντως δειχθήσεται, οὐ πᾶν σύνθετον, ὅλου τινὸς ὅλῳ, ἢ μέρους μέρει, ἢ μέρους ὅλῳ συντεθέντος, συγκεῖσθαι. Ταῦτα μὲν οὖν τῆς πρώτης ὑμῶν προτάσεως τὰ ἀνακόλουθα.

Καὶ τῆς δευτέρας δέ τις ἡ ἀπόφασις τοῦ πᾶν τὸ καθ' οἱανοῦν σύνθεσιν συντιθέμενον, πάντως ἐμμερὲς εἶναι δεῖν καὶ περιγραπτόν· καὶ οὐχὶ καὶ ἀμερές τι ὅλον δύνασθαί ποτε συντίθεσθαι, παρελθόντες ἀποκρίνεσθαι· ἰδοὺ γὰρ τὸ σημεῖον ἀναντιῤῥήτως ἀμερές ἐστι, συντιθέμενον δὲ γραμμὴν ἀπετέλεσε. Πῶς οὖν συνετέθη τὸ οὐκ ἐμμερές; Τὸ γὰρ σημεῖον κοιναῖς ὁμολογίαις ἀμερὲς δέδοται εἶναι. Ὁμοίως δὲ καὶ τὰ ἔσχατα μόρια τοῦ χρόνου, ἀμερῆ ὄντα, χρό- C νον ἐκ συνθέσεως ἀποτελεῖ. Εἶτα δὲ καὶ περὶ ψυχῆς ἡμῖν τί φατε; Ἢ γὰρ ἐμμερὴς καὶ αὕτη ὑμῖν δοκεῖ εἶναι ἐπεὶ σύγκειται τῷ σώματι; Ἢ ἀμερὴς οὖσα καὶ ἀσύνθετος, πρὸς σῶμα πέφυκεν εἶναι, κατὰ τὸ ὑμέτερον ἀξίωμα; εἴπερ πᾶν τὸ συντιθέμενον, ἐμμερές ἐστιν. Εἰ μὲν οὖν ταύτην ἀμερῆ τε καὶ ἀπερίγραπτον, δι' ὃ δὴ καὶ ἀσύνθετον ἴστε πρὸς τὸ σῶμα, οὐ πλείστοις ὑμᾶς λόγοις ἐγκόψομεν, ἀλλὰ πυρὸς θρυαλλίδα τῇ ὑμετέρᾳ σαρκὶ, εἴγε λοιπὸν καὶ ὑμετέρα λέγοιτο, προσάψαντες, πυθώμεθα ὑμῶν· Ἆρά γε ἀλογεῖ ἐπὶ τῷ καιομένῳ ἡ προσδιαλεγομένη ἡμῖν ψυχὴ ὑμῶν περὶ τούτων, ἢ οὐχί; οὐδὲ γὰρ πρὸς τὸ σῶμα τὴν πεῦσιν ποιούμεθα. Κἂν μὲν εἴποιτε μὴ πάσχειν τι τὴν ψυχὴν ἐπὶ τῷ καιομένῳ, ἀπελευσόμεθα σιγήσαντες, οἷα τῇ ἀπαθείᾳ ὑμῶν ἐληλεγμέ- D νοι, τὴν περὶ τούτων ἄγνοιαν ἐναργέστατα. Εἰ δὲ καὶ ἄγαν σφοδρῶς ὀδυνᾶσθαι ἐπὶ τούτῳ εἴποιτε, καὶ μηδὲ καρτερεῖν διαλέγεσθαι περὶ τούτων διὰ τὸν φλογισμὸν, ἀκούσεσθε παρ' ἡμῶν, ὅτι οὐκ ἀφεξόμεθα, οὐδὲ ἀποστήσομεν τὴν θρυαλλίδα, ἕως ἂν ὁ λόγος ἡμᾶς πείσῃ τὴν αἰτίαν τῆς συμπαθείας. Ἄπορον παρ' ἡμῖν ἀνακύπτει μέγα· διότι ἡμεῖς σῶμα καίομεν ἐμμερὲς, καὶ οὐχ ὑμᾶς· ἤγουν ψυχὴν ἀμερῆ καὶ ἀσύνθετον πρὸς σῶμα τὴν ὑμετέραν, ᾗ προσλαλοῦμεν· καὶ ὅμως αὐτῇ τῆς φυσικῆς αὕτη ἐνεργείας ἐμποδίζεσθαί φησι· καὶ γὰρ εἰ ἀμερὴς ὄντως ἐστὶν ἡ ψυχὴ, ἢ ἑτέρα τις οἱαοῦν φύσις καθ' ὑμᾶς, οὐδενὶ τρόπῳ πρός τι συγκείσεται, τὸ δὲ κατὰ μηδένα τρόπον τινὶ συγκείμενον· ἀλλ' ἀπόλυτον ἀεὶ καὶ καθ' ἑαυτὸ ὑφιστάμενον, οὔτε τυπτομένῳ ἑτέρῳ τινὶ συμ-

πλήττεται, οὔτε πάσχοντι συγκολαφισθήσεται, οὔτε ἡδομένῳ συνευφραίνεται, ἢ ἁπλῶς τῶν αὐτῶν ἀπολαύσειεν. Οὐδὲ τουτὶ πάθος τὸ αὐτὸ, κατ' ἀριθμὸν τῶν ἑτέρῳ συμβαινόντων, τινὶ συμμερισθήσεται· ἀμέλει τοῦ πλουσίου ἐν σπατάλῃ κατευωχουμένου, Λάζαρος οὐκ εὐφραίνετο· ὁμοίως δὲ οὔτε ἐν γεέννῃ τοῦδε φλογιζομένου, Λάζαρος ὠδυνᾶτο. Ἀλλ' οὐδὲ ἡμεῖς νῦν ὑμῖν φάσκουσιν ὀδυνᾶσθαι ἐπὶ τῇ θρυαλλίδι, συνηλγήσαμεν, ἀσύνθετοι πρὸς ὑμᾶς ὁμολογουμένως ὑπάρχοντες.

Εἰ δὲ ταῦτα ἀντιπεριτραπείσης αὐτοῖς τῆς ἰδίας κακουργίας, αἰσθήσει μάχεσθαι, τοὺς ἄγαν φυσιολογεῖν βουλομένους καὶ εἰς τὰ θεῖα σαφῶς παρίστησι, μή τι ἄρα τὸ ἕτερον αἱρήσονται σκέλος τῆς διαιρέσεως, περὶ ψυχῆς λέγειν, ὅτι ἐμμερής τέ ἐστιν ἅτε καὶ περιγραπτή, καὶ διὰ τοῦτο καὶ σύγκειται ἡ ψυχὴ τῷ ἐμμερεῖ καὶ περιγραπτῷ σώματι; Εἰ οὖν τοῦτο λέγοιτε, πάλιν, σκέψασθε, φαίημεν, τὰ συναγόμενα· πρῶτον μὲν γὰρ συναύξοιτο καὶ συναπομειοῖτο καὶ συνδιατέμνοιτο τῷ σώματι· εἰ δὲ μή γε, τὸ αὐξηθὲν σῶμα οὐ ζωώσει, μὴ ἐγγενομένη κατὰ σύνθεσιν καὶ αὐτῷ· οὐδὲ τῷ μειωθέντι ἀρκεσθείη, μὴ συμπερισταλεῖσα αὐτῷ πως. Εἶτα δὲ, τί ἂν εἴποιτε ἔτι, ἐπεὶ τὸ ἐμμερὲς καὶ περιγραπτὸν πᾶν ἐν τόπῳ ἐστίν; Τὸ δὲ ἐν τόπῳ ὂν, ἢ σῶμα, ἢ συμβεβηκὸς σώματι ἀχώριστόν ἐστιν, ἀνάγκη ἢ συμβεβηκὸς καὶ τοῦτο ἀχώριστόν τι· ὅθεν οὐδὲ ἀθάνατον ἔτι, ἢ αὐθύπαρκτον, οὐδὲ οὐσίαν οἴεσθαι τὴν ψυχὴν, ἢ σῶμα εἶναι λέγειν αὐτὴν, ὑπὸ σώματος περιεχόμενον. Εἰ δὲ σῶμα ἡ ψυχὴ, διὰ σώματος οὐ χωρήσει, μὴ διαιροῦσα τοῦτο, ἢ διαιρουμένη ὑπὸ τούτου, εἰ ἀληθὲς τὸ σῶμα διὰ σώματος μὴ χωρεῖν, ἄνευ τῆς θατέρου διαιρέσεως. Ἀλλὰ καὶ ἐν ὄγκῳ μείζονι τὰ ἔμψυχα σώματα παρὰ τὰ νεκρὰ ὁρᾶσθαι ἀναγκαῖον, εἴπερ πᾶν σῶμα σώματι ἐπιγινόμενον, ἐν ὄγκῳ μείζονι τοῦτο δείκνυσιν· ἔτι μέν τοι καὶ αὐτὴ εἰ σῶμά ἐστιν ἡ ψυχὴ, συνεχές τε ποσὸν ἔχει καὶ σχῆμα. Σῶμα οὖν δι' ὅλης αὐτῆς ἐν τῇ συνθέσει εἰσδεξαμένη, ἐν ὄγκῳ μείζονι καὶ αὐτὴ κατασταθήσεται· ὃ γὰρ ἐμποιήσει ἑτέρῳ τὸ ἕτερον σῶμα, ὡς σῶμα, τοῦτο καὶ αὐτὸ πείσεται ὑπὸ τοῦ ἑτέρου. Ἔτι δὲ καὶ ἄλλων ἀτόπων πλῆθος, ὃ διὰ τὴν ἐπὶ πλεῖστον παρέκβασιν τῶν ζητουμένων παροατέον ἡμῖν πρὸς τὸ παρὸν, καὶ τῶν εἰρημένων δεικνύντων οὐκ ἐλλιπῶς τὸ ἀνίσχυρον τῆς ὑμετέρας ὑποθέσεως· ἀλλὰ ταῦτα μὲν, καὶ τῆς δευτέρας ἀποφαντικῆς ὑμῶν ἕνεκα προτάσεως, λεγούσης ὅτι τὸ συντιθέμενον πάντως καὶ ἐμμερὲς εἶναι ἀνάγκη, καὶ περιγραπτὸν, ἐξ οὗ τὸ γενναῖον ὑμῖν ὅλον ἐπιχείρημα κατεσκεύαστο.

Ἐπεὶ οὖν καὶ τὰ εἰρημένα ἀρκοῦντά ἐστι εἰς κατάλυσιν τῆς ψαμμαίας ὑμῶν οἰκοδομῆς, διὰ τόδε ἑπόμενα μυρία καὶ ἄλλα ἀτοπήματα ταῖς ὑμετέραις ὑποθέσεσι, παραλείψομεν, εἴγε τὸ νοερὸν καὶ πνευματικὸν καὶ ἰσάγγελον, ἔτι μὴν καὶ τὸ κατ' εἰκόνα Θεοῦ, καὶ ἐμφύσημα τῆς δόξης τοῦ Παντοκράτορος, τοῦτο ὑμεῖς ἁπλῶς ἐμμερὲς εἶναι ὑποτίθεσθε, διότι συντίθεσθαι ὡμολόγηται. Ἔσται γὰρ τούτου δοθέντος, καθ' ὑμᾶς ἐξ ἀνάγκης· ἢ καὶ τὰ συγγενῆ καὶ πρωτότυπα

A percutietur, cum vexato non vexabitur, nec cum gaudente congaudebit, seu simpliciter hæc omnia participaret. Neque hæc eadem passio, juxta numerum eorum quæ alteri eveniunt, cum aliqua comparabitur; certe cum dives splendide epularetur, non lætabatur Lazarus; similiter nec dum in inferno flamma cruciaretur, Lazarus patiebatur. Sed nec nos simul cum vobis a flamma pati dicentibus, passi sumus, siquidem fatentibus omnibus, vobiscum non sumus uniti.

Si vero astutia eorum eisdem eadem arma opponens, cum sensibilibus pugnat, nimisque de physicis dicere volentes in cœlestibus evidenter constituit, nonne aliam partem distinctionis arripient, de anima dicentes partibus eam compositam B esseque finitam, ideoque animam quoque subjici corpori partibus coagulato atque circumscripto? Si ergo hoc dixeritis, rursum, Consequentia, dicemus, pensate; primum enim simul cum corpore augeretur, minueretur atque scinderetur; sin aliter, auctum corpus non vivificabit, nisi innata cum illo uniatur; debilitato non succurrisset, ni quo modo illi adaptata fuisset. Dein vero, quid adhuc diceretis, cum omne, quod ex partibus componitur ac circumscribitur, in loco sit? Porro quod in loco est, seu corpus, seu corpori accidens individuum est, necessitas vel accidens illud quoque aliquid individuum est; inde nec jam immortalis, nec per se subsistens, nec substantia anima habenda est, vel ipsa corpus dicenda est corpore obvoluta. Si autem corpus C est anima, per corpus non procedet, illud non dividens, vel non ab illo divisa, si verum est corpus per corpus procedere impossibile esse, absque utriusque divisione. At etiam in majore congerie spiritualia corpora cum cadaveribus videnda sunt, siquidem omne corpus corpori additum, in congerie majori illud demonstrat; si anima corpus est, quantitatem continuam et figuram habet. Corpus ergo postquam in unione tota complexa sit, in mole majore eadem etiam constituetur; quod enim alteri alterum corpus addet, ut corpus, hoc et idem ab altero patietur. Multa insuper sunt absurda, quæ, cum valde quæsita transgressi simus, nobis in præsenti omittenda sunt, cumque supradicta D abundanter infirmitatem vestri systematis demonstraverint. Hæc sunt quidem quæ, secundæ propositionis gratia vestræ prædicatæ, dicentis quod unitum est necessario ex partibus coalescere, atque circumscriptum esse, omnes vestri generosi conatus ideo comparaverunt.

Cum ergo supradicta ad destructionem arenosæ vestræ ædificationis sufficiant, ideo innumera consequentia aliaque absurda systematum vestrorum negligemus, siquidem quod intellectuale, quod spirituale, quod angelicum, imo quod est ad imaginem Dei afflatusque gloriæ Omnipotentis, ex partibus coagulatum supponere vos non dubitatis, eo quod uniri credatur. Nam, cum ita sit, ad hoc devenistis ut sive congenita, sive prototypa, ac anteco-

dentia illius seu animæ, ex partibus coalescere reputetis juxta illam quæ illorum imago similitudoque est; sive partium expertia dicatis hæc illamque simul cum illis, partes tantum propter corpora dantes; volentes sive nolentes veritatem prætermittitis, in virtute Christi vobis illam demonstrabimus: quæ enim a nobis dicenda sunt, vel ad docendum vos, si vultis, vel ad condemnandum. Totum non, ut existimatis, secundum partes, vel ex partibus, perfectum semper significat simpliciter et omnino; sic enim omnia essent simplicia dicenda vel imperfecta, quando partium expertia essent neque partibus compositam suam totalitatem haberent; seu tota perfectaque dicta partibus essent composita nec ullo modo simplicia; quasi nullum cæterorum simplicium, perfectum esset, seu universum videretur. Hæc cum ita sint, ipsa vestra contra nos sententia nec Deitati totalitatis ex partibus experti simplicitatem concedet; necesseque erit ut, aliquod compositum partibus ad suam ipsius perfectionem et totalitatem exigentes, ex alterutro omnino dejicere cogaris seu ex simplicitate seu ex perfectione ipsum partium expers in excellentia sua totum dicimus; at est vere totum, ita dico, vere; juxta proprium sermonem perfectum, licet simplex sit ac partium expers, licetque sit compositum et partibus distinctum; modo tantum integre voces suas habere videatur; quoniam enim hæc ita se habent, non voce *totius* impediunt quin subjectum sit simplex, ecce enim perfectum totumque dicimus aliquid esse, punctum, unitatem, momentum temporis partium expers atque indivisibile, Divinitatem omniaque simplicia; non quod integre proprias partes habeant, ideo illis totalitatem attribuimus; jam enim partium expertia hæc agnovimus; sed quod totam propriæ speciei simplicitatis salvam, illæsam perfectamque vocem habent, ac unumquodque horum, juxta propriam naturam, speciei signum præfert. De *toto* ergo afferre probationes, quomodo totum toti uniri aliquo modo sit possibile, quin *totum* dictum partibus sit distinctum, ex synthesi, necesse est.

Similiter ex supradictis de simplicitate, *totum* quoque infinitum esse dicique oportet; voce enim *totius infiniti* cum proprietatibus omnibus infinitatis, hujusmodi perfectum est, siquidem aliter non erit infinitum. Namque si, juxta vestram hypothesim, ex integritate partium solum intelligitur totum, cum partium expers infinitusque sit Deus, totum non habebit; si autem totum non habens, unione quoque exuatur, imperfectionis accusabitur; si vero aliquid totum sit, uniri quoque potest; si ergo infinitum quoque illius habet, infinitique integritatem, ut infiniti quidem, *quantum* in illo atque de illo possibile esset, ut vult eorum sententia, sicque uniri totum aliquid ens, infinitatis simplicitatisque voce perfectum. Hæc autem a nobis pensata sunt, eo quod non recte *totum* intelligatis, illud tantum de corporibus subsistere asseren-

A καὶ προαρκτικὰ τούτου ἤγουν τῆς ψυχῆς, ἐμμερῆ κατ' αὐτὴν λογίζεσθαι εἰκόνος τούτων οὔσης καὶ ὁμοιώσεως ταύτης· ἢ ἀμερῆ φάσκοντας εἶναι ταῦτα καὶ ταύτην σὺν ἐκείνοις τῆς ἐμμερείας ἀφιέναι τῆς κατὰ τὰ σώματα· εἴτε δὲ ἑκόντες, εἴτε ἄκοντες, παραβλέπετε τὴν ἀλήθειαν, ἡμεῖς ὑμῖν ἐν δυνάμει Χριστοῦ ταύτην ὑποδείξομεν· ἔσται γὰρ ἢ εἰς σύνεσιν, εἰ βούλεσθε, ἢ εἰς τὴν κατάκρισιν ὑμῶν τὰ λεγόμενα παρ' ἡμῶν. Τὸ ὅλον οὐχ, ὡς οἴεσθε, τὸ κατὰ τὰ μέρη, ἢ ἐκ μερῶν, τέλειον ἀεὶ σημαίνει ἁπλῶς καὶ πάντως· οὕτως γὰρ ἂν πάντα δέον ἦν τὰ ἁπλᾶ, ἢ ἀτελῆ λέγεσθαι, ἀμερῆ ὄντα, καὶ ἐκ μερῶν συγκειμένην οὐκ ἔχοντα τὴν οἰκείαν ὁλότητα· ἢ ὅλα τε καὶ τέλεια λεγόμενα, σύνθετα εἶναι ἐκ μερῶν, καὶ οὐκέτι ἁπλᾶ· ὡς μηδὲν λοιπὸν τῶν ἐν ἁπλότητι τέλειον B εἶναι, ἢ ὁλόκληρον φαίνεσθαι. Τούτου δὲ δοθέντος, καὶ καθ' ὑμῶν ἔσται τὰ ὑμέτερα, μηδὲ αὐτῷ τῷ Θείῳ ἄνευ τῆς ἐκ μερῶν ὁλότητος, συγχωροῦντα τὴν ἁπλότητα· καὶ γὰρ ἀναγκαίως δεῖσθαι καὶ αὐτὸ συνθέσεως καὶ μερῶν πρὸς τελείωσιν καὶ ὁλότητα αὐτοῦ παριστάνοντα, θατέρου πάντως ἐκπεσεῖν εἴη βιαζόμενα, ἢ τοῦ ἁπλοῦ ἢ τοῦ τελείου, τόδε τὸ ἀμερῶς ὑπερτέλειον Θεῖον ὅλον· ἀλλ' ἔστιν ἀληθῶς ὅλον, ὦ οὗτοι, κυρίως, τὸ κατὰ τὸν οἰκεῖον λόγον ἀπηρτισμένον, κἂν ἁπλοῦν εἴη καὶ ἀμερὲς, κἄν τε σύνθετον καὶ ἐμμερές· μόνον εἰ ἀνελλιπῶς ἔχειν τοὺς ἑαυτοῦ λόγους θεωρηθείη· ὅτι γὰρ ταῦτα οὕτως ἔχει, καὶ οὐκ ἐμποδίζει τῷ λόγῳ τοῦ *ὅλου*, τὸ ἀμερὲς εἶναι τὸ ὑποκείμενον, ἰδοὺ δὴ τέλειόν φαμεν καὶ ὅλον τι C εἶναι, καὶ τὸ σημεῖον, καὶ τὴν μονάδα, καὶ τὸ νῦν τοῦ χρόνου τὸ ἀμερὲς καὶ ἀκαριαῖον, καὶ τὸ θεῖον, καὶ τὰ ἁπλᾶ πάντα· καὶ οὐχ ὅτι ἀνελλιπῶς τὰ οἰκεῖα μέρη ἔχουσι, διὰ τοῦτο τούτοις μαρτυροῦμεν τὴν ὁλότητα· προωμολόγηται γὰρ ἡμῖν ἡ τούτων ἀμέρεια· ἀλλ' ὅτι ὅλον ἔχουσι τῆς οἰκείας τοῦ εἴδους ἀμερείας τὸν λόγον σῶόν τε καὶ ἀπαράβλαπτον καὶ τέλειον, τούτων ἕκαστον, κατὰ τὴν ἰδίαν φύσιν, τοῦ εἴδους γνωριστήριον φέρουσι. Ταῦτα μὲν οὖν καὶ περὶ τὸ *ὅλον* δεικνύντα, ὡς καὶ ὅλον ὅλῳ συντίθεσθαί τι δυνατὸν, καὶ οὐκ ἐμμερὲς εἶναι τὸ λεγόμενον *ὅλον*, ἐκ τῆς συνθέσεως, ἀνάγκη.

Ὁμοίως δὲ τοῖς εἰρημένοις περὶ τοῦ ἀμεροῦς, καὶ τὸ ἀπερίγραπτον *ὅλον* δέον εἶναι καὶ λέγεσθαι· τῷ D λόγῳ γὰρ τοῦ *ἀπεριγράπτου ὅλου* μετὰ τῶν ἰδιωμάτων πάντων τῆς ἀπεριγραφίας, τέλειον τοιόνδε ἐστίν· ἐπεὶ οὐκ ἔσται ἄλλως ἀπερίγραπτον. Εἰ γὰρ κατὰ τὴν σφῶν ὑπόθεσιν ἐκ τοῦ ἀνελλιποῦς τῶν μερῶν τὸ ὅλον νοεῖται μόνως, ἐπεὶ ἀμερής ἐστι καὶ ἀπερίγραπτος ὁ Θεὸς, τὸ ὅλον οὐχ ἕξει· μὴ ἔχων δὲ τὸ ὅλον, εἰ καὶ συνθέσεως ἠλευθέρωται, ἀλλὰ ἀτελειότητα κατηγορηθήσεται· εἰ δὲ ὅλον τί ἐστι, καὶ συντίθεσθαι δύναται· εἰ οὖν καὶ τὸ ἀπερίγραπτον αὐτοῦ ἔχει καὶ τὸ τοῦ ἀπεριγράπτου ἀνελλιπῶς, ὡς ἀπεριγράπτου μέντοι, δύναιτο *ὅσον* τῷγε, καὶ ἐπὶ τῷδε, ὡς δοκεῖ τῇ ἀποφάνσει αὐτῶν· καὶ οὕτως συντίθεσθαι ὅλον τι ὂν, τῷ τῆς ἀπεριγραφίας λόγῳ καὶ ἀμερείας ἀπηρτισμένον. Ταῦτα δὲ ἡμῖν κατεξήτασται, διὰ τὸ μὴ ὀρθῶς εἰδέναι ὑμᾶς τὸ *ὅλον*, ἀλλ' ἐπὶ σωμάτων μόνον, μᾶλλον

δὲ ἐπὶ συνεχῶν *ποσῶν* μόνων παράθεσιν *τοπικὴν* μορίων τινῶν συναπτομένων, καὶ θέσιν ἐχόντων πρὸς ἄλληλα, τοῦτο λογιζομένων συνεστάναι. Ἐοίκατε δὲ, ὦ γεννάδαι, ἐκ τῆς ἄγαν κατ' αἴσθησιν σπουδαζομένης ὑμῖν φυσιολογίας, εἰς τοσήνδε τὴν *ἀναισθησίαν* κατασπασθῆναι. Ἴδωμεν γὰρ καὶ ἀκριβέστερον ὅμως τὸ *ἀπερίγραφον* ὑμῖν πῶς λέγεται τῷ ἐμμερεῖ μὴ δυνατὸν εἶναι συντίθεσθαι· πρῶτον μὲν γὰρ τὸ ἀπερίγραπτόν τι εἶναι, ἐπιπολαιότερον ἐκ *τοπικῆς* σχέσεως λέγεται· ἄρα οὖν καὶ τῇ κατὰ τόπον ἑνώσει παρεμποδὼν τὸ ἀπερίγραπτον· αὕτη δὲ *παράθεσίς* ἐστι, καὶ οὐ σύνθεσις· εἰ μὲν οὖν τοιαύτην εἶναι καὶ τὴν ἕνωσιν τοῦ Λόγου πρὸς τὴν σάρκα οἴεσθε, ὅτι ὑπερεκτείνεται θατέρου τὸ ἕτερον συντιθέμενον τῶνδε, καὶ δέον ὡς τὰ διπλᾶ καττύματα τῶν πεδίλων, τὰ οὕτως ἑνούμενα ἀλλήλοις καὶ παρατιθέμενα, μὴ θάτερον ἐξέχον ἀπαιωρεῖσθαι καὶ περιττεύειν θατέρου καττύματος, πρόδηλοι οὖν κἀντεῦθεν γεγόνατε ὡς καὶ τὴν ἕνωσιν καὶ τὸ ἀπερίγραφον, οὐ θεοπρεπῶς, ἀλλὰ σώματος μεγέθει φαντάζεσθε, μυριόπηχύ τι ἢ ἁπλῶς ἀπειρόποσον κατὰ μορίων τινὰ θέσιν πρὸς ἕτερον ἔλαττόν τι σῶμα συνάπτεσθαι λογιζόμενοι. Πλὴν οὐδὲ εἰ τοῦτο οἴεσθε, ἐκωλύετο ἂν αὐτῶν εἶναι *παράθεσις* καθ' ὑμᾶς. Ἐδώκατε γὰρ καὶ μέρους πρὸς ὅλον τί τινος γενέσθαι *σύνθεσιν*, ὥστε καὶ τοῦ βραχέος πρὸς τὸ μέγα ἐστὶ παράθεσις· εἰ δὲ εἴποιτε, Οὐχ ὅλον πρὸς μέρος αὕτη ἐστὶ ἡ παράθεσις ὄντως, ἀλλ' ἐκ μέρους αὐτοῦ ὅλου πρὸς ὅλον τὸ μέρος, σκοπεῖτε ὅμως καὶ οὕτως· ὅτι ὧν τὰ μέρη περιγραπτὰ, τούτων καὶ τὸ ὅλον· ὥστε εἰ καὶ μὴ τῷδέ τινι τῷ ἐμμερεῖ, ἀλλ' ἑτέρῳ μείζονι, ἔχοι ἂν φύσιν παρατίθεσθαι, καὶ τὸ τοῦ παρατεθέντος θείου μέρους ὅλον, οὐδὲν ἄρα ἐκ τῆς *τοπικῆς* ἀπεριγραφίας, φύσει ἀπερίγραπτον δειχθήσεται.

tes, atque imprimis de continuis *quantis* privatis juxta positionem *localem* portiunculis quibusdam unitis. Adeo, o viri generosi, ex ratiociniis carissimis vestris quæ nimis juxta sensus sunt, in hancce *insensibilitatem* præcipitati estis! Namque cæterum accuratissime videamus quomodo *infinitum* partibus coalescenti uniri non posse a vobis dicatur: primum quia ex statu *locali* tenuius esse dicitur infinitum, ideoque unioni secundum locum impedimento esse infinitum, hæc est autem *juxtapositio*, non vero unio; si ergo autem Verbi unionem cum carne talem esse senseritis, eo quod unum ex unitis alterum superat, nec ex duabus calceamentorum soleis, sibi invicem unitis ac juxtapositis, una solea altera solea excelsior ac longior videri debet, patet ergo, hucque devenistis, unionem atque infinitum, non ut decet divinitatem sed modo corporali vos imaginamini, aliquid maxime longinquum aut simpliciter immensum juxta partes aliquam positionem ad alterum minus aliquod corpus additum excogitantes. Attamen, si hæc est sententia vestra, illorum *juxtapositio* quam dicitis, non impediretur; docuistis enim partes alicui toti adjunctas alicujus unionem fieri, ita ut alicujus brevis ad aliquod magnum fiat *juxtapositio*. Si vero dixeritis non totum ad partem hanc esse vere *juxtapositionem*, sed ex parte ipsa totius ad totam partem, unum et idem spectatis; quia quorum sunt partes finitæ, horum et totum; ita ut si huic contigerit ut alicui particulari non juxtaponatur, sed alteri majori, totum quoque juxtapositæ partis divinæ (neutiquam ergo ex *locali* infinitate) naturaliter infinitum probabitur.

Ἐρωτητέον δὲ ὑμᾶς ἔτι· Τὸ ἀπερίγραφον τοῦτο, ἤγουν ὁ Θεὸς, περιγράφει τὸν κόσμον, ἢ οὔ; Εἰ μὲν γὰρ οὐ περιγράφει, οὔτε ἐν αὐτῷ ὁ κόσμος ἄρα, οὔτε ὄντως ἐλάττων αὐτοῦ ἀναγκαίως δειχθήσεται· καὶ τ' ἄλλα δὲ βλάσφημα ἕψονται. Εἰ δὲ περιγράφει, ἐπεὶ πᾶν ἐμμερὲς, εἴγε περιγράφεται, ἢ μέρος ὑπὸ μέρους, ἢ ὡς ὅλον ὑπὸ ὅλου, ἢ ὡς μέρος ὑπὸ ὅλου, ἢ ὡς ὅλον ὑπὸ μέρους, περιγράφεται· τοῖς γὰρ ὑμετέροις χρησόμεθα· δέον πάντως ἐμμερῆ εἶναι καὶ τὸν Θεὸν τὸν περιγράφοντα τὸ περιγραφόμενον ἐμμερές. Ταῦτα δὲ πάλιν πῶς λέγετε γίνεσθαι; Εἰ γὰρ ὡς σῶμά τι μεῖζον, τὸ ἔλαττον, καὶ ὡς οἱ τοὺς κανθάρους εἰς τὰς κηρίνας σφαίρας κατακλείοντες, οὕτω περιγράφει Θεὸς, τόπος ἐστὶ μόνον τῶν ἐν αὐτῷ, καὶ συνεχές τι *ποσὸν* ὁ Θεὸς, σῶμά τε σωμάτων, καὶ ἐμμερὴς, καὶ σύνθετος, καὶ οὐ μόνον ἐλευθερούμενος συνθέσεως, ἀλλὰ καὶ ἀναγκαίως πεφυκὼς ἐπιδέχεσθαι σύνθεσιν. Εἰ δὲ ταῦτα μετὰ πολλῆς τῆς βδελυρίας ἀνόητα, ἑτέρως περιγράφειν τὸν κόσμον λέγοιτ' ἂν ὁ Θεὸς, ἢ ὡς τὰ σώματα περιγράφουσι. Δεῖ γὰρ ἀληθῶς εἰπεῖν, ὅτι περιγράφει μὲν τὰ πάντα σώματα καὶ ἀσώματα, οὐχ ὡς σῶμα δέ· ἀπερίγραφός τέ ἐστιν, οὐχ ὡς σῶμα μὴ ἔχων ὑφ' οὗ περιγραφείη μείζονος σώματος· καὶ ὡς ἐν κενῷ που

A vobis exquirendum est adhuc: Num hoc infinitum, seu Deus, mundum definit, annon? Si enim non definit, nec ergo in ipso mundus, nec vere minor ipso necessario demonstrabitur, aliæque blasphemiæ sequentur. Si autem definit, cum totus partibus constet, si tamen definitur, sive pars parte, sive quasi totum toto, sive quasi pars toto, sive quasi totum parte, definitur; vestris enim utemur: omnino partibus constare debet Deus, definiens quod partibus constat. Hæc vero quomodo rursus dicitis fieri? Si quemadmodum corpus aliquod magnum, aliquod minus, ac tanquam qui scarabæos in globis cereis includunt, sic Deus circumscribit, locus tantum erit his quæ in ipso sunt, ac aliquod *quantum* continuum Deus, corpus corporum, partibus constans, compositus, neque solum compositionis immunis, sed etiam necessario compositionem admittens. Si vero stulta hæc multæ impudentiæ juncta sint, mundum aliter circumscribere dicendus est Deus quam circumscribunt corpora; vere enim dicendum est, illum quidem circumscribere omnia corpora atque incorporalia, non vero ut corpus; incircumscriptusque est, non quasi corpus non habens a quo majore corpore circumscri-

batur, et tanquam in loco quodam vacuo orbis universi quasdam partium suarum suspensas tenens, sed tanquam virtute sua omnem naturam superans, omnemque locum et tempus antecedens; nec igitur quidem unitus quasi corpus vel quædam divisibilis natura unietur, ita ut quasi pars vel totum, divisibilis subjectus reputetur; sed quemadmodum non necessario corporis particulariumque verbum illi incubuit ad circumscribenda quæ partibus constant, ita ad se uniendum cum homine, hujusmodi cogitationem adhærentem sibi non habet. Aliter enim nec magnum ita est infinito, si a finito non comprehenditur; hoc enim datur corpori incircumscripto, scilicet cœlesti; sed si in minore atque a se circumscripto libere infiniteque totus possit comprehendi in nullo coarctatus, id fit virtute quidem connaturali nulla vi infinitum intercludente aut circumscribente ut operetur quod voluerit. Hoc est enim quod mirabiliter nimis dictum est ab eo qui asserit de Christo secundum carnem: *Quia in ipso inhabitat omnis plenitudo divinitatis corporaliter* [1].

Male ergo, o miseri, de ipso Deo omne unitum judicatis, sive ut partem sive ut totum partibus constans profecto uniri. Sufficiebat etiam unius tantum errorum vestrorum confutatio ad destructionem omnium vestrarum munitionum, siquidem una data stultitia, omnes stultitiæ sequuntur. Si vero de omnibus vestris propositionibus longiorem confutationem protraxerimus, ideo omnis vestri ratiocinii conclusio falsissima demonstrabitur. In prima enim, male existimastis omne unitum velut partem aut totum divisibile uniri; siquidem res non ita se habere probatum fuerit, omnibus, quæ a Deo ordinata sunt, ex non entibus subsistentibus. Sed et corpora ex *quo* et *quanto* perfecta sunt substantialiter, in quorum nullo totum vel pars ante unionem ipsorum non potest dici, propter ea quæ a nobis superius dicta sunt. Secunda autem vestra propositio errat, affirmans totum de simplicibus vel infinitis non dici; demonstratumque est punctum, unitatem, momentum præsens, animam, omnia simplicia, atque divinitatem, propriis distinctisque vocibus enuntiari tota partiumque esse expertia, etsi uniuscujusque non sit eadem simplicitas.

Si vero a vobis concessum fuerit omnia simplicia necessario, siquidem partium expertia sint, nec tota dici nec unquam in unionem convenire posse, libenter a vobis exquiremus quomodo igitur non omnia entia unita ex unitis fieri concessum fuerit? In infinitum quoque erit progrediendum, si ex simplicibus non fiant unita, siquidem juxta vos ex his quæ partibus carent non possint esse, primis unitis, unde unitis nescio, nisi breviter nobis demonstrare volueritis. Sed et infinitum ratione infiniti totum esse, quasi finitum ratione finiti, probatum est,

[1] Coloss. II, 9.

A τόπῳ τοῦ παντὸς, μέρη τινὰ τῶν αὐτοῦ παραιωρημένος, ἀλλ' ὡς δυνάμει πᾶσαν φύσιν ὑπερεκπίπτων, καὶ παντὸς τόπου καὶ χρόνου ὑπερεξαπλούμενος· οὔτε γοῦν ἄρα συντιθέμενος ὡς σῶμα ἢ μεριστή τις φύσις συντεθήσεται, ἵνα ὡς μέρος ἢ ὅλον, μεριστὸς συγκείμενος λογισθήσεται· ἀλλ' ὃν τρόπον οὐκ ἀναγκαίως αὐτῷ γέγονεν ὁ τοῦ σώματος λόγος καὶ τῆς ἐμμερείας εἰς τὸ περιγράφειν τὰ ἐμμερῆ, οὕτως οὐδὲ εἰς τὴν πρὸς ἄνθρωπον σύνθεσιν, τὴν τοιανδε ὑπόνοιαν ἐπισύρεται. Ἄλλως γὰρ οὐδὲ μέγα οὕτως τῷ ἀπεριγράφῳ, εἰ οὐ χωρεῖται ὑπὸ τοῦ περιγραπτοῦ· καὶ σώματι γὰρ ἀπεριγράπτῳ ἔνεστι τόδε, ἤγουν τῷ οὐρανίῳ· ἀλλ' εἰ καὶ ἐν τῷ μείονι καὶ περιγραπτῷ ὑπ' αὐτοῦ ἀκωλύτως ὅλος τε καὶ ἀπεριγράπτως δύναιτο χωρῆσαι ἐν οὐδενὶ στενοχω- B ρούμενος, τοῦτο ἀληθῶς δυνάμεως φυσικῆς τὸ ἀπερίγραπτον οὐδενὶ βιαίῳ ἀποκλειομένης καὶ περιγραφομένης ἐνεργεῖν ὃ βούλεται. Τοῦτο γάρ ἐστι καὶ τὸ ὡς ἄγαν θαυμαστὸν εἰρημένον τῷ φήσαντι περὶ Χριστοῦ τοῦ κατὰ σάρκα, *Ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς.*

Κακῶς οὖν, τάλανες, ἀξιοῦτε καὶ ἐπὶ Θεοῦ πᾶν τὸ συντιθέμενον, ἢ ὡς μέρος ἢ ὡς ὅλον μεριστὸν δηλαδὴ συντίθεσθαι. Ἤρκει μὲν οὖν καὶ μιᾶς μόνον τῶν ὑμετέρων προτάσεων ἔλεγχος πρὸς καθαίρεσιν παντὸς ὑμῶν τοῦ ἐπιχειρήματος· εἴπερ ἑνὸς ἀτόπου δοθέντος, πάντα ἄτοπα ὡμολόγηται. Ἰδοὺ δὲ δι' ὅλων ὑμῶν τῶν προτάσεων, εἰ καὶ μακρότερον τὸν ἔλεγ- C χον παρετείναμεν, ψευδέστατον ὑμῶν τὸ συμπέρασμα δέδεικται τοῦ ὅλου συλλογισμοῦ. Ἐν μὲν γὰρ τῇ πρώτῃ, κακῶς ἠξιοῦτε πᾶν συντιθέμενον ὡς μέρος ἢ ὅλον μεριστὸν συντίθεσθαι· ἐλήλεγκται γὰρ οὐχ οὕτως ἔχοντα τὰ πράγματα, εἴπερ ἐκ μὴ ὄντων σύγκειται τόδε τὸ πᾶν θείᾳ βουλήσει συναρμοσθέν· ἀλλὰ καὶ τὰ σώματα ἐκ ποιοῦ τε καὶ ποσοῦ κατηρτισμένα ἐστὶν οὐσιωδῶς· ὧν ἐν οὐδετέρῳ τὸ ὅλον ἢ μέρος πρὸ τῆς συνθέσεως αὐτῶν, λέγειν δυνατὸν, διὰ τὰ ἀνωτέρω ἡμῖν εἰρημένα· ἡ δὲ δευτέρα ὑμῶν πρότασις ἐπλάνα φάσκουσα τὸ ὅλον ἐπὶ ἀμερῶν ἢ ἀπεριγράφων μὴ λέγεσθαι· καὶ ἐδείχθη τό τε σημεῖον, καὶ ἡ μονὰς, καὶ τὸ νῦν, καὶ ψυχὴ, καὶ τὰ ἁπλᾶ πάντα, καὶ τὸ Θεῖον, ὅλα τε λέγεσθαι ἐν τοῖς D καθ' ἑαυτὰ λόγοις, καὶ ἀμερῆ εἶναι, εἰ καὶ μὴ ὡσαύτως ἑκάστου ἐστὶν ἡ ἀμέρεια.

Εἰ δὲ καὶ ἐδόθη ὑμῖν πάντα τὰ ἁπλᾶ ἐξ ἀνάγκης, ἐπεὶ ἀμερῆ ἐστι, μήτε ὅλα λέγεσθαι, μήτε εἰς σύνθεσιν ἔρχεσθαι πώποτε, ἡδέως ἂν πυθοίμην ὑμῶν· Πῶς οὖν οὐκ ἐκ συνθέτων γενέσθαι τὰ ὄντα σύνθετα πάντα δοθείη; Καὶ ἐπ' ἄπειρον τὴν ἀνάβασιν ποιήσει, εἴπερ μὴ ἐξ ἁπλῶν ἐστι τὰ σύνθετα, διότι οὐκ ἐξ ἀμερῶν δύνανται εἶναι καθ' ὑμᾶς, τῶν πρώτων συνθέτων, οὐκ οἶδα ὅθεν συντεθέντων, ἐὰν μὴ παρελθόντες ἡμῖν ὑποδείξητε. Ἀλλὰ καὶ τὸ ἀπερίγραφον τῷ λόγῳ τοῦ ἀπεριγράφου ὅλον εἶναι, ὥσπερ καὶ τὸ περιγραπτὸν τῷ λόγῳ τοῦ περιγραπτοῦ δέ-

δείκται· καὶ συντίθεσθαι οὖν δυνάμενον, εἴγε τοῦτο ὑμῖν δοκεῖ συνθέσεως εἶναι κωλυτικόν· καὶ ὅτι ὡς περιγράφειν τὸ ἐμμερὲς οὐκ ἐμποδίζεται τὸ ἀμερὲς, οὕτως οὐδὲ συντίθεσθαι, κατὰ τὸ ἑαυτῷ μέντοι οἰκεῖον, καὶ οὐκ ἐμμερῶς· οὐκοῦν καὶ μειρακίοις εὔδηλον τὸ ἀνίσχυρον τοῦ ὑμετέρου ἀσεβοῦς συμπεράσματος, τὸ λέγον· Οὐκ ἄρα συνετέθη ὁ Θεὸς Λόγος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ. Οὕτω μὲν οὖν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου ἐξεχύθη καὶ διεσκορπίσθη πάντα ὑμῶν τὰ σοφίσματα, διὰ τὸ ἐν ἀπιστίᾳ συμπαγῆναι καὶ ἐν ἀγνοίᾳ τῆς δυνάμεως τοῦ θείου βουλήματος.

Ἀλλ', ὦ οὗτοι, εἰ καὶ μηδεὶς ἦν ὁ λόγος ὁ ἐλέγχων ὑμῶν τὴν ἀτοπίαν, ἆρα γε οὕτως ἐννοεῖν οὐ φρίττομεν, ὅτι ὁ μὴ ὄντα τάδε τὰ ὄντα πάντα καὶ τὰς τοιάσδε αὐτῶν συνθέσεις ἐξευρὼν Θεὸς πάσας καὶ ποιήσας εἶναί τε αὐτὰ, καὶ τοιῶσδε εἶναι, οὐκ ἠδύνατο καινοτέραν τινὰ καὶ ἀναγκαιοτέραν σύνθεσιν παρὰ τὰς ἐγνωσμένας ἡμῖν ἧδε προβάλλεσθαι, καὶ ἐφευρεῖν ἑαυτῷ, ὑπὲρ τῶν ὄντων ἑαυτὸν συνθεῖναι τῶν ὄντων τινὶ βουλόμενος, καὶ τὴν μήπω ἐντεταγμένην τοῖς οὖσιν ἐμφανίσαι; Πῶς οὖν, εἰ τοῦτο διαμφιβάλλοιμεν, οὐχὶ καὶ τὰ λοιπὰ πάντα τῶν ὄντων, ἔκ τινων προγεγονότων εἶναι, εἰκότως δοξάσομεν; Οὐ γὰρ ἦν οὔπω τις ἐγνωσμένη τινὶ σύνθεσις τῶν ὄντων· ὅτε κατ' ἀρχὰς Θεῷ ἐμηχανήθη. Καὶ ὅμως οὐδενὸς αὐτῶν πρώην ὄντος, ὕστερον ποιήσειν τὸν Θεὸν τὰ πάντα σύνθετα ὁμολογοῦμεν. Πότε δὲ καὶ ποῖ ἄλλος γέγονε κόσμος ἢ ἐπεφάνη τοιόσδε Χριστὸς τῷ κόσμῳ; Δῆλον οὖν, ὅτι ἐν ἀρχῇ τε καὶ ἐκ μὴ ὄντων, κατὰ τὴν τῶν Χριστιανῶν εὐσέβειαν καὶ κατὰ τὴν Ἑβραϊκὴν δόξαν, ποιεῖ ὁ Θεὸς ἃ βούλεται· καὶ φύσεως γὰρ αὐτὸς Ποιητὴς ὤν, πῶς οὐ δύναιτο ἂν εἶναι καὶ τῶν φυσικῶν καινιστὴς ἀθεώρητος;

ΚΕΦΑΛ. Β'.

Πᾶν οὖν συντιθέμενον ἑτέρῳ, περιγραπτόν ἐστι καὶ ἐμμερὲς, καθὼς ἐδιδάχθη ἀνωτέρω· πᾶν δὲ περιγραπτὸν καὶ ἐμμερὲς, ἑτεροούσιόν ἐστι τῷ ἁπλῷ καὶ ἀπεριγράφῳ. Εἰ δὲ τοῦτο, οὐ συνετέθη ὁ Θεὸς Λόγος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ, ὁμοούσιος ὢν τῷ ἁπλῷ καὶ ἀπεριγράφῳ Πατρί· ἢ συντεθεὶς, ἑτεροούσιός ἐστι τῷ ἁπλῷ καὶ ἀπεριγράφῳ Πατρὶ, ὅπερ ἀσεβές. Ἀλλ' οὐχ, ὡς ἀπεφάνθη παρ' ὑμῶν, πᾶν ὁτιοῦν συντιθέμενον ἑτέρῳ κατὰ τὴν οἱανοῦν σύνθεσιν, περιγραπτόν ἐστι καὶ ἐμμερὲς, ὡς ἀπεδείχθη ἀνωτέρω ἀληθῶς παρ' ἡμῶν, καὶ μάτην ἑαυτοὺς περὶ τῶν ἀβεβαίων πληροφορεῖτε. Ἐπὶ δὲ τοῖς ὡμολογημένοις κατασκευάζειν ἕτερά τινα πρὸς ἀπόδειξιν τῶν ὑμετέρων ἐπιχειροῦντες, ταυτὸν πεπόνθατε τοῖς οἰκοδομεῖν ἐν ἀέρι, ἢ παπύρῳ στηρίζεσθαι βουλομένοις. Ἐπεὶ οὖν τὰ ἐναντία μᾶλλον ὧν ὑπέθεσθε ἀποδέδεικται ἡμῖν, δῆλον ὅτι καὶ τὰ ἐναντία τοῖς ὑμετέροις συμπεράσμασι συναχθήσεται· εἰ γάρ τινι τῶν ἐναντίων ἕπεται, καὶ τῷ ἐναντίῳ τοῦδε πάντως τὸ ἐναντίον ἕψεται.

ΚΕΦΑΛ. Γ'.

Πᾶν ὁτιοῦν συντιθέμενον ἑτέρῳ, ἑτεροούσιόν ἐστι

A ideoque uniri posse, quamvis unioni vobis hoc obstare videatur, ac, quemadmodum nihil obstat quin partibus constans partibus carente terminetur, ita nec ullum obstat quin partibus carens secundum quod proprium est sibi, nec modo partibus constantium uniatur; evidens est ergo etiam junioribus impiæ vestræ conclusionis infirmitas, dicentis: Non ergo Deus Verbum homini alicui ex nobis unitus est. Sic ergo ut pulvis ante faciem venti dissipantur ac disperguntur omnia vestra sophismata, eo quod in infidelitate ignorantiaque virtutis divini consilii composita sunt.

At, o vos, etsi nullus esset sermo stultitiam vestram confutans, nonne ita credere horreamus, cum Deus quæ non erant omnia exsistentia eorumque B omnes hujusmodi uniones adinvenisset, illaque esse fecisset, talique modo esse, ipsum fuisse impotentem recentiorem quamdam magisque necessariam unionem præter eas quæ a nobis notæ sunt sic ostendendi, sibique adinveniendi, supra entia seipsum cuidam entium uniri volentem, hancque unionem adhuc inauditam inter entia revelare? Quomodo igitur, si in hoc immoremur, non etiam omnia reliqua entium, ex quibusdam esse antea factis, jure putabimus? nondum enim quæquam erat unio entium alicui nota, quando in principio creavit Deus. Cumque tamen nihil horum antea esset, postea omnia unita facturum Deum confitemur. Quando autem atque ubi alius factus est mun- C dus seu revelatus est hujusmodi Christus mundo? Patet ergo, in principio exque non entibus, secundum fidem Christianorum doctrinamque hebraicam, facere Deum quod vult. Cum sit autem ipse Creator, quomodo quoque naturalium renovator invisibilis esse nequiret?

CAP. II.

Omne igitur quod alteri unitur, finitum constansque partibus est, juxta quod superius dictum est; omne autem finitum partibusque constans alterius est substantiæ ac simplex atque infinitum; si vero hoc, non unitus est Deus Verbum alicui ex nobis, cum sit consubstantialis simplici infinitoque Patri; sin contra unitus, non est consubstantialis simplici infinitoque Patri, quod est blasphemia. At D non, ut a vobis probatum est, omne quodcunque alteri unitum juxta qualemcunque unionem, finitum est constansque partibus, ut evidenter a nobis superius demonstratum est, frustraque incertorum vosmetipsos certiores facere enitimini. Vosmetipsos comparantibus vobis ad opiniones vestras demonstrandas, idem accidit ac in aere ædificare, seu papyro inniti volentibus. Cum igitur contraria magis illis quæ supposuistis a nobis demonstrata sint, patet etiam contraria vestris conclusionibus esse colligenda; si enim aliquod contrariorum sequitur, contrarium quoque hujusce certissime contrarium sequetur.

CAP. III.

Omne quodcunque alteri unitum, alterius est

substantiæ ac simplex infinitusque Pater; omne A autem alterius substantiæ ac simplex infinitusque Pater, non est proprie Filius simplicis infinitique Patris: si vero omne alteri unitum non est proprie Filius simplicis ac infiniti Patris, non unitus est Deus Verbum alicui ex nobis, cum sit proprie Filius Patris; sin contra unitus, non est proprie Patris Filius Deus Verbum, quod est blasphemia. Eorumdem vestris repetitionibus adducti, loquimur et nos: sed ne vobis displiceat, non omne alteri unitum, alterius est substantiæ ac simplex infinitusque Pater, omneque vestrum hocque ratiocinium tollitur, prima ejus propositione sublata; nihil enim ædificii firmum manet, fundamentis funditus eversis. Tantummodo autem apud seipsos sapientes, sæpe incertis innixi, nihil aliud agere videntur B quam in aqua scribere, attentare ignem, aeremque verberare.

τῷ ἁπλῷ καὶ ἀπεριγράφῳ Πατρί· πᾶν δὲ ἑτεροούσιον τῷ ἁπλῷ καὶ ἀπεριγράφῳ Πατρὶ, οὐκ ἔστι κυρίως Υἱὸς τοῦ ἁπλοῦ καὶ ἀπεριγράφου Πατρός· πᾶν ἄρα τὸ συντιθέμενον ἑτέρῳ, οὐκ ἔστι κυρίως Υἱὸς τοῦ ἁπλοῦ καὶ ἀπεριγράφου Πατρός. Εἰ δὲ πᾶν συντιθέμενον ἑτέρῳ οὐκ ἔστι κυρίως Υἱὸς τοῦ ἁπλοῦ καὶ ἀπεριγράφου Πατρὸς, οὐ συνετέθη ὁ Θεὸς Λόγος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ κυρίως ὑπάρχων Υἱὸς τοῦ Πατρός· ἢ συντεθεὶς, οὐ κυρίως ὑπάρχει τοῦ Πατρὸς Υἱὸς ὁ Θεὸς Λόγος, ὅπερ ἀσεβές. Ταῖς ὑμετέραις πάλιν συμπεριαγόμενοι ταυτολογίαις, καὶ ἡμεῖς φαμεν· Ἀλλ', ὦ οὗτοι, οὐ πᾶν συντιθέμενον ἑτέρῳ, ἑτεροούσιόν ἐστι τῷ ἁπλῷ καὶ ἀπεριγράφῳ Πατρί· καὶ πᾶς ὑμῶν καὶ ὁ παρὼν ἀναιρεῖται συλλογισμὸς, τῆς πρώτης αὐτοῦ προτάσεως ἀνατραπείσης· οὐδὲν γὰρ ἀκατάπτωτον μένει τοῦ οἰκοδομήματος, τῶν θεμελίων ἐκ βάθρων προανατετραμμένων. Οἱ δὲ παρ' ἑαυτοῖς καὶ μόνον φρόνιμοι, πολλάκις τοῖς ἀβεβαίοις ἐνισχυριζόμενοι, οὐδὲν ἕτερον δοκοῦσι ποιεῖν, ἢ ἐφ' ὕδατος γράφειν, καὶ κατὰ πυρὸς ξαίνειν, καὶ εἰς ἀέρα δαίρειν.

CAP. IV.

Omne quodcunque alteri unitum, modo catachresis dicitur, siquidem dicitur Filius simplicis infinitique Patris; omne autem modo catachresis dictum Filius simplicis infinitique Patris, simplicis infinitique Patris proprie creatura est. Omne ergo alteri unitum, proprie creatura est simplicis infinitique Patris; si autem hoc ita sit, non unitus est Deus alicui ex nobis, cum sit omnium Creator nec C creatura Patris; sin contra unitus, creatura est simplicis ac infiniti, nec proprie Filius, quod est blasphemia. Non demonstratis vestris axiomatibus semper opponere affirmant simpliciter aliquam propositionem ipsorum. Asserunt autem affirmationem, nullus ergo labor est contradicenti. Prima erant generose proferenda vobis, ne secunda turpiter inferretis; cum enim in primis sententiæ vestræ radicitus eversæ forent, stultum videretur de secundis plerumque vobis respondere, siquidem omnia vestra, etiam hocce, ratiocinia vi primæ vestræ rationis nituntur. Cæterum autem cum unus tantum sit verus Filius infinito Patri ipseque sit unitus, quomodo catholicæ doctrinæ demonstrandum esset, non uniri filios proprie dictos infiniti, seu fidei, omnem Filium in- D finiti, cum sit proprie, non esse unitum? Etsi specialia, de quibus nec species nec genus est, *catholice* demonstranda sint; siquidem omne corpus in loco est, cœlum quoque igitur est in loco, et hoc in infinitum. Cum etiam nullum astrum interdiu sit, nec lucifer, licet certis temporibus appareat. Cum etiam nullum punctum usquam sit in medio circulo, nec ergo centrum. Quomodo quoque appellari vellent unionem cum filiatione tam mirabili, sive proprie dicta, sive modo catachresis? Quales enim quali, et quantum quanto, quantus autem Cyro unitus, lapisque ligno. Num quoniam modo catachresis Filius est, infiniti est unitus, vel quoniam nec modo catachresis, nec proprio modo? Si au-

ΚΕΦΑΛ. Δ'.

Πᾶν ὁτιοῦν συντιθέμενον ἑτέρῳ, καταχρηστικῶς πως λέγεται, εἴπερ καὶ λέγεται Υἱὸς τοῦ ἁπλοῦ καὶ ἀπεριγράφου Πατρός· πᾶν δὲ τὸ καταχρηστικῶς πως λεγόμενον Υἱὸς τοῦ ἁπλοῦ καὶ ἀπεριγράφου Πατρὸς, κυρίως κτίσμα τοῦ ἁπλοῦ καὶ ἀπεριγράφου Πατρὸς ὑπάρχει. Πᾶν οὖν ἄρα συντιθέμενον ἑτέρῳ, κυρίως κτίσμα τοῦ ἁπλοῦ καὶ ἀπεριγράφου Πατρὸς ὑπάρχει. Εἰ δὲ τοῦτο ᾖ, οὐ συνετέθη ὁ Θεὸς τῷ ἐξ ἡμῶν ἀνθρώπῳ, Κτίστης ὑπάρχων τοῦ παντὸς, καὶ οὐ κτίσμα τοῦ Πατρός· ἢ συντεθεὶς, κτίσμα ἐστὶ τοῦ ἁπλοῦ καὶ ἀπεριγράφου, καὶ οὐχ Υἱὸς κυρίως, ὅπερ ἀσεβές. Τοῖς ἀναποδείκτοις ὑμῶν ἀξιώμασιν ἀεὶ ἀντιτιθέναι καταφάσκουσι μὲν ἁπλῶς τινα τὴν ἀπόφασιν αὐτῶν· ἀποφάσκουσι δὲ τὴν κατάφασιν, κόπος μὲν οὐδεὶς τῷ ἀντιλέγοντι. Δέον δὲ ἦν ὑμᾶς, τὰ πρῶτα γενναίως προβάλλεσθαι, ἵνα μὴ τὰ δεύτερα σαθρῶς ἐπιφέρητε· ἐπεὶ γὰρ ἐν τοῖς πρώτοις ἐκ ῥιζῶν ἀνατέτραπται τὰ ὑμέτερα, λῆρος ἂν δόξειε περὶ τῶν δευτέρων ἐπὶ πλεῖστον ὑμῖν ἀποκρίνασθαι, πάντων ὑμῶν τῶν μέχρι τοῦ παρόντος συλλογισμῶν, τῇ τοῦ πρώτου ὑμῶν ἐπιχειρήματος δυνάμει ἐπιστηριζομένων. Ἄλλως δὲ ἑνὸς ὄντος μόνου Υἱοῦ ἀληθοῦς τῷ ἀπεριγράφῳ Πατρὶ τοῦ καὶ συντεθέντος, πῶς ἔστι διὰ καθολικῆς ἀποφάσεως δεικνύειν, ὅτι οὐ συντίθενται οἱ κυρίως υἱοὶ τοῦ ἀπεριγράφου, ἢ διὰ καταφάσεως ὅτι πᾶς Υἱὸς τοῦ ἀπεριγράφου, κυρίως ὤν, καὶ ἀσύνθετός ἐστιν; Εἰ γὰρ καὶ τὰ ἰδικῶς ὄντα, ἐφ' ὧν οὐκ ἔστιν εἶδος ἢ γένος, διὰ τῶν *καθόλου* δεικτέον· ἐπεὶ πᾶν σῶμα ἐν τόπῳ, καὶ ὁ οὐρανὸς ἄρα ἐν τόπῳ, καὶ τόδε ἐπ' ἄπειρον. Καὶ ἐπεὶ οὐδὲν ἄστρον ἡμεροφανὲς, οὐδὲ ὁ φωσφόρος, καίτοι κατὰ πλείους ὤφθη καιρούς. Καὶ ἐπεὶ οὐδεμία στιγμὴ ἐν τῷ μεσαιτάτῳ πάντη τοῦ κύκλου, οὐδ' ἄρα τὸ κέντρον· τίνα δὲ καὶ θέλοιεν ἔχειν λόγον σύνθεσις μετὰ υἱότητος ἀγχινουστάτου, εἴτε κυρία, εἴτε καταχρηστική; ποιὸν γὰρ ποιῷ, καὶ ποσὸν ποσῷ, καὶ ὁ ποσὸς Κύρῳ, καὶ λίθος ξύλῳ συντιθέμε-

νος. Ἆρα διὰ τὸ καταχρηστικῶς εἶναι Υἱὸς τοῦ ἀπεριγράφου συνετέθη, ἢ οὐδὲ διὰ τὸ καταχρηστικῶς, οὐδὲ διὰ τὸ κυρίως; εἰ δὲ δι' οὐδὲν τούτων συντίθεταί τινα, οὐδὲ διά τι τούτων ἀσύνθετα μείναιέν τ' ἄν, ἀλλὰ δι' ἑτέρους οἰκείους καὶ ἀναγκαίους τῇ συνθέσει λόγους.

A tem nullo ex his modis quædam uniuntur, nec ullo ex his non unita permanebunt, sed aliis propriis necessariisque unioni vocibus.

ΚΕΦΑΛ. Ε'.

Πᾶσα οὐσία ἀπερίγραφος πανταχοῦ, καὶ ἐν ἑκάστῳ καὶ ἐφ' ἑαυτῇ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως ὑπάρχει ἀπερινοήτως καθὸ οὐσία, ἐπεὶ τοῦτο ἴδιον ἀπεριγράφου· πᾶν δὲ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως ἐν πᾶσιν ὑπάρχον, ἀλλοίως καὶ ἀλλοίως οὐ δύναται εἶναι ἔν τινι καθὰ οὐσία· τὸ γὰρ *ὡσαύτως* ἀναιρετικόν ἐστι τοῦ *ἀλλοίως καὶ ἀλλοίως*. Πᾶσα ἄρα οὐσία ἀπερίγραφος οὐ δύναται ἀλλοίως καὶ ἀλλοίως εἶναι ἔν τινι καθὸ οὐσία. Εἰ δὲ τοῦτο, ζητητέον, Ἆρα τὴν οὐσίαν τοῦ Θεοῦ Λόγου περιγραπτὴν εἶναί φαμεν, ἢ ἀπερίγραφον; Καὶ εἰ μὲν περιγραπτὴν εἴποιμεν, πρόδηλον τὸ βλάσφημον. Εἰ δὲ ἀπερίγραφον, ἢ πᾶσι σύγκειται ἡ οὐσία τοῦ Θεοῦ Λόγου, ἢ οὐδενὶ σύγκειται ἡ οὐσία τοῦ Θεοῦ Λόγου· ἀλλοίως γὰρ καὶ ἀλλοίως ἔν τινι οὐ δύναται εἶναι καθὸ οὐσία, ἐπεὶ καὶ ἀπερίγραφος· ὡμολόγηται δὲ ὅτι πᾶσιν οὐ σύγκειται· οὐδὲ ἄρα τινὶ σύγκειται· καὶ ἀσεβοῦσιν οἱ λέγοντες συγκεῖσθαι τὴν οὐσίαν τοῦ Θεοῦ Λόγου τῇ ἐξ ἡμῶν εἰς οἰκείαν αὐτοῦ φανέρωσιν ληφθείσῃ σαρκί. Ὄντως ἐν ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλὸς, καὶ ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ· κατὰ γὰρ τὰ νῦν παρ' ὑμῶν εἰρημένα, εἰ πανταχοῦ καὶ ἐν ἑκάστῳ, ἤγουν ἐν ἑνὶ καὶ παντὶ περιγραπτῷ, καὶ ἐφ' ἑαυτῇ ἤγουν ἐν τῷ ἀπεριγράπτῳ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως ὑπάρχει ἡ ἀπερίγραφος οὐσία· καὶ τοῦτο ἴδιον, ὥς φατε, ἀπεριγράφου οὐσίας, μὴ ἑτέρως εἶναι ἐν τῷ περιγραπτῷ καὶ ἑτέρως ἐν ἑαυτῇ, ἤγουν ἐν τῷ ἀπεριγράπτῳ· καὶ οὐ δύναται ἀλλοίως εἶναι ἐν οἷς ἐστιν, εἰ καὶ ἀλλοῖά εἰσιν ἐκεῖνα, καθὼς ἤδη ὑπέθεσθε· ἔν τε γὰρ τοῖς περιγραπτοῖς καὶ ἐν ἑαυτῇ ἀπεριγράπτῳ οὔσῃ ὁμοίως ἐστὶ, πῶς διὰ τὸ ἀπερίγραπτον εἶναι, οὐ δυνατὸν εἶναι αὐτὴν ἔν τινι περιγραπτῷ πρώην τε καὶ νῦν; Ἔσται γὰρ κατὰ τὸ ἀκόλουθον τοῖς ὑμετέροις, οὐδὲ ἐν ἑαυτῇ δυναμένη εἶναι, εἴπερ ὁμοίως ἔν τε ἑαυτῇ καὶ ἐν τοῖς παρ' αὐτὴν ἐστιν· ἀνάγκη δὲ ἦν μᾶλλον, εἴγε ὁμοίως ἐστὶν ἐν πᾶσιν, ὡς καὶ ἐν ἑαυτῇ, μηδὲν ἐμποδίζεσθαι τοῦ εἶναι αὐτὴν ἐν περιγραπτῷ, ἀλλ' ὡς ἐν ἀπεριγράπτῳ, καὶ ὡς ἐν ἑαυτῇ ἁπλῶς, οὕτω γε κατὰ τὰ ὑμέτερα, καὶ ἐν τῷ περιγραπτῷ εἶναι. Καὶ τοὐναντίον ὑμῖν ἀπεδείχθη ἤπερ βούλεσθε, ἐν τούτῳ τε καὶ τοῖς προλαβοῦσιν ἐπιχειρήμασι, τοῦ μὴ δυνατὸν εἶναι συντίθεσθαι περιγραπτῷ τὸ ἀπερίγραπτον.

CAP. V.

Omnis essentia est infinita ubique, in unoquoque atque in semetipsa secundum idem et similiter modo incomprehensibili ut essentia, siquidem hoc proprium est infiniti. Omne autem secundum idem ac similiter in omnibus exsistens, aliter et aliter esse nequit in aliquo ut essentia; *similiter* enim excludit *aliter et aliter*. Omnis ergo essentia infinita non potest aliter et aliter esse in aliquo ut essentia. B Si vero hoc esset, esset quærendum an essentiam Dei Verbi finitam vel infinitam esse dicamus? ac si finitam dicimus, evidens est blasphemia. Si vero infinitam, sive omnibus subjiciatur essentia Dei Verbi, sive nulli subjiciatur essentia Dei Verbi; aliter enim et aliter in aliquo nequit esse ut essentia, imo et infinita; fatentur autem omnes non omnibus subjici; non ergo alicui subjicitur, blasphemantque qui dicunt essentiam Dei Verbi nostræ carni ad sui manifestationem assumptæ subjici. Vere operibus illius manuum allevatus est peccator pœnaque ipsius in ipsius caput conversa est; juxta enim quæ vos nunc dicitis, si ubique ac in unoquoque, sive in uno omnique finito, atque in se- C metipsa sive in infinito secundum idem et similiter exsistit infinita essentia; hocque proprium, ut dicitis, infinitæ essentiæ, non aliter esse in finito atque aliter in semetipsa, sive in infinito; nec potest aliter esse in quibus est, etsi altera sit illa, ut jam supposuistis; in finitis enim ac in semetipsa infinita similiter essentia est, quomodo ob esse infinitum, non est possibile heri et hodie eam esse in aliquo finito? Juxta enim consequentiam principiorum vestrorum erit, nec in semetipsa esse posse, si est similiter et in semetipsa et in his quæ apud illam sunt. Necesse autem erat potius, siquidem similiter est in omnibus, sicut et in semetipsa, neutiquam impediri quin esset in finito, sed ut in infinito, sicut et in semetipsa simpliciter, ita quidem, juxta vestram sententiam, in finito quoque esset. D Aliud ergo a vobis quam vultis demonstratum est, in hoc atque in præcedentibus ratiociniis, scilicet impossibile esse finito infinitum uniri.

Εἰ δ' οὖν διὰ τὸ μὴ ἀλλοίως καὶ ἀλλοίως ἐνεῖναί τισι δύνασθαι τὸ ἀπερίγραπτον, οὕτως ἐν Χριστῷ, ὡς καὶ ἐν πᾶσιν εἶναι αὐτὴν βιάζεσθε· ἆρ' οὖν διὰ τὸ *ὡσαύτως* ἐμφαίνεσθαι, καὶ *ἐφ' ἑαυτῇ*, ὥς φατε, ὡς καὶ ἐν πᾶσιν, οὕτως ἔσται ἐν ὕδατι, καὶ λίθῳ, καὶ φυτῷ, καὶ μύρμηκι, καὶ ἰχθύϊ, καὶ ἵππῳ, καὶ ἀνθρώπῳ, καὶ ἀγγέλῳ, καὶ ἐν πᾶσιν ὡς ἐφ' ἑαυτῇ. Εἰ δὲ οὐχ' ὁμοίως ἐφ' ἑαυτῇ καὶ ἐν μύρμηκί ἐστι, λέλυται τὸ *ὡσαύτως*, καὶ ἔσται ἐν Χριστῷ παρὰ

Si igitur eo quod non aliter et aliter in quibusdam inesse non potest infinitum, ita in Christo, sicut et in omnibus eam esse contenditis; ergo ut *similiter* appareat atque *in semetipsa*, ut dicitis, quemadmodum et in omnibus, sic erit in aqua, in planta, in formica, in pisce, in equo, in homine, in angelo, atque in omnibus ut in semetipsa. Si vero non similiter est in semetipsa et in formica, solvitur *similiter*, eritque in Christo supra omnia alia

entium. Quando dicitis non in omnibus esse credi, nec ergo in aliquo esse respondetur; quando vero dicitis in omnibus esse sicut et in semetipsa, contrarium audietis, eo quod potius omnes conveniunt in semetipsa esse, evidens igitur est etiam in omnibus esse vere; verba enim vestra dicunt in omnibus similiter esse, sicut et in semetipsa. Vel igitur nec in semetipsa est, sed in semetipsa atque a semetipsa distinguitur; vel in semetipsa est, atque in aliquo et in omnibus est. Ita vero ne una sit unio, aut unicus modus unionis inveniatur, sed ut infinito omnem modum hujusmodi agnoscatis vos qui amovere vultis Verbi cum carne veram et gloriosissimam unionem.

τοὺς ἄλλους τῶν ὄντων πάντας. Πρὸς δὲ τὸ λέγειν ὑμᾶς, ἐπεὶ ὡμολόγηται ὅτι ἐν πᾶσιν οὐκ ἔστιν, οὐδ' ἄρα ἔν τινί ἐστι, τοὺς εἰπόντας ὅτι ἐν πᾶσιν ἐστὶν ὡς καὶ ἐφ' ἑαυτῇ, τοὐναντίον ἀκούσεσθε, ὅτι ἐπεὶ μᾶλλον τοῦδε ὡμολόγηται πᾶσιν ὅτι ἐν ἑαυτῇ ἐστι, σαφὲς ἂν εἴη, ὅτι Οὐκοῦν καὶ ἐν πᾶσιν ὄντως ἐστί· τὰ γὰρ ἐξ ὑμῶν φασιν ὅτι ἐν πᾶσιν ὁμοίως ἐστὶν, ὡς καὶ ἐν ἑαυτῇ. Ἢ οὖν οὐδὲ ἐν ἑαυτῇ ἐστιν, ἀλλὰ παρ' ἑαυτήν τε καὶ ἑαυτῆς διακεκριμένη, ἢ ἐν ἑαυτῇ ἐστι καὶ ἔν τινι καὶ ἐν πᾶσίν ἐστιν· ὡς μηδεμίαν εἶναι ἢ ἐπινοεῖσθαι λοιπὸν μόνην, ἀλλὰ πᾶσαν τῷ ἀπεριγράφῳ μαρτυρεῖσθαι σύνθεσιν παρ' ὑμῶν τῶν βουλομένων ἀθετῆσαι τὴν ἀληθῶς τοῦ Λόγου πρὸς τὴν σάρκα, ὑπερένδοξον ἕνωσιν.

CAP. VI.

Omne quodcunque alteri unitum ad perficiendam unam naturam sive et hypostasim viventem, fit pars hujus naturæ seu hypostasis; omnis vero pars unius naturæ seu hypostasis viventis, naturali necessitate compatitur cum parte quacum hujuscemodi naturam seu etiam hypostasim perficit. Nec volens anima, compatitur cum corpore. Quemadmodum cessat proprias operationes tunc cum membra corporis, quibuscum operatur læsa fuerint, ita et corpus naturali necessitate pœnis ærumnisque animæ tabescit. Deum autem Verbum necessario compati cum nostra animata carne dicere, non est justum; non ergo unitus est Deus Verbum alicui e nobis in unius naturæ seu hypostasis subsistentiam; si vero unitus est, et necessario passus est, quod est blasphemia, libet ante omnia vos interrogare an idem naturam et hypostasim existimetis etiam vos, quasi naturæ unius propugnatores. Si enim hoc quoque vos dicitis, en a vobis sine pugna errantes deprehendimini, nominaque alia aliasque voces plurium appellationum usurpatione dissimulantes; a nobis enim cito in hoc confutabimini. Primo autem de voce *Trinitatis;* si enim *idem* admittitis *hæc* esse, vel tres substantias, vel unam existimatis divinam hypostasim. Secundo vero, quia duas naturas nos dicimus, duas quoque hypostases Domini nos vultis dicere; quasi non satis dictum fuisset pro vestra doctrina de natura duplici, nisi etiam adderetur duplex hypostasis. Alia quoque vos extollunt de hoc dicto in proprio loco, in quo simul vos et qui ex parte sunt Eutychis, hoc nobis meditamini dicentes, naturam et hypostasim idem significare: *Aut igitur duas quoque hypostases, aut ne naturas quidem dicite.* Sed alibi de his vos et illi confutati estis.

Si vero illud nunc erubescitis dicere, utque alienum utrumque usurpatis, hoc enim dicere videtur conjunctio *et*; dicitis enim: *perficiendam unam naturam sive et hypostasim viventem:* cum non dixeritis *unam naturam, sive hypostasim,* sed cuidam disjunctivæ conjunctioni copulativam *et* addideritis, nobis vo-

ΚΕΦΑΛ. Ϛ'.

Πᾶν ὁτιοῦν συντιθέμενον ἑτέρῳ εἰς τὸ ἀποτελέσαι μίαν φύσιν ἢ καὶ ὑπόστασιν ζῶσαν, μέρος εὑρίσκεται ταύτης τῆς φύσεως ἢ καὶ ὑποστάσεως· πᾶν δὲ μέρος μιᾶς φύσεως ἢ καὶ ὑποστάσεως ζώσης, φυσικῇ ἀνάγκῃ συμπάσχει τῷ μέρει μεθ' οὗ τὴν τοιάνδε φύσιν ἢ καὶ ὑπόστασιν ζῶσαν ἀπετέλεσε. Μὴ θέλουσα δὲ ἡ ψυχὴ, συμπάσχει τῷ σώματι· ὡς καὶ παύεσθαι τῶν οἰκείων ἐνεργειῶν ποτε, τῶν τοῦ σώματος μελῶν, μεθ' ὧν ἐνεργεῖ, βλαπτομένων· ὁμοίως καὶ τὸ σῶμα φυσικῇ ἀνάγκῃ συντήκεται ταῖς λύπαις τῆς ψυχῆς καὶ ταῖς μερίμναις. Τὸν δὲ Θεὸν Λόγον ἀνάγκῃ λέγειν συμπεπονθέναι τῇ ἐξ ἡμῶν ἐμψύχῳ σαρκὶ, οὐ θέμις· οὐκ ἄρα συνετέθη ὁ Θεὸς Λόγος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ εἰς μιᾶς φύσεως ἢ καὶ ὑποστάσεως σύστασιν. Εἰ δὲ συνετέθη, καὶ πέπονθεν ἀνάγκῃ, ὅπερ ἀσεβὲς, ἡδέως ἂν ὑμῶν πυθοίμην πρό γε ἁπάντων, εἰ ταυτὸν φύσιν καὶ ὑπόστασιν οἴεσθε καὶ ὑμεῖς, ὥσπερ καὶ οἱ φύσεως μιᾶς ὑπερμαχοῦντες. Εἰ γὰρ τοῦτο καὶ ὑμεῖς φατε, ἴδε ἀκονητὶ ἡμῖν φωραθήσεσθε σοφιζόμενοι, καὶ τὰ ἑτερώνυμα καὶ ἑτερόσημα διὰ προλήψεως τῶν πολυωνύμων συσκιάζοντες· ἐλεγχθήσεσθε γὰρ τέως ἡμῖν ἐν τούτῳ. Πρῶτον μὲν κατὰ τὸν *τριαδικὸν* λόγον· εἰ γὰρ τὸ αὐτὸ ἐκδέχεσθε τάδε εἶναι, ἢ τρεῖς τὰς οὐσίας, ἢ μίαν οἴεσθε τὴν θείαν ὑπόστασιν. Δεύτερον δὲ, ὅτι καὶ δύο φύσεις ἡμῶν λεγόντων, εἰσπράττετε ἡμᾶς δύο λέγειν καὶ ὑποστάσεις τοῦ Κυρίου· ὡς οὐκ ἐντελῶς εἰρημένον πρὸς τὴν ὑμετέραν δόξαν τοῦ διττοῦ τῆς φύσεως, ἐὰν μὴ πρόσεστι καὶ τὸ διπλοῦν τῆς ὑποστάσεως. Καὶ τὰ ἄλλα δὲ ὑμᾶς θριαμβεύσει τὰ περὶ τούτου ἐν τῷ ἰδίῳ εἰρημένα κεφαλαίῳ· ἐν ᾧ κοινῶς ὑμεῖς τε καὶ οἱ ἀπὸ Εὐτυχοῦς, τοῦτο ἡμῖν ἐσχαιωρήσατε λέγοντες, ὅτι φύσις καὶ ὑπόστασις ταυτὸν σημαίνει· *Ἢ οὖν δύο καὶ τὰς ὑποστάσεις, ἢ μηδὲ τὰς φύσεις λέγοιτε.* Ἀλλ' ἑτέρωσε μὲν τάδε ὑμῖν τε κἀκείνοις διήλεγκται.

Εἰ δὲ τοῦτο νῦν αἰδεῖσθε λέγειν, καὶ ὡς ἕτερον λαμβάνετε ἑκάτερον· τοῦτο γὰρ δοκεῖ μαρτυρεῖν ὑμῖν ὁ *καὶ* σύνδεσμος, φασκόντων, *Εἰς τὸ ἀποτελέσαι μίαν φύσιν ἢ καὶ ὑπόστασιν ζῶσαν·* ἐπεὶ οὐκ εἰρήκατε *μίαν φύσιν*, *εἴτουν ὑπόστασιν*, ἀλλὰ προσθετικῷ τινι συνδέσμῳ *καὶ* τὸ ἕτερον ἐπη-

γάγετε, τοῦτο λέγειν ἔχοιμεν πρὸς ὑμᾶς, ὡς εἰ πρὸς τοὺς λέγοντας μίαν φύσιν ἐκ τῆς *συνθέσεως* ἀποτελεῖσθαι ἀπετείνεσθε μόνον διὰ τῶνδε, εἶχεν ἄν τι ὑμῖν τὸ ἐπιχείρημα. Ἐπειδὴ δὲ πρὸς τοὺς μίαν τὴν ὑπόστασιν, καὶ οὐ τὴν φύσιν, ἐκ τῆς συνθέσεως ἡμᾶς ὁμολογοῦντας, τὸ αὐτὸ ἐγκαλεῖν ἀπηρυθριάσατε, πρῶτον μὲν, πῶς μέρος φατὲ τῆς ἐνουσίου ὑποστάσεως πᾶν τὸ συντιθέμενον εἰς τὸ ἀποτελέσαι αὐτὴν, ἀκούσωμεν· τῆς γὰρ ὑποστάσεως ἡ ὑπογραφὴ, ἐξ ἰδιοτήτων τινῶν παρὰ τὰ ὁμοούσια ἔν τινι ἐπουσιωδῶν ἢ ἐπιουσιωδῶν καὶ συμβεβηκότων τινῶν, ἀχωρίστως ὄντων ἢ ἐπιγενομένων, συνίσταται. Οὔτε δὲ αἱ οὐσίαι τῶν συνθέτων μέρη τῶν ὑποστάσεών εἰσι· τῶν γὰρ οὐσιῶν, οὐσίαι τὰ μέρη γίνονται, οὐ τῶν ὑποστάσεων, οὐδὲ μὴν τῶν συμβεβηκότων τι τῶν γινομένων, χωρὶς τῆς τοῦ ὑποκειμένου ἀναιρέσεως, ὡς μέρος ἔν τινι ὑποστάσει ὑπάρχει· ἀλλ' οὐδὲ αὗται αἱ φυσικαὶ ἰδιότητες, ὡς μέρος εἰσὶ τῶν ὑποστάσεων ὧν εἰσιν οὐσιῶν, ἀλλὰ καὶ μερικοὶ λόγοι. Εἰ γὰρ μέρη αἱ ἰδιότητές εἰσι τῆς ὑποστάσεως, τὸ δὲ ὅλον συγγενὲς τοῖς ἑαυτοῦ μέρεσι καὶ ταυτὸν, καὶ οὐδὲν γένος παρὰ πάντα αὐτοῦ τὰ μέρη, ἔσται καὶ τὸ ὅλον τῆς ὑποστάσεως, ἰδιότης καθόλου μόνον ἀνούσιος. Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἐπεὶ πᾶσα ἰδιότης ἐστὶ τὸ ὅλον τῆς ὑποστάσεως, εἴπερ ἰδιότης ἢ ἑτέρου τινὸς ἔσται ἰδιότης· καὶ τοῦτο πάλιν ἐπ' ἄπειρον ζητητέον· ἢ οὐχ ἑτέρου οὖσα, οὐδὲ ἰδιότης ἔσται, οὐδὲ ὑπόστασις ἄρα. Οὐκ ἄρα οὖν οὐδὲ αἱ οὐσίαι, οὐδὲ τὰ συμβεβηκότα, οὐδὲ αἱ ἰδιότητες αἱ οὐσιώδεις ὡς μέρη εἰσὶ τῆς ἐνουσίου ὑποστάσεως· ἀλλ' ἐκ τῆς οὐσίας, περὶ τὴν οὐσίαν ἢ καὶ ἀλλαχόθεν ἐν αὐτῇ καὶ περὶ αὐτὴν, τινά ἐστι τάδε ἰδίως ἐν τῷδέ τινι θεωρούμενα. Πλὴν εἰ καὶ τοῦτο ὑμῖν συγχωρήσομεν (οὐ γὰρ σπουδαῖον περὶ τούτου νῦν ἀντιτάσσεσθαι, καὶ ὡς μέρος εἴη ἐν τῇ ὑποστάσει ἑαυτοῦ ὁ Θεὸς Λόγος), ἀκόλουθον ἔσται, μείζονα τῆς οὐσίας τῆς Θεότητος πάσης ἕκαστον τῶν τριῶν ἁγίων προσώπων ὡς ὅλον καὶ αὐτὸ νοεῖσθαι. Καὶ οὕτω μὲν τόδε.

Ἡ δευτέρα δὲ ὑμῶν πρότασις πάλιν, πῶς ἔχει τὸ βέβαιον, ὅτι πᾶν μέρος ὑποστάσεως λεγόμενον, συμπάσχειν τῷ ἑτέρῳ ἀνάγκη· καὶ τοῦτο ἀεὶ καὶ κατὰ πάντα ἀδιορίστως. Τῆς γὰρ τοῦ κόσμου ὑποστάσεως καὶ φύσεως, ἵππος, καὶ γύψ· καὶ οὐ μόνον οὐ συμπάσχει θατέρῳ θάτερον εἶδος, ἀλλὰ καὶ εὐσθενεῖ τὸ γύπειον, ἵππων ἀναιρουμένων· τὸ δὲ λεόντειον αὐτόθεν οὐδὲ ἔχει τὸ εἶναι, εἰ μὴ διὰ τῆς τοῦ βοείου τυχὸν καὶ τῶν τοιούτων ἐπιβουλῆς, ζωοφθόρον τι ὂν καὶ σαρκοφάγον. Τί δὲ ἂν εἴποι τις ὄρνιθας πεπονθέναι, εἰ νοσοῖεν αἱ τούτων ἐπίβουλοι ἀλώπεκες; Τοὐναντίον γάρ ἐστιν ἰδεῖν, ὡς ἑτέρου πάσχοντος μέρους τῶν ἐν τῷ κόσμῳ, ἕτερον εὐεκτεῖ· καὶ ἑτέρου εὐθαλοῦντος, ἕτερον δυσπραγεῖ. Ἀλλὰ καὶ τοῦ ἑνός τινος ἀνθρώπου κατά τινα διδάξαντα ἡμᾶς, κατὰ τὸ ἔξω διαφθειρομένου, ὁ ἔσω *ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ*. Καὶ γὰρ τοῦ αὐτοῦ κατ' ἀριθμὸν ἑνὸς, τὸ μὲν πνεῦμα, κατὰ τῆς σαρκὸς ἐπιθυμεῖ· ἡ δὲ σὰρξ, κατὰ τοῦ πνεύματος· καὶ τὰ τοῦ ἑνὸς ὁμοφυῆ πάντῃ πλεῖστα ὄντα μέρη, ἀν-

A biscum colloquendum esset, quasi hic solum vos contra eos qui dicunt unam naturam *unione* perfici contenderitis, sic aliquantum ratiocinium vestrum valeret. Cum autem adversum nos unam hypostasim, non autem unam naturam ex *unione* confitentes agatis, hoc nobis crimini vertere non erubescentes, quomodo omnem partem cum unius substantiæ hypostasi unitam esse ad illam perficiendam dicatis, primum audiamus: natura enim hypostasis constat ex proprietatibus quibusdam consubstantialium in aliquo essentialium aut quasi essentialium ac quibusdam accidentibus inseparabilibus vel supervenientibus. Nec vero substantiæ unitorum partes sunt hypostaseon; substantiarum enim substantiæ partes fiunt, non hypostaseon, nec etiam aliquod acci-
B dentium quæ fiunt, salvo subjecto, ut pars in aliqua hypostasi exsistit; sed nec illæ naturales proprietates, quasi pars sunt hypostaseon quæ sunt substantiæ, sed et particularia verba; si enim partes proprietates sunt hypostaseos, totum autem connaturale ipsius partibus et idem, ac nullum genus apud omnes ipsius partes, erit quoque totum hypostasis, proprietas in genere tantum non substantialis. Non solum autem hoc, sed et cum omnis proprietas sit totum hypostasis, ergo proprietas vel alicujus alterius erit proprietas, hocque rursum in infinitum erit quærendum, vel non alterius, nec tunc proprietas erit, nec ideo hypostasis. Non ergo nec substantiæ, nec accidentia, nec proprietates essentiales
C quasi partes sunt substantialis hypostasis, sed ex substantia, de substantia vel et aliunde in ipsa ac de illa, quædam sunt particulariter in quodam considerata. Sed etsi hoc vobis concesserimus, non tamen festinandum est ut nunc de hoc contendatur, cum in hypostasi ipsius esset tanquam pars Deus Verbum. Consequentia erit, majorem omni substantia Divinitatis unamquamque trium personarum sanctarum ut totum et ipsum intelligi. Hæc autem sufficiant.

Secunda autem vestra propositio, quomodo valet, scilicet, omnem partem, quæ dicitur hypostasis, necessario compati cum altera, hocque semper et in omnibus indefinite? Mundi vero hypostasis naturæque sunt equus et vultur, nec solum cum una-
D quaque unaquæque species non compatitur, sed etiam valet vulturina, equis interfectis: leonina vero unde exsistit nisi ex bovinæ atque hujusmodi venatione, cum sit immanis ac carnivora. Quid vero dicentur pati volucres, si, vulpes ipsarum aucupes, ægrotaverint? Contrarium enim videndum est: una hujus mundi parte laborante, altera valet; unaque florente, altera marcet. At unoquoque homine, secundum quod nos experimur, ex his quæ foris sunt corrupta, qui intus est *renovatur de die in diem*. Sic enim ejusdem unius numero spiritus secundum carnem concupiscit, caro autem secundum spiritum; ac pleræque partes unius quæ ejusdem naturæ omnino sunt, sibi invicem adversantur; perque alterutrius partium tribulationes, altera bene

valet; cum super dextrum latus recumbimus, sinistrum allevamus, sinistraque manu laborante dextera quiescit. In una quoque hypostasi, liquefacta pinguedine, firmantur carnes exercitationibus. Ossa vero atque cartilagines, cæsa pelle, nihil sentiunt, licet in eodem sint corpore composito, ac quædam corporis partes, quæ antea fuerant passæ, aliis corporis patientibus partibus, non solum non patiuntur, sed etiam prima passione liberantur, ut videre est in capite vel oculis ægrotantibus, si pedibus ægrotaverint, item in calefaciente manum per oris passiones, itemque verticem aurium passionis causa. Si vero hæc hujusmodi quadam sympathia eveniant alterius autem perniciosa passio, alterius videtur salus, quemadmodum etiam de animalibus carnivoris modo dictum est Ignis etiam aquæ unitus in unam corporis naturam ac hypostasim, compatiens quasi pars, mirabile est; non ergo abundantius disseri adversarii debilitatio unioque sciant.

A τίκενται ἀλλήλοις· καὶ διὰ τῆς θατέρου τῶν μερῶν θλίψεως, τὸ ἕτερον εὐεκτεῖ· κατακλιθέντες γὰρ ἐπὶ δεξιὰν πλευρὰν, τὴν λαιὰν ἀνεπαύσαμεν· καὶ καμνούσης τῆς λαιᾶς χειρὸς, ἡ δεξιὰ διαναπαύεται. Ἀλλὰ καὶ ἐκ μιᾶς ὑποστάσεως τοῦδέ τινος, τηκομένης πιμελῆς, ἁδρύνονται αἱ σάρκες ἐν γυμνασίοις. Ὀστᾶ δὲ καὶ χόνδροι μαστιζομένου τοῦ δέρματος, οὐδὲν αἰσθάνονται, καίτοι ἐν τῷ αὐτῷ ὄντα ἑνὶ συνθέτῳ σώματι· τινὰ δὲ μόρια τοῦ σώματος πρώην καὶ ἀσθενοῦντα, ἑτέρων τοῦ αὐτοῦ σώματος μορίων παθόντων, οὐ μόνον οὐ συνεπάθησαν, ἀλλὰ καὶ ἀπηλλάγησαν τοῦ πρώην ἐνόντος αὐτοῖς πάθους· ὡς ἔστι ἐπὶ τῶν κεφαλαλγούντων ἢ ὀφθαλμιώντων, εἰ ποδαλγήσαιεν, ἰδεῖν· καὶ ἐπὶ τῶν καιομένων τὴν B χεῖρα διὰ τὰ ἐνστόμια πάθη· καὶ τὸ βρέγμα, λώβης χάριν. Εἰ γὰρ καὶ συμπαθείᾳ τινὶ γίνεται τάδε, ἀλλὰ τὸ ἑτέρου φθαρτικὸν πάθος, ἑτέρου σωστικὸν φαίνεται· ὥσπερ καὶ ἐπὶ τῶν ζώων τῶν σαρκοφάγων εἴρητο ἀρτίως. Πῦρ δὲ ὕδατι συντεθὲν εἰς μίαν σώματος φύσιν καὶ ὑπόστασιν, θαυμαστὸν εἰ συμπάσχει ὡς μέρος· καὶ οὐ μᾶλλον πλεονάζειν τε καὶ ἐπιτείνεσθαι λέγεται τῇ τοῦ ἀντιπάλου ἀμβλύτητι καὶ ἑνώσει.

Si autem non substantias ipsas, vel harumce partes, hypostaseon esse partes dicitis, sed quæ circa substantiam sunt, quomodo declivitas cum cæruleo colore vel calvities cum macie compati poterit? Quamvis non cavillemur, sed studeamus, valde nobis risum excitatis qui tam terribiles estis in dicendo quique res physicas tam prosequimini; quomodo igitur omnem partem hypostasis cum altera compatientem simpliciter inducitis? ut nobis dicentibus in unam hypostasim carni unitum fuisse Verbum, cum illa compati secundum naturam idem demonstretis. His vere intelligendum erat passiones ex diversis composito supervenientes, juxta quod permiserint unicuique parti horum quibus componitur, evenire; non enim ut ignis carnes cremat, sic et animam. Si ergo aliquod unitorum nullo modo admitteret passionem in composito receptam, patet subditum ipsum passibili non esse passurum. Non enim amiantus feno mistus cremabitur, nec ignis cum ferro percutietur, quæ quidem per sensus et in sensibilibus percipiuntur. Quid igitur de materiæ expertium apathia post unionem evidenter servata recte dixerimus, judicate. Sicque hujusmodi.

Εἰ δὲ οὐ τὰς οὐσίας αὐτὰς, ἢ τὰ μέρη τῶνδε, λέγετε μέρη τῶν ὑποστάσεων, ἀλλὰ τὰ περὶ τὴν οὐσίαν, πῶς οἷον ὅτι σιμότης γλαυκότητι ἢ φαλακρότης ἰσχνότητι συμπέπονθε; πλεῖστον ἡμῖν καίτοι οὐ παίζουσιν, ἀλλὰ σπουδάζουσιν ἐξεγερεῖτε γέλωτα οἱ δεινοὶ περὶ τὸ λέγειν καὶ τοῖς φυσικοῖς ἀεὶ πράγμασιν ἑπόμενοι· πῶς οὖν συμπάσχειν πᾶν C μέρος ὑποστάσεως τῷ ἑτέρῳ συνεισάγετε ἁπλῶς; ἵνα λεγόντων ἡμῶν εἰς μίαν ὑπόστασιν συνεληλυθέναι τὸν Λόγον τῇ σαρκὶ, καὶ συμπάσχειν αὐτῇ τοῦτον κατὰ φύσιν ἀποδείξητε. Οὓς ἐχρῆν ἀληθῶς νοεῖν, ὡς τὰ ἐπιγινόμενα πάθη τῷ ἐκ διαφόρων συνθέτῳ, ὡς ἀνῆκεν ἑκάστῳ μέρει τῶν ἐν αὐτῷ, ἐγγίνεται· οὐ γὰρ ὡς τήκει τὸ πῦρ σάρκας, οὕτω καὶ ψυχήν. Εἰ οὖν εἴη τῶν συντεθέντων τι, καὶ πάντη ἀπαράδεκτον τοῦ κατὰ τοῦ συνθέτου φερομένου πάθους, δῆλον ὡς καὶ συγκείμενον τῷ παθητῷ, οὐ συμπείσεται. Οὐ γὰρ καὶ τὸ ἀμίαντον χόρτῳ συμφυρὲν, καὶ καυθήσεται· οὐδὲ τὸ πῦρ τῷ σιδήρῳ συντυπτήσεται· ἅπερ καὶ δι' αἰσθήσεως, καὶ ἐν αἰσθητοῖς ὁρᾶται. Τί οὖν εἴποιμεν εἰκότως περὶ τῆς τῶν ἀϋλοτέρων καὶ μετὰ συμπλοκὴν φυλαττομένης D σαφοῦς ἀπαθείας, λογίσασθε· καὶ οὕτω μὲν τάδε.

Aliud autem vos omni dolo plenos non latuit. Nesciebamus enim unde paravissetis, nisi omnem invitam esse sympathiam alterutrius partis ad alterutrum unitorum dixissetis, quod ex contextu præcedentium propositionum vestrarum mentitur catholico verbo. Namque corpore deliciis sensibilium passive subjecto, anima voluntarie hujusmodi passiones cum corpore patitur. Unde concupiscit, festinat omniaque agit ad sibi comparandas voluptatis causa lasciviores passiones. Quare ergo postquam necessarium, vel facile, vel mere possibile ex necessitate solvere concluseritis, Deum Verbum cum carne nostra animata compassum fuisse nobis demonstrabitis, quod concludere visi fuistis? Licet

Τὸ δὲ ἕτερον, πανουργήσαντες οὐκ ἐλάθετε· οὐκ οἴδαμεν γὰρ ὅθεν τόδε κατασκευάσαντες, πλὴν πᾶσαν ἀκούσιον εἶναι τὴν συμπάθειαν θατέρου μέρους πρὸς θάτερον τῶν συντιθεμένων ἔφητε· ὅπερ καθ' εἱρμὸν ταῖς προλαβούσαις ἅμα προτάσεσιν ὑμῶν συμψεύδεται καθολικῶς λεγόμενον. Ἰδοὺ γὰρ παθητικῶς τοῦ σώματος τοῖς ἡδονῇ τῶν αἰσθητῶν ὑποκειμένου, ἡ ψυχὴ ἑκουσίως συμπάσχει τὰ τοιαῦτα πάθη τῷ σώματι· ὅθεν καὶ ἐφίεται καὶ ἐπιτρέχει καὶ πάντα ποιεῖ πρὸς τεῦξιν τῶν καθ' ἡδονὴν παθῶν ἐν τοῖς ἀσελγεστέροις. Τί οὖν ἀναγκαῖον ἢ πιθανὸν ἢ ψιλῶς ἐνδεχόμενον συναγαγόντες ἐξ ἀνάγκης λύειν, συμπεπονθέναι τὸν Θεὸν Λόγον τῇ ἐξ ἡμῶν ἐμψύχῳ σαρκὶ ἡμᾶς ἀποδείξετε, ὅπερ συνάγειν ἐδό-

ξατε; Ἔξεστι γὰρ ὑμῖν τοῖς ὑμετέροις ἐπισκέπτουσι, καὶ εἰς τὰ νῦν παρ' ἡμῶν εἰρημένα βλέπουσι, συναισθάνεσθαι τῆς ἀληθείας, καὶ εἰδέναι ὅτι πάσης μὲν ὑποστάσεως οὐ περιττευούσης φύσεσι, ἀλλὰ κατὰ μίαν τινὰ σύνθετον φύσιν ὑπαρχούσης ἐκ διαφόρων δυνάμεων, ἡ φυσικὴ σύνθεσις οὖσα κατὰ πάντα, συμπάσχοντα τὰ φυσικὰ αὐτῆς μέρη δείκνυσιν· εἰ δὲ ἐκ πλειόνων εἴη φύσεων ἢ ὑποστάσεων, κατὰ ἀναλογίαν τῆς ὁμοιότητος αὐτῶν πρὸς ἀλλήλας εἶναι ἀνάγκη καὶ τὰς συμπαθείας τῶνδε ἐν αὐτῇ μόνον· καὶ γὰρ οὕτω καὶ τὰς ἑνώσεις αὐτῶν τὰς φυσικὰς ἔχει· οὐδὲν γὰρ πάντη ἄνευ τινὸς *ταυτότητος* καὶ *συγγενείας*, συνάπτεται ἑτέρῳ, οὐδὲ συμπάσχει ἄρα, οὐδὲ ἐπὶ τῶν ἀψύχων. Ἀμέλει τοίνυν τὰ ἁπλᾶ στοιχεῖα λεγόμενα, εἴτουν αἱ πρῶται ποιότητες διὰ τοῦτο οὐκ εἰσὶν ἐν ὑπάρξει, καθ' αὑτὰ ὑφεστῶτα· ὅτι καὶ εἰ ἦσαν, ἄχρηστα ἂν ἦν εἰς τὴν κοσμικὴν τῶν σωμάτων σύνθεσιν· οὐ γὰρ ἦν αὐτοῖς πάντη διαφέρουσιν ἀλλήλων πῶς συνάπτεσθαι· καθάπερ τῷ πυρὶ καὶ ὕδατι, καὶ γῇ καὶ ἀέρι, διὰ μιᾶς τῶν ἐν αὐτοῖς ποιοτήτων ἀλλήλοις κιρναμένων, ὅτε δέοι, καὶ διὰ τῆς ἑτέρας, εἰ δέοι, διακρινομένων. Ὅθεν οὐδὲ πῦρ ὕδατι, οὐδὲ γῇ ἀέρι, ἀμέσως συντίθεται.

Ὁμοίως δὲ καὶ ψυχῆς καὶ σώματος ἔστιν ἰδεῖν καὶ πάντων τὰς ἑνώσεις, ὑπὸ τοῦ δημιουργοῦ Λόγου τεταγμένας· ἔστι γάρ τις αὐτῷ πάντως γνωστή, ἡμᾶς δὲ πολλάκις λανθάνουσα, ἐν πᾶσι τοῖς κτιστοῖς, ὁμοίωσίς τε καὶ διαφορά. Ἐπεὶ οὖν οὐκ ἐξ ὁμοιώσεως καὶ συγγενείας φυσικῆς, Θεὸς σαρκὶ φυσικῶς ἥνωται, οὐδὲ συμπάσχει ἀνάγκῃ, ἐκ βουλήσεως δὲ ἀγαθῆς καὶ εὐεργετικῆς, κατ' εὐδοκίαν προσλαβόμενος αὐτήν. Ἵνα τε εἴη διὰ τῆς ὁμοιώσεως, βεβαία ἡ ἕνωσις αὐτοῦ πρὸς αὐτήν, καὶ ἡ διὰ τῆς ἑνώσεως ἡμῖν εὐεργεσία, ἑαυτὸν τρέψαι κατ' αὐτὴν οὐ δυνάμενος· οὐδὲ μὴν πρὸς τὸν ἑαυτοῦ σκοπὸν οὑτωσὶ χρησιμουργῶν, τοὐναντίον συναπαθίζει αὐτὴν ἑαυτῷ, καὶ τρεπτὸν φύσει κατὰ τὴν κρείττονα τροπὴν καὶ φύσιν ἐφάπαξ, ἤγουν εἰς τὴν ἰδίαν αὐτοῦ ἀτρεψίαν. Οὐ τρεπόμενος ὁ ἄτρεπτος τῇ φύσει, εἰς τὴν χείρονα φύσιν ἐξωμοιώθη αὐτῇ· καὶ σύνθεσιν φυσικὴν ἀϊδίως ἑαυτῷ μεμηχάνηται, ἀρχῆς μὲν τῆσδε γενομένης τῆς ἑνώσεως τῆς τοῦ ἀγαθοῦ βουλῆς καὶ εὐδοκίας· πέρατος δὲ καὶ ἀποτελέσματος, καὶ βεβαιώσεως τῆς ἀφομοιώσεως τῆς πρὸς αὐτὸν, τῆς συντεθείσης φύσεως σὺν αὐτῷ. Τῇ γὰρ ἐκ φυσικῆς ἀγαθότητος εὐδοκίᾳ καὶ τοῖς τὴν φύσιν ἀνομοίοις ὅλον ἑαυτὸν ἄκρᾳ τῇ ἀγαθότητι χαριζόμενος, ἑνοῦται νῦν ὁ κατ' ἀρχὰς τῆς κτίσεως καὶ αὐτῷ τῷ πάντη ἀντικειμένως ἔχοντι πρὸς αὐτὸν, τὸν ὄντα τῷ μὴ ὄντι ἑαυτόν πως, ὡς αὐτὸς οἶδε, συνάψας. Καὶ τὰ πῶς ὄντα, καὶ πότε πάντα ἑαυτῷ παραστήσας, νῦν δὲ προβιβάσας ἤδη εἰς τὸ εἶναι, καὶ εἰς τὸ ὑψηλότερον εἶναι αὐτὰ ἄγων, ἑαυτῷ ἐνυπέστησε· πάντα ἐγκολπισάμενος καὶ περιπράξας; ὁ ὢν ἑαυτῷ, ἵνα μηδὲν ἔτι τῶν ἰδίων διὰ τῆς φθορᾶς, εἰς τὸ μὴ ὂν πάλιν ἀνακάμψῃ· μένοι δὲ τὰ ὅλα σὺν τῷ ἀφθάρτῳ ἄφθαρτα, *πάσης τῆς κτίσεως ἐλευθε-*

A enim vobis vestris providentibus nostraque dicta inspicientibus, assentire veritati, scireque omni quidem hypostasi non naturis redundante, sed juxta quamdam unam naturam unitam subsistente ex virtutibus diversis, naturalem unionem, quæ juxta omnia est, omnes naturales ipsius partes compatientes exhibere; si vero ex pluribus naturis constaret vel hypostasibus, pro analogia similitudinis earum inter se, sympathias earum in ipsa tantum necessarias esse; etenim sic et uniones earum naturales habet. Nihil enim ullo modo sine *identitate* ac *connaturalitate* alteri aptatur nec cum illo compatitur, nec cum de inanimatis agitur. Profecto igitur simplicia nomine elementa sive primæ qualitates ideo non sunt in essentia juxta ipsa supposita, B quod si essent, nihil inservirent mundi corporum unioni; nihil enim eis esset inter se differentibus, unde coalescerent: quemadmodum igni, aquæ, terræ aerique, ob unam ipsorum qualitatem si jungenda, obque alteram si disjungenda forent. Unde nec ignis aquæ, nec aeri terra immediate uniantur.

Idem autem dicendum de animæ, de corporis deque omnium unionibus a Verbo creatore ordinatis; ipsi enim est perfecte cognitum, quod nos plerumque latet, scilicet, in omnibus creaturis, similitudo simul ac differentia. Cum igitur non ex similitudine generationeque naturali, Deus carni naturaliter C unitus sit, nec necessario compatitur, siquidem ex bona beneficaque voluntate secundum beneplacitum eam assumpserit. Utque per similitudinem, cum illa unio ipsius firma foret, perque illam unionem nobis beneficentia; cum juxta ipsam seipsum convertere nequiret, nec sic quidem scopum suum efficaciter attingeret, e contrario illam ad seipsum assumit (*littera* : secum eam fecit impassibilem, *oblatus est quia ipse voluit* [1]), mutabilemque natura juxta meliorem modum et naturam semel et pro semper, seu in propriam ipsius immutabilitatem. Non conversus, natura immutabilis, in pejorem naturam ipsi assimilatus est, unionemque naturalem sibimetipsi in perpetuum adinvenit, principio quidem hujusmodi unionis consummatæ consilio bene- D placitoque boni (Dei); fine autem ac consummatione confirmationeque assimilationis ejus ad ipsum, unita natura cum ipso. Beneplacentia enim naturalis bonitatis diversitateque secundum naturam seipsum totum summa bonitate donans, qui est principium creaturæ, in tempore unitur etiam ipsi qui plane sibimetipsi adversatur, semetipsum qui est cum eo qui non est modo quo ipse scit conjungens. Quæ autem aliquo modo sunt, aliquandoque omnia ad se advocans, nunc tandem in *esse* promovens atque ad altius *esse* extollens, ipsa sibimetipsi suppositum fecit. Qui a se exsistit omnia in sinu suo recipit atque amplectitur ne quidquam

[1] Isa. LIII, 7.

proprium corruptionis causa adhuc in non ens rursus revertatur, ut vero omnia cum incorrupto incorrupta maneant, *omni creatura liberata a servitute corruptionis in Christo* [a]. Etenim a principio... quæ speciebus similia erant principio, dein quæ illis omnia connaturalia erant speciesque factæ ad justam lætitiam in primis liberatorum, Deo locupletia sunt, *eritque Deus omnia in omnibus*.

CAP. VII.

Omne quodcunque alteri unitum ad unius naturæ atque hypostasis viventis constitutionem, pars est evidenter perfectæ naturæ vel et hypostasis; omnia autem parti naturæ vel et hypostasis viventis, opus est omnino parte cui unita est, ad propriam operationem perficiendam. Animæ enim corpore, corporique anima opus est ad propriam uniuscujusque operationem perficiendam; hæc quidem ad mandata divina cognoscenda Deoque complacendum, illud vero, ut vita cum ipsa servetur omniumque visibilium meliorem æstimationem habeat, necessarium est. Deo autem Verbo aliquo ad propriam operationem opus esse existimare, non rectum est; haud ergo unitus est alicui ex nobis in unius naturæ vel hypostasis viventis constitutionem. Si vero unitus est, illi etiam ipso ad propriam operationem opus est, quod est blasphemia, cum ipsius potentiæ, potius autem impotentiæ, prædicti a vobis ratiocinii, potius vero irratiocinii, præsens sit argumentum: patet illud similiter esse ruiturum; etsi selectis aliquot locutionibus ex his quæ prima sequebantur, secunda induxeritis, multitudinem nobis facilitatemque argumentorum ostendentes; quod enim omnibus fatentibus cum altero compatitur, cum ipso quoque secundum quid omnino congaudet: illi ergo hoc opus est ob gaudium proprium. Si igitur hujusmodi gaudium tanquam aliqua operatio gaudentis habetur, idem nobis et ex sympathia præcedente, nuncque ex operatione ambobus ratiociniis incertum fecistis. Sed in præcedentibus nec partes esse omnino naturales quæ sunt unitæ in hypostasim demonstratum est, nec unitas omnino etiam compati; nec compatientes, omnino quoque necessario compati. Quo igitur remanente nec resoluto in primo vestro argumento, ad alterutrum venire ausi fuistis, clarum non est.

Quomodo exemplum ad cognoscenda præcepta divina Deoque complacendum animæ opus esse corpore a vobis allatum est? Hoc enim, licet aliquomodo dici possit, feliciter haud attulistis; non solum enim ad vera divinaque cognoscendum illud est dux atque adjumentum animæ, sed etiam cum maxime nocet, spiritualium spiritualem contemplationem sensibilium imaginatione obnubilans; ex qua passione sæpius quoque offendistis, quædam ex mysteriis divinis perscrutantes; eo quod rudium, corporalium atque hujusmodi sensibilium scientia-

A ρωθείσης ἀπὸ τῆς δουλείας τῆς φθορᾶς ἐν Χριστῷ. Διὰ γὰρ τῆς ἀπ' ἀρχῆς εὐθυ . . . τὰ ὁμοειδῆ τῇ ἀπαρχῇ, εἶτα καὶ τὰ συγγενῆ τούτοις πάντα καὶ πρὸς τὴν χρείαν τῆς καταλλήλου εὐφροσύνης τῶν ἐλευθερωθέντων πρώτως γενόμενα εἴδη, πλουτεῖ Θεὸν, *καὶ ἔσται ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι*.

ΚΕΦΑΛ. Ζ'.

Πᾶν ὁτιοῦν συντιθέμενον ἑτέρῳ πρὸς μιᾶς φύσεως καὶ ὑποστάσεως ζώσης σύστασιν, μέρος δείκνυται τῆς ἀποτελεσθείσης φύσεως ἢ καὶ ὑποστάσεως· πᾶν δὲ μέρος φύσεως ἢ καὶ ὑποστάσεως ζώσης, δέεται πάντως τοῦ ᾧ συνετέθη μέρους, πρὸς εὐεργεσίαν ἰδίαν. Δέεται γὰρ ἡ ψυχὴ τοῦ σώματος, καὶ τὸ σῶμα B τῆς ψυχῆς, θάτερον θατέρου οἰκείαν εὐεργεσίαν· ἡ μὲν πρὸς μάθησιν τῶν θείων ἐντολῶν καὶ εὐαρέστησιν θείαν, τὸ δὲ πρὸς τὴν ζωὴν μετ' αὐτῆς τῆς καὶ τῶν ὁρωμένων ἁπάντων κρείττονα τιμὴν ἔχειν. Τὸν δὲ Θεὸν Λόγον ὑπολαμβάνειν δέεσθαί τινος πρὸς οἰκείαν εὐεργεσίαν, οὐ θέμις· οὐκ ἄρα συνετέθη τῷ ἐξ ἡμῶν ἀνθρώπῳ εἰς μιᾶς φύσεως ἢ ὑποστάσεως ζώσης σύστασιν. Εἰ δὲ συνετέθη, καὶ δέεται αὐτοῦ πρὸς οἰκείαν εὐεργεσίαν, ὅπερ ἀσεβές, ἐπεὶ τῆς αὐτῆς δυνάμεως, μᾶλλον δὲ ἀδυναμίας, τοῦ προειρημένου ὑμῖν συλλογισμοῦ, μᾶλλον δὲ παραλογισμοῦ, καὶ τὸ παρὸν ἐπιχείρημά ἐστι, δῆλον ὅτι καὶ τῆς ὁμοίας ἔλαχε καταπτώσεως· εἰ καὶ μετά τινος ἀντεκλογῆς λέξεων, ἐκ τῶν ἑπομένων τοῖς πρώτοις, τὰ C δεύτερα εἰσηγάγετε, πλῆθος ἡμῖν καὶ εὐπορίαν ἐπιχειρημάτων ἐμφανίζοντες. Τὸ γὰρ συμπάσχον τινὶ ὁμολογουμένως, τούτῳ κατά τι πάντως καὶ συνήδεται· τοῦτο ἄρα καὶ δεῖται αὐτοῦ διὰ τὴν οἰκείαν ἡδονήν. Εἴπερ οὖν ἡ τεῦξις τῆς τοιᾶσδε ἡδονῆς εὐεργεσία τις τῷ ἡδομένῳ λελόγισται, τὸ αὐτὸ ἡμῖν ἔκ τε τῆς συμπαθείας πρώην, καὶ νῦν ἐκ τῆς εὐεργεσίας δι' ἀμφοτέρων τῶν ἐπιχειρημάτων ἠπορήσατε. Ἀλλ' ἐν μὲν τοῖς φθάσασιν, ἰδοὺ οὔτε μέρη εἶναι πάντως φυσικὰ τὰ συντιθέμενα εἰς ὑπόστασιν ἐδείκνυτο, οὔτε συντεθέντα πάντως καὶ συμπάσχειν· οὔτε συμπάσχοντα, πάντως καὶ ἀκουσίως συμπάσχειν. Τίνος οὖν ἀκαταλύτου φυλαχθέντος ἐν τῷ πρώτῳ ὑμῶν ἐπιχειρήματι, πρὸς τὸ θάτερον ἐλθεῖν ἐτολμήσατε, οὐ φανερόν.

D Τὸ δὲ παράδειγμα τόδε τὸ παρ' ὑμῶν ὅτι πρὸς μάθησιν τῶν θείων ἐντολῶν καὶ εὐαρέστησιν δεῖται τοῦ σώματος ἡ ψυχὴ, πῶς ἄρα ὑμῖν εἴρηται; Οὐδὲ γὰρ τοῦτο, καίτοι πως λέγεσθαι δυνάμενον, καλῶς ὑμεῖς προηγάγετε· καὶ γὰρ οὐ πρὸς τὴν μάθησιν τῶν ἀληθῶν καὶ θείων, τοῦτό ἐστι τὸ ὁδηγοῦν καὶ συναιρόμενον τῇ ψυχῇ· ἀλλ' ἔστιν ὅτε καὶ τὰ μέγιστα παραβλάπτει, τὴν τῶν νοητῶν νοητὴν ἐπισκιάζον θεωρίαν διὰ τῆς τῶν αἰσθητῶν φαντασίας· ᾧπερ καὶ συχνοτέρως προσπταίετε πάθει περὶ τῶν θεοπρεπῶν ἐρευνῶντές τινα μυστηρίων· ὅτι γὰρ τῶν

[a] Rom. VIII. 21.

ὑλικῶν καὶ σωματικῶν καὶ τῶν κατ' αἴσθησιν μαθήσεων λίθοι καὶ ξύλα καὶ ζῶα καὶ οὐρανὸς καὶ ἥλιος καὶ ὕδωρ καὶ πῦρ ἐστιν, ἐν οἷς ὁ ὄλισθος τῶν ἀσεβῶν καὶ εἰδωλολατρῶν, τῶν μηδὲν πλέον τῶν ὁρωμένων δοξασάντων εἰς θεοσέβειαν, γέγονεν εὔδηλος ἅπασι· καὶ ὅτι ἡ ψυχὴ οὐ πειθομένη τῇ διὰ τοῦ σώματος αἰσθήσει μόνῃ λόγῳ εὗρε, καὶ οὐ δι' *αἰσθήσεως* τὸν ἀόρατον τοῦδε τοῦ παντὸς Δημιουργὸν, καίτοι μὴ ὀφθέντα αἰσθήσει πώποτε, ἢ σωματικῶς ὄντα, ὅλως γνωστὸν, οὐδὲ ὑμᾶς οἶμαι διαμφιβάλλειν. Πῶς δὲ καὶ τὸ ἐπιθυμοῦν κατὰ τοῦ πνεύματος, πρὸς μάθησιν τῶν θείων ἐντολῶν καὶ εὐαρέστησιν, συμβάλλεσθαι αὐτῷ εἴποιτε ἂν ὀρθῶς, εἰ μή τι ἄρα τοῖς τούτων ἐναντίοις τὸ Πνεῦμα συναίρεσθαι νομίζετε, ἄδηλον. Ὁ δὲ λέγων, *Τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου*, ἄρα τοῦ πρὸς μάθησιν τῶν θείων ἐντολῶν καὶ εὐαρέστησιν χρειώδους ῥυσθῆναι δυσωπεῖ; Καὶ πῶς ἐν ὁσίοις καὶ θεοδιδάκτοις καὶ φιλοθέοις οὗτος ἐπίσημος; Τί δὲ ἂν εἴποιμεν ἐκ τῆς καθημέραν περὶ τὰς σωματικὰς ἐπιμελείας ἡμῶν πνευματικῶν μαθήσεων καὶ πράξεων ἡμῖν ἀμβλυνομένων; Ἀλλ' ἔστιν ἀληθῶς ἰδεῖν τὸ ἐναντίον. Ἢ βούλεσθε δεῖξαι κερδαίνουσαν τὴν ψυχὴν διὰ σώματος; Τῇ γὰρ πρὸς τοῦτο μάχῃ καὶ τῇ τούτου παιδείᾳ, μισθὸν ἑαυτῇ περιποιεῖται, μέχρι μόνον τοῦδε τῆς κατ' αὐτὸ φροντίδος ἀντεχομένη τοῦ μὴ ὀδυνοῦν αὐτὴν, τῶν ἰδίων ἐνεργειῶν ἐμποδίζειν, ἢ θνῆσκον διὰ τὸ ὑπ' αὐτῆς ἀπρονόητον, αὐτονομίαν τῆς λύσεως τοῦ πρὸς αὐτὸ δεσμοῦ κατηγορεῖν. Διὸ δὴ καὶ ἐν σαρκὶ ζῶντες, μὴ κατὰ σάρκα περιπατεῖν προστετάγμεθα.

ΚΕΦΑΛ. Η'.

Πᾶν ὁτιοῦν συντιθέμενον ἑτέρῳ ἑτεροουσίῳ εἰς μίαν φύσεως ἢ ὑποστάσεως σύστασιν, μέρος τῆς ἀποτελεσθείσης ἐξ αὐτῶν φύσεως δείκνυται· πᾶν δὲ μέρος ἑτεροούσιον μιᾶς φύσεως ἢ ὑποστάσεως, οὐ καλεῖται τῷ ὀνόματι ἐκείνου ᾧπερ σύγκειται· καὶ ἐπὶ τοῦ ἀνθρώπου γὰρ, εἰ καὶ τὰ μέρη αὐτοῦ καλεῖται τῷ τοῦ ὅλου ὀνόματι μετὰ προσθήκης τινὸς τοῦ ἔσω καὶ ἔξω, ἢ οὐκ ἄνευ προσθήκης τοιᾶσδε· εἰ δὲ καὶ τὸ ὅλον ἀπὸ μέρους ποτὲ σημαίνεται, ἀλλ' οὖν γε τὰ μέρη τῶν ἑτέρων μερῶν οὐκ ἠξίωται τῶν ὀνομάτων· οὔτε γὰρ ψυχὴ σὰρξ καλεῖται, οὔτε σὰρξ ψυχή. Πᾶν ἄρα συντιθέμενον ἑτέρῳ ἑτεροουσίῳ εἰς μιᾶς φύσεως ἢ καὶ ὑποστάσεως σύστασιν, οὐκ ἠξίωται τοῦ ἑτέρου μέρους τοῦ ὀνόματος. Εἰ δὲ τοῦτο, ἢ οὐ συνετέθη ὁ Θεὸς Λόγος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ, Υἱὸς ἀνθρώπου λεγόμενος, ἢ συντεθεὶς, οὔτε αὐτὸς λέγεται Υἱὸς ἀνθρώπου, οὐδὲ τὸ ἐξ ἡμῶν, Υἱὸς Θεοῦ, ὅπερ ἀσεβές.

Νῦν ὥσπερ ἀμελήσαντες περὶ τῶν πραγμάτων ζητεῖν, εἰς τὴν περὶ τῶν κλήσεων ἔρευναν μετεχωρήσατε, καὶ θαυμαστόν τι ἡμᾶς ἐδιδάξατε διὰ παντὸς τοῦδε τοῦ ἐπιχειρήματος ὑμῶν, ὡς μᾶλλον ἂν λέγοιτο τῷ τοῦ ἑτέρου ὀνόματι τὸ πάντη αὐτοῦ κε-

¹ Rom. VII, 24.

rum lapides, ligna, animalia, cœlum, sol, aqua ignisque est, in quibus casus impiorum ac idololatrarum, nihil majus quam sensibilia arbitrantium ad pietatem, omnibus evidens factus est; quodque anima ratione invenit non sola corporali perceptione, nec per *sensationem* invisibilem hujus universi Creatorem, licet non perceptum unquam sensibus, aut corporaliter exsistentem, omnino cognitum, nec vos ipsos dubitare existimo. Quomodo autem concupiscere secundum spiritum, ad cognoscenda divina mandata complacendumque Deo, ad ipsum referri recte dicetis, nisi forte in illorum contrariis spiritum adjuvare existimetis, non patet. Qui vero dicit: *Quis me liberabit de corpore mortis hujus* [1]! num ne de utili cognoscendo mandata divina Deoque complacendo liberetur timet? Quomodoque in sanctis Dei docibilibus atque devotis hic præcipuus fuit? Quid nosmetipsi dicemus de quotidianis nostris circa corporales curas spiritualibus documentis actionibusque a nobis negligenter gestis? Sed contrarium vere videndum est. Aut vultis proficientem ex corpore animam demonstrare? Adversus enim illud pugnando illudque castigando mercedem sibi comparat, contra ipsum tantummodo meditans ne ipsa det pœnas, utque operationibus illius obstacula afferat. Quod etiam vocatur moriens eo quod illa non præviderit, nomen solutionis a vinculo corporis obtinuit. Ideo quidem et nos in carne viventes, non secundum carnem ambulare ordinati sumus.

CAP. VIII.

Omne quodcunque unitum alteri alterius substantiæ in unam naturæ vel hypostasis constitutionem, perfectæ ex ipsis naturæ pars videtur. Omnis autem pars alterius substantiæ naturæ unius vel et hypostasis, non nomine vocatur illius cui unitur; deque enim homine, etsi partes illius vocentur nomine totius post additamentum quoddam internum atque externum, vel sine ullo hujusmodi additamento, etsi vero totum ex parte aliquando significetur, sed profecto partes partium aliarum non nominibus dignæ judicantur; non enim anima caro vocatur nec caro anima. Omne ergo alteri alterius substantiæ unitum in unius naturæ vel et hypostasis constitutionem, non dignum alterius partis nomine judicatur. Si autem ita sit, vel non unitus est alicui ex nobis Deus Verbum, qui Filius hominis dicitur, vel unitus est, nec ipse dicitur Filius hominis, nec quod ex nobis est, Filius Dei, quod est impium.

Nunc quasi de rebus inquirendis parum curantes, in appellationum inquisitionem transistis, hocque omni vestro argumento quoddam mirabile nos docuistis, quasi aliquid magis diceretur nomine alterius a quo omnino alienum est, quam quod juxta

quidquam alteri unitum est. Quamvis nos haud dicamus eodem modo vocari, liceatque dicatur alterutra pars compositi alterius nomine, argumentationem vestram ordinatim videamus. Dicitis enim: *Omne quodcunque unitum alteri alterius substantiæ in unam naturæ vel et hypostasis constitutionem, perfecto ex ipsis naturæ pars videtur.* A nobis autem jam dictum est in superioribus, quam recte quæ ex unione unam naturam faciunt, non nobis, sed his qui naturam Domini unam esse dicunt, affertis. Quæ autem ex unione, unam esse hypostasim unice subsistentem demonstrata sunt, quasi non proprie aliquis diceret partes hypostasis quasdam proprietates substantiarum, etsi non sine propriis substantiis hæc considerentur; illarum enim collectio unam hypostasim constituit, quæ per ipsas absque naturis, nec esse nec sibi invicem conjungi queunt. Quarum autem essentia vel conjunctio specialis non est, ut se invicem comitantium, quomodo illarum propria totalitas intelligetur? Quibusque mutatis, non autem omnibus simul in atomis, eadem juxta numerum dicetur esse hypostasis; nunquam vero idem juxta numerum, mutato aliquo sui ipsius vel aliquot partibus, totum reputabitur.

Si autem partes hypostasis naturas proprietatum ipsius dicitis, vel et naturam quæ sit totum omnibus partibus constans scientes esse omnem hypostasim, naturam quamdam (dicite) juxta commistionem unitorum scilicet naturarum, imoque accessionem alterius cum his quæ hypostasim componunt; vel hypostasis totum non esse cum suis partibus dicite, siquidem substantiæ partes, quiddam esse substantiæ expers creditis, exque unione subsistentium quiddam non subsistens concluditis; inter substantias enim et non-substantias medium non est. Si vero dicitis partes hypostasis substantias proprietatesque ejus esse substantiales, sicque rursus imo simul et in eodem ipsam esse substantialem, non est ergo dicenda non substantialis, alterutri partium ipsius solummodo totum ejus recte comparabitur, atque ab altera differet, sicque primum erit equidem alterum numerabile et ex substantia partibus constans, quomodo aliquid non substantiale esset, impossibile; vel ex accidente constans partibus, quomodo aliqua esset substantia, non patet. Præterea si quoque substantialia quemadmodum substantiæ sunt et ipsa totius in substantiis partes, partes totius in partibus ipsius in infinitum, nec in toto simpliciter exsistere videbuntur; alterutra etiam parte, sive substantia pereunte, in toto cætera quoque perire necesse erit, sive partes essentiales quæ accidentia omnes erunt; ita ut totum quoque disperiturum esset simul cum una ex partibus suis. Quis hoc omnium absurdissimum asserere posset? Siquidem enim substantia pars est, accidentiaque pars. Nihil autem illis amplius toti superest, substantialiaque sunt accidentia; sublata igitur substantia, sive una parte totius, omnes aliæ partes auferuntur, totumque ergo ex una partium

A χωρισμένον, ἢ τὸ κατά τι αὐτῷ συγκείμενον. Καίτοι ἡμῶν μηδὲ τοῦτο λεγόντων, ὡς ὁμοίως λέγεται, εἰ καὶ λέγοιτο θάτερον μέρος τοῦ συνθέτου τῷ τοῦ ἑτέρου ὀνόματι· ἴδωμεν δὲ καθεξῆς τὴν ὑμετέραν κατασκευήν. Λέγετε γάρ· *Πᾶν ὁτιοῦν συντιθέμενον ἑτέρῳ ἑτεροουσίῳ εἰς μίαν φύσεως ἢ καὶ ὑποστάσεως σύστασιν, μέρος τῆς ἀποτελεσθείσης ἐξ αὐτῶν φύσεως δείκνυται.* Εἴρηται μὲν οὖν ἡμῖν ἤδη ἐν τοῖς ἔμπροσθεν ὡς τὰ ἐκ συνθέσεως μίαν φύσιν ποιοῦντα, οὐχ ἡμῖν, τοῖς δὲ μίαν φύσιν τοῦ Κυρίου λέγουσι, προσαγάγοιτε ἂν εἰκότως. Τὰ δὲ ἐκ συνθέσεως, μίαν εἶναι τὴν ὑπόστασιν μόνον παριστάνοντα δέδεικται, ὡς οὐ κυρίως ἄν τις εἴποι μέρη ὑποστάσεως ἰδιώματά τινα οὐσιῶν, εἰ καὶ μὴ ἄνευ τῶν ἰδίων οὐσιῶν ταῦτα θεωρεῖται· τούτων B γὰρ ἡ ἄθροισις, μίαν παρέστησε τὴν ὑπόστασιν, καθ' αὐτὰ χωρὶς τῶν φύσεων, οὔτε εἶναι, οὔτε ἀλλήλοις συνελθεῖν δυναμένων. Ὧν δὲ ὕπαρξις ἢ συνέλευσις ἰδικὴ οὐκ ἔστιν, ἅτε ἄλλοις παραπεμπομένων, πῶς ἂν τούτων ἰδία ὁλότης ἐπινοοῖτο; Ὧν καὶ ἀμειβομένων, οὐχ ἅμα δὲ πάντων ἐν τοῖς ἀτόμοις, ἡ αὐτὴ κατ' ἀριθμὸν λέγεται εἶναι ὑπόστασις· οὐδέποτε δὲ τὸ αὐτὸ κατ' ἀριθμὸν ὅλον ἀμειφθέντος τινὸς αὐτοῦ ἢ τινων μερῶν ὑποληπτέον.

Εἰ δὲ μέρη τῆς ὑποστάσεως τὰς τῶν κατ' αὐτὴν ἰδιωμάτων φύσεις λέγετε, ἢ καὶ τὸ ὅλον ὁμοίως τοῖς μέρεσι φύσιν εἰδότες πᾶσαν ὑπόστασιν, φύσιν τινὰ κατὰ σύγχυσιν τῶν συν[τε]θεισῶν ἴστε φύσεων, καὶ ἐπεὶ γέννησιν ἑτέρας παρὰ τὰς ἐν τῇ ὑποστάσει C συνελθούσας· ἢ οὐχ ὁμοίως τοῖς μέρεσιν ἑαυτοῦ, τὸ ὅλον τῆς ὑποστάσεως εἶναι λέγετε, εἴπερ οὐσίας τὰ μέρη, ἀνούσιον τόδε τι εἶναι νομίζετε, καὶ ἐκ συνθέσεως τῶν ἐνυπάρκτων συνάγετέ τι ἀνύπαρκτον· μέσον γάρ τι οὐσιῶν καὶ ἀνουσίων οὐκ ἔστι. Εἰ δὲ μέρη τῆς ὑποστάσεως, τάς τε οὐσίας καὶ τὰ ἐνούσια ἰδιώματα αὐτῆς λέγετε, καὶ οὕτω πάλιν ἐπεὶ ἅμα καὶ ἐν ταυτῷ οὐσιώδη τε εἶναι αὐτὴν καὶ ἀνούσιον οὐκ ἔστι, θατέρῳ τῶν μερῶν ἑαυτοῦ μόνον τὸ ὅλον αὐτῆς ὁμοιωθήσεται εἰκότως, καὶ τῷ ἑτέρῳ διενέξεται, καὶ ἔσται οὕτως πρῶτα μὲν ἕτερον ἀριθμητὸν ἐξ οὐσίας τε ἀπὸ μέρους ὄν, πῶς ἀνούσιον εἴη, ἄπορον· ἢ ἐκ συμβεβηκότος ἀπὸ μέρους ὄν, πῶς οὐσία τις εἴη, ἄδηλον. Πρὸς τῷ καὶ, εἰ τὰ ἐνούσια, ὥσπερ καὶ αἱ οὐσίαι, μέρη καὶ αὐτὰ τοῦ ὅλου ἐστὶν D ἐν ταῖς οὐσίαις, τὰ μέρη τοῦ ὅλου ἐν μέρεσιν αὐτοῦ ὑπάρχειν ἐπ' ἄπειρον, καὶ οὐκ ἐν τῷ ὅλῳ ἁπλῶς θεωρεῖσθαι· ἔτι μὴν καὶ θατέρου μέρους, ἤγουν τῆς οὐσίας φθαρέντος, ἐν τῷ ὅλῳ συμφθείρεσθαι καὶ τὰ ἕτερα ἀνάγκη, ἤγουν τὰ ἐνούσια μέρη τὰ συμβεβηκότα πάντα· οὐκοῦν καὶ τὸ ὅλον συναναιρεῖσθαι τῷδε τῷ ἑνὶ τῶν ἰδίων μερῶν. Τίς ἂν εὐλόγως εἴποι τὸ πάντων ἀτοπότερον; Εἴπερ γὰρ ἡ οὐσία μέρος, καὶ τὰ συμβεβηκότα μέρος· τούτων δὲ οὐδὲν πλεῖόν ἐστι τῷ ὅλῳ, ἐνούσια δὲ συμβεβηκότα, ἀναιρουμένης τῆς οὐσίας, ἤγουν τοῦ ἑνὸς μέρους τοῦ ὅλου, πάντα συναναιρεῖται τὰ ἄλλα μέρη, καὶ τὸ ὅλον ἄρα ἐξ ἑνὸς μέρους τῶν ἑαυτοῦ ἀπόλλυται. Ποῖα οὖν ταῦτα μέρη καλεῖν ἠξιώσατε ὑποστάσεως πρὸς ἡμᾶς, εἴπερ μηδὲ αἱ οὐσίαι, μηδὲ τὰ φυσικὰ ἰδιώματα ἢ συμβεβη-

κότα ὡς μέρη εἰσὶν ἐν τῇ ὑποστάσει; οὐ γὰρ τὸ ἔν τινι, πάντως καὶ ὡς μέρος ἐστὶν ἐν αὐτῷ· πολλαχῶς γὰρ τὰ ἔν τινι.

A ipsius disperit. Quas ergo partes dignas hypostasi apud vos judicastis? Si nec substantiæ, nec naturales proprietates vel accidentia quasi partes sint in hypostasi; non enim omne quod est in aliquo, omnino quoque est quasi pars in illo; diverse enim sunt quæ in aliquo sunt.

Ἔτι μὴν εἰ πρὸς ἡμᾶς τοὺς εἰς μιᾶς ὑποστάσεως ἕνωσιν μόνον πιστεύοντας εἶναι τὴν σύνθεσιν τῶν φύσεων ἀντειρήκατε, πῶς, ὡς οἴεσθε, εὐφυῶς ἡμᾶς παραχρουόμενοι, φύσεως εἶναι μέρη τὰ συντεθέντα εἰς ὑπόστασιν ἀπεφήνασθε; Εἰ μὲν γὰρ ὡς ταυτὸν εἰδότες φύσιν τε καὶ ὑπόστασιν τοῦτό φατε, ἤδη διὰ τῶν οἰκείως πρὸς τοῦτο εἰρημένων, ἤγουν τὸ μὴ ταυτὸν τάδε εἶναι, καταβέβλησθε. Εἰ δὲ ἕτερον οἰόμενοι φύσιν, καὶ ἕτερον ὑπόστασιν, ὅμως πᾶν τὸ συντιθέμενον εἴτε εἰς φύσεως ὁλότητα, εἴτε εἰς ὑποστάσεως Λόγου σύστασιν (οὐ γὰρ πᾶσα σύνθεσις καὶ συναγωγὴ φυσικῆς ὁλότητός ἐστι, μέρος δείκνυσθαι φύσεώς φατε, δῆλον ὅτι μέρη φύσεως τυχὸν ἀνθρωπείας ἔστε καὶ ξανθότητα καὶ λευκότητα καὶ γλαυκότητα· καὶ ταῦτα γὰρ ὑποστάσεως, εἰ καὶ μέρη φυσικὰ, ἀλλὰ μερικοὶ λόγοι τῶν ἐν αὐτῇ· ἔσται οὖν κατὰ φύσιν συγγενὴς, ἥ τε γύψος καὶ χρυσὸς καὶ θάλασσα τῷ ἀνθρωπείῳ εἴδει κατ' οὐσίαν, ἐκ μέρους ἔχοντα πρὸς αὐτὸν τὴν τοιαύτην ἐν τοῖς τοιούτοις οὐσιώδη ὁμοιότητα. Πλὴν οὐχ ἐν τούτοις μόνον ὑμῖν τὸ ἄτοπον, ἀλλ' ὅτι καὶ εἴπατε ἁπλῶς, τὰ μέρη τοῦ ὅλου, τῶν ἑτέρων μερῶν τῶν σὺν αὐτοῖς ἐν τῷ ὅλῳ μὴ ἀξιοῦσθε τῶν ὀνομάτων· οὔτε γὰρ ψυχὴ ἡ σὰρξ καλεῖται, οὔτε ἡ ψυχὴ σάρξ. Καὶ μὴν τὸ ὅλον ἡ ἁγία Γραφὴ ἐκάλεσε σάρκα λέγουσα· *Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις, διότι εἰσὶ σάρκες*. Ἐν δὲ τῷ ὅλῳ, ἤγουν τῷ ἀνθρώπῳ, ὡς μέρος δηλονότι ἡ ψυχή ἐστι, μάλιστά τε αὐτὴ νῦν κατηγορεῖται γενέσθαι σάρξ. Ἡ γὰρ σὰρξ οὐδὲ ἐκ κακώσεως ἑαυτῆς γέγονε σὰρξ, οὐδὲ ἐγκαλοῖτο ἂν ὑπὸ Θεοῦ ὅτι γέγονε σὰρξ οὕτως ὑπ' αὐτοῦ γενομένη.

Præterea, si nobis in unius hypostasis unitatem tantum credentibus unionem esse naturarum dixeritis, quomodo, qui tam solerter nos decepisse speratis, naturæ partes esse unitas in hypostasim probastis? Si enim, velut idem habentes naturam atque hypostasim, hoc dixeritis, jam quæ de hoc opposite dicta sunt, scilicet non idem esse hæc hujusmodi, vos confregerunt. Si vero aliud naturam, aliud hypostasim existimantes, omne tamen B unitum, sive in naturæ totalitatem sive in hypostasis Verbi constitutionem (non enim omnis unio atque congregatio naturalis est totalitatis). patem naturæ demonstratum fuisse dixeritis, evidens est partes naturæ, forsitan humanæ, futuras scilicet flavissimas, candidissimas maximeque cæruleas; etenim hæc quæ sunt hypostasis, etsi naturales partes, particulares vero voces sunt in ipsa exsistentium; erit enim natura affinis, sive gypsum, sive aurum, sive mare sit, humanæ speciei juxta substantiam quæ ex parte cum ipsa talem in talibus substantialem similitudinem habebit. Attamen non ex hoc solum absurditas vobis exprobratur, sed etiam quod simpliciter asseruistis totius partes, C aliarum partium, quæ cum ipsis sunt in toto, nomina non admittentes. Non enim anima vocatur caro, nec caro anima. At profecto *totum* vocavit carnem Scriptura sacra dicens: *Non permanebit spiritus meus in hominibus, quia carnes sunt* *. In *toto* autem sive in homine anima tanquam pars evidenter est, maximeque hic ipsa arguitur caro fieri: caro enim non ex malitia ipsius caro facta est, nec ita arguitur a Deo quoniam caro facta est, cum ab ipso ita facta sit.

Πῶς οὖν οὐχ ἠξίωται τοῦ ἑτέρου μέρους τοῦ ὀνόματος, τὸ ἕτερον; καὶ τοῦτο Θεοῦ καλεῖν εἰωθότος τάδε. Καὶ ἦν μὲν εἰπεῖν ὅτι οὐχ ὁμοίως οὐδὲ φύσει λέγεται, εἴγε ὀρθῶς ἐξετάζειν ἠβούλεσθε· καὶ συνεφήσαμεν ἂν καὶ ἡμεῖς τοῦτο ὑμῖν· οὐδὲ γάρ φαμεν ὁμοίως Πατέρα τοῦ Λόγου καὶ τῆς σαρκὸς κατὰ φύσιν τὸν αὐτόν· ἢ ὁμοίως μητέρα τοῦ Λόγου καὶ τῆς σαρκὸς κατὰ φύσιν εἶναι τὴν αὐτὴν, ὅσον κατὰ τὸν τῆς φύσεως τρόπον καὶ λόγον. Ἀλλ' ἴσμεν ὅτι τοῦ μὲν τῶν μερῶν, ὡς εἰπεῖν, ἐν Χριστῷ, κατὰ φύσιν· τοῦ δὲ κατὰ χάριν τὴν διὰ τῆς ἑνώσεως τῆς πρὸς τὸ κατὰ φύσιν, ὁ αὐτὸς εἷς Πατήρ ἐστι· καὶ ἑτέρως τοῦ μὲν κατὰ φύσιν, τοῦ δὲ κατὰ χάριν διὰ τῆς πρὸς τὸ κατὰ φύσιν ἑνώσεως, ἡ αὐτὴ μία μήτηρ ἐστί. Πλὴν τὸ συμπέρασμα τὸ ὑμέτερον φάσκον, ὅτι Ἢ οὖν οὐ συνετέθη ὁ Θεὸς Λόγος τῷ ἐξ ἡμῶν, *Υἱὸς ἀνθρώπου* λεγόμενος, ὡς τῆς συνθέσεως καταργουμένης ὑπὸ τῆς κλήσεως· ἢ συντεθεὶς, οὔτε αὐτὸς λέγεται *υἱὸς ἀνθρώπου*, οὐδὲ τὸ ἐξ ὑμῶν *Υἱὸς Θεοῦ*, μάλιστά γε

Quomodo igitur nomine alterius partis non digna judicata est altera? Deus est qui ita vocare solet. Dicendumque quidem esset nec similiter nec naturaliter vocari, si tamen fideliter perquirere nolletis; hocque vobis nos concessissemus. Non enim D similiter dicimus Patrem Verbi, eumdemque carnis secundum naturam; aut similiter matrem Verbi, eamdemque esse carnis secundum naturam; ad naturæ modum sicut et ad vocem attendendum est. Sed scimus eumdem unum esse Patrem unius ex his partibus, quæ in Christo sunt, secundum naturam, atque alterius secundum gratiam ex qua unio ad illam, quæ est juxta naturam, facta est; vicissimque eadem una est mater illius quæ secundum naturam est, et illius quæ secundum gratiam, quæ ad eam, quæ est secundum naturam, unionem operata est. Attamen vestra conclusio dicens vel igitur Deum Verbum unitum non fuisse alicui ex nobis, dictum *filium hominis*, quasi appellatione unio eva-

* Gen. VI, 3.

nosceret; vel unitum, nec dici *Filium hominis* nec secundum aliquid ex nobis *Filium Dei*, in maxima vestrorum incuria vos miserrime constituit. Mirum est enim si vos *Filium hominis* eumdem ac *Deum Verbum* dicatis, quodque iterum ex nobis exsistit, *Filium Dei* (quod ne opinari quidem impium nunc prædicaretis, si commodis propriis consulere velletis), unamquamque ac eamdem unicuique partium appellationem tribuentes cum summæ superbiæ astutia, non vero cum fideli prudentia; sed ut scilicet ex hac attributione nominis probetis non in unionem tanquam totius convenire quæ ut partes conveniunt juxta præcedentem vestram absurdissimam propositionem : *Quodcunque unitum in unam hypostasim, non admittere appellationem quæ cum ipso unitur partis; Verbi autem appellationem admittere carnem, Filiique Dei Filium hominis.* At si vere, o vos, nomen admittitur, nequidquam de unione quærendum est; per illam enim unaquæque (pars) secundum naturam cum altera naturalia nomina intime participat; si autem non vere nominatur, nec vere juxta vos quin ad invicem uniantur impedita sunt.

Si ita tam perfecte compungeret vos Deus ut confiteremini eumdem Filium Dei et Filium hominis vocari, non jam vobis adversabimur, sed ut amicos et fratres vos complectemur; si contra eo quod Deus Verbum non homini uniretur, ideo dicitis vos libere posse alterutram partem nomine alterutrius vocare, quod non uniantur ac distinguantur; si enim unitæ essent, ut ambæ convenientes hujusmodi communicatione appellationum firmarentur, evidens esset quod concluditis, scilicet omnia quæ totalitatibus ipsorum distincta sunt, fore ut quo plus ab invicem distarent, eo plus suis nominibus invicem appellari possent; quæ autem conveniunt atque uniuntur naturis in unam totalitatem, nominibus non conjungi necessarium esse. Quid hoc risu dignius esset, si quis rerum existimaret unionem fieri secundum suorum nominum distinctionem, distinctionem vero rerum secundum nominum suorum unionem? Attamen, contraria videre est : cum enim sidus accensum igni unitur, tunc quoque ignis vocatur; cum ex auro arca facta est, aurea est; sic in cæteris videmus, qui in albo albus est. Juxta vos, cum aliquid crematur, aqua magis foret vocandum, cum sapit quidam, insipiens dicendus; cumque inique agit, justus; tunc enim hæc hujuscemodi multum a contrariis suis distant; etsi omne derivatum, ex metalepsi atque unione rei habeat etiam nomen. At vere maxime ægrotantium delirium pati videmini, cum sæpissime vehementerque flagellantes vosmetipsos non sentiatis.

A ὑμᾶς πλείστῃ περιπεσόντας ἀπροσεξίᾳ τῶν οἰκείων παρίστησι. Θαυμαστὸν γὰρ εἰ ὑμεῖς, *Υἱὸν ἀνθρώπου* τὸν αὐτὸν καὶ *Θεὸν Λόγον* φατέ· καὶ τὸ ἐξ ἡμῶν πάλιν ὑπάρχον, *Υἱὸν Θεοῦ* (ὅπερ καὶ μὴ δοξάζειν, ἀσεβὲς νῦν ἐκηρύξατε, εἰ τῶν ὑμετέρων ἐπαΐειν ἐθέλοιτε), τὴν αὐτὴν ἑκατέραν ὀνομασίαν ἑκατέρῳ τῶν μερῶν προσάψαντες, σὺν ἀκροτάτῃ ματαίᾳ πανουργίᾳ καὶ οὐκ ὀρθῇ τῇ διανοίᾳ· ἀλλ' ἵνα φησὶ ἐκ τῆς ἀντιδόσεως τοῦ ὀνόματος δείξητε μὴ εἰς σύνθεσιν ὡς ὅλου ἥκειν τάδε τὰ ὡς μέρη συνελθόντα κατὰ τὴν προεκτεθεῖσαν ὑμῖν ἀλόγιστον ἀπόφασιν, ὅτι *Τὸ συντιθέμενον εἰς μίαν ὑπόστασιν, οὐκ ἠξίωται τῆς κλήσεως τοῦ συνόντος αὐτῷ μέρους· ἠξίωται δὲ τῆς τε τοῦ Λόγου ἡ σάρξ, καὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ ὁ Υἱὸς τοῦ ἀνθρώπου.* Εἰ μὲν γὰρ B ἀληθῶς, ὦ οὗτοι, ἠξίωται τοῦ ὀνόματος, οὐδὲ ζητεῖν δεῖ τι περὶ τῆς συνθέσεως· οἰκειωθὲν γὰρ δι' αὐτῆς θάτερον θατέρῳ κατὰ φύσιν, μετέσχε καὶ τῶν φυσικῶν ὀνομάτων· εἰ δὲ οὐκ ἀληθῶς ὀνομάζεται, οὐδὲ ἀληθῶς, κατά γε ὑμᾶς, κεκώλυται τῆς συνθέσεως τῆς πρὸς ἄλληλα.

Τοῦτο γοῦν αὐτὸ εἰ ὅλως ὑμᾶς ὁ Θεὸς ὁμολογεῖν κατανύξειεν, ὡς ὁ αὐτὸς Υἱός τε Θεοῦ καὶ Υἱὸς ἀνθρώπου ἀληθῶς ὀνομάζεται, οὐδεμίαν ἔτι πρὸς ὑμᾶς ἀντίστασιν ποιούμεθα, ἀλλ' ὡς φίλους καὶ ἀδελφοὺς ἀσπασόμεθα· εἰ μέν τοι ἐν τῷ μὴ συγκεῖσθαι τὸν Θεὸν Λόγον τῷ ἀνθρώπῳ, ἐκ τούτου ὑμᾶς ἔχειν ἀκωλύτως φατὲ τὸ θάτερον ὀνομάζειν μέρος C τῷ θατέρου ὀνόματι, τῶν ἀσυνθέτων καὶ διακεκριμένων· εἰ συντεθεῖεν γὰρ, τῆς τοιαύτης μεταδόσεως τῶν ὀνομάτων ἄμφω τὰ συνελθόντα στηρίζεσθαι, δῆλον ὡς τοῦτο συνάγοιτε, ὅτι τὰ πάντα διακεκριμένα ταῖς ὁλότησιν αὐτῶν, καθ' ὅσον ἂν ἀλλήλων ἀφίστανται, τοσοῦτον μᾶλλον δύναιντ' ἂν συνονομάζεσθαι τοῖς ἀλλήλων ὀνόμασι· τὰ δὲ συνελθόντα καὶ συγκείμενα ταῖς φύσεσιν εἰς μίαν ὁλότητα τοῖς ὀνόμασιν ἀναγκαῖον μὴ συνάπτεσθαι. Οὗ τί ἂν εἴη γελοιότερον, εἴ τις τῶν πραγμάτων νομίζοι τὴν συνέλευσιν ποιεῖσθαι τὴν τῶν κατ' αὐτὰ ὀνομάτων διάκρισιν· τὴν δὲ διάκρισιν τῶν πραγμάτων, τὴν τῶν κατ' αὐτὰ ὀνομάτων συνέλευσιν Καίτοι τὰ ἐναντία ὁρῶμεν. Ὅτε γὰρ πυρὶ πυρωθεὶς ὁ σίδηρος ἑνωθῇ, D τότε καὶ πῦρ ὀνομάζεται· καὶ ὅτε χρυσῷ ἡ κιβωτὸς προσπλασθῇ, χρυσῆ· καὶ ἐν τοῖς λοιποῖς δὲ ὁρῶμεν ὅτι ὁ ἐν τῷ λευκῷ λευκός. Καθ' ὑμᾶς δὲ ἔδει, ὅτε πυροῦταί τι, ὕδωρ μᾶλλον καλεῖσθαι· καὶ ὅτε τις σωφρονεῖ, τότε ἀκόλαστος λέγεσθαι· καὶ ὅτε ἀδικεῖ, δίκαιος· τότε γὰρ μᾶλλον διέστηκε τάδε τῶν ἐναντίων αὐτοῖς· καίτοι πᾶν παρώνυμον, ἐκ μεταλήψεως καὶ ἑνώσεως τοῦ πράγματος, ἔσχε καὶ τοὔνομα. Ἀλλ' ὄντως ἐοίκατε τὴν τῶν ἐσχάτως νοσούντων τὴν παραφροσύνην πεπονθέναι, οἳ πολλάκις ἑαυτοὺς καὶ σφοδρῶς παίοντες οὐκ αἰσθάνονται.

CAP. IX.

Omne quodcunque unitum alteri ad perficiendum unam naturam vel et hypostasim, pars de-

ΚΕΦΑΛ. Θ'.

Πᾶν ὁτιοῦν συντιθέμενον ἑτέρῳ εἰς τὸ ἀποτελέσαι μίαν φύσιν ἢ καὶ ὑπόστασιν, μέρος δείκνυται τῆς

A ἐν αὐτῷ ἀποτελουμένης μιᾶς φύσεως ἢ καὶ ὑποστάσεως· πᾶν δὲ μέρος μιᾶς φύσεως ἢ καὶ ὑποστάσεως, οὐκ οἶδε πῶς, ἢ ποῦ, ἢ πότε συνετέθη τῷ ᾧπερ συνετέθη, μήτι γε μετὰ ταῦτα ἀμυδρῶς πως μάθοι. Πᾶν ἄρα συντιθέμενον ἑτέρῳ, εἰς τὸ ἀποτελέσαι μίαν φύσιν ἢ καὶ ὑπόστασιν, οὐκ οἶδε πῶς ἢ ποῦ ἢ πότε συνετέθη τῷ ᾧπερ συνετέθη, μήτι γε μετὰ ταῦτα ἀμυδρῶς πως μάθοι· εἰ δὲ τοῦτο, ἢ οὐ συνετέθη ὁ Θεὸς Λόγος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ πάντα ἐπιστάμενος, καὶ μηδέποτε μηδὲν μανθάνων, ἢ συντεθεὶς, οὐκ οἶδε πῶς ἡνώθη τῷ ἡμῶν ἀνθρώπῳ, ὅπερ ἀσεβές. Ἡ μὲν πρώτη ὑμῶν κἂν τούτῳ τῷ ἐπιχειρήματι πρότασις, οἷά τις οὖσα τρόπις καὶ τοῦ πρώην καὶ τοῦ παρόντος συλλογισμοῦ ἤδη προκατέακται ἐν ταῖς προλαβούσαις ἡμῶν ὑπαντήσεσι. Πλὴν δεδόσθω B καὶ οὕτως ἔχειν καθ' ὑπόθεσιν, ὅτι καὶ μέρη εἰσὶ τὰ τῆς ὑποστάσεως συστατικὰ, καὶ οὐκ ἴσασι πῶς ἢ ποῦ ἢ πότε συνετέθησαν· ἀλλ' ὦ οὗτοι, ὅλον τοῦτο οὐ νοήσειέ τις ἂν, κἂν εἰ μικρὸν μετέχοι λογικῆς φύσεως ἐμπύρευμα, ὅτι ταῦτα τότε συμβαίνειν ἀνάγκη. Ἡνίκα δὲ ὡμολόγηται ὅτι ὁ αὐτός ἐστι τῆς συνθέσεως ποιητὴς ὁ συγκείμενος, πῶς ἂν ἀγνοήσειε τὴν ἑαυτοῦ σύνθεσιν, ὃς καὶ πάσης συνθέσεώς ἐστι ποιητής; Ἄλλως δὲ πάλιν εἰπεῖν πᾶν μέρος ὃ τέλειον ὑπάρχει κατὰ γνῶσιν, προϋπάρχει τε τῆς οἰκείας συνθέσεως, κἂν εἰ ὑφ' ἑτέρου συντίθεσθαι λέγοιτο, δέον καὶ αὐτὸ πάντως εἰδέναι, ποῦ τε καὶ πῶς, καὶ πότε συνετέθη, εἴγε μὴ τῆς οἰκείας τελείας γνώσεως, ἢ μετὰ τὴν σύνθεσιν ἐξέστη, ἢ πρὸ συνθέσεως ἀπολέλειπται. C Ἢ οὖν οὐ τέλειος τὴν γνῶσιν ὁ Θεὸς Λόγος, ἢ οὐ προϋπάρχων τῆς συνθέσεως ἑαυτοῦ καθ' ὑμᾶς ἔσται, ἢ πάντως τὴν ἰδίαν σύνθεσιν εἴσεται. Τί οὖν ἡμῖν ἡ ἀχυρμιὰ τῶν εἰρημένων ἀναγκαῖον ἐπάγεται, εἰς δεῖξιν ἀσφαλῆ τοῦ λέγειν, ὡς εἰ συνετέθη ὁ Θεὸς Λόγος, οὐκ οἶδε πῶς ἢ ποῦ ἡνώθη τῷ ἐξ ἡμῶν ἀνθρώπῳ;

monstratur perfectæ in ipso unius naturæ vel et hypostasis; omnis autem pars naturæ unius vel et hypostasis, nescit quomodo, vel ubi, vel quando unita sit cuicunque unita est; multoque minus aliquo modo postea disceret. Omne ergo alteri unitum ad perficiendum unam naturam vel et hypostasim nescit quomodo, vel ubi, vel quando unitum sit cuicunque unitum est, multoque minus postea ne obscure quidem disceret. Si autem ita sit, vel non unitus est Deus Verbum alicui homini ex nobis omnia cognoscens, nihilque unquam discens, vel unitus, nescivit quomodo alicui ex nobis unitus fuerit, quod impium est. Prima autem vestra etiam in hoc argumento propositio, quasi quædam basis anterioris præsentisque ratiocinii jam his quæ prævenientes diximus dejecta est. At detur nobis juxta hypothesim, partes esse hypostasis constitutivas, nec scire quomodo, vel ubi, vel quando unitæ sunt; sed, o vos, nemo hoc totum intelligeret, quantumvis parum sit in illo rationalis naturæ, eo quod tunc hos contingere necesse sit. Cum autem constat eumdem esse factoremque unionis et unitum, quomodo suam unionem ignoraret, qui etiam omnis unionis auctor est? Cæterum nobis rursus dicendum est omnem partem perfectam exsistere secundum cognitionem, præcedereque propriam unionem, licet ab altera uniri dicatur, scire quoque omnino debet ubi, quomodo quandoque unita sit, nisi propria cognitione perfecta, sive post unionem exciderit, sive ante unionem defecerit. Vel ergo non perfectus erit secundum cognitionem Deus Verbum, vel juxta vos non suam unionem præcedet, vel omnino propriam unionem sciet. Quid ergo palea dictorum a nobis necessario spargitur, ad modum docendum tutum dicendi, quasi, si unitus fuerit Deus Verbum, non sciret quomodo, vel ubi unitus fuerit alicui ex nobis.

ΚΕΦΑΛ. Ι'.

Εἰ σύνθετος ὁ Δεσπότης Χριστὸς, καθά φασι, μέρος ὁ Θεὸς Λόγος, καθὰ βούλεται τῶν συνθέτων ὁ νόμος· πᾶν δὲ μέρος, ἔλαττον κατά τι καθέστηκε τοῦ ἰδίου ὅλου· ἐλάττων ἄρα τινὸς κατά τι ὁ Θεὸς Λόγος· οὐκ ἂν γὰρ εἴη μέρος, μὴ ἐλάττων ὢν τοῦ ὅλου. Εἰ δὲ τοῦτο, D οὐδὲ Θεὸς ἀληθινὸς ὁ Θεὸς Λόγος· ἐπεὶ τὸν ἀληθινὸν Θεὸν, οὐδενὸς ἐλάττονα λέγειν δυνατόν· ἀσύγκριτος γὰρ ὁ Θεὸς πάμπαν καὶ ἀπαράβλητος. Ἢ γοῦν ὁμολογείτωσαν φανερῶς τὴν πρὸς τοὺς ἀληθινὸν Θεὸν εἰδότας τὸν Θεὸν Λόγον ἐναντιότητα, ἢ παυσάσθωσαν σύνθετον ἡμῖν εἰσάγοντες οὐσίαν ἔκ τε τοῦ Θεοῦ Λόγου καὶ τῆς ἡμῶν σαρκὸς ἐμψύχου. Αἱ καθολικαὶ ὑμῶν καταφάσεις, καὶ αἱ ἐκ τούτων ἀποδείξεις, ἀνόνητοι ὑμῖν ἀληθῶς νῦν ἀποδειχθήσονται· δι' ὧν γὰρ ἰσχύειν ἡγήσασθε, διὰ τούτων, προφητικῶς φαμεν ὑμῖν, ἡττηθήσεσθε· τὸ γὰρ καίριον ἠγνοήσατε περὶ ὅτου ὁ λόγος, οὐκ ἐπισκέψαντες αὐτοῦ τῇ φύσει. Οὐ γὰρ ἐπειδὴ πᾶν μέρος ἔλαττον τοῦ ὅλου καθέστηκε, διὰ τοῦτο καὶ ὁ Θεὸς ὡς μέρος θεωρούμενος τοῦ Λόγου καὶ τῆς σημασίας τοῦ ὅλου, τῆς

CAP. X.

Si, ut aiunt, unitus sit Christus Dominus, pars est Deus Verbum, ut vult lex unitorum; omnis autem pars, secundum quid minor suo toto constituitur; Deus Verbum minor igitur est aliquo secundum quid; non enim esset pars, nisi toto foret minor. Si autem hoc ita sit, non verus est Deus, Deus Verbum, siquidem verus Deus nullo minor dici queat; cum nullo enim æquari componique ullo modo potest Deus. Aut igitur aperte confiteantur se adversari his qui verum Deum sciunt esse Deum Verbum, aut jam desinant nobis inducere substantiam ex Deo Verbo exque carne nostra animata. Principia vestra generalia atque ex illis probationes, absurda nunc vobis vere demonstrabuntur; e quibus enim vos valere confiditis, ex illis infirmiores vos evasuros prædicimus; quod enim decet illud de quo sermo est ignoratis; natura illius non considerata. Namque eo quod partem suo toto minorem esse constat, non ideo Deus, ut pars Verbi speculatus totiusque signi, ad ipsum

unionis, minor toto, sic dicto, ad ipsum unito habebitur. Contrarium autem est de omnibus entibus cæteris quæ, cum sint sui totius partes, ipso minora videntur. Deus vero non est unus omnium, sed in omnibus et super omnia eminenter se habet. Consequenter non eodem modo quo omnia cætera posset uniri, vel ut pars alicujus totius reputabitur.

Considerandum est enim vobis, omnes generales propositionum declarationes tunc exponendas esse cum alicujus ejusdem generis ejusdemque speciei eorum quæ determinanda sunt veritas exquiritur. Namque ad manifestandam naturam eorum quæ alterius sunt speciei vel alterius generis nihil inservirent nec generales expositiones, nisi tanquam speciei ejusdem quæsitum comprehenderent; quod tunc ostendit sive subjectum, sive excedens veritatem connaturalium ipsius. Perinde ac si de Paulo homine exquiratur an sit animal; generalis affirmatio speciei omnem hominem animal esse dicens ad probationem quæsiti inserviret. Similiter autem cum a nobis quæritur an hic Paulus animal substantia sit, opportuna esset affirmatio generalis omne animal substantiam esse dicens. Si vero de aliquo alterius generis vel speciei quæstio agitur, omnes affirmationes ac denegationes, quæ aliquod hujusmodi de his quæ non ejusdem speciei vel generis sunt dicere viderentur, otiosæ absurdæque pro quæsito habentur. Perinde ac si quæsito an non rationalis sit Paulus, hoc quidam festinans demonstrare scilicet non esse rationalem, diceret omnem lapidem omnemque nigritudinem non esse rationalia, nihil ullo modo proposito prodesset; jure ergo de hoc rideretur, cum generatim quidem affirmet quemdam non esse rationalem sed non ejusdem speciei.

Dicimus igitur quoque nobismetipsis: Omnis pars suo toto minor est; si autem omnibus partibus quæ uniuntur majus totum agnoscitur, hocque quod ejusdem generis speciеique ac illæ dicitis Deum Verbum esse, merito ex generali affirmatione ipsi eamdem accusationem imputatis, ita ut tanquam omnia ejusdem generis ac speciei pars factus, similiter semetipsum habere apud suum totum reputetur. Si vero hanc blasphemiam non ausi fueritis, ob reprobans vos argumentum impietatis in vos repente irruens, haud recta ratione vos dixisse patet; siquidem in cæteris naturalibus hoc catholice sentitis, Verbumque in verbo quod supra naturam supraque alia eminet recte demonstratis. Inde autem ob reverentiam unione Divinitatem liberare simulantes, jam injustius hanc contempsistis, cum nihil supra reliqua cognita peculiare naturam illius habere credideritis; ideo juxta vos ipse quoque, eadem verba omnibus imponens, ad unionem cum altero accedere posset.

Ubi quoque sunt quibus illi unionem denegabatis ob ipsius naturam absimilem atque supra omnia incomparabilem? Sed patet, in quibus dicitur fa-

A κατ' αὐτὸν συνθέσεως, ἐλάττων τοῦ ὡς ὅλου λεγομένου κατ' αὐτὸν συνθέτου νομισθήσεται. Τουναντίον μὲν οὖν, ἐπεὶ πάντα τὰ ἄλλα τῶν ὄντων συντιθέμενα ὡς μέρη τε καὶ ἐλάττονα τοῦ οἰκείου ὅλου τεθεώρηται· Θεὸς δὲ οὐχ εἷς τῶν πάντων, ἀλλὰ περὶ πάντα, καὶ ὑπὲρ πάντα ὑπεροχικῶς ἔχει· ἀκολούθως οὐδὲ κατὰ πάντα τὰ ἄλλα τὸν λόγον ἔχοι συντεθεὶς· ἢ ὡς μέρος λογισθήσεται ὅλου τινός.

Ἔστι γὰρ ὑμᾶς ἐπισκέπτειν, ὡς πᾶσαι αἱ καθόλου τῶν προτάσεων ἀποφάνσεις τότε ἔχουσι τὸ ἀναγκαῖον εἰς ἀπόδειξιν, ἡνίκα τινὸς ταυτογενοῦς ἢ ταυτοειδοῦς τῶν ὑπὸ τὸν προσδιορισμὸν ὁ λόγος ζητεῖται. Εἰς γὰρ τὴν τῶν ἑτεροειδῶν ἢ ἑτερογενῶν φύσιν, οὐδὲν ἔχοι ἂν λυσιτελοῦν εἰς ἀπόδειξιν οὐδὲ τὰ καθόλου ἀποφαντικὰ, εἴπερ μὴ συμπεριλαμβάνοι
B ὡς ὁμοειδὲς τὸ ζητούμενον· καὶ δείκνυσιν ἢ ὑποκείμενον ἢ παραβαῖνον τὸν λόγον τῶν ὁμοφυῶν αὐτοῦ. Οἷον εἰ περὶ Παύλου τοῦ ἀνθρώπου ζητοῖτο εἰ ζῶόν ἐστιν, ἡ καθ' ὅλου κατάφασις τοῦ εἴδους φάσκουσα πάντα ἄνθρωπον ζῶον εἶναι χρησιμεύσοι ἂν πρὸς τὴν κατασκευὴν τοῦ ζητουμένου. Ὁμοίως δὲ καὶ ἐξεταζομένου ἡμῖν εἰ Παῦλος οὗτος τὸ ζῶον οὐσία ἐστὶ, πρόσφορος εἴη ἂν ἡ καθόλου κατάφασις φάσκουσα· Πᾶν ζῶον οὐσία. Εἰ δὲ ἑτερογενοῦς τινος ἢ ἑτεροειδοῦς ζήτησις πρόκειται, πᾶσαι αἱ καταφάσεις καὶ ἀποφάσεις, ὅσαι ἂν εἶεν μὴ περὶ τῶν ὁμοειδῶν ἢ ὁμογενῶν τόδε τι λέγουσαι, ἀργαὶ καὶ ἀνόνητοι καθεστήκασι πρὸς τὸ ζητούμενον. Οἷον ζητουμένου εἰ οὐ λογικὸς ὁ Παῦλος, τοῦτό τις σπουδάζων ἀποδεικνύειν,
C ἤγουν ὅτι οὐκ ἔστι λογικὸς, λέγοι, Πᾶς λίθος καὶ πᾶσα μέλανσις ἄλογος, οὐδὲν οὐδόλως τῷ προκειμένῳ συνήγαγεν· εἰκότως οὖν ἐπὶ τούτῳ γελασθήσεται· καθ' ὅλου μὲν καταφάσκων τινὸς τὸ ἄλογον, ἀλλ' ἀνομοειδοῦς.

Φάσκοντες οὖν καὶ ἡμεῖς, Πᾶν μέρος, ἔλαττον τοῦ οἰκείου ὅλου· εἰ μὲν πάντων τῶν μερῶν ὧν συντιθεμένων μεῖζον τὸ ὅλον γινώσκεται, καὶ τοῦτο τούτοις ὁμογενὲς καὶ ὁμοειδές φατε εἶναι τὸν Θεὸν Λόγον, καλῶς τὴν ἐκ τῆς καθόλου καταφάσεως ὁμοίαν αὐτῷ κατηγορίαν ἐπάγετε, ἵνα ὡς πάντα τὰ ὁμογενῆ καὶ ὁμοειδῆ μέρος γενόμενος, ὁμοίως ἔχειν καὶ αὐτὸς πρὸς τὸ οἰκεῖον ὅλον λογισθήσεται. Εἰ δὲ τοῦτο οὐ
D τολμήσετε τὸ ἄθεον ἀπερεύξασθαι, διὰ τὸ μὴ φέρειν τὸν λικμῶντα ὑμᾶς ἔλεγχον τῆς ἀσεβείας παραχρῆμα ὑμῖν ἐπισκήπτοντα, δῆλον ὅτι οὐκ εὐλόγως· ἐπεὶ ἐν τοῖς ἄλλοις πράγμασι φυσικοῖς, τοῦτο βλέπετε καθολικῶς, καὶ ἐν τῷ ὑπὲρ φύσιν καὶ παρὰ τὰ ἄλλα ὄντι τὸν λόγον Λόγῳ, τοῦτο ὀρθῶς φαίνεσθε. Αὐτόθεν δὲ οἱ διὰ τιμὴν προσποιούμενοι, τῆς συνθέσεως ἐλευθεροῦν τὸ Θεῖον, ἤδη λίαν ἀθέσμως αὐτὸ ἠτιμάσατε, οἰόμενοι μηδὲν ἔχειν τὴν αὐτοῦ φύσιν ἐξαίρετον παρὰ τὰ λοιπὰ γνωστά· διὸ δύναιτο ἂν καθ' ὑμᾶς, ὁμοίους λόγους τοῖς πᾶσιν εἰσπραττόμενος καὶ πρὸς σύνθεσιν ἥκειν καὶ αὐτὸς σὺν ἑτέρῳ.

Καὶ ποῦ ὑμῶν αἱ προκείμεναι ἀπαγορεύσεις αὐτοῦ τῆς συνθέσεως, διὰ τὸ ἀσύγκριτον καὶ ἀπαράβλητον αὐτοῦ τῆς φύσεως παρὰ πάντα; Ἀλλὰ δῆλον, ὡς

καὶ ἐφ' ὧν λέγοιτό τι ποιεῖν ἢ πάσχειν Θεὸς ὁ ὑπὲρ ἡμᾶς, οὐχ ὁμοίως ἡμῖν ἐν τοῖσδε θεωρεῖται, εἰ καὶ τοῖς αὐτοῖς ἡμῖν ὑποβάλοιτο λόγοις, τινῶν γινομένων κατ' οἰκονομίαν αὐτοῦ, εἰς σωτηρίαν ἡμῶν· διαφόρῳ γὰρ τρόπῳ ἀναλόγῳ τῆς ἰδίας φύσεως. Ὥσπερ γὰρ καὶ γεννᾶν ὁμοίως ἡμῖν λεγόμενος καὶ γεννᾶσθαι, οὐχ ὁμοτρόπως πάντη, ἀλλὰ καὶ ὑπὲρ ἡμᾶς· οὕτω καὶ συντιθέμενος, ἐν κρείττονι λόγῳ τῶν καθ' ἡμᾶς. Οὐδὲ γὰρ ἐν τοῖς φθαρτοῖς, εἰ καὶ λέγοιτο ἐπὶ πάντων σύνθεσις, ὁ αὐτὸς λόγος καὶ τρόπος ἐπὶ πάσης συνθέσεως, ἀλλ' οἰκείως ἔχει ἐπὶ ἑκάστης φύσεως. Ὑμεῖς δὲ νῦν ὡς τῆς αὐτῆς ὄντα τὸν Θεὸν τοῖς κτιστοῖς οὐσίας, ὑπὸ τῶν αὐτῶν τὰ καὶ τούτοις συμβαίνοντα, καὶ αὐτῷ ἕπεσθαι νομίζετε. Μόνην οὖν ἔσται νοεῖν καθ' ὑμᾶς φύσεως θείας μακαριότητα, τὴν ἔκκλισίν τε καὶ παραίτησιν αὐτῆς τὴν ἀπὸ τῶν δοκούντων εὐτελεστέρων καὶ ταλαιπωροτέρων καὶ ἀτιμοτέρων διαθέσεων, οὐ τὴν κατὰ φύσιν καὶ ἰσχὺν οὐσιώδη τῶν τοιούτων ὑπεροχὴν καὶ ἐλευθερίαν, καὶ τὸ πρὸς τὰς τοιαύτας ταπεινώσεις οὐσιωδῶς ἀμέθεκτον καὶ ἀνυπόβλητον. Οὕτω δ' οὖν ὥρα ὑμᾶς καὶ τὸ ἀόρατον αὐτοῦ, μὴ ἐκ φύσεως, ἀλλ' ἐξ ἀποκρύψεώς τινος ἀντιφράττοντος αὐτῷ πρὸς πᾶσαν ὄψιν ὑποπτεύειν· καὶ τὸ ἄφθαρτον ἄρα τοῦδε, τῷ μὴ παρεμβαλεῖν, ἀλλ' ἀφεστηκέναι τῶν παρ' ἡμῖν φθαρτικῶν τόπων, καὶ ποιῶν παθῶν τε καὶ ἐνεργειῶν καὶ ἁπλῶς πάσης τῆς κατ' αὐτοῦ ἐπιβουλῆς· τοῦτο οὖν δέον ἐστὶ νοεῖν ὑμᾶς, τὸ καὶ μειρακίοις εὔδηλον, ὡς ὧν αἱ φύσεις διάφοροι, τούτων καὶ αἱ συνθέσεις· καὶ τὰ ταύταις παρεπόμενα, διάφορα.

Πῶς οὖν, εἰ τὸ διάφορον τῆς θείας φύσεως μὴ ἀρνεῖσθε πρὸς ἡμᾶς, τὸ ὅμοιον τῆς συνθέσεως αὐτῆς ἀπαιτεῖτε καθ' ἡμᾶς; Ἀλλ' ὄντως τὸ οὕτως εὔκολον ὑμῶν εἰς ἀσέβειαν φρίξαντες, δεῖν ὑμᾶς ὑπομιμνήσκειν νομίζομεν, ὅτι γραμματικοῖς μὲν φάσκουσι σεσημειῶσθαί τινα λέξιν ἐν τοῖς ἰδίοις καθολικοῖς κανόσι, παραχωροῦμεν καὶ ἀνεχόμεθα, μὴ προτιθέντες τῆς χρήσεως τὸν κανόνα· προτέρα γὰρ αὕτη· καὶ γὰρ ὁ κανὼν τῆς ἀναλογίας, ἐκ τῆς χρήσεως εὕρηται αὐτοῖς· καὶ οὐχ ἡ χρῆσις, ἐκ τοῦ κανόνος εἴληπται· καὶ βασιλεῖ τοὺς νόμους ὑποτάττομεν, οὐ τοῖς νόμοις τὸν βασιλέα. Τὸν δὲ Θεὸν τὸν πρὸ πάσης τε κτίσεως, καὶ πάσης συνθέσεως εὑρετήν, οὕτως ἀξιοῦμεν μὴ δύνασθαι παρὰ τοὺς πάλαι ταύτης νόμους βουληθέντα συντίθεσθαι, ἢ καινότερόν τι καὶ ἰδικώτερον, τῇ κατ' αὐτὸν συνθέσει νομοθετεῖν; Καὶ πῶς ταῦτα πάλιν οὐκ εἰς τὴν προειρημένην ὑμᾶς ἀποκλείουσιν ἀθεΐαν; Τοῦ μηδὲ ἐκ μὴ ὄντωνοῦν ποιητὴν εἶναι δοξάζειν τὸν τοῦ παντὸς Δημιουργὸν τὸν καὶ σαρκωθέντα Λόγον ἀκαταλήπτως. Τί δὲ καὶ μόνῳ τούτῳ τῆς θεοπρεποῦς συνθέσεως ἐνεσκέψατε τῷ θαυμαστῷ, εἰ ἄρα μηδενὶ τῶν ὑπὲρ λόγον καὶ φύσιν ἡμετέραν πιστεύετε; Καὶ γὰρ καὶ ἄλλους ὑμῖν λόγους παραδοξοτέρους κηρύττομεν κατὰ τήνδε καὶ περὶ τῆσδε τῆς ὑπὲρ φύσιν θείας ἑνώσεως· καὶ γὰρ καὶ ἄσπορον σύλληψίν φαμεν τοῦ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃν εἰ καὶ ἄνθρωπον οἴεσθε εἶναι ψιλόν, πολλῷ μᾶλλον ἀπιστότερον ἔσται· φυσικῷ γὰρ λόγῳ, τίς ἀνθρώπων ἀσπόρως συνελήφθη πώποτε;

A cere vel pati Deus qui supra nos est, non sicut nos in his eum videri, etsi his verbis a nobis supponatur, cum quædam causa nostræ salutis juxta œconomiam ipsius fiunt; agit enim diverso modo, sed consentaneo propriæ naturæ. Namque sicut genitum natumque fuisse dicitur eodem modo ac nos, non tamen omnino eodem, sed et supra nos, sic quoque unitus, in meliore sorte quam nos dicitur. Nec enim in ipsis corruptibilibus, etsi de omnibus facta fuisse dicatur unio, eadem ratio et idem modus unionis servantur, sed in unaquaque natura proprie se habent. Vos vero nunc Deum ejusdem substantiæ ac creaturas esse, exque iisdem his et illi accidentia evenire existimatis. Juxta vos beatitudo divina nihil B aliud erit quam privatio et vitatio eorum quæ videntur viliora, humiliora atque ignobiliora; non autem ea quæ habet naturam, potentiam essentialiter quæ hujusmodi sunt superantem, libertatem, quodque cum hujusmodi humilibus nec constitui nec supponi potest. Ita nunc igitur invisibilitatem ipsius non ex natura esse, sed ex facto cujusdam semetipsum omni aspectu subtrahentis suspicamini; munditiaque ipsius non esset ex intus, sed ex remotione a locis nos polluentibus, passionibus, operationibus simpliciterque ab omnibus contra ipsum paratis insidiis. Hoc est igitur quod intelligere debetis, quodque etiam parvulis evidens est, quorum naturæ differunt horum quoque unio- C nes; quæque illas consequuntur.

Quomodo igitur, si differentiam naturæ divinæ non negatis nobis, similitudinem unionis ejus invocatis contra nos? Sed vere ne cito in impietatem abripiamini timentes, vos recordari volumus, scriptoribus aliquam lectionem in suis generalibus regulis significari asserentibus, nos cedere atque indulgere, eo quod auctoritati regulam non præposuimus. Illa enim prior est. Namque regula analogiæ his ex auctoritate invenitur; non vero auctoritas ex regula sumitur. Sic regi leges postponimus, non legibus regem. Deum autem ante omnem creationem atque unionem inventorem, præter solitas ejus leges, cum voluerit, uniri non posse existimamus? Vel aliquid recentius ac convenientius unioni D contra ipsum præscribere? Quomodo quoque hæc rursum vos in atheismum quem supra diximus non dejiciunt non omnia ex nihilo fecisse credentes omnium Creatorem supraque quod concipi potest incarnatum fuisse Verbum. Cur vero in hac sola divina unione miranda moramini, si forte nulli quod sit supra rationem naturamque nostram credatis? Etenim alias quoque veritates mirabiles secundum hujusmodi supra naturam unionem divinam deque hacce vobis prædicamus: sine enim semine conceptionem Dei nostri Jesu Christi dicimus; quem si merum hominem esse putatis, multo incredibilior eveniet; naturaliter enim loquendo, quis unquam hominum sine semine conceptus sit?

Quid ergo diceretis? Siquidem naturaliter non sit possibile, nec a Deo fieri possit? Vel ne pie credendum esset, si qua naturalia facta sint, nec Dei esse opera sed naturæ atque ex illa factum esse quodcunque factum fuerit? Cum vero potentia naturæ divinæ immediate fit quodcunque fit, non ex præexsistente sed ex non ente, novissime inter entia annumeratur atque agnoscitur. Nec ex his quæ jam nota sunt, voces et significatio errorum quærenda sunt, a vobis qui quodcunque a Deo fit errorem esse omnino asseritis; leges enim naturæ facile a legislatore in tempore solvuntur. Namque nisi hæc ita admiseritis, jam non ex utero virginis aliquod corpus exiisse confiteremini, licet, ut vultis, merum hominem ex illa natum esse aliquis dicat. Omne enim corpus per corpus exiens, alterutrum divisum ostendit. Sed nec sicco pede supra mare ambulandi mortale corpus proprietatem habuisset, imo ne naturalem quidem verisimilitudinem; leviora enim gravioribus, non graviora levioribus innatant corporibus. Nec etiam ex luto et sputo oculi unquam fuissent uncti, nec statim visus cæco ex nativitate redditus fuisset, nec e sepulcro mortui resurrexissent, nec in aliis similibus miraculis virtus Christi vel sanctorum foret confitenda, siquidem rationibus naturalibus præcognitis probari nequirent. Jam igitur non ob suam unionem partem imperfectam perfectionis divinæ jure reprehenderetis; Deus enim ut pars dictus hujusce totius uniti omnino intellectus, ita totum aliquod majus seipso ut parte habere non intelligetur, his quæ naturam ipsius, quæ unionem consequuntur vincentibus. Si enim divinæ unionis ratio totum suum majus esse sua parte vult, at naturæ divinæ ratio nihil ipsa majus vult fingi. Quæ ergo ex his duobus rationibus adversis potius quam altera frangetur? Si vero igitur natura vincitur unio, non vero vincit, quomodo naturæ non condonanda esset unio? Si autem ita non se habet, profecto ergo supra naturam tenenda est unio. Patet igitur ex probatis omnibus, ut partem dici Verbum, non cum particulari imperfectione; unitumque, non, ut dicitis, legi substantiarum inter se unitarum subjicitur; nec minus est eo quod dicitur totum, juxta modum quemdam compositi significationis; aut secundum creaturarum mediocritatem et habitum naturalem, suam increatam substantiam perfectionis infinitæ revelat. Non ergo minor est aliquo aut secundum quid Deus Verbum, vel unitus, vel non unitus; evanescuntque modo fumi resoluta, insolubilia vestra, ut dicitis, atque inexpugnabilia sophismata. His ergo se habentibus, nos Verbum secundum ipsius substantiam ad nostram substantiam unitum dicimus, utque partem totius compositi, quod est Christus, distinguimus, compositum vero esse unicam substantiam, ex nostra ipsiusque, nunquam diximus, absit!

A Τί οὖν εἴποιτε; Ἐπεὶ μὴ φύσει τόδε δυνατὸν, οὐδὲ ὑπὸ Θεοῦ γεγονέναι δύναται; Ἢ δεῖ τοὐναντίον εὐσεβῶς ἐννοήσαντας ἰδεῖν, ὅτι, εἰ τῶν γινομένων φύσει ἦν, οὐδ' ἂν Θεοῦ ἐνέργεια, ἀλλὰ φύσεως ἦν, καὶ ἐκ ταύτης ἐγεγόνει τὸ γινόμενον; Ἡνίκα δὲ θείας ἀμέσως φύσεως γένοιτο ἐπινοίᾳ τὸ γινόμενον, οὐκ ἐκ προϋπάρξεως, ἀλλ' ἐκ μὴ ὄντος, νεωστὶ τοῖς οὖσι συντάττεται καὶ συνομολογεῖται. Καὶ οὐ δέον ἐκ τῶν πάλαι ἐγνωσμένων, τοὺς λόγους καὶ τὴν δόξαν ζητεῖν τῶν παραδόξων, ἅπαξ μὴ ἀρνουμένους ὅτι ἔστι τι καὶ παράδοξον γίνεσθαι ὑπὸ Θεοῦ· νόμοι γὰρ φύσεως καταλύονται ῥᾷστα τῷ νομοθέτῃ ἐν καιρῷ. Εἰ γὰρ μὴ οὕτως ταῦτα καταδέχεσθε, ὥρα ὑμᾶς, μηδὲ τὴν ἐκ παρθένου μήτρας προέλευσιν προσίεσθαι οὑτινοσοῦν σώματος, κἂν ὡς βούλεσθε B ἀνθρώπου ψιλοῦ τις εἶναι λέγοι τὴν γέννησιν τὴν ἀπ' αὐτῆς. Πᾶν γὰρ σῶμα διὰ σώματος χωροῦν, θάτερον δείξει διαιρεθέν· ἀλλ' οὐδὲ ἀβρόχῳ ποδὶ πεζεύειν ἐπὶ θαλάσσης ἀνδρεῖον σῶμα ἔχοι λόγον, ἐπεὶ μηδὲ φυσικὴν πιθανότητα· τὰ γὰρ κουφότερα τοῖς βαρυτέροις, οὐ τὰ βαρύτερα τοῖς κουφοτέροις ἐπινήχεται σώμασιν. Ἀλλ' οὐδὲ ὑπὸ πηλοῦ καὶ πτυέλου ὀφθαλμοὺς διαπεπλάσθαι ποτὲ, καὶ πρὸς τὴν παραχρῆμα ὁρατικὴν ἐνέργειαν ἀπαρτίζεσθαι τοῦ ἐκ γενετῆς τυφλοῦ, οὐδὲ νεκροὺς ἐκ τάφου ἀνίστασθαι, οὔτε δέ τινα τῶν ἄλλων ὁμοίων θαυματουργιῶν δύναμιν τοῦ Χριστοῦ ἢ τῶν ἁγίων ὁμολογεῖν ἔστιν, ἐπεὶ μὴ τοῖς φυσικοῖς λόγοις προεγνωσμένην ἔχουσι τῆς αἰτίας τὴν ἀπόδειξιν. Οὐκοῦν, οὐκ ἐκ τοῦ συν- C τεθῆναι ἤδη εὐλόγως τῆς θείας τελειότητος μερικὴν ἀτέλειαν κατηγορήσετε· ὁ γὰρ ὡς μέρος λεγόμενος τοῦδε τοῦ ὅλου συνθέτου Θεὸς ἅπαξ νοούμενος, ὡς ὅλον τι μεῖζον ἔχειν ἑαυτοῦ ὡς μέρους, οὐ νοηθήσεται· τῶν τῆς φύσεως αὐτοῦ ἀκολούθων λόγων νικώντων, καὶ τοὺς τῆς συνθέσεως αὐτοῦ. Εἰ γὰρ καὶ τῆς συνθέσεως τῆς θείας ὁ λόγος ἀπαιτεῖ, μεῖζον εἶναι τοῦ μέρους τὸ ἴδιον ὅλον, ἀλλὰ τῆς φύσεως τῆς θείας ἀπαιτεῖ λόγος, μηδὲν αὐτῆς μεῖζον ἐπινοεῖσθαι· τῶν δύο οὖν ἐναντίων λόγων, τίς μᾶλλον τῷ ἑτέρῳ ἀνατραπήσεται; Εἰ μὲν οὖν τῇ φύσει συναναιρεῖται ἡ σύνθεσις, οὐ συναναιρεῖ δὲ, πῶς οὐ δέον τῇ φύσει παραχωρεῖν τὴν σύνθεσιν; Εἰ δὲ μὴ οὕτως ἔχει, δῆλον ὡς δέον κρατεῖν ὑπὲρ τὴν φύσιν τὴν σύνθεσιν. Φανερὸν οὖν ἐκ τῶν ἀποδε- D δειγμένων πάντων, ὡς καὶ μέρος ὁ Λόγος, οὐ μετὰ μερικῆς ἀτελείας λέγεται· καὶ συντιθέμενος, οὐ καθὼς φατε τῷ νόμῳ τῶν συνθέτων οὐσιῶν τῶν παρ' αὐτῶν ὑποβάλλεται· οὔτε ἔλαττον τοῦ λεγομένου ὅλου, κατά τινα τρόπον σημασίας τοῦ συνθέτου· ἢ κατὰ τὴν τῶν κτιστῶν σμικρότητα καὶ σχέσιν φυσικὴν, τὴν ἑαυτοῦ ἄκτιστον οὐσιώδη τελειότητα ἐπιδείκνυται. Οὐκ ἔλαττον οὖν ἄρα τινὸς ἢ κατά τι ὁ Θεὸς Λόγος, οὐδὲ συντιθέμενος, οὐδὲ ἀσύνθετος· καὶ οἴχεται ὑμῶν καπνοῦ δίκην διαλυθέντα τὰ ἄλυτα, ὡς οἴεσθε, καὶ δυσκαταγώνιστα σοφίσματα. Πλὴν καὶ τούτων οὕτως ἐχόντων, ἡμεῖς σύνθετον μὲν κατ' οὐσίαν τὴν αὐτοῦ πρὸς τὴν ἡμετέραν οὐσίαν φαμὲν τὸν Λόγον· καὶ ὡς μέρος τοῦ συνθέτου ὅλου Χριστοῦ διαστέλλομεν· σύνθετον δὲ οὐσίαν, ἀπὸ τῆς αὐτοῦ τε καὶ τῆς ἡμετέρας, οὔ φαμέν ποτε, μὴ γένοιτο.

ΚΕΦΑΛ. ΙΑ'.

Πᾶσα μία φύσις ἢ καὶ ὑπόστασις συγκειμένη ἐκ μερῶν ἑτεροουσίων, ἔχει τινὰς ἐνεργείας, ἃς οὐδ' ὁπότερον, ἐξ ὧν συνέστηκε, δύναται καθ' ἑαυτὸ καὶ χωρὶς τῆς τοῦ ἑτέρου ἐνεργείας ἐκτελέσαι τινὶ τρόπῳ ποτέ. Οἷον ψυχὴ καὶ σῶμα, δέονται ἀλλήλων εἰς τὸ καταρτίσαι πλεῖον, οἰκοδομῆσαι οἶκον, ὑφᾶναι χιτῶνα, καὶ εἴ τι τοιοῦτον· ὅπερ, ὡς εἶπον, ἀδύνατον ἑνὶ αὐτῶν χωρὶς τῆς θατέρου συνεργίας ἐκτελέσαι, δι' οὐδήποτε τρόπου. Εἰ τοίνυν μία φύσις, ἢ μία ὑπόστασις ἀπετελέσθη ἐκ συνθέσεως, ὥς φασι, τῆς τοῦ Θεοῦ Λόγου πρὸς τὸν ἐξ ἡμῶν ἄνθρωπον, εἰσί τινες ἐνέργειαι τῆς τοιᾶσδε φύσεως καὶ ὑποστάσεως, ἃς ὁ Θεὸς Λόγος καθ' ἑαυτὸν οὐκ ἠδύνατο πληρῶσαί τινι τρόπῳ (τὸ δὲ *μὴ δύνασθαι*, διχῶς λέγεται παρὰ τῇ θείᾳ Γραφῇ καὶ ἐν τῇ κοινῇ συνηθείᾳ· ἢ ὡς ἀδύνατον τὸν Θεὸν ψεύσασθαι, διὰ τὸ ἀπερίγραπτον· ἢ ὡς δῶρά τε καὶ θυσία μὴ δυνάμενα κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα, διὰ τὸ ἀσθενὲς καὶ ἀνέφικτον οἱασοῦν ἐνεργείας, εἰ δώσουσιν), ἃς οὐ δυνάμενος ὁ Θεὸς Λόγος πληρῶσαι καθ' αὑτὸν, τῇ τοῦ ἀνθρώπου ἐνεργείᾳ ἐξετέλεσεν. Ἢ ἀσθενῆ δεικνύουσι τὸν Θεὸν Λόγον, ἢ πεπραχότα τὰ ἀπρεπῆ. Καὶ εἰ μὲν τὸ πρῶτον, ἔτι καὶ νῦν ὁ Πατὴρ ἀτονεῖ πρὸς τὴν ἀποπλήρωσιν τῶν τοιῶνδε ἐνεργειῶν, μὴ συγκείμενος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ· καὶ κατὰ τοῦτο, μείζων ὁ Υἱὸς τοῦ Πατρὸς, ὅπερ ἀσεβές· εἰ δὲ τὸ δεύτερον, πρόδηλον τὸ βλάσφημον· ὁ Θεὸς γὰρ οὐδὲν τῶν ἀπρεπῶν διαπράττεται, οὔτε καθ' ἑαυτὸν, οὔτε μεθ' ἑτέρου. Εἰ δὲ οὐδέτερον δοῦναι ὅσιον, οὐδὲ ἄρα οὐδὲ ἡ σύνθεσις γεγένηται τοῦ Θεοῦ Λόγου καὶ τοῦ ἐξ ἡμῶν ἀνθρώπου.

Ὅμοιόν τι πεπονθέναι ἡμῖν δοκεῖτε τοῖς ἀφυῶς ἐν ταῖς τοξείαις τῶν σκοπῶν ὑπερακοντίζουσι, καὶ ἀτεχνίαν μᾶλλον ἤπερ εὐστοχίαν ἐπιδεικνυμένοις, τῷ μὴ εἰδέναι καθ' οὗ τε καὶ ὅσον καὶ ὅπως τὰ βέλη δέον ἀποπέμπεσθαι· καὶ γὰρ καὶ ἐν τούτῳ μᾶλλον πρὸς τοὺς μίαν τὴν φύσιν λέγοντας ἀντιλέγειν ὀνειροπολήσαντες, ὥσπερ κἂν τῷ πρὸ τοῦδε ἐπιχειρήματι, νῦν ὥσπερ τῇ ῥύμῃ τῆς πρὸς φιλονεικίαν ἐφέσεως, καὶ πρὸς ἡμᾶς τοὺς μίαν λέγοντας τὴν ὑπόστασιν καὶ οὐχὶ τὴν φύσιν, ἐπὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀντιφέρεσθε. Ἀλλ' ἡμεῖς γε συντόμως ὑμῶν τὴν κατασκευὴν ἀνασκευάσομεν. Πᾶσα γὰρ ἐνέργεια, ἐκ δυνάμεώς ἐστι· πᾶσα δὲ δύναμις τῶν συνθέτων, ἢ ἐκ τῶν κατ' αὐτὰ μερῶν, ἢ ἐκ τῆς συνθέσεως αὐτῆς ἐνυπῆρξεν αὐτοῖς. Εἴπερ οὖν τὸ μὲν ἓν μέρος τῆσδε τῆς συνθέτου ὑποστάσεως αὐτός ἐστιν ὁ Θεὸς Λόγος, τοῦ δὲ ἑτέρου μέρους τοῦ σὺν αὐτῷ, καὶ τῆς ἑαυτοῦ δὲ πρὸς ἐκεῖνο συνθέσεως αὐτός ἐστιν αἴτιος, πᾶν δὲ αἴτιον, μεῖζον τήν τε δύναμιν καὶ τὰς ἐνεργείας ὑπὲρ τὰ ἴδια αἰτιατά· πῶς τὸ κατὰ Χριστὸν ὅ τι ἂν τις εἴποι γεγονὸς σύνθετον, μείζονα ἕξει τινὰ ἐνέργειαν τοῦ ἐν αὐτῷ μὲν, αἰτίου δὲ αὖ τοῦ μέρους, ἤγουν τοῦ θείου Λόγου; Ἀλλ' ἐπεὶ περὶ οὐσιῶν ἡμῖν παρέσχε τῶν ὑμετέρων ἀτοπιῶν ἡ ὑπερβλύζουσα ἀλογία, ἔτι καὶ τούτων οὕτως ἐχόντων,

A

CAP. XI.

cantur cum ille qui iis caret separatur ab eo qui ea naturaliter habet, an cum ei conjungitur? Quomodo autem, cum tot sint separati ab eo qui ea naturaliter habet, illi soli data fuissent? Quod in exemplis videmus: cum nempe ignis secundum naturam ferro conjungitur, tunc ignitum dicitur ferrum, nomine et, ut ita dicam, naturali dignitate ignis accepta vi conjunctionis; similiter cum lux aquæ immista eam illuminat vi conjunctionis, illuminata dicitur aqua; necnon et cum statua auro illinitur, tunc aurata dicitur; cum autem ascia instrumenti tantum in modum utitur faber, non ei secundum naturam conjunctus, tunc neque nomen suum neque dignitatem instrumento communicat, neque ab instrumento accipit artifex. Sed neque rex, aut B nobilissimus quisque, si unum e suis servis quantiscunque honoribus cumulaverit, nec tamen illi conjungatur, nomen, aut dignitatem, aut regiam potestatem, aut nobilitatem illi impertire unquam posset; non enim possibile est, etsi velit, uti ostendemus, quantumlibet unum e suis equis decoret, illum vocare hominem verum, siquidem unum solummodo nomen receptum, non autem duo pro his quæ sunt super omnia naturalia nomina; si quis enim tres, non autem unam personam præstantissimam in divinis dicat, quid nisi qui natura Deus est et Dominus? Quod adoptionis est, neque soli convenit, neque est super omne nomen, cum sint multi in cœlis et in terra secundum quid dicti dei et domini; si igitur nomen illud quilibet alius præter C verum Deum usurpet, necesse est vel sine nomine esse eum qui dedit, vel in alterutro mendax esse nomen illud; siquidem aut is qui recens accepit, cum sit diversæ naturæ, nec proprie habet, mendaciter nominatur; qui autem antiquitus habuerat, jam non vere nominatur, quippe qui nuper alienavit, nec in propria nominis natura permansit. Omne enim proprium et naturale nomen, unius tantum naturæ nomen est, non autem duarum diversarum naturarum; unde vel non potest dici proprie et vere alicui esse datum, vel si proprie datum est, nonnisi ex conjunctione illius qui solus vere eo nominatur, cum alio diverso, datum est. Sic enim et in eodem proprio nomine et simul in alio erit, pro- D pter eum qui in ipso factus est: non enim vere dici id potest nomen naturæ quod a proprio subjecto discedit; similiter autem judicandum de dignitate et potestate atque paribus cæteris.

Cum igitur nobis videatur ex natura dari et ipsum dignitatis nomen, dignitatem autem a Deo esse naturam; non enim acquisitum quemdam amictum; vobis vero non ita, ut liquet, videtur: dicite ergo quid tandem nos velitis censere de vera Christi dignitate et potestate, quid de vero nomine: et sciamus an non quammaxime præstet quod nos dicimus omnibus quæ a vobis dicuntur, siquidem species illa non mutatur. Sic enim omnis homo ab

omni homine genere differret : cuinam igitur sanctorum virorum similem esse Christum, quem nos verum Deum et Dei viventis Filium confitemur, supponitis? Audiendum ergo quomodo hic in Christo dignationem, non autem naturalem compositionem esse arguatis, qui dignitatem ex voluntate esse dicitis. Quoniam etenim ex benevolentia sunt et ea ipsa quæ ad incarnationem pertinent, ideo dignatio quædam erit omne donum. Sed ad hæc dicimus : Quia dignitatem arbitramini honorem quemdam esse ex eo quod ex voluntate detur ; reponemus nos ictus quoque et catenas et mulctas pravis servis et civibus ex voluntate a dominis et magistratibus infligi : unde ex vestris sententiis, quia ex voluntate procedant, pœnæ ipsæ dignationes esse censebuntur. Neque recusetis hæc ob nimiam absurditatem dicere, præsertim quia, cum ponimus naturalem unionem, si diceremus eam non ex benevolentia et humanitate esse optimi Dei, non absone affirmaretis non esse unionem, cum non ex Dei benevolentia incarnatio procederet ; nunc autem altius quam vos ipsi clamamus maximum esse bonitatis argumentum quod hujusmodi unio sit ex benevolentia : probe etenim scimus non invidiosum esse Numen divinum quod nobis non solum communem aut profanam concessit dignitatem, sed naturalem et ingentis pretii : non enim aliud bonum, sed seipsum nobis concessit. Quod si qua natura ditior aut melior potest concipi quam Dei natura, id nobis dicite et vobis consentiemus.

Sed quoniam, his victi, adhuc autem extreme spiritu reluctantes, veræ pietatis sermoni non consentitis, sed nobis affirmatis impeccantiam in Christo Domino nostro unionis non esse signum, id quoque vobiscum inquiremus. In quibus potestas peccandi, in illis miramur impeccantiam : non enim simpliciter dicendum quod impeccantia sit admiratione digna. Videamus ergo unde peccatum : nonne evidenter ex libertate singulis hominibus propria, quemadmodum et justitia? nisi enim ex libertate et electione peccata et justitiæ, ut omnia cætera omittamus, injustus esset quisquis eum puniret qui absque libertate peccasset, aut mercede afficeret eum qui non ex se bene egisset. Quod si absque dubio et peccatum et justitia ex libertate naturæ nostræ propria, impeccantia vero sive justitia Domini nostri Jesu Christi a Spiritu sancto esse perhibetur, necesse est ut confiteamini in ejus potestate fuisse quod justus fuerit, sicut in nostra est potestate. Si autem id quod in nostræ animæ potestate est et justitiæ nostræ causa, in Christi natura fuisse scimus Spiritum sanctum, qui verus est Deus, quomodo evidentissime, licet inviti, non conceditis divinam naturam in Christo per Spiritum sanctum fuisse? qui nuper prave ponebatis illum nobis similem esse nunc vero in facie ab eo convicti, cum super nos esse debere intelligi qui nobis similis videbatur. Quod etenim partito in

A πᾶς ἄνθρωπος παντὸς ἀνθρώπου ἑτεροούσιος γένοιτο, κατὰ τίνα εἶναι τῶν ὁσίων ἀνθρώπων τὸν Χριστὸν ἡμῖν τὸν ὄντως Θεὸν καὶ Υἱὸν Θεοῦ ζῶντος ὡμολογημένον ὑποτίθεσθε; Ἔνεστιν οὖν ἀκηκοέναι ὅπως ἀξίαν εἶναι καὶ οὐ σύνθεσιν φυσικὴν ταύτην ἐπὶ Χριστοῦ κατασκευάζετε λέγοντες, ὡς ἡ ἀξία ἐκ θελήσεως δίδοται. Ἐπεὶ οὖν εὐδοκίᾳ γεγένηται καὶ τὰ τῆς οἰκονομίας, πάντως ἀξία τις ἔσται τὸ δοθέν. Ἀλλὰ καὶ πρὸς τοῦτό φαμεν· ὅτι μὲν ὡς τιμήν τινα οἴεσθε τὴν ἀξίαν διὰ τὸ ἐκ θελήσεως δεδόσθαι, ἐροῦμεν ὑμῖν ὅτι καὶ πληγαὶ καὶ πέδαι καὶ ἀτιμίαι τοῖς κακούργοις οἰκέταις καὶ δημόταις ἐκ θελήσεως δίδονται τῶν οἰκείων ἀρχόντων καὶ δεσποτῶν· τῷ οὖν καθ' ὑμᾶς λόγῳ ἐπεὶ ἐκ θελήσεώς ἐστι ταῦτα δεδομένα, ἀξίαι λογισθήσονται καὶ τιμαί. Μὴ δὲ γὰρ B τοῦτο ὑμῖν εἰς ἀτοπίαν πλήρη παροράσθω λέγειν· ἄλλως τε εἰ λεγόντων ἡμῶν τὴν φυσικὴν σύνθεσιν, μὴ κατ' εὐδοκίαν καὶ φιλανθρωπίαν αὐτοῦ τοῦ παναγάθου Θεοῦ ταύτην ἔφαμεν γενέσθαι, εἴχετε ἂν εἰκὸς ἐκ τοῦ μὴ κατ' εὐδοκίαν εἶναι τὴν οἰκονομίαν, μὴ σύνθεσιν εἶναι διαβεβαιοῦσθαι· νῦν δὲ τοῦτο αὐτὸ ὑπερβοῶμεν ὑμῶν ὡς ἀγαθότητος ἀκροτάτην ἔνδειξιν ἔχει, τὸ κατ' εὐδοκίαν εἶναι τὴν τοιάνδε σύνθεσιν· οὕτως γὰρ ἴσμεν παντελῶς ἄφθονον τὸ Θεῖον, ὡς εὐδοκεῖν οὐ συμβεβηκυίας οὐδὲ ἀνοσίου τινὸς ἀξίας μεταδοῦναι ἡμῖν μόνον, ἀλλὰ φυσικῆς καὶ ταύτης, οὐ τῆς τυχούσης· οὐχ ἑτέρου γὰρ ἀγαθοῦ, ἀλλ' ἑαυτοῦ ἡμῖν τοῖς αὐτοῦ μεταδέδωκεν· οὐ τί ἂν εἴη λοιπὸν τὴν οἱανοῦν φύσιν ἀφθονωτέραν ἢ C ἀγαθωτέραν Θεοῦ ἐννοεῖν συγχωροῦν, εἴπατε ὑμεῖς, καὶ ἐν τούτῳ ὑμῖν συμφωνήσομεν.

Ἀλλ' ἐπεὶ καὶ πρὸς τοῦτο καταβληθέντες ἔτι ψυχοῤῥαγικῶς ἀσπαίροντες οὐκ ἐνδιδόατε τῷ ἀληθεῖ τῆς εὐσεβείας λόγῳ, ἀλλὰ καὶ τὸ ἀναμάρτητον ἡμῖν οὐ θείας ἑνώσεως εἶναι σύμβολον ἐπὶ τοῦ Δεσπότου ἡμῶν Χριστοῦ διαβεβαιοῦσθε, καὶ τοῦτο ὑμῖν συνεξετάσομεν. Ἐν οἷς μὲν οὖν ἐστι τὸ ἁμαρτάνειν, ἐν τούτοις θαυμάζεται καὶ τὸ ἀναμάρτητον· ἐπεὶ οὐδὲ κυρίως ἐπαινετὸν λέγειν τὸ ἀναμάρτητον. Τίνος οὖν ἴδωμεν ἡ ἁμαρτία. ἢ δῆλον ὡς τοῦ καθέκαστον τῶν ἀνθρώπων αὐτεξουσίου; τούτου γὰρ καὶ ἡ δικαιοσύνη· εἰ γὰρ μὴ τοῦ κατὰ προαίρεσιν καὶ ἐφ' ἡμῖν αἱ ἁμαρτίαι τε καὶ αἱ δικαιοσύναι, ἵνα πάντα παραλείψωμεν, ἄδικος ὁ κολάζων τόν τε οὐκ D ἐξ ἑαυτοῦ ἁμαρτάνοντα, καὶ γεραίρων τὸν οὐκ ἀφ' ἑαυτοῦ δικαιοπραγοῦντα. Εἰ οὖν ὡμολογημένως ἡ ἁμαρτία τε καὶ ἡ δικαιοσύνη ἐκ τοῦ ἐφ' ἡμῖν, καὶ τοῦ κατὰ φύσιν ἡμῶν αὐτεξουσίου, τὸ δὲ ἀναμάρτητον ἤγουν δίκαιον τοῦ Δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκ Πνεύματος ἁγίου μεμαρτύρηται, καὶ ὑμῖν ἀνάγκη ἐστὶ τοῦτο εἶναι αὐτοῦ τὸ αὐτεξούσιον, ἐξ οὗπερ ἐδικαιώθη· ὥσπερ καὶ ἡμεῖς ἐκ τοῦ καθ' ἡμᾶς αὐτεξουσίου. Εἰ δὲ ὅπερ τῆς ἡμετέρας φύσεώς ἐστι αὐτεξούσιον καὶ τῆς δικαιοσύνης ἡμῶν αἴτιον, τοῦτο τῆς Χριστοῦ φύσεως ἴσμεν εἶναι τὸ Πνεῦμα τὸ ἅγιον, τοῦτο δὲ ἀληθῶς Θεὸς ἀληθινὸς, πῶς οὐχὶ σαφέστατα ἡμῖν, καὶ ἄκοντες, τὴν θείαν φύσιν διὰ τοῦ Πνεύματος ἐν Χριστῷ εἶναι δεδώκατε; εἰ [illegible] μὲν ὑπολαμβάνοντες ἀνομίαν, ἔτι ὁμοιός

ἐστιν ὑμῖν· ἐλεγχθέντες δὲ κατὰ πρόσωπον νῦν ὑπ' A αὐτοῦ ὅτι ὑπὲρ ἡμᾶς ἦν νοούμενος ὁ καθ' ἡμᾶς θεωρούμενος. Ὃ γὰρ ἐν ἡμῖν ὁ ἡγεμονικὸς λόγος κατορθοῖ μερικῶς, τοῦτο παντελῶς ὁ θεῖος Λόγος πρὸς τῷ ἡμετέρῳ καὶ τοῦδε καὶ τῶν λοιπῶν ἡγεμονευόντων ἐν Χριστῷ κατώρθωσεν. Εἴτε οὖν ὡς συνυπάρχων τῷ ἁγίῳ Πνεύματι, εἴτε καὶ ὡς Πνεῦμα ἅγιον ἀπὸ τῆς φύσεως λεγόμενος, οὐκ ἀπὸ τῆς ὑποστάσεως, αὐτὸς ἑαυτοῦ τῆς δικαιοσύνης οὐχ ἕτερος αἴτιος.

nobis ratio perficit, id in Christo prope rationem nostram et erga eam ipsam et erga cæteras principales facultates, Verbum divinum omnimode perficiebat. Itaque sive ut Spiritui sancto coexsistens, sive et unus Spiritus sanctus ipse fuerit dictus, ex natura quidem, non autem ex persona, ipse suæ justitiæ, non alius, auctor fuit.

ΚΕΦΑΛ. Κ'.

Ὁ Λόγος ὁ θεῖος, ἄτρεπτός ἐστι τὴν ὑπόστασιν ὡς καὶ τὴν φύσιν, ἢ οὐχί· εἰ μὲν οὖν οὐχί, οὐδὲ πάντη ἁπλοῦς, οὐδὲ ἄφθαρτός φασι, ἀλλ' οὐδὲ Θεός. Ἔτι μὴν καὶ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, εἰ μὴ ἄρα ἑτέρως ὑφεστήκασιν, τοῖς αὐτοῖς ὑπενεχθήσονται· δυνάμει γὰρ τρεπτοὶ καὶ αὐτοὶ τὰς ὑποστάσεις νοηθήσονται. Εἰ δέ γε διὰ τὸ ἐναργὲς τῆς ἀσεβείας, B πᾶς τις ὁμολογεῖ ἄτρεπτον καὶ καθ' ὑπόστασιν τὸν Λόγον, πῶς ἐξ ἁπλῆς σύνθετον ἕξει τὴν ὑπόστασιν; Ἀλλὰ πῶς τὸ ἁπλοῦν τῆς ὑποστάσεως νοεῖται ὑμῖν; εἰ γαρ ὑποστάσεις, φύσεις εἰσὶ μετὰ ἰδιωμάτων· εἰ μὲν οὖν τῷ μίαν τε ἔχειν φύσιν καὶ ἓν ἰδίωμα ἁπλοῦν τὴν ὑπόστασιν ἁπλῶς οἴεσθε, ἢ φύσεις μὲν ὅσας τύχοι, ἰδίωμα δὲ ἓν μόνον ἁπλοῦν, οὔτε μία ἔσται τινὸς ἁπλῆ ὑπόστασις οὐδὲ τῶν θείων αὐτῶν· ὁ Πατήρ τε γὰρ Λόγου ἐστὶ γεννήτωρ καὶ ἀγέννητος καὶ ἐκπορευτὴς Πνεύματος ἁγίου· καὶ ὁ Υἱὸς, γεννητὸς καὶ Λόγος καὶ διαπορθμευτὴς τοῦ ἁγίου Πνεύματος· ἅ ἐστι πλείονα ἁπλᾶ ἰδιώματα τῆς αὐτῆς ὑποστάσεως ἐξ ὧν ἅμα πάντων, καὶ τὸ ἓν σύνθετον ἰδίωμα νοεῖται, τῆς πατρικῆς ἢ υἱϊκῆς ὑποστάσεως. C Εἰ δὲ τῷ φύσιν μὲν μίαν ἔχειν, ἰδιώματα δὲ ἁπλᾶ ὅσα ἂν τύχοι, τί ἂν διαφέροι ἁπλῆ ὑπόστασις ἁπλῆς φύσεως, λέξατε. Εἰ δὲ οὐδὲν, ἀνάγκη ἄρα, ὥσπερ τὴν ἀσύνθετον φύσιν ἐν τῷ μὴ σὺν ἑτέρᾳ φύσει ἡνῶσθαι νοοῦμεν, οὕτως καὶ τὴν ἀσύνθετον ὑπόστασιν, ἐν τῷ μὴ σὺν ἑτέρᾳ ὑποστάσει ἡνῶσθαι, ὀρθῶς δοξάζειν. Ὑποστάσει δὲ ὑπόστασιν ἑνωθῆναι, οὐχ ἡμεῖς ἀλλ' ὑμεῖς φατε· ὥστε καὶ ὑμεῖς λέγετε σύνθεσιν ὑποστάσεων· ἡμεῖς γὰρ ὥσπερ τὸν ἐν καμίνῳ πυρωθέντα σίδηρον οὐχ ὑπόστασιν ἀποσπᾶσαί τινα μερικὴν ἐκ τοῦ πυρείου εἴδους, ἀλλὰ φύσιν μόνον ἐν τῇ ἰδίᾳ ὑποστάσει προσδέξασθαι· μένει γὰρ ὡσαύτως ἀνελλιπὴς ἡ τοῦ πυρὸς ἐν τῇ καμίνῳ ὑπόστασις καὶ μετὰ τὴν τοῦ σιδήρου πύρωσιν· οὕτω φαμὲν τὸν Λόγον ἐκ τῆς ἡμετέρας φύσεως εἰς τὴν ἰδίαν ὑπόστασιν προσλαβέσθαι φύσιν D ἰδικήν τινα· κατὰ τὴν ὑπόστασιν οὖν ταῖς φύσεσιν ἡ σύνθεσις, εἴτ' οὖν ἕνωσις ἡ πρὸς ἀλλήλας· οὔτε δὲ φύσις σύνθετος ἐκ τῶνδε γέγονεν. Οὐ γὰρ κατὰ σύγχυσιν συνετέθησαν, οὔτε ὑπόστασις σύνθετος· ὅτι οὐκ ἐξ ὑποστάσεων· ἀλλ' ἀσυνθετώτερον ἰδίωμα τῆς τοῦ Λόγου γέγονεν ὑποστάσεως, πλειόνων ἐπισωρευθέντων ἐν αὐτῇ τῶν ἁπλῶν ἰδιωμάτων μετὰ τὴν σάρκωσιν· ὅπερ οὐδὲ σύνθετον, οὐδὲ τρεπτὴν δείκνυσιν οὔτε τὴν φύσιν οὔτε τὴν ὑπόστασιν αὐτοῦ.

CAP. XX.

Verbum divinum est immutabile quoad personam sicut et quoad naturam, vel non; quod si non, neque ergo simplex, neque incorruptibile, inquiunt, sed neque Deus. Verum etiam et Pater et Spiritus sanctus, nisi aliter de iis sit, iisdem subjicientur; poterunt enim quoad personas mutabiles B **concipi. Si vero, propter nimiam impietatem, omnis homo confitetur immutabile et quoad hypostasin esse Verbum divinum, quomodo ex simplici compositam habebit personam? Sed quomodo personæ simplicitatem intelligitis? Personæ enim sunt naturæ cum proprietatibus; si ergo simplicem personam ex eo putatis quod unam habet naturam et unam proprietatem, vel tot naturas quot acciderit, unam vero tantum et simplicem proprietatem, nulla erit cujusquam persona simplex, sed neque ex ipsis personis divinis: namque Pater est genitor Verbi, ingenitus ipse et spirator sancti Spiritus; Filius autem genitus et Verbum et per quem procedit Spiritus: quæ sunt plurimæ simplices proprietates ejusdem personæ quibus omnibus si-** C **mul intelligitur una constare proprietas composita seu Patris seu Filii personæ. Si autem ex eo quod unam tantum naturam, tot autem simplices proprietates quot acciderit, in quo differet simplex persona a simplici natura, dicite. Si nullo modo, necesse erit quemadmodum incompositam naturam esse intelligimus quæ cum nulla alia natura conjungitur, sic censere incompositam personam illam esse quæ cum nulla alia persona conjungitur. Personam autem cum persona conjungi non nos, sed vos dicitis, unde dicitis personarum unionem: nos vero, sicut ferrum in camino non dicimus aliquam ex parte personam ab ignis specie auferre, sed naturam tantum in suam personam recipere; re-** D **manet enim integra in camino ignis persona, etiam post ferri combustionem, ita dicimus Verbum ex nostra natura in suam personam propriam assumpsisse quamdam particularem naturam. Compositio igitur ex naturis per personam, sive unio unius ad alteram, non autem ex eis facta est composita natura, quia non per confusionem conjunguntur, neque composita persona, quia non ex personis, sed incompositior facta est proprietas personæ Verbi, pluribus etiam in eam congestis simplicibus proprietatibus post incarnationem, quod neque compositam neque mutabilem neque naturam neque personam arguit.**

ΚΕΦΑΛ. ΚΑ'.

Ἀλλὰ, φασὶ, καὶ τάδε οἱ πάντα λόγον εἰς ἀθέτη-

CAP. XXI.

Sed hæc quoque dicent qui in evacuationem in-

carnationis Verbi omnia argumenta perscrutantur, nimirum omne totum ex diversis partibus coalescens aliud apparet, aliud quoque concipitur ab iis ex quibus constat. Si igitur ex homine et Deo Christus, nec verus Deus, nec verus homo est: sed primum ipsa argumenti hujus falsa est suppositio: accidit enim ut totum e diversis constans, nec dicitur nec concipitur aliud ab unaquaque parte, vel propter prævalentiam cujusdam partis in compositione, sicut dicimus olus ante coctionem et similiter olus postquam cum pluribus condimentis coctum est, et pariter similam et legumina, vel quia non omnino diversi generis factum est totum constans partibus diversæ quidem speciei, non autem diversi generis. Sic par numerus et impar in unum totum coalescentes, septem, verbi gratia, et octo, non præbent, in quindecim, numerum diversum ab impari simul et pari, sed impar dicitur non secus ac altera ex suis partibus: unde nil in eo, perinde ac nec in septem, imparis numeri fines excedit. Evidens igitur est, in quibus præter diversitatem partium, apparet in toto ratio diversi generis, necessario mutanda esse notiones et definitiones et nomina, quod a principio eos latuit. Vere igitur dicitur impar totum compositum, quindecim scilicet sicut et septem, et in sua totalitate *septem* impar vere comprehendit non adulteratum. Eodem modo nunc mihi cogita Verbum vere Deum esse, et carnem vere hominem, et Christum ex Verbo, non ex natura, et eum vere Deum et hominem.

A σιν τῆς σαρκώσεως τοῦ θείου Λόγου διερευνῶντες, ὅτι πᾶν τὸ ἐκ διαφόρων μερῶν συγκείμενον ὅλον, ἕτερόν τε ὁρᾶται, καὶ ἑτέρως ὀνομάζεται παρὰ τὰ ἐξ ὧν ἐστιν. Εἰ οὖν ἐκ Θεοῦ καὶ ἀνθρώπου σύνθετος ὁ Χριστὸς, οὔτε Θεὸς ἀληθῶς, οὔτε ἄνθρωπος. Πρῶτον μὲν οὖν καὶ τοῦδε ψευδὴς ἡ ἀπόφασις· ἔστι γὰρ ἐφ' ὧν διαφόρων μερῶν ὁλότης γενομένη, οὐκ ἄλλη παρ' ἑκάτερα τὰ μέρη αὐτῆς νοεῖται ἢ λέγεται, ἢ δι' ἐπικράτειαν θατέρου τῶν μερῶν ἐν τῇ συνθέσει· ὥσπερ φαμὲν τό τε ἄνεφθον λάχανον, καὶ τὸ μετὰ μίξιν καρυκείας πλειόνων ἑψηθὲν ὁμοίως λάχανον καὶ σεμίδαλιν καὶ τὰ ὄσπρια· ἢ διὰ τὸ μὴ εἶναι ὅλως ἕτερόν τι εἶδος γινόμενον ἐκ τῶν ὁμογενῶν τοῦ συνθέτου μερῶν τῶν ἀνομοιοειδῶν. Διά τοι γὰρ τοῦτο καὶ ἄρτιον μέρος ἀριθμοῦ, καὶ περιττὸν συντεθέντα B εἰς μίαν ὁλότητα, ὁ ἑπτὰ τυχὸν καὶ ὁ ὀκτὼ, οὐχ ἕτερον εἶδος ἀριθμοῦ παρά τε τὸν ἄρτιον καὶ περιττὸν ἐποίησαν ἐν δεκαπέντε· ἀλλ' ὁμοίως θατέρῳ τῶν ἑαυτοῦ μερῶν λεγόμενον περιττόν· διότι οὐδὲν παρὰ τὸν ὅρον τοῦ περιττοῦ οὐδὲ ἐν αὐτῷ ὤφθη, ὥσπερ οὐδὲ ἐν τῷ ἑβδόμῳ. Δῆλον οὖν ὡς ἐφ' ὧν πρὸς τῷ διαφόρῳ τῶν συνελθόντων μερῶν καὶ ἕτερος εἴδους λόγος ἐν τῷ ὅλῳ φανῇ, τότε ἐξαλλάσσειν ἀνάγκη τάτε ὁριστὰ καὶ τοὺς ὁρισμοὺς καὶ τὰ ὀνόματα, ὅπερ ἐξ ἀρχῆς ἠγνόησαν. Λέγεται οὖν περιττὸς ἀληθῶς καὶ ὁ δεκαπέντε σύνθετος ὅλος, ὡς ὁ ἕβδομος· καὶ περιέχει δὲ ἐν τῇ οἰκείᾳ ὁλότητι ἀληθῶς περιττὸν φυλαττόμενον τὸν ἑπτὰ ἐν ἑαυτῷ. Οὕτως οὖν μοι νόει τόν τε Λόγον Θεὸν ὄντως, καὶ τὴν σάρκα ἄνθρωπον ὄν-C τως· καὶ Χριστὸν τὸν κατὰ Λόγον οὐ φύσιν· καὶ τὸν ἀληθῶς Θεὸν καὶ ἄνθρωπον.

CAP. XXII.

Si, inquiunt, naturalem unionem et vos confitemini, in quo igitur differtis a Severianis qui dicunt unam tantum esse Christi naturam? Omnis enim naturalis unio, naturam quamdam efficit diversam a naturis unitis; et siquidem homo natura una est, quoniam homo non plures, neque solius animæ, neque solius corporis natura, neque amborum separatim proprietates naturales in se habet: mortalitas etenim in homine, non autem in anima, sed neque proprie in corpore. Nonne, quæso, ferri et ignis naturarum est unio? et in lana sanguine tincta, nonne fit conjunctio corporalium substantiarum? Dicite autem quænam nova in hisce natura per naturalem compositionem emergit: quid enim aliud hic, et post substantialem unionem, nisi tantum ferrum ignitum et lana cruentata, et duæ naturæ? Sed scitote, si tamen hoc vobis persuaderi possit, multimode esse et dici naturalem unionem: sic enim dicitur naturalis unio quorumdam diversorum, non autem naturarum, sed tamen secundum quamdam naturam cujus aliquod substantiale principium eorum producit unionem, sicut divina natura divinarum personarum, et mentis natura potestatum animæ, et ignis natura proprietatum ignis substantialium. Altera autem dicitur naturalis unio, id est similitudo, secundum naturalem

ΚΕΦΑΛ. ΚΒ'.

Εἰ οὖν, φασὶ, καὶ ὑμεῖς φυσικὴν τὴν ἕνωσιν ὁμολογεῖτε, τί διαφέρεσθε πρὸς τοὺς περὶ Σεβῆρον μίαν φύσιν λέγοντας Χριστοῦ; Πᾶσα γὰρ φυσικὴ ἕνωσις φύσιν τινὰ μίαν παρὰ τὰς ἑνωθείσας δείκνυσι· φύσις γὰρ ὁ ἄνθρωπος μία· ὡς ἄνθρωπος καὶ οὐ πλείους· οὔτε ψυχῆς, οὔτε σώματος μόνου, οὔτε ἄμφω τοὺς λόγους μόνους ἔχουσα τοὺς φυσικούς· τὸ γὰρ θνητὸν ἐν ἀνθρώπῳ μὲν, οὔτε δὲ ἐν ψυχῇ, οὔτε ἐν σώματι ἰδίᾳ ἐστί. Τί οὖν, ὦ οὗτοι, καὶ πυρὸς πρὸς σίδηρον οὐκ ἔστι τῶν φύσεων ἕνωσις; καὶ ἐπὶ πόκου αἱμοβαφοῦς, οὐ τῶν οὐσιῶν ἡ συμπλοκὴ τῶν σωματι-D κῶν; Καὶ τίς ἐστι ἡ γενομένη καινοτέρα φύσις ἐν τοῖσδε, εἴπατε, διὰ τὴν φυσικὴν αὐτῶν σύνθεσιν· τί γὰρ ἄλλο τάδε καὶ μετὰ τὴν οὐσιώδη ἕνωσιν, εἰ μὴ σίδηρος πεπυρωμένος, καὶ πόκος ᾑματωμένος, δύο τε φύσεις ὡσαύτως; Ἀλλ' ἴστε, εἴπερ πείθεσθε μανθάνοντες, ὡς πολλαχῶς θεωρεῖται καὶ λέγεται ἡ φυσικὴ ἕνωσις· ἡ μὲν γὰρ λέγεται φυσικὴ ἕνωσις ἄλλων τινῶν καὶ οὐ φύσεων οὖσα· κατά τινα μέν τοι φύσιν, ἕνωσις· ἅμα δὲ καὶ φύσεως οὐσιώδει λόγῳ αὐτῆς τὴν ἕνωσιν τῶνδε ὑφιστῶσα· οἷον ἡ θεία φύσις τῶν θείων ὑποστάσεων, καὶ ἡ τῆς ψυχῆς φύσις ἐπὶ τῶν ψυχικῶν δυνάμεων, καὶ ἡ τοῦ πυρὸς φύσις τῶν οὐσιωδῶν αὐτοῦ ποιοτήτων. Ἑτέρα δὲ λέγεται φυσικὴ ἕνωσις, ἡ κατὰ τὸ φυσικὸν εἶδος τῶν διαφόρων ὑποστάσεων ὁμοίωσις· οἷον ἀγγέλου πρὸς ἀγγε-

λον, καὶ ἵππου πρὸς ἵππον· ἑτέρα δέ ἐστι φυσικὴ ἕνωσις, ἡ διαφόρων φύσεων εἰς φύσεως γέννησιν καινοτέρας συνέλευσις· ὥσπερ ἡ τῆς ψυχῆς καὶ τοῦ σώματος φύσις, εἰς ἀνθρώπου φύσιν, καὶ τῶν δ' στοιχείων εἰς σαρκὸς φύσιν, καὶ πλειόνων ποῶν εἰς ἐμπλάστρου φύσιν· ἥτις καὶ λέγεται δημιουργική. Ἄλλη δὲ λέγεται φυσικὴ ἕνωσις, ἡ καθ' ὑπόστασιν μίαν πλειόνων φύσεων συνδρομὴ καὶ εἰς φύσιν μίαν· οἷον ἡ τοῦ κατὰ τήνδε τὴν ἡμέραν φωτὸς καὶ ἀέρος τῶν φύσεων συμπλοκή· καὶ τοῦ πυρὸς καὶ σιδήρου ἕνωσις φυσικὴ λεγομένη, ὡς κατὰ τὰς φύσεις αὐτῶν καὶ οὐ κατά τινα συμβεβηκότα αὐτοῖς οὖσα ἕνωσις αὐτῶν. Πῶς οὖν παρατρέχοντες μὴ συνιέναι καθ' ἣν φαμὲν ἕνωσιν φυσικὴν τοῦ Λόγου τὴν σάρκωσιν ἡμεῖς, καθ' ἣν ἄτοπα ὑμῖν συῤῥάψουσιν ὡς καὶ τοῖς Σεβηρίταις, κατὰ ταύτην ἐνδέχονται τόδε λεγόμενον καὶ ὑφ' ἡμῶν; ἀλλ' ἐν τοῖσδε οὑτωσὶ καταλελυμένοι, καί τι δεινότερον πρόβλημα κατὰ τῆς ἡμετέρας πίστεως τοιόνδε φασίν.

ΚΕΦΑΛ. ΚΓ'.

Ὅτι ἡ καθ' ὑπόστασιν σύνθεσις, εἴτουν τοῦ Θεοῦ πρὸς ἄνθρωπον, ἢ ὑπὲρ φύσιν ἐστὶ τῆς θεότητος, ἢ παρὰ φύσιν, ἢ κατὰ φύσιν, εἴγε ὄντως ἔστιν· ἀλλ' εἰ μὲν ὑπὲρ φύσιν αὕτη ἐστὶ, μείζονός τε δυνάμεως ἔργον εἰς αὐτὴν γέγονε, καὶ εἰς τὸ ὑπὲρ αὐτὴν ηὐξήθη, καὶ οὐκ ἀληθῶς παντοδύναμος αὕτη, οὐδὲ πάντα λόγον ὑπερέχουσα. Εἰ δὲ παρὰ φύσιν αὕτη ἐστὶ, χείρων τε αὐτῆς γέγονε, καὶ τρεπτὴ δέδεικται, καὶ πρὸς ὕφεσιν κατηνέχθη· εἰ δὲ κατὰ φύσιν αὕτη ἐστὶν, οὔτε χάριτι ἡ σάρκωσις τοῦ Λόγου, οὔτε μόνου τοῦ Υἱοῦ, ἀλλὰ καὶ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος τοῦ ἁγίου. Τί δὲ ἄρα καὶ κατὰ φύσιν οὖσα, πάλαι μὲν οὐκ ἐγένετο, νῦν δὲ ἐπράχθη, ὡς ἀτελοῦς τότε οὔσης τῆς φύσεως, καὶ ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ νῦν προαχθείσης; Εἰ δὲ πάντα ἄτοπά ἐστιν ἐπὶ Θεοῦ, ἄνευ δὲ τούτων ἑνοῦσθαι φύσεις οὐκ ἔστιν, ἢ ἀτόπως ἥνωται, ἢ οὐχ ἥνωται, φησὶ, καθ' ὑπόστασιν ἡ θεία φύσις ἑτέρᾳ φύσει. Ταῦτα ἂν οὕτως εἶχεν, εἰ, ἁπλῶς παντὸς πράγματος γινομένου, φύσις ἦν τὸ προσεχὲς αἴτιον· τὸ γὰρ μὴ νήχεσθαι καθ' ὕδατος, ἢ μὴ κυβιστᾷν, ἢ καλωβατεῖν τόνδε τινὰ τὸν ἄνθρωπον, τί ἄν εἴποι τις ὅτι ὑπὲρ φύσιν αὐτῷ ἐστι; καὶ μὴν ὁμοφυὴς αὐτῷ τάδε πράττει· ἀλλ' ὅτι παρὰ φύσιν; καὶ μὴν οὐδὲν ἧττον ἄνθρωπός ἐστι καὶ μὴ πράττων τάδε· ἀλλ' ὅτι κατὰ φύσιν; καὶ πῶς μὴ νηχόμενος ἢ κυβιστῶν, ἢ καλωβατῶν ἐν τοῖς κατὰ φύσιν οὐδὲν ἔλαττον ἔσται; Οὐκοῦν σαφῶς κατὰ τὴν εὐδοκίαν ἐστὶ τάδε τῆς φύσεως, καὶ οὐ κατὰ τὴν φύσιν τοῦ εὐδοκοῦντος ἔχει τὴν αἰτίαν πρώτως. Τινῶν γὰρ ἐναντίων ἀρχὴ καὶ ἐξουσία, ἡ γνώμη ἐστὶ καὶ οὐχ ἡ φύσις. Ἀλλ' αὕτη, φησὶ, ἡ ἕνωσις τοῦ Θεοῦ καθ' ἡμᾶς φυσικῇ συνθέσει ἀπετελέσθη· γνώμῃ δὲ ἰδίᾳ φύσις οὐχ ὑποτέτακται. Οὐ γὰρ ἐπεὶ εὐδοκία ἐστὶ πολλοῖς ἀδαμαντίνῳ ἢ ἀερίῳ σώματι συγκεῖσθαι αὐτῶν τὴν φύσιν τῆς ψυχῆς, ἤδη καὶ σύγκειται· ἀλλ' ὄντως οὕτως ἔχει τάδε, ἐφ' ὧν ἥττων ἐστὶν ἡ εὐδοκία τῇ δυνάμει τῆς φύσεως τοῦ εὐδοκοῦντος· οὐδὲ γὰρ οἱ πεζοὶ πτηνῶσαι ἑαυτοὺς ἰσχύομεν φύσει,

A speciem, personarum diversarum, ut angeli ad angelum, equi ad equum; altera quoque naturalis unio, concurrentia scilicet diversarum naturarum ad productionem cujusdam novæ naturæ, sicut animæ et corporis natura ad hominis naturam constituendam, et quatuor elementorum ad carnis naturam, et plurium herbarum ad emplastri naturam: quæ unio dicitur constitutiva; altera vero dicitur naturalis unio, cum scilicet plures naturæ in unam naturam, secundum personam, coalescunt, sicut conjunctio naturæ lucis et naturæ aeris ad diem producendum; ignis etiam et ferri naturalis dicitur unio, quia fit, non per aliqua eorum accidentia, sed per ipsas eorum naturas: quomodo ergo renuentes intelligere secundum quamnam naturalem
B unionem Verbi incarnationem confitemur, secundum illam quam insulse vobiscum et cum Severianis commentantur, verba nostra accipiunt? sed in hisce sic conflicti hæc terribiliora in fidem nostram jacula detorquent.

CAP. XXIII.

Conjunctio secundum personam, seu unio Dei et hominis, vel est supra naturam divinitatis, vel extra naturam, vel secundum naturam, si tamen vere exsistit; sed si supra naturam, in ea supervenit opus majoris potentiæ, et super se aucta est; unde non est omnipotens, nec omnem rationem excedit. Si autem extra naturam, seipsa minor facta est et mutabilis apparet, et in extenuationem delapsa est;
C si vero juxta naturam, neque ex gratia Verbi incarnatio, neque solius Filii, sed et Patris et Spiritus sancti: sed et cur, si sit juxta naturam, non antea facta est, sed nunc, quasi natura prius imperfecta fuisset, et nunc de potentia ad actum transierit? Sed si omnia hæc in Deo sunt absurda, nec possint aliter conjungi naturæ, vel absurde conjungitur, inquiunt, vel omnino non conjungitur natura divina alteri naturæ. Sed ita esset si, hoc simpliciter facto, natura esset causa immediata: namque non natare in aquis, non in caput saltare, aut in rudenti ambulare huncce hominem, quomodo quis dicat hæc supra naturam ejus esse? siquidem alius ejusdem naturæ hæc facit: aut extra naturam? sed quod ea non facit, non minus eo est homo; aut
D secundum naturam? sed quomodo qui non natat, non in caput saltat, aut fune incedit, non minus quæ sunt secundum naturam alia habebit? Manifeste igitur hæc sunt secundum beneplacitum naturæ, non in natura benevolentis causam primam habent. Regimen enim et potestas rerum contrariarum, voluntas est, non natura. Sed, ait, illa unio Dei nobiscum naturali conjunctione fuit perfecta: natura autem propriæ voluntati non subjacet. Volentibus enim plurimis animam suam conjungi cum corpore adamantino aut æthereo, non est in eorum potestate; ita autem est, quia voluntas minor est naturæ potestate. Non enim cum pedestres simus, natura possumus nos alis instruere, quamvis volitare cupimus. Sed in Deo voluntas et natura ejusdem sunt

potestatis et concordes. Eorum igitur quæ in ejus naturam fiunt, propria voluntas causa est voluntatis ipsius, scilicet volens naturæ circa seipsam, ipsa causa est; neque minor quantum ad potestatem, neque major voluntas natura in Deo simplici: omnia enim quæcunque voluit, Dominus fecit: quæ autem non fiunt, ex eo non fiunt quod Deo non placuit. Potest ergo quæcunque placuerit hæc facere et voluntas et natura divina, et facta simpliciter demonstrant Dei voluntatem, licet non sint supra naturam, neque extra naturam, neque secundum naturam.

CAP. XXIV.

Verbum verus Deus, simplicem habens substantiam, secundum substantiam Patris. Si ergo carnem in suam substantiam recipit, ut Ægyptio placet, a vera appellatione, sicuti a vera natura deficit. Sed carnem non in substantiam Verbi ut talis recipit, sed in unam earum ex quibus constat ejus persona, cum Christus sit duplicis substantiæ. Sed si propter hoc Verbi substantia fit aliena a personis simplicibus sibi consubstantialibus, quod nunc apparet in composita persona, cum substantia carnis, certe Joannis anima fuit alterius substantiæ ac proprii fratris Jacobi anima, cum hic gladio ab Herode longe ante illum necatus fuerit: anima enim Jacobi post mortem in simplici persona fuit, Joannis autem anima adhuc in composita persona videbatur.

CAP. XXV.

Verbum secundum personam immensum, caro autem secundum personam mensurabilis. Qui Dei et carnis unionem secundum personam affirmat, ille vel Deum in mensurabilitatem carnis demittit, vel carnem ad immensitatem Dei extollit; sed nisi hoc aut illo modo fiat, non possibile est Deum cum carne secundum personam uniri. Si Verbi immensitatem, ut carnis mensurabilitatem ad continuam quantitatem quodam modo refers, recte argumentatus es; si autem aliter immensum Verbum, ut puta potestate, mensurabilis autem caro, non est absurdum superiorem potestatem cum minore uniri.

CAP. XXVI.

Increata Verbi persona, creata carnis persona; sed nec potest increato modo caro Verbo uniri, nec modo creato Verbum carni. Secundum quamnam igitur personam unio facta est, quæ secundum personam facta est? Non rerum unitarum prædicamenta eadem sunt omnino ac ipsius unionis. Unio igitur secundum se, neque creata neque increata est; neque etenim creatio, neque unio, substantiæ; creaturæ autem et increata inter se unita, substantiæ essent: quemadmodum igitur quin permanentibus animis corpora nobis in resurrectione reddita uniri nil prohibet, sic neque quin Verbo anteexsistenti ut increato, nuper creatam carnem, simpliciter propter Verbi præexsistentiam.

A καί τοι βουλόμενοι ἵστασθαι· τοῦ δὲ Θεοῦ ἥ τε εὐδοκία καὶ ἡ φύσις, ἰσοδύναμος, καὶ σύμφωνος. Τῶν οὖν γενομένων εἰς τὴν αὐτοῦ φύσιν, ἡ ἰδία εὐδοκία, αἰτία τῆς εὐδοκίας αὐτῆς, ὡς εὐδοκοῦσα αὐτὴ ἡ φύσις περὶ ἑαυτῆς, αὐτὴ ἐστιν αἰτία. Οὔτε οὖν χείρων, οὐδὲ κρείττων κατὰ δύναμιν εὐδοκία τῆς φύσεως ἐπὶ τοῦ Θεοῦ τοῦ ἁπλοῦ· πάντα γὰρ ὅσα ἠθέλησεν ὁ Κύριος ἐποίησε· καὶ ὅσα μὴ ποιῆται, μηδὲ εὐδοκεῖν τάδε πρώτως. Δύναται οὖν ποιεῖν ὅλως εὐδοκήσασά τι ἡ θεία βουλὴ ὥσπερ ἡ φύσις· καὶ μήτε κατὰ φύσιν, μήτε ὑπὲρ φύσιν, μήτε παρὰ φύσιν ὄντα, δεικνύναι τὸν εὐδοκοῦντα Θεὸν ἁπλῶς ἐκ τοῦδε.

ΚΕΦΑΛ. ΚΔ'.

Θεὸς ἀληθινὸς ὁ Λόγος, ἁπλῆν ἔχων οὐσίαν κατὰ B τὴν οὐσίαν τοῦ Πατρός. Εἰ ἔχει οὖν τὴν σάρκα εἰς οὐσίαν, καθὼς τῷ Αἰγυπτίῳ δοκεῖ, τοῦ ἀληθινοῦ ἠλλοτρίωται, ὥσπερ τῆς φύσεως, οὕτως καὶ τῆς κλήσεως. Ἀλλ' οὐκ εἰς οὐσίαν τὴν ὡς Λόγου γυμνοῦ ἔχει τὴν σάρκα, ἀλλ' εἰς οὐσίαν τὴν ὡς μίαν τῶν τῆς ὑποστάσεως αὐτοῦ, τοῦ καὶ διουσίου ὄντος Χριστοῦ. Εἰ δὲ διὰ τόδε ἠλλοτρίωται ἡ τοῦ Λόγου οὐσία τῶν ὁμοουσίων αὐτῇ ἁπλῶν ὑποστάσεων, διότι ἐν συνθέτῳ ὑποστάσει νῦν μετὰ τῆς οὐσίας τῆς σαρκὸς ὁρᾶται, ἄρα γε καὶ Ἰωάννου ἡ ψυχή ποτε ἑτεροούσιος ἦν πρὸς τὴν τοῦ ἰδίου ἀδελφοῦ Ἰακώβου ψυχήν, ὃν προανεῖλεν αὐτοῦ μαχαίρᾳ ὁ Ἡρώδης πάλαι· καὶ γὰρ ἡ μὲν Ἰακώβου ψυχή, ἐν ἁπλῇ ὑποστάσει γέγονε μετὰ θάνατον· ἡ δὲ Ἰωάννου ἐν συνθέτῳ ἦν ἔτι φαινομένη ὑποστάσει.

C

ΚΕΦΑΛ. ΚΕ.

Ὁ Λόγος καθ' ὑπόστασιν ἄμετρος, ἡ σὰρξ καθ' ὑπόστασιν ἔμμετρος. Ὁ τὴν καθ' ὑπόστασιν Θεοῦ καὶ σαρκὸς δογματίζων ἕνωσιν, ἢ τὸν Θεὸν κάμπτει εἰς τὸ σύμμετρον τῆς σαρκός, ἢ τὴν σάρκα ἀποτείνει εἰς τὸ ἄμετρον τοῦ Θεοῦ· μήτε γὰρ τούτου μήτε ἐκείνου γινομένου, ἀδύνατον σαρκὶ καθ' ὑπόστασιν ἑνωθῆναι τὸν Θεόν. Εἰ τὸ ἄμετρον τοῦ Λόγου κατά τι ποσὸν συνεχὲς νοεῖς ὥσπερ καὶ τὸ ἔμμετρον τῆς σαρκός, ὀρθῶς συνελογίσω· εἰ δὲ ἑτέρως ἄμετρος ὁ Λόγος, ἤγουν τῇ δυνάμει, ἡ δὲ σὰρξ ἔμμετρος, οὐδὲν ἄτοπον τὴν ὑπερέχουσαν δύναμιν ἑνοῦσθαι ἐλάττονι.

D

ΚΕΦΑΛ. ΚϚ'.

Ἄκτιστος τοῦ Λόγου ἡ ὑπόστασις, κτιστὴ τῆς σαρκὸς ἡ ὑπόστασις· οὔτε ἡ σὰρξ ἀκτίστως δύναται ἑνωθῆναι τῷ Λόγῳ, οὔτε ὁ Λόγος κτιστῶς δύναται ἑνωθῆναι τῇ σαρκί. Κατὰ ποίαν οὖν ὑπόστασιν γέγονεν, ἡ καθ' ὑπόστασιν ἕνωσις; Τὰ τῶν ἑνουμένων κατηγορήματα, οὐχὶ ταῦτα καὶ τῆς ἑνώσεώς ἐστι πάντως. Ἕνωσις μὲν οὖν καθ' αὑτήν, οὔτε ἄκτιστος, οὔτε κτιστή τίς ἐστιν· ἥτε γὰρ κτίσις καὶ ἡ ἕνωσις, οὐκ οὐσίαι· κτίσματα δὲ καὶ ἄκτιστα ἑνούμενα καθ' ὑπόστασιν, οὐσίαι τινὲς ἂν εἶεν· ὥσπερ οὖν προούσαις ταῖς ψυχαῖς ἑνοῦσθαι τὰ ἐν τῇ ἀναστάσει ἡμῖν ἀποδιδόμενα σώματα οὐ κεκώλυται, οὕτως οὐδὲ τῷ ἐφοσονοῦν ἀκτίστως προϋπάρχοντι Λόγῳ, τὸ προσφάτως κτιζόμενον τῆς σαρκός, διὰ τὴν προΰπαρξιν ἁπλῶς.

Εἰ δὲ διὰ τὴν τοῦ ἀκτίστου φῂς πρὸς τὸ κτιστὸν ἑτεροφυΐαν, οὐκ ἄρα οὖν οὐδὲ ἑτέρα ὑπόστασις ἐξ ἀνομοφυῶν ἔσται· καί τοι πᾶσα σύνθεσις ἡ καθ' ὑπόστασιν ἐξ ἀνομοουσίων, οὐδεμία δὲ ἐξ ὁμοουσίων, πλὴν εἰ μὴ τῶν ὁμοιομερῶν εἴη τις συλλογή. Ὥστε μᾶλλον ἐκ τῆς ἀνομοφυΐας καθ' ὑπόστασιν ὑποπτευτέαν εἶναι τὴν ἕνωσιν τοῦ Λόγου καὶ τῆς σαρκός.

ΚΕΦΑΛ. ΚΖ'.

Ἡ διαφορὰ τοῦ ἀκτίστου καὶ τοῦ κτιστοῦ τὴν καθ' ὑπόστασιν φυσικῶς κωλύει ἕνωσιν· ἡ καθ' ὑπόστασιν ἕνωσις Θεοῦ καὶ σαρκὸς, ἀκτίστου καὶ κτιστοῦ ἀναιρεῖ τὴν διαφοράν. Ὁ ἄρα ἀναθεματίζων τοὺς μὴ ὁμολογοῦντας τὴν καθ' ὑπόστασιν ἕνωσιν, τοὺς ὁμολογοῦντας ἀκτίστου καὶ κτιστοῦ τὴν διαφορὰν, ἀναθεματίζει. Διὰ τί δὲ ἄρα κωλύει τὴν καθ' ὑπόστασιν ἕνωσιν φυσικῶς ἐπὶ τοῦ ἀκτίστου καὶ κτιστοῦ ἡ διαφορά. Εἰ μὲν γὰρ τῇ θατέρου προϋπάρξει ὡς μὴ δυναμένου τινὸς συνάπτεσθαι τῇ μὴ συμπροσελθούσῃ αὐτῷ εἰς τὸ εἶναι φύσει, ἄρα γε οὐδὲ τῷ πλασθέντι πρῶτον σώματι Ἀδὰμ. τὸ θεῖον ἐμφύσημα καθ' ὑπόστασιν ἡνώθη· εἰ δὲ αὐτὴ ὅλως ἡ κατὰ φύσεως λόγου παραλλαγὴ ποιεῖ τὸ ἀσύμβατον εἰς ἕνωσιν τούτοις, οὐδὲ ἄρα τι ζῶον ἔσται ἐξ ἀοράτου καὶ ὁρατῆς φύσεως, ἢ θνητῆς καὶ ἀθανάτου, φθαρτῆς καὶ ἀφθάρτου· οἷον ὁ ἄνθρωπος ὁ ἐκ ψυχῆς καὶ σώματος εἷς ὢν τὴν καθ' ὑπόστασιν. Εἰ δὲ εἴποι τις οὐχ ἁπλῶς τὴν διαφορὰν, ἀλλὰ τὴν ἄγαν εἶναι κωλυτικὴν τῆς ἑνώσεως τοῦ κτιστοῦ πρὸς τὸ ἄκτιστον, ἄρα οὖν καὶ τὴν ἐπίτασιν τῆς ὁμοιότητος μᾶλλον, ἡνωμένα ποιεῖν τινα δέοι καθ' ὑπόστασιν· τί οὖν μᾶλλον ὅμοιον τῷ σώματι Ἐφραῒμ κατὰ τὸν φυσικὸν λόγον αὐτοῦ, ἡ ψυχὴ αὐτοῦ, ἢ τὸ σῶμα τοῦ ἀδελφοῦ αὐτοῦ Μανασσῆ; εἰ δὲ τὸ σῶμα πάντως, πῶς τῇ μὲν ἀνομοίῳ αὐτοῦ ψυχῇ ἥνωται καθ' ὑπόστασιν, τοῦ δὲ ὁμοίου σώματος αὐτῷ τῇ φύσει διώρισται καθ' ὑπόστασιν; Εἴποιεν οἱ βουλόμενοι.

ΚΕΦΑΛ. ΚΗ'.

Εἰ ἣν εἶχεν ὁ Θεὸς Λόγος χωρὶς ἑνώσεως ἰδίαν ὑπόστασιν, νῦν οὐκ ἔχει ὁ Λόγος, ἐτράπη ἄρα ἡ τοῦ Λόγου ὑπόστασις· τῆς δὲ τοῦ Λόγου ὑποστάσεως τραπείσης, ἐξ ἀνάγκης καὶ ὁ τῆς Τριάδος τραπήσεται Λόγος. Ἀλλὰ τὴν αὐτὴν ἔχει, μετὰ μέν τοι προσθήκην τῶν τε ὑποστατικῶν ἰδιωμάτων τῆς σαρκὸς, τῆς ἐν αὐτῷ τε καὶ αὐτοῦ καὶ τοῦ τῆς πρὸς σάρκα ἑνώσεως Λόγου ἰδιώματος αὐτοῦ, νῦν ἑνουμένου τοῦ Λόγου· καὶ γὰρ ἐν τῷ τῆς ὑποστάσεως αὐτοῦ λόγῳ καὶ τῷ τῆς σαρκὸς προσλήμματι, οὐσίας μέν ἐστι πρὸς τὴν αὐτοῦ οὐσίαν σύνθεσις, ἰδίωμα δὲ ὑποστατικὸν, καὶ τόδε συνεισάγει τῷ προσώπῳ τοῦ αὐτοῦ, διακριτικὸν καὶ αὐτογενόμενον τοῦτο, ἀπὸ τῆς πατρικῆς ὁμοφυΐας καὶ τῆς τοῦ Πνεύματος τοῦ ἁγίου, τῶν ὁμοίων αὐτῷ.

ΚΕΦΑΛ. ΚΘ'.

Κ... τῶν θείων ὑποστάσεων ἀ... εἰ δὲ σαρκικὰ... ὥστε ὁ Λόγος οὐκέτι ὁ εἷς... ὕπαρξιν τριῶν ἄλλων ὑποστάσεων δύναται πιστευθῆναι· πλὴν οὖν ὑπόστασιν, τί νοοῦμεν; Εἰ μὲν γὰρ τῷ ἑνὶ μόνῳ ἰδιώματι διε-

A Quod si dicas impedimento esse diversitatem naturarum inter increatum et creaturam, nulla jam erit persona diversis constans : et tamen omnis unio secundum personam ex diversis fit, nulla autem ex consubstantialibus, nisi sit collectio similium partium. Unde potius conjectandum est unionem Verbi et carnis secundum personam ex diversis esse.

CAP. XXVII.

Diversitas increati et creaturæ unionem secundum personam naturaliter impedit; Dei et carnis secundum personam unio diversitatem tollit increati et creaturæ. Qui ergo eos anathematizat qui unionem secundum personam non confitentur, ille B eos pariter anathematizat qui diversitatem inter increatum et creaturam agnoscunt. Cur vero unionem naturalem secundum personam impedit diversitas increati et creati? Siquidem, propter præexsistentiam alterutrius, quasi non posset aliquid naturæ non simul ad exsistentiam adductæ uniri, ergo nec corpori Adam prius formato Dei insufflatio unita est; si autem ipsa diversitas naturarum impedit omnino unionem, nullum erit animal invisibili altera et altera visibili, mortali et immortali, corruptibili et incorruptibili natura constans, quale est homo ex anima et corpore unus secundum personam. Quod si quis dicat, non simpliciter diversitatem, sed ejus nimietatem impedire unionem increati et creati, certe igitur multo magis C similitudinis intensitas multa secundum personam unire deberet : utrum autem corpori Ephraim juxta naturales ipsius proprietates similius, animane ejus an corpus fratris Manasses : si corpus omnino, cur ergo animæ dissimili secundum personam unitum est, a corpore autem natura simili secundum personam fuit separatum? Dicant qui velint.

CAP. XXVIII.

Si Verbum Deus quam ante unionem habebat propriam personam, nunc eam non habet, mutata est Verbi persona; sed mutata Verbi persona, necessario Trinitatis Verbum mutabitur. Sed eamdem habet et post accessionem personalium proprietatum carnis quæ est in eo, quæ est ejus, necnon D et proprietatis unionis Verbi cum carne post unionem Verbi : etenim in ratione personæ ipsius et assumptione carnis, adest conjunctio substantiæ cum ejus substantia, proprietas autem personalis, et hoc in suam personam intromittit quo discernatur et separetur a simili natura Patris et Spiritus sancti sibi similium.

CAP. XXIX.

..... Divinarum personarum..... si autem carnalia..... ita ut Verbum jam non sit unum...... exsistentiam trium aliarum personarum potest credere : sed tamen quid personam intelligamus? Si

enim sola consubstantialium proprietate differant..... simplex videretur..... eo quod ingenitus sit..... sed et eo quod sit genitor Verbi et spirator Spiritus sancti, ipse non procedens; pariter autem et Spiritus plures sunt proprietates. Non igitur multiplicitas personalium proprietatum compositam efficit simplicem proprietatem; sed licet quis ex pluribus personis unam personam componi arbitretur, quod nos absit dicere, qui minime censuimus carnem prius fuisse formatam et postea a Verbo assumptam, sicut vobis placet, sed ex principio suæ exsistentiæ in personam Verbi fuisse inductam, unde Christus, quem vos potius ex duabus personis in duplicem personam effingitis, vel, non componentes, simulatis unionem; unde Christi natura non amplius habet ad Deum respectum quam cæterorum hominum natura; neque cur ille mediator unus dicatur Dei et hominum dicere potestis.

A στῶσαν τῶν ὁμοουσίων... ἁπλῆ φανείη... τῷ εἶναι ἀγεννήτως ἀφ... ἀλλὰ καὶ τῷ γεννητικὸς τοῦ Λόγου εἶναι, καὶ ἐκπορευτικὸς τοῦ Πνεύματος, καὶ ἀνεκπόρευτος· ὁμοίως δὲ καὶ Πνεύματος, πλείω ἐστὶ τὰ ἴδια. Οὐκ ἄρα οὖν ὁ πλεονασμὸς τῶν ὑποστατικῶν ἰδιωμάτων, σύνθετον ποιεῖ τὴν ἁπλῆν ὑπόστασιν· ἀλλ' εἴπερ ἐκ πλειόνων ὑποστάσεων μίαν ὑπόστασίν τις συγκεῖσθαι ὑπόθηται, ὅπερ ἡμῖν ἀπευκτέον λέγειν· μηδὲ διαπλασθῆναι τὴν σάρκα, εἶτα προσληφθῆναι τῷ Λόγῳ ἐννοήσασί ποτε, ὥσπερ ὑμεῖς δοξάζετε, ἀλλ' ἐξ ἀρχῆς ὑπάρξεως αὐτῆς ἐπὶ τῆς τοῦ Λόγου προσωποποιηθῆναι ὑποστάσεως εἰς Χριστόν· ὃν ὑμεῖς μᾶλλον ἐκ δύο ὑποστάσεων τιθεῖτε εἰς διπλῆν ὑπόστασιν· ἤ, μὴ συνθέντες, προσποιεῖσθε τὴν ἕνωσιν· οὐδὲν ἐχούσης πλεῖον τῶν λοιπῶν ἀνδρῶν B τὴν πρὸς Θεὸν σχέσιν τῆς τοῦ Χριστοῦ φύσεως· καὶ πόθεν οὗτος μόνος εἷς μεσίτης Θεοῦ καὶ ἀνθρώπων εἴρηται, λέγειν οὐχ ἕξετε.

CAP. XXX.

Si alia esset Verbi persona sine carne et alia cum carne propria, necessario quoque aliud fuisset Verbum aliquando, aliud autem postea: sequitur enim necessario personæ mutationem, illius qui personam habet mutatio. *Aliud* intelligitur et de mutatione naturæ et de acquisitione et de accessione quorumdam substantialium. Sic lana est eadem et non alia, sive sit alba, ut est naturaliter, sive purpurata fuerit sanguine conchæ..... visa..... ut secundum substantiam et personam..... habere ad sanguinem..... sicut omne..... genus..... alia ergo..... persona intelligeretur incarnata a non incarnata: non enim Verbi mutatio ejus incarnatio, sed tantum si Verbum esse cessaret; quod autem desierit carnem non habere.... nunc incarnatio.... Filio.... divinum esset attributum....non autem non habere carnem..... Verbi personæ. Sic enim et Pater, et Spiritus sanctus, et angeli et animæ *verba* essent, non secus ac Filius; negativum autem primario prædicamentum substantiæ ipsius, secundario autem personæ ipsius, propter substantiam jam pridem ita prædicatam; nunc vero de substantia sic prædicatur, non autem simpliciter et unice de persona, quia hæc in se recepit aliam substantiam quæ carnalis prædicatur; et ipsa valet ut Verbi natura; secundario in persona ejus proprium attributum causabat; sic et natura hujusce carnis secundario in eam infligit proprium attributum, id est incarnationem, quasi persona facta fuerit ei propria; sed non fuit alius antea et alius postea, sed idem, at aliter et aliter apparens Verbum, siquidem prius persona solummodo invisibilis erat, nunc autem visibilis est etiam propter visibile illud quod in se recepit.

ΚΕΦΑΛ. Λ'.

Εἰ ἄλλη ἦν ἡ ὑπόστασις τοῦ Λόγου χωρὶς σαρκὸς, καὶ ἄλλη τοῦ Λόγου ἡ ὑπόστασις μετὰ τῆς ἰδίας σαρκὸς, καὶ ὁ Λόγος ἐξ ἀνάγκης ἄλλος ἦν ποτε, καὶ ἄλλος μετὰ ταῦτα· ἀκολουθεῖ γὰρ τῇ ἐναλλαγῇ τῆς ὑποστάσεως, ἡ ἐναλλαγὴ τοῦ ἔχοντος τὴν ὑπόστασιν. Τὸ *ἄλλο* καὶ κατ' ἐναλλαγὴν φύσεως νοεῖται, καὶ κατ' ἐπίκτησιν καὶ κατὰ παραβολήν τινα τῶν ἐπουσιωδῶν. Ἡ μὲν οὖν αὐτὴ πόκος ἐστὶ καὶ οὐκ ἄλλη· ἥ τε λευκὴ φυσικῶς τὸ χρῶμα, καὶ ἡ δι' αἵματος κόχλου πορφύρα γινομένη... ὁρωμένη... ὡς κατὰ τὴν οὐσίαν C καὶ ὑπόστασιν ὁμοι... ἔχειν πρὸς αἷμα λοιπὸν... ὥσπερ τὸ πᾶν τῷ... πο... εἶδος... ἄλλη οὖν... ὑπόστασις νοοῖτο ἂν ἡ σεσαρκωμένη πρὸς τὴν ἄσαρκον· οὐ γὰρ τροπὴ Λόγου ἡ σάρκωσις αὐτοῦ, ἀλλ' ἡ ἀλογία· τῆς δὲ ἀσαρκίας αὐτοῦ τροπὴν... σεσαρκωμένου νῦν... τοῦ Υἱοῦ... θεία ἂν ἡ κατηγορία... οὐχὶ δὲ ἡ ἀσαρκία τοῦ... τῆς τοῦ Λόγου ὑποστάσεως. Οὕτω γὰρ ἂν καὶ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἄγγελοι καὶ ψυχαὶ, *Λόγοι* ἂν εἶεν, κατὰ τὸν Υἱόν· ἔστι δὲ ἀποφατικὸν τῆς οὐσίας αὐτοῦ κατηγόρημα πρώτως, δευτέρως δὲ καὶ τῆς ὑποστάσεως αὐτοῦ διὰ τὴν οὐσίαν πάλαι οὕτως κατηγορουμένην· καὶ νῦν δὲ τῆς μὲν οὐσίας αὐτοῦ ὡσαύτως κατηγορεῖται· τῆς δὲ ὑποστάσεως οὐχ ἁπλῶς εἴπουν μόνως κατηγορηθήσεται· D διότι ὑπεδέξατο αὐτὴ ἐν ἑαυτῇ καὶ ἑτέραν οὐσίαν ἥτις σαρκικὴ εἶναι κατηγορεῖται· καὶ δύναται καὶ αὐτὴ ὥσπερ ἡ φύσις τοῦ Λόγου· δευτέρως ἐπῆγεν ἐν τῇ ὑποστάσει αὐτῆς τὸ τῆς ἀσαρκίας ἴδιον κατηγόρημα, οὕτω καὶ ἡ φύσις τῆσδε τῆς σαρκὸς αὐτοῦ ἐπιῤῥίπτειν αὐτῇ δευτέρως τὴν ἑαυτῆς κατηγορίαν, ὡς ἰδίας ὑποστάσεως καὶ αὐτῆς γενομένης, ἤγουν τὴν σάρκωσιν· ἀλλ' οὐχ ἄλλος μὲν ἦν πάλαι καὶ ἄλλος μετὰ ταῦτα· ἀλλ' ὁ αὐτὸς μὲν, ἄλλως μόνον ἀόρατος ἦν αὕτη ἡ ὑπόστασις, νῦν δὲ καὶ

δὲ καὶ ἄλλως ἐμφαινόμενος ὁ Λόγος· ἐπεὶ πάλαι μὲν ὁρατὴ διὰ τὸ ὁρατὸν εἰς ἑαυτὴν πρόσλημμα.

CAP. XXXI.

Si homo est utrumque, Deus scilicet et homo, sicut Verbum Deus utrumque est, manifestum est, sicut homo non est natura Deus, sic nec

ΚΕΦΑΛ. ΛΑ'.

Εἰ ἀμφότερά ἐστιν ὁ ἄνθρωπος, ἄνθρωπος καὶ Θεὸς, ὥσπερ οὖν καὶ ὁ Θεὸς Λόγος ἄμφω ἐστὶ, δῆλον ὅτι ὥσπερ οὐ φύσει Θεὸς ὁ ἄνθρωπος, οὕτως

οὐδὲ ὁ Λόγος φύσει ἄνθρωπος· εἰ δὲ μὴ φύσει, οὐδ' A ἄρα ὑποστάσει. Ἆρα οὖν εἴ τι μὴ φύσει ταυτὸν, οὐδὲ ὑποστάσει; τί οὖν ἐπεὶ τοῦ ἵππου ἡ ψυχὴ οὐ ταυτὸν τῇ φύσει τοῦ σώματος αὐτοῦ, εἴπερ ἡ μὲν κινητικὸς ᾖ, ἡ δὲ ἀκίνητος· οὐδὲ ἄρα τῇ ὑποστάσει; Καὶ ἐπεὶ οὐ ταυτὸν τῇ φύσει φῶς καὶ ἀὴρ, οὐδὲ τῇ ὑποστάσει ἐν ἡμέρᾳ ἕν εἰσιν, ἀλλὰ διώρισται ἀλλήλων.

ΚΕΦΑΛ. ΛΒ'.

Ἐγώ εἰμι καὶ οὐκ ἠλλοίωμαι, βοᾷ ὁ Θεός· σαρκὶ καθ' ὑπόστασιν ἥνωται ὁ Λόγος, βοᾷ ὁ Αἰγύπτιος· ὁ δεχόμενος τὸν Κύριλλον ἀληθεύσαντα (1), ψεύστην ποιεῖ τὸν Θεόν. Ὁ οὖν Λόγος ἄρα ἑνούμενος σαρκὶ κἂν μένῃ Λόγος, ἀλογοῦνται· ἢ μὴ μένων Λόγος, κἂν οὐχ ἑνοῦται σαρκὶ, τότε ἠλλοίωται. Εἰ γὰρ ἡ ἕν- B ωσις ἀλλοίωσίς ἐστιν ἁπλῶς, πᾶσα ψυχὴ ἑνωθεῖσα σώματι ἠλλοίωται.

ΚΕΦΑΛ. ΛΓ'.

Σὺ ὁ αὐτὸς εἶ, βοᾷ ὁ προφήτης περὶ τοῦ Θεοῦ· ἀντιβοᾷ ὁ Αἰγύπτιος τῷ προφήτῃ τοῖς δόγμασι· Σὺ, ὁ αὐτὸς οὐκ εἶ· γέγονας γὰρ καθ' ὑπόστασιν ἕτερος ὃ οὐκ ἦς. Ἆρα οὖν κατακαέντων τὰ σώματα πολλῶν μαρτύρων, ταῖς δὲ ψυχαῖς καὶ τοῖς πνεύμασιν ἑαυτοὺς ἐμφανιζόντων, καὶ θαυματουργίαις πλείσταις ἑαυτοὺς ἡμῖν καὶ νυνὶ ζῶντας συνιστανόντων, εἴποιμεν αὐτοῖς· Ὑμεῖς οἱ αὐτοὶ οὐκ ἐστέ· γεγόνατε γὰρ καθ' ὑπόστασιν ἄσαρκοι ὃ οὐκ ἦτε. Καὶ αὐτὸν δὲ Χριστὸν ὁ μὴ γινώσκων οὐκέτι κατὰ σάρκα, εἰ καὶ ἔγνω ποτὲ, ἆρά γε οὐκ αὐτὸν, ἀλλ' ἕτερον γινώσκει; Καὶ τίς ὁ τοῖσδε συντιθέμενος; Ὁ Λόγος οὖν σὰρξ ἐγέ- C νετο, καὶ ὁ αὐτός ἐστι καὶ οὕτως.

ΚΕΦΑΛ. ΛΔ'.

Εἰ κατὰ τὴν ἄσαρκον ὑπόστασιν ὁμοούσιος ὁ Λόγος τῷ Πατρὶ, δῆλον ὅτι κατὰ τὴν ἔνσαρκον ὑπόστασιν ἑτεροούσιος ὁ Λόγος τῷ Πατρί. Εἰ τῷ μὴ ἔχειν καθ' ὑπόστασιν ἡνωμένην σάρκα αὐτῷ, τούτῳ ἦν ὁμοούσιος ὁ Λόγος τῷ Πατρὶ τὴν ὑπόστασιν, δεόντως ἐξ ὑμῶν ἀπορηθήσεται τόδε. Εἰ δὲ τῷ μὴ εἶναι φύσει σὰρξ, ἀλλὰ Θεὸς τὴν οὐσίαν ὁ Λόγος τούτῳ ἐστὶν ὁμοούσιος τῷ Θεῷ Πατρὶ, καὶ ἑνούμενος ἄρα σαρκὶ, οὐκ ἐτράπη τὴν τοῦ Θεοῦ φύσιν· καὶ δῆλον ὡς καὶ μεμένηκεν ὁμοούσιος ἡ τοῦ Λόγου ὑπόστασις πρὸς τὸν Πατέρα· γεγένηται δὲ ὄντως καὶ ἑτεροούσιος πρὸς τὸν αὐτὸν, δι' ἑτέρας μέντοι ἐγγενομένης αὐτῇ φύσεως. D

ΚΕΦΑΛ. ΛΕ'.

Εἰ μὴ ὑπόστασιν ἣν εἶχεν ἔχει ὁ Λόγος, οὐδὲ ἄρα αὐτός ἐστιν ὃ ἦν. Ἀλλ' ἔχει τὴν αὐτὴν ἀνελλιπῆ μὲν τοῖς προτέροις ἰδιώμασι· μετὰ μέν τοι καὶ προσθήκης ἑτέρων ἰδιωμάτων, διακρινομένην νῦν ἀπὸ τῶν ὁμοουσίων.

ΚΕΦΑΛ. ΛϚ'.

Ἀξίαν καὶ αὐθεντίαν καὶ δυναστείαν τοῦ Θεοῦ Λόγου δύναται ἔχειν ὁ ἄνθρωπος· καὶ τὸ τὴν τάξιν ἐπέχειν ὅλου τοῦ Θεοῦ Λόγου τὴν ὑπόστασιν ἀδύ-

Verbum natura esse hominem: si autem non natura, nec certe secundum personam. Quod non est idem natura, nonne secundum personam esse potest? Quid enim? equi anima non est idem natura ac corpus ejus, cum istud sit mobile, illa autem immobilis: nonne tamen secundum personam? Non idem natura lux et aer, neque secundum personam in die unum sunt, sed ab invicem differunt.

CAP. XXXII.

Ego sum et non mutor, clamat Deus; carni conjungitur Verbum secundum personam, clamat Ægyptius: qui Cyrillum vera dicentem recipit, mendacem facit Deum. Si igitur Verbum, carni unitum, remanet Verbum, absurde loquuntur; si autem non remanet Verbum, quamvis non carni uniretur, mutatum est. Si enim unio simpliciter est mutatio, omnis anima corpori unita mutatur.

CAP. XXXIII.

Tu idem es, clamat propheta, de Deo loquens: contra prophetam clamat Ægyptius dogmatibus suis: Non idem es: factus es enim secundum personam alius, et quod non eras. Concrematis corporibus suis, multi martyres se animis manifestarunt et pluribus miraculis vivos nobis sese ostenderunt; eis dicerem: Vos iidem non estis; facti enim estis secundum personam absque corporibus, quod non eratis. Qui autem Christum non novit in carne, si quando postea cognoscit, nonne eumdem sed alium cognoscet? Quis hisce assentietur? Verbum igitur caro factum est, et idem est et eodem modo.

CAP. XXXIV.

Si secundum personam carnis expertem Patri simile est Verbum, manifestum est secundum incarnatam suam personam dissimile esse Patri. Si ex eo quod carnem secundum personam sibi unitam non haberet Verbum, ideo erat Patri simile secundum personam, hoc vobis recte negabitur. Si autem ex eo quod natura non est caro, sed Deus substantialiter, carni unitum in divina natura non mutatum est, et manifestum est personam Verbi remansisse Patri similem, factum autem diversæ naturæ propter alteram naturam sibi adjunctam.

CAP. XXXV.

Si quam personam habebat Verbum, hanc non jam habet, non est idem jam quod erat. Sed eam adhuc habet suis prioribus proprietatibus pollentem, sed cum accessione aliarum proprietatum, in hoc quoque distinctam a consimilibus suis.

CAP. XXXVI.

Dignitatem, auctoritatem et potestatem Verbi Dei potest homo habere, sed impossibile est personam omnem Verbi Dei celsitudinem tenere, crea-

(1) Severi Monophysitarum coryphæi ineditum opus, inscriptum Φιλαλήθης seu Κύριλλος, ego quidem in manibus habeo: veruntamen Severus haud fuit ortu Ægyptius, quanquam in ea quoque regione diu vixit.

tus enim homo, increatum autem Deus Verbum. Quod maxime incredibile est, supponis, amice, si tamen dicis quod naturalem, non accidentalem, Verbi dignitatem et auctoritatem et potentiam homo potest habere, et vere locum tenere totius Verbi divini, licet diversæ sit naturæ, et natura non differre ab increato Verbo naturaliter Deo. Verbum autem Deus in suam personam inducere non posset naturam humanam: itaque homo divina, non autem Deus humana recipere posset?

A νατον· κτιστὸς μὲν γὰρ ὁ ἄνθρωπος, ἄκτιστος δὲ ὁ Θεὸς Λόγος. Τὸ γοῦν ἀπιστότερον ὑποτίθη, ὦ οὗτος· εἴπερ γὰρ τὴν φυσικὴν, οὐ γὰρ ἐπίκτητον, ἐρεῖς, τοῦ Λόγου τὴν ἀξίαν καὶ αὐθεντίαν καὶ δυναστείαν, τὴν τοῦ θείου Λόγου δύναται ἔχειν ὁ ἄνθρωπος· καὶ ὄντως τάξιν ἐπέχειν ὅλου τοῦ Θεοῦ Λόγου, καί τοι ἑτέρας ὢν φύσεως· καὶ κτιστὸς ὢν τῇ φύσει τοῦ ἀκτίστου Θεοῦ Λόγου μὴ διαφέρειν τοῦ φυσικοῦ Θεοῦ. Ὁ δὲ Θεὸς Λόγος μὴ δύναται εἰς τὴν οἰκείαν ὑπόστασιν ὑφιστάνειν τὴν φύσιν τοῦ ἀνθρώπου, ἄρα γὰρ ὁ μὲν ἄνθρωπος, οἷός τε ὑποδέχεσθαι τὰ θεῖα· ὁ δὲ Θεὸς, οὐχ οἷός τε ὑποδέχεσθαι τὰ ἀνθρώπινα;

CAP. XXXVII.

Deus et anima et corpus, per unionem naturalem, nec Deus, nec homo est; adde, *solum*, et quod decet ne recuses.

ΚΕΦΑΛ. ΛΖ'.

Θεὸς καὶ ψυχὴ καὶ σῶμα καθ' ἕνωσιν φυσικὴν, B οὔτε Θεὸς, οὔτε ἄνθρωπός ἐστι. Πρόσθες τὸ *μόνον*, καὶ ἆρες τὸ δέον.

CAP. XXXVIII.

Quod natura est impossibile, asserit Ægyptius; et quod a voluntate dependet, anathematizat. Sed quod Deus voluit, hoc fuit maxime conveniens superoptimæ Dei naturæ, seipsum nobis scilicet dedisse in nostra natura, donum excellentissimum.

ΚΕΦΑΛ. ΛΗ'.

Ὁ Αἰγύπτιος τὸ φυσικὸν ἀδύνατον δογματίζει, καὶ τὸ οἰκονομικῶς δυνατὸν ἀναθεματίζει. Ἀλλὰ τὸ οἰκονομηθὲν, τοῦτο αὐτὸ ἦν τῇ θείᾳ πρέπον ὑπεραγαθωτάτῃ φύσει, τὸ εἰς τὴν ἡμῶν φύσιν ὑπερφυὲς ἡμῖν χάρισμα ἑαυτὸν δωρήσασθαι.

CAP. XXXIX.

Si naturæ difficultas impedit quin Verbi Dei persona hominem modo increato sibi habeat unitum, et si non sinit Ægyptius hominem ex Dei providentia dignitatem Verbi induere, inter naturam et Ægyptium, certe homo nihil habet Verbi divini, neque personam, neque dignitatem. Sed habet increatam Verbi divini personam et personam constantem ex sua creata natura cum Verbo, et homo est qui est in Christo: habet enim personam alterius increato modo et ab æterno præexsistentem; et propter alium qui in ipsa est creatus et temporalis, id est possibile; sed eam personam naturæ suæ modo increato et ab æterno possidere, huic alii natura creato, impossibile: namque natura partialis, posterius formata nec ejusdem temporis, id est, oculorum natura in cæco nato, in ejus præexsistentem naturam fuit recepta, et vere postea ut ejus pars sumitur, licet completa visa fuerit una persona ejusdem ante etiam eos formatos, imperfecta quidem sub quodam respectu propter privationem naturalis partis, quæ privatio magis rationem personæ ejus faciebat augeri, quoniam manifestius eam a consimilibus secernebat illa ademptione proprietatum ejus. Completa igitur earum natura per suas partes, nulla indiguit persona ex suis proprietatibus; non est ergo impossibile præexsistentes personas aliquid per adjunctionem in se recipere, quomodocunque, sive modo creato, sive increato, præexsistant.

ΚΕΦΑΛ. ΛΘ'.

Εἰ τὸ ἀκτίστως ἔχειν τὸν ἄνθρωπον τοῦ Θεοῦ Λόγου τὴν ὑπόστασιν ἡ ἀμηχανία τῆς φύσεως οὐκ ἐᾷ, καὶ τὸ κατ' οἰκονομίαν ἔχειν τὸν ἄνθρωπον τοῦ Θεοῦ Λόγου τὴν ἀξίαν ὁ Αἰγύπτιος οὐκ ἐᾷ, μεταξὺ ἄρα C τῆς φύσεως καὶ τοῦ Αἰγυπτίου, οὐδὲν ἔχει τοῦ Θεοῦ Λόγου ὁ ἄνθρωπος, οὔτε τὴν ὑπόστασιν, οὔτε τὴν ἀξίαν. Ἀλλ' ἔχει τὴν ἄκτιστον ὑπόστασιν τοῦ Λόγου καὶ τῆς κτιστῆς αὐτοῦ φύσεως οὖσαν ὑπόστασιν σὺν τῷ Λόγῳ, καὶ ὁ ἄνθρωπος ὁ ἐν Χριστῷ· ἔχει μὲν γὰρ ἀκτίστως καὶ ἀχρόνως προϋποκειμένην τινὰ ὑπόστασιν ἑτέρου· καὶ τῷ ἑτέρῳ τῷ κτιστῶς καὶ ἐγχρόνως ἐν αὐτῇ ὑποστάντι, δυνατόν· ἀκτίστως δὲ αὐτὴν καὶ ἀχρόνως κτήσασθαι ὑπόστασιν τῆς φύσεως ἑαυτοῦ τῷδε τῷ κτιστῷ ὄντι τὴν φύσιν, ἀδύνατον· καὶ μεταγενεστέρως γὰρ αὐτοῦ κτισθεῖσα καὶ οὐ σύγχρονος οὖσα φύσις μερικὴ ἡ τῶν ὀφθαλμῶν τοῦ ἐκ γεννητῆς τυφλοῦ εἰς τὴν ὑπόστασιν αὐτοῦ τὴν προϋποκειμένην ὑπέστη· καὶ ὡς μέρος αὐτῆς ἀληθῶς τὸ λοιπὸν θεωρεῖται· καί τοι μιᾶς D ὑποστάσεως ἀνελλιποῦς ὅλης θεωρουμένης καὶ πρὸ τῶνδε τῆς τοῦδε· ἐλλιποῦς δὲ ὡς κατά τινα λόγον φύσεως καὶ φυσικοῦ μέρους στέρησιν· ἥτις στέρησις καὶ πλεονάζειν μᾶλλον τὸν λόγον τῆς ὑποστάσεως αὐτοῦ ἐποίει τρανότερον διοριζομένης καὶ τῷδε τῷ ἐξαιρέτῳ ἐν τοῖς ἰδιώμασιν αὐτῆς ἀπὸ τῶν ὁμοφυῶν. Τελειωθείσης γοῦν αὐτῶν τῆς φύσεως τοῖς μέρεσιν, οὐκ ἐνέλιπέ τι ὑπόστασις τοῖς ἰδιώμασιν αὐτῆς· οὐκ ἀδύνατον ἄρα κατὰ πρόσθεσίν τι εἰς ἑαυτὰς ἐπιδέχεσθαι τὰς προούσας ὑποστάσεις ὁπωσοῦν, εἴτε κτιστῶς εἴτε ἀκτίστως προϋπῆσαν.

CAP. XL.

Si secundum consubstantiationem divinitatis et carnis Filius fuit unus Filius, evidens est eum ante consubstantiationem non fuisse Verbum unum

ΚΕΦΑΛ. Μ'.

Εἰ κατὰ τὴν συνουσίωσιν θεότητος καὶ σαρκὸς εἷς Υἱὸς ὁ Υἱὸς, δῆλον ὅτι πρὸ τῆς συνουσιώσεως, οὔτε εἷς ὁ Λόγος, οὔτε Θεὸς, οὔτε Υἱός. Ἀλλὰ καὶ

πρὸ τῆς συνουσιώσεως Θεὸς καὶ Υἱὸς ὁ Λόγος· καὶ ἐπὶ τῇσδε ὁμοίως, καὶ Θεὸς καὶ Υἱὸς καὶ Λόγος. Οὐ γὰρ ἐπὶ ἀναιρέσει τῶν ὄντων αὐτῷ, ἀλλὰ προσκτήσει τῶν οὐκ ἐνόντων, γέγονε Χριστὸς ὁ Θεὸς Λόγος καὶ Υἱὸς τοῦ Πατρός.

A neque Deum, neque Filium. Sed ante consubstantiationem Verbum fuit Deus et Filius, et per eam Deus et Filius et Verbum. Non enim per ademptionem eorum quæ habebat, sed per acquisitionem eorum quæ non habebat, Deus Verbum, Patris Filius, factus est Christus.

ΚΕΦΑΛ. ΜΑ'.

Ὁ Θεὸς Λόγος γνωμικῶς δύναται ἑνωθῆναι τῇ κτιστῇ φύσει, φυσικῶς δὲ οὐ δύναται· οὐδὲ γὰρ ἔκτισε τὴν ἑαυτοῦ φύσιν, οὔτε μεθαρμόζειν αὐτὴν εἰς ἑτέραν οὐσίαν δύναται. Ἆρά γε ὡς μείζονα δυναμένης αὐτοῦ τῆς γνώμης ὑπὲρ τὴν φύσιν δύναται γνωμικῶς, ἃ οὐ δύναται φυσικῶς, ἢ ὡς ἥττονα; Εἰ μὲν γὰρ ὡς μείζονα, ὁ τῷ ἰσχυροτέρῳ τῶν ἑαυτοῦ ἤγουν τῇ γνώμῃ τῇ κτιστῇ φύσει συναφθεὶς, τῷ B ἐλαττοτέρῳ, ἤγουν τῇ φύσει, εὐκολότερον συμπλακήσεται· εἰ δὲ ὡς ἥττονα, δῆλον πάλιν ὡς τῷ ἀσθενεστέρῳ τῶν ἑαυτοῦ τι ῥᾷστα καταπραξάμενος, τῷ δραστικωτέρῳ ἂν μειζόνως τοῦδε αὐτοῦ περιγενήσεται· καὶ οὕτω μὲν τάδε· οὐκ ἔκτισε δὲ οὐδὲ μεθαρμόζει τὴν ἑαυτοῦ φύσιν ὁ Θεός· ἆρά γε γνώμην ἔχων ποτὲ τοῦδε ἢ οὐδὲ γνώμην ἐσχηκὼς τοιάνδε. Τὸ μὲν γὰρ κτίσαι ἑαυτὸν, καὶ ἀνεπινόητον· τὸ δὲ μεθαρμόσαι, ἄλογον· ποῦ γὰρ ὑφεστῶσα ἡ γνώμη αὐτοῦ κτίσει τὸ γνωμικόν; πῶς δὲ ὁ ἐν πᾶσι μακαριότησι ὢν, γνώμην ἕξει μεταστρέψαι ἑαυτὸν εἰς τὸ χεῖρον; τὸ κρεῖττον γὰρ οὐκ ἔστιν. Ἆρα οὖν ὅσα ἡ φύσις αὐτῷ δύναται, ταῦτα αὐτῷ ἔχει καὶ ἡ γνώμη ποιεῖν αὐτόν· καὶ ὅσα ἡ γνώμη ἔχει, ταῦτα καὶ ἡ φύσις αὐτοῦ δύναται ποιεῖν. Οὐ γὰρ διαμάχεται C ἐν τῷ πάντῃ ἁπλουστάτῳ καὶ ἀδιαφόρῳ ἀγαθῷ Θεῷ γνώμη καὶ φύσις· ὥστε εἰ γνωμικῶς δύναται συναφθῆναι ἡμῖν, πολλῷ μᾶλλον φυσικῶς. Ἡ μὲν γὰρ φύσις καὶ ἡ ἡμετέρα, ἀγαθὴ καὶ ἀδιάβλητος, καὶ ἐξ αὐτοῦ· ἡ δὲ γνώμη καὶ αἱ ἡμῶν ἁμαρτίαι διιστῶσιν ἀνὰ μέσον ἡμῶν καὶ αὐτοῦ· γνώμην οὖν ἐσχηκὼς καὶ αὐτὸ τοῦτο ἤγουν τὸ συναρμόζειν ἑτέρᾳ οὐσίᾳ τὴν ἑαυτοῦ φύσιν, οὐκ ἀδυνατήσει· εὐδοκίᾳ οὖν αὐτοῦ ἅτε φύσει ἀγαθοῦ, τὴν φυσικὴν αὐτοῦ ἕνωσιν πρὸς ἡμᾶς, ὀρθῶς φαμεν.

CAP. XLI.

Verbum Deus voluntate potest uniri naturæ creatæ, natura autem non potest: non enim suam naturam condidit, nec potest eam in naturam aliam transmutare, utrum quia magis valet ejus voluntas quam natura, voluntate potest quæ non potest secundum naturam, an quia minus? Si enim quia magis, qui potentiori ex suis, id est, voluntate, sibi creatam unire naturam, minori, id est, natura, facilius unietur; si autem quia minus, manifestum est iterum illum quod inferiore ex suis facillime fecerit, id potentiori multo magis efficiet, et sic de his: non condidit Deus suam naturam, nec transmutat; sed habuit, vel non habuit talem voluntatem. Se condidisse, impossibile cogitatu est; se transmutare, absurdum: ubi enim subsidens voluntas volitionem effinget? quomodo autem qui omni felicitate gaudet, voluntatem habebit se in pejus immutandi? melius enim non est. Quæcunque ergo potest ejus voluntas, hæc omnia voluntas ejus est facere; et quod voluntas ejus est facere, hoc ejus potest natura; non enim inter se certant in Deo plane simplicissimo et immutabili Deo optimo, voluntas et natura; itaque si voluntate potest nobis uniri, multo magis natura: nostra siquidem natura, bona et integra ex ipso est, voluntas autem et peccata nos ab eo separaverunt; voluntatem igitur habens istam, id est, suam naturam alii naturæ conjungendi, non impossibili tenebitur; ideoque ex ejus benevolentia, id est illius qui natura bonus est, recte ejus naturalem nobiscum unionem prædicamus.

ΚΕΦΑΛ. ΜΒ'.

Εἰ τοῦ Θεοῦ βουληθέντος δέχεται αὐτοῦ ἡ φύσις προσθήκην, δύναται ἄρα καὶ μείωσιν δέξασθαι βουληθέντος αὐτοῦ· εἰ δὲ ἀδύνατον τὸ δεύτερον, ἀδύ- D νατον ἄρα καὶ τὸ πρῶτον. Ἀλλ' οὐχ ἡ φύσις, ἡ ὑπόστασις δὲ προσθήκην ἐπεδέξατο ἡ τοῦ Λόγου· καὶ τοῦτο οὐχ ὑποστάσεως, ἀλλὰ τῶν ὡς στοιχείων ὑποστάσεως νοουμένων ἰδιωμάτων, διὰ τῆς πρὸς φύσιν ἑτέραν ἑνώσεως τῆς οὐσίας αὐτοῦ ἐπιγενηθέντων αὐτῇ· ἀφαίρεσιν τῶν ἰδιωμάτων αὐτῆς τῶν ἀϊδίων καὶ ἔκπαλαι μὴ καταδεχομένης ὡς ἅπαξ ἀϊδίων· ἔστι δὲ καὶ ἄλλα, ὧν ἐπαύξησις μέν ἐστι, οὐ μὴν καὶ μείωσις· τὸ γὰρ ἁπλούστατον οἷον τὸ σημεῖον, ἐπαυξηθῆναι μὲν διὰ συνθέσεως, δυνατόν· μειωθῆναι δὲ ἐνεργείᾳ ἀμερὲς ὂν ὡς τῶν μεριστῶν ἔσχατον, ἀδύνατον.

CAP. XLII.

Si Deo volente, ejus natura additum recipit, potest etiam volente, diminutionem recipere: si autem impossibile posterius, ergo et prius: sed non natura, bene vere persona Verbi additum recepit; nec personæ, sed, ut ita dicam, elementorum personæ, seu intelligibilium proprietatum ipsi per unionem substantiæ cum altera natura adjunctarum; nullam autem ex suis æternis proprietatibus perdidit, quia æternæ erant; sed sunt quædam aliæ quæ augeri, non minui possunt; quod enim simplicissimum, ut est signum, augeri potest per additum, minui autem tanquam infimum rerum quæ partibus constant non potest, quia partes non habet.

ΚΕΦΑΛ. ΜΓ'.

Εἰ ὁμοῦ Θεὸς καὶ ἄνθρωπος ὁ Χριστὸς, δηλονότι

CAP. XLIII.

Si Christus Deus simul et homo est, manife-

tum est Christum imperare simul et servire. Si vero non est in Christo distinctio inter imperium et servitium, sic tollitur differentia inter Deum et hominem. Simul quidem et in eadem persona secundum naturalem suam conditionem servit usquedum impleatur humilitas quæ ad redemptionem pertinet; sed, si idem, non in eisdem sui partibus: natura enim carnis suæ Pilato servit, natura autem Verbi omnium, et etiam cœlestium Dominus est Christus; postremo autem, secundum humanitatem etiam dicit : « Data est mihi omnis potestas in cœlo et in terra. »

CAP. XLIV.

Si simul Deus et homo Christus, eodem honore dignus homo atque Deus; sed si eodem honore atque Deus non est dignus homo, merito respuit Ægyptius adorationem; si autem dignus, necessario adoratur, et impie docet Ægyptius. Quemadmodum cum adoramus Deum ut adorandam naturam, non est opus triplici adoratione tres divinas personas adorare, sed una tantum adoratione adoratur totalitas Dei natura adorandi, ita est quantum ad incarnationem; si ad personam Verbi incarnati adorationem referimus, non est necessarium dicere quod hoc in Christo vel illud adoratur, sed per adorationem unius personæ, una Verbi, etiam incarnati, persona adoratur, si adoras naturam Verbi, Patrem quoque et Spiritum sanctum in eo adoras; ubi autem Pater et Spiritus in adorata Unitate intenduntur, ibi non comprehenditur caro eo modo ut adoretur tanquam ad Unitatem pertinens. Oportet ergo tribus æqualibus adorationibus tres divinas personas adorare : divina autem caro, quia earum divinitati, particeps est natura secundum personam, videlicet earum in una comprehensa, et sacra divinitatis in posterum recepit, adoranda est in Filio uno; in nomine enim Jesu omne genu flectetur; quia ei datum est nomen quod est super omne nomen, id est divinitatis, naturaliter est adorandum, servata quidem naturali diversitate ejus qui propria naturalia donavit et ejus qui donatus est, et divinitati et divinisantis.

CAP. XLV.

Si caro non est cujusdam diversi a Verbo natura Deo, sed est Verbi Dei, manifeste ad alium pertinet caro quam ad Verbum naturalis divinitatis. Diversæ quidem naturæ est, sed ad personam pertinet. Verbum enim prius sine carne, nunc incarnatum confitemur.

CAP. XLVI.

Si plene recipis, Ægyptie, divinam Dei in homine habitationem, cesses affirmare Dei et carnis secundum personam unionem : se enim invicem excludunt habitatio et secundum personam naturalis unio. Si personalis diceretur etiam habitatio, id est, personæ in persona habitatio, recte loquereris : sicut fit et de legis tabulis quæ sepa-

A ὁμοῦ δεσπόζει καὶ δεσπόζεται ὁ Χριστός. Εἰ δὲ ἡ διαφορὰ τοῦ δεσπόζειν καὶ τοῦ δεσπόζεσθαι ἐν τῷ Χριστῷ οὐκ ἔστι, καὶ Θεοῦ ἄρα καὶ ἀνθρώπου ἀναιρεῖται ἡ διαφορά. Καὶ γὰρ ὁμοῦ καὶ ἐν ταυτῷ δεσπόζεται τῇ φυσικῇ τάξει ἕως συμπληρώσεως τῆς κατὰ τὴν οἰκονομίαν ταπεινώσεως· ἀλλ' οὐ κατὰ τὸ αὐτὸ τῶν αὐτοῦ μερῶν ὁ αὐτός. Τῇ γὰρ φύσει τῆς σαρκὸς αὐτοῦ, καὶ ὑπὸ Πιλάτου δεσπόζεται· τῇ δὲ φύσει τοῦ ἐν αὐτῷ Λόγου πάντων, καὶ τῶν οὐρανίων ὁ αὐτὸς κυριεύει Χριστός· ὕστερον δὲ καὶ κατὰ τὸ ἀνθρώπινον φησί· « Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. »

ΚΕΦΑΛ. ΜΔ'.

Εἰ ὁμοῦ Θεὸς καὶ ἄνθρωπος ὁ Χριστὸς, ὁμότιμος
B ἄρα ὁ ἄνθρωπος τῷ Θεῷ· εἰ δὲ μὴ ὁμότιμος ὁ ἄνθρωπος τῷ Θεῷ, δικαίως διαβάλλει ὁ Αἰγύπτιος τὴν συμπροσκύνησιν· εἰ δὲ ὁμότιμος, ἐξ ἀνάγκης συμπροσκυνεῖται, καὶ ἀσεβεῖ ὁ Αἰγύπτιος. Ὥσπερ ἡνίκα ὡς φύσιν προσκυνητὴν προσκυνοῦμεν Θεὸν, οὐ χρεία τρισὶ προσκυνήμασι τὰς τρεῖς θείας ὑποστάσεις προσκυνεῖν, ἀλλὰ μιᾷ προσκυνήσει ἡ ὁλότης τοῦ προσκυνητοῦ Θεοῦ φύσει προσκεκύνηται, οὕτως ἐπὶ τῆς οἰκονομίας· εἰ ὡς ὑποστάσει τῇ τοῦ Λόγου τοῦ σεσαρκωμένου προσάγοιμεν τὴν προσκύνησιν, οὐ δέον τι λέγειν ἕτερον ἑτέρῳ συμπροσκυνεῖσθαι ἐν Χριστῷ, ἀλλὰ μιᾶς ὑποστάσεως προσκυνήσει τιμᾶσθαι τὸ τοῦ Λόγου πρόσωπον ἓν, εἰ καὶ σεσάρκωται· εἰ μέν τοι ὡς φύσιν προσκυνεῖς τὴν τοῦ Λόγου, καὶ τῷ Πατρὶ προσκυνεῖς ἐν αὐτῷ καὶ τῷ Πνεύματι· ἔνθα
C δὲ Πατὴρ καὶ Πνεῦμα ἐνθεωρεῖται τῇ Μονάδι τῇ προσκυνουμένῃ, σὰρξ τῇδε οὐ συμπεριέχεται, ἵνα καὶ ὡς τῇσδε οὖσα τῆς Μονάδος συμπροσκυνῆται. Δέον οὖν τρισὶ μὲν ὁμοτίμοις προσκυνήσεσι τὰς τρεῖς ὑποστάσεις τὰς θείας προσκυνεῖν· τῇ θείᾳ δὲ σαρκὶ ὡς συνθεωθείσῃ αὐταῖς καθ' ὑπόστασιν φύσει, ἅτε ἐν μιᾷ τῶνδε περιεχομένῃ, καὶ τὰ τῆς θεότητος ἱερὰ λοιπὸν προσδεχομένῃ, συμπροσκυνητέον κατὰ τὸν ἕνα Υἱόν· ἐν γὰρ τῷ ὀνόματι Ἰησοῦ κάμψει πᾶν γόνυ· ἐπεὶ καὶ αὐτῷ κεχάρισται ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἤγουν τὸ τῆς θεότητος, φύσει ὂν προσκυνητόν· φυλαττομένης τῆς διαφορᾶς τῆς φυσικῆς, καὶ οὕτως τοῦ χαρισαμένου τὰ ἴδια φυσικὰ πρὸς τὸν λαμβάνοντα, καὶ τοῦ θεωθέντος πρὸς τὸν θεώσαντα.

ΚΕΦΑΛ. ΜΕ'.

D Εἰ ἡ φύσει σὰρξ οὐκ ἔστιν ἑτέρου τινὸς παρὰ τὸν Θεὸν Λόγον φύσει, ἀλλὰ τοῦ Θεοῦ Λόγου, δηλονότι ἑτέρου Λόγου ἐστὶ ἡ σὰρξ παρὰ τὸν φυσικῇ θεότητι Λόγον. Ἑτέρας μὲν φύσεως ἐστιν, ἀλλὰ τοῦ προσώπου. Ὁ Λόγος γὰρ ἄσαρκος πάλαι, νῦν δὲ σεσαρκωμένος ὡμολόγηται.

ΚΕΦΑΛ. ΜϚ'.

Εἰ ὅλως ἀποδέχῃ, ὦ Αἰγύπτιε, Θεοῦ ἐν ἀνθρώπῳ θείαν ἐνοίκησιν, παῦσαι Θεοῦ καὶ σαρκὸς δογματίζων τὴν καθ' ὑπόστασιν ἕνωσιν· ἀλλήλων γὰρ εἰσιν ἀναιρετικαὶ ἡ ἐνοίκησις καὶ ἡ καθ' ὑπόστασιν φυσικὴ ἕνωσις. Εἰ ὑποστατικὴ λέγοιτο καὶ ἡ ἐνοίκησις ἤγουν ὡς ὑποστάσεως εἰς ὑπόστασιν ἐνοικούσης, ὀντως φῄς· ὥσπερ καὶ ἐπὶ τῶν καθ' αὐτὰς μὲν ὑπαρ-

χουσῶν πλακῶν τοῦ νόμου ἰδιοπεριγράπτως, περιλαμβανομένων δὲ πάντοθεν ὑπὸ τῆς κιβωτοῦ, ἔχει. Εἰ δὲ οὐσιακῇ ἑνώσει καθορῶμεν τὴν ἐνοίκησιν ὥσπερ ὁ λέγων περὶ τῆς ἑαυτοῦ ψυχῆς, ὅτι ἐξῆλθε καὶ ἀπῆλθεν ἀπ' ἐμοῦ ὥσπερ ὁ καταλύων σκηνὴν πήξας, πῶς κωλύεται ἡ καθ' ὑπόστασιν ἕνωσις ἐπὶ Ἐζεκίου νοεῖσθαι, φύσεως φύσει ἐνοικούσης; ἄνθρωπος δὲ καὶ σὰρξ ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ πῶς λέγεται, τῷ τῆς ἐνοικήσεως ἁπλῶς Λόγῳ; ὁ γὰρ ἐνοικῶν, οὐ τῆς τοῦ ἐνοικουμένου προσηγορίας εὑρίσκεται Κύριος.

A ratim sunt inscriptæ, sed simul in arca continentur. Si autem conferimus substantiali unioni inhabitationem, sicut qui de sua anima dicit: ex me exiit et excessit quasi qui tabernaculum convolutum ligat: quid prohibebit quin in Ezechia secundum personam unio concipiatur ut habitatio naturæ in natura? Quomodo ratione habitationis simpliciter dicitur homo et caro, Verbum Dei Filius? Qui enim inhabitat, non est Dominus nominis illius in quo est.

ΚΕΦΑΛ. ΜΖ'.

Εἰ τὸν παντοδύναμον φύσει Λόγον καὶ ἀναμάρτητόν κοινωνὸν ἔσχεν ἡ σὰρξ τῆς ἰδίας ὑπάρξεως, πῶς αὕτη ἂν εἴη ἀναμάρτητος λεγομένη; ἢ ποία νίκη τῆσδε πρὸς τὴν κακίαν τοιόνδε λαβούσης βοηθὸν, ὃν οὐδὲ ἔστι νικηθῆναι; τοῦδε γὰρ ἂν καὶ οὐ τῆσδε εἴη τὸ κατόρθωμα. Ἆρα οὖν οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι οὐκ ἐξομολογήσεσθε σὺν ἡμῖν ὅτι ἀδελφὸς οὐ λυτροῦται, οὐδὲ λυτρώσεται ἄνθρωπος; καὶ ὅτι οὐκ ἐν ἰσχύϊ ἑαυτοῦ δυνατὸς ἀνὴρ, ἀλλὰ Κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ Κύριος ἅγιος· ἀκούσατε, ὦ οὗτοι, τοῦ λέγοντος· Μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ· καὶ γνῶτε ὅτι τὸ καθ' αὑτὴν ἁμαρτίας κατακρατεῖν ἀβοηθήτως, φύσεώς ἐστι μόνης τῆς ἀναμαρτήτου· καθ' ἣν εἰ εἴημεν, θεοὶ πάλαι ἂν ὄντες ἐδείχθημεν. Πταιστῆς δὲ ὄντες φύσεως, καὶ ἐντεῦθεν εὐεπιβούλευτοι καθεστῶτες τῷ πειράζοντι καὶ εἰς τὴν ἐνεργείᾳ ἁμαρτίαν κατασύροντι, εὔκολοι· δυνάμεώς τινος ἐμφωλευούσης τῇ ἀδυναμίᾳ τῆς ἡμετέρας φύσεως ἐδεόμεθα, ἵνα μὴ καταδυναστευθῶμεν ὑπὸ τῆς ἀντικειμένης ἡμῖν ἐπιβούλου δυνάμεως, ἥ τις τῷ κέντρῳ τοῦ θανάτου ἤγουν τῇ ἁμαρτίᾳ ἡμᾶς ἐπικεντρίζουσα, θνήσκειν ἐποίει καὶ τῆς ἀθανασίας ἐστέρει· καὶ τοῦτο οὐκ ἐξωτέρως πως τῆς οὐσίας, οὐδὲ προσκαίρως· ἀθάνατός τε γὰρ ὁ εὑρέτης τῆς κακίας οὗτος καὶ τῶν καρδιῶν ἡμῶν αὐτῶν ἐμβατευτικός· τῆς φύσεώς τε αὐτῆς ἡμῖν ἦν ἡ ἀσθένεια. Εἰκότως οὖν τῇ τε φύσει ἡμῶν ἡ πρὸς δικαιοσύνην δυναμοποιὸς καὶ σωτήριος φύσις συνεπλάκη, εἰς μίαν ὑπόστασιν τὴν ἑαυτῆς ἡμᾶς διὰ τῆς ἀπαρχῆς προσλαβομένη· ὡς ἂν μήτε ἐνδοτέρως τῆσδε εἰς τὴν φύσιν ἡμῶν ἐμβατεύειν ἔχοι ὁ ἐχθρὸς καθ' ὑπόστασιν ἐγγινόμενός πως· οἷα κἀπὶ τῶν ἐνεργουμένων μέχρι νῦν, μήτε καιρὸν γυμνώσεως τῆς ἡμετέρας εὕροι ποτὲ φύσεως, ἐν αὐτῇ ὑφεστηκυίας τῇ τοῦ φύλακος ἡμῶν ὑποστάσει, ἣ ἐστι φύσει τῷ τε διαβόλῳ καὶ τῇ ἁμαρτίᾳ καὶ τῷ θανάτῳ ἀνεπίβατος· τῇ τοιᾶδε οὖν ὑπερφυεῖ φιλανθρωπίᾳ τὴν ἰδίαν σάρκα ἀναμάρτητον κατέστησε· καὶ τοὺς ὁμοουσίους αὐτῇ ἁμαρτωλοὺς, ἐνθάδε τῆς ἀναμαρτήτου πνευματικῆς οὐσιώσεως, ἐν τῷ μέλλοντι σὺν αὐτῇ, ἠξίωσεν ἀπεράντως. Ὁ οὖν Θεὸς Λόγος αἰωνίαν ἡμῖν λύτρωσιν εὑράμενος οὕτως δοξάζεται.

CAP. XLVII.

Si natura omnipotens et impeccabile Verbum suæ exsistentiæ socium habuit caro, quomodo dicetur B ipsa impeccabilis? vel quænam ejus victoria de malo, quæ talem habuit adjutorem qui vinci non possit? ad illum, non autem ad eam pertineret laus omnis. Nonne qui in sua potestate confiditis et in multitudine divitiarum suarum gloriamini: nobiscum confitebimini quod frater non redimit, nec redimet homo? Et quod non sua fortitudine potens est homo, sed quod Dominus infirmus faciet adversarium ejus, Dominus sanctus, audit dicentem: non glorietur fortis in fortitudine sua; et scitote quod ex se ipsa sine adjutorio iniquitatem superares; non sit nisi naturæ impeccabilis, quam si haberemus, deos esse jam pridem nos constaret Labilis autem cum simus naturæ et eo ipso facile obnoxii insidiis ejus qui nos tentat in peccatum inducere, opus habemus C potestatis cujusdam quæ nostræ naturæ imbecillitatem adjuvet, ne insidiatoris subjiciamur potestati, quæ mortis stimulo, id est, peccato, nos pungens nos mori faciebat et immortalitate privabat, non autem quodam modo foras substantiæ, sed neque opportune; immortalis enim est ille mali inventor et cordium nostrorum invasor, naturæ autem nostræ propria erat infirmitas; jure ergo et merito naturæ nostræ unita est natura justitiæ potens et salutaris, in unam suam personam nos recipiens, ne in naturam nostram, jam intra personam illam inclusam, non possit se intromittere hostis noster, ei personaliter quodam modo inhabitans, ut etiamnum in energumenis, neve nudam D nunquam reperiat nostram naturam, in ea habitante custodis nostri persona, quæ natura est diabolo et peccato et morti impervia: illa igitur humanitate propriam suam carnem impeccabilem fecit; et peccatores ei consubstantiales, hic impeccabilitate spiritualis sanctitatis et in futuro secum impeccabilitatis perfecta donavit. Deum igitur Verbum, quod sic nobis redemptionem invenit æternam glorificamus.

ΚΕΦΑΛ. ΜΗ'.

Καὶ τόδε δὴ ἴσως ἂν ἡμῖν ἀπορήσοιεν οἱ τὴν τοῦ Λόγου πρὸς τὴν σάρκα ἕνωσιν ἀληθῆ καθ' ὑπόστασιν ἀρνούμενοι... ἂν ἄπειρον φύσει παρὰ τὸ φύσει, καθ'

CAP. XLVIII.

Et hoc forsan nobis reponent qui Verbi cum carne veram secundum personam respuunt unionem..... natura infinitum, præter quod natura

est, secundum personam uniri impossibile. Si enim infinita est in utroque persona, non potest finitum, id est caro, in eam totam penetrare; si autem finita, totum in se infinitum natura, id est, Verbum, complecti non potest. Prompte igitur et ad hæc respondendum: primo quidem dicimus omnem personam propriis rationibus ab omni persona seu ejusdem seu diversæ speciei distinctam omnino esse finitam; si quid enim propriis terminis non definitur, nec ab alienis terminis discernitur; ideoque natura Verbi in se infinita non potest in persona considerari, sed neque Patris, neque Spiritus sancti: sed erit quid plane infinitum et in personale, cum non possit suis rationibus propriis definita persona naturam comprehendere secundum proprias rationes infinitam.

Præterea alio modo, Deo adjuvante, solvenda quæstio de infinito. Dicimus igitur infinitum multimode dici: dicitur enim infinitum secundum positionem, ut est circulus ex linea, quæ, nullam habens latitudinem, longitudinem habet non limitatam, omnibus oculis imperviam, et est in omni suo cursu æqualiter distans, ita ut neque ejus initium, neque finis, neque medium perspici possit. Dicitur quoque infinitum quod semper, in se conversum, augetur, ut est numerorum multiplicatio: cum enim millia numeraveris, millies millia adhuc sunt numerandi, et iterum millies millia et adhuc millia, et sic in infinitum. Dicimus quoque infinitum quod natura semper est divisibile, ut est punctum et unitas: quæ dividi concipimus in duas partes, et earum dimidium in dimidii dimidium, et illud etiam in sui dimidium, et sic in infinitum, cum non sit aliud genus diviso generi; successurum ex productione divisionis, ut est finis divisionis in linea, id est, cum ad punctum fuerit perventum et in numero, ad unitatem; non jam enim est numerus post divisionem. Dicitur etiam infinitum, quod, propter quantitatis continuum, non recipit terminum localem, sicut dicimus infinitam solarium radiorum productionem; cum enim non obstat corpus aliquod opacius, a summo oriente ad extremum occidentem, etiamsi perlucido corpore excepti sint, producuntur: sic etiam maris aqua in infinitum dicitur in abyssos descendere; infinitum quoque dicitur, quod duratione continuum et sine fine est, ut est futurum sæculum et vita angelorum; infinitum insuper dicitur quod mente tantum ponitur aut aliquod habere aut pati sine fine, sicut dicimus in infinitum produci vel dividi lineam. Infinitum præterea dicitur, quod non natura sua, sed tantum quoad nos ita se habet, ut est cœli altitudo. Infinitum quoque dicitur quod ex mentis consideratione finem non habet, ut istud: si omne corpus in loco, locus autem corpus est, corporis ergo locus in loco, et locus loci: quæ consideratio in infinitum protendi potest; infinitum etiam videtur esse, quod quantum ad naturam activam po-

A ὑπόστασιν ἑνοῦσθαι ἀδύνατον. Εἴτε γὰρ ἄπειρός ἐστι καὶ ἐκ τῶν ἀμφοτέρων ὑπόστασις, δι' ὅλης διήκειν τὸ περατὸν φύσει, ἤγουν ἡ σάρξ, οὐ δύναται· εἴτε περατὴ εἴη, ὅλον περιέχειν ἐν αὐτῇ τὸ φύσει ἄπειρον ἤγουν τὸν Λόγον, οὐκ ἰσχύσει. Ἑτοίμως οὖν καὶ τούτῳ ὑπαντητέον· πρῶτον μὲν λέγοντας, ὅτι πᾶσα ὑπόστασις τοῖς οἰκείοις λόγοις διωρισμένη τυγχάνουσα, ἀπὸ πάσης ὁμοουσίου τε καὶ ἑτεροουσίου ὑποστάσεως, πάντως περατή ἐστιν. Εἰ γὰρ μὴ περατοῦταί τι ἰδίοις ὅροις, οὐδὲ ἀποδιορίζεται τῶν ἀλλοτρίων ὅρων· οὐκ ἄρα οὖν οὐδὲ καθ' αὑτὴν ἡ ἄπειρος τοῦ Λόγου φύσις, ἐν ὑποστάσει θεωρεῖσθαι δύναται, οὐδὲ ἡ τοῦ Πατρὸς, οὐδὲ ἡ τοῦ Πνεύματος· ἀλλ' ἔσται πανάπειρον εὐθὺς καὶ ἀνυπόστατον, μὴ δυναμένης χωρῆσαι τῆς κατὰ τοὺς οἰκείους λόγους περατῆς B ὑποστάσεως τὴν κατὰ τὸν ἴδιον λόγον ἄπειρον φύσιν.

Ἐπὶ τούτοις δὲ καὶ ἑτέρως λυτέον σὺν Θεῷ τὸ ἄπειρον. Φαμὲν γὰρ ὅτι τὸ ἄπειρον, πολλαχῶς λέγεται· εἴρηται γὰρ ἄπειρον τὸ κατὰ θέσιν· ὥσπερ ὁ ἀπὸ γραμμῆς κύκλος, πλάτος μὲν οὐκ ἐχούσης, τοῦ δὲ μήκους αὐτῆς ἀορίστου καὶ ἀδήλου ὄντος πάσῃ θέᾳ· καὶ ἀδιαφόρου κατὰ πᾶν αὐτῆς τὸ διάστημα· ὡς μὴ τὸ μὲν αὐτῆς ἀρχὴν φαίνεσθαι, τὸ δὲ πέρας αὐτῆς, τὸ δὲ μεσότητα. Λέγεται ἄπειρον καὶ τὸ κατὰ τὴν εἰς ἑαυτὸ στροφὴν ἐπαυξάνον, οἷον ὁ πολυπλασιασμὸς τῶν ἀριθμῶν· καὶ γὰρ τὰ μύρια ἀριθμήσαντες, ἔστι καὶ μυριάκις μύρια ἐπιμετρῆσαι· καὶ πάλιν μυριάκις τὰ μύρια, μύρια ἐπαριθμεῖν, καὶ C οὕτως εἰς ἄπειρον. Φαμὲν δὲ ἄπειρον, καὶ τὸ ἀεὶ διαιρετὸν τῇ φύσει, οἷον τὴν στιγμὴν καὶ τὴν μονάδα· καὶ γὰρ τάδε εἰς ἡμίσεα διαιρεῖσθαι νοοῦμεν· καὶ τούτων τὸ ἥμισυ, εἰς ἕτερον ἡμίσεος ἥμισυ· κἀκεῖνο εἰς ἄλλο τὸ ἑαυτοῦ ἥμισυ· καὶ τοῦτο ἐπ' ἄπειρον· οὐκ ὄντος τινὸς εἴδους ἑτέρου τοῦ ὀφείλοντος τῇ ἐπιτάσει τῆς διαιρέσεως διαδέξασθαι τὸ διαιρούμενον εἶδος· ὥσπερ τῆς γραμμῆς ἐπὶ πολὺ διαιρουμένης, πέρας ἦν τῆς διαιρέσεως αὐτῆς, ἡ εἰς σημεῖον κατάντησις· καὶ πέρας ἀριθμοῦ διαιρέσεως ἦν, ἡ εἰς μονάδα κατάντησις· λοιπὸν γὰρ οὐκ ἀριθμὸς ἦν ὁ διαιρούμενος. Λέγεται δὲ ἄπειρον, καὶ τὸ κατά τι συνεχὲς ποσοῦ διάστημα πέρας οὐ λαμβάνον τοπικὸν, ὥσπερ φαμὲν ἄπειρον τὸ μῆκος τῶν ἡλιακῶν ἀκτίνων· καὶ γὰρ σώματος οὐ καταφράττοντος παχυτέρου, ἀπ' ἄκρων D ἀνατολῶν καὶ ὑπὲρ τοὺς ἑσπερίους τοῦ οὐρανοῦ τόπους, εἴπερ ἦν τι διαφανὲς τὸ ὑποδεχόμενον αὐτὰς ἐπεκτείνονται· τοιόνδε δὴ ἂν λέγηται καὶ τὸ πελάγιον ὕδωρ εἰς βάθος ἐπ' ἄπειρον πρὸς τὴν ἄβυσσον καθικνούμενον. Ἄπειρον δὲ εἴρηται καὶ τὸ κατὰ τὸ ποτὲ διηνεκὲς καὶ ἀτελεύτητον ὂν, ὥσπερ ὁ μέλλων αἰὼν, καὶ ἡ ζωὴ τῶν ἀγγέλων. Ἄπειρον λέγεται καὶ τὸ κατ' ἐπίνοιαν μόνον ἀπεράντως ἔχειν τι ἢ πάσχειν θεματιζόμενον· οἷον ἡ ἐπ' ἄπειρον ἐκφέρεσθαι λεγομένη ἢ διαιρεῖσθαι γραμμή. Ἄπειρον λέγεται καὶ τὸ ὡς πρός τι τοιόνδε εἰ καὶ μὴ φύσει, οἷον τὸ ὕψος τοῦ οὐρανοῦ ὡς πρὸς ἡμᾶς. Ἄπειρον λέγεται καὶ τὸ ἀτελὲς κατὰ θεωρίαν, οἷον, εἰ πᾶν σῶμα ἐν τόπῳ, ὁ δὲ τόπος σῶμα, καὶ ὁ τόπος ἄρα τοῦ σώματος ἐν τόπῳ, καὶ ὁ τόπος δὲ τοῦ τόπου· καὶ καθ' ἄπει-

ρον οὕτως ἔσται προβαίνουσα ἡ νόησις. Ἄπειρον ἔτι δοξάζεται εἶναι καὶ τὸ κατὰ τὴν ἐνεργητικὴν τῆς φύσεως δύναμιν μέτρῳ μὴ περιοριζόμενον, ἢ ἐν ταῖσδέ τισι μόναις ταῖς ἐνεργείαις γνωριζόμενον. Τοῦδε γάρ τινος ἀνθρώπου τυχὸν δυναμένου δύο στάδια δραμεῖν, ἢ καὶ δέκα μόνον, καὶ τοῦδέ τινος ἰσχύοντος ρʹ λίτρας ἆραι ἢ χιλίας μόνον· καὶ τοῦδέ τινος γεωργεῖν τε καὶ ναυπηγεῖν καὶ γράφειν καὶ ἕτερά τινα διαπράττεσθαι δυναμένου μόνον· μὴ μέντοι τινὸς τούτων ἢ ἀπείρως σταδιοδρομεῖν, ἢ ἀμέτρως ἀχθοφορεῖν, ἢ ἁπλῶς παντουργεῖν· ὡς τοῦ αὐτοῦ καὶ πολεμεῖν καὶ κιθαρῳδεῖν καὶ ἰατρεύειν καὶ πάντα ποιεῖν ὅσα γίνεται ἐν κόσμῳ ἰσχύοντος· εἴ τις καθ' ὑπόθεσιν ὤφθη τοιοῦτος ἀνὴρ, τοῦτον ἄπειρον τῇ ἐνεργητικῇ δυνάμει ἔφημεν ἄν.

Τούτων οὖν οὕτως διεγνωσμένων, πυθόμεθα τῶν ἀποφασκόντων τὴν τοῦ ἀπείρου πρὸς τὸ περατὸν ἕνωσιν· ἆρά γε τοῦτο τὸ θεῖον τοῦ Λόγου ἄπειρον ποῖον νοοῦντες, περατῷ ἑνοῦσθαι οὐ συγχωροῦσιν. Εἰ μὲν οὖν τὸ κατὰ θέσιν, ἢ πολυπλασιασμὸν, ἢ διαίρεσιν ἐροῦσιν, εἰκότως ληροπαραπαίειν δόξουσιν· εἰ δὲ τὸ κατὰ τοπικὴν παρέκτασιν τῆς ἰδίας συνεχείας φασὶν, ἀνάγκη τοσόνδε ἄπειρον ὂν τὸ θεῖον, ἢ πάντη ἔξω ποι εἶναι παντὸς τοῦδε τοῦ περατοῦ κόσμου, καὶ ἀσχέτως ἔχειν πρὸς τὰ τῇδε πάντα ἀποδιωρισμένων αὐτῶν καὶ ὁπωσοῦν αὐτῶν οὐχ ἡνωμένων· καὶ ἔσται ψευδῆ τό τε Ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα, καὶ ἐσμέν· καὶ τὸ, Ἐξ οὗ καὶ ἐν ᾧ τὰ πάντα· καὶ τὸ, Τοῦ πάντας ἐν πᾶσι πληρουμένου· καὶ τὸ, Ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι· καὶ τὰ τοιάδε πάντα εἰρημένα· ἢ εἰ τάδε ἀληθῶς εἴρηται, καίτοι ἀπείρου ὄντος τοῦ Θεοῦ, περατοῦ δὲ τοῦ κόσμου κατὰ τόπον, μάτην ὑφορῶνται τὴν τοῦ τοιοῦδε ἀπείρου πρὸς τὸ περατὸν ἕνωσιν, ἑνουμένου καὶ πληροῦντος τοῦ Θεοῦ τὰ πάντα· εἰ δὲ τὸ, Κατὰ τό ποτε ἀτελευτήτως ἔχον, τοῦτο ἐπὶ Θεοῦ, φασὶ νοεῖσθαι αὐτοῖς τὸ μὴ ἑνούμενον ἄπειρον, αὐτόθεν εἰσὶν εὐέλεγκτοι ἐκ τῆς ἰδίας ὑποστάσεως· καὶ γὰρ τούτων ἡ ψυχὴ ἄπειρον ἔχουσα τὴν κατὰ τό ποτε διάρκειαν, εἴπερ αὐτοῖς ὄντως ἀθάνατος δοκεῖ, ὅμως τῷ μὴ νῦν ῥᾳδίως περατῷ σώματι αὐτῶν ἥνωται καὶ καθ' ὑπόστασιν. Εἰ δὲ πάντοθεν συνωθούμενοι, ἐξ ἀνάγκης τὸ κατὰ δύναμιν ἄπειρον ἐπὶ τοῦ θείου φασὶ λέγειν, λεκτέον αὐτοῖς, ὡς ἐξ ἀνάγκης θάτερον ἀνατραπήσεται τῶν παρ' αὐτῶν· ἢ γὰρ ἄπειρον ὂν τῇ δυνάμει καὶ πρὸς πᾶσαν ἐνέργειαν ἰσχύον δύναιτο ἂν καὶ διὰ περατῆς φύσεως μηδὲν ὑπὸ μηδενὸς ἐμποδιζόμενον ἐνεργεῖν τὰ ἴδια πάντα· ὅ ἐστιν ἐνδιδοῦντος ἑαυτὸν τῷ ἑτέρῳ καὶ μίαν ὑπόστασιν ἐξ ἑνώσεως τῶν δύο διὰ τῆς ἀλληλοχωρίας δεικνύντος· ἢ μὴ δυνάμενον καὶ διὰ περατοῦ τὰ τῆς οἰκείας δυνάμεως πάντα προάγειν καὶ παριστᾷν ἑαυτοῦ, ὅλον ἓν εἶναι τῷ περατῷ, οὐκ ὄντως ἄπειρον εἶναι τῇ ἐνεργητικῇ δυνάμει φωραθὲν κατά τινα τρόπον, ἤγουν τῇ σμικρότητι τοῦ ἑτέρου, κωλυόμενον, ὑπὸ τοῦδε τὰς οἰκείας προάγειν πάσας ἐνεργείας· ὥσπερ Δαβὶδ, γυμνὸς μὲν καὶ ἀπερίθετος παντὸς ἀλλοτρίου τῆς ποιμενικῆς διασκευῆς, δυνατὸς καταγωνίζεσθαι καὶ νικᾷν τὸν Γολιὰθ ἦν. Περικείμενος δὲ θώρακα καὶ κράνος καὶ κνημῖδας καὶ ἀσπίδα καὶ ξίφος καὶ ἁπλῶς ἀχθοφο-

A tentiam, mensura non definitur, sed in nonnullis tantum actionibus innotescit. Si enim hic homo duo stadia currere forte potest, vel decem, non autem amplius, aut si ille centum libras tantum aut mille tollere, aut si quidam alius arare aut navigare aut scribere aut quædam alia facere tantum, non tamen illorum aliquis in infinitum currere, aut immensum pondus tollere aut simpliciter omnia facere, dici potest, ita ut bellare et cithara canere, et sanare et omnia quæ in mundo sunt facienda facere dicatur : si autem ex supposito talis inveniretur homo, illum potentia infinitum diceremus.

B Quibus sic distinctis, ab his qui infiniti cum finito rejiciunt unionem, hæc quæramus ; quomodo intelligitis divini Verbi infinitatem, qui non conceditis eam finito uniri posse ? Si secundum positionem, aut multiplicationem aut divisionem, delirare convincuntur ; si vero secundum localem extensionem ejus naturæ, necessario hoc divinum infinitum vel omnino erit extra hunc mundum finitum, nec comprehendet quæcunque hic sunt, cum inter se sint distincta et quodammodo non unita, unde falsum quod In ipso vivimus et movemur et sumus, et quod ex ipso et in ipso sunt omnia, et quod omnia in omnibus reple, et illud : ut sit Deus omnia in omnibus, et omnia similia dicta ; vel si illa omnia vere dicta sunt, licet infinitus sit Deus, C mundus autem iste quoad locum finitus, immerito ergo illius infiniti cum finito respuunt unionem, cum Deus omnia, adunante et replente omnia Deo ; si secundum durationem sine fine, dicunt se intelligere Deum non uniri ex propria persona : facillime confutantur, siquidem eorum anima, cum habeat infinite duraturam perpetuitatem, utpote quæ ipsis videtur immortalis, corpori tamen sane finito unitur et secundum personam. Si autem undique pulsi, ex necessitate dicunt Deum secundum potentiam esse infinitum, illis reponendum est alterutrum necessario esse rejiciendum ex his quæ dicunt : vel enim quod potentia infinitum est et omni par actioni, posset etiam, nullo impediente, D in finita natura sua omnia propria facere : quod ut ejus qui se alteri communicat et qui ex unione duorum per mutuam accessionem unam constituit personam ; vel quod non posset omnia suæ potentiæ propria per finitum elicere et ostendere unum omnino cum finito esset, non enim potentia vere est infinitum quod sub aliquo respectu, videlicet tenuitate alterius, prohibetur omnes suas actiones proferre ; sicut David nudus et liber ab omni armatura alia a pastorali habitu, potuit decertare cum Goliath et illum vincere; indutus autem lorica, galea, ocreis, clypeo et gladio et uno verbo onustus armis Saul, impar erat debellando et occidendo hosti ; vel igitur non erit infinitum Dei Verbum, vel, si infinitum, non poterit per finitam naturam

suas proprias omnino actiones producere. Itaque non potest inde demonstrari impossibilis secundum personam unio cum finita natura.

A ρῶν τοῖς ὅπλοις τοῦ Σαούλ, ἀδύνατος ἦν πρὸς τὴν ἀντιπαράταξιν καὶ ἀναίρεσιν τοῦ ἀλλοφύλου· ἔσται οὖν σαφῶς, ἢ οὐκ ἄπειρος τὴν δύναμιν ὁ Θεὸς Λόγος, ἢ εἰ ἄπειρος, οὐκ ἀδύνατος· καὶ διὰ περατῆς φύσεως πάντα τὰ ἴδια πάντοτε ἐνεργεῖν. Διόπερ οὐκ ἔστιν ἐκ τοῦδε τὴν καθ' ὑπόστασιν πρὸς τήνδε ἕνωσιν, ἀδύνατον παραστῆσαι.

CAP. XLIX.

Hæc compositio quam dicitis, inquiunt, vel novam naturam produxit, quare igitur non consentitis his qui naturas miscent? Vel novam personam, et cur nos repellitis? vel nec naturam nec personam, et tunc frustra facta est. Sed non necessario, amici, compositio aut naturam aut personam novam producit. Ferrum enim in carbonibus ignitis combustum, neque naturam neque personam novam præbet: persona enim ferri et persona carbonum remanent; sed in ferri persona natura ignis ex se impersonalis, unita est naturæ ferri, ejusdem personæ ac ipsum facta: quid igitur in Christo compositio? nihil aliud quam quod prius ab invicem separata, jam conjunguntur secundum unam personam unius conjunctorum: quod satis est ad ditandam nostram naturam omni natura divina.

ΚΕΦΑΛ. ΜΘ'.

Ἡ σύνθεσις, φησὶν, ἣν φατὲ, ἢ φύσιν καινοτέραν ἐποίησε, καὶ τί μὴ καταδέχεσθε τοὺς μιξοφυσίτας; ἢ ὑπόστασιν νεωτέραν, καὶ διὰ τί ἡμᾶς ἀποσείεσθε; ἢ οὐδὲ φύσιν οὐδὲ ὑπόστασιν, καὶ μάτην γεγένηται. Ἀλλ' οὐκ ἀναγκαίως, ὦ οὗτοι, πᾶσα σύνθεσις, ἢ φύσιν ἢ ὑπόστασιν νεωτέραν ἐκτελεῖ. Πυρωθεὶς γὰρ ὁ σίδηρος ἐν ἄνθραξιν, οὔτε φύσιν τινὰ ξένην ἐπιδείκνυται, οὔτε ὑπόστασιν νέαν· ἥ τε γὰρ τοῦ σιδήρου ὑπόστασις B καὶ ἡ τῶν πυρίνων ἀνθράκων ὁμοίως ἔχουσιν· ἀλλ' ἐν τῇ τοῦ σιδήρου ὑποστάσει, φύσις πυρὸς ἀνυπόστατος καθ' αὑτὴν οὖσα, συνετέθη τῇ φύσει τοῦ σιδήρου, συνυπόστατος αὐτῇ γενομένη. Τί οὖν ἐποίησεν ἡ σύνθεσις καὶ ἐπὶ Χριστοῦ; οὐδὲν ἕτερον ἀλλ' ἢ τὰ πρώην ἀσύνθετα ἀλλήλοις, σύνθετα εἶναι κατὰ μίαν τὴν θατέρου τῶν συγκειμένων ὑπόστασιν· ὅπερ ἀρκεῖ πρὸς τὸ πάσης καταπλουτεῖν τῆς θείας φύσεως τὴν ἡμετέραν φύσιν.

CAP. L.

Vel naturalis est illa quam dicitis Verbi et carnis unio, et in quo differtis ab his qui dicunt omnino similem esse in Christo et in homine unionem? vel personalis est, et cur nobis non consentitis qui dicimus eam similem esse unioni amantis cum amante? Vel neque naturalis neque personalis est, et tunc aperte ostendite quid vobis videatur esse? Sed, o sophistæ, juxta vestra dicta, neque naturalis est neque personalis; sed secundum piam sententiam, recte potest dici et naturalis simul et personalis. Æquivoca enim cum sint ista, alternative ex alterutra subducitis quod pie sentitur. Naturalis autem dicitur quæ in aliquo secundum proprietates naturæ est, sicut mors Lazari, quæ non erat, velut ejus resurrectio, supra ejus naturam. Naturalis quoque dicitur quæ est simpliciter unio naturarum aut naturæ et non accidentium, ut est oxymelis mistura. Non enim utrique naturale est neque necessarium in mistura conjungi, sicut non erat naturale Lazaro mori; hanc quoque unionem dicimus naturalem; mel etenim et acetum ita se habent, etiamsi nunquam misceantur in oxymele; Lazarus autem, nonne est animal mortale, etiamsi nunquam sit moriturus? Similiter autem personalis unio dicitur quæ est partium quæ ad personam referuntur, vel personarum; naturalem autem in Christo dicimus unionem, quia in eo uniuntur naturæ. Quod si ratione naturæ eam diceremus esse factam, quæ sunt ejusdem naturæ, Pater scilicet et Spiritus sanctus, carni unirentur; sed et omnes homines si ratione naturæ Christo uniretur humanitas, totidem Christi essent, Pilatus quoque et Herodes et Anna et Caiphas, et quidem necessario, sicut omnes ratione naturæ moriuntur;

ΚΕΦΑΛ. Ν'.

Ἡ φυσική ἐστιν ἡ ἕνωσις αὕτη ἣν φατὲ τοῦ Λόγου καὶ τῆς σαρκὸς, καὶ τίνι διαφέρεσθε πρὸς τοὺς λέγοντας ὁμοίαν πάντη εἶναι τοῦ ἀνθρώπου τὴν σύνθεσιν, καὶ τὴν Χριστοῦ; ἢ ὑποστατική ἐστι, καὶ πῶς C ἡμῖν οὐ συμφθέγγεσθε ὡς ἀγαπητοῦ πρὸς ἀγαπῶντα ἐξαιρέτως ταύτην δοξάζουσιν; ἢ οὐδὲ φυσική ἐστιν οὐδὲ ὑποστατική, καὶ τίς αὕτη εἶναι δοκεῖ ὑμῖν διασαφήσατε. Ἀλλ', ὦ σοφιστικοὶ, κατὰ τὰ ἐξ ὑμῶν εἰρημένα, οὐδὲ φυσικὴ οὐδὲ ὑποστατική· κατὰ δὲ τὰ εὐσεβῶς νοούμενα, καὶ φυσικὴ καὶ ὑποστατικὴ λέγοιτο ἂν ἡμῖν ὀρθῶς. Δύο γὰρ οὐσῶν τῶν ὁμωνυμιῶν τῶνδε, ἐναλλὰξ θάτερον ἐκ θατέρας ὑπεκλέψατε τὸ εὐσεβέστερον τῶν σημαινομένων. Λέγεται γὰρ φυσικὴ, ἡ ὡς κατὰ Λόγον φύσεως οὖσα τῷδέ τινι, οἷον ἡ κοίμησις τοῦ Λαζάρου· οὐ γὰρ ὥσπερ ἡ ἀναβίωσις αὐτοῦ ὑπὲρ Λόγον τῆς φύσεως αὐτοῦ, καὶ ἥδε ἦν. Λέγεται φυσικὴ, καὶ ἡ ὡς φύσεών τινων ἁπλῶς ἢ φύσεως οὖσα καὶ οὐ συμβεβηκότων· ὥσπερ ἡ κρᾶσις τοῦ ὀξυμέλιτος. Οὐ γὰρ τὸ κατὰ Λόγον D φυσικὸν τούτων ἑκάτερον καὶ τῷ ἐξ ἀνάγκης ὑποκεῖσθαι τῇ πρὸς ἄλληλα κράσει· ὥσπερ τὸν Λάζαρον τῇ κοιμήσει τοῦ θανάτου, φυσικὴν φαμεν καὶ τήνδε· τὸ γὰρ μέλι καὶ τὸ ὄξος, ὡσαύτως ἔχει ἀεὶ κἂν μὴ συντεθῶσί ποτε ὡς ὀξύμελι· Λάζαρος δὲ οὐκ ἔστι ζῶον θνητὸν, εἴπερ μὴ καὶ κοιμᾶσθαι μέλλοι ποτέ; ὡσαύτως δὲ καὶ ὑποστατικὴ ἡ μέν τις λέγεται μερῶν κατὰ λόγον ὑποστάσεως, ἡ δὲ ὡς ὑποστάσεων· φυσικὴν μὲν οὖν φαμεν ἡμεῖς τὴν ἕνωσιν ἐπὶ Χριστοῦ, ὡς φύσεων ἡνωμένων κατ' αὐτόν. Εἰ γὰρ λόγῳ φυσικῷ ταύτην εἴποιμεν, ἄρα γε τῆς αὐτῆς αὐτῷ φύσεως ὄντα ὅ τε Πατὴρ καὶ τὸ ἅγιον Πνεῦμα, καὶ αὐτὰ ποτε σαρκὶ ἑνωθήσεται· ἀλλὰ καὶ πάντες οἱ ἄνθρωποι, εἰ φύσεως Λόγῳ ἥνωται Θεῷ ἡ ἀνθρωπότης, Χριστοὶ ἔσονται, Πιλᾶτός τε καὶ Ἡρώδης καὶ Ἄννας καὶ

A Καΐάφας ἐξ ἀνάγκης· ὥσπερ καὶ πάντες ὁμοίως, ἐκ φυσικοῦ λόγου θνήσκουσιν· ἔτι μὴν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ προκόψας ἐν τοῖς φυσικοῖς ἑαυτοῦ ὁ Λόγος φανεῖται κατὰ τὴν σάρκωσιν, καὶ ἀτελεῖς ἔτι ὁ Πατὴρ καὶ τὸ ἅγιον Πνεῦμα συγκριθήσονται· ὧν τί ἀσεβέστερον; καὶ ὑποστατικὴν δέ, φαμεν τὴν ἕνωσιν ἐπὶ Χριστοῦ· ἀνάπαλιν μέντοι τῷ σημαινομένῳ ἡμῖν κατὰ τὴν φυσικήν· οὐ γὰρ ὡς ὑποστάσεων, ἀλλ' ὡς τοῦ Λόγου οὖσαν τῆς ὑποστάσεως αὐτοῦ. Ὥσπερ γὰρ ἰδίᾳ κρίνει τὸν Υἱὸν ἀπὸ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος τῶν ὁμοουσίων αὐτῷ ἡ γέννησις, καὶ τὸ αὐτολόγον εἶναι, καὶ τὰ τοιάδε οὕτω καὶ ἡ σάρκωσις αὐτοῦ ἀναγκαίως αὐτὸν τούτων διαστέλλει, καὶ οὐχ ἕτερον ἀπὸ τῶν ἀσάρκων ὁμοφυῶν αὐτῷ προσώπων· καὶ ἰδίωμα ἐπίκτητον μὲν, ἀχώριστον δὲ εἰσαεί· καὶ τόδε ἐν τῇ ὑποστάσει B τοῦ Λόγου καταφαίνεται. Ἀλλ' ἑτέραν τῆς ἀσεβείας ἀφορμὴν προσποιούμενοι, διὰ τὸ μὴ δύνασθαι ἰσότιμον εἶναι τῷ ὅλῳ θάτερον τῶν μερῶν, φασὶ παραιτεῖσθαι τὴν ἐπὶ Χριστοῦ σύνθεσιν τοῦ Λόγου πρὸς τὴν σάρκα· λέγουσι γὰρ ἐπὶ λέξεως ταυτί·

insuper, e potentia ad actum procedens Verbum in suis naturalibus videbitur per incarnationem, et imperfecti judicabuntur Pater et Spiritus sanctus. Quid autem his magis impium? Personalem quoque dicimus in Christo unionem, sed contrario sensu quo diximus naturalem: non enim personarum est unio, sed secundum Verbum ejus substantiam. Sicut enim Filium a Patre et Spiritu sancto sibi consubstantialibus proprie discernit, quod sit genitus et ex se Verbum et similia alia, sic eum necessario ejus incarnatio, non autem aliud, ab illis consubstantialibus et incorporeis personis discernit, et hæc acquisititia quidem est proprietas, sed semper inseparabilis et in Verbi quidem hypostasi manifestatur. Sed aliam quoque impietatis occasionem inde sumentes quod non possit pars altera toti esse æqualis, rejiciendam esse contendunt in Christo Verbi et carnis unionem; et hæc pro suo dicto afferunt:

ΚΕΦΑΛ. ΝΑ'.

Ἀνάγκη αὐτοὺς λέγειν τὸν Χριστὸν αὐτὸν, τοῦ Θεοῦ κατὰ μόνας, καὶ τοῦ ἀνθρώπου κατὰ μόνας, τουτέστι τῶν οἰκείων μερῶν ἀνὰ μέρος καὶ καθ' ἑαυτὰ ἐπινοουμένων, ἢ κρείττονα εἶναι κατά τι, ἢ ἥττονα. Τὰ γὰρ τῶν ἀποτελεσμάτων μέρη καθ' ἑαυτὰ, καὶ χωρὶς τῆς πρὸς ἄλληλα συνθέσεως ἐπινοούμενα, πάντως κατά τι ἢ κρείττονα ἢ ἥττονα εὑρίσκεται τοῦ ἐξ αὐτῶν ἀποτελέσματος· οἷον λίθοι καὶ ξύλα, μέρη οἴκου ἢ ναοῦ τοῦ ὑπὸ Σολομῶντος C κτισθέντος· καὶ πρόδηλον ὅτι ἑκάτερον καθ' ἑαυτὸ, ἧττον τοῦ ὅλου οἴκου· πάλιν ὑάκινθος, πορφύρα, κόκκινον κεκλωσμένον, βύσσος νενησμένη μέρη τοῦ καταπετάσματος τῆς σκηνῆς· καὶ τούτων ἕκαστον κατὰ μόνας ἔλαττον προδήλως τοῦ καταπετάσματος· οὕτως καὶ ἐπὶ τοῦ ἀνθρώπου. Κατὰ μὲν τοὺς Χριστιανοὺς κρείττων ὁ ἄνθρωπος αὐτὸ τοῦτο τὸ ὅλον ζῶον, καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος· ἐπεὶ μετὰ τὴν ἔξοδον τῆς ψυχῆς ἐκ τοῦ σώματος, καὶ ἡ ψυχὴ πρὸς ἐνέργειαν αὐτοκίνητον ἀδυνάτως ἔχει ὡς ἐν ὕπνῳ βαθυτάτῳ, καὶ μηδὲ ἑαυτὴν ἐπισταμένη διάγουσα· καὶ τῶν μετὰ τοῦ σώματος πράξεων κατὰ τὴν θείαν Γραφὴν ἐκδεχομένη τὴν ἀμοιβήν· ἅστινας οὐκ ἐκφεύξεται τῷ χωρισμῷ τοῦ σώματος, οὐδὲ ἐπὶ τὸ χεῖρον τρεπομένη, ἵνα μὴ τὰ τῆς Γραφῆς διαψευσθῇ.

Τούτοις δὲ ἕπεται, τῷ μηδὲ ἐπὶ τὸ κρεῖττον, λέγω, D μηδὲ ἐπὶ τὸ χεῖρον τρέπεσθαι, ἢ τὸ παντέλειον ἐκεῖνο καὶ τὸ παμμακάριον, τὸ προσδοκώμενον ἐν τῇ ἀναστάσει ἐνεῖναι τῇ φύσει ἤδη, ἢ τὸ πάντῃ ἡσυχάζειν τὸ λογικὸν, ἐπεὶ μηδὲν αὐτοπροαιρέτῳ βουλῇ κινούμενον μηδενὸς ἔχον ὅλως αἴσθησίν ἐστιν· ἀλλὰ τὸ πρότερον οὐδ' εἰσκεχόμισται· τοῦ Θεοῦ κρεῖττόν τι προβλεψαμένου περὶ ἡμῶν, ἵνα μὴ χωρὶς ἡμῶν οἱ πρότεροι τελειωθῶσι· τὸ δεύτερον ἄρα ἐστί· καθ' ἡμᾶς οὖν τοὺς Χριστιανοὺς οὐ κρείττων ὁ ἄνθρωπος τῶν οἰκείων μερῶν καθ' ἑαυτὰ θεωρουμένων δείκνυται· κατὰ δὲ τοὺς Ἕλληνας καὶ τοὺς Μανιχαίους τοῦ μὲν σώματος κρείττων ὁ ἄνθρωπος· τῆς δὲ ψυχῆς, ἥττων τούτῳ τῷ λόγῳ. Τὴν μὲν γὰρ ψυχὴν καὶ

CAP. LI.

Dicendum eis est Christum ipsum, vel Deo solo, vel homine solo, id est suis partibus separatim et in se consideratis, vel meliorem esse vel pejorem. Omnis enim compositi partes in se et independenter ad suam unionem, vel meliores vel pejores necessario sunt toto ex ipsis coalescente; exempli gratia, lapides et ligna, quæ partes sunt domus vel templi Salomonis, evidens est minora esse, singula et in se, tota domo. Sic hyacinthus, purpura, coccinum, byssus simul intexta partes sunt aulæi tabernaculi, eorum autem unumquodque manifeste minus est aulæo. Sic etiam de homine: secundum enim Christianos, melior est homo, animal illud totum, et anima et corpore; siquidem post animæ discessum ex corpore, anima non habet motum sibi proprium, ut fit in altiori somno, nec se ipsam cognoscit, et eorum quæ cum corpore egit, secundum divinas Scripturas rationem reddet, quin effugiat suo a corpore discessu aut in pejus mutata, ne Scripturæ mendaces efficiantur.

Ex eo quod nec in melius nec in pejus mutatur, inde sequitur vel ille status omnis perfectionis, immensæque beatitudinis quem in resurrectione exspectamus, vel rationis absoluta immobilitas, cum nihil spontanea voluntate minime motum nullius rei sensum habeat, sed prius nondum advenit, Deo melius nobis providente ne antecessores nostri sine nobis perfecti fiant; posterius ergo verum est; secundum nos etenim Christianos, homo non est melior singulis partibus quibus constat; secundum vero Græcos et Manichæos, corpore melior est homo, anima vero pejor, propter hancce rationem: animam scilicet credunt corpori præexsistere quin opus habeat corporalium sensuum, et

antequam in corpus cadat, ut dicunt, nihil ignorare, sicut nec post ejus ab eo discessum : unde ea pejorem arbitrantur hominem, siquidem eum dicunt seipsa pejorem fieri ex sua in corpore, ut loquuntur, captivitate. Sed manifestum est hominem corpore esse meliorem quod mortuum apparet post animæ discessum, cum corpus seipso melius appareat antequam ab anima separetur, ex eo quod post separationem ab anima est, liquet; ita ut compositum sit suis partibus in se sumptis vel melius vel pejus ; unde necessitatem habent dicendi Christum suum vel meliorem esse vel pejorem in aliquo partibus suis in se sumptis, si vere unum animal est Christus, juxta illos ex Deo Verbo et carne compositum. Sed si meliorem dicunt, impie dicunt, aliquid commentati Deo perfectius, quod necesse habent fateri Patre et Spiritu sancto majus esse. Si enim animal illud quod, secundum illos, ex Verbo Deo et carne constat, melius est in aliquo Verbo divino in se sumpto, melius quoque manifeste erit Patre et Spiritu sancto non incarnatis, siquidem Filius Patri et Spiritui sancto est æqualis ; ille autem qui in aliquo illo melior est, evidenter Patre et Spiritu sancto est melior. Si autem pejus dicunt illud animal Verbo Deo in se sumpto, in hoc etiam impii sunt : secundum enim fabulam Græcorum et Manichæorum de anima Verbum Deum seipso pejus fuisse factum asserunt : non enim animal illud ex Deo et carne constans, inveniretis Deo minus, nisi prius Deus Verbum seipso pejus factum fuisset.

A προϋπάρχειν οἴδασι τοῦ σώματος, ἀνενδεῆ τε τῶν τοῦ σώματος αἰσθήσεων, καὶ πρὸ τῆς εἰς τὸ σῶμα καταπτώσεως, ὥς φασι, μηδὲν ἀγνοοῦσαν· ἀλλὰ καὶ μετὰ τὴν ἐκ τούτου ἔξοδον ὡσαύτως· ὅθεν καὶ ἥττονα οἴδασιν αὐτῆς τὸν ἄνθρωπον· ἐπεὶ καὶ αὐτὴν ἑαυτῆς χείρονα λέγουσι γενέσθαι διὰ τῆς ἐν τῷ σώματι φυλακῆς, ὥς φασι. Τοῦ δὲ σώματος νεκροῦ θεωρουμένου μετὰ τὴν διάζευξιν τῆς ψυχῆς, πρόδηλον ὅτι κρείττων ὁ ἄνθρωπος· ἐπεὶ καὶ αὐτὸ τὸ σῶμα κρεῖττον ἑαυτοῦ θεωρεῖται πρὸ τοῦ χωρισμοῦ τοῦ ἐκ τῆς ψυχῆς· ὡς πρὸς τὸ μετὰ τὸ χωρισθῆναι τῆς ψυχῆς συνέστηκεν ἄρα, ὡς ὅτι τὸ ἀποτέλεσμα τῶν οἰκείων μερῶν καθ' ἑαυτὰ θεωρουμένων, ἢ κρεῖττόν ἐστι κατά τι, ἢ ἧττον· ὅθεν ἀνάγκη λέγειν καὶ τούτοις, τὸν Χριστὸν αὐτῶν, ἢ ἥττονα εἶναι, ἢ B κρείττονα κατά τι τῶν οἰκείων μερῶν καθ' ἑαυτὰ ἐπινοουμένων· εἰ ὅλως ἓν ζῶόν ἐστι κατ' αὐτοὺς ὁ Χριστὸς, ἐκ Θεοῦ καὶ ἀνθρώπου ἀποτελεσθέν· ἀλλ' εἰ μὲν κρείττονα, εἴποιεν, δεδώκασι τὸ ἀσεβὲς, τελειότερόν τι τοῦ Θεοῦ φανταζόμενοι εἶναι, ὅπερ καὶ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος ἀνάγκη λέγειν αὐτοὺς ὑπέρτατον. Εἰ γὰρ τὸ κατ' αὐτοὺς ἐκ Θεοῦ Λόγου καὶ σαρκὸς ζῶον, κρεῖττον κατά τι τοῦ Θεοῦ Λόγου καθ' ἑαυτὸν νοουμένου, τοῦτο αὐτὸ κρεῖττον δηλονότι καὶ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος μὴ συγκειμένων τῇ σαρκί· ἐπείπερ ἴσος ὁ Υἱὸς τῷ Πατρὶ καὶ τῷ Πνεύματι· καὶ ὁ τούτου κρείττων κατά τι, σαφὲς ὅτι καὶ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος τοῦ ἁγίου· εἰ δὲ ἧττον εἴποιεν τουτὶ τὸ ζῶον τοῦ Θεοῦ Λόγου C καθ' ἑαυτὸν θεωρουμένου, καὶ οὕτως ἀσεβοῦσι· τὸν Θεὸν γὰρ Λόγον ἥττονα ἑαυτοῦ δεικνύουσι γεγενῆσθαι κατὰ τὸν τῶν Ἑλλήνων καὶ Μανιχαίων περὶ τῆς ψυχῆς μῦθον. Οὐκ ἂν γὰρ τὸ ἐκ Θεοῦ καὶ σαρκὸς ζῶον ἧττον εὑρίσκετε τοῦ Θεοῦ κατὰ μόνας, εἰ μὴ πρότερον αὐτὸς ὁ Θεὸς Λόγος ἥττων ἑαυτοῦ γέγονεν.

Ad hæc dicemus reipsa composita ex partibus vel meliora esse vel pejora unaquaque partium suarum; sed evidens est hoc non simpliciter esse, sed tantum in his quorum partes diversæ sunt naturæ et totum componunt vel per mutationem, vel per misturam, vel per temperamentum; si non hujusmodi est compositio, id est, non commiscens, aut commutans, diversa componentia, aut si naturæ non possunt misceri vel in invicem mutari, quomodo inde totum censebitur pejus aut melius alterutra suarum partium? Manifestius autem exemplo fiet quod dicimus. Si quis ex vase argenteo unius libræ et ex vase plombeo similiter unius libræ simul conflatis vas novum faceret, manifestum est aliquale exiturum scamnum argento pejus, plombo vero melius: in illis enim est quædam affinitas et similitudo quibus inter se transmittantur; si quis autem vas aureum unius libræ cum vase fictili unius libræ combureret vel alterum altero circumdans in ignem mitteret, quoniam natura non potest fictile cum auro misceri, non erit istud ex auro et fictili compositum melius auro secundum substantialem qualitatem; ecce enim aurum sine mutatione purum et incorruptum etiam in fictili circumposito et unito, dicemus, neque auro nudo

Εἴποιμεν οὖν πρὸς τάδε, ὅτι ὄντως τὰ ἐκ μερῶν ἀποτελέσματα, ἢ κρείττονα ἢ χείρονα τῶν ἀποτελεσάντων ἑκάστου ἰδίᾳ θεωρεῖται· ἀλλὰ πρόδηλον, ὡς τόδε οὐχ ἁπλῶς, ἀλλ' ἐφ' ὧν διαφόρων ὄντων κατὰ φύσιν τῶν μερῶν, καὶ ἡ σύνθεσις, κατὰ τροπὴν καὶ φυρμὸν καὶ κρᾶσίν τινα, ποιεῖ τὸ ἐξ αὐτῶν ἀποτέλεσμα. Εἰ μέντοι ἡ σύνθεσις οὐ τοιάδε, ἤγουν οὐ συγχυτικὴ καὶ ἀλλοιωτικὴ τῶν συνελθόντων διαφόρων, οὔτε δὲ αἱ φύσεις εἰς ἀλλήλας συγχεῖσθαι D δύνανται ἢ τρέπεσθαι· πῶς ἐντεῦθεν χεῖρον ἢ κρεῖττον τὸ ὅλον θατέρου τῶν μερῶν κριθήσεται; ἔσται δὲ σαφὲς μᾶλλον ἐκ παραδείγματος τὸ λεγόμενον. Εἰ γὰρ τυχὸν λιτραῖον σκεῦος ἀργύρου, καὶ λιτραῖον σκεῦος μολίβδου τις καταχωνεύσας ποιήσει σκεῦος ἐξ ἀμφοῖν· δῆλον ὡς ἀργύρου μὲν ἧττον, κρεῖττον δὲ μολίβδου οἷα κασσίτερος φανεῖται· πέφυκε γὰρ τάδε διά τινα φυσικὴν εὐπάθειαν καὶ συγγένειαν, ἀλλήλοις προσμεταβάλλεσθαι. Εἰ δὲ λιτραῖον σκεῦος χρυσίου, λιτραίῳ σκεύει πηλίνῳ τυχὸν συνάψει τις, ἢ περιπλάσας θατέρῳ θάτερον ἐφ' ὁσονοῦν συμπυρώσει, ἐπεὶ μὴ πέφυκε χρυσίῳ πηλὸς κατὰ κρᾶσιν φύρεσθαι, οὐκ ἔσται τόδε τὸ ἐκ πηλοῦ καὶ χρυσίου ἀποτέλεσμά ποτε κρεῖττον χρυσίου κατὰ τὸ οὐσιῶδες ποιόν· ἰδοὺ γὰρ ἀμεταβλήτως καὶ ἐν τῇ περιθέσει καὶ ἐν τῇ ἑνώσει τοῦ πηλοῦ, τὸ χρυσίον ἀγνὸν

ἐροῦμεν ἂν καὶ ἀκίβδηλον, οὐδὲν διοίσει χρυσίου A γυμνοῦ κατὰ τὴν φύσιν. Ἡ γὰρ περίθεσις τοῦ πηλοῦ οὐκ ἀναπείθει σώφρονα νοῦν, βεβλάφθαι εἰς φύσιν τὸν χρυσὸν, ἅπαξ διεγνωσμένον τὴν φύσιν εἶναι πρὸς τὰ χείρονα ἀμετάτρεπτον· ἀλλ' οὐδὲ πάλιν κρείττονα εἶναι γυμνοῦ χρυσίου διὰ τὴν περίθεσιν τοῦ πηλοῦ τις αὐτὸν λογίσεται· τὸ γὰρ ἅπαξ κρεῖττον ἐπὶ τῇ προσλήψει τοῦ χείρονος ἑαυτοῦ πώποτε φανήσεται· καὶ γὰρ τόδε καὶ λέγειν μάταιον. Ἀλλ' οὕτω μὲν τάδε.

Τῆς δὲ ἀποφάσεως ὑμῶν ὅμως ἢ κρεῖττον ἢ ἧττον ὁρᾶσθαι πρὸς τὰ ἴδια μέρη τὸ ἀποτέλεσμα λεγούσης, τὰ παραδείγματα ὑμῖν ἄλλο τι βούλονται παρὰ τὸ εἰρημένον· πάντως γὰρ κρεῖττον εἶναι πᾶν σύνθετον τῶν εἰς αὐτὸ συνελθόντων μερῶν φησι· λίθων τε γὰρ καὶ ξύλων κρείττονα τὸν οἶκον, καὶ B πορφύρας καὶ κοκκίνου καὶ βύσσου τὸ καταπέτασμα καὶ ψυχῆς καὶ σώματος τὸν ἄνθρωπόν φησι. Συγχωρητέον οὖν ὑμῖν καὶ τόδε· εἶτα ῥητέον ὡς ἔστιν ὄντως καὶ τοῦτο ἀληθὲς ἐπί τινων· ἀλλ' οὐκ ἴστε ὅπως ἐστὶν, εἰ καὶ ὅτι ἔστι, οὐκ οἶδα πῶς ἔγνωτε. Τότε γὰρ κρεῖττόν ἐστι τὸ ὅλον τῶν οἰκείων μερῶν ἑκάστου, ὅτε ἐπὶ τῇ συνθέσει καὶ ἕτερόν τι αὐτοῖς σχῆμα, ἢ ποιὸν, ἢ εἶδός τι ἐπιγίνεται· ἐν οὐδενὶ αὐτῶν ἦν ἢ ἔστιν, ἀλλὰ καὶ κατὰ πρόσθεσιν παρὰ τὰ τῶν μερῶν εἴδη πάντα ὁρᾶται· τῷδε οὖν πλεονεκτεῖ ὁ οἶκος ὑπὲρ τὴν τῶν λίθων καὶ ξύλων φύσιν τὸ σχῆμα ἔχων, καὶ τοιάνδε θέσιν, ἣν οὐδὲ ξύλον οὐδὲ λίθος ἰδίᾳ· οὐ μέντοι κρείττονα ἑτέραν φύσιν οὐδὲ οὗτος ἔχει· ὁμοίως δὲ καὶ τὸ καταπέτασμα, C πλοκῇ καὶ συνθέσει τῶνδε τῶν χρωμάτων πρὸς ἄλληλα ὑπερέχει τῶν καθ' αὑτὰ ἀσυνθέτων ἑκάστου. Οὐ γὰρ χρώματος ἁπλοῦ λόγῳ κρεῖττόν ἐστι τῶν ἰδίων πάντων χρωμάτων· καὶ ὁ ἄνθρωπος δὲ ἵνα καὶ δοθῇ ὑμῖν κρείττων ψυχῆς τοῖς διὰ τὴν τῶν οἰκείων δογμάτων σύστασιν πάντα ὡς ἔτυχε προομολογοῦσιν, ἐπὶ τῇ συνθέσει καινοτέρας τινὰς παρὰ ψυχήν τε καὶ σῶμα ἰδιότητας φυσικὰς προΐσχεται. Εἰ οὖν καὶ τοῦ λόγου καὶ τῆς σαρκὸς συντεθείσης ἔστιν ἀληθῶς τι ἰδεῖν καινότερον ἰδίωμα φύσεως καὶ ἐν Χριστῷ παρὰ τὰ θεῖα καὶ ἀνθρώπινα, δεόντως ἂν καθ' ὑμᾶς κρεῖττον τῶν μερῶν καὶ τὸ κατ' αὐτὸν ἀποτέλεσμα ἐροῦμεν; Εἰ δὲ οὐδὲν πλὴν τῶν αὐτῶν ὁρᾶται μερῶν, πῶς ἐπὶ τοῖς αὐτοῖς οὐ τὸ ἰσότιμον δοξάσομεν, ἀλλὰ τὸ κρεῖττον τοῦ ὅλου πρὸς τὰ μέρη τὰ αὐτοῦ· D

secundum naturam differet. Non enim fictilis circumpositio sapientem mentem persuadebit aurum in sua natura fuisse læsum, cum jampridem sit notum illud natura non posse in pejora transmutari; sed neque aliunde quisquam illud ex circumdante luto factum esse nudo auro melius existimabit. Quod enim semel est melius, ex assumptione pejoris, nunquam seipso melius videbitur. Sed hoc dicere vanum est; quare dicta sufficiant.

Quantum ad vestram sententiam qua dicitis totum vel melius vel pejus esse suis partibus, vestra exempla aliud demonstrant nisi id quod dicitis: dicunt enim absolute omne compositum esse melius suis partibus; meliorem esse domum lapidibus et lignis, aulæum melius esse purpura, coccino et bysso, et hominem meliorem anima et corpore. Hoc vobis est concedendum, deinde dicendum hoc esse reapse verum in aliquibus; sed nescitis quomodo, nec scio quomodo sciatis verum esse. Tunc enim melius est totum singulis suis partibus, cum ex compositione illis novum quid accedit, sive figura, sive qualitas, sive genus: in nulla earum erat, neque est, sed per compositionem extra partium genera apparent; eoque præstat domus lapidum et lignorum natura, quod figuram et dispositionem habet quas nec lignum, nec lapis privatim habet, non tamen aliam meliorem naturam illa habet; similiter aulæum, per texturam et conjunctionem colorum, præstat quoque eorum in se sumptorum et extra conjunctionem; non enim ratione simpliciter coloris singulis coloribus præstat. Homo quoque, ut vobis concedatur cum anima meliorem esse, quoniam ad stabilienda vestra dogmata, omnia profitemini ut accidit, ex compositione novas quasdam naturales proprietates extra corpus et animam acquirit: in Christo igitur, si vere est totum ex Verbo et carne conjuncta constans quamnam novam proprietatem naturalem, præter divinas et humanas dicemus, cum secundum vos totum in se est melius suis partibus? Quod si nihil invenitur præter partes ipsas, quomodo non glorificamus quod æqualiter in illis est honorandum, sed melius totius relativi ad suas partes?

ΚΕΦΑΛ. ΝΒʹ.

Ἀλλ' ἵνα συνήθως καὶ ἕτερ' ἄττα ἴσως δυνάμενα ἐπινοηθῆναι τοῖς ἀντιλέγουσι, πάντα προλαβόντες ἡμεῖς γυμνάσωμεν (ἀληθείας γὰρ ἡμῖν ἐκ παντὸς καὶ οὐ νίκης πάντως ἡ ἔφεσις), καὶ τάδε πρὸς τοῖσδε εἰπεῖν μὴ παραλείψωμεν· τὸ ἐξ ἀνομοιομερῶν ὅλον συνιστάμενον, ἕτερόν πως τῶν ἰδίων μερῶν ἐστι τῷ τε συνθετωτέρῳ καὶ ποικιλωτέρῳ καὶ τελειοτέρῳ, καὶ παραλλάττοντι πρὸς ἑκάτερα μέρη τοῦ ἁπλῶς διαφοράν τινα πρὸς τὰ οἰκεῖα μέρη κτησάμενον· καθάπερ ἐν φαρμάκῳ καὶ οἴκῳ καὶ μύδρῳ καὶ ἀνθρώπῳ ὁρῶμεν. Τῷ τε γὰρ ἐκ χαλκίτιδος καὶ ἐλαίου συνθέματι, τρέφουσα τὰ κοῖλα τῶν ἑλκῶν προσμαρτυρεῖται δύναμις, ἥνπερ οὐδέτερον τῶν κατ' αὐτὸ

CAP. LII.

Sed more solito quædam refellamus alia quæ adversariis in mentem venire possent, quia nos urget veritatis, non autem tantum victoriæ amor. Nec omittamus hæc post illa dicere: Totum partibus diversis concretum aliud forte est ac ejus partes et eo quod concretius est et quod magis varium et quod perfectius, aliqua a propriis partibus diversitate recepta qua unaquaque simplici partium præstat, sicut in medicamento, in domo, in ignito ferro, in homine videmus; namque in compositione cadmiæ et olei, manifestatur in nutriendis vulnerum interioribus partibus, virtus quam neutra partium in se natura habebat; domus

pariter figura et species lapidum et lignorum speciem superat; hic quoque occurrit hominis definitio aliquid amplius offerens animæ et corporis definitione, mortalitatem scilicet quæ ad neutram partem in se sumptam pertinet, ut etiam risibilitatem, flebilitatem et similia hinc propria; manifestum est autem hominis totius definitionem et rationem necessario excedere consubstantialia partium ejus, id est animas et corpora in se sumpta; necessario quoque numerus: nam illud omne numerabile quod est totum. Si ergo partes et totum in Christo dicitis, inquiunt, quemadmodum ex vobis quidam dicere sunt deprehensi, primo quidem totum illud diversum erit a divinitate et humanitate, partibus ejus, ut ostendimus; deinde, non posset, secundum totius rationem connumerari, tanquam consubstantialibus, partium suarum consubstantialibus; neque Patri neque Matri natura similis erit Dominus, secundum totum ejus; sed neque in numero Trinitatis divinæ ratione totius ut numerabilis totius, comprehendi posset, quin quaternitatem efficiat; quod si Trinitati connumeretur, eam sibi jam non consubstantialem faciet; sed etsi hominum multitudini numeraretur, eam non habebit sibi consubstantialem ob eamdem rationem.

Sed sciant, si hæc nobiscum dicunt, primo quidem Patres nostros, his nominibus, id est, partibus et toto, de Christo Domino nostro esse usos, ad stabiliendam tantum compositionem et ad rejiciendam omnem speciem cujuscunque unionis aliter intellectæ; præterea veram in Christo, propter rationem utriusque eorum quæ in eo esse dicuntur naturam esse et gratiam et in naturalem unionem concurrere, sicut partes naturaliter totum constituunt; insuper, ne cui detur locus suspicandi alterum eorum quæ sunt in Christo altero minus esse, quia totum non potest remanere, partibus ab invicem separatis. Sicut autem compositionem et totum et permistionem et similia, in quantum in Christo innocui quodque nomen ad Christum pertinet, solummodo dicunt, si quid sequatur quod aliter sentire videatur, non patiuntur de illo secum argumentari; concretionem enim cum dicunt, innuere tantum volunt conjunctorum quodque cuique inesse, non autem admittunt consequentem illam confusionem, aut proprietatum oppositionem aut alterationem aut permutationem unius ab altero; neque in Christo solum, sed neque in animæ et corporis unione hæc admittunt. Scientes enim nullam partem seipsam adunare non magis existimant Verbum carni ab alio unitum esse, cum partium conjunctionem et uno verbo quod divinæ dispensationi non convenit nominant, hoc tantum rejiciunt quod in dictis innocuum est, toti ad elucidationem mysterii divini nimis cognitu difficilis impensi, ad describendum incomprehensibilis Verbi imaginem; ne mens nostra imbecillis

A μερῶν εἶχε κατὰ φύσιν· ὁμοίως τε τὸ τοῦ οἴκου σχῆμα καὶ εἶδος τοῦ τε τῶν ἐν αὐτῷ λίθων καὶ ξύλων παρήλλακται· ἐπεισῆκται γὰρ τούτοις καὶ τόδε τοῦδε ἀνθρώπου ὁ ὅρος, τοῦ τε σώματος καὶ τοῦ τῆς ψυχῆς ὅρου πλεῖόν τι δείκνυσιν, οἷον τὸ θνητὸν, ὅπερ οὐδενὶ τῶν κατ' αὐτὸ μερῶν ἰδίᾳ προσάπτεται· ὥσπερ οὐδὲ τὸ γελαστικὸν, ἢ κλαυστικὸν, καὶ τὰ τοιάδε αὐτοῦ ἴδια. Δῆλον δὲ ὅτι καὶ πρὸς τὰ τῶν μερῶν αὐτοῦ ἰδιαζόντως ὁμοούσια, ἤγουν τὰς ἄλλας ψυχὰς ἰδίᾳ καὶ σώματα, ἀναγκαίως παραλλάσσοι ἂν ὁ τοῦ ὅλου αὐτοῦ ἀνθρώπου ὅρος καὶ λόγος· ἐξ ἀνάγκης δὲ καὶ ὁ ἀριθμός· ἀριθμητὸν γὰρ πάντως τί ἐστιν, εἴ γε ὁπωσοῦν ἐστί τι τὸ ὅλον λεγόμενον. Εἰ οὖν μέρη τε λέγετε καὶ ὅλον ἐπὶ Χριστοῦ, καθὼς τινες ὑμῶν ἀπεφάνθησαν, φαῖεν ἄν· ἔσται B πρῶτον μὲν θεότητός τε οὔσης καὶ ἀνθρωπότητος τῶν μερῶν τὸ ὅλον ἕτερόν τι παρὰ ταύτας δεικνύμενον ἡμῖν· εἶτα δὲ, οὔτε δύναιτο ἂν, κατὰ τὸν τοῦ ὅλου ὅρον ὡς ὁμοουσίοις συντάττεσθαι τοῖς τῶν μερῶν ὁμοουσίοις, οὔτε τῷ Πατρὶ οὔτε τῇ Μητρὶ ὁ Κύριος ὅμοιος ἔσται φύσει, κατὰ τὸ ὅλον ἑαυτοῦ· ἀλλ' οὐδὲ τῷ τῆς θείας Τριάδος ἀριθμῷ κατὰ τὸν τοῦ ὅλου ὡς ὅλου ἀριθμητοῦ λόγον συλλογίζοιτο ἂν, εἰ μὴ τετράδα ποιεῖ· οὔτε δὲ ὁμοούσιον ἔτι ταύτην ἑαυτῇ πάντη συναριθμούμενος δείξει· ἀλλ' οὐδὲ τῷ τῆς ἀνθρωπείας πληθύος καταλόγῳ εἰ συναριθμοῖτο, ὁμοούσιον ἕξει πᾶν τόδε διὰ τὰ αὐτά.

'Αλλ' ἴστωσαν, καὶ εἰ ταῦτα ἡμῖν συνάγοιεν, πρῶτον μὲν τοὺς καθ' ἡμᾶς πατέρας τούτοις χρήσασθαι τοῖς ὀνόμασιν, ἤγουν μερῶν καὶ ὅλου, ἐπὶ τοῦ Δε- C σπότου ἡμῶν Χριστοῦ, διὰ συνθέσεως παράστασιν μόνην, καὶ ἀποβολὴν πάσης ἐμφάσεως, τῶν καθ' ἑτέρους τρόπους λεγομένων ἑνώσεων· ἔτι μέντοι, καὶ διὰ τὸ ἑκατέρου τῶν ἐν Χριστῷ λεγομένων εἶναι, ἀληθῆ τε φύσιν εἶναι καὶ εὐδόκησιν, καὶ πρὸς φυσικὴν ἕνωσιν συνδεδραμηκέναι, ὡς ἄμφω τὰς οὐσίας συμπληροῦν τε καὶ ὑφιστάνειν Χριστῷ οὕτως, ὥσπερ καὶ τὰ μέρη φυσικῶς τὸ ὅλον ἀπαρτίζουσιν. Ἔτι δὲ καὶ τῷ μὴ διδόναι χώραν ὑποψίας τινὶ, ἕτερον ἑτέρου ψιλὸν τῶν ἐν Χριστῷ ποτε εἶναι διαλογίζεσθαι, ὥσπερ οὐδὲ ἄνευ ἀλλήλων τὰ μέρη, σωζομένου τοῦ ὅλου, ποτὲ ἰδεῖν ἔστιν· ἀλλ' ὥσπερ σύνθεσίν τε, καὶ ὅλον, καὶ ἀνάκρασιν, καὶ τὰ τοιαῦτα λέγοντες, εἰς ὅσον ἔχοι μόνον ἕκαστος λόγος ἀδιάβλητον ἐπὶ Χρι- D στοῦ, ταῦτά φασι· παρεπόμενόν τι τούτοις εἰ ἀπεμφαίνοι, μὴ καταδεχόμενοι σὺν αὐτοῖς περὶ αὐτοῦ λογίζεσθαι· κρᾶσίν τε γὰρ λέγοντες, μόνον τὸ πᾶν κατὰ παντὸς εἶναι τῶν ἑνωθέντων σημαίνειν βούλονται, τὴν ἑπομένην ταύτην σύγχυσιν καὶ τῶν ποιοτήτων τὴν ἀντίστασιν, καὶ τὴν ὑπ' ἀλλήλων τῶν μιγνυμένων ἔκλυσίν τε καὶ ἀλλοίωσιν οὐ παραδεχόμενοι· καὶ οὐ μόνον ἐπὶ Χριστοῦ, ἀλλ' οὐδ' ἐπὶ τῆς κατὰ σῶμα καὶ ψυχὴν ἑνώσεως τάδε προσιέμενοι. Οὕτως γὰρ καὶ ὅτι οὐδὲν ἑαυτὸ μέρος συντίθησιν εἰδότες, οὐκ ἤδη καὶ ὑφ' ἑτέρου συντεθῆναι τὸν Λόγον τῇ σαρκὶ φρονοῦσιν· ἐπεὶ σύνθεσιν μερῶν ὀνομάζουσι καὶ ἁπλῶς πᾶν τὸ μὴ προσῆκον ἐπὶ τῆς θείας οἰκονομίας, ἀποσκευάζονται μόνον τὸ ἀδιάβλητον τῶν λεγομένων, πρὸς σαφήνειαν τοῦ δυσδιαγνώστου λίαν

θείου μυστηρίου ἐφελκόμενοι, διὰ τὴν χρείαν τῆς τοῦ ἀκαταλήπτου Λόγου ὑποτυπώσεως· ἵνα μὴ ἀστήρικτος ἡμῖν ὁ νοῦς ὤν, αὐτονομῇ φανταζόμενος τὰ περὶ τοῦδε· καὶ πολλάκις πρὸς τὰ πάντη ἀπεμφαίνοντα περὶ τῆς οἰκονομίας παρατρέπηται, καὶ ἀσεβείας ἑαυτῷ ἀναπλάττηται. Κἂν τοῖς γὰρ κοινοτέροις πολλάκις ἔκ τινος μεταφράσεως ἢ ἀναλογίας ἢ μερικῆς ὁμοιώσεως ὀνομάζομέν τινα· καὶ οὐ διὰ τόδε, καὶ πάντα τὰ ἑπόμενα τούτοις, συνεκδεχόμεθα· οὐ γάρ, ἐπεὶ τὸν ἀπὸ σκυθρωποῦ εὐδιώτερον ἀέρα γινόμενον γελάσαι φαμέν, ἤδη καὶ ζῶον γελαστικὸν τὸ στοιχεῖον εἶναι ἐγνώκαμεν· πλὴν εἰ καὶ πάντα συμβαίνειν ἀνάγκη τὰ ἑπόμενα ὅποι λέγοιτό τι τῶν αὐτῶν ὀνομάτων, ἀλλ' ἐπὶ Χριστοῦ ταῦτα ἀναγκαίως οὐχ ἕψεται· ἐκ Θεοῦ γὰρ Λόγου ἀνθρωπείας φύσεως ὁμολογουμένης αὐτοῦ τῆς συνθέσεως, εἴγε ἐκ τοιῶνδε ἀληθῶς εἶναι τῶν μερῶν δοθείη, τὸ κατ' αὐτὸν ὅλον, καὶ σύνθετον εἶναι κωλύσει πάντως τὰ τοιαῦτα παρακολουθήματα. Ἀπαράδεκτον γὰρ τὸ Θεῖον παντὸς ἀτόπου· καὶ ἐν τοῖς αὐτοῖς τισιν εἶναι τῶν καθ' ἡμᾶς λεγομένων, ἀσυγκρίτως ἔχειν ἐν τούτοις πρὸς ἡμᾶς ὡμολόγηται. Εἰ γὰρ καὶ γέννησις λέγεται ἐπ' αὐτοῦ, ἀλλ' οὐχὶ καὶ τὰ ἑπόμενα ταῖς καθ' ἡμᾶς γεννήσεσι· καὶ ἐν τῷδε οὐδὲ τὸ ὁμοούσιον τῶν ὑποστάσεων τοῦδε, οὔτε τὸ τελειοπρόσωπον τῶν ἰδικῶν δυνάμεων, ὅμοιον ἡμῖν, οὐδὲ τὰ λοιπὰ ἐξαίρετα.

A de his sibi libere mendacia efformet: itaque non omnia ex his consequentia recipimus; non enim, cum aerem ex tristi hilariorem factum ridere dicimus, non ex eo risibile; esse animal hoc elementum arbitramur; sed etsi necesse esset omnia realiter esse quæcunque ex nominibus sequuntur, in Christo tamen necessario non sequeretur. Compositione enim ejus ex Verbo et natura humana semel admissa, si tamen concedatur eam his partibus vere constare, totum in se esse et compositum illas omnes consequentias impediet. Non enim absurdum potest recipere divinitas et in quibus dum eorum quæ contra nos sunt dicta, esse incompossibilia a nobis concessum est. Si enim de ejus generatione loquimur, non occurrunt B omnes consequentiæ generationum nostrarum; neque in eo consubstantialitas personarum neque propriarum potentiarum perfecta personalitas, neque cætera propria, nobis sunt similia.

Πλὴν ἀλλὰ καὶ τούτων ὁμολογουμένων ὡς οὐκ ἔστιν ἐξ ὅλου καὶ μερῶν ἐπὶ Χριστοῦ εἰρημένων, ἀκολούθως τι ὅμοιον ἡμῖν ἐπάγεσθαι, διανοητέον καὶ τάδε. Πρῶτον μὲν γὰρ τὸ λεχθὲν συμβαίνειν ἐπὶ τοῦ ἐκ μερῶν ὅλου γινομένου, δῆλον· ὡς εἰ καὶ κατὰ τὸ εἶδος οὖσιν ἀνομοίοις τοῖς μέρεσι συμβαίνει τῷ ὅλῳ τῷδε, ἀλλὰ πάντως κατά τι προσεχὲς ἢ πορρωτέρω γένος ὁμογενὲς τυγχάνουσι. Διὸ δὴ καὶ πρὸς σύνθεσιν εἴδους κοινοῦ, οὐκ ἀλλοτρίως ἔσχεν ἂν πρὸς ἄλληλα πάντη· ἅτε κοινωνίαν τινὰ φυσικὴν ἔχειν κατά τι γένος· ἡ δὲ ἐπὶ τοῦ Δεσπότου ἡμῶν ἕνωσις, ἐκ τῶν πάντη ἀνομογενῶν ἐστι. Τί γὰρ κυρίως οὐσιῶν γένος; εἰ δὲ καὶ γένος οὐσίας ἐστί, τί γένος οὐσίας τῆς θείας αὐτῆς, μετὰ καὶ τῆς ἀνθρωπείας εἶναι δοθήσεται; ἵνα διά τινα φυσικὴν συγγένειαν, καὶ ὅλου τινὸς φύσιν, συγκιρνάμενα ποιήσοι τάδε· πῶς οὖν τῷ συμβαίνοντι τῇ τῶν ὁμογενῶν μερῶν συνθέσει τὴν τῶν ἀνομογενῶν ὑπαγάγοιεν σύνθεσιν; καὶ ὡς ἀναγκαῖον ἡμῖν συναγάγοιεν, τὸ δεῖν πάντως ἕπεσθαι τοῖσδε τοῖς ἀνομογενέσι Χριστοῦ μέρεσιν, ἐκεῖνο ὃ τοῖς ὁμογενέσιν ἑπόμενον καθορᾶται, ἤγουν ὁλότητά τινα ἑτέραν; Ἀλλ' εἰ μὲν ἄλλοθεν τὸ μὴ γενέσθαι φυσικὴν σύνθεσιν καθ' ὑπόστασιν ἐπιδεῖξαι τοῦτο ἤδη ἀναγκαίως κατασκευάσετε, εἴποιμεν αὐτοῖς· Εἰ δέ γε ὑποθετικῶς τὴν σύνθεσιν ἡμῖν ὅλως Θεοῦ πρός τι συγχωρεῖτε, οὐκ ἐξ ἀνάγκης λοιπὸν τὰ ἑπόμενα συνθέσει ἐπαγάγοιτε· ἢ διὰ τὸ μὴ τοιάνδε εἶναι αὐτὴν οἵαν ἴστε γινομένην ἐπὶ τοῖς μὴ τοῖσδε οὖσιν, ἤγουν θείοις καὶ ἀνθρωπίνοις μέρεσιν· ἤδη καὶ ταύτην ἀνατρέψετε. Ὧν γὰρ αἱ φύσεις οὐχ αἱ αὐταὶ κατὰ πάντα, οὐδὲ ἡ φυσικὴ σχέσις ὁμοία κατὰ πάντα, οὐδὲ ἡ σύνθεσις ἡ αὐτὴ δηλαδὴ γενήσεται.

Attamen, cum fuerint confessi de Christo non fuisse dictum quod ex toto et partibus fuerit, inquirendum quid nobis consequenter simile inducatur. Primum quidem quod dictum in toto ex partibus constanti accidere, manifestum, quod si partes sunt specie dissimiles toti, genus tamen C constituunt vel proximum vel remotius. Itaque ad constituendum genus commune, non sibi invicem essent omnino alienæ, habentes quamdam naturalem communitatem in aliquo genere; unio autem in Domino nostro dissimilium omnino est: quid enim proprie substantiarum genus? Et si substantiæ genus est, et quod erit genus divinæ illius substantiæ cum substantia humana, quod per quamdam naturalem cognationem ea commisceat? Quomodo ergo per accidens similium partium conjunctioni, dissimilium conjunctionem submitteret? Concluderentne, ut necessarium, consequi ex dissimilibus Christi partibus illud quod videmus consequi partes similes, id est, alterum totum? Sed si aliunde jam ex necessitate paratis ostendere non D fieri conjunctionem naturalem secundum personam, eisdem verbis respondebimus: Si autem nobis conceditis hypothetici Dei cum aliquo unionem, nec amplius, tanquam necessarias, inducatis conjunctionis consequentias; vel quia non est eadem ac illam quam scitis ex diversis fieri, id est, divinis et humanis partibus, jam illam evertetis. Quorum enim naturæ non sunt in omnibus eædem, eorum neque conjunctio eadem manifeste erit.

Ἔτι ῥητέον ὅτι εἰ καὶ πᾶσα σύνθεσις, ἕτερον, καθὼς δὲ εἰρήκατε, παρὰ τῶν μερῶν εἴδη ἐπεισάγει τῷ ὅλῳ εἶδος, προωμολόγηται ὅμως ἡμῖν τοῦ νῦν ἀνακρινομένου συνθέτου ἓν εἶναι μέρος τὸ Θεῖον,

Dicendum quoque est: Si omnis conjunctio aliud genus toti, ut dixistis, affert, extra partium genera, jam a nobis fuit positum unam partem totius quod consideramus, esse divinum illud quod omnis ge-

neris auctor est, id est, divinum Verbum. Si ergo aliud esset totius cujusdam præter partium genus, ipsius scilicet aut illius quod cum ipso est, necessitas erit rejiciendi vel illum generum auctorem universaliter agnitum et ex utraque parte receptum, vel quemdam alium. Omne enim quod fit, se ipsum manifeste non faciet, nondum exsistens, sed ab alio factum est, si exsistit; si autem non factum est, neque est. Non ergo ab alio factus est, qui solus substantias creat et naturalis est generum auctor, qui dicitur pars illius totius : de quo consentimus omnes. Si autem ab illo factum est totum illud, et opus erit alterius ex suis partibus, ita erit ut pars in toto comprehensa, causa sub effectu, quod est impossibile. Cum hæc sint impossibilia, manifestum est non proprie dici : sed quæ pars constituit dictum Christi totum, illa est quæ alteri subjacet, id est, Verbum carni, ex propria substantia et sua persona, cum illa parte quæ cum ipso est, substantia, scilicet, carnali, illum constituens totum, nihil seipso aut conjuncta sibi parte præbens aut melius aut pejus. Potestas enim quæ genera creat nulli seipsam in speciem condonavit, ut ita dicam, nisi parti sibi conjunctæ, homo facta per eam, eam autem per se Deum faciens, in quantum possibile, nec aliam speciem potest facere seipsa et illa meliorem. Ubinam igitur erit aliud illud totum in Christo præter utramque partem excogitatum? Et exinde etiam factum est manifestum Verbum illud divinum jam admissum ut generum auctorem, partem conjunctam, idem esse et natura et numero ac compositum secundum diversam cogitationem dictum totum; et si in eo Verbum a Patribus dictum est pars, eidem Christo attribuetur, cujus et pars et totum, qui Deus intelligitur utrobique pariter perfectus, etiamsi quandoque propter significationem utriusque partis, totum dictæ fuerint duæ partes simul sumptæ, pars vero unaquæque earum seorsim sumpta.

Immerito igitur nobis opponitis totum alterius generis esse a partibus propter conjunctionem, et novum numerum inducitis. Si enim, ut dictum est, totum illud est numerabile, quia quod indicat conjunctionem totam ab aliquibus quasi totum dicitur, non fit per additionem ad numerum partium similium et realiter exsistentium. Non enim cum secundum diversos respectus, accidit multa esse nomina unius ejusdemque rei, et numerosiores sunt unius appellationes, verbi gratia, Simon, Petrus, Cephas, Bar-Jona, apostolus, Domini discipulus, sancta Dei Ecclesiæ magister, jam ideo existimandum est subjecti illius et unius hominis sic appellati multiplicari numero substantias et personas, neque eum a seipso diversum numero secundum naturam et personam; sicut igitur discipuli et magistri in diversis subjectis nominum ex confesso differt significatio, ita quoque ejus. Præterea dicimus, partem conjunctam, id

A ὁ ὁ παντὸς εἴδους ποιητικός ἐστι θεῖος Λόγος. Εἰ οὖν τι ἕτερον αὐτῷ τε καὶ τῷ σὺν αὐτῷ ὄντι ὡς μέρεσιν ἐπιγένοιτο εἶδος ὅλου τινὸς, ἢ αὐτὸν ἀνάγκη τοῦτο προβάλλεσθαι εἰδοποιὸν δεδομένον καθολικὸν καὶ συνωμολογημένον κοινῶς, ἢ ἕτερόν τινα· τὸ γὰρ γινόμενον πᾶν, δῆλον ὡς οὐχ ἑαυτὸ ποιήσει μήπω ὄν, ἀλλ' ὑπό τινος ἐγένετο, εἴπερ ἐστίν· εἰ δὲ μὴ ἐγένετο, οὐδὲ ἔστιν. Ὑφ' ἑτέρου μὲν οὖν οὐκ ἂν γένοιτό τινος· μόνος γὰρ εἶναι οὐσιαστὴς καὶ φυσικὸς εἰδοποιὸς ὁ ὑποβληθεὶς ὡς μέρος τῷδε τῷ ὅλῳ, ὡμολόγηται ἡμῖν πᾶσιν· εἰ δὲ ὑπ' αὐτοῦ τόδε γέγονέ πως ὡς ὅλον τι, καὶ ὑπὸ τοῦ ποιοῦντος αὐτὸ ὡς ἐξ ἰδίου μέρους γινόμενον εἴη τὸ ποίημα. Ἔσται γὰρ ἂν οὕτως ὡς μέρος ἐν τῷ ὅλῳ περιεχόμενον τὸ αἴτιον ὑπὸ τοῦ αἰτιατοῦ, ὅπερ ἀδύ-
B νατον. Ἐπεὶ οὖν τάδε ἀδύνατα, δῆλον ὡς οὐ κυρίως λέγεται· ἀλλὰ τὸ προαγαγὸν τὴν λεγομένην Χριστοῦ ὁλότητα μέρος, αὐτό ἐστιν ὃ σύγκειται ἑτέρῳ· ἤγουν ὁ Λόγος τῇ σαρκί· ἔκ τε τῆς οὐσίας αὐτοῦ, καὶ ἐν τῇ ὑποστάσει αὐτοῦ, ἅμα τῷ σὺν αὐτῷ μέρει, ἤγουν τῆς σαρκικῆς οὐσίας ταύτην συνιστῶν τὴν ὁλότητα· οὐδὲν πλέον ἢ ἔλαττον ἐπιδεικνύμενος ἑαυτοῦ καὶ τοῦ σὺν αὐτῷ ἐν αὐτῇ. Ἡ γὰρ εἰδοποιὸς δύναμις, ἑαυτὴν, ὡς εἰπεῖν, οὐχ ἑτέρῳ, ἀλλ' αὐτῷ τῷ συντεθέντι σὺν αὐτῇ μέρει, εἰς εἶδος κεχάρισται· ἀνθρωπιζομένη τε διὰ τοῦδε, καὶ θεοῦσα τόδε καθ' αὑτὴν δι' ἑαυτῆς, καὶ οὐχ ἕτερον κρεῖττον, καὶ ἑαυτῆς καὶ ἐκείνου ποιῆσαι ἔχουσα εἶδος. Πῶς οὖν ἕτερον ἔσται τι φαινόμενον ὅλον ἐν Χριστῷ κατ' οὐσίαν παρ' ἑκάτερα;
C Οὐκοῦν σαφὲς κἀντεῦθεν γεγένηται, ὡς τοιοῦδε προωμολογημένου εἰδοποιοῦ Λόγου θείου, τοῦ συντεθειμένου μέρους, ταυτὸν τῇ φύσει καὶ τῷ ἀριθμῷ ἔσται καὶ τὸ κατὰ διάφορον ἐπίνοιαν ὀνομασθὲν ὅλον τὸ σύνθετον· κἂν μέρος ἐν αὐτῷ ὁ Λόγος εἴρηται εἶναι τοῖς Πατράσιν· καὶ τοῦ αὐτοῦ κατηγορηθήσεται Χριστοῦ, καθ' οὗ καὶ τὸ μέρος καὶ τὸ ὅλον· ὡς Θεοῦ ἑκατέρως νοουμένου ὡσαύτως τελείου· εἰ καὶ ποτὲ μὲν διὰ τὴν σημασίαν τὴν περὶ ἑκατέρου τῶν ἐν τῷ συνθέτῳ, ὅλον τὸ συναμφότερον, μέρος δὲ θάτερον μόνον τῶν αὐτοῦ εἴρηται.

Οὐκ ὀρθῶς οὖν ἡμῖν συνάγετε τὸ ἑτεροούσιον τοῦ ὅλου πρὸς τὰ μέρη διὰ τὴν σύνθεσιν· καὶ νεώτερον ἀριθμὸν καθορᾶτε. Εἰ γὰρ καὶ ὡς λεκτὸν ἀριθμητόν ἐστι τόδε τὸ ὅλον τοῦ σημαινομένου τῆς συνθέ-
D σεως πάσης, ὡς ὅλου λεγομένου τισὶν, οὐ προσθήσει τῷ ἀριθμῷ τῶν ὁμοουσίων καὶ ὑπαρκτῶν μερῶν. Οὐδὲ γὰρ ἐπεὶ κατὰ διαφόρους ἐπινοίας περὶ τοῦ αὐτοῦ συμβέβηκε πολυωνυμία ποτὲ καὶ πληθύς ἐστιν ἀριθμοῦ τῶν κατὰ τοῦ αὐτοῦ ἑνὸς πράγματος λεγομένων ὀνομάτων· οἷον Σίμων, Πέτρος, Κηφᾶς, Βὰρ Ἰωνᾶ, ἀπόστολος, μαθητής τε τοῦ Κυρίου, καὶ διδάσκαλος τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, ἤδη διὰ τόδε, καὶ τοῦ ὑποκειμένου αὐτοῦ καὶ ὀνομαζομένου ἑνὸς ἀνθρώπου τὸν ἀριθμὸν εἰς οὐσίας ἢ ὑποστάσεις συμπληθύνεσθαι νοητέον, οὐδὲ διαφέρειν ἑαυτοῦ κατὰ τὸν φυσικὸν ἢ ὑποστατικὸν ἀριθμόν· οὕτως ὥσπερ ἡ τοῦ μαθητοῦ καὶ διδασκάλου ἐν τοῖς διαφόροις ὁμολογουμένως ὑποκειμένοις ὀνομάτων αὐτοῦ διενήνοχε σημασία. Πρὸς τούτοις δέ φαμεν, καὶ ὥστε μέρος τὸ

συντεθὲν, ἤγουν ὁ θεῖος Λόγος· ἐπεὶ δέδοται ἀκρότατον ὑπεροχικῶς εἶναι κατὰ τελειότητα, εὐδοκῆσαν συντεθῆναι μεῖζον μὲν ἢ τελειότερον ἑαυτοῦ ὅλον, οὐκ ἂν συστήσηται πώποτε· εἴγε ἀληθῶς παντέλειον εἶναι μεμαρτύρηται, διὰ τὸν τῆς φύσεως ἑαυτοῦ λόγον· ἀλλ' οὐδὲ μεῖον ἑαυτοῦ ποιήσει τι εἶναι τὸ οἰκεῖον ὅλον διὰ τὸν πάσης συνθέσεως λόγον· μείζονα γάρ, τόγε ἐπ' αὐτοῖς, οὐκ ἐλάττονα δήποτε δείκνυται τῶν μερῶν τὰ οἰκεῖα ὅλα. Εἰ δὲ μήτε μεῖζον αὐτοῦ τὸ τοῦ Λόγου ὅλον, διὰ τὴν φύσιν αὐτοῦ τοῦδε τοῦ μέρους, μήτε δὲ ἧττον, διὰ τὸν τῆς συνθέσεως ἁπλῶς λόγον δεῖ εἶναι, ἑαυτὸν ἄρα ἕξει ὅλον τὸ ὁλοποιὸν αὐτοῦ μέρος· ὃ καὶ ἐξ ἀνάγκης ἴσον τῷ ἰδίῳ μέρει ἔσται καὶ οἰκεῖον αὐτοῦ ὅλου λεγόμενον. Πῶς οὖν ὅλου ἑτερότητα πρὸς τὰ μέρη καὶ ἑνὶ τῆς κατὰ τὸν Δεσπότην ἡμῶν Χριστὸν οἰκονομίας συλλογίζεσθαι ἂν εἴη; ἔτι δέ φαμεν ὡς εἰ πᾶν ἁπλοῦν ἐν τῷ συνθέτῳ, καὶ πᾶν μέρος ἐν τῷ ἰδίῳ ὅλῳ δεῖ εἶναι· πᾶν δὲ ὂν καὶ γινόμενον, ἐν μέρει ἐστὶ τούτῳ, ἤγουν τῷ θείῳ Λόγῳ· πῶς ἔσται τι τὸ καθ' αὑτὸ ἕτερον αὐτοῦ σύνθετον, καὶ ὅλον τι καθολικώτερον αὐτοῦ; ἵνα ὑπὸ τοῦδε περιέχοιτο αὐτὸς ὁ Λόγος ὁ πάντα περιέχων· αὐτὸς γάρ ἐστι τὸ πλήρωμα τὸ τὰ πάντα ἐν πᾶσι πληρούμενον.

A est, Verbum divinum, quod datum est sua perfectione excellentissimum esse, eos voluisse majorem et perfectiorem seipso in toto facere, sed hoc nunquam esse mansurum. Si vere perfectissimum esse probatum est, secundum ejus naturæ rationem, nihil seipso minus totum proprium, per quamcunque conjunctionem; tota enim constat majora suis partibus esse. Si autem non majus Verbi totum, propter hujus partis naturam, neque minus esse oportet, propter conjunctionis simpliciter rationem, pars illa quæ totum constituit seipsum ut totum habebit, quod necessario propriæ parti erit æquale, et totius proprium dicetur. Quomodo ergo admitti ab uno posset totum aliud esse a partibus in mysterio Christi Domini nostri? Hoc etiam dicimus, B nempe si omne simplex in composito et omnis pars in toto proprio esse debet, quæcunque autem exsistunt aut sunt facta in illa parte sunt, id est in divino Verbo, quomodo aliquid erit totum in se ab eo aliud et eo universalius quo contineatur omnia in se continens; plenitudo enim est omnia in omnibus replens.

ΛΟΓΟΣ Β'.

Δευτέρας ἀσεβείας αὐτῶν ἔλεγχος λεγόντων δύο καὶ οὐ μίαν τὴν ὑπόστασιν ἐκ τῆς κατὰ τὴν σάρκωσιν τοῦ Λόγου οἰκονομίας ὁρᾶσθαι.

LIBER II.

Confutatio secundæ impietatis qua dicunt duas, non unam personam, in Verbi per incarnationem dispensatione reperiri.

Σημαίνει, φασίν, ἡ ὑπόστασις, ποτὲ μέν τοι ἐνούσιον, ὡς τὸ, *Μνήσθητι τίς μου* ἡ ὑπόστασις, καὶ *χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ*· ποτὲ δὲ ἀνούσιόν τι, ὡς τὸ, Ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεώς μου· ποτὲ δέ τινων συνάθροισιν ὁμονοούντων· ὡς τὸ, Ἐξῆλθον ἄνδρες ἐκ τῆς ὑποστάσεως τῶν ἀλλοφύλων. Εἰ μὲν οὖν κατὰ τὸ τελευταῖον, φασί, τὴν ὑπόστασιν ἀντὶ τοῦ ταυτοβουλίαν καὶ ὁμογνωμοσύνην σημαίνειν τῶν φύσεων, συγχωροῦσι δηλονότι κατὰ τὰ πρῶτα δύο λέγειν ἡμᾶς τὰς ὑποστάσεις τῶν δύο φύσεων· εἰ δὲ κατὰ τὸ δεύτερον, φασίν, ἀνούσιόν τι βουλόμενοι δεῖξαι τὸ ἐξ ἀμφοτέρων τῶν φύσεων, οὐδὲ ἀποκρίσεως ἄξιοι· εἰ δὲ κατὰ τὸ πρῶτον, εἰπάτωσαν τίνι καθέστηκεν αὕτη ὁμοούσιος· τῇ τοῦ Δαβὶδ περὶ ἧς εἶπε· *Μνήσθητι τίς μου* ἡ ὑπόστασις, ἢ τῇ τοῦ Πατρὸς περὶ ἧς εἴρηται, *χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ*; Ἀλλ' εἰ μὲν τῇ τοῦ Πατρὸς, πῶς ἐκ δύο φύσεων συνέστηκεν, ἁπλῆς ὑπαρχούσης τῆς τοῦ Πατρός; δεῖ γὰρ

C Persona, inquiunt, substantiale quid significat, ut *Memento mei*, persona, et: *Figura substantiæ ejus*; aliquando autem quid non substantiale, ut: In illa persona gloriationis meæ; aliquando vero congregationem unanimium, ut: Exierunt viri ex persona alienigenarum. Si ergo ultimo sensu personam dicunt, id est, ut significent naturarum consensionem et concordiam, manifeste concedunt nos dicere secundum duos priores sensus, personas duarum naturarum; si autem ad secundum sensum, ita ut non substantiale esse quod ex duabus naturis constat, intendere velint, responsionis non sunt digni; si vero ad primum, dicant cui fuit illa consubstantialis: aut David, de quo dixit: *Memento mei* [1], persona; aut Patris de quo dictum est: D *Figura substantiæ ejus* [2]? Sed si Patris quomodo ex duabus naturis coaluit, cum simplex fit Patris persona? Oportet enim eamdem substantiæ rationem, eamdem quoque voluntatem, substantias quæ per-

[1] Psal. civ, 4. [2] Hebr. i, 3.

sonæ dicuntur; postea dicant quid sit consubstantiale; si vero non Patris, sed David, quomodo eam ex duabus naturis constare, non ex corpore et anima constare volunt? Talis enim fuit Davidis persona; si vero neque hoc, neque illud, alius generis quam omnes quem introducitis Filius, nec nobis nec sanctæ Trinitati consubstantialis. Sed si dicatis ex parte utrique consubstantialem, scitote consubstantialia non pati ex parte consubstantialia esse; illa enim ratione omnimode consubstantialia sunt; sane quod ex parte huic et illi consubstantiale est, neutrius potest esse Filius; ostendite enim quid diversis ex parte consubstantiale, utriusque fuerit Filius.

Priore vestro argumento jam contrito, supervacaneum esset vobis ad sequentia respondere. Si enim vere, ut ostensum est, conjunctio fuit naturarum et secundum personam, non autem personarum unio, in Christo Domino nostro, sicut vos ipsi nunc de anima et corpore David supponitis, manifestum unam necessario, non autem duas, esse compositam personam. Sed ne videamur vestros syllogismos tanquam in posteriori argumento validiores vitare, adjuvante Deo his quoque omnibus sufficienter occurremus; qui sincere veritatem inquirunt, non utuntur in ea inquirenda instrumentis in errorem agentibus, uti vos facitis. Quoniam etenim indiscretus usus nominum quæ multas præbent significationes plurimum semper in rerum inquisitione errorem parit, ecce vos primum ab initio in eum, quamvis videremini eum velle fugere, incidistis, in inquirendo, dico, de substantia; et ex parte videbamini definire, sed non complete nominis personæ, secundum unumquodque eorum de quibus dicitur, explanavistis significationem, necesse igitur habemus, commutata præpositione ὑπό, vel proprie accepta, primum statuere quotupliciter et quibus diversis sensibus de quibusque dicatur personæ nomen et congruum argumento sensum sedulo discernere, ne in alteram pro altera significationem incidamus: quo peracto, vestras absurditates consequenter refellemus.

Dicimus ergo hypostasim a quibusdam dici, secundum veterem Græcorum linguam, fæcem et mustum vini et similium liquidorum, quia subsidens liquori supernatanti suum situm indicat, sicut dicimus subsidentia ligna. Dicitur etiam motus vel transmutatio alicujus prius consistentis, hypostasis, quasi dispositio extra vel sine stabilitate, quondam permutata præpositione ὑπὸ in nomine, aut in ἀπὸ transmutata, sicut in palæstra sese invicem detrudentes, nominaverunt. Dicitur quoque acquisitio divitiarum aut questuum ex quibusdam pecuniis ab aliquo facta, hypostasis, quasi salva et stabilita, ita ut dicamus hunc hominem multam hypostasim non habere, vel possidere. Dicitur et hypostasis fortitudo quæ non facile labitur, sed

A τὸν αὐτὸν ἔχειν λόγον τῆς οὐσίας, καὶ τὴν αὐτὴν νόησιν, τὰς οὐσίας λεγομένας ὑποστάσεις· ἐπεὶ λεγέτωσαν τί τὸ ὁμοούσιον. Εἰ δὲ μὴ τοῦ Πατρὸς, ἀλλὰ τῇ τοῦ Δαβὶδ, πῶς ἐκ δύο φύσεων λέγοντες αὐτὴν οὐκ ἐκ ψυχῆς καὶ σώματος συνεστάναι βούλονται; τοιαύτη γὰρ ἡ τοῦ Δαβίδ. Εἰ δὲ οὐδὲ τοῦτο, οὐδὲ ἐκεῖνο, πᾶσιν ἑτεροούσιος ὁ παρ' ὑμῶν εἰσαγόμενος Υἱὸς, καὶ οὐδὲ ἡμῖν οὐδὲ τῇ ἁγίᾳ Τριάδι ὁμοούσιος. Εἰ δὲ λέγετε ἐκ μέρους καὶ τούτῳ κἀκείνῳ ὁμοούσιος, γινώσκετε ὅτι τὰ ὁμοούσια οὐκ ἐκ μέρους θέλει ὁμοούσια εἶναι· τῷ γὰρ Λόγῳ τούτῳ παντάπασιν ὁμοούσια ἔσται· ὅλως δὲ τὸ ἐκ μέρους τούτῳ κἀκείνῳ ὁμοούσιον, οὐδετέρου δύναται εἶναι Υἱός· ἐπεὶ δείξατέ τι ἐκ μέρους ὑπάρχον ὁμοούσιον διαφόροις, καὶ γινόμενον τούτου κἀκείνου Υἱόν.

B Ἤδη μὲν τῆς προτέρας ὑμῶν ὑποθέσεως κατηργημένης, περιττὸν ἦν καὶ πρὸς τὰ ἑξῆς ὑμῖν ἀποκρίνασθαι. Εἰ γὰρ ἀληθῶς, ὡς δέδεικται, φύσεως γέγονεν ἡ σύνθεσις καὶ καθ' ὑπόστασιν, οὐ μὴν ὑποστάσεών ἐστιν ἡ ἕνωσις ἐπὶ τοῦ Δεσπότου ἡμῶν Χριστοῦ, ὥσπερ καὶ ὑμεῖς ἐπὶ ψυχῆς καὶ σώματος νῦν τοῦ Δαβὶδ ὑπέθεσθε, δῆλόν ἐστιν ὡς πάντως μίαν καὶ οὐ δύο εἶναι ἀναγκαῖον τὴν σύνθετον ὑπόστασιν. Ἀλλ' ἵνα μὴ δόξωμεν ὡς ἰσχυροτέρους τοὺς ἐπὶ τῇ δευτέρᾳ ὑμῶν ὑποθέσει παραιτεῖσθαι συλλογισμοὺς, σὺν Θεῷ καὶ πρὸς τούσδε ἅπαντας ὑμῖν δεόντως ἀπαντήσομεν· οἱ μὲν οὖν φιλαληθῶς τὴν ἀλήθειαν ἐρευνῶντες, οὐ τοῖς ποιοῦσι τὴν ἀπ' αὐτῆς πλάνην ὀργάνοις κέχρηνται πρὸς τὴν ἔρευναν αὐτῆς ὥσπερ ὑμεῖς. C Τῆς γὰρ ἀδιακρίτου τῶν πολυσήμων ὁμωνυμίας πλείστην ποιούσης ἀεὶ τὴν ἀπάτην ἐν τοῖς ζητουμένοις πράγμασιν, ἰδοὺ νῦν ἡμῖν ταύτῃ ἐξ ἀρχῆς εὐθὺς μετὰ μέντοι καὶ δοκεῖν φεύγειν αὐτὴν, προεβάλεσθε, περὶ τῆς ὑποστάσεως, φημὶ, διερευνῶντες· καὶ ἐδόξατε μὲν διορίζειν ἀπὸ μέρους· οὐκ ἐντελῶς δὲ διεκρίνατε τὸ τῆς ὑποστάσεως ὄνομα, πῶς ἐφ' ἑκάστου ὧν λέγεται σημαίνεται. Ἀναγκαῖον οὖν ἀντιμεταλαμβανομένης τῆς, ὑπὸ, προθέσεως ἢ κυρίως κειμένης· ποσαχῶς τε λέγεται καὶ ὅπως καθέκαστον τῶν ἑτέρως λεγομένων εἴρηται τὸ τῆς ὑποστάσεως ὄνομα, καὶ τὸ ἁρμόδιον ἐπὶ τοῦ προκειμένου φιλοκρινῆσαι ἡμᾶς πρῶτον, ἵνα μὴ εἰς ἑτέραν ἀνθ' ἑτέρας σημασίαν μεταπίπτωμεν, εἶθ' οὕτως τὰ ἑξῆς ὑμῶν ἄτοπα διελέγχειν.

D Φαμὲν οὖν ἡμεῖς ὡς ὑπόστασις μὲν λέγεταί τισι κατὰ τῶν παλαιοτέρων Ἑλληνικῶν τὴν γλῶτταν, ἡ ὑποστάθμη καὶ τρὺξ τοῦ οἴνου καὶ τῶν τοιούτων ὑγρῶν, διὰ τὸ ὑποβεβηκυῖαν τῷ ἐπιπολάζοντι ὑγρῷ τὴν ἑαυτῆς στάσιν δεικνύναι, ὡς λέγομεν ἐνυπόστατα σημεῖα. Λέγεται δὲ καὶ ἡ κίνησις εἴτουν μετάστασις τοῦ ἐνεστῶτός ποτε, ὑπόστασις· οἷά τις ἄπο καὶ χωρὶς στάσεως οὖσα διάθεσις, ἤγουν στέρησις στάσεως, ποτὲ ἀμειβομένης τῆς, ὑπὸ, προθέσεως ἐν τῇ λέξει, καὶ μεταλαμβανομένης εἰς τὴν, ἀπὸ, καθὰ οἱ ἐν παλαίστρᾳ τὰς διωθήσεις ἀλλήλων ποιούμενοι, οὕτως ὠνόμασαν. Λέγεται δὲ καὶ ἡ κτῆσις τῶνδέ τινων τῶν χρημάτων ἢ προσόδων ἀπό τινων κτημάτων ὑπάρχουσα τῷδέ τινι τῷ κεκτημένῳ, ὑπόστασις· ἅτε σωζομένη ἤδε καὶ ἀδιαπτώτως αὐτῷ ὑφεστηκυῖα

A ὡς φαμεν οὐκ ἔχειν ἢ κεκτῆσθαι τόνδε τινὰ πολλὴν ὑπόστασιν. Λέγεται δὲ ὑπόστασις, καὶ τὸ καρτερικὸν καὶ οὐκ εὐκατάπτωτον, ἀλλ' ὑπομονητικὸν πρὸς τὰ ἐπερχόμενα, καθὼς εἴρηται τῇ ἁγίᾳ Γραφῇ· Καὶ νῦν τίς ἡ ὑπομονή μου; οὐχὶ Κύριος; καὶ ἡ ὑπόστασίς μου οὐχὶ παρὰ σοῦ ἐστι; Λέγεται δὲ ὑπόστασις, καὶ ἡ τινὸς διηγήματος ἢ ἁπλῶς λόγου ἰδιάζουσα καὶ οὐ καθόλου οὖσα πρότασις· ὡς τὸ λεγόμενον ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως. Λέγεται δὲ καὶ ἡ πίστις ὑπόστασις οἷα δὴ τινος καταλήψεως οὖσα ἐπιστήμη τε καὶ ἐπίστασις· καθὼς εἴρηται, *Ἔστι δὲ πίστις, ἐλπιζομένων ὑπόστασις*. Λέγεται ὑπόστασις, καὶ ἡ ὑπόσχεσις, ὡς ὑπό τινος τεθεῖσά τινι καὶ ὑφισταμένη ἐλπὶς, καθὼς εἴρηται· Μήπως ἐὰν ἔλθωσι σὺν ἐμοὶ Μακεδόνες καὶ εὕρωσιν ὑμᾶς ἀπαρασκευάστους,
B καταισχυνθῶμεν ἡμεῖς, ἵνα μὴ λέγωμεν ὑμεῖς, ἐν τῇ ὑποστάσει ταύτῃ· τίς δὲ ἦν, φησὶ, τῇ προεπηγγελμένῃ αὐτῶν εὐλογίᾳ; Λέγεται ὑπόστασις, καὶ ἡ βάσις ἡ ὑποκειμένη τῇ στάσει τοῦδέ τινος, ὥσπερ εἴρηται· Ἐνεπάγην εἰς ὕλην βυθοῦ καὶ οὐκ ἔστιν ὑπόστασις. Λέγεται ὑπόστασις, καὶ ἡ ἀντίστασις· ὡς τὸ ἐν τῷ Δευτερονομίῳ εἰρημένον ὑπὸ Μωϋσῆ περὶ τοῦ λαοῦ· *Πῶς δυνήσομαι φέρειν τὴν ὑπόστασιν καὶ ἀντιλογίαν ὑμῶν*; Λέγεται ὑπόστασις καὶ ἡ κατάστασις· ὡς τὸ ἐν Ἐζεκιὴλ περὶ τοῦ ναοῦ εἰρημένον· *Καὶ διαγράψεις τὸν οἶκον καὶ τὴν ἑτοιμασίαν αὐτοῦ, καὶ τὰς εἰσόδους αὐτοῦ καὶ τὰς ἐξόδους αὐτοῦ, καὶ τὴν ὑπόστασιν αὐτοῦ.* Λέγεται ὑπόστασις καὶ ἡ τινῶν προσώπων ὁμοουσίων, ἢ καὶ ἑτεροουσίων ἀλλήλοις συνελθόντων σύ-
C στασις· ὡς τὸ λεγόμενον· Ἐξῆλθον ἄνδρες ἐκ τῆς ὑποστάσεως τῶν ἀλλοφύλων· ἔτι δὲ καὶ ὃν νῦν ὑμεῖς ἐν γνώσει ἢ ἀγνοίᾳ λόγον παρεδράμετε κατὰ τὴν αὐτήν πως ἔννοιαν ὄντα. Λέγεται ὑπόστασις καὶ ὅταν κατὰ τὸ αὐτὸ τινων συνελθουσῶν φύσεων διαφόρων ἰδικῶν, μετὰ τῶν περὶ αὐτὰς ἰδιωμάτων, οὐχὶ δὲ προσώπων ὑφὲν εἴτουν ἅμα διὰ τῆς ἑνώσεως σύστασίς γένηταί τις ἑνὸς μόνου ἀτόμου. Λέγεται καὶ φύσεων διαφόρων μὴ συνελθουσῶν, ἀλλὰ μόνων ἰδιωμάτων μερικῶν πλειόνων, ἓν ἰδίωμα καθολικὸν συνιστώντων ἐκ πάντων, ἔν τινι ὑποκειμένῳ ἑνὶ, εἴτουν ἐν μιᾷ μόνῃ φύσει ἡ πᾶσιν ὁμολογουμένη ὑπόστασις. Εἴτε δ' οὖν ἐν ἁπλῇ, εἴτε ἐν συνθέτῳ, εἴτε ἐν ἰδικῇ, εἴτε ἐν κοινῇ, οἷα ἡ θεία, εἴτε ἐν μιᾷ φύσει μόνῃ,
D εἴτε ἐν ἡνωμέναις πλείοσιν, ὅλως μέντοι ἐν ὑπάρξει οὔσαις, αὕτη εἴη τῶν μερικῶν ἰδιωμάτων, ἤγουν τοῦ κοινοῦ ἰδιώματος, ὡς ἐν ὑποκειμένῳ τινὶ νοουμένη στάσις ἢ σύστασις, ὑπόστασις λέγεται. Λέγεται δὲ κυριώτερον καὶ οἰκειότερον πάντων ἡ τοιαύτη ὑπόστασις, ἅτε πρὸς τῇ συστάσει καὶ ἐκ τοῦ πάντων τῶν τε ὁμοειδῶν καὶ τῶν ἑτεροειδῶν κατὰ τὸ ἰδικὸν γνωριστήριον, κεχωρισμένον δεικνύειν τὸ ὑποκείμενον ἄτομον, τόδε τι καθ' ἑαυτὴν ἀπόστασίς τις οὖσα καὶ διορισμὸς τῶν ἀδιορίστων οὐσιῶν εἰς τὴν κατὰ πρόσωπον ἀριθμὸν ἑκάστου· διὸ δὴ καὶ πρόσωπον ταύτην οἱ Πατέρες νοοῦσί τε καὶ ὀνομάζουσι. Λέγεται ὑπόστασις, καὶ ἡ οὐσία καὶ ἡ φύσις πολυ-

A sustinet contra rerum eventus, ut in Scriptura sacra dicitur : Et nunc quæ est exspectatio mea? nonne Dominus ? Et : Hypostasis mea, nonne apud te? Dicitur insuper hypostasis, narrationis aut simpliciter sermonis initium separatim et non in integro, ut dicitur in hac hypostasi gloriationis. Dicitur præterea hypostasis fides, quasi cujusdam comprehensionis scientia et pene occupatio, sicut dictum est : *Fides est sperandarum hypostasis rerum* [a]. Dicitur hypostasis et promissio, quasi spes alicui ab aliquo data et confirmata, sicut dictum est : Nisi mecum veniant Macedones et vos inveniant imparatos, erubescamus nos, ne dicamus in hac hypostasi : quis autem, inquit, promissæ eorum benedictioni erat? Dicitur hypostasis, vel basis
B alicui subjacens, sicut dictum est : demersus est in profundum abyssi, et non est hypostasis. Dicitur hypostasis et oppositio, sicut in Deuteronomio de populo a Moyse dictum est : *Quo modo potero ferre hypostasim et contradictionem vestram* [b]? Dicitur hypostasis et situs, ut in Ezechiele dictum est : *Et describes domum et ejus præparationem et aditus et exitus et hypostasim* [c]. Dicitur hypostasis et quarumdam consubstantialium personarum, vel non consubstantialium invicem convenientium congressus, sicut dictum est : Exierunt viri ex hypostasi alienigenarum. Et quem sensum vos sive scienter sive ex ignorantia prætermisistis, ad eamdem ideam fere pertinentem, dicitur etiam hypostasis,
C cum aliquibus naturis diversis et particularibus, cum suis proprietatibus in idem convenientibus, non autem personis, per unionem fit cujusdam indivisibilis concretio. Dicitur hypostasis, ab omnibus admissa, cum conveniunt, non diversæ naturæ, sed plurimæ partiales tantum proprietates, universam ex omnibus constituentes proprietatem in uno quodam subjecto, sive in una tantum natura : sive igitur in simplici natura, sive in composita, sive in particulari, sive in communi, ut est divina natura, sive in una tantum, sive pluribus unitis, dummodo in exsistentia sistant, hic status proprietatis communis vel compositio hæc partialium proprietatum, ut in subjecto aliquo cogitata, dicitur hypostasis. Dicitur autem aliquid maxime omnium proprium et intimum talis
D subsistentia, quippe quæ in substantia ab omnibus ejusdem et alterius speciei entibus, ut particulari notione discernatur, separatum præbet suppositum, itemque secundum substantiam distinctio quædam est et determinatio indistinctarum substantiarum, ut quæque persona singulariter enumeretur ; ideo et personam istam Patres censent et appellant. Dicitur subsistentia, et essentia et natura pluribus nominibus designata eo quod plurima suscipiat, et non quod, in accidentibus ipsis quæ non exsistunt, illa sit et esse cogitetur, sed in seipsa subsistat, sicut dictum est : « Memento quæ sit mea subsistentia. » Quo enim modo dicitur characterem Patris

[a] Hebr. XI, 1. [b] Deut. I, 12. [c] Ezech. XLI, 5.

substantiæ esse Filium, quod et ipsum induxistis, majore hoc indiget explicatione et non tantum ut nunc digressiva exquisitione ; aliunde nihil vobis ad propositum istud subministrat.

His igitur a nobis de subsistentia recte statutis, si quidem duas subsistentias pro essentiis dicitis, nos omnino accipimus ; adjicimus autem unam ex his esse personam Christi, ut homonymiam fugiamus personarum, ostendentes a nobis pro naturis illas accipi ; personam vero in subsistentiam jam demum vobis cum reputamus : significat enim, ut persona et natura, subsistentia rem subsistentem in utroque diversorum nominum, sed ita cum Deo dicimus, vos autem necesse est idem cernentes sæpius naturam et subsistentiam dicere, cum in duabus naturis duas quoque Domini subsistentias dicitis, aut personam vicissim unam vel duas introducere, aut tacentes, quatuor naturas, nullam autem subsistentiam id est personam in Christo recognoscere, duas naturas dicendo ; nec his contentos, duas Domini subsistentias admittere, aut quatuor personas in Domino dicere, ob duas naturas et duas subsistentias, nullam vero earum profecto essentiam ; nisi in essentiæ rationem, sed in personæ tantum subsistentiarum nomen a vobis dicitur. Nam de reliquis significationibus, non puto tantum divagari hominem rationabilem dum talia inquirit, quam necessitatem nobis comparatis postulando cui hanc dicimus Deo Patri an David, similem essentiam esse? Primum enim non ex identitate essentiarum subsistentiæ agnoscuntur, neque eadem alicui subsistentiæ ratio est ac si naturam habeat rerum ejusdem essentiæ, contra igitur si non habeat aliquid rerum ipsi essentia similium. Subsistentiæ enim maxime proprium est, similia secundum naturam distinguere entia separatim alia ab aliis, et illa singulariter indicare.

Præterea dicimus, si unus forte homo aut equus in orbe exsistat solus et nullus sit ejusdem essentiæ, qualis fuit Adam primus homo, illius subsistentiam posse ex entibus alterius essentiæ quoad subsistentiam dignosci. Non enim, quod non sit aliquid ejusdem essentiæ a quo in subsistentia discernatur, ideo necesse est non valere de illius subsistentia sermonem, nisi sint illi alia ejusdem essentiæ ; contrarium enim ratio vult, illa ejusdem essentiæ quæ non habent subsistentiam, non discerni, non, ut colligitis, illa quæ non habent aliquam identitatem essentiæ in subsistentiis non distingui. Enim vero entium alterius essentiæ subsistentiæ, imo naturæ eorum distinguuntur ; non autem ejusdem essentiæ entium nec naturis nec subsistentiis opus est ut a similibus discernantur. Cœlum ergo est unum, una terra, et æther unus ; neque eo quod non sint alia his essentiâ similia, dicat aliquis his

A ωνύμως συσσημαινομένη παρὰ πλείστοις τῷ ὑφεστηκέναι· καὶ μὴ ὡς τὰ καθ' αὑτὰ ἀνύπαρκτα συμβεβηκότα εἶναι καὶ νοεῖσθαι, ἀλλ' ὑφ' ἑαυτῆς ἑστάναι, καθὸ εἴρηται· « Μνήσθητι, τίς μου ἡ ὑπόστασις· » τὸ γὰρ ὅπως εἴρηται χαρακτὴρ τῆς τοῦ Πατρὸς ὑποστάσεως ὁ Υἱὸς, ὃ καὶ αὐτὸ παρηγάγετε, μείζονος δεῖται τῆς ἀναπτύξεως καὶ οὐ παρεκβατικῆς νῦν ζητήσεως· πλὴν οὐδὲν ὑμῖν εἰς τὸ προκείμενον τέδε συναίρεται.

Τούτων οὖν οὕτως ἡμῖν περὶ ὑποστάσεως φιλοκρινηθέντων, εἰ μὲν δύο τὰς ὑποστάσεις ἀντὶ οὐσιῶν φατε, δεχόμεθα μὲν ἡμεῖς πάντως· ἐπάγομεν δὲ ταύταις καὶ τὸ ἓν πρόσωπον εἶναι ἐκ τούτων τοῦ Χριστοῦ, ἵνα τὴν ὁμωνυμίαν φύγωμεν τῶν προσώπων· τοῦτο δηλοῦντες, ὡς ἀντὶ μὲν τῶν φύσεων ταύτας ἐδεξάμεθα· τὸ δὲ πρόσωπον εἰς ὑπόστασιν B λοιπὸν ἤδη καταλογιζόμεθα ὑμῖν· συσσημαίνει γὰρ τῷ τε προσώπῳ καὶ τῇ φύσει ἡ ὑπόστασις τὸ ὑποκείμενον πρᾶγμα ἑκατέρῳ τῶν διαφόρων ὀνομάτων. Ἀλλ' οὕτως σὺν Θεῷ φαμεν. Ὑμᾶς δὲ ἀνάγκη, τὸ αὐτὸ εἰδότας (ὥς φατε πολλάκις, φύσιν τε καὶ ὑπόστασιν, ἐπεὶ πρὸς ταῖς δύο φύσεσι, καὶ ὑποστάσεις φατὲ δύο τοῦ Κυρίου), ἢ καὶ πρόσωπον πάλιν ἓν ἢ δύο ἐπεισαγαγεῖν· ἢ σιγῶντας, τέσσαρας μὲν τὰς φύσεις, οὐδεμίαν δὲ ὑπόστασιν, ἤγουν πρόσωπον, ἐν Χριστῷ διεγνωκέναι. δύο λέγοντας φύσεις· καὶ οὐκ ἀρκουμένους, ἀλλὰ καὶ δύο τὰς ὑποστάσεις τοῦ Κυρίου προστιθέντας· ἢ τέσσαρα μὲν τὰ πρόσωπα ἐπὶ τοῦ Κυρίου λέγειν, διὰ τῶν φύσεων καὶ δύο ὑποστάσεων, οὐδεμίαν δὲ αὐτῶν οὐσίαν δηλαδή· εἰ δὲ μὴ εἰς οὐσίας λόγον, ἀλλ' εἰς τὴν τοῦ προσώπου μόC νον τὸ τῶν ὑποστάσεων ὑμῖν εἴρηται ὄνομα. Περὶ γὰρ τῶν λοιπῶν σημαινομένων, οὐκ οἶμαι τοσοῦτον παραπαίειν τινὰ ζητοῦντα τὰ τοιάδε λογικόν· Τί ἡμῖν ἀναγκαῖον κατασκευάζετε ἐκ τοῦ ἀπαιτεῖν τίνι ταύτην φαμὲν, τῷ Θεῷ καὶ Πατρὶ, ἢ τῷ Δαβὶδ εἶναι ὁμοούσιον; Πρῶτον μὲν γὰρ οὐκ ἐκ τῶν ὁμοουσίων αἱ ὑποστάσεις γνωρίζονται· οὐδ' ὁ αὐτός τι [illegible] τῆς ὑποστάσεως λόγος ἐστὶ, ὃν κἀκ τῆς φύσεως ἔχει τῶν ὁμοουσίων αὐτῷ, τοὐναντίον μὲν οὖν ὃν ἔχει τι τῶν ὁμοουσίων· ὑποστάσεως γὰρ μᾶλλον ἴδιον, ὃ καὶ τῶν ὁμοίων κατὰ φύσιν διακρίνειν τὰ ἄτομα ἰδίᾳ ἀπ' ἀλλήλων, καὶ καθ' αὑτὰ δεικνύειν ἑκάστου.

Ἔτι δέ φαμεν, ὅτι καὶ ἑνὸς ἀνθρώπου τυχὸν ἢ ἵππου ἐν τῷ παντὶ γενομένου μόνου, καὶ οὐδενὸς ὄντος αὐτῷ ὁμοουσίου, οἷον Ἀδὰμ τοῦ πρωτοπλάστου, ἡ D ὑπόστασις αὐτοῦ δύναιτο ἂν καὶ ἐκ τῶν ἑτεροουσίων αὐτῷ ὡς ὑπόστασις διαγινώσκεσθαι· καὶ οὐχὶ ἐπεὶ οὐκ ἦν τι αὐτοῦ ὁμοούσιον τῇ ὑποστάσει ἀφ' οὗ διεκρίνετο, διὰ τοῦτο ἀνάγκη μὴ ἐῤῥῶσθαι τὸν περὶ τῆς ὑποστάσεως αὐτοῦ λόγον, εἰ μὴ εἶεν αὐτῷ ὁμοούσια ἕτερα. Τοὐναντίον γὰρ ὁ λόγος ἔχει· ὅτι ὧν μὴ ἔστιν ὑπόστασις τῶν ὁμοουσίων, οὐ διακρίνονται· οὐχ, ὥσπερ συνάγετε, ὅτι ὧν οὐκ ἔστι ὁμοούσιά τινα, αἱ ὑποστάσεις οὐ διορίζονται· καὶ γὰρ καὶ τῶν ἑτεροουσίων αἱ ὑποστάσεις, ἀλλὰ τούτων καὶ αἱ φύσεις διακρίνουσιν· ὁμοουσίων δέ τισιν οὐκ ὄντων, οὐδὲ χρεία τῆς ἀπὸ τῶν ὁμοφυῶν διακρίσεως. Καὶ ὁ οὐρανὸς γοῦν εἷς, καὶ ἡ γῆ μία, καὶ αἰθὴρ εἷς ἐστι· καὶ οὐ διὰ τὸ μὴ εἶναι ἕτερα τούτοις ὁμοούσια, εἴποι τις ἂν μηδὲ εἶναι σὺν τούτων ὑπόστασιν. Ὁμοίως δὲ

καὶ κόσμος ὅδε ὁ πᾶς, εἷς· καὶ οὐ τῷ μὴ εἶναι πλείους κόσμους ὁμοουσίους τῷδε, ἀνυπόστατος εἴη αὐτοῦ ἡ σύστασις. Τί οὖν ὑμᾶς πείθει τὴν Χριστοῦ ὑπόστασιν, εἰ μὴ κατὰ πάντα λόγον εἴη ταύτῃ τις ἑτέρα ὑπόστασις ὁμοούσιος, μηδενὶ φυσικῷ Λόγῳ τῶν ἐν αὐτῇ πλεονάζουσα ἢ ἐλλείπουσα, μηδὲ ὑπόστασιν τοῦδε τοῦ ζωοποιοῦ συνθέτου ζώου τοῦ ἰδικωτάτου καταδέχεσθαι; Ἄλλως τε οὐ τούτῳ τις ζητῶν ὁμοιότητά τινά τινων κατά τι συγκρίνειεν ἂν δι' ἑτέρου λόγου τὴν καθ' ἕτερον λόγον πρὸς ἑτέρου τινὸς σχέσιν, ἀλλὰ δι' αὐτοῦ τοῦδε, δι' οὗ ἡ ὁμοίωσις ἐζητεῖτο. Δέον οὖν ὑμᾶς μὴ λέγειν ἢ ζητεῖν, τίνι αὕτη ἡ ὑπόστασις ὁμοούσιός ἐστιν· εἴγε ἄλλην ἴστε ὑπόστασιν τὴν ὡς πρόσωπον, καὶ ἄλλην τὴν ὡς οὐσίαν· ἀλλ' ἢ τίνι ἐστὶ κατ' οὐσίαν ὁμοούσιος ὁ Χριστὸς ἐρωτᾷν· ἢ τίνι ἐστὶ καθ' ὑπόστασιν, ὁμοϋπόστατος· εἴγε τὴν πρὸς τὸν Χριστὸν ὁμοίωσιν, οὐ κατ' οὐσίαν, ἀλλὰ καθ' ὑπόστασιν, τήν τε πρὸς τὸν Πατέρα καὶ τὸν Δαβὶδ ἐζητεῖτε.

A non esse subsistentiam. Item hic iste mundus universus unus est; neque quod non sint plures mundi ejusdem essentiæ, sine subsistentia erit illius substantiæ. Quid igitur vobis persuadet Christi subsistentiam, nisi omni ex ratione altera sit subsistentia illi essentia similis, nulla naturali ratione ejus dotibus seu prædita seu privata, non subsistentiam istius entia creantis et componentis maxime propriæ dicti entis accipere? Aliter nemo, in illo quærens quamdam similitudinem quorumdam secundum quoddam, compararet per aliam rationem hunc secundum aliam rationem habitum alicui alii, sed per ipsam rationem, per quam similitudo quærebatur. Ergo vos oportet nec dicere nec inquirere, cui hæc subsistentia identitate essentiæ similis sit; cum enim aliam scitis subsistentiam esse, quoad personam, aliam quoad essentiam; sed aut cui sit secundum essentiam identitate essentiæ similis Christus, aut cui sit secundum subsistentiam identitate subsistentiæ similis; dum Christi similitudinem Patri et Davidi non secundum essentiam, sed secundum subsistentiam inquirebatis.

B

Καὶ ἀπεκρίθημεν ἂν ὑμῖν ὀρθῶς πυθομένοις περὶ τοῦδε, ὅτι καὶ τῷ Πατρὶ μὲν ὁμοούσιος, καὶ τῷ Δαβὶδ ὁμοούσιος, καὶ κατὰ θατέραν δὲ τῶν ἑαυτοῦ φύσεων, ὁ Χριστός· ὁμοϋπόστατος δὲ οὔτε πρὸ σαρκὸς ὁ Λόγος γέγονε τῷ Πατρὶ, οὐδὲ πρὸ τῆς θείας σαρκώσεως τῆς ἐκ σπέρματος Δαβὶδ, τῷ Δαβίδ· οὔτε οὖν μετὰ τὴν ἁγίαν σάρκωσιν τοῦ Λόγου, τῇ τοῦ Θεοῦ καὶ Πατρὸς, ἢ τῇ τοῦ ἀνθρώπου Δαβὶδ, ἡ ὑπόστασις αὐτοῦ ὁμοία λεχθήσεται ὀρθῶς. Σκαιῶς οὖν ὑμῖν εἴρηται, ὅτι δεῖ τὸν αὐτὸν λόγον ἔχειν τῆς οὐσίας καὶ τὴν αὐτὴν νόησιν τὰς ὁμοουσίους ὑποστάσεις. Δέον γὰρ ἦν εἰπεῖν ὑμᾶς τὰς ὁμοουσίους οὐσίας. Εἰ δὲ, ἐπεὶ μὴ ὁμοία ἐστὶν ἡ ὑπόστασις τοῦ Δεσπότου, σύνθετος οὖσα τῇ ἁπλῇ τοῦ Πατρὸς, ἢ τῇ συνθέτῳ τῇ οὔσῃ ἐκ τῶν χειρόνων φύσεων τῇ τοῦ Δαβὶδ, ἀναγκαίως λέγετε ἕψεσθαι, καὶ τὸ ἑτεροούσιον αὐτὴν εἶναι, παρὰ τὰς τῶν ἀνομοίων αὐτῇ ὑποστάσεων οὐσίας, καθὼς βούλεται δεικνύναι τὸ ὑμέτερον συμπέρασμα· οὐκοῦν ἀναγκαίως ἔσται, καὶ ἐπεὶ ἀνόμοιος ἡ Παύλου ὑπόστασις πρὸς Πέτρον κατὰ τὸν τῆς ὑποστάσεως λόγον, καὶ ἑτεροουσίους εἶναι τούτους. Εἶτ' οὖν, πάλιν καθ' ὑμᾶς, ἐπεὶ ὁμοούσιοί εἰσι, μίαν εἶναι ἀμφοτέρων καὶ τὴν ὑπόστασιν· καὶ τὸ αὐτὸ εἶναι πρόσωπον τὸ Πέτρου, ὅπερ ἐστὶ καὶ τοῦ Παύλου, καὶ ἁπλῶς πάσης τῆς ἀνθρωπότητος, ἐπεὶ ὁμοούσιός ἐστι πᾶσα, ἓν εἶναι αὐτῆς τὸ πρόσωπον· ἀλλὰ καὶ τῆς θείας φύσεως, ἐπεὶ ὁμοούσιός ἐστιν ἡ ἁγία Τριὰς, ἓν εἶναι τὸ πρόσωπον καὶ οὐ τρία λεκτέον· ὧν τὸ ἀδιανόητον, οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ οἱ λίθοι, ὡς εἰπεῖν, ἐπιτιμῶντες ὑμῖν κεκράξονται.

Et vobis recte de hoc sciscitantibus respondimus, Patri esse essentia similem, Davidi quoque essentia similem, et secundum utramque suarum naturarum Christum. Eadem subsistentia simile non fuit ante carnem Verbum Patri, neque ante divinam incarnationem ex semine David, Davidi; neque igitur post sanctam incarnationem Verbi ejus subsistentia Dei Patris, aut hominis Davidis subsistentiæ similis recte dicetur. Infeliciter ergo a vobis dictum est, oportere ut eamdem habeant essentiæ

C

rationem et eamdem intelligentiam eædem essentia subsistentiæ; oportebat enim vos dicere easdem essentia essentias. Sin autem, cum non similis sit subsistentia Domini, utpote composita, simplici Patris subsistentiæ, vel compositæ ex inferioribus naturis Davidis subsistentiæ, necessario sequi dicitis, alterius essentiæ hanc quoque esse, secundum essentias subsistentiarum illi non similium, ut vult demonstrare vestra conclusio; igitur necesse erit, cum subsistentia Pauli haud similis sit Petro secundum subsistentiæ rationem, et alterius essentiæ illos esse; deinde iterum secundum vos, cum ejusdem essentiæ sint, unam esse amborum subsistentiam, et idem esse personam Petri, quod est persona Pauli; et uno verbo universæ humanitatis, cum ejusdem essentiæ sit universa, unam esse personam; sed et divinæ naturæ, cum sit eadem essentia sancta Trias, unam esse personam non tres dicendum: quorum absurditatem, non nos tantum, sed et lapides, ut ita dicam, conclamabunt vobis exprobrantes.

D

Ὅτι δὲ καὶ ἐκ τῶν ἐν αὐτῇ φύσεων ἡ ὑπόστασις τοῦ Δεσπότου ἡμῶν Χριστοῦ, κατὰ μὲν θατέραν τῷ Πατρὶ ὁμοούσιος, κατὰ δὲ θατέραν τῷ Δαβὶδ ἐστιν ὁμοούσιος, πῶς κωλύσετε ἡμᾶς λέγειν, φάσκοντες ὅτι τὰ ὁμοούσια, οὐκ ἐκ μέρους θέλει εἶναι ὁμοούσια; Τοῖς γὰρ μίαν λέγουσιν αὐτοῦ τὴν φύσιν, ἤγουν οὐσίαν, καλῶς ἂν εἰρήκατε τοῦτο, ἐκ μέρους τῆς μιᾶς;

Quod autem ex his quibus constat naturis subsistentia Domini nostri Jesu Christi, secundum utram Patri essentia similis, et secundum utram Davidi essentia similis sit, quomodo prohibebitis nos dicere? Objicientes eadem essentia non ex parte solere esse eadem essentia. Nobis enim unam esse illius naturam id est essentiam, dicentibus,

recte id dixeritis, ex parte unius essentiæ, ut dicunt, cum compositum de quo agitur ejusdem essentiæ sit; nobis autem duas esse naturas prædicantibus in una subsistentia Christi, quomodo rationabiliter illud objicitis? Ecce enim una subsistentia cum sit veli e lana et lino contexti, secundum utram naturarum quibus constat rationem, lanæ quæ ex animantibus est, an lino quod ex plantis simile essentia erit? rogabimus autem simul vos id quoque: Num Abel justi anima, postquam carnem exuit, eadem essentia dicitur vere esse ac anima Enoch justi qui nondum carnem deposuit, aut alterius cujusdam adhuc in carne viventis; aut caro justi in carne viventis eadem essentia ac caro cujusque sanctorum qui dormierunt, annon? sin autem nemo contradicat, evidens est ex parte suarum partium subsistentiam Enoch, aut cujusvis in carne adhuc viventis, toti subsistentiæ animæ Abel esse essentia similem, et toti subsistentiæ carnis hujus qui dormierat sancti. Et frustra illud vobis negabitur; ex parte enim si essentia absolute stet, non dicuntur eadem essentia, neque, si subsistentia ex pluribus naturis sive essentiis forte composita sit. Illud enim secundum quod similitudo ipsis consideratur, aut aliquid perfecti et universalis in utroque, id est essentia est, nihil ad notionem entis essentia ejusdem officit. Et hæc igitur de illo argumento. Sed ad ultimam vestram absurditatem qua putatis nihil ex parte subsistentiæ Christi utrique esse simile essentia, utriusque filium esse posse facillime vobis demonstrabimus. Etenim homo unus ex parte suæ subsistentiæ matris suæ et patris, nunc certe Abraham patris, hærentium vestigiis fidei ejus, et spiritus spiritum generantis, filius est; et ex parte subsistentiæ unius in qua hæc omnia insunt, omnibus his essentia similis est, superfluum igitur esset nunc de eo vobis cavillantibus responsum dedisse. Ostensum est enim in his quæ sequuntur, quomodo secundum diversas generationum rationes, filiationes et paternitates plurimæ iisdem subjectis conferantur. Attamen vestra præceps contra hæc argumentatio prævertit ordinem convenientem.

A οὐσίας, ὡς ἂν εἴποιεν, συνθέτου λεγομένου αὐτοῖς τοῦ ὁμοουσίου· τοῖς δὲ δύο τὰς φύσεις κηρύττουσιν ἡμῖν ἐν μιᾷ τῇ ὑποστάσει Χριστοῦ, πῶς εὐλόγως τοῦτο προβάλλεσθε; Ἰδοὺ γὰρ μία ὑπόστασις οὖσα τοῦ ἐξ ἐρίου καὶ λίνου γενομένου πέπλου, κατὰ θάτερον τῶν ἐν αὐτῇ φύσεων λόγον, τῷ ἐρίῳ τῷ ἐκ ζώων, καὶ τῷ λίνῳ τῷ ἐκ φυτῶν ἐστιν ὁμοούσιος. Ἐρωτήσομεν δὲ ὅμως καὶ τοῦτο ὑμᾶς· Ἆρά γε Ἄβελ τοῦ δικαίου ἡ ψυχὴ μετὰ τὴν τῆς σαρκὸς ἀπόθεσιν, ὁμοούσιος λέγεται ἀληθῶς εἶναι τῇ ψυχῇ Ἐνὼχ τοῦ δικαίου τὴν σάρκα οὔπω ἀποθεμένου, ἢ τοῦδέ τινος ἑτέρου, τοῦ ἔτι ἐν σαρκὶ ζῶντος; ἡ σάρξ τε τοῦ ἐν σαρκὶ δικαίου ὁμοούσιος ἄρα τῇ ἑκάστου τῶν προκοιμηθέντων ἁγίων σαρκὶ, ἢ οὐχί; Εἰ δὲ τούτῳ οὐδεὶς ἀντερεῖ, δῆλον ὡς ἐκ μέρους τῶν ἑαυτῆς
B μερῶν ἡ ὑπόστασις Ἐνὼχ, ἢ τοῦδέ τινος τοῦ ἐν σαρκὶ ἔτι, τῷ τε ὅλῳ τῆς ὑποστάσεως τῆς ψυχῆς Ἄβελ ἐστὶν ὁμοούσιος, καὶ τῷ ὅλῳ τῆς ὑποστάσεως τῆς σαρκὸς τοῦδε τοῦ κεκοιμημένου ὁσίου. Καὶ μάτην τοῦτο ὑμῖν ἀπηγορεύθη· ἐκ μέρους γὰρ ὄντος οὐσίας, οὐ λέγεται τὰ ὁμοούσια· οὐ μέντοι οὐδὲ ὑποστάσεως, τῆς καὶ ἐκ πλειόνων φύσεων, ἤτοι οὐσιῶν, ποτὲ συνεστώσης τισίν. Τὸ γὰρ καθὸ ἡ ὁμοιότης αὐτοῖς θεωρεῖται, ἢ τέλειόν τι καὶ ὅλον ἐν ἑκατέροις, ἤγουν ἡ οὐσία ἐστὶν, οὐδὲν ἐμποδὼν πρὸς θεωρίαν τοῦ ὁμοουσίου γίνεται. Καὶ ταῦτα μὲν οὖν περὶ τοῦδε. Πρὸς δὲ τὸ ἔσχατον ὑμῶν ἄτοπον, οἰομένων μηδὲν τῶν ἐκ μέρους ὑποστάσεως αὐτοῦ δύο τισὶν ὑπάρχειν ὁμοούσιον, τούτου κἀκείνου Υἱὸν εἶναι δύνασθαι ῥᾷστα ὑμᾶς ἀπελέγξομεν. Καὶ γὰρ ἄνθρωπος εἷς
C ἐκ μέρους τῆς ἑαυτοῦ ὑποστάσεως, τῆς μητρὸς ἑαυτοῦ καὶ τοῦ πατρὸς, ἔτι μὲν καὶ Ἀβραὰμ τοῦ πατρὸς, τῶν στοιχούντων τοῖς ἴχνεσι τῆς πίστεως αὐτοῦ, καὶ τοῦ πνεύματος, τοῦ γεννῶντος τὸ πνεῦμα, υἱός ἐστι· καὶ ἐκ μέρους τῆς μιᾶς ὑποστάσεως ᾗ ἐστι πάντα τάδε, ὁμοούσιός ἐστι τούτοις πᾶσι. Περιττὸν μὲν οὖν ἦν καὶ νῦν περὶ τοῦδε ὑμῖν ληρῳδοῦσιν ἀποκρίνασθαι. Δέδεικται γὰρ ἐν τοῖς ἑξῆς, ὡς κατὰ διαφόρους τρόπους τῶν γεννήσεων, υἱοθεσίαι τε καὶ πατρότητες τοῖς αὐτοῖς ὑποκειμένοις πλείονες ἐμφέρονται· πλὴν πρόχειρος ὑμῶν καὶ ὁ κατὰ τούτων ἔλεγχος ὢν προέφθασε τὴν οἰκείαν τάξιν.

CAP. II.

Deus Verbum aut pars est hujus subsistentiæ Christi, aut totum. Si quidem igitur pars, hæc autem pars Filius, pars Filii est Deus Verbum; ergo duo dimidia habet ante incarnationem Trias. Si vero totum, non erat ergo ante incarnationem Deus Verbum; cum totum ante partes exstiterit, pars enim est totius quæ facta est caro postea. Pars quidem proprie est quod aliquo modo in imperfectione quadam esse intelligitur; quod nunquam est Deus Verbum. Sanctæ autem Christi subsistentiæ naturæ, ut partes videntur ratione conjunctionis utriusque singulatim, ad Christi totalitatem, quæ autem totum semper efficiunt; in Christi vero totalitatem conjungi non impedit per partes diversitatem.

ΚΕΦΑΛ. Β'.

D Ὁ Θεὸς Λόγος ἢ μέρος ἐστὶ ταύτης τῆς ὑποστάσεως τοῦ Χριστοῦ, ἢ ὅλον. Εἰ μὲν οὖν μέρος, αὕτη δὲ Υἱὸς, μέρος τοῦ Υἱοῦ ὁ Θεὸς Λόγος· οὐκοῦν δύο ἥμισυ πρὸ τῆς ἐνανθρωπήσεως ἡ Τριάς. Εἰ δὲ τὸ ὅλον, οὐκ ἦν ἄρα πρὸ τῆς ἐνανθρωπήσεως ὁ Θεὸς Λόγος· ἐπεὶ τὸ ὅλον πρὸ τῶν μερῶν γενήσεται· μέρος γὰρ τοῦ ὅλου, ἡ γενομένη προσφάτως σάρξ. Μέρος μὲν κυρίως τὸ σὺν ἀτελείᾳ τινὶ ὁπωσοῦν νοούμενον· οὔτινος οὐδεπώποτέ ἐστιν ὁ Θεὸς Λόγος. Τῆς δὲ ἁγίας ὑποστάσεως Χριστοῦ αἱ φύσεις, ὡς μέρη ὁρῶνται τῷ λόγῳ τῆς συγκρίσεως αὐτῶν, κατὰ μίαν ἑκατέρας, πρὸς τὴν ὡς Χριστοῦ ὁλότητα, ὅλον δέ τινα ἀεὶ ἐστιν· εἰς δὲ τὸ Χριστοῦ ὅλον εἶναι, μερικῶς λιπὸν τὴν ἑτερότητα.

ΚΕΦΑΛ. Γ'.

Εἰ ὅλον ταυτησὶ τῆς ὑποστάσεως ὁ Θεὸς Λόγος, φησὶ, ἐκ τίνος ἄρα συναναπληροῦται, εἴπατε. Τοῦ γὰρ Θεοῦ Λόγου Θεὸς Λόγος οὐκ ἔσται μέρος· ἐπεὶ μηδὲν ἑαυτοῦ μέρος εἶναι λέγεται. Πρῶτον μὲν οὖν οὐχ ἁπλῶς τὸ ὅλον τῆς ὑποστάσεως τοῦ Δεσπότου Χριστοῦ ὁ Λόγος ἡμῖν εἴρηται εἶναι, ἀλλὰ σεσαρκωμένος. Ἄλλως τε· εἰ ἐπεὶ λέγεται τὸ ὅλον αὐτῆς ὡς ὑποστάσεως, οὕτως εἶναι ὁ Χριστὸς ἔκ τινος ἑτέρου παρὰ τὸν Λόγον, ὡς τῶν μερῶν ἑτέρων ὄντων ἀεὶ παρὰ τὰ ὅλα πάντως δέον αὐτὸ πληροῦσθαι, ἐπεὶ καὶ τὸ ὅλον τῆς πατρικῆς ὑποστάσεως ὁ Θεὸς καὶ Πατήρ ἐστιν· ἐκ τίνος ἄρα καὶ τόδε ἑτέρου συναναπληροῦται τοῦ ὡς μέρους αὐτοῦ, εἴπατε. Τοῦ γὰρ Θεοῦ Πατρὸς ὁ Θεὸς Πατὴρ οὐκ ἔσται καθ' ὑμᾶς μέρος. Καὶ τίς οὐ κλαύσει τάσδε τὰς ματαιολογίας B ὑμῶν καὶ ἐθελοκακουργίας; Οὔτε γὰρ τὸ ἐκ μερῶν πάντως εἶναί τι λέγεται ὅλον, ὡς κἂν τοῖς ἔμπροσθεν εἴρητο· ἀλλὰ καὶ τὸ, ἐντελῆ τόδε τι τὸν ἴδιον ἔχειν λόγον, ὦ οὗτοι. Οὕτως γὰρ ὅλον καὶ τὸ σημεῖον καὶ τὴν μονάδα ὅλην φαμέν· καὶ οὐκ ἐκ μερῶν ἴσμεν τάδε. Ἔτι μὴν οὐδὲ πᾶσα ὁλότης ἑτεροειδὴς παρὰ τὰ ἑαυτῆς ἅμα θεωρούμενα πάντα μέρη· τί γὰρ πάντως καὶ σιδήρου ἅμα ὁ μύδρος, ἢ πλὴν αἵματος κόχλου καὶ σηρικῶν νημάτων ἡ ἀλουργίς;

ΚΕΦΑΛ. Δ'.

Εἰ ἐκ μερῶν τῷ Πατρὶ καὶ τῇ Μητρὶ ὁμοούσιος ἡ ὑπόστασις Χριστοῦ τὰ μέρη αὐτῆς ταῦτα, ἐνούσιά ἐστιν, ἢ ἀνούσια; Ἀλλ' εἰ μὲν ἀνούσια, πῶς ὁμοούσια τοῖς ἐνουσίοις; εἰ δὲ ἐνούσια, πῶς οὐκ οὐσίας C μέρη καθέστηκε; Πᾶν γὰρ μέρος ἐνουσίου, οὐσίας μέρος κυρίως, καὶ οὐχ ὑποστάσεως, ἐπείπερ οὐκ ἐκ τῶν οὐσιωδῶν ἡ ὑπόστασις, ὡς ὑπόστασις χαρακτηρίζεται· ἀλλ' ἐπὶ μὲν τῶν ἀνθρώπων, ἐκ λευκότητος, σιμότητος, καὶ τῶν τοιούτων· ἐπὶ δὲ τῆς θείας οὐσίας, ἀπὸ τρόπου ὑπάρξεως· καθ' ὃν ἡ μὲν γεννητικῶς, ἡ δὲ γεγεννημένως, ἡ δὲ ἐκπορευτικῶς. Πῶς οὖν καὶ δύο τελείας λέγοντες τὰς οὐσίας, ἐπεὶ οὐκ οὐσίας μέρη λέγετε, ὡς ἐκ μερῶν φατε τὴν ὑπόστασιν; Καὶ μέρη φαμὲν ὑποστάσεως, ὡς ἐκ πλειόνων οὔσης οὐσιῶν, τὰς οὐσίας, καὶ ἐνούσια ταῦτα, ἤγουν οὐσίας, λέγομεν ἐπὶ Χριστοῦ. Πῶς δὲ ὑμῖν εἴ τι ἐνούσιον μερικὸν ἀναγκαίως δοκεῖ, καὶ μέρος οὐσίας τινὸς μιᾶς μόνης καθεστηκέναι; Καὶ γὰρ τῆς τῶν ἀλλοφύλων ὑποστάσεως, οὐ μιᾶς μόνης οὐσίας D μέν εἰσι τὰ μέρη, καὶ ὅμως ἐνούσιά ἐστι· πλειόνων γὰρ τῶν κατὰ τὴν ὑπόστασιν οὐσιῶν, τὸ μέρος τὸ ἐνούσιον, οὐσίαν μὲν εἶναι πάντως, οὐκ οὐσίας δὲ μιᾶς μέρος εἶναι ἀνάγκη. Πῶς δὲ καί φατε, ἐπεὶ λέγεται ἐνούσιόν τι μέρος, καὶ οὐσίας τινὸς ἀριθμῷ μιᾶς μέρος εἶναι, διὰ τόδε αὐτὸ ἀναγκαῖον εἶναι, ὅτι ἐνούσιον ἁπλῶς λέγεται; Ἆρα γὰρ ἐπεὶ καὶ μέρος ἔμψυχον καὶ ἐνούσιον ὁ ἄνθρωπος τοῦ κόσμου λέγεται εἶναι, ἤδη καὶ μέρος ψυχῆς τινος καθολικωτέρας νοηθήσεται· καὶ ἐπεὶ μέρος τοῦ φυτοῦ ἡ συκῆ ἐνούσιος οὖσα, οὐσίας ἁπλῶς τοῦ φυτοῦ μιᾶς ἐνυπάρκτου ἔσται μέρος. Εἰ δὲ τὸ σχῆμα τῆς λέξεως πείθει τὸ ἐνούσιον οὐσίας μέρος εἶναι, ἐπεὶ καὶ ἐντόπιόν τι εἴρηται εἶναι, ἄρα μέρος εἶναι τόπου καὶ

CAP. III.

A Si totum hujusce subsistentiæ est Deus Verbum, aiunt, a quo igitur compleatur dicite; Dei enim Verbi Deus Verbum non erit pars, cum nihil pars esse sui dicitur. Primo quidem, non simpliciter totum subsistentiæ Domini Christi a nobis dicitur Verbum esse, sed caro factum. Alio modo: si, quoniam dicitur totum ejus subsistentiæ, ita dicitur esse Christum ex alio aliquo præter Verbum, tanquam ex partibus quæ semper aliæ sunt quoad totum, omnino necessarium est illud compleri; cum totum paternæ subsistentiæ sit Deus Pater; e quo igitur alio istud compleatur quod sit velut ejus pars, dicite. Dei enim Patris Deus Pater non erit pars secundum vos; et quis non deplorabit has cavillationes vestras et voluntariam insaniam? Non enim quod ex partibus constat absolute esse totum dicitur, ut superius dictum est, sed quod perfectam et propriam habet suam rationem, o adversarii. Sic enim totum esse et totam unitatem dicimus; neque ex partibus ista cognoscimus; imo non omnis totalitas diversæ speciei constat suis partibus omnibus simul consideratis. Num enim ferri est totalitas et ignis simul ferrum candens, aut sanguis conchæ et fila serica simul est purpura?

CAP. IV.

Si ex partibus patri et matri similis essentia est subsistentia Christi, hæ illius partes essentiales sunt, aut non: si non sunt, quomodo essentia similes his qui sunt essentiales? si autem sunt, quomodo non essentiæ partes sunt? Nam omnis pars entis essentialis, essentiæ pars est proprie, neque subsistentiæ, dum non ex essentialibus subsistentia; quoad subsistentiæ characterem tenet; sed in hominibus ex albedine, simositate, et talibus; in divina autem essentia ex exsistentiæ ratione, secundum quam aut genitor, aut genitus, aut procedens est. Quomodo igitur duas perfectas dicunt essentias, cum non essentiæ partes asseritis, ut ex partibus subsistentiam dicitis? et partes dicimus subsistentiæ tanquam sit illa ex pluribus essentiis, essentias et hæc essentialia, id est essentias, dicimus in Christo. Quomodo autem vobis, si quid est essentiale, partibus constare necessario videtur, et pars unius tantum essentiæ esse? et enim in cæterorum subsistentia, non tantum unius essentiæ sunt partes, et simul essentiales sunt. Plurium enim in subsistentia essentiarum, pars essentialis, essentia sit omnino neque essentiæ non tantum pars necesse est. Quomodo autem dicitis, cum asseritur essentiale aliquam esse partem, et essentiæ alicujus numero unius partem esse, ob hoc esse necessarium, ut essentiale simpliciter dicatur? Enimvero, cum pars mundi animalis et essentialis homo esse dicitur, jam pars alicujus animæ magis universalis reputabitur; et, cum pars plantæ sit ficus essentialis, essentiæ simpliciter unius plantæ erit pars. Sin autem vocabuli habitus indicat essentiale partem

esse essentiæ, cum aliquid locale esse dicitur, pars ergo loci esse hoc existimabitur; et cum aquaticum dicitur aliquod animal, ergo pars erit aquæ hoc animal.

CAP. V.

Si ex parte ejusdem essentiæ est ac Pater, et ex parte ejusdem essentiæ ac David, subsistentia secundum vos indicat has partes, per quas Patri ac Davidi est essentia similis, Deus est et homo, an aliud quid? Si vero aliud quid, dic quid sit. Si Deus est et homo, non erit homo habens propriam subsistentiam secundum David, cui essentia similis est; sicut Deus Verbum habet propriam subsistentiam secundum Patrem, cui essentia similis est. Insubsistens enim subsistenti eadem essentia simile nunquam dicetur. Si igitur una subsistentia sit Dei Verbi, et illa perfecta et essentia similis Patri, homo qui ex nobis est, aut insubsistens erit et in mero vocabulo dictus, aut subsistens, et sic habens perfectam subsistentiam, quoad homo est. Sin autem insubsistens, superfluum est similem esse illum essentia Davidi; nihil enim insubsistentis subsistenti potest esse simile essentia. Si vero subsistens, juste essentia similis dicetur Davidi; nam omnino dicitur subsistentia subsistentiæ similis essentia; et abibit vobis sophisma quo duas subsistentias dicere nolentes, duas naturas Dei Verbi et hominis ex nobis oriundi dicitis.

Verum, o adversarii, si detur semel istam unam subsistentiam naturis quibus constat Deum et hominem esse secundum nos, quomodo erit per ipsam naturam homo habens propriam subsistentiam, aut Deus? Non enim datus est nobis iste homo qui non esset Deus, neque usquam dicitur, ita ut hominis et Dei subsistentia quæratur. Ecce enim vos dixistis, tanquam partes sint hujusce subsistentiæ, hominem nos dicere et Deum. Pars autem nihil est proprie subsistentis; quomodo ergo putatis nos ex nostris propositis ratiocinari? Dicentes enim nos asserere partes esse hujus subsistentiæ divinitatem et humanitatem, quomodo consequenter adjicitis propriam habeat subsistentiam pars necesse esse, id est humanitas? Nullo modo enim pars in sua propria sed in totius subsistentia consideratur; ita ut hæc omnia vobis concedantur, etsi necesse sit aliquam subsistentiam esse Davidi essentia similem dictam, et Patri subsistenti etiam essentia similem, quomodo plures esse subsistentias in Christo inde dicendum? Ecce enim in uno et eodem toto hanc sententiam intermediæ divinam inter et humanam naturam subsistentiæ Christi, utrinque identitatem essentiæ sumentis. Non solum autem istud, sed essentiæ diversitatem quoad utramque ejus speciem videre est secundum alterutram rationem quæ est in illa et diversitatem illius essentiæ, quod ad omnia ad illam pertinentia una et cadem tota ejusdem subsistentiæ ratione videri potest. Non est enim necessarium, ut vultis, dicere secundum

A τόδε λογισθήσεται· καὶ ἐπεὶ ἐνύδριον λέγεταί τι ζῶον, ἄρα καὶ μέρος ἔσται τὸ ζῶον ὕδατος.

ΚΕΦΑΛ. Ε'.

Εἰ ἐκ μέρους ὁμοούσιος τῷ Πατρὶ, καὶ ἐκ μέρους ὁμοούσιος τῷ Δαβὶδ, ἡ παρ' ὑμῖν ὑπόστασις, εἰπὲ τὰ μέρη ταῦτα, καθ' ἃ καὶ τῷ Πατρὶ καὶ τῷ Δαβὶδ ἐστιν ὁμοούσια· Θεός ἐστι καὶ ἄνθρωπος, ἢ ἕτερόν τι; Ἀλλ' εἰ μὲν ἕτερόν τι, εἰπὲ τί τοῦτο· εἰ δὲ Θεὸς καὶ ἄνθρωπος, οὐκ ἔσται ὁ ἄνθρωπος ἔχων ἰδικὴν ὑπόστασιν παρὰ τὸν Δαβὶδ, ᾧ ἐστιν ὁμοούσιος· ὥσπερ καὶ ὁ Θεὸς Λόγος ἔχει ἰδικὴν ὑπόστασιν παρὰ τὸν Πατέρα, ᾧ ἐστιν ὁμοούσιος· τὸ γὰρ ἀνυπόστατον τῷ B ἐνυποστάτῳ ὁμοούσιόν ποτε οὐκ ἂν λεχθείη. Εἰ τοίνυν μία ὑπόστασις τοῦ Θεοῦ Λόγου, καὶ αὕτη τελεία καὶ ὁμοούσιος τῷ Πατρὶ, ὁ ἐξ ἡμῶν ἄνθρωπος, ἢ ἀνυπόστατός ἐστι καὶ μέχρι ψιλῆς τῆς φωνῆς λεγόμενος, ἢ ἐνυπόστατος, καὶ αὐτὸς τελείαν ἔχων τὴν ὑπόστασιν, καθὸ ἄνθρωπος. Ἀλλ' εἰ μὲν ἀνυπόστατος, περιττὸν τὸ ὁμοούσιον αὐτὸν εἶναι τῷ Δαβίδ· οὐδὲν γὰρ ἀνυπόστατον ἐνυποστάτῳ καθέστηκεν ὁμοούσιον. Εἰ δὲ ἐνυπόστατος, δικαίως μὲν ὁμοούσιος λεχθήσεται τῷ Δαβίδ· καθόλου γὰρ ὑπόστασις ὑποστάσει λέγεται ὁμοούσιος· οἰχήσεται δὲ ὑμῶν τὸ σόφισμα τὸ μὴ λέγειν δύο ὑποστάσεις βουλομένων τὰς δύο φύσεις τοῦ τε Θεοῦ Λόγου καὶ τοῦ ἐξ ἡμῶν ἀνθρώπου λέγειν.

Ἀλλ', ὦ οὗτοι, εἰ δοθῇ ἅπαξ αὕτη ἡ μία ὑπόστα- C σις ταῖς φύσεσιν αὐτῆς Θεὸς καὶ ἄνθρωπος εἶναι καθ' ἡμᾶς, πῶς ἔσται ὁ κατ' αὐτὴν ἄνθρωπος τὴν φύσιν ἔχων ἰδίαν ὑπόστασιν, ἢ ὁ Θεός; Οὐ γὰρ, οὐ Θεὸς ὢν οὗτος ὁ ἄνθρωπος δέδοται ἡμῖν, ἢ λέγεταί πώποτε, ἵνα καὶ ἀνθρώπου ὑπόστασις καὶ Θεοῦ ζητῆται. Ἰδοὺ γὰρ καὶ ὑμεῖς ἔφητε, ὡς Τὰ μέρη τῆσδε τῆς ὑποστάσεως, ἄνθρωπόν φαμεν καὶ Θεόν· μέρος δὲ οὐδέν ἐστιν ἰδιοϋπόστατον. Πῶς οὖν δοκεῖτε ἐκ τῶν ἡμετέρων ἡμᾶς συλλογίζεσθαι λημμάτων; Εἰρηκότες γὰρ μέρη τῆσδε τῆς ὑποστάσεως θεότητα καὶ ἀνθρωπότητα λέγειν ἡμᾶς, πῶς ἀκολούθως ἐπάγετε, τὸ ἰδίαν ἔχειν δεῖν ὑπόστασιν τὸ μέρος, ἤγουν τὴν ἀνθρωπότητα; οὐδὲν γὰρ μέρος ἐν ἰδίᾳ, ἀλλ' ἐν τῇ τοῦ ὅλου ὑποστάσει, θεωρεῖται. Ἵνα δὲ καὶ ταῦτα ὑμῖν ἀφεθῇ πάντα, εἰ καὶ ἀνάγκη τινὰ ὑπόστασιν D εἶναι τήν τε τῷ Δαβὶδ ὁμοούσιον λεγομένην, τήν τε τῷ Πατρὶ τῷ ἐνυποστάτῳ ὁμοούσιον οὖσαν, πλείους ὑποστάσεις ἐν Χριστῷ πῶς λεκτέον ἐντεῦθεν; Ἰδοὺ γὰρ ἐν ἑνὶ καὶ τῷ αὐτῷ ὅλῳ ταύτην τῆς μεσιτευούσης θείᾳ καὶ ἀνθρωπείᾳ φύσει ὑποστάσεως τοῦ Χριστοῦ, ἑκατέρωθεν τὸ ὁμοούσιον αὐτῆς· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὸ ἑτεροούσιον πρὸς τὰ ἑκάτερα εἴδη αὐτῆς ὁρᾷν ἔστι κατὰ θάτερον λόγον τὸν ἐν αὐτῇ· καὶ τὸ ἑτεροϋπόστατον δὲ αὐτῆς, τὸ πρὸς πάντα τὰ παρ' αὐτὴν τῷ ἑνὶ καὶ τῷ αὐτῷ ὅλῳ τῆς αὐτῆς ὑποστάσεως λόγῳ ἰδεῖν ἔστι. Οὐκ ἀνάγκη γὰρ, ὥσπερ βούλεσθε, λέγειν κατὰ πᾶσαν τὴν πρὸς ἑτέραν ὑπόστασιν διαφορὰν οὐσιώδη τινὸς ὑποστάσεως· καὶ ἄλλην ὑπόστασιν ἑκάστη τῶν διαφερόντων αὐτῆς εἰσάγεσθαι οὐσιῶν. Δυνατὸν γὰρ ἕν τι καὶ τὸ αὐτὸ φυσι-

κὸν σύνθεμα, πρὸς πολλὰ ἔχειν τήν τε οὐσιώδη ὁμοιότητα καὶ ἀνομοιότητα· ὑποστατικὴν δὲ τὴν ἐν μονάδι πρὸς πάντα ἀνομοιότητα. Εἰ γὰρ καθ' ὑμᾶς πάντως ὑπόστασιν δεῖ παρατίθεσθαι, μίαν μὲν τῷ Δαβὶδ πρὸς τὸ φανῆναι τὴν ἑτερότητα τὴν πρὸς αὐτὸν κατ' οὐσίαν τοῦ Λόγου, καὶ μίαν τῷ Πατρὶ πρὸς ἔνδειξιν τῆς οὐσιώδους διαφορᾶς αὐτοῦ τῆς πρὸς τὸν ἄνθρωπον· καὶ οὐ μιᾷ καὶ τῇ αὐτῇ ὑποστάσει ἔστι τὴν πρὸς θάτερον ἑτέρως διαφοράν τε καὶ ὁμοιότητα φύσεων τῶν ἐν αὐτῇ ἐπιδείκνυσθαι· ὥρα ὑμᾶς λέγειν καὶ τοῦ καθέκαστον ἀνθρώπου μυρίας ὅσας τὰς ὑποστάσεις εἶναι· ἵνα τὴν διαφορὰν τυχὸν τῆς οὐσίας Σολομῶντος πρός τε τόνδε τὸν ἑτεροούσιον αὐτῷ ἵππον, καὶ τόνδε τὸν ἀετὸν, καὶ τόνδε τὸν κώνωπα, καὶ τόνδε τὸν ἐλέφαντα, καὶ τὰς λοιπὰς οὐσίας καθεξῆς συστήσωμεν. Καὶ τὴν ὁμοιότητα δὲ αὐτῆς τὴν πρὸς τὸν καθέκαστον ἄνθρωπον τῶν ὁμοουσίων αὐτῷ νομίζω ἀκόλουθον εἶναι διὰ ἰσαρίθμων ὑποστάσεων εἰσπράττειν, Σολομῶντα δηλῶσαι· καὶ τοσάσδε ὑποστάσεις ἐξ ἀνάγκης ἔχειν, ὅσαι ἂν οὐσίαι τύχοιεν αἱ ὁμοούσιοι αὐτῷ, καὶ ἀνομοιούσιοι οὖσαι· ἵνα τῇ παραθέσει ἑκάστης ὑποστάσεως αὐτοῦ πρὸς πᾶσαν ὑπόστασιν αὐτοῦ ὁμοίαν τε καὶ ἀνόμοιον, ὁμοούσιος κρίνοιτο καὶ ἀνομοιούσιος εἶναι καθέκαστον· καὶ μὴ μιᾷ καὶ τῇ αὐτῇ ὑποστάσει ἐκ διαφόρων οὐσιῶν καὶ προσώπων διορίζοιτο.

A omnem ab altera subsistentia differentiam essentialem alicujus subsistentiæ, et aliam subsistentiam cuique differentium ab ipsa essentiarum adduci. Possibile enim est unum et idem naturale compositum in multis habere essentialem similitudinem et dissimilitudinem; subsistentialem vero esse in unitate ab omnibus dissimilitudinem. Si enim secundum nos omnino subsistentiam oportet conferre, unam Davidi ad ostendendam diversitatem ab illo essentiæ Verbi, et unam Patri ad declarandam essentialem ejus differentiam ab hominis essentia, neque unius et ejusdem subsistentiæ ostendere est ab utro naturæ differant an utri similes sint, necesse vobis est dicere hominis singulatim sumpti quot millia sint subsistentiarum: ut B differentiam, verbi gratia, essentiæ Salomonis ab isto dissimili essentia equo, et ista aquila, et isto culice, et isto elephante, et reliquis per ordinem essentiis conferamus, similitudinem ejus essentiæ cuique singulatim homini horum qui eamdem essentiam habent puto hanc consequentiam necessario adducere per subsistentias numero æquales, ut Salomon ostendatur; et tot subsistentiæ necessario habeantur, quot essentiæ occurrunt illi essentia similes et absimiles; ita ut comparando quamque illius subsistentiam cum omni subsistentia simili illi et dissimili, judicetur essentia similis et absimilis esse singulatim, neque una et eadem subsistentia ab essentiis et personis diversis discernatur.

Ἀλλ' ἕως πότε ἡμᾶς τοῖς οὕτω λίαν ὡμολογημένοις ἐγκόπτετε; Ἆρα γὰρ οὕτως ἴστε ἀληθῶς τὰς πρὸς διάφορα συγκρίσεις, τοῦδέ τινος ἑνὸς δεῖσθαι πλειόνων ὑποστάσεων ἀριθμῷ, διὰ τὴν πρὸς πλείονα διένεξιν αὐτοῦ; Καὶ τίς ὑμῶν ἀνέξεται τοῦτο λεγόντων; Ἔσται γὰρ ἐντεῦθεν δηλούμενον, ὡς καὶ τὸ σύμμετρόν τινι ἢ τισι ξύλον, καὶ ἔλαττον ἑτέρων, καὶ μεῖζον ἄλλων, ἑκάστῳ λόγῳ ἐλλείψεώς τε καὶ ὑπερβολῆς καὶ ἰσότητος, ἀναλόγων πάντως δεόμενόν ἐστιν ὑποστάσεων· ἵνα τῇ μὲν τοσῇδε ἐλλείψει μίαν, καὶ τοσῇδε μίαν, καὶ ταῖς μυρίαις μυρίας· αἱ πάλιν τῇδε τῇ ὑπερβολῇ μίαν ἀντιστήσετε· καὶ τῇδε τῇ διαφερούσῃ ὑπερβολῇ μίαν, καὶ ἁπλῶς πρὸς ἕκαστον τῶν διαφερόντων καὶ ἴσων ἰδίαν ἔχει ὑπόστασιν τὴν συγκρινομένην· ὡς λοιπὸν ἄμετρα εἶναι ἀεὶ τὰ συγκρινόμενα, καὶ οὐχ ἕν τι τοῖς πλείοσι συγκρίνεσθαι. Ὁμοίως δὲ τὸ φαιὸν χρῶμα λευκῷ τε καὶ μέλανι καὶ ὠχρῷ καὶ πυῤῥῷ καὶ ξανθῷ καὶ κυανῷ καὶ μυρίοις ἑτέροις διάφορον καθεστὼς, καὶ πρὸς ἕτερον φαιὸν ὅμοιον ὂν, δύο ἐξ ἀνάγκης καὶ μυρία ἀριθμῷ δεικνύναι ὄντα τὰ φαιὰ δεήσει· ἵνα ἓν μὲν τῷ λευκῷ, ἓν δὲ τῷ μέλανι συγκρίνηται· ἓν δὲ τῷ ἄλλῳ φαιῷ καὶ τὸ ἐκ λίνου καὶ ἐρίου πέπλον, δύο δεῖται ὑποστάσεων εἴς τε παραστῆσαι τὴν ὁμοίωσιν τοῦ ἐρίου πρὸς τὸ ἔριον, καὶ τοῦ λίνου πρὸς τὸ λίνον· καὶ δύο δεῖ οἴκων πρὸς τὸ γνῶναι τὰ ὁμοούσια τῶν ξύλων καὶ λίθων τῶν ἐν αὐτῷ· καὶ ἁπλῶς ἅπαντα οὕτως ἔχει τὰ τοιάδε. Εἰ δὲ ταῦτα καὶ μειρακίοις λέγειν ἀσύγγνωστον, ἀκουστέον ὀρθῶς τὸ λεγόμενον εὐσεβῶς, ὅτι μιᾶς οὔσης καὶ τῆς αὐτῆς ὑποστάσεως τοῦ Δεσπότου ἡμῶν Ἰησοῦ Χρι-

Sed quousque nos his ita admodum admissis C impeditis? Num enim sic vere scitis conjunctiones differentium, et cui uni opus sit pluribus numero subsistentiis, ut a pluribus differat? et quis vos tolerabit id dicentes? Erit enim inde demonstratum, quomodo lignum mensura æquale uni cuidam aut pluribus, et aliud minus et majus cæterorum cuique, ratione inferioritatis et superioritatis et æqualitatis, omnino analogas requirat subsistentias; ita ut tali inferioritati unam, et tali unam, et millibus millia comparaveritis; et iterum huic superioritati et tali unam, et huic differenti superioritati unam, et uno verbo ad unumquodque differentium et æqualium propria pertinet subsistentia si comparetur; ut demum mensuræ diversæ sint semper comparata neque unum quod- D dam pluribus comparari possit. Similiter et fuscus color albo, nigro, flavo rubro, cæruleo et viridi et mille aliis dissimilis est; et cum alteri fusco similis est, duos necessario et mille numero ostendere fuscos oportebit, ut unus albo, unus nigro comparetur; uni autem velo, alio fusco colore, ex lino et lana texto, duabus opus est subsistentiis ad comparandam similitudinem lanæ cum lana, lini cum lino; et duæ necessariæ sunt domus ad cognoscendam essentiæ similitudinem lignorum et lapidum quibus constant, et uno verbo omnia sic talia se habent. Si vero hæc dicere juvenibus minime ignoscitur, audiendum recte est quod pie dicitur, cum sit una et eadem subsistentia Domini nostri Jesu Christi in illa Deum Verbum perfe-

ctum, et oriundum e nobis hominem similem nobis perfectum secundum naturam agnosci, duabus illius exsistentibus essentiis. Ideo comparatio illius subsistentiæ cum Davidis subsistentia, non secundum subsistentiam, sed secundum essentiam illam diversam ostendit et similem, prout fit cum alterutra duarum naturarum; quoad autem subsistentiæ rationem, evidens est illam semper et communi consensu Patri et Davidi dissimilem comparatione demonstrari; ut omnes ex omnibus omnis subsistentia in sua unitate distinguit. Christi ergo naturarum subsistentia, illum essentia dissimilem in parte, et essentia similem hisce ostendit esse; diversam autem subsistentiæ circa totum ejus rationem omnibus entibus præstat. Eadem enim et una ejus persona subsistens, subsistentibus duabus personis similem essentia secundum alterutram rationem, et essentia dissimilem illum prædicare potest. Subsistentiæ enim, non est subsistentia, sed ut essentialis dicitur esse quibus essentia similis aut absimilis; neque ita nobis ne duas naturas ostendamus, unitas subsistentiæ impedit; neque ne unam subsistentiam dicamus, duitas naturarum obstat; neque insubsistens invenitur, quod in una subsistentia his qui ab illo differunt est in essentia simile, sed non necessario dupliciter subsistens, ob similitudinem duobus in essentia, si non singulatim essentia simile est, imo essentia dissimile est unius naturæ tantum, aut cum plures naturæ sint in persona, æqualium numero subsistentiarum opus est.

CAP. VI.

Rogamus iterum, dijudicate quod diximus; dicite quid significatum sit a vobis per quamque naturam illius quem vocatis Deum et hominem: hominem esse et Deum Verbum, aut in genere hominem; sanctam Triadem, aut in genere hominem; Deum Verbum, aut aliquem hominem, sanctam Triadem; sed quia non vultis Triadem significare per hominem, neque certe per particularem aliquem hominem aperte declarastis dicendo unum e sancta Triade crucifixum et passum, superest igitur ut dicatis an Deum Verbum, utrum hominem in genere sumptum, utrum particularem aliquem hominem velitis significare per unam naturam et non omnem hominem. Dicite igitur in quo differat particularis homo ab omni homine? An evidenter, in sola subsistentia et persona? Quomodo ergo non duas dicitis personas et subsistentias, cum duas naturas dicitis designando Deum Verbum unum aliquem hominem? Sin autem in genere hominem vultis dicere, aut cogitatione fingitis illum, quem ratione spoliastis essentia in singulis sumpta, et imaginatione statuitis illum, cum dicitis sine subjecta illi essentia hominem factum esse Deum: aut singula illa omnia particulari in exsistentia colligitis, cum in omnibus incarnatum esse docetis unum e sancta Triade. Verum, si prius, quomodo non mera ima-

A στοῦ, ἐν αὐτῇ ὅ τε Θεὸς Λόγος τέλειος, καὶ ὁ ἐξ ἡμῶν καθ' ἡμᾶς ἄνθρωπος τέλειος κατὰ φύσιν γινώσκεται, δύο τῶν οὐσιῶν αὐτῆς οὐσῶν. Διὸ σύγκρισις ταύτης πρὸς τὴν ὑπόστασιν Δαβὶδ γινομένη, οὐ καθ' ὑπόστασιν, ἀλλὰ κατ' οὐσίαν ἑτέραν τε δείκνυσιν αὐτὴν καὶ ὁμοίαν, κατὰ θατέρων τῶν αὐτῆς φύσεων. Κατὰ δὲ τὸν τῆς ὑποστάσεως λόγον, δῆλον ὡς καὶ πρὸς τὸν Πατέρα καὶ πρὸς τὸν Δαβὶδ ἀεὶ ὡμολογημένως διάφορον οὖσαν αὐτὴν ἀποδείκνυσιν ἡ σύγκρισις· ὥσπερ καὶ πάντας ἐκ πάντων πᾶσα ὑπόστασις ἐν τῇ μονάδι ἑαυτῆς διακρίνει. Τῶν οὖν Χριστοῦ φύσεων ἡ ὑπόστασις, καὶ ἀνομοούσιον αὐτὸν ἀνὰ μέρος, καὶ ὁμοούσιον πρὸς τοὺς τοιούσδε εἶναι δείκνυσιν· ἑτερουπόστατον δὲ ἀνὰ τὸν ὅλον αὐτοῦ ἕνα λόγον πᾶσι τοῖς οὖσι παρίστησι. Τὸ γὰρ αὐτὸ ἓν πρόσB ωπον αὐτοῦ ἐνυπόστατον, ἐν ὑποστάτοις δύο προσώποις ὁμοούσιον κατὰ θάτερον λόγον, καὶ ἑτεροούσιον αὐτὸν ἀπαγγέλλειν δύναται· ἡ ὑπόστασις γὰρ, οὐχ ὡς ὑπόστασις, ἀλλ' ὡς ἐνούσιος λέγεται οἷς λέγεται ὁμοούσιος ἢ ἑτεροούσιος. Καὶ οὕτως οὐδὲν ἡμῖν πρός τε τὸ τὰς δύο φύσεις δεικνύειν τὸ μοναδικὸν τῆς ὑποστάσεως παρεμποδὼν γέγονεν· οὐδὲ πρὸς τὸ μίαν λέγειν τὴν ὑπόστασιν, τὸ δυαδικὸν τῶν φύσεων ὀχληρὸν καθέστηκεν· οὐδὲ ἀνυπόστατόν τι ἔχει, τὸ ἐν μιᾷ ὑποστάσει αὐτοῦ διαφόροις ὁμοούσιον· ἀλλ' οὐκ ἐξ ἀνάγκης δισυπόστατον, διὰ τὸ δύο τισὶν ὁμοούσιον εἶναι, εἴπερ μὴ καθ' ἕκαστον ὁμοούσιον, καὶ ἔτι μᾶλλον ἑτεροούσιον μιᾶς φύσεως μόνης, ἢ πλειόνων φύσεων οὐσῶν τῷ προσώπῳ, ἰσαρίθμων ὑποστάσεων C χρεία ἐστίν.

ΚΕΦΑΛ. Ϛ'.

Ἐρωτῶμεν πάλιν, διακρίνατε τὸ λεγόμενον ἡμῖν· εἴπατε τί τὸ σημαινόμενον ὑφ' ὑμῶν δι' ἑκάστης φύσεως τοῦ παρ' ὑμῶν λεγομένου Θεοῦ καὶ ἀνθρώπου· ὅτι ἄνθρωπος, καὶ Θεὸς Λόγος, ἢ ὁ καθόλου ἄνθρωπος καὶ ἡ ἁγία Τριὰς, ἢ ὁ καθόλου ἄνθρωπος, καὶ ὁ Θεὸς Λόγος, ἢ ὅ τις ἄνθρωπος, καὶ ἡ ἁγία Τριάς. Ἀλλ' ὅτι Τριάδα μὴ βούλεσθε σημαίνειν μετὰ τοῦ καθόλου λεγομένου ἀνθρώπου, οὔτε μὴν μετὰ τοῦ ἰδικοῦ τινος, πρόδηλοι καθεστήκατε, ἐκ τοῦ ἕνα λέγειν τῆς ἁγίας Τριάδος τὸν σταυρωθέντα καὶ παθόντα. Λείπεται οὖν λέγειν ὑμᾶς τὸν Θεὸν Λόγον, καὶ ἢ τὸν καθόλου λεγόμενον ἄνθρωπον, ἢ ἰδικόν D τινα ἄνθρωπον λέγοιτε σημαίνειν διὰ τῆς μιᾶς φύσεως, καὶ οὐ πάντα ἄνθρωπον. Εἴπατε οὖν, τίνι διαφέρει ἰδικὸς ἄνθρωπος τοῦ παντὸς ἀνθρώπου; Ἢ πρόδηλον, ὅτι μόνῃ τῇ ὑποστάσει καὶ τῷ προσώπῳ; Πῶς οὖν οὐ δύο φατὲ πρόσωπα καὶ ὑποστάσεις, δύο φύσεις λέγοντες ἐπὶ σημασίᾳ τοῦ Θεοῦ Λόγου ἑνός τινος ἀνθρώπου; Εἰ δὲ τὸν καθόλου ἄνθρωπον ἐθέλοιτε λέγειν, ἢ ἐννοίᾳ λαμβάνετε τοῦτον τῷ λόγῳ αὐτὸν ἀποματτόμενοι τῆς οὐσίας ἐκ τῶν καθέκαστα, καὶ νοήσει κατέχοντες αὐτὸν, ἄνευ τῆς ὑποκειμένης οὐσίας τούτῳ λέγοντες ἐνηνθρωπηκέναι τὸν Θεόν· ἢ αὐτὰ πάντα τὰ καθέκαστα ὑπάρξει ἰδίᾳ συνάγοντες, ὁπότε αὐτὸ πᾶσι σεσαρκῶσθαι δογματίζετε τὸν ἕνα τῆς Τριάδος. Ἀλλ' εἰ μὲν τὸ πρῶτον, πῶς οὐ ψιλῇ τῇ ἐννοίᾳ, καὶ οὐχ ὑπάρξει οὐσιώδει, λέγετε γεγε-

νῆσθαι τὴν ἐνανθρώπησιν τοῦ Κυρίου; εἰ δὲ τὸ δεύτερον, πῶς οὐκ ἔσται ἐνηνθρωπηκὼς ὁ Θεὸς Λόγος καὶ ἀσεβέσι καὶ ἁμαρτωλοῖς καὶ προτελευτήσασι καὶ ἐσομένοις ἀνθρώποις; ὅπερ ἀσεβὲς, καὶ τῆς ὑμετέρας λέγειν σοφίας. Εἰ δὲ ἄλλως ἐθέλοιτε τὸ καθόλου ἄνθρωπον ὑποθέσθαι κατὰ τοὺς παρεισφέροντας τὰς λεγομένας ἰδέας, καὶ οὕτως οὐχ ἕξει χώραν ἡ ἐνανθρώπησις. Ἵνα γὰρ τὰ λοιπὰ παρήσω, σῶμα τὸ ἐκ Μαρίας, ἐκείνου μέρος εἶναι λέγειν ὀρθῶς οὐ δυνατόν· πῶς δὲ οὐ φανήσεσθε προδηλότατα τῇ Γραφῇ μαχόμενοι, ἕνα ἐξ ἡμῶν διδασκούσῃ εἶναι τὸν Κυριακὸν ἄνθρωπον; «Βίβλος γὰρ, φησὶ, γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ.» Καὶ πρόδηλον ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος· καὶ «Τὸν ἄνδρα Μαρίας ἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος Χριστὸς,» καὶ, «Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον ἀπὸ Θεοῦ εἰς ὑμᾶς, δυνάμεσι καὶ τέρασι καὶ σημείοις οἷς ἐποίησε δι' αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ αὐτοὶ οἴδατε.

«Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς, τανῦν παραγγέλλει τοῖς πᾶσι πανταχοῦ μετανοεῖν· καθότι ἔστησεν ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν·» καὶ, «Ὥσπερ δι' ἑνὸς ἀνθρώπου ὁ θάνατος, οὕτως καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν. Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκομεν, οὕτως καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθησόμεθα·» καὶ, «Εἷς ὁ Θεὸς, εἷς μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Ἰησοῦς·» καὶ, «Ὁ δὲ Ἰησοῦς προέκοπτεν ἡλικίᾳ καὶ σοφίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις·» καὶ, «Τὸ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πληρούμενον σοφίας· καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτῷ·» καὶ, «Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἡμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ·» καὶ, «Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.» Ἆρ' οὖν πάντα ταῦτα καὶ ὅσα τοιαῦτα ἄπειρα ὄντα, παρὰ τῇ ἁγίᾳ Γραφῇ δύνασθε λέγειν περὶ ἑκάστου ἀνθρώπου τῶν καθέκαστα λελέχθαι; Καὶ πῶς δυνατὸν εἰπεῖν πάντας ἀνθρώπους ἐκ σπέρματος εἶναι Ἀβραάμ; καὶ τούτου οὐ παντὸς, ἀλλὰ φυλῆς Ἰούδα· καὶ ταύτης οὐχ ὅλης, ἀλλ' ἐξ οἴκου Δαβὶδ· καὶ τούτου οὐ παντὸς, ἀλλὰ Μαρίας τῆς Παρθένου; Ἆρα ἴσως οὖν εἴποιτε ἂν καὶ τὸν Καϊάφαν ἐκ Μαρίας γεγενῆσθαι τῆς Παρθένου; καὶ οὗτος γὰρ εἷς ἐστι τῶν καθέκαστα ἀνθρώπων. Ἆρα γὰρ καὶ τὴν Μαρίαν, ἄνθρωπον εἴποιτε εἶναι, ἢ οὐκ ἄνθρωπον; Ἀλλ' εἰ μὲν οὐκ ἄνθρωπον, εἴπατε τί τὴν οὐσίαν ὑπάρχει· εἰ δὲ ἄνθρωπον, καὶ πῶς τὸν καθόλου ἄνθρωπον αὕτη γεγέννηκε, πολλὰς μὲν ἀνθρώπων γενεὰς ἔχοντα πρὸ αὐτῆς, πολλὰς δὲ καὶ μετ' αὐτήν; ἢ πῶς τὸ καθόλου, τι τῶν καθόλου γεννήσειεν; Ἀλλὰ μὴ οὐδ' ἄνδρα δύνασθε τὴν σύμπασαν φύσιν ὀνομάζειν· ἐπεὶ μηδὲ γυναῖκα· τὸ *ἄνθρωπος* γὰρ κοινὸν τούτων κἀκείνων, τὸ *ἀνὴρ* δὲ καὶ τὸ *γύναιον* διακριτικὰ καθέστηκε τῆς ἐν τῇ κοινῇ φύσει διαφορᾶς.

Πῶς δὲ καὶ τὸ ἄλλο οὐ σαφὲς, ὅτι ὥσπερ εἷς τῶν

A ginatione neque exsistentia essentiali dicitis factam esse Domini incarnationem? sin autem posterius, quomodo non erit incarnatus Deus Verbum in impiis, peccatoribus et præteritis et futuris hominibus? quod impium, et vestra dignum sapientia. Quod si vultis alio modo hominem in genere intelligere secundum aliunde introductas quas dicitis formas, sic locum non habebit incarnatio. Ut enim cætera prætercam, corpus e Maria natum istius partem esse non potest recte dici; quomodo autem non evidentissime demonstrabimini impugnantes Scripturæ unum e nobis esse docenti Dominicum hominem? «Liber enim, dicit, generationis Jesu Christi, filii David, filii Abraham;» et evidens est ex Juda ortum esse Dominum; » et: «Virum Mariæ de qua natus est Jesus qui vocatur Christus,» B et: «Jesum Nazarenum, virum manifestatum a Deo in nobis, virtutibus et miraculis et signis quæ fecit per illum Deus in medio nostri, ut ipsi scitis.»

«Tempora igitur ignorantiæ negligens Deus, nunc annuntiat omnibus ubique pœnitentiam; ideo statuit diem in quo judicaturus est orbem in justitia, in viro in quo statuit, fidem præbens omnibus, suscitans illum a mortuis [1];» et: «Sicut per unum hominem mors, sic et per hominem resurrectio mortuorum. Sicut enim in Adam omnes morimur, ita et in Christo omnes vivificabimur [2];» et: «Unus Deus, unus mediator Dei et hominum, homo Jesus [3];» et: «Jesus autem proficiebat ætate et sapientia et gratia apud Deum et C homines [4];» et: «Puer crescebat et confortabatur plenus sapientiæ, et gratia Dei erat in illo [5];» et: «Prophetam vobis suscitabit Dominus Deus noster e fratribus vestris tanquam me [6];» et: «Tu es sacerdos in æternum secundum ordinem Melchisedech [7].» Num igitur omnia hæc et similia quæ innumera sunt, per divinam Scripturam potuistis asserere de homine quoque singulatim dicta esse? Et quomodo possibile est dicere omnes homines e semine Abraham esse? neque ex universali semine, sed ex tribu Juda, neque ex illa tota, sed e domo David, neque ex illa tota, sed ex Maria Virgine? Num forte diceretis Caïpham e Maria Virgine natum esse? Nam ille est unus hominum singulatim sumptorum. Num Mariam ho- D minem diceretis esse, aut non hominem? Si vero non hominem, dicite qua essentia exsistat; sin autem hominem dicitis, quomodo hominem in genere illa peperit, plurimis hominum generationibus ante illam exsistentibus, plurimisque post illam exstituris? Aut quomodo quod est in genere, aliquid eorum quæ sunt in genere parere potuerit? Sed non virum potestis nominare universalem naturam, cum neque mulierem; *homo* enim illis et his commune quoddam est, *vir* autem et *mulier* distinctiones sunt differentiæ in communi natura.

Quomodo autem hoc aliud non perspicuum,

[1] Act. xvii, 30, 31. [2] I Cor. xv, 21, 22. [3] I Tim. ii, 5. [4] Luc. ii, 52. [5] ibid. 40. [6] Deut. xviii, 15. [7] Psal. cix, 4.

quod, sicut unus omnium et principium mortalis institutionis fuit Adam, per quem omnes similes facti sumus mortales secundum naturam, sic et Christus secundum carnem unus est omnium, et principium transitus ad immortalitatem, per quem omnes, ut ipse, vitæ immortalis possessionem obtinemus? et quod unus homo hominum et Dei mediator? Quomodo enim omnes sibi mediatores esse possent? Vel quomodo omnes apud se gratia et sapientia proficerent? Multi enim juvenes moriuntur, ad perfectam ætatem non proficientes; et alii rursus plurimi in medio dementiæ et impietatis versantur, non autem sapientiæ et gratiæ Dei in istis. Verumtamen neque omnes prophetæ secundum Moysen, neque sacerdotes secundum Melchisedech; cum necesse vobis sit sacerdotium idolis sacrificantium et oracula Græcorum, prophetias appellare Mosaicas et sacerdotia Christiana; quod est impium. Sed quid meum de hac re produco sermonem? non enim istud omnibus illis videtur. Unus enim ex defensoribus istius dogmatis cum interrogatus fuisset a quodam ratiocinationis non imperito, quænam essent illæ, quas dicunt, naturæ, totales an partiales, respondit has et illas esse posse; alia tamen et alia ratione. Si enim, inquit, in se habuerint rationem communis essentiæ, dicerentur communes; cum ratio hominis in genere sit animal rationale mortale, et hanc evidenter habuit quod e nobis fuit. Similiter autem diceremus, inquit, de Deo Verbo. Quod autem non se incarnaverit omnis sancta Trias, non certe omnibus sub humana natura jacentibus entibus, particulares essent naturæ et non communes. Audiens ab interrogatore quid essent naturæ particulares, an subsistentia, respondit per istud Nestorii propositum, et induxit ad illos excusandos evertisse domesticum dogma.

Non pluribus opus est propositionibus, nec distinctionibus, nec argumentationibus, nec concionibus; conceditur enim vobis particulares esse duas quas dicitis naturas; etsi quam maxime nihil simile nos de divina dicimus natura: sed scimus illam similiter communem esse, et in particulari subsistentia Verbi particulariter incarnata exsistere; proprie enim loquendo indivisionem habens, tanquam partibus carens, inviolatam servat, etiam distincta, communitatem suam. Aliunde quod tantis laboribus congestum est et intentatum a vobis, illud est, nihil aliud esse subsistentias nisi particulares naturas; et oportet ut vos dicentes duas naturas esse, et has particulares, aut alterutram earum solum, puta humanam, duas videatis et esse subsistentias; divinæ enim naturæ conceditur præexstitisse subsistentia. Sed, o sapientes, multum fallimini, ita rei inquisitæ rationem prius non considerantes, sed in quædam consectaria, aut in rationem sine ratione non ad quæstionem tendentem deviantes. Non enim, quoniam homo anima præditus non sine respiratione aeris est, jam inspi-

A πάντων καὶ πρῶτος τῆς θνητῆς καταστάσεως ὁ Ἀδὰμ δι' οὗ πάντες ὅμοιοι γεγόναμεν θνητοὶ κατὰ φύσιν, οὕτω καὶ ὁ Χριστὸς τὸ κατὰ σάρκα εἷς ἐστι τῶν πάντων, καὶ ἀρχηγὸς τῆς ἐν ἀθανασίᾳ διαγωγῆς, δι' οὗ πάντες κατ' αὐτὸν, τῆς ἀθανάτου ζωῆς ἐν καθέξει γινόμεθα; καὶ ὅτι εἷς ἄνθρωπος ἀνθρώπων καὶ Θεοῦ μεσίτης; Πῶς γὰρ οἱ πάντες ἑαυτοῖς μεσιτεύουσιν; ἢ πῶς πάντες παρ' ἑαυτοῖς χάριτι καὶ σοφίᾳ προκόψαιεν; Οἱ πολλοὶ γὰρ καὶ ἄωροι κοιμῶνται, ἐπὶ τὴν τελείαν ἡλικίαν μὴ προκόπτοντες· καὶ ἄλλοι πάλιν πλεῖστοι ἀνοίας εἰσὶν ἀνάμεστοι καὶ ἀσεβείας, οὐχὶ δὲ σοφίας καὶ χάριτος Θεοῦ τῆς ἐπ' αὐτούς. Ἀλλὰ μὴν οὐδὲ προφῆται πάντες κατὰ Μωϋσέα, οὐδὲ ἱερεῖς κατὰ Μελχισεδέκ· ἐπεὶ ὥρα ὑμᾶς τὴν ἱερωσύνην τῶν εἰδωλοθύτων καὶ B τὰς μαντείας τὰς παρὰ τοῖς Ἕλλησι, προφητείας ὀνομάζειν Μωσαϊκὰς καὶ ἱερωσύνας Χριστιανικὰς, ὅπερ ἀσεβές. Ἀλλὰ τί μου περὶ τούτων ἐκτείνω τοὺς λόγους; οὐδὲ γὰρ πᾶσιν αὐτοῖς τοῦτο δοκεῖ. Εἷς γὰρ τῶν προεστηκότων τουτουῒ τοῦ δόγματος ἐρωτηθεὶς ὑπό τινος οὐκ ἀπείρου τῶν λόγων, τίνες ἂν εἴησαν αἱ παρ' αὐτῶν λεγόμεναι φύσεις, ὁλικαὶ ἢ μερικαὶ, ἀπεκρίνατο μὲν δύνασθαι καὶ ταύτας εἶναι κἀκείνας, ἑτέρῳ μέντοι καὶ ἑτέρῳ λόγῳ. Τῷ γὰρ, φησὶν, ἔχειν ἐν ἑαυταῖς τὸν λόγον τῆς κοινῆς οὐσίας, λεχθείησαν ἂν κοιναί· ἐπεὶ ζῶον λογικὸν θνητὸν ὁ τοῦ καθόλου ἀνθρώπου λόγος· τοῦτον δὲ εἶχε δηλονότι καὶ τὸ ἐξ ἡμῶν. Ὁμοίως δ' ἂν εἴποιμεν καὶ περὶ τοῦ Θεοῦ Λόγου, φησί. Τῷ δὲ μὴ πᾶσαν ἐνηνθρωπηκέναι τὴν ἁγίαν Τριάδα, μήτε μὴν πᾶσι τοῖς ὑπὸ τὴν C ἀνθρωπείαν φύσιν ἀτόμοις, ἰδικαὶ ἂν εἴησαν καὶ οὐ κοιναί. Ἀκούσας δὲ παρὰ τοῦ πυθομένου καὶ τί ἂν εἴησαν ἰδικαὶ φύσεις, ἢ ὑπόστασις, ἔλεγε τοῦτο Νεστορίου πρόβλημα, καὶ ἤρκεσεν ἂν αὐτῶν πρὸς ἀπολογίαν, τοῦ ἀνατετράφθαι τὸ οἰκεῖον δόγμα.

Οὐ πλειόνων χρεία λημμάτων καὶ διαιρέσεων καὶ κατασκευῶν καὶ ὁμιλιῶν. Δεδόσθω γὰρ ὑμῖν ἰδικὰς εἶναι τὰς δύο λεγομένας οὐσίας· εἰ καὶ ὅτι μάλιστα οὐδὲν τοιοῦτον ἡμεῖς ἐπὶ τῆς θείας φαμὲν φύσεως· ἀλλ' οἴδαμεν αὐτὴν ὁμοίως τε κοινὴν οὖσαν, καὶ ἐν τῇ ἰδικῇ ὑποστάσει τοῦ Λόγου ἰδικῶς σαρκωθείσῃ ἐνυπάρχειν. Ἰδίῳ γὰρ λόγῳ ἔχουσα τὸ ἀδιαίρετον, ὡς ἀμερὴς, D ἀπαθῆ φυλάττει καὶ διακρινομένη τὴν κοινότητα ἑαυτῆς. Πλὴν τὸ μυρίοις ὑμῖν κόποις συναγόμενον καὶ σπουδαζόμενον, τοῦτό ἐστιν, ὡς οὐδὲν ἕτερον ὑποστάσεις, εἰ μὴ ἰδικαὶ φύσεις εἰσί· καὶ δέον ἡμᾶς λέγοντας δύο τὰς φύσεις, καὶ ἰδικὰς ταύτας, ἢ θατέραν αὐτῶν μόνην, ἤγουν τὴν ἀνθρωπείαν, δύο εἰδέναι αὐτὰς οὔσας καὶ ὑποστάσεις· τῆς γὰρ θείας ὡμολόγηται προϋφεστῶσα ἡ ὑπόστασις. Ἀλλ', ὦ σοφοὶ, μεγάλα σφάλλεσθε οὕτω τοῦ ζητουμένου πράγματος τὸν λόγον πρώτως μὴ κατανοοῦντες, ἀλλ' εἴς τινα παρεπόμενα, ἢ τὸν οὐ μὴ ἄνευ λόγου ἐπέχοντα πρὸς τὸ ζητούμενον παρατρεπόμενοι. Οὐ γὰρ ἐπεὶ ἄνθρωπος ἔμψυχος, οὐκ ἄνευ ἐστὶν ἀναπνοῆς ἀέρος, ἤδη τὸν εἰσπνεόμενον ἀέρα οἴεσθαι ἡμᾶς εἶναι τὴν ψυχὴν δέον· οὐδὲ ἐπεὶ συμβαίνει τοῖς θα-

νοῦσι βαρυτέροις εἶναι, ἤδη καὶ βάρος ὁλκῆς εἶναι νομίζειν εἰκὸς τὸν θάνατον. Ἀλλὰ δέον πᾶν τὸ περὶ οὗ ὁ λόγος κατανοοῦντας, ὅπως ἔχοι ὁ κατ' αὐτὰ λόγος σκέπτεσθαι. Κἄν τε γὰρ οὐσία τις ᾖ, καὶ ἐπισυμβαῖνον ἔχοι τι τῶν παρ' αὐτήν, οὐ συμβεβηκὸς εἶναι αὐτὴν ἡγητέον· κἄν τε συμβεβηκός τι εἴη, καὶ ὥσπερ ἐπισυμβαίνουσαν αὐτῷ ἔχοι τὴν οὐσίαν, ἐκεῖνο πρώτως καὶ κυρίως οὐκ οὐσίαν, ἀλλὰ συμβεβηκὸς λέγειν δεῖ, συμβεβηκότως δὲ οὐσιῶσθαι. Πλὴν ἐπεὶ οὐδὲ ὑμεῖς πρὸς τὴν τῶν τοιῶνδε μάθησιν ἑαυτοὺς ἡμῖν ἐκδεδώκατε, οὐδὲ ἡμεῖς ὑμῖν πρὸς τοιάνδε διδασκαλίαν ἐπιῤῥίπτομεν. Τάδε μὲν ἅλις.

Ἕτερα δὲ λίαν εὔδηλα τυγχάνοντα παραστήσουσι τῶν δοξάντων ὑμῖν πλεῖστον εἶναι τὸ ἄτοπον. Εἰ γὰρ αἱ ὑποστάσεις οὐδὲν ἕτερον, ἀλλ' ἢ ἰδικαὶ οὐσίαι εἰσὶ, τρεῖς λέγοντες τὰς ὑποστάσεις τῆς ἁγίας Τριάδος, δηλονότι τρεῖς καὶ τὰς οὐσίας φατέ· καὶ ἰδοὺ τὴν τριθεΐαν μετὰ τῆς εἰς τὴν οἰκονομίαν βλασφημίας ὑπεδύσασθε. Ἔτι δὲ καὶ ἄλλως τὸ ἄτοπον ὑμῶν γνωριστέον. Εἰ γὰρ οὐσία ἡ ἰδικὴ Ματθαίου τυχὸν, τῆς οὐσίας Μάρκου τῆς ἰδικῆς οὐδὲν διαφέρει (τὸν γὰρ αὐτὸν λόγον καὶ ὅρον ἐπιδέχεται ἑκατέρα), οὐδὲ ἡ ὑπόστασις, ἤγουν τὸ πρόσωπον, Ματθαίου, τῆς ὑποστάσεως, εἴτουν τοῦ προσώπου, Μάρκου διενέξεται, ἀλλὰ τὸν αὐτὸν ὅρον καὶ λόγον, εἴτουν ὑπογραφὴν, ἑκατέρα ἐπιδέξεται ὑπόστασις· καὶ ἐν τοῖς αὐτοῖς οὐ μόνον οὗτοι, ἀλλὰ καὶ πᾶς ἄνθρωπος γνωρισθήσεται ἰδιώμασι καὶ ἐν ταῖς ἐξ αὐτῶν ὑποστάσεσιν· εἴπερ ταυτόν ἐστιν ἡ ἰδικὴ τῶν καθέκαστα οὐσία τῇ ὑποστάσει. Ἔτι δὲ, ὦ οὗτοι, μνημονεῦσαι τῶν ὑμετέρων δυσωπήθητε· καὶ γὰρ πρὸ μικροῦ ὑμῖν εἴρητο, ὅτι οὐκ ἐξ οὐσιωδῶν ἡ ὑπόστασις συνέστηκεν. Εἰ οὖν ταυτόν ἐστι τῇ ἰδικῇ οὐσίᾳ, οὐδὲ ἡ ἰδικὴ οὐσία δηλαδὴ ἐξ οὐσιωδῶν συνέστηκεν· ἀλλ' ὡς ἐν ἐκείνοις εἴπετε καὶ ὑμεῖς, ἐκ σιμότητος καὶ λευκότητος καὶ τῶν ὁμοίων, ἢ ἀπὸ τρόπου ὑπάρξεως ἔσται ὑφεστῶσα ἡ ἰδικὴ ὕπαρξις, εἴτουν οὐσία· ἔσται οὖν ἐξ ἀνουσίων ἡ οὐσία· καὶ ἐξ ἀνυπάρκτων ἡ ὕπαρξις. Εἰ δὲ τούτων λίαν εὔδηλον τὸ ἀνόητον καὶ μειρακίοις, μάτην ἄρα τοσήνδε τοῦ συλλογισμοῦ ῥαψολογίαν καταναλώσαντες, οὐδὲν ἑαυτοῖς ἐπορίσασθε.

A ratum aera existimare nos animam esse oportet; non, quoniam accidit mortuis gravioribus esse, jam gravitatem ponderis esse mortem existimare justum est. Sed necessarium est universum hoc de quo tractatur considerare, ut possit secundum ista ratio observari: si enim essentia quædam esset, et aliquod accidens haberet juxta se, non accidens pro essentia reputari oportet; si accidens quoddam esset, et essentiam haberet tanquam sibi positam, hoc primum et proprie non essentiam sed accidens esse dicendum est, accidentaliter autem essentiam fieri. Cæterum, cum vos non ad talia discendum vos ipsos nobis dedistis, neque nos vobis in tale magisterium irruemus. De his quidem satis.

B Alia autem multum perspicua occurrunt his qui putant vestram esse immanem absurditatem. Si enim subsistentiæ nihil aliud nisi particulares essentiæ sunt, tres dicendo subsistentias in sancta Triade, evidenter tres essentias quoque dicitis. Et ecce triplicem divinitatem cum vestra in incarnationem blasphemia insinuatis. Adhuc autem et aliter vestra absurditas se patefacit. Si enim substantia particularis Matthæi, verbi gratia, ab essentia Marci particulari nihil differt, eamdemque rationem et eumdem terminum recipit utraque, non subsistentia, id est persona, Matthæi a subsistentia indeque persona Marci discernetur, sed eumdem terminum, eamdem rationem, et proinde eamdem descriptionem accipiet utraque subsistentia; et per easdem non isti solum, sed omnis homo agnoscetur C proprietates et per subsistentias quæ ad illas pertinent; siquidem idem est particularis in singulis essentia ac subsistentia. Adhuc autem, o adversarii, vestra recordari erubescite. Etenim nuper a vobis dictum est subsistentiam ex essentialibus non constare; si igitur idem est ac particularis essentia, neque particularis essentia evidenter ex essentialibus constat. Sed cum de istis vos dicitis ex simositate et albore et similibus constare, certe contra exsistentiæ modum statuetur particularis exsistentia seu essentia; erit igitur e non essentialibus essentia, et e non exsistentibus exsistentia. Si vero eorum absurditas evidens est admodum imperitis, frustra igitur talem argumentationis inanitatem molientes, nihil vobis ipsis profecistis.

D

ΚΕΦΑΛ. Ζ'.

Εἰ, ἐπειδὴ ἐν τῷ Θεῷ Λόγῳ ὑπέστη ὁ ἄνθρωπος, οὐκ ἔχει ὑπόστασιν ἰδίαν ὁ ἄνθρωπος, πῶς εἰ ἐν αὐτῷ ἔφυ, ἔχει φύσιν ἰδίαν ὁ ἄνθρωπος; καὶ εἰ ἔχει φύσιν ἰδίαν ὁ ἄνθρωπος, πῶς οὐχ ἕξει καὶ ὑπόστασιν; Ἢ ἔστω φὺς ἔξω που τοῦ Θεοῦ Λόγου· ὑποστὰς δὲ ὕστερον ἐν αὐτῷ, πῶς δὲ καὶ φύσις τοῦ ἐξ ἡμῶν ἀνθρώπου, πρὸ τῆς ὑποστάσεως τῆς ἰδίας; Τῶν φύσεων τῶν τε ὁμοίων καὶ ἀνομοίων διακρινομένων τε καὶ ἑνουμένων, οὐ λόγῳ, ἀλλὰ φύσεως ἀριθμῷ, ἤγουν ὡς ἀριθμητῆς ἑκάστης ἀφ' ἑτέρας ὁμοίας καὶ ἀνομοίου διωρισμένης, τὴν ἐν τοῖς οὖσι τῶν τε ἀνομοίων σύνθεσιν, καὶ τῶν ὁμοίων διάκρισιν, ἡ ὑπόστασις ἡμῖν πέφυκεν ἐξαγγέλλειν, διορισμός τις οὖσα κυρίως καὶ ἀπόστασις ἑτέρου τινὸς ἀφ' ἑτέρου· κἂν

CAP. VII.

Si, quoniam in Deo Verbo subsistit homo, non habet subsistentiam homo propriam, quomodo, si in Christo est, habet propriam homo naturam? Et si habet naturam propriam homo, quomodo non habebit et subsistentiam? sed subsistat extra Deum Verbum', et subsistens postea in illo, quomodo natura hominis a nobis oriundi, præcedit subsistentiam propriam? Naturis similibus aut dissimilibus distinctis et unificatis, non ratione sed naturæ numero, id est, tanquam si quæque natura numerabilis ab alia simili aut absimili discerneretur, in entibus absimilium conjunctionem et similium distinctionem subsistentia nobis ostendit, nempe cum sit proprie

determinatio et separatio alius cujusvis ab alio; etsi similia contingat talia esse, secundum naturam, et absimilia sint quæ differunt naturis aliud ab alio, non ratione omnino, sed ipsa exsistentia. Subsistentias enim servatas secundum quod distinguuntur, in eo unificari impossibile est. Si igitur subsistentia sit particularis homini, quomodo in Deo Verbo per unionem homo est, si reipsa habeat quod separet hunc ab illo? sicut igitur ab omnibus aliis extra exsistentibus hominibus separatur homo, id est per subsistentiam, naturæ autem inconfuse aliæ aliis uniri possent in subsistentia quadam non accipientes aliæ ab aliis proprias rationes; non enim hæc naturæ ratio modo distincto et determinato ab omni natura subsistit, ut subsistentiarum ratio; quomodo non independenter esset unita naturæ Dei Verbi natura humana, cum talis maneat, et quod est ostendit etiam in unione? non enim ut subsistentia subsistentiæ unita esse potest, servatis duabus subsistentiis, id est separationibus, illud esse distinctionem ab aliis significantibus per maxime particularem proprietatem in singulis; siquidem enim quod distinctum est, non quod distinctive sumitur et alicui unitur, sic dicere non possumus. Alterutrum enim necessario accipietur, aut non uniri, aut non distingui unum ab altero. Neque in ista istam dicere est subsistentiam, si unionem instituimus, servatis in illis distinctis ab invicem proprietatibus. Quomodo ergo in subsistentia Verbi, humanam convenisse subsistentiam dicemus? Si enim id foret unquam, convenisset simul subsistentia in sua totalitate neque ex parte sed per juxtapositionem, ut in domo lapides et in choro saltatorio juvenes, et non mansisset amplius separata ita ut esset etiam demum subsistentia. Solum enim in corporibus partialis hæc subsistentiæ unio videtur mera nec proprie exsistens, non secundum totalitatem subsistentiæ, sed secundum juxtapositionem superficierum aut levium particularum, aut coadunationem partium, aut per extrema atoma localiter coaptata; sic enim lapidis lapidi, oleum aquæ, et filum filo uniuntur. Et illa quidem de hoc argumento.

A τε ὅμοια τύχοιεν ὄντα τὴν φύσιν, κἂν τε ἀνόμοια εἴη τὰ διεστηκότα ταῖς φύσεσιν ἀλλήλων, οὐ λόγῳ πάντως, ἀλλ' αὐτῇ τῇ ὑπάρξει. Τὰς ὑποστάσεις γὰρ σωζομένας κατὰ τοῦτο καθ' ὃ διορίζονται, ἐν τούτῳ καὶ ἑνοῦσθαι ἀδύνατον. Εἰ οὖν γέγονεν ὑπόστασις ἰδικὴ τῷ ἀνθρώπῳ, πῶς ἐν τῷ Θεῷ Λόγῳ διὰ τῆς ἑνώσεως ὁ ἄνθρωπός ἐστιν, εἰ ὄντως ἔχοι τοῦτο τὸ χωρίζον αὐτὸν ἀπ' αὐτοῦ; ὥσπερ οὖν καὶ ἀπὸ πάντων τῶν ἄλλων τῶν ἐκτὸς αὐτοῦ ὑφεστώτων ἀνθρώπων, ἤγουν τὴν ὑπόστασιν, φύσεις δὲ καὶ ἑνοῦσθαι ἀσυγχύτως ἀλλήλαις δύνανται ἐν ὑποστάσει τινὶ μὴ ἀναιρούμεναι ὑπ' ἀλλήλων τοὺς οἰκείους λόγους. Οὐ γὰρ τοῦτο φύσεως λόγος τὸ διακεκριμένως καὶ διωρισμένως ἀπὸ πάσης φύσεως ὑφεστηκέναι, ὥσπερ τῶν ὑποστάσεων· πῶς οὐκ ἂν ἀκωλύτως εἴη ἡνωμένη τῇ φύσει τοῦ Θεοῦ Λόγου ἡ φύσις ἡ ἀνθρωπεία, φύσις τοιάδε μένουσα, καὶ ὃ πέφυκε δεικνῦσα καὶ ἐν τῇ ἑνώσει; Οὐ γὰρ ὡς ὑπόστασις ὑποστάσει ἡνωμένη εἶναι οὐ δύναται σωζομένων ἄμφω τῶν ὑποστάσεων, εἴτουν ἀποστάσεων· καὶ αὐτὸ τοῦτο χωρισμὸν τὸν ἀφ' ἑτέρων σημαινουσῶν διὰ τοῦ ἰδικωτάτου ἰδιώματος τῶν καθ' ἕκαστα. Εἴπερ γὰρ τὸ διακεκριμένον, οὐ τῷ διακεκριμένως τε εἶναι καὶ ἡνῶσθαί τινι, οὕτω λέγειν οὐ δυνάμεθα· θάτερον γὰρ ἀναγκαίως ἀναιρεθήσεται, ἢ τὸ μὴ ἡνωμένον, ἢ τὸ μὴ διακεκριμένον εἶναι θάτερον θατέρου· οὐδὲ ἐν τῇδε τήνδε λέγειν τὴν ὑπόστασιν ἔστιν, ἕνωσιν τῶν ἐν αὐταῖς ἀπ' ἀλλήλων διακριτικῶν ἰδιωμάτων σωζομένων ὑποτιθεμένους. Πῶς οὖν ἐν τῇ ὑποστάσει τοῦ Λόγου ἀνθρωπείαν συνεληλυθέναι ὑπόστασιν ἐροῦμεν; Εἰ γὰρ καὶ ἦν ποτε, συνῆλθε δὲ ὅμως ὑπόστασις καθ' ὅλην ἑαυτὴν, καὶ οὐκ ἀπὸ μέρους καὶ κατὰ παράθεσιν ὡς ἐν οἴκῳ λίθοι, καὶ οἱ ἐν χορῷ νέοι, οὐκ ἔμεινεν ἔτι ἀφεστῶσα δηλαδὴ ἵνα ᾖ ὡσαύτως ὑπόστασις λοιπόν. Μόνον γὰρ ἐν σώμασιν ἡ μερικὴ τῆς ὑποστάσεως αὕτη ἕνωσις ὁρᾶται ψιλὴ καὶ οὐ κυρίως οὖσα· οὐδὲ κατὰ τὸ ὅλον τῆς ὑποστάσεως, ἀλλὰ κατὰ παράθεσιν ἐπιφανειῶν, ἢ μορίων λεπτοτάτων, ἢ συμπλοκὴν μερῶν, ἢ κατὰ πέρατα τοπικῶς συνάπτουσα τὰ ἄτομα· οὕτως γὰρ λίθος λίθῳ, καὶ ἔλαιον ὕδατι, καὶ μίτος μίτῳ· καὶ ταῦτα μὲν περὶ τούτου.

Quomodo autem esset natura ante subsistentiam particularem, in hoc vos errare superflue a nobis dictum est. Non enim id vobis diximus præexstitisse scilicet subsistentiæ particularem humanam naturam Domini, sed e contra simul illam exstitisse ac substitisse. Verum non in particulari aliqua naturæ humanæ solius subsistentia, puta in mero homine cognoscimus, sed in præexsistenti Verbi subsistentia; in qua propria et particularia humanæ naturæ adunans, et in concursu utriusque naturæ, unam personam similiter ex utraque natura, et ex utriusque essentiæ coacervatis characteribus, ostendit se unus e sancta Triade; qui subsistentia quidem reipsa est una tantum, et ista non humana. Naturam enim habet et proprietates divinas, neque divinis solum fruitur proprietatibus. Adjecit enim divinorum characterum collectioni assumptio-

D Τὸ δὲ πῶς εἴη ἂν φύσις πρὸ τῆς ὑποστάσεως τῆς ἰδίας, ἀπορεῖν ὑμᾶς, περιττῶς ἐλέχθη πρὸς ἡμᾶς. Οὐδὲ γὰρ τοῦτο ὑμῖν εἰρήκαμεν ὡς προϋπῆρξε τῆς ὑποστάσεως ἡ ἰδικὴ φύσις ἀνθρωπεία τοῦ Δεσπότου, ἀλλὰ τοὐναντίον ἅμα τε φῦναι καὶ ὑποστῆναι αὐτήν· ἀλλ' οὐκ ἐν ἰδικῇ τινι αὐτῆς μόνης οὔσῃ ὑποστάσει, ἤγουν ψιλοῦ ἀνθρώπου γινώσκομεν, ἀλλ' ἐν τῇ προϋφεστηκυίᾳ αὐτῆς τῇ τοῦ Λόγου ὑποστάσει· ἐν ᾗ καὶ τὰ τῆς ἀνθρωπείας φύσεως ἴδια καὶ ἰδιώματα συνάψας, καὶ ἐν τῇ συνδρομῇ τῶν ἀμφοτέρων φύσεων, ἓν πρόσωπον ὁμοίως καὶ ἐξ ἑκατέρας φύσεως, καὶ ἐκ τῶν ἐξ ἑκατέρας οὐσίας σωρευθέντων χαρακτηριστικῶν, ἔδειξεν ἑαυτὸν ὁμοίως ὄντα ὁ εἷς τῆς ἁγίας Τριάδος· ὃς ὑπόστασις μὲν ὄντως ἐστὶ μία μόνη καὶ αὕτη οὐκ ἀνθρωπίνη· φύσιν τε γὰρ καὶ ἰδιώματα ἔχει τὰ θεῖα· οὐκ ἐν θείοις δὲ μόνον ἐστὶν ἰδιώμασιν· περισσεύει γὰρ καὶ τοῖς παρὰ τὸ θεῖον χαρακτηρίσμα-

σι συναχθεῖσι τῇ προσλήψει τῆς καινοτέρας φύσεως. Προσεκτέον δὲ τούτῳ σαφῶς καὶ ἐπὶ τῶν μύδρων· καὶ γὰρ προϋφεστώσης κατ' ἰδίαν ὑπόστασιν τῆς μάζης τοῦ σιδήρου, εἶτα εἰς κάμινον εἰσαγομένης, πυρὸς φύσις αὐτῇ ἐπιγεννᾶται, οὔτε πρώην οὔτε ἰδίᾳ ποτὲ ὑποστάντος, ἀλλ' ἐν αὐτῇ· ἐκ μὲν τῆς καμίνου τεχθέντος, ἐκτὸς δὲ αὐτῆς ἐν τῇ ἰδέᾳ δικαίᾳ αὐτοῦ τὴν ὑπόστασιν ἔχοντος, καὶ τὸ ἐν τῇ καμίνῳ πῦρ οὐκ ἀπομειώσαντος.

A nem recentioris naturæ. Demonstrandum autem hoc clare in ferris candentibus : etenim præexsistenti secundum propriam subsistentiam ferri massæ, deinde in focum inductæ, ignis natura innascitur, neque antea neque separatim subsistentis, sed in ipsa massa. Cum vero e foco educta est, extra se in vera forma ignis subsistentiam habet, et ignis in foco non diminutus est.

ΚΕΦΑΛ. Η'.

Εἰ ὅλως ὑπέστη ὁ ἐξ ἡμῶν ἄνθρωπος ἐν τῷ Θεῷ, πῶς οὐκ ἔῤῥωται καὶ ἔστιν ἡ ὑπόστασις τοῦ ἐξ ἡμῶν ἀνθρώπου ἐν τῇ ὑποστάσει τοῦ Θεοῦ Λόγου; καὶ εἰ μὴ ἔῤῥωται καὶ ἔστιν ἡ ὑπόστασις τοῦ ἐξ ἡμῶν ἀνθρώπου ἐν τῷ Θεῷ Λόγῳ, πῶς οὐχὶ ἀπόλωλεν ὑποστᾶσα ἢ οὐδὲ ὅλως τὴν ἀρχὴν ὑπέστη; Ἆρα γὰρ πᾶν ὅ τις εἴποι εἶναι καὶ ὑφεστάναι, ἤδη καὶ ἰδίᾳ εἶναί φησι; Οὐκοῦν ἐπεὶ εἶναί φαμεν καὶ ὑφεστηκέναι ἐν τῷ ἀνθρώπῳ χεῖρα καὶ ποῦν καὶ ὄνυχα καὶ ἧπαρ, ἤδη καὶ ἰδίᾳ εἶναι ταῦτα, καὶ διακεκριμένως ἕκαστον τούτων ἔχειν ὑπόστασιν δοξάσομεν; Καὶ νοῦν δὲ εἶναι ἐν ψυχῇ, καὶ ἐν τῷ σώματι ὑφεστηκέναι τὸ χρῶμα λέγομεν· ἆρα οὖν καὶ ὑποστάσεις τῶνδε ζητήσομεν; Καὶ πῶς ἂν ὧδε τὸ ἔν τινι λεγόμενον εἶναι, ὑμεῖς ἡμῖν ἴσως ἑρμηνεύσετε; Ἀλλὰ τὸ τὰ τοιαῦτα λέγειν, τάχα δὲ καὶ τὸ τοιούτοις ἀντιλέγειν, ἀλογίαν ἢ λογιότητα πολλὴν ἐπιμαρτύρεται.

CAP. VIII.

Si in totalitate substitit qui e nobis erat homo in Deo, quomodo non dicitur, nec est etiam subsistentia hominis e nobis oriundi in subsistentia Dei Verbi? et si non dicitur nec est subsistentia hominis e nobis oriundi in Deo Verbo, quomodo non B periit quando supposita est Deo, aut non totaliter in principio substitit? Num enim omne quod aliquis diceret esse et subsistere, jam quoque proprie esse dicet? ergo, cum esse dicimus et subsistere in homine manum et pedem, unguem et jecur, jam quoque proprie esse illa, et distincte quodque illorum habere subsistentiam putabimus? et mentem esse in anima, et in corpore subsistere colorem dicimus; num igitur subsistentias eorum inquiremus? et quomodo hic aliquid, quod in aliquo dicitur esse, vos nobis pariter explicabitis? sed hæc talia dicere, moxque talibus contradicere, stultitiam et dialecticam multam testatur.

ΚΕΦΑΛ. Θ'.

Εἰ ἐν τῷ Θεῷ Λόγῳ λέγεις ὑφεστάναι τὸν ἐξ ἡμῶν ἄνθρωπον, πῶς αὐτῷ τῷ ὑφεστάναι, οὐχ ὑπόστασιν δηλοῖς ἔχειν τὸν ὑποστάντα; Ὅτι μὲν ὑφέστηκεν ὁ ἄνθρωπος ἐν τῷ Θεῷ Λόγῳ, μᾶλλον ὑμῶν βοῶμεν· ἀλλ', ὡς ἔοικεν, ἐπελάθεσθε περὶ ὅτου πρὸς ἡμᾶς διεφέρεσθε, καὶ ἄλλο νῦν ἐγκαλεῖτε. Τὸ γὰρ ἰδίᾳ καθ' ὑμᾶς ὑφεστηκέναι τὸν ἑνούμενον ἅπαξ εἰπεῖν ἄνθρωπον, οὐ καταδεχόμεθα· ἵνα μὴ δύο ἐντεῦθεν τὰς ὑποστάσεις σωζομένας ἐν τῷ ἰδιάζοντι ἑκατέρᾳ τῶν συνελθουσῶν λόγῳ παραστήσαντες, τὴν ἕνωσιν ἐκ βάθρων ἀνατρέψωμεν. Εἰ γὰρ καὶ ἰδίᾳ ὑφεστῶτος ἑκατέρου τῶν ἐν Χριστῷ, λέγετε δυνατὸν εἶναί τινα ἕνωσιν αὐτοῖς; Ἢ καθ' ἣν καὶ Δαβὶδ τῷ πολεμίῳ αὐτοῦ Γολιὰθ κατὰ τὴν συμπλοκὴν τοῦ πολέμου, καὶ τὴν ἐνέργειαν τῆς ἐκείνου ἀναιρέσεως ἡνωμένος ἦν φατε; Ἢ καθ' ἣν Ἰωσὴφ ἐν Αἰγύπτῳ ὢν, τῷ Βενιαμὶν ἥνωτο; Ἢ καθ' ἣν ἡ ἐνέργεια τοῦ μουσικοῦ τῇ κιθάρᾳ; Ἤ τινα τοιάνδε ὑφεστηκέναι οὖν πάντως; Ἐν κοινῇ δὲ καὶ μιᾷ τῇ ὑποστάσει τόν τε Λόγον καὶ τὴν σάρκα ἅμα δοξάζομεν ἡμεῖς· ὑμεῖς δὲ εἰ καὶ μὴ τοῖς ἡμῶν, ἀλλὰ τοῖς γε ὑμετέροις, πῶς οὐκ ἐπισκήπτετε, ἐν τῷ Λόγῳ λέγοντες καὶ αὐτοὶ τὸν ἄνθρωπον εἶναι; Τὸ γὰρ ἔν τινι λεγόμενον εἶναι, τὴν ἕνωσιν τὴν πρὸς αὐτὸν μαρτύρεται· τὸ δὲ ἰδίᾳ ἑκατέρου λέγειν τῶν ὑποκειμένων εἶναι τὴν ὑπόστασιν, τὴν πρὸς ἄλληλα τούτων διάστασιν σαφῶς ὁμολογεῖ· ταυτὰ δὲ ἅμα περὶ τοῦ αὐτοῦ λέγειν ἢ φρονεῖν, λίαν ἀσύμβατα.

C CAP. IX.

Si in Deo Verbo dicis subsistere hominem e nobis oriundum, quomodo hoc ipso quod subsistit, non subsistentiam ostendis habere illum qui subsistit? hominem quidem subsistere in Deo Verbo, nos magis quam vos clamamus; sed, ut videtur, non comprehenditis in quo a nobis differatis, et aliud nunc objicitis. Etenim, proprie, ut vos vultis, subsistere unitum semel dicere hominem, non admittimus, ne, duas proinde subsistentias servatas in ratione utramque convenientium propriam efficiente præstantes, a fundamentis unionem evertamus. Si enim proprie subsistit utrumque in Christo, dicitisne possibilem esse inter utrumque unio- D nem? an eodem modo quo David inimico suo Goliath, per pugnæ conflictum, et vim impetus hujus, unitus fuerit dicitis? an eo modo quo Joseph in Ægypto Benjamino unitus fuit? an eodem modo quo musici ardor in sua cithara? an aliquam talem subsistere omnino contenditis? in communi autem et una subsistentia Verbum et carnem simul nos reputamus; vos vero etsi non nostris, sed et vestris sententiis quomodo non hæretis, ipsum in Verbo vos dicitis et hominem esse? aliquid enim in aliquo esse si dicatur, unio utriusque significatur, si dicatur autem proprie esse subsistentiam utriusque suppositorum, distinctio inter utrumque clare ostenditur; eadem vero simul de eodem dicere aut cogitare, nimium absurdum videtur.

CAP. X.

Si subsistit quidem homo e nobis oriundus, non habet autem subsistentiam, quomodo non contraria doces, dicens hunc qui subsistit esse insubsistentem? Neque quæ dicitis recordamini, neque quæ dicimus conservatis. Non insubsistentem vobis hominem Dominicum ostendere volumus; absit! sed non proprie subsistentem, id est a Verbo distinctum. Eumdem vero non insubsistentem et proprie subsistentem dicere quis dubitet, si esse tali modo respectu aliorum, et absolute non esse, confundi nequeunt, o sapientissimi?

CAP. XI.

Si Petri anima alia est ac Pauli anima, aliud autem est aut natura et subsistentia aliud, ut cœlum et terra, aut subsistentia omnino, ut pater et filius, quomodo non natura et subsistentia, aut omnino subsistentia differt anima Petri ab anima Pauli? si vero id admittitur, quomodo non habet subsistentiam cujusque anima, qua differat ab alterius anima, aut ab eadem, aut non ab eadem essentia? Id nunc a vobis dictum est evidenter ut ostenderetur hominis cujusque duas esse subsistentias; sed ut non ex exemplo secundum hominem sumpto impediamini quin duas dicatis subsistentias Christi, cum duæ sint ejus naturæ, ut dicimus de Petro et Paulo. Pauli igitur anima, etsi alia sit subsistentia per se solam, nescio quomodo vobis possibile sit hoc judicare de illa adhuc in carne permanenti, item cur animam Petri assumpsisse dicatur, aut animam Petri in anima Pauli esse, ut dixistis vos nuper in Deo Verbo esse hominem contendentes. Istud enim impedit ne appareat dualitas subsistentiarum, unionem admittere naturarum. Si enim Verbum non carnem assumpsisset, ut Petrus non Paulum, reipsa esset secundum Petri et Pauli exemplum, Verbi et carnis, id est, Christi hominis, differens subsistentia; sin autem Petrus Paulum non assumpserit, ut Verbum carnem assumpsit, non recte hoc exemplum in rem adducitis; et si incarnatum Verbum unus Filius est et non duo, Paulus autem cum Petro non unus Filius sed duo filii sunt, extranea nobis præbetis; et si unus Christus in divinitate et humanitate est, non autem unus est apostolus Petrus et apostolus Paulus, sed duo sunt, dissimilia comparatis ad ostendendum an quid aliud sit, omnino secundum subsistentiam esse alium ab alio, sive alius sit secundum naturam, sive non. Si ergo duos Christos, duos Filios et duos Dominos existimatis talia dicendo, et eorum neutrum assumptum esse ab altero, sed, ut Paulus a Petro, inter se distinctos esse, tandem vestræ impietatis occultum patefecistis nefas. Talem igitur Deum, et tali unitum esse unum Christum putatis; talem autem hominem, et tali unitum; et alium Christum annuntiatis, qui vere Filius sit, qui in Jordane testimonium acceperit; qui visibiliter baptizatus sit. Unus enim tantum evidenter a Patre testimonium accepit, cum duo sint et differentes, verisimiliter unum e

A

ΚΕΦΑΛ. Γ'.

Εἰ ὑπέστη μὲν ὁ ἐξ ἡμῶν ἄνθρωπος, οὐκ ἔχει δὲ ὑπόστασιν, πῶς οὐκ ἐναντία δογματίζεις, ἀνυπόστατον τὸν ὑφεστηκότα λέγων; Οὔτε ὧν φατε μέμνησθε, οὔτε οἷς λέγομεν ἐπισκήπτετε. Οὐκ ἀνυπόστατον ὑμῖν τὸν ἄνθρωπον τὸν Κυριακὸν δεῖξαι βουλόμεθα· μὴ γένοιτο! ἀλλ' οὐκ ἰδιοϋπόστατον, τουτέστιν ἀπὸ τοῦ Λόγου χωριζόμενον, ὅτι δὲ οὐ ταυτὸν ἀνυπόστατον λέγειν καὶ ἰδιοϋπόστατον, τίς ἀμφιβάλλοι, εἰ τὸ μὲν τοῦ πῶς εἶναι πρὸς τὰ ἕτερα, τὸ δὲ τοῦ ὅλως μὴ εἶναι δηλωτικόν ἐστιν, ὦ σοφώτατοι;

ΚΕΦΑΛ. ΙΑ'.

Εἰ ἡ Πέτρου ψυχὴ ἑτέρα ἐστὶ παρὰ τὴν Παύλου, τὸ δὲ ἕτερον ἢ φύσει καὶ ὑποστάσει ἕτερον, ὡς ὁ οὐρανὸς B τῆς γῆς, ἢ ὑποστάσει πάντως ὡς ὁ πατὴρ τοῦ υἱοῦ, πῶς οὐχὶ τῇ φύσει καὶ τῇ ὑπόστασει, ἢ πάντως τῇ ὑποστάσει διαφέρει ἡ ψυχὴ Πέτρου τῆς Παύλου; εἰ δὲ τοῦτο, πῶς οὐκ ἔχει ὑπόστασιν ἑκάστου ἡ ψυχὴ καθ' ἣν διαφέρει τῆς ἑτέρου, ἢ τῶν τῆς αὐτῆς οὐσίας, ἢ οὐ τῆς αὐτῆς; Τοῦτο νῦν παρ' ὑμῖν δῆλον ὡς διὰ τὸ δεῖξαι καὶ ἀνθρώπου ἑκάστου δύο τὰς ὑποστάσεις οὔσας, εἴρηται· ἵνα μὴ δὲ ἐκ τοῦ κατὰ τὸν ἄνθρωπον παραδείγματος ἀποκλείεται ὑμῖν τὸ δύο λέγειν τὰς ὑποστάσεις Χριστοῦ, δύο οὐσῶν αὐτοῦ τῶν φύσεων, ὥσπερ φαμὲν Πέτρου ἢ τοῦ Παύλου. Ἡ Παύλου οὖν ψυχὴ, εἰ καὶ ἑτέρα ἐστὶ τῇ ὑποστάσει καθ' αὐτὴν μόνην, οὐκ οἶδα πῶς ὑμῖν δυνατοῦ ὄντος τοῦτο κρίνειν περὶ αὐτῆς ἔτι παραμενούσης τῇ C σαρκὶ, ὅμως ποῦ τὴν ψυχὴν Πέτρου ἀναλαβεῖν εἴρηται, ἢ ἡ Πέτρου ἐν τῇ Παύλου εἶναι, ὥσπερ εἴπατε καὶ ὑμεῖς πρὸ μικροῦ ἐν τῷ θείῳ Λόγῳ τὸν ἄνθρωπον εἶναι διδόντες· τοῦτο γάρ ἐστι τὸ κωλυτικὸν τοῦ τὴν δυάδα φαίνεσθαι τῶν ὑποστάσεων, τὸ τὴν ἕνωσιν ὁμολογεῖσθαι τῶν φύσεων. Εἰ γὰρ μηδὲ ὁ Λόγος τὴν σάρκα ἀνελάβετο, ὥσπερ οὐδὲ ὁ Πέτρος Παῦλον, ὄντως ἦν κατὰ τὸ παράδειγμα Πέτρου καὶ Παύλου, τοῦ τε Λόγου καὶ τῆς σαρκὸς ἤγουν τοῦ ἐν Χριστῷ ἀνθρώπου, διάφορος ἡ ὑπόστασις· εἰ δὲ ὁ Πέτρος Παῦλον οὐκ ἀνελάβετο, ὥσπερ ὁ Λόγος τὴν σάρκα, οὐκ ὀρθῶς παρηγάγετε τόδε πρὸς τόδε· καὶ εἰ ὁ σαρκωθεὶς Λόγος εἷς Υἱὸς καὶ οὐ δύο, Παῦλος δὲ μετὰ Πέτρου, οὐχ εἷς Υἱὸς ἀλλὰ δύο εἰσὶν, ἀλλοκότως τάδε παρατίθεσθε· καὶ εἰ εἷς Χριστὸς ὁ ἐν θεό- D τητι καὶ ἀνθρωπότητί ἐστιν, οὐχ εἷς δὲ ἀπόστολος Πέτρος καὶ Παῦλος, ἀλλὰ δύο, ἀνομοίως παρεβάλετε πρὸς ἔνδειξιν τοῦ εἴ τι ἕτερόν ἐστι, πάντως καθ' ὑπόστασιν εἶναι ἕτερον ἑτέρου, εἴτε κατὰ φύσιν ἐστὶν ἕτερον, εἴτε καὶ μὴ ἔστιν. Εἰ οὖν ἄρα δύο τοὺς Χριστοὺς, δύο δὲ τοὺς Υἱοὺς, καὶ δύο τοὺς Κυρίους δοξάζοντες ταῦτά φατε, καὶ τούτων οὐδένα ἀναληφθέντα ὑφ' ἑτέρου, ἀλλ' ὡς Παῦλον Πέτρου διακεκριμένον, ὀψέ ποτε τὸ τῆς ἀσεβείας ὑμῶν κρυπτὸν ἀπεκαλύψατε μῦσος· ποῖον οὖν τὸν Θεὸν, καὶ τίνι χρισθέντα τὸν ἕνα Χριστὸν εἶναι νομίζετε· ποῖον δὲ τὸν ἄνθρωπον, καὶ τίνι χριόμενον· καὶ τὸν ἄλλον Χριστὸν ἀπαγγείλατε· ποῖόν τε τὸν ὡς ἀληθῶς Υἱὸν εἶναι, τὸν ἐν Ἰορδάνῃ μαρτυρούμενον· καὶ ποῖον τὸν αἰσθητῶς βαπτιζόμενον. Ὁ γὰρ εἷς μόνος δεικτικῶς ὑπὸ

τοῦ Πατρὸς μαρτυρούμενος, δύο ὄντων καὶ διαφόρων, εἰκότως τὸν ἕνα τῶν καθ' ὑμᾶς Υἱῶν ἢ Χριστῶν παραγράψετε· ἢ οὖν τὸν βαπτιζόμενον τὸ τηνικαῦτα ὁρατὸν, ἢ τὸν ἐκ τοῦ Πατρὸς πρὸ αἰώνων ἀόρατον, ἀναγκαῖον ὑμᾶς παραιτήσασθαι· ἕνα γὰρ μόνον αὐτοῦ εἶναι Υἱόν φησι ἑνικῶς ὁ Πατήρ· ἔτι μὴν καὶ αἰσθητὸν ἐπεὶ καὶ δεικτικῶς ἡμῶν τοῖς ὀφθαλμοῖς ἐμήνυεν ὁ Πατὴρ τὸν ἀγαπητὸν ἑαυτοῦ Υἱόν· ὃς καὶ Λόγος ἀόρατος ὡμολόγηται. Ἢ οὖν ψευδὴς ἡ τοῦ Πατρὸς μαρτυρία, ἢ περιδεῶς ἐκ τοῦ λογίου δόξα· ἢ ἄμφω ὁ αὐτὸς ἦν ὁ μαρτυρούμενος Υἱὸς, αἰσθητὸς καὶ ἀόρατος.

A Filiis, quos dicitis, aut Christis adjicietis, aut igitur baptizatum et tunc visibilem, aut ex Patre genitum ante sæcula invisibilem, necesse est vos implorare. Unum enim solum suum esse Filium unice dicit Pater. Adhuc et visibiliter et aperte nostris oculis indicavit Pater dilectum suum Filium, qui et Verbum invisibile agnoscitur. Ergo aut mendax est Patris testimonium, vel e stupendo oraculo glorificatio; aut uterque idem est Filius testimonium accipiens, sensibilis et visibilis.

ΚΕΦΑΛ. ΙΒ'.

Εἰ κατὰ φύσιν μηδὲν διαφέρει τὸ σῶμα Πέτρου τοῦ σώματος Παύλου, πῶς ἂν καθ' ὑπόστασιν οὐ διαφέροι; Εἰ δὲ μηδὲ καθ' ὑπόστασιν διαφέρει, τὸ δὲ μήτε τῇ φύσει, μήτε τῇ ὑποστάσει διαφέρον, ταυτὸν ἂν εἴη κατὰ πάντα, πῶς οὐκ ἔσται Πέτρου καὶ Παύλου, ἓν τὸ σῶμα καὶ ταυτὸν κατὰ πάντα, ὅπερ ἀδύνατον; Ἀλλὰ πρῶτον μὲν καὶ σῶμα σώματος διαφέρει κατὰ φύσιν τὴν ἰδίαν, ἧς νῦν τὴν κοινὴν ἡμῖν ἀντεισηγάγετε οἱ τοσαῦτα πρὸ βραχέος τοῖς εἰσάγουσι τὴν κοινὴν φύσιν ἐπὶ τοῦ ἀνθρώπου καταχέαντες. Οὐ γὰρ ταυτὸν, οὔτε τῷ ἀριθμῷ, οὔτε πάσῃ ποιότητι φυσικῇ πᾶν σῶμα· εἴπερ μὴ ταυτὸν τῇ φύσει μηδὲ πᾶς λίθος καὶ φυτὸν καὶ τὰ λοιπά· καὶ γὰρ ἀλλήλων φθαρτικὰ πολλὰ φυτὰ καὶ λίθοι· καὶ ὅμως λίθοι καὶ φυτά· οὔτε γὰρ πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ· ἀλλ' ἄλλη μὲν πετεινῶν, ἄλλη δὲ ἰχθύων καὶ ἑρπετῶν, καὶ σώματα ἐπίγεια, καὶ σώματα ἐπουράνια· οὐκ ἄρα οὖν διὰ τὸ διάφορον τῆς φύσεως, ἀνάγκη διαφόρου ὑποστάσεως αὐτοῖς εἰς διάκρισιν· ἔτι μὴν εἰ τόδε αἴτιον τῆς χρείας τῶν ὑποστάσεων ἐν Χριστῷ, διαφόρων οὐσῶν τῶν φύσεων, ἀναγκαίως οὐκ ἔσται διαφορὰ ὑποστάσεων. Πλὴν δεδόσθω ὑμῖν καθ' ὑπόστασιν πάντως διαφέρειν· εἴτε διαφέροι κατὰ φύσιν εἴτε καὶ μὴ πάντα τὰ σώματα· ἀλλὰ δῆλον, ὡς τὰ μὴ ἡνωμένα ἀλλήλοις· οὐ γὰρ καὶ ἐν τῷ μύδρῳ διάφοροι ὑποστάσεις ὁρῶνται· καὶ ἐπὶ τοῦ Κυρίου ἄρα, εἰ μὲν χωρὶς ἑνώσεως αὐτῶν φαμεν τὰ κατ' αὐτὸν, ὄντως δέον ἢ καὶ φύσεων καὶ ὑποστάσεων εἰδέναι τὴν διαφορὰν, ἢ πάντως γε τῶν ὑποστάσεων. Καὶ τοῦτο δὲ δῆλον ὅτι εἰ μὴ ἦν τῶν φύσεων ἐξαλλαγή· εἰ δὲ καὶ κατὰ φύσιν διαφερόντων τινῶν ἐν αὐτῷ καὶ ἕνωσιν ὁμολογοῦμεν, εἰ καὶ ἀσύγχυτον, τίς ἡ χρεία δύο ὑποστάσεων; ἀλλ' οὕτως μὲν τάδε. Ποῦ δὲ ὅμως τινὶ δέδοται καὶ τὸ σῶμα Παύλου ἡνῶσθαι πρὸς τὸ Πέτρου, ἵνα τὸ ὅμοιον ἔχῃ τάδε πρὸς τὴν Κυριακὴν ἕνωσιν, ἡνίκα ὁ μὲν τοῖς ἐκ περιτομῆς ἐν τῇ Ἰουδαίᾳ καὶ Παλαιστίνῃ, ὁ δὲ τοῖς ἐν Κορίνθῳ ἔθνεσι καὶ Ἀχαΐᾳ καὶ Μακεδονίᾳ συνηλίζετο; Οὐ γὰρ τοιαύτην δεξιὰν κοινωνίας πρὸς τὴν σάρκα δεδωκέναι φαμὲν τὸν Λόγον, οἵαν Πέτρος ἀφοριζόμενος εἰς τὴν περιτομὴν, τῷ Παύλῳ ἀποστελλομένῳ πρὸς τὰ ἔθνη. Ἀλλ' ἕνωσιν ἀληθῆ πιστεύομεν, καὶ συνύπαρξιν αὐτῶν εἰς τοὺς ἑξῆς αἰῶνας φυσικὴν δι' ὑποστατικῆς ἑνώσεως· εἰ καὶ ταύτην ὑμεῖς φανερῶς ἀπηρνήσασθε, καὶ οὐδὲν ἑαυτοῖς λείψανον τῆς Χριστιανῶν

CAP. XII.

Si secundum naturam nihil differt Petri corpus a corpore Pauli, quomodo secundum subsistentiam B non differret? sin autem non secundum subsistentiam differt, et quod neque natura, neque subsistentia differens est, idem sit secundum omnia, quomodo non erit Petri et Pauli unum corpus et idem secundum omnia, quod impossibile est? sed primum quidem corpus a corpore differt secundum naturam particularem, cui nunc communem nobis naturam confertis, cum paulo ante talia jactastis nobis inducentibus communem naturam in homine. Non enim idem est, neque numero, neque tota structura omne corpus; siquidem non idem est natura neque lapis neque planta, etc... Etenim multæ invicem se destruunt plantæ et lapides, et item lapides et plantæ; « Neque enim omnis caro eadem caro, sed alia quidem volucrum, alia vero pi- C scium et serpentium; et corpora terrestria et corpora cœlestia [8]. » Non igitur per naturæ differentiam, necessitas illis est differentis subsistentiæ ad distinctionem. Imo, si hæc est causa cur opus sit subsistentiis in Christo, cum differentiæ sint naturæ, necessario non erit differentia subsistentiarum. Verumtamen concedatur vobis secundum subsistentiam totaliter differre, sive differant secundum naturam, sive non, omnia corpora. Sed evidens est illa non esse unita alia cum aliis; non enim in ferro candente differentes subsistentiæ cernuntur. Et in Domino igitur, si de illius proprietatibus sine unione loquimur, reipsa oportet aut naturarum et subsistentiarum noscere differentiam, D aut omnino subsistentiarum; et hoc est perspicuum, nisi esset naturarum transmutatio. Si autem differentium in illo quorumdam unionem admittimus, quamvis inconfusam, quæ necessitas erit duarum subsistentiarum? sed ita quidem hæc; quomodo autem simul contenditur ab aliquo corpus Petri uniri corpori Pauli, ut aliquid habeat simile Dominicæ unionis, cum ille regiones in circuitu circa Judæam et Palæstinam, hic vero Corinthum, Achaïam et Macedoniam incoleret? non enim tale fœdus communitatis carni dedisse Verbum dicimus, quale Petrus separatus in circuitum, Paulo ad gentes misso; sed unionem veram credimus, et coexsistentiam in sequentibus sæculis naturalem per subsi-

[8] I Cor. xv, 39, 40.

stentialem unionem. Si vos illam aperte recusaveritis, nihil christianæ pietatis reliquum in rationem incarnationis vobis ipsis conservastis.

CAP. XIII.

Postquam garrierunt et dicere aliquid visi sunt astantibus, rogati ut ostendant naturam insubsistentem, tergum præbent quærenti, dicuntque naturam reipsa non esse insubsistentem; subsistentes enim dicimus et nos essentias, aiunt. Sed non, si quid est subsistens, illud est subsistentia; ut sine dubio non, si quid essentiale, illud est essentia, cum sanctæ Triadis subsistentias tres esse dicimus, et illas essentiales; et non dicimus in tribus subsistentiis tres essentias, quamvis essentialem admittentes quamque subsistentiarum esse. Si igitur dicendum est, inquimus, tres subsistentias essentiales in una essentia, sequitur evidenter naturas quoque dicendum subsistentes duas in una subsistentia; et ita neque naturam insubsistentem dicimus, neque duas subsistentias esse duas naturas docemus; ut neque non essentiales dicimus sanctæ Triadis subsistentias, neque in tres essentias tres subsistentias dividimus. Attamen, inquiunt, quando aliter dicimus coloratum corpus esse, non idem scimus esse corpus ac colorem; non enim, si quid coloratum est, jam id color est : sic igitur non, si quid est subsistens, hoc jam est subsistentia; supervacaneum igitur, aiunt, quod dictum est; et non necessarium est dicendo duas naturas, aut ambas insubsistentes, aut unam earum asserere, aut omnino duas subsistentias esse, cum subsistentia non sit quod est subsistens, ut ostendimus. Illa igitur isti auditores deludentes dicebant, alte supercilium gerentes, et ob tam mirabilia seipsos Cherubim annumerantes. Vide autem quomodo per hæc quæ dixerunt sua propria destruxerint; aut ignorantes, per propriam ignorantiam, aut auditores irridentes, imperitos talium similitudine vocum illudentes. Si enim quamdam analogiam habet cum corpore natura, cum colore subsistentia, et dicunt subsistentes naturas, ut corpora colorata, necesse est inde naturam subsistentem esse subsistentiam, sicut igitur et color inde dicitur corpus coloratum; non enim possibile est cogitare naturam subsistentem sine subsistentia. Si igitur naturam inter et subsistentiam aliquid necessario differat, demonstrent mihi quod differt natura non differre subsistentia; et non simpliciores illudant, similitudine vocum illos decipientes, dicendo : Si est subsistentia, essentialis quidem, non autem alterius essentiæ, est etiam natura subsistens quidem non autem alterius subsistentiæ. Mendax enim posterius : dum si quid est alterius essentiæ, hoc omnino est alterius subsistentiæ; si igitur differunt inter se naturæ, secundum naturam differunt; differunt quoque evidenter secundum subsistentiam. Et si differentiam naturarum in una natura dici impossibile est, non magis possibile invenitur differentiam exsistere subsistentiarum in una et eadem subsistentia.

A εὐσεβείας εἰς τὸν τῆς οἰκονομίας λόγον ἐφυλάξατε.

ΚΕΦΑΛ. ΙΓ'.

Ἐκ τοῦ δὲ φληναφεῖν καὶ δοκεῖν τι λέγειν τοῖς παρεστηκόσιν, ἀπαιτούμενοι δεῖξαι φύσιν ἀνυπόστατον, παρέχουσι μὲν νῶτα τῷ αἰτοῦντι, λέγουσι δὲ ὅτι ὄντως φύσις οὐκ ἔστιν ἀνυπόστατος· ἐνυποστάτους γάρ φαμεν τὰς οὐσίας καὶ ἡμεῖς, φασίν· ἀλλ' οὐκ εἴ τι ἐνυπόστατον, τοῦτο καὶ ὑπόστασις· ὥσπερ ἀμέλει οὐκ εἴ τι ἐνούσιον, τοῦτο καὶ οὐσία· ἐπεὶ ἰδοὺ τὰς τῆς ἁγίας Τριάδος ὑποστάσεις φαμὲν τρεῖς εἶναι, καὶ ταύτας ἐνουσίους· καὶ οὐ λέγομεν πρὸς ταῖς τρισὶν ὑποστάσεσι, καὶ τρεῖς οὐσίας· καίπερ ἐνουσίους ἐπιστάμενοι τῶν ὑποστάσεων ἑκάστην. B Εἰ τοίνυν ἔστι λέγειν, φαμὲν, τρεῖς ὑποστάσεις ἐνουσίους ἐν μιᾷ οὐσίᾳ, ἐνδέχεται δηλονότι καὶ φύσεις λέγειν ἐνυποστάτους δύο ἐν μιᾷ ὑποστάσει· καὶ οὕτως οὐδὲ φύσιν ἀνυπόστατόν φαμεν, οὐδὲ δύο ὑποστάσεις τὰς δύο φύσεις δογματίζομεν· ὥσπερ οὐδὲ ἀνουσίους φαμὲν τὰς τῆς ἁγίας Τριάδος ὑποστάσεις, οὐδὲ εἰς τρεῖς οὐσίας τὰς τρεῖς ὑποστάσεις διαιροῦμεν. Ἀλλὰ μὴν, φασὶ, καὶ ἄλλως ἐγχρωμάτιστον λέγοντες σῶμα, οὐ ταυτὸν ἴσμεν τῷ χρώματι τὸ σῶμα· οὐκ εἴ τι γὰρ ἐγχρωμάτιστον, τοῦτο ἤδη καὶ χρῶμα· οὕτως οὖν οὐκ εἴ τι ἐνυπόστατον, τοῦτο ἤδη καὶ ὑπόστασις· περιττὸν ἄρα, φασὶ, τὸ λεγόμενον· καὶ οὐκ ἀναγκαῖον τὸν λέγοντα δύο φύσεις, ἢ ἀνυποστάτους αὐτὰς, ἢ μίαν αὐτῶν λέγειν, ἢ πάντως καὶ δύο ὑποστάσεις, C ἐπεὶ μὴ ὑπόστασις τὸ ἐνυπόστατον ὡς ἐδείξαμεν. Ταῦτα τοιγαροῦν ἐκεῖνοι τοὺς παρεστηκότας φενακίζοντα ἔλεγον, ἄνω τὴν ὀφρὺν ἔχοντες, καὶ διὰ τούτων ἀπὸ Χερουβὶμ ἑαυτοὺς ὀνομάζοντες. Ὅρα δὲ σὺ αὐτὸς ὅπως δι' ὧν εἰρήκασι, τὰ οἰκεῖα κατέσκαψαν· ἢ ἀγνοοῦντες, δι' ἄγνοιαν οἰκείαν· ἢ χλευάζοντες τοὺς ἀκούοντας, ἀπείρους ὄντας τῶν τοιούτων καὶ ὁμοιότητι λέξεων παρακρουόμενοι. Εἰ ἀναλογεῖ γὰρ τῷ μὲν σώματι ἡ φύσις, τῷ δὲ χρώματι ἡ ὑπόστασις, καὶ λέγουσιν ἐνυποστάτους τὰς φύσεις, ὥσπερ οὖν τὰ σώματα ἐγχρωμάτιστα, ἀνάγκη ἔνθα ἐστὶ ἐνυπόστατος φύσις, καὶ ὑπόστασιν εἶναι· ὥσπερ οὖν καὶ χρῶμα ἔνθα σῶμα ἐγχρωμάτιστον· οὔτε γὰρ ἐνδέχεται νοῆσαι φύσιν ἐνυπόστατον ἄνευ ὑποστάσεως. Εἰ οὖν τῇ φύσει ἀναγκαίως διενήνοχέ τι καὶ τῇ D ὑποστάσει, ἐπιδειξάτωσάν μοί τι διαφέρον μὲν τῇ φύσει, μὴ διαφέρον δὲ τῇ ὑποστάσει· καὶ μὴ βουκολείτωσαν τοὺς ἁπλουστέρους, ὁμοιότητι φράσεων αὐτοὺς παραλογιζόμενοι, τῷ λέγειν εἰ ἔστιν ὑπόστασις, ἐνούσιος μὲν, οὐχ ἑτεροούσιος δὲ, ἔστι καὶ φύσις ἐνυπόστατος μὲν, οὐχ ἑτερουπόστατος δέ· ψευδὲς γὰρ τὸ τελευταῖον· ἐπείπερ εἴ τι ἑτεροούσιον, τοῦτο πάντως καὶ ἑτερουπόστατον. Εἰ τοίνυν διαφέρουσιν αἱ φύσεις ἀλλήλων, κατὰ φύσιν διαφέρουσι· διαφέρουσι δηλονότι καὶ καθ' ὑπόστασιν· καὶ εἰ διαφορὰν φύσεων ἐπὶ μιᾶς φύσεως λέγεσθαι ἀδύνατον, ἀμήχανον ἄρα καὶ διαφορὰν ὑποστάσεων εἶναι ἐπὶ μιᾶς καὶ τῆς αὐτῆς ὑποστάσεως.

Ἤδη μὲν ἀληθῶς εἰσι τὰ προταχθέντα ὑμῖν ἡμέτερα A προβλήματα· τούτοις δὲ οὐ προσφόρως ὑπαντήσαντες, ἑαυτοὺς μόνον περὶ τῶν δοκούντων ὑμῖν πεπείκατε. Εἰ γὰρ ἐπεὶ τῷ μὲν χρώματι ἀναλογεῖ ἡ ὑπόστασις ἐν τῷ τῆς ὁμοίας ὀνομασίας κατὰ τύχην παραδείγματι, τῷ δὲ σώματι ἡ φύσις ἀναγκαῖον ἔνθα ἐστὶ σῶμα, εἶναι καὶ χρῶμά φατε, καὶ ἐκ τούτου δύο εἶναι τὰς ὑποστάσεις, ἐπεὶ δύο εἰσὶν αἱ φύσεις, συνάγετε, γνῶτε ὅτι τοῦτο καὶ ἡμεῖς φαμεν· ὅπου σῶμα εἶναι λέγεται ἐγχρωμάτιστον, χρῶμα ὑπάρχειν ἀναγκαίως· ὥσπερ οὖν καὶ ὑπόστασιν εἶναι, ὅπου λέγεται φύσις ἐνυπόστατος. Ἀλλὰ τὸ ζητούμενον, οὔπω ἐδείξατε περὶ οὗ καὶ διαφέρεσθε πρὸς ἡμᾶς· ὅτι ὅπου πλείονα συνιέναι λέγονται σώματα ἐγχρωμάτιστα, ἰσάριθμα δέον εἶναι τούτοις καὶ τὰ χρώματα· καὶ οὐ δυνατὸν ἢ ἐνὶ καὶ τῷ αὐτῷ χρώματι B πλείονα χρώννυσθαι σώματα· ὥσπερ τῷ λευκῷ ἦτε χιὼν καὶ τὸ γάλα καὶ ψιμμίθιον μιγνύμενα, καὶ τὸ ἔριον καὶ λίνον καὶ μέταξα ἐν τῷ ἑνὶ λευκῷ πέπλῳ ὑφασμένα· ἢ εἰς ἓν ἕτερον χρῶμα πλείονα σώματα εἶναι συγκεχραμένα· οἷον τὸ ψιμμίθιον καὶ ὤχρα, καὶ χάλκανθος καὶ κόμμιδας ἐν τῷ φαιῷ κολλουρίῳ· τὰς γὰρ δύο φύσεις ἐν μιᾷ καὶ τῇ αὐτῇ ὑποστάσει λέγομεν ὑφίστασθαι· οὐχ ὡς δυναμένης θατέρας ἀνυποστάτου εἶναι ἐν αὐτῇ, ἀλλ' ὡς ἀμφοτέρων ἐν μιᾷ κοινῇ δυναμένων ὑφίστασθαι ὑποστάσει· καὶ οὕτως κατὰ τὴν αὐτὴν καὶ μίαν ὑπόστασιν, ἑκατέρας ἐνυποστάτου οὔσης. Οὐ γὰρ ἀναγκαῖον διὰ τὸ δεῖν τι εἶναι, πάντως καὶ ἰδίᾳ τοῦτο εἶναι· καὶ γὰρ τῶν ἐν τῇ πόλει οἰκήσεων, οὐδεμία μὲν ἀδέσποτος· οὐκ C ἀναγκαίως δὲ πᾶσα δεσποζομένη, μονοδέσποτός ἐστι· πολλαὶ γάρ εἰσι καὶ κοινοδέσποτοι ἐν τῇ πόλει· οὕτως οὖν ἐπεὶ μέν εἰσιν αἱ φύσεις, ἀναγκαῖον αὐτὰς καὶ ὑφεστηκέναι καὶ ἐνυποστάτους εἶναι· ἐπειδὴ δὲ οὐκ ἰδίᾳ ἀπ' ἀλλήλων εἰσὶν, ἑνώσεως αὐτῶν ὡμολογημένως γενομένης, οὐχὶ καὶ ἰδίᾳ ὑφεστηκέναι ἑκατέραν ἀναγκαῖόν ἐστι. Δῆλον οὖν ὅτι οὐχ ἑτεροϋπόστατον εἶναι, ἀλλ' ἐν μιᾷ καὶ τῇ αὐτῇ ὑποστάσει νοεῖσθαι ἀμφοῖν αὐτῶν τὸ ἐνυπόστατον δεῖ. Διὸ καὶ ἀποδεχόμεθα τὸ παρ' ὑμῶν ἐν τέλει εἰρημένον, ὡς ἀδύνατον ἐπὶ μιᾶς καὶ τῆς αὐτῆς ὑποστάσεως, διαφορὰν λέγεσθαι ὑποστάσεως. Οὐδὲ ὅλως γάρ φαμεν οὔτε διαφορὰν ὑποστάσεων ἐν τῇ μιᾷ ὑποστάσει τοῦ Κυρίου· μὴ γένοιτο! εἰ καὶ ὑποστατικῶν μερικῶν ἰδιωμάτων ἴσμεν διαφοράν· οὐ γὰρ ὑποστάσεων διαφό- D ρων ἢ διαφόρων ἕνωσίν φαμεν ἐπὶ τοῦ Κυρίου· τοῦτο γὰρ προεδείχθη καὶ ἀδύνατον· εἴπερ μὴ καὶ τῶν διακεκριμένων, ἐν ταυτῷ τις λέγοι τὴν ἕνωσιν, ἐν ᾧ τὴν διάκρισιν ὁρᾷ· ἀλλὰ φύσεων διαφόρων σύνθεσιν κατὰ μίαν τὴν πρώτην ἐξ ἀρχῆς οὖσαν τοῦ Λόγου, καὶ οὐ δευτέραν εἶναι ὑπόστασιν, εἴτουν ἐξ ὑποστάσεως ἴσμεν· ἀλλ' οὕτως μὲν τάδε.

Jam quidem in veritate sunt quæ a vobis prius prolata sunt nostra argumenta. His enim non opportune occurrentes, vos ipsos tantum de vestra sententia persuasistis. Si enim, cum analogiam habeat eum colore subsistentia, in illo exemplo fortuitæ similitudinis in nominibus, corpori necessarium inde est natura sit corpus, colorem esse dicitis, et ex hoc duas esse subsistentias, cum duæ sint naturæ, colligitis, scitote nos quoque illud dicere: Ubi corpus esse dicitur coloratum, colorem exsistere necesse est; sicut igitur subsistentiam esse, ubi dicitur natura subsistens. Sed quæsitum non per hæc demonstravistis, et a nobis discrepatis; quod nempe, ubi plura dicuntur conjungi corpora colorata, numero æquales iis debent quoque esse colores; et non possibile est, aut uno et eodem colore plura colorari corpora, ut albo niveus, lacteus, cerusseus mixti sunt, et lana, linum et sericum in uno albo velo contexta; aut in unum alium colorem plura corpora esse permista; ut cerussam, ochram, chalcanthum, gummi, in fusco collyrio. Nam duas naturas in una et eadem subsistentia dicimus subsistere; non quasi alterutra possit esse insubsistens in illa, sed quod utraque in una communi possit subsistere subsistentia. Et ita, secundum eamdem et unam subsistentiam, utraque sit subsistens. Non enim necessarium est ut aliquid debeat esse, absolute et proprie illud sit; nam ex urbis domibus nulla sine domino, non necessarium autem est ut omnis quæ dominum habet, unum dominum habeat; plurimæ enim sunt in urbe pluribus dominis communes: sic igitur, quando sunt naturæ, oportet eas subsistere et subsistentes esse; quando autem non proprie et aliæ ab aliis sunt, unione illas inter aperte facta, non etiam proprie subsistere utramque necessarium est. Evidens ergo est non alterius esse subsistentiæ, sed in una eademque subsistentia utriusque existimandum esse quod subsistens est. Ideo et rejicimus quod a vobis in fine dictum est, impossibile esse in una eademque subsistentia differentiam dici subsistentiæ. Non enim absolute dicimus differentiam subsistentiarum in una subsistentia Domini, hoc enim demonstratum est esse impossibile; siquidem non distinctarum rerum in eodem aliquis diceret unionem, in quo distinctionem videt; sed naturarum differentium conjunctionem secundum unam primam a principio exsistentem Verbi, nec secundam esse subsistentiam, puta e subsistentia, scimus. Sed ita quidem ista.

Τὸ δὲ δὴ ἕτερον πάλιν ὃ ἀπεφήνασθε, ὅτι ἐπεὶ διάφοροί εἰσιν αἱ φύσεις ἐπὶ τῆς οἰκονομίας, ἀνάγκη εἶναι διαφόρους καὶ τὰς ὑποστάσεις· τῶν δὲ ὑποστάσεων διαφερουσῶν ἐπὶ τῆς θείας οὐσίας, οὐκ ἀνάγκη εἶναι διαφόρους καὶ τὰς φύσεις, πῶς δείκνυται; Πρῶτον μὲν γὰρ ἐν τοῖς ἔμπροσθεν τὸ ἀδιάφορον τῶν φύσεων ἀναγκαίως χρήζειν τοῦ διαφόρου τῶν ὑπο-

Quod autem rursus proposuistis, necesse esse, cum differentes sint naturæ in incarnatione, differentes etiam sint et subsistentiæ; subsistentiarum autem differentium in essentia divina, non necessario esse differentes naturas, quomodo ostenditur? primo enim quidem, in his quæ superius dicta sunt, similitudinem naturarum necessario requirere

distinctionem subsistentiarum, in corpore Petri et Pauli, dixistis. Deinde autem nunc quamnam habeant originem conditionis ista dicite. Scitote enim nos ut omnino contrarium demonstretis requirere; ut scilicet, si differentes sunt naturæ, differentes quoque esse secundum vos subsistentias, ita, cum naturæ sint similes, similes quoque esse subsistentias. Quomodo ergo unam et similem sanctæ Triadis naturam, differentes autem subsistentias credimus? consequens enim foret, sicut in Christo differentes naturæ, et earum subsistentiæ etiam a vobis dicuntur differentes, sic in Triade naturas similes, et earum subsistentias similes dici. Imo, ecce numero omnino æquales, secundum vos, oportet esse naturas et subsistentias; cum igitur non tantum similis sed etiam una sit sanctæ Triadis natura, sit etiam subsistentia una et similis. Si vero dicitis, semper, si est naturæ differentia, et subsistentiæ differentiam esse; si vero subsistentiæ est differentia, non semper naturæ differentiam esse, eo quod minus quam essentia subsistentia se extendens non potest iisdem terminis in illam converti: primum, particulares naturæ evidenter non majorem quam subsistentiæ extensionem, sed minorem quodammodo censentur habere; quod unum est majus est quam quod commune est. Concedatur ergo vobis istud quoque. Ergo plures esse subsistentias, una tantum cum sit natura, necesse est; numerus enim eorum quæ minus extenduntur abundantior est necessario numero eorum quæ sunt magis generalium. Et vel duæ demum erunt, vel plures, vel una, cum numerorum particula secundum unam naturam subsistentiæ. Re ita se habente, duæ naturæ cum sint Domini, aut quatuor, aut tres, aut duas semi-subsistentias habebunt, aut tale aliquid, secundum vestram authenticam legem. Et non solum conjunctam personam male vobis sufficiet in subsistentias dividere, sed ipsam quamque simplicem et particularem naturam ejus et omnis cujusvis, in subsistentias plures numero; particularem solius Pauli naturam ostendere, duobus constare ex natura spirituali, tribus autem ex natura corporali.

Et illa quidem sic ratio arguit vos inconsiderate proposuisse; mundus autem omnis iste et pleraque eorum quæ in eo sunt discordantiam vestræ sententiæ reipsa aperte condemnant. Si non esset una hypostasis, seu persona alicujus corporis, puta arboris ex naturis quatuor elementorum conflatæ, nec una hypostasis ferri candentis, ex variis naturis junctis, una hypostasis hominis variarum naturarum unitarum, una hypostasis (1) hujusce templi, una hypostasis remedii, una hypostasis universi hujus mundi ex variis elementis constantis, immerito unum dicimus hominem, arborem, mundum, aut aliquid prædictum; vel negamus juxta naturas

A στάσεων, ἐν τῷ σώματι Πέτρου καὶ Παύλου ἐλέγετε· εἶτα δὲ νῦν τίνα ἔχει ἀφορμὴν τῆς ἀποκληρώσεως τάδε εἴπατε. Ἴσθε γὰρ γινώσκοντες ὡς πάντως καὶ τὸ ἐναντίον ὑμᾶς ἀπαιτήσομεν δεῖξαι· ὅτι ὥσπερ εἰ διάφοροί εἰσιν αἱ φύσεις, διάφοροί εἰσι καθ' ὑμᾶς καὶ ὑποστάσεις, οὕτως καὶ τῶν φύσεων οὐσῶν ἀδιαφόρων, αἱ ὑποστάσεις εἰσὶν ἀδιάφοροι. Πῶς οὖν μίαν μὲν καὶ ἀδιάφορον τῆς ἁγίας Τριάδος τὴν φύσιν, διαφόρους δὲ τὰς ὑποστάσεις πιστεύομεν; Ἀκόλουθον γὰρ ἔσται, ὥσπερ ὧν αἱ φύσεις διάφοροι, τούτων καὶ αἱ ὑποστάσεις λέγονται καθ' ὑμᾶς διάφοροι, οὕτως καὶ ὧν αἱ φύσεις ἀδιάφοροι, τούτων καὶ τὰς ὑποστάσεις ἀδιαφόρους λέγεσθαι. Ἔτι μὴν ἰδοὺ καὶ ἰσαρίθμους πάντως καθ' ὑμᾶς δεῖ εἶναι τὰς φύσεις καὶ τὰς ὑποστάσεις. Ἐπεὶ οὖν οὐ μόνον ἀδιάφορος, B ἀλλὰ καὶ μία τῆς ἁγίας Τριάδος ἡ φύσις, ἔστω καὶ ἡ ὑπόστασις μία τε καὶ ἀδιάφορος. Εἰ δὲ εἴποιτε, ὅτι εἴτις μὲν φύσεως διαφορὰ, πάντως καὶ ὑποστάσεώς ἐστιν· εἴτις δὲ ὑποστάσεως διαφορὰ, οὐ πάντως καὶ φύσεως, διὰ τὸ ἐπ' ἔλαττον οὖσαν τῆς οὐσίας τὴν ὑπόστασιν μὴ ἀντιστρέφειν πρὸς αὐτὴν τοῖς λόγοις· πρῶτον μὲν αἱ ἰδικαὶ φύσεις δηλαδὴ οὐκ ἐπὶ πλεῖστον τῶν ὑποστάσεων, ἀλλὰ καὶ ἐπ' ἔλαττόν τι νοοῖντο ἄν· μόναι δὲ ἐπὶ πλεῖόν εἰσιν αἱ κοιναί. Δεδόσθω δ' οὖν ὑμῖν καὶ τοῦτο. Οὐκοῦν καὶ πλείους εἶναι τὰς ὑποστάσεις, μιᾶς οὔσης τῆς φύσεως ἀνάγκη. Ὁ γὰρ ἀριθμὸς τῶν ἐπ' ἔλαττον περισσότερος τῶν καθολικωτέρων αὐτῶν ἐξ ἀνάγκης ἐστί· καὶ ἢ δύο ἔσονται λοιπὸν ἢ πλείους ἢ μία, σὺν ἐπιμορίῳ κατὰ μίαν φύσιν αἱ ὑποστάσεις οὖσαι· τούτου δὲ οὕτως ἔχοντος, C δύο φύσεις οὖσαι αἱ τοῦ Δεσπότου, ἢ τέσσαρες ἢ τρεῖς ἢ δύο ἥμισυ τὰς ὑποστάσεις ἕξουσιν, ἤ τι τοιοῦτον, κατὰ τὴν αὐθεντικὴν ὑμῶν τήνδε νομοθεσίαν· καὶ οὐ μόνον τὸ σύνθετον πρόσωπον κακῶς ὑμῖν ἀρκέσει εἰς ὑποστάσεις διαιρεῖν, ἀλλὰ καὶ αὐτὴν ἑκάστην ἁπλῆν τε καὶ ἰδικὴν φύσιν αὐτοῦ τε καὶ παντὸς, εἰς πλείονα ἀριθμὸν ὑποστάσεις, τὴν ἰδικὴν Παύλου μόνου φύσιν ἐπιδείκνυσθαι, δύο μὲν ἐκ τῆς κατὰ ψυχὴν φύσεως, τρία δὲ τυχὸν ἐκ τῆς κατὰ σῶμα συναγόμενα.

Καὶ ταῦτα μὲν οὕτως ὁ λόγος ὑμᾶς ἀπελέγχει προπετῶς ἀποφηναμένους. Ὁ δὲ κόσμος ἅπας οὑτοσὶ καὶ τὰ πλεῖστα τῶν ἐν αὐτῷ τὸ ἀσύστατον τῆς ὑμετέρας D δόξης στηλιτεύει τῷ πράγματι αὐτῷ σαφῶς. Εἰ γὰρ μὴ μία ἡ ὑπόστασίς ἐστιν ἐν τῷδέ τινι ἐκ τεσσάρων φύσεων στοιχείων σώματι φυτοῦ τυχὸν συγκροτηθέντι, καὶ μία ὑπόστασις τοῦ μύδρου ἐκ διαφόρων φύσεων συμπλακεισῶν, καὶ μία ὑπόστασις ἀνθρώπου ἐκ διαφόρων φύσεων ἡνωμένων, καὶ μία ὑπόστασις τοῦδε τοῦ ναοῦ, καὶ μία ὑπόστασις τοῦ φαρμάκου, καὶ μία ὑπόστασις παντὸς τοῦδε τοῦ κόσμου ἐκ διαφόρων φύσεων συνεστῶσα, κακῶς ἕνα τὸν ἄνθρωπον ἢ τὸ φυτὸν ἢ τὸν κόσμον ἤ τι τῶν

(1) De his vocibus, substantia, persona, magna fuit quæstio et obscuritas, in primis Ecclesiæ sæculis, siquidem una vox in partes contrarias aliquando discerpebatur, v. g. ὑπόστασις nunc persona, nunc substantia dicebatur. Apud nostrum auctorem ὑπόστασις videtur idem esse ac *suppositum;* individuum designat sive rationale, sive non; sæpius tamen per personam traducenda est. Quod Latini una voce *persona* exprimunt, hoc Græci duabus, ὑπόστασις et πρόσωπον, ut alibi notabitur.

οὕτω λεγομένων ὀνομάζομεν· καὶ οὐ κατὰ τὸ τῶν φύσεων ποσὸν, καὶ τὸν τῶν ὑποστάσεων ἀριθμὸν πλεονάζοντα ἴσμεν· οὐδαμόθεν λοιπὸν ἐχόντων ἑνικῶς προσαγορεύεσθαι τῶν κατὰ φύσιν ἡνωμένων ὁπωσοῦν· ὅπου ὑμεῖς ταυτὸν εἶναι φύσιν καὶ ὑπόστασιν πολλάκις λέγοντες· κἂν διαφόρους δῶτε τὰς ὑποστάσεις τῆς ἁγίας Τριάδος, πάντως καὶ τὰς φύσεις, καὶ εἰ πλείους, ἐξ ἀνάγκης τόσας καὶ τὰς οὐσίας εἶναι.

ΚΕΦΑΛ. ΙΔ'.

Ἀλλὰ, φασὶν, ἰδοὺ ὁ ἄνθρωπος δύο μὲν φύσεις ἐστὶ, μία δὲ ὑπόστασις· καὶ φανερὸν ἐκ τούτου, ὅτι δυνατὸν ἐν μιᾷ ὑποστάσει δύο φύσεις εἶναι. Πάλιν τερθρεία λόγων, πάλιν μάχη δογμάτων, πάλιν ἐναντιότης ῥημάτων, καὶ σοφίσματα προδήλου ψυχῆς ἀγνώμονος· τὸν αὐτὸν ἄνθρωπον καὶ δύο φύσεις λέγουσι, καὶ μίαν ὑπόστασιν, καὶ πάλιν οὐδεμίαν ὑπόστασιν· καὶ μακάριοι ἦμεν ἀκούοντες δύο φύσεις, μίαν ὑπόστασιν· ἢ νῦν διδασκόμενοι λέγειν δύο φύσεις, οὐδεμίαν δὲ ὑπόστασιν. Πάλιν γὰρ τὸν Χριστὸν λέγουσι τρεῖς φύσεις, καὶ δύο φύσεις· καὶ μίαν ὑπόστασιν μὴ κατορθώσαντες λέγειν, τρεῖς ἤδη δογματίζουσι φύσεις ἐν μιᾷ ὑποστάσει· καὶ ἄκουε ταῦτα πῶς. Εἰ δύο φύσεων ὁ ἄνθρωπος, καὶ μιᾶς ὑποστάσεως, εἴληπται δὲ οὗτος καὶ ἥνωται τῷ Θεῷ Λόγῳ, πῶς οὐ τρεῖς φύσεις δύο ληφθεῖσαι, μία δὲ λαβοῦσα; καὶ πῶς οὐ δύο ὑποστάσεις, ἥ τε λαβοῦσα καὶ ἡ ληφθεῖσα; Εἰ δὲ δύο φύσεων ὁ Χριστὸς καὶ μιᾶς ὑποστάσεως, πῶς οὐ μία φύσις ὁ ἄνθρωπος; καὶ ἀνυπόστατος ὁ ἄνθρωπος, ὃν δύο φύσεις ἔλεγον πρώην; Καὶ τίς ὑποίσει τοσαύτην ἐναντιότητα δογματίζειν;

Ἀλλὰ καὶ μίαν καὶ δύο φύσεις εἶναι τὸν ἄνθρωπον, ἑτέρῳ μέν τοι καὶ ἑτέρῳ λόγῳ ἐν τοῖς πρὸς τοὺς λέγοντας αὐτοῦ μίαν εἶναι μόνην τὴν φύσιν ἀπεδείξαμεν σὺν Θεῷ· καὶ ἵνα μὴ πλείονα ὄντα τὰ αὐτὰ παλιλλογῶμεν, ἔνεστιν ἐκεῖθεν τῷ βουλομένῳ περὶ τοῦδε πληροφορεῖσθαι. Λέγοντες οὖν ἐπὶ τοῦ Δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ δύο τὰς φύσεις, δῆλον ὡς μίαν τὴν τοῦ ἀνθρώπου φύσιν ἐν αὐτῷ καταριθμοῦμεν, ὡς εἴδους καινοτέρου γενομένης αἰτίας τῆς συνθέσεως τῶν ἐν αὐτῷ φύσεων. Κατὰ τρόπον οὖν καὶ λόγον τὸν τῆς μιᾶς φύσεως αὐτοῦ παραστατικὸν, μία φύσις τοῦδε. Τὴν δὲ ὑπόστασιν τοῦ ἀνθρώπου, καὶ ὑμεῖς μὲν ἐν τῷ πρώτῳ τῆς παρούσης ὑποθέσεως κεφαλαίῳ, μίαν τε καὶ ἐκ δύο φύσεων ὡμολογήσατε, λέγοντες πρὸς ἡμᾶς περὶ τῆς τοῦ Δεσπότου ὑποστάσεως, ὅτι εἰ μὴ τῇ τοῦ Πατρὸς, ἀλλὰ τῇ τοῦ Δαβὶδ φαμεν αὐτὴν ὁμοούσιον, πῶς ἐκ δύο φύσεων λέγοντες αὐτὴν, οὐκ ἐκ ψυχῆς καὶ σώματος συνεστάναι βουλόμεθα; Τοιαύτη γὰρ ἡ τοῦ Δαβίδ· πλὴν καὶ τοῦτο ὑμῖν συγκεχωρήσθω· εἰ καὶ οὐ κατὰ γνώμην τισὶν, ἀλλὰ κατὰ οἰκονομίαν καὶ πρόνοιάν τινα λέγεται πολλάκις, μὴ εὐμνημονοῦσιν ἐν τῷ ψεύδεσθαι τῶν προειρημένων αὐτοῖς, ἵνα ἔχοιεν παρ' ἑαυτῶν ἑπόμενον αὐτοῖς τὸν ἴδιον ἔλεγχον. Ἡμεῖς δὲ εἰ καὶ μίαν ἴσμεν ἐπὶ ἀνθρώπου τοῦ καθέκαστα τὴν ὑπόστασιν, καὶ ἐπὶ πάσης ἑτέρας ὑποστάσεως φύσεων διωρισμένων, ἀλλ' οὖν ἐπὶ τοῦ μὴ ἁπλῶς ἀνθρώπου

A numerum personarum multiplicari. Una voce designari ea quæ natura aliquo modo uniuntur, deinceps erit omnino impossibile, præsertim cum idem esse naturam atque personam sæpe dixeritis. Sanctæ Trinitatis personas si distinxeritis, et naturæ omnino erunt distinguendæ, si multiplicaveritis, sic necessario multiplicandæ et naturæ.

CAP. XIV.

Sed nonne, inquiunt, duas naturas et unam personam homo habet? et exinde nonne in una persona duas naturas exsistere possibile demonstratur? Rursus stupendi sermones, rursus contraria dogmata, rursus verba opposita, rursus sophismata quæ insanam mentem arguunt. Eumdem hominem nunc B duarum naturarum et unius personæ, nunc nullius personæ statuunt. Lætabamur cum duas naturas et unam personam audiebamus, et nunc duas naturas et nullam personam credere docemur. Ecce enim iterum Christo tres naturas, et duas naturas tribuunt; inque una persona confitenda non recte perseverantes, tres naturas dicunt in una persona. Ipsi audiantur: cum duabus naturis et una persona constet homo, quomodo, postquam assumptus et unitus fuit Verbo Dei, non tres sunt naturæ, duæ quæ assumuntur, altera quæ assumit? quomodo non duæ personæ, altera assumens, et altera assumpta? Vel si duabus naturis et una persona constat Christus, nonne unam naturam homo habet, et est impersonalis, C quem modo duas naturas habere dicebamus? Tantam discrepantiam quis profiteri sustinebit?

Homini unamque duasque naturas inesse, sed non eadem ratione, adversus eos qui unam solum admittunt, Deo adjuvante, probavimus. Et ne eadem, utpote longiora, repetamus, poterit quicunque voluerit, exinde de hoc certior fieri. Ubi ergo diximus de Jesu Christo Domino nostro duas naturas eum habere, patet humanam naturam pro una sumptam fuisse, quasi forma inusitata orta esset ex unione naturarum in ipso: et quo sensu, quibus verbis natura ejus una monstrabatur, eodem nunc dicitur una natura. Personam vero hominis vos ipsi, in primo hujus tractatus capitulo, D unam esse e duabus naturis confessi estis, qui, nobis dicentibus personam Domini consubstantialem esse, si non Patri, saltem Davidi, et duabus naturis conflatam, quærebatis ob quam causam eam anima et corpore componi negaremus. Talis enim erat David. Quod tamen vobis sit concessum, licet ubi quædam ad hominem, cum prævisione, non juxta mentem dicuntur, male agant qui prædicta alieno sensu recitant, quasi personale argumentum nacti hoc verbum sibi dictum. Nos autem etsi unam personam cuique hominum, et cuilibet individuo inter naturas distinctas agnoscamus; attamen, si res est de non homine puro, Domino, qui nunquam separatus est a persona Verbi, hujus unius personam non esse particularem credimus:

non enim in propria, sed in Verbi persona subsistit ab initio humanitas Salvatoris; neque Verbi persona hodie est solius Verbi, siquidem in ipsa cum humanitate Verbum consubstantiale subsistit, post inenarrabilem ejus incarnationem.

Utriusque ergo unam et communem personam confitemur, quæ prior erat humana substantia, et antea propria Verbi erat, in communi divinitatis essentia; quæque sibi creata hominis Dominici natura, eaque circumdata et aptata propriæ naturæ, tunc cœpit esse naturæ corporeæ persona, ex propria communis fieri, et multiplex substitit. Non enim hodie sicut prius Verbi persona una notione generati a Patre et Spiritu distinguitur, sed etiam quia pluribus naturis constat, et proprietatibus sive naturalibus sive personalibus revera abundat. Quomodo ergo huic altera persona hominis qui sine divina Verbi persona nunquam substitit, adjicietur? Vel si carni persona attribuitur ante assumptionem, quod nemo pius admittet, quomodo, cum assumpta fuerit, id est, cum assumptum et assumens in sese invicem maneant, remanebit in ipsis et salvabitur uniuscujusque distinctio ab altero? in quo consistit distinctio? Recte ergo judicandum est Verbi naturam esse communem cum Patre et Spiritu, personam vero esse particularem contra Patrem, Spiritum et universos homines qui de beata Virgine nati non sunt, atque uni carni a Verbo de Matre Dei assumptæ communem; et rursus hujus carnis de beata Virgine naturam nostræ similem communem esse cum omnibus filiis Adæ, et personam particularem, si nobis vel Patri, vel Spiritui componatur, communemque uni Verbo. Hanc rectæ fidei regulam a theologis accepimus. Nobis unam personam et duas naturas in homine et in Christo recte judicantibus, vos vobis minime consentire Dei gratia ostendetur, postquam ad singulas vestras molitiones responsum fuerit. Et jam quidem probandum est vos non modo unam personam humanam sed etiam unam naturam, ut Eutychiani, huic Verbo adjudicare. Etenim si, ut duas personas, duas naturas Christo datis, nihil amplius in utraque conspicientes, et Christum Deum et hominem confessi, vel homini in ipso duas naturas et duas personas attribuitis, et a Verbo omnem naturam et personam adimitis, illudque sine substantia, sine persona scribitis; vel etiam Verbo unam personam unamque naturam, et homini, non unam modo personam, sed naturam quidem unam manifeste adscribitis: ubi ergo et cujus est sermo stupendus, verba pugnantia, et contradictoria, et quidquid cum emphasi declamabatis?

A ὄντος τοῦ Κυριακοῦ τοῦ τῆς τοῦ Λόγου ὑποστάσεως μὴ διακεκριμένου ποτὲ, οὐδεμίαν ἴσμεν αὐτοῦ μόνου ἰδικὴν οὖσαν ὑπόστασιν· καὶ γὰρ οὐκ ἐν ἰδιαζούσῃ ὑποστῆναι, ἀλλ' ἐν τῇ τοῦ Λόγου ὑποστάσει ὑφεστηκέναι τὸ ἀνθρώπινόν φαμεν τοῦ Σωτῆρος ἐξ ἀρχῆς· οὔτε μὴν ἁπλῶς τὴν τοῦ Λόγου νῦν ὑπόστασιν, ὡς Λόγου μόνον οὖσαν ὑπόστασιν νῦν οἴδαμεν· ἐπειδὴ σὺν τῷ ἀνθρωπίνῳ συνυφέστηκεν ἐν αὐτῇ τῶν ὁμοουσίων ὁ Λόγος μετὰ τὴν ἄφραστον αὐτοῦ ἕνωσιν.

Ἀμφοτέρων οὖν μίαν ἴσμεν καὶ τὴν αὐτὴν κοινὴν οὖσαν ὑπόστασιν, ἢ προϋπῆρξε μὲν τῆς οὐσίας τοῦ ἀνθρώπου, ἰδικὴ οὖσα τὸ πρὶν τοῦ Λόγου ἐν τῇ κοινῇ τῆς θεότητος οὐσίᾳ· τὴν δὲ τοῦ Κυριακοῦ ἀνθρώπου φύσιν δημιουργήσασα ἑαυτῇ, καὶ περιπτυξαμένη καὶ συνάψασα τῇ ἰδίᾳ ἐν αὐτῇ φύσει, ἅμα τῷ καὶ τῆς φύσεως τῆς σαρκὸς εἶναι ὑπόστασις, καὶ κοινὴ εἶναι αὐτῇ ἐξ ἰδικῆς ἤρξατο καὶ ποικιλωτέρα συνέστηκεν· οὐ γὰρ δὴ μόνῳ νῦν ὡς πρώην ἡ τοῦ Λόγου B ὑπόστασις ἰδιώματι τῷ γεννητῷ ἔκ τε τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος διακρίνεται, ἀλλὰ καὶ τῷ ἐκ πλειόνων αὐτὴν εἶναι φύσεων καὶ φυσικῶν ἰδιωμάτων καὶ προσωπικῶν δηλαδὴ περισσότερον· πῶς οὖν ὑπόστασις τοῦ μὴ ὑποστάντος ποτὲ ἐκτὸς αὐτῆς τῆς τοῦ θείου Λόγου ὑποστάσεως συναριθμηθήσεται αὐτῇ; Εἰ δὲ καὶ ἦν ὑπόστασις τῇ σαρκὶ πρὸ τῆς συλλήψεως αὐτῆς, ὅπερ οὐδεὶς εὐσεβῶς ἐρεῖ, πῶς μετὰ τὸ ληφθῆναι, ἤγουν ἐν ἀλλήλοις μεῖναι τό τε ληφθὲν καὶ τὸ λαβὸν, παραμένειν ἐν αὐτοῖς δύναται, καὶ σώζεσθαι ἀπ' ἀλλήλων ἑκατέρου διάστασις, ὅπερ συνίστησι τὴν ὑπόστασιν; Οὐκοῦν ὀρθῶς εἰδέναι δέον τοῦ μὲν Λόγου κοινὴν τὴν φύσιν πρὸς τὸν Πατέρα C καὶ τὸ Πνεῦμα· τὴν δὲ ὑπόστασιν ἰδικὴν μὲν ὡς πρός τε τὸν Πατέρα καὶ τὸ Πνεῦμα καὶ πρὸς πάντας τοὺς μὴ ἐκ τῆς ἁγίας Παρθένου ἀνθρώπους, μόνον δὲ κοινὴν ὡς πρὸς τὴν ἐκ τῆς Θεοτόκου ληφθεῖσαν τῷ Λόγῳ σάρκα· καὶ αὐτὴν δὲ ἀνάπαλιν τὴν ἐκ τῆς ἁγίας Παρθένου σάρκα, τὴν μὲν φύσιν κατὰ τὴν ἡμετέραν κοινωνίαν, κοινὴν ἔχειν πρὸς πάντας τοὺς ἐξ Ἀδὰμ, τὴν δὲ ὑπόστασιν ἰδικὴν πρός τε ἡμᾶς καὶ τὸν Πατέρα καὶ τὸ Πνεῦμα, πρὸς δὲ τὸν Λόγον μόνον κοινήν· οὗτος γὰρ κανὼν ὀρθοδοξίας ἡμῖν διὰ τῶν θεηγόρων παραδέδοται. Ὅτι δὲ ἡμῶν μὲν μίαν ὑπόστασιν, δύο δὲ φύσεις ἔν τε τῷ ἀνθρώπῳ καὶ ἐν Χριστῷ ὀρθῶς λεγόντων ὑμεῖς λίαν ἀσυμβάτως ἔχετε ἑαυτοῖς, ἑξῆς σὺν Θεῷ δειχθήσεται, μετὰ τὸ ἀποκρίνασθαι πρὸς τὰς περὶ τούτου ὑμῶν πάσας κατασκευάς. Πρῶτον δὲ τέως ἡμῖν δεικτέον, ὡς καὶ ὑμεῖς οὐ μόνον μίαν D ὑπόστασιν τὸν ἄνθρωπον, ἀλλὰ καὶ μίαν φύσιν κατὰ τοὺς ἀπὸ Εὐτυχοῦς φατε τούτῳ γε τῷ Λόγῳ. Εἰ γὰρ ὡσαύτως ταῖς ὑποστάσεσι δύο καὶ τὰς φύσεις ἐπὶ Χριστοῦ φατε, οὐδὲν τούτων ἐν θατέρῳ πλεονάζον ὁρῶντες, τὸν Χριστὸν ἴστε Θεὸν καὶ ἄνθρωπον· ἢ τοῦ ἀνθρώπου τοῦ ἐν αὐτῷ δύο ἴστε τὰς φύσεις καὶ δύο τὰς ὑποστάσεις, τοῦ δὲ Λόγου μὴ εἶναι φύσιν ἢ ὑπόστασιν ὅλως φατὲ, ἀλλ' ἀνούσιόν τε καὶ ἀνυπόστατον αὐτὸν διαγράφετε· ἢ τοῦ μὲν Λόγου μίαν ὑπόστασιν καὶ μίαν φύσιν, καὶ τοῦ ἀνθρώπου δὲ μίαν οὐ μόνον δὲ τὴν ὑπόστασιν, ἀλλὰ καὶ τὴν φύσιν γινώσκοντες ἐν Χριστῷ διηλέγχθητε. Καὶ ποῦ εἰσι καὶ τίνος ἡ τερθρεία τῶν λόγων καὶ μάχη τῶν ῥημάτων καὶ ἐναντιότης; καὶ οὐκ οἶδα ὅσα καταρρητορεύοντες προοιμιάζεσθε.

CAP. XV.

Si personaliter differt corpus Petri a corpore

ΚΕΦΑΛ. ΙΕ'.

Εἰ διαφέρει καθ' ὑπόστασιν τὸ σῶμα Πέτρου τοῦ

σώματος Παύλου, πῶς οὐκ ἔσται καὶ τὸ σῶμα τοῦ ἀνθρώπου, ὑπόστασιν ἔχον; Εἰ ἡ ψυχὴ Πέτρου ἔχει ὑπόστασιν ὡς Πέτρου καὶ φύσιν, καὶ τὸ σῶμα Πέτρου ἔχει ὑπόστασιν ὡς Πέτρου καὶ φύσιν· δύο δὲ φύσεις ὁ Πέτρος διὰ ψυχὴν καὶ σῶμα, πῶς οὐ δύο καὶ ὑποστάσεις ὁ Πέτρος διὰ ψυχὴν καὶ σῶμα; Εἰ δὲ δύο φύσεις ἡ ψυχὴ Πέτρου καὶ τὸ σῶμα, καὶ δύο ὑποστάσεις ἡ ψυχὴ Πέτρου καὶ τὸ σῶμα, πῶς οὐ ψευδὲς τὸ δύο φύσεις λέγειν τὸν ἄνθρωπον, καὶ μίαν ὑπόστασιν; Ταῖς ὑμετέραις ἄρκυσι περιεπλάκητε· καὶ τὸ Δαυϊδικὸν ὑμῖν ἐπιβοᾷν ἡμᾶς παρασκευάζετε· «Ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός,» καὶ, «Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ.» Ὧν γὰρ ἀρτίως ἐλέγετε, δέον ὑμᾶς μιμνήσκεσθαι· ἐν οἷς δύο τὰς ὑποστάσεις τοῦ ἀνθρώπου θέλοντες κατασκευάζειν, τρεῖς ἡμᾶς τὰς φύσεις τοῦ Σωτῆρος λέγειν, συνάγετε. Πρῶτον μὲν οὖν ὅπως εἶεν διάφοροι ψυχῆς καὶ σώματος αἱ ὑποστάσεις ἑνὸς καὶ τοῦ αὐτοῦ ζῶντος ἐν σαρκὶ ἀνθρώπου ἀγνοοῦμεν· εἰ γὰρ ζῶντος καὶ σωζομένου τοῦ συνθέτου ζώου δύο ἴστε τὰς ὑποστάσεις τῶν ἐν αὐτῷ ἐν τῷ ἐκ τοῦ θανάτου χωρισμῷ· ἢ οὐ δύο μόνον τὰς φύσεις αὐτοῦ καὶ ὑποστάσεις ὁμοίως ἴστε, ἀλλὰ πλείους διὰ τὸν χωρισμὸν καὶ τὴν διαίρεσιν τοῦ ζώου· πᾶν γὰρ διαιρούμενον πληθύνει τὸν ἑαυτοῦ ἀριθμὸν, καὶ ἔσονται τέσσαρες ἢ ὀκτὼ αἱ κατ' αὐτὸν φύσεις καὶ ὑποστάσεις· ἢ τὰς αὐτὰς εἰδότες φύσεις αὐτοῦ καὶ ὑποστάσεις καὶ μετὰ τὴν διάλυσιν τοῦ ζώου, τὸν αὐτὸν ἔσεσθαι λόγον εἰδότες κατὰ τὴν ὕπαρξιν τοῦ τε ζῶντος καὶ τοῦ νεκροῦ, καὶ τὰ τοῦ ἡνωμένου καὶ διακεκριμένου ἀνθρώπου συνθέτου· καὶ ἔσται ὁ αὐτὸς τῶν ἐναντίων λόγος κατὰ τὰ ὑμέτερα προβλήματα ἐπ' αὐτοῦ.

Συγκεχωρήσθω δὲ ὑμῖν ὅμως καὶ τοῦτο μετὰ πάντων· τὸ δέ γε ἕτερον τὸ ἐξ ὑμῶν ἡμῖν πρὸ μικροῦ ληφθὲν, νῦν ἀκούσεσθε παρ' ἡμῶν, ὡς εἰς σώματος ὑπόστασιν ἐν ἀνθρώπῳ ἴστε· καὶ δύο τὰς ἐν αὐτῷ ὑποστάσεις ὥσπερ οὖν καὶ τὰς φύσεις διὰ τόδε οἴεσθε· διὸ δὲ καὶ ἡμᾶς παραγράφεσθε τὸ κατ' αὐτὸν παράδειγμα εἰς ἔνδειξιν δύο φύσεων καὶ μιᾶς ὑποστάσεως ἐφελκομένους ἐπὶ τοῦ Κυρίου· δῆλον ἄρα ὡς καὶ ὑμεῖς ἄνθρωπον καὶ Θεὸν λέγοντες τὸν Χριστὸν, δύο μὲν τὰς τοῦ ἀνθρώπου ὑποστάσεις, μίαν δὲ τὴν τοῦ Λόγου ὑπόστασιν ἐν αὐτῷ διεγνώκατε· καὶ ἔσεσθε σαφῶς τρεῖς τὰς ὑποστάσεις εἰδότες ἐν Χριστῷ καὶ οὐ δύο μόνον, καθὼς λέγειν ἐπειρᾶσθε μέχρι τοῦ νῦν, μίαν τὴν τοῦ Θεοῦ, καὶ μίαν τὴν τοῦ ἀνθρώπου· ἀλλὰ δύο μὲν τοῦ ἀνθρώπου, μίαν δὲ τοῦ Λόγου δοξάζοντες· ὁμοίως δὲ καὶ τρεῖς τὰς φύσεις αὐτοῦ ἐξ ἀνάγκης παρέχοντες, διά τε τὸ μὴ εἶναι ὑπόστασιν ἀνούσιον· ἵνα τοῖς ὑμετέροις καὶ κατὰ τὰ ὑμέτερα νοήματα χρησώμεθα, καὶ τὸ αὐτόθεν ἤδη λέγειν δύο τοῦ ἀνθρώπου τὰς φύσεις εἶναι, μίαν δὲ τοῦ Λόγου· ὡς εἶναι λοιπὸν συναγομένην τοῦ ὑμετέρου δόγματος τὴν ὁμάδα, εἰς ἕξ τινα τὸν ἀριθμὸν τῶν ἐπὶ Χριστοῦ νοουμένων ἤγουν τριῶν φύσεων, τριῶν δὲ ὑποστάσεων, ὦ σοφώτατοι·

[9] Psal. IX, 17. [10] Psal. VII, 17.

A Pauli, cur personam non habet corpus hominis? Si anima Petri, ut Petri, habet personam et naturam, et corpus Petri, quia Petri, personam habet et naturam; si Petrus duas habet naturas, corporis nempe et animæ, nonne duas personas habebit, corporis et animæ? Et si duæ sunt naturæ, animæ Petri et corporis; et si duæ personæ, animæ et corporis, nonne mentitur qui hominem dicit unam esse personam et duas naturas? Vestris retibus capimini, illudque Davidis de vobis usurpari facitis: «In operibus manuum suarum comprehensus est peccator[9].» Et illud: «Convertetur dolor ejus in caput ejus[10].» Eorum enim quæ modo dicebatis oportet meminisse, quando ad stabiliendas duas hominis personas, tres naturas in Salvatore a nobis confitendas proponebatis. B Ante omnia enim qua ratione distinguerentur animæ et corporis personæ in uno et eodem homine carnaliter vivente ignoramus: vivo enim et salvo animale composito, si duas esse in ipso personas creditis, quid erit quando morte dissolvetur? Vel admittendæ erunt in ipso non modo duæ naturæ et personæ, sed plures ex disssolutione et divisione subjecti, siquidem omne divisum numero multiplicatur, et quatuor vel octo erunt ejus naturæ et personæ; vel etiam iisdem remanentibus naturis et personis post dissolutionem, eodem servando sermone de exsistentia vivi et mortui, de partibus compositi hominis cohærentis, aut soluti, in hac vestra C sententia de contrariis eodem modo loquendum erit.

Quod tamen cum reliquis vobis concedatur. Aliud vero a vobis nobis modo oblatum nunc accipite, nempe quæ sit vestra sententia de corporis persona, quomodo ut duas naturas, sic duas personas in ipso admittatis, propter quod nos eodem ratiocinio duas naturas et unam personam in Domino astruentes audire non vultis. Porro Christum Deum et hominem confessi, ipsi duas hominis personas et alteram Verbi patenter admittitis in eo sicque tres personas Christi vere creditis, non duas modo, D nempe unam ex parte hominis et alteram ex parte Dei, quod dicere hactenus consuevistis; sane vero duas ex homine et unam ex Verbo accipitis. Et similiter tres naturas ejus admittere cogimini, quia persona non est absque substantia (vestris sententiis invicem pugnantibus), et quia ibidem dicitis duas esse hominis naturas et unam Verbi. Ad hoc ergo devenit fides vestra, o sapientissimi, ut sex in Christo computetis, nempe tres naturas, et tres personas. Et nisi idem sit hoc atque istud, nunc tria, nunc duo de Christo loquimini. Cur mediam partem dogmatis celatis? Si vero natura idem est quod persona, quod a vobis sæpe ponitur, sex personæ in ipso a vobis astruuntur, personis additis natu-

ris; idque sive omnes sint substantiales, et nulla ei remaneat persona, sive omnes pro personis accipiantur, et nulla substantia sex personis Christi remaneat. Quæ omnia si sint ridenda, et audientium gemitus excitent, vobis certissime credendum est projiciendum esse cito et fortiter malum membrum super veritatem religionis, et petram sanæ fidei contritum, ut impleatur quod dictum est: Gladius eorum intret in corda ipsorum, et arcus eorum confringatur, secundum oraculum [11].

A καὶ εἰ μὲν οὐ ταυτὸν θάτερον θατέρῳ, ἰδοὺ ἀνὰ τρία τάδε ἐπὶ τοῦ Κυρίου δεδώκατε· καὶ πῶς ἀνὰ δύο φατὲ, τὸ ἥμισυ παρακλέψαντες τοῦ δόγματος; εἰ δὲ καὶ ὡς βούλεσθε λέγειν πολλάκις ταυτὸν αἱ φύσεις ταῖς ὑποστάσεσιν, ἐξ αὐτοῦ ὁμοίως αἱ ὑποστάσεις εἶεν καθ' ὑμᾶς, προτεθειμένου τοῦ ἀριθμοῦ τῶν φύσεων ταῖς ὑποστάσεσι· καὶ τοῦτο, ἢ πασῶν οὐσιῶν οὐσῶν, οὐδενὸς ὄντος αὐτῷ λοιπὸν προσώπου, ἢ πασῶν ἀντὶ προσώπων λαμβανομένων, οὐδεμιᾶς μενούσης οὐσίας τοῖς ἓξ προσώποις Χριστοῦ· εἰ δὲ ταῦτα γέλωτα καὶ θρῆνον ἐξεγείρουσι τῷ ἀκούοντι, λίαν ἐναργῶς πεπεῖσθαι ὑμᾶς δέον ὡς ἐν τάχει καὶ σφοδρότερον ὑμῖν τὸ ὑμέτερον πονηρὸν ἀντιπεμφθῇ μέλος, τῇ ἀληθείᾳ τῆς εὐσεβείας, καὶ τῇ πέτρᾳ τῆς ὀρθοδοξίας τῇ ἀῤῥαγεστάτῃ προσκροῦσαν· ἵνα πληρωθῇ τὸ εἰρημένον, « Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς καρδίας αὐτῶν, καὶ τὰ τόξα αὐτῶν συντριβείη, » κατὰ τὸ λόγιον.

CAP. XVI.

Tres cum sint personæ divinæ (2) et omnium consensu, inquiunt, dicite quæ facies fuerit vulnerata? Etenim si facies Verbi, quia consubstantialis est Patri, erit et Pater, et Spiritus visibilis, tangibilis, vulnerabilis, temporalis, passibilis simpliciter, nihilque a nobis natura distabit: hæc enim omnia erat facies percussa. Si autem altera fuerit verberata, nempe facies Christi, remotis tribus divinis, nonne duæ erunt facies seu personæ, scilicet una Verbi, unius e Trinitate, et altera Christi? Ipsi docuistis. Sed luce clarius est eorum sophisma e nominis ambiguitate ortum. Percussa enim facies ea non erat quæ pro persona accipitur, sane vero os forma partium corporis humani oculis vicinarum, ut ibidem dicitur. Hoc autem esse quod per personam intelligitur, sedulo ostendemus. Unum enim dicitur de tota persona Christi, alterum vero nonnisi de parte corporis ejus. Hac personali facie nullum individuum vivens, nullum accidens inanimatum duplicem personam habet: nihil enim eorum quæ una sunt numero duplicem habent personam; ista autem facie multa sunt animalia duabus, vel tribus vel pluribus figuris prædita, quales fuerunt hydriæ duorum capitum et cætera, qualia etiam miraculosa Cherubim cum quatuor faciebus, et totidem formis, sic et aliis formis depicta, nec tamen quatuor personas eorum dicimus. Juxta priorem specifica natura in singulis individuis distincta est, juxta posteriorem vero particularis natura in unum et alterum membrum dividitur. Hæc de rationalibus et irrationabilibus, de materialibus et immaterialibus, de vivis et mortuis rebus dicitur, utpote pro persona accipitur, et quia cuicunque personaliter exsistenti est persona; ista autem de solis corporibus anima moderatis, pleraque enim animæ egentia solo sermone cognoscuntur. Hæc de substantiis intellectualibus sæpe dicitur, ut Pater de ingenito; ista nonnisi de sensibilibus inscribitur. Persona ergo et facies quæ

B ΚΕΦΑΛ. ΙϚʹ.

Τριῶν ὄντων ὁμολογουμένως προσώπων τῶν θείων, τὸ δὲ ῥαπισθὲν, φησὶ, ποῖον εἶναι λέγετε; Εἰ μὲν γὰρ τὸ τοῦ Λόγου, ἐπεὶ ὁμοούσιον τῷ Πατρὶ, ἔσται καὶ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα ὁρατὸς καὶ ἁπτὸς καὶ πληκτὸς καὶ ἔγχρονος καὶ παθητὸς ἁπλῶς, καὶ οὐδὲν διαφέρων ἡμῶν τῇ φύσει· τοιοῦτον γὰρ τὸ ῥαπισθὲν πρόσωπον· εἰ δὲ ἕτερόν ἐστι τὸ ῥαπισθὲν, ἤγουν τὸ τοῦ Χριστοῦ πρόσωπον, παρὰ τὰ τῆς ἁγίας Τριάδος τρία, πῶς οὐ δύο πρόσωπα τοῦ τε Λόγου τοῦ ἑνὸς ὄντος τῆς Τριάδος, καὶ τοῦ Χριστοῦ, καὶ ὑμεῖς διδάσκετε; Ἀλλ' εὔδηλον τὸ παρὰ τὴν ὁμωνυμίαν σόφισμα αὐτῶν· τὸ γὰρ ῥαπισθὲν πρόσωπον, οὐ τὸ ἀντὶ ὑποστάσεως λαμβανόμενον ἦν, ἀλλ' ἡ ὄψις καὶ μορφὴ C τῶν περὶ τοὺς ὦπας μερῶν τοῦ σώματος τοῦ ἀνθρωπείου, ὅθεν καὶ λέγεται· ὅτι δὲ τοῦτό ἐστι τὸ ἀντὶ ὑποστάσεως νοούμενον, δεικτέον ἑτοίμως· τὸ μὲν γὰρ καθ' ὅλης λέγεται τῆς ὑποστάσεως Χριστοῦ, τὸ δὲ κατὰ μέρους τοῦ σώματος αὐτῆς μόνον· ἔτι κατ' ἐκεῖνο μὲν τὸ ὑποστατικὸν πρόσωπον, οὐδέποτέ τι ζῶον ἰδικὸν ἢ ἄζωον ἓν πράγματι ὑπάρχον, διπρόσωπόν ἐστι· οὐδὲν γὰρ ὄντων ἓν ἀριθμῷ ὂν, δισυπόστατόν ἐστι· κατὰ δὲ τοῦτο, πολλὰ ζῶα διπρόσωπα καὶ τρικάρηνα καὶ πολυκέφαλά ἐστιν· οἷον ἀμφισβαῖναι ὕδραι καὶ τὰ λοιπὰ, ὥσπερ αὖ καὶ τὰ τεράστια τετραπρόσωπά τε καὶ τετράμορφα τὰ Χερουβὶμ, οὕτω μὲν καὶ ἑτεροειδῶς μεμορφωμένα· καὶ ὅμως τέσσαρας αὐτῶν οὔ φαμεν καὶ τὰς ὑποστάσεις. Ἔτι κατ' ἐκεῖνο κοινὴ φύσις ἐν τοῖς καθέκαστα διακρίνεται· κατὰ δὲ τοῦτο, καὶ ἡ ἰδικὴ φύσις D αὐτὴ ὡς εἰς μέλος τόδε καὶ τόδε μερίζεται· ἔτι ἐκεῖνο, κατά τε ἀψύχων καὶ ἐμψύχων, καὶ σωμάτων καὶ ἀσωμάτων, καὶ ζώων καὶ ἀζώων λέγεται, ἤγουν τὸ ἀντὶ τῆς ὑποστάσεως· παντὸς γὰρ ὄντος αὐθυποστάτως, ἐστὶ καὶ ὑπόστασις· τοῦτο δὲ ἐπὶ μόνων τῶν ἐμψυχωθέντων σωμάτων κυρίως· τῶν γὰρ ἀψύχων τὰ πλεῖστα τὴν ἐπιφάνειαν μόνον δηλοῖ λεγόμενον· ἔτι ἐκεῖνο καὶ διά τινων νοητῶν πολλάκις ὑπογράφεται ἐπουσιωδῶν ὥσπερ τῷ ἀγεννήτῳ ὁ Πατήρ· τοῦτο δὲ μόνον διὰ τῶν αἰσθητῶν συμβεβηκότων ἀεὶ

[11] Psal. xxxvi, 15.

(2) Hic auctor noster perpetuo ludit verbo πρόσωπον, quod apud Græcos *personam* et *faciem* æque significat. Quam amphiboliam Latini non habent. Ideo hac voce nunc faciem, nunc personam intelligimus.

διαγράφεται· ὑπόστασις οὖν καὶ τὸ ταύτης σημαντικὸν πρόσωπον, ἓν ἑκάστου ἐστὶ προσώπου, ὄψεως σημαντικῆς, εἴτε οὔσης, εἴτε καὶ μὴ οὔσης· πρόσωπον δὲ τὸ ὡς ὄψις, οὐ πάντως δύο ἑκάστῳ εἰσίν· οὐ δύο οὖν πρόσωπα ἤγουν ὑποστάσεις τοῦ Λόγου καὶ τῆς ἐνσάρκου αὐτοῦ μορφῆς δηλαδὴ ἐντεῦθεν δεικνύετε· διότι ἄλλο ἦν τὸ τῆς ὑποστάσεως Χριστοῦ τοῦ ἐνσάρκου Λόγου πρόσωπον, καὶ ἄλλο τῆς αἰσθητῆς αὐτοῦ σαρκὸς μέλος, πρόσωπον λεγόμενον· εἰ γὰρ τοῦτο δοκεῖ ὑμῖν, πάντως καὶ ὑμῶν ὁ καθεὶς ἐπὶ ὄψιν τε ἔχει τὴν λεγομένην πρόσωπον· ὑπόστασίς τέ ἐστι ἡ νοουμένη πρόσωπον, δύο ἔχει τὰ πρόσωπα· ἔτι δὲ ἐπεὶ περιέχει πᾶν ὑποστατικὸν πρόσωπον τήν τε ψυχὴν πᾶσαν, καὶ πάντα τὰ τοῦ σώματος τῶν καθέκαστα τὰ μέρη, ὧν ἐστιν ἓν καὶ ἡ ὄψις αὐτή, ἔσται ὑμῶν τὸ ἓν πρόσωπον ἄρα τῷ ἑτέρῳ προσώπῳ ὑμῶν περιεχόμενον· οὐ ταυτὸν δὲ πώποτε τῷ περιέχοντι αὐτὸ τὸ περιεχόμενον· ἄρα οὖν οὐχ ἓν καὶ ταυτὸν, οὐδὲ τοῦ καθένα ὑμῶν τὸ πρόσωπον, ἀλλὰ δύο καὶ μεῖζον θάτερον· καὶ βραχὺ τὸ ἕτερον· ποῦ δὲ μεγάλην καὶ μικρὰν καὶ ταῦτα τοῦ αὐτοῦ ὑπόστασιν ἠκούσατε; ἔτι μὴν οὕτω τῶν πολυκεφάλων δέκα τυχὸν ἔσονται ὑποστάσεις, εἰ δ' οὖν καὶ ὑμεῖς ἐδιχάσθητε τῷ λόγῳ τὸν λόγον τῆς ἰδίας σαρκὸς οὐ διχάσαντες.

Ἀλλ' ἔστιν, ὦ οὗτοι, τάδε πανουργίας ἀνθρωπίνης πρὸς μεθοδείαν πλάνης τὰ σοφίσματα, ἥ φησιν ὁ θεορρήμων· ἐροῦμεν γὰρ ὑμῖν τοιόνδε· Καὶ ἡμεῖς ὁπωσοῦν ὅλως ἐνεργεῖσθαι τῷ θείῳ Λόγῳ τὸν Χριστὸν διδοῦσι κατὰ τὰ ὑπ' αὐτοῦ λεγόμενα ἢ γινόμενα, τί φατε; Ὁ Λόγος ὁ φήσας πρὸς τὸν λεπρὸν, «Θέλω καθαρίσθητι,» ἦν χθὲς καὶ τρίτην καὶ πρὸ αἰώνων, ἢ οὐχί; Εἰ μὲν γὰρ οὐκ ἦν, πῶς Θεὸς ὁ πρόσφατος δοκεῖ, κἂν ὅτι τὰ μέγιστα διὰ Χριστοῦ ἢ οὑτινος ἀνθρώπου ἐνεργοίη· εἰ δὲ ἦν, πῶς θέλων οὐκ ἐκαθάριζεν εἰ μὴ τότε τὸν λεπρόν; Ὥσπερ οὖν σαφὲς ἐπὶ τοῦδε, ὅτι προαιώνιος τοῦ Θεοῦ ὁ ζῶν τε καὶ ἐνεργὴς ἀεὶ Λόγος, τότε τῷ προφορικῷ αὐτοῦ λόγῳ τὴν κατὰ καιρὸν καὶ χρείαν ἑαυτοῦ θέλησιν ἐξαγγέλλει, πῶς οὐ δῆλον ὡς καὶ τὸ ἀπαθὲς αὐτοῦ καὶ ἀόρατον πρόσωπον διὰ τοῦ αἰσθητοῦ καὶ μέρους τοῦ σώματος αὐτοῦ ὑπάρχοντος προσώπου, τὴν ἀτιμίαν τῶν ῥαπισμῶν δι' ἐλευθερίαν ἡμῶν καταδέχεται; Ἔτι μὴν, ὦ συλλογιστικοὶ, τριῶν ὄντων τῶν τῆς ἁγίας Τριάδος ὁμοουσίων προσώπων τὸ καθ' ὑμᾶς πάντη ἑτεροούσιον αὐτοῖς πρόσωπον Χριστοῦ θεῖον λέγετε, ἢ οὐχί; Εἰ μὲν οὖν οὐχὶ, ὅλως ἢ οὐχ ὁμοίως οὐ δύνασθε λέγειν Θεὸν τὸν Χριστόν· ἢ ὅτι αὐτῷ ἐχαρίσθη τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, τουτέστι τὸ Θεός· καὶ ταύτην εἶναι τὴν ἀπὸ τῆς πρὸς Θεὸν σχετικῆς ἑνώσεως αὐτοῦ μεγάλην ἀξίαν τε καὶ δωρεάν· εἰ δὲ θεῖον μὲν λέγετε καὶ τόδε, ἑτεροούσιον δὲ παρὰ τὰ ἕτερα τρία ὁμοούσια θεῖα πρόσωπά φατε, τριῶν ὁμοουσίων, καὶ ἑνὸς ἑτεροουσίου, πῶς οὐκ ἂν εἴη τέσσαρα πρόσωπα θεῖα ὑμῖν συναγόμενα;

ΚΕΦΑΛ. ΙΖ'.

Εἰ ὁ Θεὸς Λόγος, φησὶ, τὰ πάντα πληροῖ, καὶ τοῖς πᾶσι πάρεστιν ἀοράτως τῇ ὑποστάσει· ὁ δὲ ὁρώμενος Χριστὸς μήτρᾳ τε καὶ φάτνῃ καὶ οἴκῳ περιώριστο τὴν ὑπόστασιν πρὸ τῆς ἁγίας ἀναστάσεως αὐτοῦ·

A ejus est indicium, semper unica et uniuscujusque faciei, sive vultus sit sensibilis, sive non; facies autem, ut vultus, non semper est duplex nec unicuique individuo. Duæ ergo personæ Verbi, et formæ ejus incarnatæ, non inde evidenter deducuntur, et ideo alia erat persona Christi Verbi incarnati, aliud membrum carnis visibilis, vocatum facies. Et si vultis audire, qui visus est a vobis personam habuit quæ vocatur facies, aliunde persona intelligibilis est et facies, seu πρόσωπον, hoc sensu duas habuit personas. Et iterum quoniam quælibet personalis facies totam animam et omnia corporalia membra, quorum unum est oculus, complectitur, erit una vestra facies altera comprehensa: nunquam vero comprehensum idem est atque B comprehendens: non ergo una erit et eadem unicuique vestrum facies, sed duæ erunt, una major, minor altera. Magnam vero et parvam personam, et illas in una re ubi vidistis? atque insuper numquid animali plurium capitum decem forsan personæ erunt, si, nomina propriæ carnis non dividentes, ipsi propter nomina dividimini.

Hæc sunt, o homines, sophismata quibus dolose utitur theologus ad errorem inducendum. Et nos sic vobiscum agemus: Quoniam Christus dicitur per Verbum divinum operatus esse juxta dicta aut facta ab ipso, vos quid dicitis? Verbum quod leproso dixit: « Volo, mundare,» eratne heri, pridie C et ante sæcula, vel non? Si posterius, quomodonam Deus habetur iste crucifixus, licet quam maxima miracula per Christum aut quemlibet hominem operatus sit? Si prius, cur leprosum, quem dudum volebat, nonnisi hoc tempore mundavit? Sed ut illud æternum semper vivens et operans Verbum Dei tunc sermone prolato suam voluntatem opportune et utiliter manifestat, sic liquet impassibilem et invisibilem ejus personam per sensibilem faciem, quæ pars corporis erat, contumeliosa verbera ab hominibus effrenatis accepisse. Vel iterum, o sophistæ, tres cum sint personæ sanctæ Trinitatis consubstantiales, illam Christi faciem nostræ similem, et ab aliis omnino distinctam, divinamne D dicitis, annon? Si non divinam, ergo eadem ratione nec magis ipsum Christum Deum esse potestis dicere, neque illi datum fuisse nomen super omne nomen, seu divinitatem, nec talem esse ejus magnam dignitatem et mercedem, pro hypostatica cum Deo unione. Si vero divinam dicitis, sed alterius naturæ atque tres divinas et consubstantiales personas, tunc tres cum sint consubstantiales, et altera dissimilis, nonne ad confitendas quatuor personas divinas adducimini?

CAP. XVII.

Sed Verbum Dei, inquit, omnia implet, et omnibus invisibiliter et personaliter adest; aliunde Christus visus est personam ventre, stabulo, domo includere ante suam sanctam resurrectionem; quin

etiam postea locis includitur, sicut legimus: «Ascendit in cœlos,» et: «Quem oportet cœlum suscipere [12]» et: «Sic veniet, quemadmodum vidisti eum euntem in cœlum [13].» Quomodo ergo una erit persona visibilis et circumscripta, altera vero nec visibilis nec circumscripta? Dato quod quæcunque personæ definitio fiat localibus limitibus, tunc. Verbi persona a Patre et Spiritu sancto locis distingueretur. Et cum a vobis similiter dicatur Verbum in omni re esse localiter, sequitur quamcunque e duabus reliquis personis divinis futuram esse in alio universo, non in isto, vel in nullo: in isto enim locum non habet ad exsistendum separatim, quod Verbo jam impletum est. Et quomodo in omnibus erit persona illius qui jam in omni parte, omnino impletur, nempe divinitate: hoc enim est impossibile Christum locum esse quarumdam rerum, et esse in ipsis velut in loco. Si ergo ista de Christo non dicuntur secundum localem circumscriptionem, quid prohibet illum remanentem Verbum divinum, et naturam corpoream assumentem, in una sua persona habere divinam definitionem, et carnalem acquisivisse? Sicut enim ex eo quod generetur et non generet, quod sit in Patre ut sapientia sapientis et verbum loquentis, quod non sit procedens quia ex ipso ad alia non procedit, quod proprias operationes habeat, et ex omnibus aliis proprietatibus, quibus a persona Patris et Spiritus sancti distinguitur Filius, plures personas sibi non facit; sic neque proprietates multæ et oppositæ ei adjunctæ ejus personam multiplicant. Ob id unum, se ingenitum esse, persona Patris a Filio et Spiritu sancto perfecte distinguitur; et deinde ob generationem Filii iterum distinguitur, sed perfectior non est persona, neque vere diceretur duarum esse personarum. Quinimo quid diceretis de solius et simplicis hominis persona, verbi gratia Pauli? Nunquid omnibus visibilibus et localibus characteribus tota ejus persona dignoscitur? Nunquid anima et corpore? Nunquid non diversis? Attamen non ideo duas habet personas? Quamvis enim extra corpus raptus sit usque ad tertium cœlum, verbaque inaudita mente audierit, eosdem locales et visibiles limites corporis, et spirituales animæ habuit, quos Petrus, et reliqui homines, alterum privilegium non habuit, sed in eadem persona permansit, fuitque unius.

A ἀλλὰ καὶ μετὰ τήνδε περιγράφεται τόποις, κατὰ τό, «Ἐπορεύθη εἰς οὐρανούς·» καί, «Ὃν δεῖ οὐρανὸν δέξασθαι·» καί, «Οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν,» πῶς οὐ θατέρα μὲν ὁρατὴ καὶ περιγραπτὴ ὑπόστασις, θατέρα δὲ ἀόρατος καὶ ἀπερίγραπτός ἐστιν; Ἀλλ' εἰ τοπικοῖς διορισμοῖς πᾶσα ὑποστάσεως περιγραφὴ ἐστιν, ἆρά γε τοπικῶς καὶ τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος ὁ Λόγος διώρισται τὴν ὑπόστασιν· εἰ δ' οὖν οὕτως καὶ ἐν τῷ παντὶ τοπικῶς εἶναι ὑμῖν εἴρηται ὁ Λόγος, ἄρα αἱ δύο ἄλλαι ὑποστάσεις τῆς Θεότητος, ἢ ἐν ἑτέρῳ παντὶ ἑκατέρα, καὶ οὐκ ἐν τῷδε, ἢ ἐν οὐδενί ἐστιν· ἐν γὰρ τῷδε χώραν οὐκ ἔχει διωρισμένως εἶναι, πάντα πληροῦντος τὰ τῇδε τοῦ Λόγου· πῶς δὲ καὶ ἐν πᾶσιν ἡ B θεία ὑπόστασις τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου, καθὼς εἴρηται; οὐ γὰρ τὸ αὐτό τι τόπος τέ ἐστί τινων, καὶ ὡς ἐν τόπῳ ἐστὶν ἐν αὐτοῖς ἀδύνατον· εἰ οὖν ταῦτα μὴ κατὰ τοπικὴν περιγραφὴν τῆς ὑποστάσεώς ἐστι τοῦ Λόγου, τί κωλύει μείναντα αὐτὸν θεῖον Λόγον, καὶ σαρκὸς φύσιν προσλαβόμενον, τούς τε ὡς Λόγον Θεοῦ διορισμοὺς ἔχειν, καὶ σαρκικοὺς τε πρὸς τούτοις ἐπικτήσασθαι διορισμοὺς κατὰ μίαν τὴν ὑπόστασιν αὐτοῦ; Ὥσπερ γὰρ τῷ γεννηθῆναι, καὶ τῷ μὴ γεννᾷν, καὶ τῷ ἐν αὐτῷ εἶναι τῷ Πατρὶ ὡς βουλὴν καὶ λόγον βουλευτικοῦ καὶ λογικοῦ, καὶ τῷ μὴ καὶ ἐκτὸς αὐτοῦ εἰς ἕτερα πορεύεσθαι μὴ ἐκπορευτὸν εἶναι, καὶ τῷ δημιουργεῖν ἰδίως καὶ τοῖς λοιποῖς ἰδιώμασιν αὐτοῦ ὁ Λόγος, δι' ὧν διακρίνεται πάντων τῆς Πατρικῆς καὶ τῆς τοῦ Πνεύματος τοῦ C ἁγίου ὑποστάσεως, οὐ πλείους ποιεῖται ὑποστάσεις ἑαυτῷ, οὕτως οὐδὲ ἑτέρων ἰδιωμάτων προσθέσεις πλειόνων καὶ ἀντικειμένων πληθύνουσι τὴν ὑπόστασιν αὐτοῦ· καὶ τῷ γὰρ ἀγεννήτῳ διαφέρουσα μόνον, τελείως διώρισται ἡ ὑπόστασις τοῦ Πατρὸς τῆς τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· καὶ τῷ γεννητικῷ δὲ προσδιακεκριμένη, οὔτε τελειοτέρα ἐστὶν ὑπόστασις, οὔτε δύο ὑποστάσεις λέγοιτο ἄν τινι ἀληθῶς. Ἀλλὰ πρὸς τούτοις, τί ἂν εἴποιτε καὶ περὶ τῆς ἀνθρώπου μόνου ψιλοῦ ὑποστάσεως, Παύλου τυχόν; ἆρα γὰρ ὁρατοῖς πᾶσι καὶ τοπικοῖς περιορισμοῖς τοῖς αὐτοῦ ἡ ὑπόστασις αὐτοῦ πᾶσα διαγινώσκεται; ψυχῇ τε ἅμα καὶ τῷ σώματι; ἢ δῆλον ὡς διαφόροις; Καὶ ὅμως οὐ παρὰ τόδε διάφοροι ὑποστάσεις αὐτοῦ· κἂν γὰρ ἐκτὸς τοῦ σώματος ἡρπάγη ἕως τρίτου οὐ- D ρανοῦ καὶ ἤκουσεν ἄῤῥητα ῥήματα τῇ ψυχῇ, τούς τε τοπικοὺς καὶ ὁρατοὺς διορισμοὺς τοῦ σώματος, καὶ τοὺς νοητοὺς τῆς ψυχῆς ὡσαύτως ἔχων πρὸς Πέτρον καὶ τοὺς λοιπούς, οὐχ ἑτέραν ἔσχε διαστολήν, ἀλλὰ τῆς αὐτῆς ἐστι καὶ οὕτως ὑποστάσεως μιᾶς.

CAP. XVIII.

Cum agnoscimus bonitatem Dei, qui docet hominem scientiam, qui erudit insipientes, hoc somnium obscurum proponemus. Nobiscum enim locutus est aliquis forma nigrior, vestitu pie indutus, quærens an Dominus sit Deus solum natura, an et subsistentia? Si sola natura est Deus, vel homo, vel aliquid aliud erit persona, vel impersonalis erit.

ΚΕΦΑΛ. ΙΗ'.

Ἀλλὰ τοῦ διδάσκοντος ἄνθρωπον γνῶσιν, καὶ ἄφρονα συνετίζοντος Θεοῦ τὴν ἀγαθότητα ἐξομολογούμενοι, καὶ τὸ κατ' ὄναρ ἡμῖν ἀπορηθὲν προθήσομεν. Ἔφη γάρ τις ἡμῖν, τὸ μὲν εἶδος μελάντερός πως, τὸ δὲ σχῆμα εὐλαβῶς ἐπιστολιζόμενος, Ὁ Κύριος Θεὸς τῇ φύσει, ἢ καὶ τῇ ὑποστάσει, συνάγων, ὡς εἰ μὲν μόνον τῇ φύσει ἐστὶ Θεός, τῇ ὑποστάσει

[12] Act. I, 11. [13] Act. III, 21.

ἢ ἄνθρωπος ἢ ἕτερόν τι ἢ ἀνυπόστατος ὅλως ἐστίν· εἰ δὲ καὶ ὑποστάσει ἐστὶ Θεός, ἢ ὅλῃ τινὶ καὶ τελείᾳ· καὶ ἰδοὺ δύο αὐτοῦ αἱ ὑποστάσεις, ὥσπερ οὖν καὶ αἱ φύσεις· εἴπερ μηδὲ ἡ ἀνθρωπότης αὐτοῦ ἀνυπόστατος· ἢ ἐκ μέρους αὐτῆς τῆς μιᾶς αὐτοῦ ὑποστάσεως, ἔστι Θεὸς καὶ τῇ ὑποστάσει· ἔσται οὖν ἡ ἀτελὴς κατὰ τὴν ὡς ὑποστάσεως τῆς ἀνθρωπίνης θεότητα ὁ Χριστὸς, ἢ ὑπερτέλειος καὶ ὑπέρθεος ἡ ὑπόστασις Χριστοῦ, ὑπὲρ τὸν Πατέρα τε καὶ τὸ Πνεῦμα καὶ τὸν Λόγον νοουμένη· τοῦ γὰρ ἰδίου μέρους ὃ ἦν τέλειος Θεὸς, μεῖζον αὐτῆς ἡ ὁλότης ἐστὶ καθ' ὑπόστασιν.

Ἀλλ' ἐκεῖνος μὲν ταῦτα εἰπὼν, καὶ συνταράξας ἡμᾶς τῷ ἀπόρῳ, ἀπέστη σκοτοδινίᾳ περιβαλών· ὄρθρου δὲ πρὸς τὸ φῶς τὸ ἀληθινὸν ἀποσκοπήσαντες τί δοθήσεται καὶ τί προστεθήσεται ἡμῖν πρὸς γλῶσσαν δολίαν, ἐθεωροῦμεν, ὡς τὸ *Θεὸς* πρῶτον μὲν φυσικὸν ὄνομά ἐστιν, οὐσίαν πρώτως καὶ οὐ πρόσωπον σημαῖνον· ὥσπερ καὶ τὸ *ἄνθρωπος*, οὐ τὴν ὑπόστασιν Παύλου, ἀλλὰ τὴν φύσιν λέγει, ἑνί τε καὶ παντὶ καὶ ἰδίᾳ ἑκάστῳ, καὶ κοινῇ πᾶσιν ἀνθρώποις προστιθέμενόν ἐστιν, ὅπερ τὸ Παῦλος ἢ Πέτρος ὄνομα ὑποστάσεως οὐκ ἔχει· πῶς οὖν δυνατὸν τὸ αὐτὸ ἔκ τε τοῦ λόγου τῆς φύσεως, καὶ ἐκ τοῦ λόγου τῆς ὑποστάσεως διαφόρως τοῦ αὐτοῦ κατηγορεῖσθαι; Ἔτι μὴν κατὰ τὸ φυσικὸν ὄνομα, ὁμοιότης τινὸς πρός τινά ἐστί ποτε· κατὰ δὲ τὸ ὑποστατικὸν, ἑτερότης μόνον· εἰ οὖν τὸ *Θεὸς* καὶ φυσικὸν καὶ προσωπικὸν ὄνομα τῷ Χριστῷ, κατὰ τὸ αὐτὸ ἄρα ὄνομα ἥ τε ὁμοιότης αὐτῷ καὶ ἑτερότης, ἡ πρὸς τὰ λοιπὰ δύο θεῖα νοεῖται· ἔτι μὴν εἰ μὴ διὰ τὴν φύσιν καὶ ἡ ὑπόστασις Θεὸς, ἀλλὰ καὶ διὰ τὸν ἴδιον λόγον ἐστὶ, δύο θεότησι Θεὸς ὁ Χριστός· ὁμοίως δὲ καὶ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα τὸ ἅγιον· ἔτι δὲ εἰ ἥ τε οὐσία, καὶ αἱ τρεῖς ὑποστάσεις τῆς ἁγίας Τριάδος ἑκάστη ἀφ' ἑαυτῆς λέγεται Θεὸς, τέσσαρες θεοὶ εἶεν ἡμῖν συναγόμενοι σαφῶς· πρὸς δὲ τούτοις, ἐπεὶ ἡ φύσις περιεκτικωτέρα τε καὶ κοινοτέρα τῶν ὑποστάσεών ἐστι· καὶ ἡ κατὰ φυσικὸν λόγον θεότης, μείζων ἔσται· ἆρα οὖν μείζων Θεὸς ἐκ τῆς φύσεως, καὶ ἐλάττων ἐκ τῆς ὑποστάσεως ὁ Χριστὸς αὐτὸς ἑαυτοῦ νοηθήσεται; ἐπὶ δὲ πᾶσιν εἰ ὁ Λόγος ἤγουν ἡ ὑπόστασις τοῦ Χριστοῦ καὶ καθὸ Λόγος ἐστὶ καὶ Υἱὸς, Θεὸς νοηθείη ἁπλῶς, καὶ οὐ τῇ ἐνθεωρουμένῃ αὐτῷ οὐσίᾳ αὐτοῦ τοιόνδε ὄνομα μόνον σφετερίζεται· ἐπεὶ ὁ Πατὴρ προδήλως οὐ Λόγος οὐδὲ Υἱὸς, ἔσται ἄρα οὐδὲ Θεὸς, ἢ οὐ τοιόσδε· ὁμοίως καὶ τὸ Πνεῦμα τὸ ἅγιον· μία οὖν ὁμοία, καὶ τρεῖς διάφοροι θεότητες· καὶ ἕκαστον θεῖον πρόσωπον, σύνθετον ἐκ δύο θεοτήτων διαφόρων, μιᾶς μὲν ὁμοίας, ἑτέρας δὲ ἀνομοίου· εἰ δὲ ταῦτα πάντα ἄτοπα, δῆλον ὡς ἐκ φύσεως μόνον Θεός τε ὁ Λόγος ἤγουν ὁ Χριστὸς, καὶ ὁ Πατὴρ, καὶ τὸ ἅγιον Πνεῦμα λέγεται· ὥσπερ οὖν καὶ ἄνθρωπος ὅ τε Δαβὶδ καὶ Σολομῶν· οὔτε γὰρ ἢ Χριστὸς, ἢ Δαβὶδ, ἢ προφήτης ἀπὸ τῆς φύσεως, οὔτε ἄνθρωπος ἀπὸ τῆς ὑποστάσεως ὀνομάζοιτο ἂν ἁπλῶς, εἰ μὴ ἄρα τῷ τῆς ἐνθεωρίας λόγῳ.

A Si vero et persona est Deus, vel ista erit tota et perfecta, et ipsi duæ erunt personæ, totidem quot naturæ, cum personalis supponatur humanitas; vel etiam in persona Deus erit, sed pro parte tantum hujus unius personæ, sicque Christus imperfectæ divinitatis habebitur, per humanam personam subsistentis; aut plusquam perfecta et divina erit Christi persona supra Patrem et Spiritum et Verbum æstimanda: revera summa ejus major persona est parte particulari, quæ jam perfectus Deus exsistebat.

Quæ cum dixisset, nosque obscuritate turbavisset, et vertigine involvisset, abiit. Et primo mane ad lumen verum aspicientes quid daretur et adji- B ceretur adversus linguam dolosam, cogitabamus hoc nomen, Deus, de natura esse, substantiam prius non personam designare, sicut vox homo non personam Pauli, sed naturam ejus vocat, et uni, cuilibet, cuique individuo et universis hominibus potest aptari, quod non est æque dicendum de his vocibus, Petrus, Paulus, personam significantibus. Qua ergo ratione hoc eodem verbo sive naturam, sive personam appellanti idem subjectum variis modis poterit designari? Et aliunde naturæ nomen similitudinem unius cum altero indicat, personale autem nonnisi differentiam. Si ergo voce Deus designantur natura et persona Christi, hac una similis duabus aliis personis divinis, et differens ab eis intelligitur. Si non solum propter naturam, sed C etiam propter proprium nomen illa persona Deus est, ergo duabus divinitatibus Deus Christus; et idem dicendum de Patre et Spiritu sancto. Si ipsa substantia, et tres personæ sanctæ Trinitatis Deus dicuntur, quæque propter se ipsam, tum profecto quatuor deos habemus. Et insuper cum natura majorem habeat extensionem et comprehensionem quam persona, major erit illa divinitas quæ per naturam designatur: nunquid ergo Christus seipso major Deus ex natura, et minor ex persona? Et maxime si Verbum, seu persona Christi Deus intelligitur simpliciter quia Verbum est et Filius, neque ex substantia in eo habita hoc nomen accepit; et cum Pater neque Verbum, neque Filius sit, D erit igitur non Deus, vel non similis; et item Spiritus sanctus. Una ergo communis et tres diversæ essentiæ divinæ; quæque persona divina e duabus diversis divinitatibus constabit, una communi, et altera particulari. Quæ si absurda videntur, patet sola natura Deum esse Verbum seu Christum et Patrem et Spiritum, ut videre est de David, de Salomone hominibus: non Christus, non David, non propheta est ex natura; neque homo est ex persona, nisi forte speculative loquendo.

ΚΕΦΑΛ. ΙΘ'.

Πᾶσα φύσις, φασὶ, διὰ τῶν ὑποστάσεων αὐτῆς γνωσται· οὐδεὶς γὰρ οἶδεν ἱππότητα, μὴ γνοὺς ἰδι-

CAP. XIX.

Sed omnis natura, inquiunt, ex sua persona cognoscitur: equitem nemo cognovit nisi prius ho-

minem et equum privatim cognoverit, neque pariter caprarium, aut aliam formam communem seu individualem: et ideo duas Christi naturas si noveritis, patet earum personas prius fuisse cognitas. Sic responderi potest: Visis Phidiæ operibus, naturam ejus intelligimus, siquidem neque angeli, neque irrationabilis animalis sunt humana opera; personam autem si conjicimus, eheu, verba magis quam hominem fabricamus! Sed quia Enoch et Noe ex substantia cognoscimus, personasne ipsas nosse affirmabimus? Sed dicet aliquis neque ipsam naturam Noe propriam a nobis cognosci, sed conjici ex quibusdam similibus præcognitis. Et istud concedatur. Naturam autem Noe quomodo cognoscimus, si natura quidem ex similibus potuit cognosci; persona autem ex simili persona non potuit, nulla enim unquam persona alteri perfecte similis est, et ista Noe persona jam non exsistit, nec alteram habet similem, ut ipsi dicitis. Si vero cognoscimus, ergo naturam cognoscere fas est persona carentem, vel ignota ejus persona. Quid hoc, ait? Nonne Noe impersonalem arbitramini? Minime profecto, neque hoc dicebamus, sed quod naturam ex persona cognoscere non est semper nec absolute necessarium, quod ponebatis, ita ut deficiente personæ notitia, deficeret et naturæ. Et ubi natura ex persona perfecte cognoscitur, quid prohibet una persona plures naturas rerum præcognitarum agnoscere? Sic viso Andrea, distinctas mentis et corporis hypostases non videmus; sed Andreæ personam novimus, et duas naturas intelligimus, corporis et animæ.

CAP. XX.

Hoc etiam dici posset: Cum tota nostra natura in Christo videatur, qui similis nobis factus est per omnia absque peccato; et cum nostra generatio secundum carnem habeat formationem antiquiorem unione partium ad animam, necesse est corpus Dominicum ante animam exsistens, propriam habere personam, et deinde, anima ipsi indita, cum tribus (3), in persona Verbi unitum fuisse, et sese invicem penetravisse duas personas. Quod quomodo fiat, qua ratione unum formatum fuerit, quærendum est; non enim alia præter charitatem. Vel etiam Verbum corpori prius unitum fuit, eique et carni animam viventem postea insufflavit: non mediante anima, Verbum carni unitur, sane vero animæ, carne media; quod repugnat, siquidem remota cognatis et proximis rebus junguntur.

Sed in hoc convenitur, Dominum nostram naturam assumentem, ea quæ supra eam sunt non repudiavisse. Hoc manifestant et ejus conceptio virginalis, nostræ generationi dissimilis, et partus integritas, necnon et jejunium quadraginta dierum sine fame, et alia ejusmodi. De Christo igitur istud supra naturam hoc credimus fuisse provisum, carnem vix exsistentem et animatam fuisse et fuisse carnem

(3) Hæc tria quæ uniuntur sunt: caro, anima, Verbum.

A κῶς τόνδε τινὰ καὶ τὸν ἵππον· ὁμοίως οὐδὲ αἰγότητα, ἢ ἕτερον εἶδος κοινὸν ἢ ἰδικόν· εἰ οὖν δύο τὰς φύσεις ἴστε Χριστοῦ, δῆλον ὡς τὰς ὑποστάσεις τούτων προεγνώκατε. Ἆρα οὖν εἴποιμεν· Ἐπεὶ Φειδίου τὰ ἔργα ὁρῶντες, τὴν φύσιν συνήκαμεν, οὔτε γὰρ ἀγγέλου οὐδὲ ἀλόγου τὰ ἀνδρειοπλαστικά ἐστιν· εἰ δὲ καὶ τὴν ὑπόστασιν αὐτοῦ γνωρίζομεν, βαβαὶ τῶν λογοπλαστῶν μᾶλλον ἢ τοῦ ἀνδροπλάστου! Ἐνὼχ δὲ καὶ Νῶε διότι τὴν οὐσίαν οὐκ ἀγνοοῦμεν, ἄρα καὶ τὰ πρόσωπα εἰδέναι διαβεβαιωσόμεθα; ἀλλ' εἴποιτε ἴσως, ὅτι Οὐδὲ τὴν φύσιν αὐτὴν Νῶε τὴν ἰδικὴν ἴσμεν, ἀλλ' ἐξ ὁμοίων τινῶν ὧν γινώσκομεν ἀναλογιζόμεθα. Δεδόσθω οὖν τόδε· πῶς οὖν εἰ τὴν μὲν φύσιν ἐξ ὁμοίων εὐπορήσαντες ἀνελογισάμεθα, τὴν δὲ ὑπόστασιν ἐξ ὁμοίας ὑποστάσεως οὐκ ἐπεγνωκότες; Οὐ γάρ ἐστιν B ὑπόστασις ὑποστάσει πάντη ὁμοία πώποτε, διὰ τῆς μὴ οὔσης μηδὲ ὁμοίαν ἐχούσης ὑποστάσεως αὐτοῦ, καθὼς φατε, συνῶμεν τοῦ Νῶε τὴν φύσιν; εἰ δὲ συνήκαμεν, καὶ ἄνευ ὑποστάσεως ἄρα γε ἔστιν εἰδέναι φύσιν, καὶ ἄνευ τοῦ εἰδέναι αὐτῆς καὶ τὴν ὑπόστασιν. Τί οὖν; φησίν· ἀνυπόστατον τὴν Νῶε φύσιν ἐννοεῖτε; Οὐ δῆτα· οὐ γὰρ τοῦτο ἐλέγομεν, ἀλλ' ὅτι οὐκ ἀνάγκη δι' ὑποστάσεως ἀεὶ, ὥς φατε, καὶ πάντως τὴν φύσιν γινώσκεσθαι· ἵνα ὁ μὴ λαμβάνων γνῶσιν ὑποστάσεως πρῶτον, μηδὲ φύσεως· ὅπου γε εἰ καὶ δι' ὑποστάσεως ἡ γνῶσις τῆς φύσεως πάντως ἐστὶ, τί κωλύει ἐκ μιᾶς ὑποστάσεως πλείους θεωρῆσαι φύσεις τῶν προεγνωσμένων; καὶ γὰρ Ἀνδρέαν ὁρῶντες, οὐ τῆς ψυχῆς αὐτοῦ καὶ τοῦ σώματος διωρισμένας C βλέπομεν ὑποστάσεις, ἀλλὰ μίαν Ἀνδρέου ὅλου τὴν ὑπόστασιν ἴσμεν· καὶ ὅμως δύο φύσεις νοοῦμεν αὐτοῦ, τῆς ψυχῆς καὶ τοῦ σώματος.

ΚΕΦΑΛ. Κ'.

Τάχα δὲ ἂν καὶ τόδε εἴποιεν, ὅτι Πάντα τὰ κατὰ φύσιν ἡμῖν καὶ ἐν Χριστῷ ὁρῶνται· ὡμοιώθη γὰρ ἡμῖν κατὰ πάντα χωρὶς ἁμαρτίας· ἡ δὲ κατὰ φύσιν γέννησις ἡμῶν, προϋπάρχουσαν ἔχει τὴν διάπλασιν, τῆς ἑνώσεως αὐτῶν τῆς πρὸς ψυχάς· ἀνάγκη οὖν ὑποστάντος τοῦ σώματος τοῦ Κυριακοῦ πρὸ τῆς ψυχῆς, ἢ ἰδίαν ἔχειν ὑπόστασιν, εἶτα ἐμπνευσθείσῃ αὐτῷ ψυχῇ ἐν τρίτοις καὶ τῷ λόγῳ καθ' ὑπόστασιν ἑνωθῆναι, δύο ὑποστάσεων συναφθεισῶν ἀλλήλαις· ὅπερ ζητητέον πῶς ἔσται, καὶ τίνι τρόπῳ μόνον γένεται· οὐ γὰρ ἄλλῳ πλὴν τῷ κατ' εὐδοκίαν μόνην· ἢ τῷ D σώματι προήνωτο ὁ Λόγος, καὶ ὕστερον ἐπέπνευσεν ἑαυτῷ καὶ τῇ σαρκὶ τὴν ψυχὴν τὴν ζῶσαν· οὐ διὰ μέσης ψυχῆς σαρκὶ ὁ Λόγος ἥνωται, ἀλλὰ διὰ μέσης σαρκὸς μᾶλλον τῇ ψυχῇ ἡνώθη, ὅπερ ἄθεσμον· διὰ γὰρ τῶν οἰκειοτέρων καὶ ἐγγυτέρων τοῖς ποῤῥωτέρω συνάπτεταί τι.

Ἀλλ' ἔστιν ὁμολογούμενον, ὅτι καὶ καταδεξάμενος τὰ φυσικὰ ἡμῶν ὁ Κύριος, τῶν ὑπὲρ φύσιν ἡμετέραν οὐ χηρεύει· πολὺ γὰρ τοῦδε μᾶλλον ἀπεμφαίνει, πρὸς τὸν ἡμέτερον τῆς γεννήσεως τρόπον ἄσπορος αὐτοῦ κύησις, καὶ ἄφθορος ἀπότεξις, ἀλλὰ καὶ ἡ ἄλιμος αὐτοῦ τεσσαρακονθήμερος νηστεία καὶ τὰ τοιάδε· ἐπὶ οὖν Χριστοῦ καὶ τόδε ὑπὲρ τὴν ἡμετέραν φύσιν πιστεύομεν οἰκονομηθῆναι, ὡς ἅμα τε εἶναι τὴν

σάρκα αὐτοῦ, καὶ ἐψυχωμένην εἶναι, καὶ τοῦ θείου Λόγου σάρκα εἶναι ἐψυχωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ· οὔτε γὰρ χρόνου πρὸς κατάπραξιν τῶν τῆς εὐδοκίας αὐτοῦ δεῖται ὁ Παντοδύναμος, οὔτε λόγον ἔχειν τὴν ἐκ πίστεως λόγου σύλληψιν καὶ κύησιν τῆς μακαρίας Παρθένου πιστευσάσης ὅτι Ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου, ὑπὲρ πᾶσαν ἐλπίδα καὶ ἔννοιαν καὶ φύσιν οὖσιν, ὁμοίως προϊέναι ταῖς τῶν σωματικῶν σπερμάτων τελειώσεσιν. Ἡ μὲν γὰρ εἰς σάρκα σπορὰ, ἐκ θελήματος σαρκός ἐστι διωθηθεῖσα σὰρξ δυνάμει φυσικῇ· ἡ δὲ εἰς ψυχὴν πίστις ἐστὶν ἐξ εὐδοκίας Θεοῦ σπινθηρισθεῖσα καὶ μεταδοθεῖσα δόξα διὰ Λόγου ζῶντος Θεοῦ καὶ μένοντος, γεννῶσα ὁμοιογνώμονας τῆς ἰδίας ἐνδιαθέτου κρίσεως τῷδε τῷ εἰρηκότι πρὸς τὸν Λόγον ἑαυτοῦ, *Ἐν σοὶ εὐδόκησα*· κατὰ γοῦν τὴν τοιάνδε πνευματικὴν ἀναγέννησιν καὶ δι' ὕδατος καὶ Πνεύματος πάντες τὴν φύσιν τῆς σαρκὸς εἰς πνεῦμα ἀχρόνως ἀναγεννώμεθα οἱ πιστεύοντες τῷ οὕτως κατὰ σάρκα γεννηθέντι Χριστῷ· διὰ τὸ ἐν σαρκὶ οὖσαν τὴν ψυχὴν, πνευματικὴν ὅμως τήνδε σπορὰν, καὶ πνευματικῶς καταδεξαμένην ἑνωθῆναι τῇ κρίσει, πνευματικῆς φύσεως ἀξιωθῆναι· διὸ καὶ τῇ φύσει· τὸν γὰρ λόγον σου, Κύριε, εἴπουν « φόβον, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν » τῇ πίστει αὐτὸν, ἐν ἑαυτοῖς ἐργωδῶς τελεσφοροῦντες, « καὶ ἐτέκομεν πνεῦμα σωτηρίας ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς. » Ὁ γὰρ ἐν σαρκὶ ὢν, καὶ μὴ τοῖς κατὰ σάρκα φαινομένοις, ἀλλὰ τοῖς κατὰ πνεῦμα τιθέμενος, ἑαυτοῦ πως τὴν σύνθεσιν μεταμείβει· ἀντὶ τῆς τῇ σαρκὶ φυσικῆς συμφορήσεως ἀποσχίσας ἑαυτὸν, καὶ τῆς πρὸς τὸ Πνεῦμα ὅ ἐστιν ὁ Θεὸς Λόγος γενόμενος γνωμικῆς συνελεύσεως. Ὁ γοῦν οὕτω κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστι σὺν αὐτῷ.

A Verbi Dei anima rationali et cogitante præditam (non enim tempore indiget omnipotens ad implenda suæ charitatis consilia); non posse enarrari Verbi conceptionem ex fide, et denique partum beatæ Virginis credentis implenda esse quæ sibi a Domino dicta fuerant, super omnem spem, et cogitationem et naturam, similiter præstare corporalis seminis operationi. Etenim carnis seminatio, caro est ex carnis cupiditate naturali potentia emissa; et fides animæ sapientia est ex charitate Dei, per Verbum Dei vivens et permanens, fulgurata et communicata, quæ participes facit sapientiæ propriæ et innatæ Patris dicentis ad Verbum suum : *In te mihi complacui.* Per hanc spiritualem regenerationem ex aqua et spiritu, quicunque credit in Christum in- B carnatum, naturam carnis mutat in Spiritum, absque tempore; nam anima quæ in carne est, et hoc semen spirituale spiritualiter accipit, sapientiæ unitur, spirituali natura digna judicatur, ideoque et naturæ unitur. Etenim verbum tuum, Domine, seu « timorem in utero accepimus, et parturivimus » fide et operibus in nobis protulimus, et « peperimus spiritum salutis tuæ, quem fecimus super terram[14]. » Qui enim exsistens in carne, non vivit secundum carnem, sed secundum spiritum, suam conditionem aliquo modo convertit. Nedum temporalia carni congreget, seipsum abnegat, et Ecclesiæ spirituali quæ tendit ad Spiritum, seu Verbum Dei, fit socius. Qui igitur Domino sic agglutinatur, unus spiritus est cum eo.

ΚΕΦΑΛ. ΚΑ'.

C

Πάλιν οὖν φασιν· Εἰ τοῖς ἰδιώμασιν αὐτοῦ ὁ Θεὸς Λόγος διακρινόμενος τοῦ ὁμοουσίου αὐτοῦ Πατρὸς καὶ Πνεύματος, ὑπόστασις εὐθὺς νοεῖται, καὶ τοῖς ἰδιώμασιν αὐτῆς ἄρα ἡ σὰρξ αὐτοῦ τυχὸν τῷ ἄνευ ἁμαρτίας ἐκ Παρθένου προσελθεῖν καὶ τοῖς τοιοῖσδε τῶν ὁμοουσίων αὐτῇ πάντων διακεκριμένη εὐθὺς καὶ ἥδε ὑπόστασις νοηθείη· ἐπεὶ οὖν μὴ τὰ αὐτὰ τοῦ Λόγου τε καὶ τῆς σαρκὸς τὰ ἰδιώματα, οὐδὲ αἱ ὑποστάσεις ἄρα· πῶς οὖν μία ὑπόστασις ὑμῖν ἡ τῶν δύο τε φύσεων καὶ διττῶς διακεκριμένων ἐκ τῶν ὁμοφυῶν λελόγισται; Ἀλλ' εὔδηλόν ἐστι τῷ προσεκτικώτερον ἐπιβάλλοντι, ὡς τὰ τῆς σαρκὸς τοῦ Κυρίου ἰδιώματα πάντα, ἑνὶ καθολικωτέρῳ αἰτίῳ αὐτῶν πάντων ἰδιώματι αὐτῆς περιέχεται· ὅ ἐστι αὐτὸ τοῦτο τὸ μὴ ἄθεεὶ αὐτὴν καὶ τῇ καθ' αὑτὴν φύσιν αὐτῆς ψιλῇ ὑποστῆναι αὐτήν πώποτε· διὸ καὶ ὅσα ἰδικῶς αὐτῷ ἐμφαίνεται ἕτερα ἰδιώματα παρὰ πάντας ἀνθρώπους, ταῦτά ἐστι θεοπρεπῆ, οἷον ἡ ἀναμάρτητος γέννησις, καὶ ἄπταιστος πάντῃ διαβίωσις αὐτοῦ, ἡ πανάγαθος πρόθεσις ἀεὶ, ἡ ὑπερδύναμος πρὸς θαυματουργίαν ἰσχὺς αὐτῆς, ἡ ὑπέρσοφος γνῶσις, ἡ παντέλειος καὶ ὑπερφυὴς ἀρετὴ, καὶ τὰ τοιάδε θεῖα· εἰ δὲ τὰ θεῖα οὐκ ἄνευ θείας φύσεώς ποτε φαίνεται, καὶ τὰ ἰδιώματα πάσης ὑποστάσεως αὐτῆς ἰδίως εἶναι δεῖ. Οὐ

CAP. XXI.

Et rursus inquiunt : Verbum Dei suis notionibus a Patre et Spiritu consubstantialibus distinctum, persona esse statim intelligitur : sic ipsius caro quæ suis proprietatibus nempe ortu immaculato ex Virgine, et aliis similibus distinguitur ab hominibus ejusdem naturæ, persona censenda est; cum ergo eædem non sint Verbi et carnis proprietates, neque eædem personæ; unde ergo una persona a vobis assignatur, quæ naturis duabus constat, et iisdem dupliciter diversis a natura ejusdem speciei? Diligentius attendenti certum fiet omnes carnis Dominicæ proprietates uni cuidam magis universali proprietati, et cæterarum causativæ incumbere, quæ talis est : caro sine Deo, et in sua naturali D persona nunquam substitit. Et ideo quæcunque aliæ proprietates in Domino proprie inveniuntur, et in reliquis hominibus deficiunt, eæ divinæ sunt sicut nativitas immaculata, sanctitas totius vitæ, bonitas consilii, in miraculis omnipotentia, sapientia doctrinæ, perfecta et supernaturalis virtus, et cætera divina. Si opera divina sine divina natura nunquam exercentur, et proprietates ipsæ toti personæ proprie tribuendæ sunt; quæ enim sunt unius personæ, vel in una videntur, alteri personæ

[14] Isa. XXVI, 18.

tribuenda non sunt. Necesse est ergo proprietates carnis Dominicæ, et ista divina testificari quod illa persona non sit absque natura divina; et cum natura divina non sit impersonalis, probat divinam esse hanc personam carnis, quæ divinis proprietatibus ab omnibus hominibus ejusdem naturæ secernitur. Et nisi in duas personas se sciderit divina Verbi natura, quæ filiales proprietates se ipsam distinguentes a personis consubstantialibus ante incarnationem habebat, et in carne retinet divinas proprietates eam ab hominibus ejusdem naturæ distinguentes, necessario una intelligenda est Verbi persona, etiam post incarnationem, his duabus naturis in una Verbi persona unitis.

A γὰρ τὰ ἐξ ἑτέρας ἢ ἐν ἑτέρᾳ ὑποστάσει φαινόμενα, ταῦτά τις ἄλλης ὑποστάσεως εἶναι ἰδιώματα καταλογίσοιτο. Ἀνάγκη ἄρα αὐτῆς τε τῆς σαρκὸς τοῦ Κυρίου ἰδιώματα, καὶ θεῖα τάδε ὄντα, μὴ ἄνευ θείας φύσεως εἶναι τὴν ὑπόστασιν τήνδε αὐτὴν μαρτυρεῖν. Φύσις δὲ θεία ἐπεὶ ἀνυπόστατος οὐκ ἔστι, δῆλον ὅτι καὶ θείαν ὑπόστασιν εἶναι τῇδε προσμαρτυρεῖ τῇ ὑποστάσει τῆς σαρκὸς ἧς τὰ θεοπρεπῆ ἰδιώματα τῶν ὁμοουσίων αὐτὴν διέστειλεν ἀνθρώπων· εἰ δὲ μὴ εἰς δύο ὑποστάσεις ἑαυτὴν διέστησεν ἡ τοῦ Λόγου θεία φύσις, ἧς τά τε υἱοπρεπῆ ἰδιώματα πρὸ τῆς σαρκός ἐστι, τῶν ὁμοθέων αὐτῇ προσώπων διακρίνοντα, καὶ τὰ τῆς σαρκὸς θεοπρεπῆ ἰδιώματα τῶν ὁμοφυῶν αὐτὴν διαστέλλοντα ἀνθρώπων, ἀνάγκη μίαν νοεῖσθαι μόνην εἶναι τὴν ὑπόστασιν τοῦ Λόγου καὶ μετὰ τῆς σαρκὸς αὐτοῦ, καθ' ὑπόστασιν αὐτοῦ ἑνωθεισῶν ἄμφω τῶνδε τῶν φύσεων ἐν Χριστῷ.

CAP. XXII.

Sed quia humana Christi natura, inquiunt, nihil minus habet quam natura uniuscujusque hominis, ideo illam naturæ divinæ additis: cur, quæso, cum nihilo deficiat a personis cujusque hominis ejus humana persona, illam non jungitis ad personam Verbi, nec duas esse ejus personas confitemini. Libentes respondebimus ipsi deesse distinctionem ab omni persona, qua sola constituantur personæ. Quod res ita se habeat sic stabiliemus. Cum mulier aliquam carnem informem, seu corpus monstruosum, inanimatum ediderit, ut evenit in abortu, et fetibus in matricula præmature editis, hunc fetum dicimus personam corporis, licet non animati, quasi sit secundum naturam corpus hujus abortivi partus. Uni ex his corporibus et jam natis personis supponatur etiam adjici aliquam carnem supercrescentem, modo capitis, aut magni sarcomatis, aut vomicæ conspicuæ, ut sæpe visum est in abscessibus, aut moris æqualem quantitate carni abortivæ, ejusque referentem formam, colorem, et cætera: huic ergo propriam personam non damus, unam autem reputamus tum corporis secundum naturam excrescentis, tum ipsius excrescentiæ. Similiter cum in Christo quidquid humanum est natura nunquam substiterit in seipso, sane autem in præexsistenti Verbi persona, Verbo sibi carnem assumente, e substantia sanctæ Virginis, statim a principio, ubinam distinctionem inter Verbum et carnem aspicitis, ad dicendum duas personas, sicut duas naturas? Naturæ enim distinctione, differentia personæ in duas non necessario scinduntur.

B

ΚΕΦΑΛ. ΚΒ'.

Εἰ διὰ τὸ μηδὲν ἐλλιπὲς ἔχειν τὴν ἀνθρωπείαν φύσιν Χριστοῦ, φησὶ, παρὰ τὴν φύσιν τῶν καθέκαστα ἀνθρώπων, προσαριθμεῖτε καὶ αὐτὴν τῇ τῆς θεότητος φύσει, τί δὴ ἄρα μηδὲν ἐλλειπούσης παρὰ τὰς ὑποστάσεις τῶν καθέκαστα ἀνθρώπων, καὶ τῆς ὑποστάσεως αὐτοῦ τῆς ἀνθρωπίνης, οὐ προσαριθμεῖτε καὶ ταύτην τῇ ὑποστάσει τοῦ Λόγου, καὶ δύο φατὲ καὶ τὰς ὑποστάσεις τοῦ Λόγου; Ἑτοίμως οὖν φαμεν ὅτι ὁ διορισμὸς αὐτῇ λείπει ἀφ' ἑτέρας πάσης ὑποστάσεως· οὗτος γὰρ καὶ μόνος ἐστὶν ὁ τῶν ὑποστάσεων παραστατικός· ὅτι δὲ οὕτως ἔχει, σκεπτέον οὕτως. Εἰ γάρ τις γυνὴ σαρκίον τι ἀδιάπλαστον εἴτ' οὖν σῶμά τι πωρῶδες ἄψυχον ἀποτέκοι, οἷα συμβαίνει ἔν τε ταῖς ἐξαμβλώσεσι, καὶ ἐπὶ τῆς

C λεγομένης μύλης κυηθείσης ἐν τῇ μήτρᾳ, ὑπόστασιν τινα σώματος, εἰ καὶ ἀψύχου, φαμὲν τόδε τὸ γέννημα εἶναι, ὥσπερ καὶ κατὰ φύσιν ἔχοντος σώματος τοῦδέ τινος τοῦ βρέφους· εἰ δήπου τινὶ τῶν κατὰ φύσιν ἐχόντων σωμάτων καὶ πάλαι προγεγενημένων ὑποστάσεων ἔκφυσις γένηται ἡνωμένη κατὰ κορυφῆς τυχὸν ἢ ἑτέρωσε ὑπερσαρκήματος μεγάλου, ἢ πώρου ἀξιολόγου, οἷα ἐν στεατώμασι καὶ συκαμινέαις ὤφθη πολλάκις, ἴσου τε ὄντος τῷ ὄγκῳ καὶ ὁμοίου τὸ σχῆμα καὶ τὴν χροιὰν καὶ τὰ λοιπὰ τῷ ἀπὸ τῆς ἐξαμβλώσεως κρέατι, ὅμως οὐ φαμεν καὶ τοῦδε ἰδίαν ὑπόστασιν, ἀλλὰ μίαν ἐξαριθμοῦμεν τήν τε τοῦ ὑπερσαρκήσαντος σώματος τὸ παρὰ φύσιν αὐτῷ καὶ τὴν τοῦ ὑπερσαρκήματος αὐτοῦ. Ἐπεὶ οὖν καὶ ἐπὶ

D Χριστοῦ οὐ καθ' αὐτὰ ὑπῆρξέ ποτε, ἀλλ' ἐν αὐτῇ τῇ προϋφεστώσῃ τοῦ Λόγου ὑποστάσει ὑπέστη, πάντα τὰ παρὰ φύσιν αὐτῇ ἀνθρώπινα αὐτοῦ, ἑαυτῷ τὴν σάρκα τοῦ Λόγου ὥσπερ ἐξ ὕλης ἐκ τῆς ἁγίας Παρθένου ἐνδιαπλάσαντος ἐξ ἀρχῆς, ποῦ θεωροῦντες τὸν διορισμὸν τοῦ Λόγου καὶ τῆς σαρκὸς αὐτοῦ, δύο εἴποιμεν τὰς ὑποστάσεις, ὡς καὶ τὰς φύσεις; αἱ μὲν γὰρ τῇ διαφορᾷ, αἱ δὲ τῷ διορισμῷ ἀναγκαίως εἰς δυάδα οὐ διακρίνονται.

CAP. XXIII.

Natura temporalis, inquiunt, æternam personam non habebit, nec vice versa: vel igitur dicendum est impersonalem fuisse humanam Christi naturam, vel temporalem personam habuisse; ideoque duas omnino esse personas, nempe æternam Verbi et temporalem hominis. Et contra licet æterna per-

ΚΕΦΑΛ. ΚΓ'.

Ἡ ὑπόχρονος φύσις, φασὶν, ἀΐδιον οὐχ ἕξει ὑπόστασιν· ὥσπερ οὖν οὐδὲ τὸ ἔμπαλιν· ἢ οὖν ἀνυπόστατον ἀνάγκη εἶναι τὴν ἀνθρωπείαν Χριστοῦ φύσιν, ἢ καὶ ὑπὸ χρόνον ἔχειν αὐτὴν δέον ὑπόστασιν· ὥστε δύο εἶεν πάντως αὐτῷ ἥ τε τοῦ Λόγου ἀΐδιος καὶ ἡ τῆς σαρκὸς ὑπόχρονος. Ἀλλ' εἰ καὶ μὴ ἀΐδιον

ὄντως ἔχειν ὑπόστασιν τὴν ὑπόχρονον φύσιν δυνατόν. ἀλλὰ ὑπὸ χρόνον κτήσασθαι, καὶ ἐνυποστῆναι τῇ ἀϊδίῳ ὑποστάσει τὴν ὑπὸ χρόνον φύσιν δυνατόν· καὶ λέλυται πᾶν τόδε τὸ ἄπορον. Οὕτω γὰρ καὶ πᾶς ὁ κόσμος γενητὸς ὤν, τῷ ἀγενήτῳ κοσμοποιῷ Θεῷ ἐνυφέστηκεν.

ΚΕΦΑΛ. ΚΔ'.

Ἢ οὐδὲν σύνθετόν φασιν ἐν Χριστῷ, ἢ καὶ φύσις καὶ ὑπόστασις· ἢ φύσις μὲν ἁπλῆ, ὑπόστασις δὲ σύνθετος· ἢ ἀνάπαλιν φύσις μὲν σύνθετος, ὑπόστασις δὲ ἁπλῆ· εἰ μὲν οὖν πάντα ἁπλᾶ τὰ ἐν αὐτῷ, ψευδῶς σύνθεσιν ὀνομάζετε ἐπ' αὐτοῦ· εἰ δὲ ἥ τε φύσις καὶ ὑπόστασις αὐτοῦ σύνθετοι, τί δὴ ἄρα τοὺς Σεβηρίτας ἀποσείεσθε; εἰ δὲ αἱ φύσεις μὲν ἁπλαῖ, ἡ δὲ ὑπόστασις σύνθετος ὑμῖν δοκεῖ, ἐπείπερ ἁπλῆ ὑπόστασις εἶναι ἡ τοῦ Λόγου ὡμολόγηται, ὑμῖν δὲ σύνθετος εἶναι ἡ τοῦ Χριστοῦ λέγεται, δύο ἄρα ὑποστάσεις εἰσὶ σαφῶς, ἥ τε τοῦ Λόγου καὶ τοῦ Χριστοῦ. Ἀλλ', ὦ οὗτοι, πρῶτον μὲν τὰ ἁπλᾶ ἐμπεριέχεται τοῖς συνθέτοις· ὥστε τοῦ Λόγου αὐτὴν νοητέον εἶναι τὴν καὶ ἁπλῆν πρώην καὶ σύνθετον νῦν ἐν Χριστῷ· ὅμως μέντοι καὶ τὸ σύνθετον ὅπως λέγεται περὶ τῆς ὑποστάσεως Χριστοῦ, διασαφητέον· ἔστι γὰρ καὶ ἔκ τινων τῶν κατὰ ταυτὸν τοῦ συνθέτου πράγματος λόγων ἁπλουστέραν μέντοι εἶναί πως τὴν σύνθεσιν αὐτοῦ· καὶ ἔστιν ἐξ ἑτεροειδῶν πραγμάτων· οἷον ἔστιν ἐξ ἁπλουστέρων φαρμάκων, ποικιλώτερον συνεῖναι φάρμακον· καὶ ἐκ σωμάτων, σῶμα ἕτερον· καὶ ἀπὸ λέξεων ἁπλῶν, λέξιν σύνθετον ποιῆσαι· ἔστι δ' οὖν καὶ ἀπὸ ὑποστάσεων πλειόνων μίαν ὑπόστασιν νοεῖν σύνθετον, ὡς ἐπὶ χοροῦ καὶ οἴκου καὶ τῶν τοιῶνδε· καὶ ἔστι ἀπὸ συνόδου πλειόνων ἰδιωμάτων, οὐ τῶν τοῦ Λόγου μόνον, ἀλλὰ καὶ τῶν τῆς σαρκὸς συγκειμένην τὴν ὑπόστασιν Χριστοῦ· ἢ ἐκ φύσεων ὑπόστασιν σύνθετόν φατε, συμφήσομεν· εἰ δὲ τὴν ὡς ἐξ ὑποστάσεων, μὴ γένοιτο! σκοπεῖτε δὲ ὅτι τὴν ἐξ ἰδιωμάτων σύνθεσιν, καὶ πρὸ σαρκὸς εἶχεν ἡ τοῦ λόγου ὑπόστασις, εἰ καὶ μὴ ἐκ τοσούτων· οὐ γὰρ μόνον τὸ γεννήσει ὑφεστάναι ἴδιον τοῦ Υἱοῦ, ἀλλὰ καὶ τὸ μὴ γεννᾷν ὁμοούσιον Λόγον, μηδὲ ἀφ' ἑαυτοῦ ἐκπορεύειν Πνεῦμα πρώτως, μηδὲ ἐκπορεύεσθαι κατὰ τὸ ἅγιον Πνεῦμα· καὶ τὰ λοιπὰ ἰδίως αὐτῷ ἀνήκοντα· σύνθετος ἄρα κατὰ τόνδε τὸν τρόπον, οὐ μόνον ἡ τοῦ Λόγου, ἀλλὰ καὶ τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος ἡ ὑπόστασις· πῶς οὖν ἐκ τοῦδε ἁπλῆς τε καὶ συνθέτου ὑποστάσεως ἡμῖν ἐξαρίθμησις συναχθήσεται ἐπὶ τοῦ Λόγου; μία γὰρ ἡ αὐτή ἐστιν ἐκ πλειόνων ἰδιωμάτων συγκειμένη τὸν ὑποστατικὸν Λόγον αὐτῆς.

ΚΕΦΑΛ. ΚΕ'.

Ὁ μὴ διαιρῶν τοῦ Χριστοῦ τὰς ὑποστάσεις, οὐ δύναται λέγειν τῶν τοῦ Χριστοῦ τὰ μὲν θεότητι τὰ δὲ σαρκὶ, ἀλλὰ πάντα σαρκὶ ὅσα καὶ σαρκί. Ἀλλ' ἔστι καὶ διακρίσει τῶν φύσεων ἀποδιδόναι τὰ οἰκεῖα τούτων ἑκατέρῳ· οὐ γὰρ ὑποστάσεις διαφόρους συνιέντες φαμὲν τοῦ ἐκ δεξιῶν λῃστοῦ ἐν τῷ σταυ-

A sona temporalem naturam habere non possit, sed acquirere potest, sicque in persona æterna subsistit natura temporalis. Soluta est ergo difficultas; ut quando dicitur totus mundus qui creatus est, in Deo creatore ingenito subsistere.

CAP. XXIV.

Instant : Vel nihil est compositum in Christo, vel natura et persona simul; sive natura quidem simplex et composita persona, sive iterum natura composita et persona simplex. Si igitur omnia in ipso sunt simplicia, false penitur ejus compositio ; si natura ejus et persona sunt compositæ simul, cur ergo Severitas (4) repulistis? Quod si simplices naturæ, et composita vobis videretur esse persona, B tunc omnibus hominibus simplicem Verbi personam affirmantibus, vobis autem compositam dicentibus Christi personam, bene duæ erunt personæ, una Verbi, et altera Christi. Vobis, o homines, primo est advertendum simplicia compositis contineri, ita ut eadem Verbi persona prius fuerit simplex, et nunc sit composita in Christo. Attamen quo sensu dicatur compositio de Christi persona explanandum est. Aliquando enim ex pluribus verbis de uno et eodem composito, simplicior videtur ejus compositio; aliquando idem fit ex diversis rebus : ex simplicioribus remediis magis varium remedium, ex corporibus corpus aliud, ex simplicibus vocibus vocem compositam videmus fieri. Potest C ergo ex pluribus personis excogitari una composita, ut cum agitur de choro, de domo, et aliis hujusmodi; potest etiam ex pluribus junctis proprietatibus non modo Verbi, sed etiam carnis, constare Christi persona. Quam si compositam e naturis dicitis, consentimus; si vero quasi ex personis, absit. Advertendum est etiam hanc compositionem idiomatum licet pauciorum, ante ipsam incarnationem convenisse Verbi personæ : non solum enim esse generatum, est proprietas Verbi, sed etiam quod consubstantiale Verbum non generet, quod Spiritus primario ab ipso non procedat, quod ipse non procedat sicut Spiritus sanctus, et alia idiomata ad eum pertinentia. Eodem modo est composita et persona Patris, et Spiritus sancti, non solius Verbi. D Utquid ergo ex hoc nobis enumerandæ in Christo et simplex, et composita persona adducuntur? Una enim et eadem est, ex pluribus proprietatibus, cum Verbo, in persona ejus exsistens.

CAP. XXV.

Qui Christi personas non distinguit, non potest tractando de Christo hæc divinitati, ista corpori tribuere; omnia carnis erunt. Porro distinctis naturis, potest cuique horum suum proprium restitui. Non enim diversas personas intelligimus, quando de latrone ad dexteram crucifixo di-

(4) Severus Antiochenus patriarcha, in sexto sæculo ramum novum protendit ab Eutychiana hæresi : unam esse naturam in Christo, dicebant, unumque compositum naturis, persona efformabant.

cimus animam pœnitentem ad vitam emigravisse, corpus vero passum ad mortem, cruribus ejus non ruptis, non fracto capite, pelle non detracta, nec divisa substantia. Quia vero id accidit uni vel alteri naturæ, uni et alteri membro, huic et alteri, non ideo duas esse personas crucifixi intelligimus.

CAP. XXVI.

Si personæ juxta naturas non distinguuntur, sed in una persona uniuntur, cum Christum unum hominem vocat Scriptura, quid intelligendum est, una substantia, et una persona, vel dimidium unius substantiæ et personæ unius? Si, quod ipse fateris, Christus non est solum homo ordinarius et simplex, sed et Deus, ipsi a te idem quæremus. Cum Scripturas audiemus Christum unum hominem vocantes, quid intelligere debemus? unum Christum, vel, mediam partem Christi? Liquet ergo ex una partium nominata, totum nominari, sicut cum dictum fuit: « Ad te omnis caro veniet[18]; » et « Animas pauperum tuorum ne obliviscaris in finem[18*]. »

CAP. XXVII.

Si non sunt distinctæ Dei et hominis personæ, juxta naturam, patet quod Deus non sit Deus sine homine, neque homo sit homo sine Deo. Non est revera in Christo: sicque efficitur Emmanuel, quia deinceps Deus semper est nobiscum.

CAP. XXVIII.

Ubi personæ, natura distinctæ, in unione distinctæ non perseverant, earum unio non est nisi naturæ alteratio. Ergo alteratur et ignis natura in ferro candenti, siquidem ignis persona a ferri non discernitur; ita etiam et animæ substantia in corpore.

CAP. XXIX.

Ubi quædam libenter uniuntur, huic unioni nunquam obest personarum distinctio. Neque ergo in una persona uniuntur, illa libenter juncta oberit personarum distinctio. Distinctio igitur unioni non adversatur, ubi duo in uno, in una persona junguntur. Contraria simul subsistere est impossibile. Si vero diceres quod inter juncta personaliter, nulla libenter uniuntur, tunc falsum esset hoc dictum: « Nemo unquam carnem suam odio habuit[16]. » Et: Nolumus exspoliari corpore, quo gravati ingemiscimus[17]. » Quæ si vera sunt, verificata est nostra sententia: libentia personaliter uniri posse.

CAP. XXX.

Qui personas Christi juxta naturas non multiplicat, unam Filii e Trinitate deturbat: Trinitatem quippe confitemur trium simplicium personarum, non duas medietates personarum. Sed contrarium

A ρῷ τὴν μὲν ψυχὴν διὰ μετανοίας πρὸς ζωὴν μεταβεβηκέναι, τὸ δὲ σῶμα διὰ παθήσεως πρὸς θάνατον, ἀλλ' οὐδὲ θλασθέντων αὐτοῦ τῶν σκελῶν, μὴ κατεαγείσης δὲ αὐτοῦ τῆς κεφαλῆς ἢ ἀλλοιωθείσης αὐτοῦ τῆς χροιᾶς, οὐχὶ δὲ καὶ τοῦ σχήματος· τῷ γὰρ ἀνήκειν ἑτέρᾳ καὶ ἑτέρᾳ φύσει, ἢ ἑτέρῳ καὶ ἑτέρῳ μέρει, ἢ ἄλλῳ καὶ ἄλλῳ ποιῷ, τάδε δύο ὑποστάσεις εἶναι τοῦ σταυρουμένου οὐ νοοῦμεν.

ΚΕΦΑΛ. ΚϚ'.

Εἰ οὐκ εἰσὶν αἱ ὑποστάσεις κατὰ φύσιν διῃρημέναι, ἀλλὰ καθ' ὑπόστασιν ἡνωμέναι, ὅταν ἀκούω τῆς Γραφῆς λεγούσης τὸν Χριστὸν ἕνα ἄνθρωπον, τί με χρὴ νοεῖν μίαν οὐσίαν καὶ μίαν ὑπόστασιν, ἢ ἥμισυ μιᾶς οὐσίας καὶ ὑποστάσεως μιᾶς; Εἰ δὲ ὥσπερ καὶ B αὐτὸς λέγεις οὐ μόνον ἄνθρωπος κοινὸς καὶ ψιλὸς, ἀλλὰ καὶ Θεὸς ὁ Χριστὸς, τὸ αὐτό σοι καὶ ἡμεῖς φαμεν· ὅταν ἀκούσωμεν τῆς Γραφῆς λεγούσης ἕνα ἄνθρωπον τὸν Χριστὸν, τί ἡμᾶς δέον νοεῖν; ἕνα Χριστὸν ἢ ἥμισυ Χριστοῦ; Δῆλον οὖν ὡς ἐξ ὀνομασίας τοῦ ἑνὸς τῶν μερῶν, τὸ ὅλον ὀνομάζεται, ὥσπερ εἴρηται καὶ τὸ, « Πρὸς σὲ πᾶσα σὰρξ ἥξει· » καὶ, « Τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος, » καὶ τὰ τοιάδε.

ΚΕΦΑΛ. ΚΖ'.

Εἰ οὐκ εἰσὶ διῃρημέναι Θεοῦ καὶ ἀνθρώπου κατὰ φύσιν αἱ ὑποστάσεις, δῆλον ὅτι οὔτε χωρὶς ἀνθρώπου Θεὸς ὁ Θεὸς, οὔτε χωρὶς Θεοῦ ἄνθρωπος ὁ ἄνθρωπος. Ὄντως γὰρ ἐν Χριστῷ οὐχί· οὕτω γὰρ καὶ συνίσταται τὸ Ἐμμανουὴλ, μεθ' ἡμῶν ἀεὶ ὄντος λοιπὸν τοῦ C Θεοῦ.

ΚΕΦΑΛ. ΚΗ'.

Ὧν ἐν τῇ ἑνώσει οὐ μένουσιν αἱ ὑποστάσεις φυσικῶς διῃρημέναι, τούτων ἡ ἕνωσις, φύσεώς ἐστιν ἀλλοίωσις. Ἄρα οὖν ἠλλοιώθη ἡ φύσις τοῦ πυρὸς ἐν τῷ μύδρῳ, ἐπεὶ μὴ διακέκριται ἡ ὑπόστασις αὐτοῦ, τῆς τοῦ σιδήρου, καὶ ψυχῆς ἡ οὐσία ἐν τῷ σώματι.

ΚΕΦΑΛ. ΚΘ'.

Ἐπὶ τῶν ἑκουσίως ἡνωμένων, οὐδαμῶς ἐναντιοῦται τῷ τρόπῳ τῆς ἑνώσεως ἡ διαίρεσις τῶν ὑποστάσεων. Ἄρα οὖν οὐδὲ εἰ καθ' ὑπόστασιν μίαν εἴη ὁ τρόπος τῆς ἑνώσεως τῶν ἑκουσίως ἑνωθέντων, ἐναντιοῦται ἡ διαίρεσις τῶν ὑποστάσεων· οὐκοῦν ἡ διαίρεσις, οὐκ ἐναντία τῇ ἑνώσει, ἀμφοῖν θεωρουD μένων ἐν ταυτῷ κατὰ τὴν ὑπόστασιν· τἀναντία δὲ συνυπάρχειν, ἀδύνατον· εἰ δὲ λέγοις, ὅτι Ἀλλ' οὐδὲν τῶν καθ' ὑπόστασιν ἡνωμένων ἑκουσίως ἥνωται, ἆρα γε ψευδὲς τὸ, « Οὐδείς ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησε· » καὶ, ὅτι « Οὐ θέλομεν ἐκδύσασθαι τὸ σῶμα, ἐφ' ᾧ στενάζομεν· » εἰ δὲ ἀληθῆ τάδε, ἆρα γε ἑκούσιον, καίτοι καθ' ὑπόστασιν οὖσα, ἡ γνῶσις ἡμῶν ἀποδέδεικται.

ΚΕΦΑΛ. Λ'.

Ὁ μὴ διαιρῶν τοῦ Χριστοῦ κατὰ φύσιν τὰς ὑποστάσεις, ἐκ τῆς Τριάδος διαιρεῖ τοῦ Υἱοῦ τὴν μονάδα· Τριάδα γὰρ ὁμολογοῦμεν, τριῶν ἁπλῶν ὑποστάσεων, οὐ δύο ἥμισυ ὑποστάσεων. Καίτοι τὸ

[18] Psal. LXIV, 3. [18*] Psal. LXXIII, 19. [16] Ephes. v, 29. [17] II Cor. v, 4.

ἐναντίον ἔδει συνάγειν, ὦ ἄνθρωπε· ὁ προστιθεὶς γὰρ τι τῷ ἁπλῷ, οὐ τὸ ἥμισυ αὐτοῦ ἀφαιρεῖ, ἀλλ' ἐπαύξει τόδε μᾶλλον διὰ τῆς συνθέσεως· Τριάδα οὖν εἶναι ὁμολογοῦμεν ὀρθῶς, μιᾶς τε οὖσαν καὶ ἁπλῆς φύσεως· ὑποστάσεων δὲ πάλαι μὲν τῶν τριῶν ἀσυνθέτως καὶ ἀμιγῶς ἐχουσῶν τήνδε αὐτῶν ἁπλουστάτην φύσιν ἐν ἑαυταῖς, νυνὶ δὲ τῆς μιᾶς αὐτῶν τὴν φυσικὴν ἁπλότητα τῆς ἰδίας Θεότητος ἔχειν ἐν συνθέσει τῇ πρὸς τὴν ἡμετέραν φύσιν ὁρωμένης· ἵνα γὰρ ἐγκολπώσηται τὰ ἴδια προβλήματα ἡ Θεότης, ἥτις Λόγῳ ἀληθείας ἀπεκύησεν ἡμᾶς ἤγουν τῷ Υἱῷ, μακρὰν αὐτῆς ἀπεσχοινισμένα, διὰ τῆς αὐτῆς τῶν τριῶν μιᾶς ὑποστάσεως ἑαυτῆς, δι' ἧς καὶ προεβάλετο τὰ ὄντα εἰς τὸ εἶναι, ἀνελάβετο πάλιν αὐτὰ εἰς ἑαυτὴν· τῷ μὴ ἐκφοιτητικῶς ἔχοντα πρὸς τὸν ὄντα, ἀπιέναι εἰς ἀεὶ πρὸς τὸ μὴ εἶναι· τοῦτο οὖν τὴν μίαν φύσιν ἢ ὑπόστασιν οὐ καθυβρίζει· τοὐναντίον δὲ τῷγε νοερῶς προσέχοντι, καὶ ὑπερδοξάζει· ὥσπερ γὰρ διά τε ἀγεννησίας καὶ γεννήσεως καὶ ἐκπορεύσεως δύνασθαι ὑπάρχειν ἑαυτὴν συνεστήσατο διὰ τῶν ἁπλῶν αὐτῆς ὑποστάσεων, οὕτω καὶ διὰ συνθέσεως ὑποστατικῆς, ἑαυτὴν παρέστησεν ὑπάρχειν δύνασθαι· καὶ ἔδειξε πάσης γεννήσεως καὶ ἐκπορεύσεως καὶ δημιουργικῆς συνθέσεως τὰς δυνάμεις ἐξ αὐτῆς εἶναι ἐν τοῖς οὖσιν, ὑπερέχειν τε πάντων αὐτῇ ἀγεννησίᾳ κατὰ τὴν μείζονα τῶν ὑποστάσεων, καὶ ἁπλότητι φύσεως κατὰ τὴν τῶν τριῶν ἑαυτῆς προσώπων οὐσίωσιν.

A o homo, concludendum erat. Simplici enim si quid addideris, non partem dimidiam ipsius auferes, sed magis illud additione augebis. Trinitatem ergo recte confitemur, naturæ unius et simplicis. Hujus autem tres personæ istam simplicissimam naturam in se ipsis sine mistione et additamento hactenus servabant, et nunc una ex ipsis hanc simplicem naturam propriæ divinitatis unitam nostræ naturæ habere visa est. Divinitas enim quæ per Verbum veritatis, sive Filium, nos creaverat, ut suas creaturas longe aberrantes ad se revocaret, per eamdem ex tribus personam per quam entia in esse projecerat, ea ad se rursus reduxit, ne aspirantes ad vitam deciderent in mortem æternam. Hoc ergo unam naturam, seu personam non dedo- B cet, sed contra valde honorat, si diligenter inspicias. Sicut enim in simplicibus personis, non genita, et genita, et procedens seipsas exsistere posse consciæ erant, ita per unionem hypostaticam manifestaverunt; et omnes generationis, processionis, actionis potentias in entia a se participari probaverunt, omniaque inferiora esse tum huic ingenitæ personæ aliis majori, tum simplicitati naturæ substantialis trium personarum.

ΚΕΦΑΛ. ΛΑ'.

Εἰ τὴν διαίρεσιν τῶν ὑποστάσεων οὐχ ἐφύλαττεν ἡ φυσικὴ ἕνωσις, οὐδὲ ἄρα τὸν Θεὸν Λόγον ἐφύλαττεν ὅπερ ἦν, οὐδὲ τὸν ἄνθρωπον ὅπερ γέγονεν. Ἄρα οὖν οὐδὲ τὸν σίδηρον ὅπερ ἐστὶ, καὶ τὸ πῦρ ὅ ἐστι φυλάττει κατὰ τὸν μύδρον ἡ ἕνωσις· ἀλλ' οὐδὲ κατὰ τὴν δρόσον καὶ τὸν πόκον· ἐπεὶ μὴ διορίζονται αἱ ὑποστάσεις, φυσικῆς προδήλως, ἤγουν τῶν φύσεων αὐτῶν, οὔσης τῆς ἑνώσεως.

CAP. XXXI.

Nisi distinctio personarum cum physica unione servetur, neque Verbum Dei quod erat, neque homo quod factus est servavit. Sed nunquid ferrum et ignis juncta in massa candenti suam naturam amittunt? nun- C quid ros et vellus? Non separantur personæ, cum sit sine dubio physica unio harum naturarum.

ΚΕΦΑΛ. ΛΒ'.

Εἰ μένει ἡ γνῶσις τῆς θείας ὑποστάσεως τῇ θεότητι, καὶ μένει ἡ ἄγνοια τοῦ ἀνθρώπου τῇ σαρκὶ, πῶς τὰ τῶν ὑποστάσεων μένει διῃρημένα, καὶ αἱ ὑποστάσεις οὐ μένουσι διῃρημέναι; Ἀλλ' ἡ φύσις ἐστὶν ἡ γνωστικὴ ἢ ἀγνοοῦσα κατὰ τὴν ὑπόστασιν· οὐ γὰρ ἁπλῶς ἡ ὑπόστασις γινώσκει· καὶ γὰρ πάντων ὧν Παύλου ἡ ὑπόστασις γινώσκει, οὐδέν φαμεν τὸν ὄνυχα αὐτοῦ, ἤ τι τῶν τῆς σωματικῆς αὐτοῦ φύσεως γινώσκειν, ἀλλὰ μόνον τὴν φυσικὴν δύναμιν αὐτοῦ, καὶ τοῦτο τῆς ψυχικῆς μόνον ἤγουν τὸν νοῦν· οὐδὲ γὰρ πᾶσαν αὐτῆς πρώτως τὴν φύσιν· πῶς οὖν ἂν εἶεν οἱ τῆς φύσεως λόγοι τῆς ὑποστάσεως;

CAP. XXXII.

Scientiam divinæ personæ si divinitas servaverit, et caro ignorantiam carnis, cur distincte manentibus personarum proprietatibus, ipsæ personæ distinctæ non manebunt? Sed natura personæ vel cognoscit, vel non cognoscit : non enim omnis persona cognoscit. Omnium quæ novit Pauli persona, ungulam vel aliquam sui corporis partem dicimus nihil cognovisse, sed unam naturalem facultatem, et illam spiritualem, id est intellectum : non enim tota natura ejus cognoscebat. Cur ergo de persona diceretur, quod de natura dictum est?

ΚΕΦΑΛ. ΛΓ'.

Ἓν πρόσωπον ἀπρόσιτον Θεοῦ ἐκ φύσεως· « Οὐδεὶς γὰρ, φησὶ, ὄψεται τὸ πρόσωπόν μου καὶ ζήσεται· » καὶ ἓν πρόσωπον ἐμπτυόμενον ἀνθρώπου· « Καὶ ἐνέπτυσαν γὰρ, φησὶ, εἰς τὸ πρόσωπον αὐτοῦ. » Εἰ ἓν πρόσωπον Χριστοῦ ἐστιν ἐξ ἑνώσεως, ἄρα ἔχον ἐν ἑαυτῷ τὸ ἀπρόσιτον πρόσωπον, καὶ τὸ ἐμπτυόμενον πρόσωπον. Ἀλλ' οὔτε τὸ ἐπὶ Θεοῦ εἰρημένον τοῦ ἀοράτου πρόσωπον, ὡς ὑπόστασις ἐλέγετο, περὶ οὗ νῦν τὸ ζητούμενον· οὐ γὰρ ἓν μόνον τὸ τοῦ Θεοῦ πρόσωπόν

CAP. XXXIII.

D Una est Dei facies invisibilis, dicit enim : « Nemo videbit faciem meam, et vivet [18]; » et una est facies hominis passibilis; scriptum est enim : « Et tunc exspuerunt in faciem ejus [19]. » Si ergo una est persona Christi post incarnationem, huic erit una facies invisibilis, altera passibilis. Sed ista facies Dei invisibilis, de qua quæstio est, pro persona accipitur : non enim unica est Dei persona, sed triplex. Illa enim invisibilis facies non dicta est una esse e Trinitate; neque

[18] Exod. XXXIII, 20. [19] Matth. XXVI, 67.

cum oppositione usurpata est ab una divinarum personarum, quasi aliæ duæ consubstantiales divinam faciem visibilem præ se ferant, et una quæ loquitur invisibilem habeat; sed nomine faciei indicebatur naturæ ejus visio, et naturalis Dei forma, quod idem non est ac persona. Sic iterum quod persona, hoc non est facies Christi quæ consputa fuit; ista enim pars fuit non modo Christi, sed etiam hominis in ipso, et rursus unum membrum corporis ejus, caput; nec totum caput, sed pars ejus anterior, et ea denique quæ est circum oculos. Si ergo hoc uno verbo significatur Christi persona, non autem ea quæ pectus circumdant, nec manus, nec pedes, neque cætera membra corporis ejus, sive puri hominis, sive Dei sit persona et facies, dicendum erit necessario esse extranea personæ reliqua ejus membra quæ oculis, aut ore non circumscribuntur. Quod dictum manifeste est puerile vel sophisticum.

A ἐστι, ἀλλὰ τρία· οὐκ ἂν γὰρ ἑνικῶς εἶναι ἐῤῥήθη ὑπὸ τῆς Θεότητος, οὔτε κατὰ ἀντιδιαστολὴν, ὑπὸ ἑνὸς τῶν θείων προσώπων ἐστὶ λεγόμενον τὸ ἀόρατον, ὡς τῶν ὁμοουσίων ἑτέρων δύο, ὁρατῶν ὄντων θείων προσώπων, τοῦ χρηματίζοντος δὲ μόνου ἀοράτου τυγχάνοντος· ἀλλ' ἡ τῆς φύσεως αὐτοῦ κατόπτευσις ἐδηλοῦτο διὰ τοῦ προσώπου, καὶ τὸ φυσικὸν εἶδος τοῦ Θεοῦ, ὅπερ οὐ ταυτὸν νοεῖται τῇ ὑποστάσει ὄν· ἔτι δὲ οὐ ταυτόν ἐστι τῇ ὑποστάσει αὐτοῦ οὐδὲ τὸ ἐμπτυσθὲν Χριστοῦ πρόσωπον· μέρος γάρ ἐστι ἐκεῖνο, οὐ μόνον Χριστοῦ, ἀλλὰ καὶ τοῦ κατ' αὐτὸν ἀνθρώπου· καὶ τούτου τῶν σωματικῶν μερῶν ἓν, ἤγουν ἡ κεφαλή· καὶ αὐτὴ δὲ οὐχ ὅλη, ἀλλὰ τὸ ἓν αὐτῆς πλευρὸν ἁπλῶς τὸ ἐμπρόσθιον, καὶ πρὸς τοὺς ὦπας μέρος αὐτῆς· εἰ οὖν τῷδε ὁ τῆς ὑποστάσεως τοῦ Χριστοῦ λόγος δηλοῦται μόνῳ, ἐπεὶ μὴ ἐμπεριώρισται B αὐτῷ στέρνον, καὶ αἱ χεῖρες, καὶ οἱ πόδες, καὶ τὰ λοιπὰ τοῦ σώματος, εἴτε ψιλοῦ ἀνθρώπου, εἴτε οὖν Θεοῦ ἐστιν ἡ ὑπόστασις Χριστοῦ καὶ τὸ πρόσωπον ἀνάγκη ἐκτὸς εἶναι τῆσδε τῆς ὑποστάσεως πάντα τὰ ἄλλα μέλη αὐτῆς, ὅσα μὴ ἡ ὄψις, ἤγουν ὁ χαρακτὴρ, περιγράφει ταύτης· ἢ οὖν παιδιῶδες, ἢ σοφιστικὸν τὸ εἰρημένον ὑμῖν σαφῶς.

CAP. XXXIV.

Verbi Dei persona una est non ex unione, sed ex natura; Christi persona una est ex unione; atqui si, ut Christi, ita et Verbi persona una esset ex unione, certum esset Verbum Dei antequam unam personam habuerit, eam non habuisse, haud secus, ac Christus. Sed illa una naturalis persona unius naturæ Verbi Dei, etiam post incarnationem, unita Verbo in ipso natura carnis, una remanet persona duarum naturarum Christi : ex unione igitur naturarum, non personarum, una fit Christi persona, quæ unam adhuc retinet naturam, et unica est persona Christi. Quid ergo? Christus accepitne personam ex natura, præter alteram ex unione, annon? Si non accepit, personam non fecit unio; sed, ut diximus, facta est in naturali Verbi persona unio naturarum. Si autem naturalem personam, præter aliam ex unione, habuit Christus, sicut Verbum, cum dicatis Verbo esse personam ex natura, et aliam ex unione, duas ergo personas habebunt Verbum et caro. Ad quamnam igitur ex quatuor personis referenda est illa naturarum et personarum unio in una persona? Si ad personam Christi acceptam ex unione, inutilis est Verbi persona; si ad Verbi, vana est Christi persona. Et quomodo subsistit? Ubi est illa ex unione persona? Si extra naturales personas, habet propria nativitatem, lineamenta, et motum; si in alterutra, non erit in altera una persona; si in utraque, necesse est ipsam in distinctas et diversas personas fuisse divisam, sive in dimidiam partem sive in quodlibet membrum visibile; verbi gratia unum pedem in Verbo et in carne intelligi; in persona invisibili pedem invisibilem, in visibili visibilem. Vestra igitur sententia tres pedes in visibili Christo conspiciuntur, et idem de reliquis membris. Quæ cum sint supra aniles fabulas absurda; cum neque extra duas naturales personas, neque in ambabus, ne-

ΚΕΦΑΛ. ΛΔ'.

Τὸ πρόσωπον τοῦ Θεοῦ Λόγου οὐκ ἔστιν ἐκ τῆς ἑνώσεως ἓν, ἀλλὰ ἐκ φύσεως· τὸ πρόσωπον τοῦ Χριστοῦ ἐκ τῆς ἑνώσεώς ἐστιν ἕν· εἰ γὰρ ἐκ τῆς ἑνώσεως ἦν τὸ ἓν πρόσωπον τοῦ Θεοῦ Λόγου, ὥσπερ τὸ τοῦ Χριστοῦ, δῆλον ὅτι πρὶν γένηται ὁ Θεὸς Λόγος ἓν πρόσωπον, οὐκ εἶχε τὸ ἓν πρόσωπον, ὥσπερ οὐδὲ Χριστός. Ἀλλ' αὐτὸ τὸ ἐκ φύσεως ἓν πρόσωπον τῆς μιᾶς φύ- C σεως τοῦ Λόγου, τοῦτο καὶ ἐπὶ τῇ ἑνώσει τῆς προσληφθείσης αὐτῇ ἐν αὐτῷ φύσεως σαρκὸς πρὸς τῷ Λόγῳ, ἕν ἐστιν πρόσωπον τῶν δύο φύσεων Χριστοῦ· ἐκ τῆς οὖν ἑνώσεως τῶν φύσεων οὐ προσώπων, ἓν ἐστι τὸ πρόσωπον Χριστοῦ, ὅ ἐστιν ἐκ μιᾶς φύσεως, ἓν πρόσωπον τοῦ Λόγου· ἐπεὶ τί φατε; ὁ Χριστὸς ἔχει πρόσωπον ἐκ φύσεως, πρὸς τῷ προσώπῳ τῷδε τῷ ἐκ τῆς ἑνώσεως, ἢ οὐχί; εἰ μὲν οὖν οὐχὶ, οὐδ' ἄρα πρόσωπόν ἐστιν ἡ ἕνωσις, ἀλλ' ὡς ἔφημεν ἐν τῷ φυσικῷ προσώπῳ τοῦ Λόγου, φύσεώς ἐστιν ἡ ἕνωσις· εἰ δὲ ἔχει ὁ Χριστὸς φυσικὸν πρόσωπον, ὥσπερ ὁ Λόγος πρὸς τῷ τῆς ἑνώσεως προσώπῳ πάντως, ὅτι καὶ τὸν Λόγον φατὲ ἔχειν καὶ αὐτὸν ἑνώσεως πρόσωπον, πρὸς τῷ τῆς φύσεως προσώπῳ, ἀνὰ δύο οὖν ἔχουσι πρόσωπα σαφῶς, ὅ τε Λόγος, καὶ ἡ σάρξ· εἰς ποῖον οὖν D τῶν τεσσάρων προσώπων λέγετε θεωρεῖσθαι τὴν εἰς πρόσωπον τῶνδε τῶν φύσεων καὶ προσώπων ἕνωσιν; εἰ μὲν γὰρ εἰς τὸ Χριστοῦ ἐξ ἑνώσεως πρόσωπον, περιττὸν τὸ τοῦ Λόγου· εἰ δὲ εἰς τὸ τοῦ Λόγου, παρέλκον τὸ Χριστοῦ· πῶς δὲ καὶ ὑφέστηκεν; ἢ ποῦ τόδε τὸ ἐξ ἑνώσεως πρόσωπον; εἰ μὲν γὰρ ἐκτὸς τῶν φυσικῶν, ἰδίαν τε γέννησιν καὶ περιγραφὴν καὶ κίνησιν ἔχει· εἰ δὲ ἐν θατέρῳ μόνῳ, οὐχ ἑνώσει τὸ ἕτερον τῷ ἑτέρῳ προσώπῳ· εἰ δὲ ἀμφοτέροις, ἀνάγκη διαμεμερίσθαι αὐτὸ εἰς τὰ διακεκριμένα καὶ διωρισμένα πρόσωπα, ἂν ἥμισυ, ὅσα τε οὖν αἰσθητὰ μέλη αὐτοῦ ἐστιν, ὁ εἷς ποῦς τυχὸν ἐν τῷ Λόγῳ, ὁ δὲ ἄλλος ἐν τῇ σαρκὶ νοηθήσεται· καὶ ὁ μὲν ἐν τῷ ἀοράτῳ προσώπῳ, ἀόρατος πούς· ὁ δὲ ἐν τῷ ὁρατῷ, ὁρατός· τρεῖς οὖν κατὰ τὸν ὁρατὸν Χριστὸν οἱ πόδες ὁρῶνται καθ'

ὁμοῦ· καὶ ἐπὶ τῶν ἄλλων μελῶν τὰ ὅμοια· εἰ δὲ ταῦτα καὶ ἐν γραῶν ληρῳδήμασι βδελυκτά, ἐπεὶ μήτε ἐκτὸς τῶν δύο φυσικῶν προσώπων, μήτε ἐν τοῖς δυσί, μήτε κατὰ θάτερον αὐτῶν μόνον ὑφεστηκέναι ὅλως τὸ ἓν τῆ ἑνώσεως πρόσωπόν φατε, προδήλως ὅτι ἀνυπόστατόν τι καὶ ἀνάπλασμα, καὶ Λόγῳ μόνον ἓν πρόσωπον ἐξ ἑνώσεως φυσικῶν προσώπων εἶναι δογματίζετε· ὅπερ οὔτε τῷ Χριστοῦ φυσικῷ ὅμοιον ὄν, τίνι ἔσται ὅμοιον εἴπατε, εἰ καὶ ὑφεστηκέναι δοθῇ κατὰ συγχώρησιν· εἰ δὲ εἴποιτε ἴσως τὸ φυσικὸν Χριστοῦ πρόσωπον εἶναι τὸ ἐξ ἑνώσεως ἓν ὂν εἰρημένον ἡμῖν, εἰ ἐκ τῆς τῶν δύο προσώπων φυσικῶν ἑνώσεως ὄντως γέγονε, τίς ὁ τοῦ ἑνωθέντος κατ' αὐτὸ φυσικοῦ προσώπου ἄνθρωπος; ὁ παρὰ τόν... ἄρα δὲ οὖν καὶ τὸ αὐτὸ ἑαυτοῦ προϋπῆρχέ τε καὶ μεταγέγονεν, εἴπερ ὡς φυσικὸν προῆν, ὡς δὲ ἐξ ἑνώσεως μετὰ τὴν σύνοδον τῶν φυσικῶν γέγονεν;

que in alterutra solum subsistere dicatis illam personam ex unione, patet vos rem non subsistentem, errorem docere, et hanc personam ex unione naturalium personarum credere non nisi in verbis; quæ cum sit dissimilis personæ naturali Christi, cur sit similis ipsi proferte, etiamsi subsistere gratuito concedatur. Quod si contenditis naturalem Christi personam eam esse, quæ una ex unione dicebatur, quod si ex duabus naturalibus personis junctis effecta est, quis est ille homo cujus naturalis persona cum seipsa unitur? Homo contra. .. Et sic eadem persona exsistebat, et nata est postea, quia antea existebat ut naturalis, et nata est ex unione post naturarum junctionem.

ΚΕΦΑΛ. ΛΕ'.

Εἰ ἔστιν ὁ Λόγος ὃ ἦν, καὶ ἔστιν ὃ γέγονεν, ἦν μὲν Θεός, γέγονε δὲ ἄνθρωπος ἐν ἑνὶ προσώπῳ τοῦ Λόγου, οὐ δύναται εἶναι ἀμφότερα· ὅλος γὰρ γέγονεν ἄνθρωπος, φύσιν ἔχων ἀνθρώπου καὶ πρόσωπον. Ἀλλ' εἰ καὶ τῇ ἐμπροσώπῳ Θεοῦ φύσει Θεὸς ἦν ὁ Λόγος ὡς φύσεως θείας ὢν δηλαδή, τὴν ὑπόστασιν αὐτοῦ, οὐχ ὡς ἁπλῶς ὑπόστασις ἦν Θεός, ἀλλ' ὡς τοιᾶσδε φύσεως οὔσης αὐτῷ τῆς ὑποστάσεως· ἐπεὶ ὁ Πατὴρ οὐκ ἔσται Θεός, ἐπεὶ μὴ τοιᾶσδε οἵας ὁ Λόγος ἐστὶν ὑποστάσεως· καὶ ἄνθρωπος ἄρα γέγονεν τῇ τῆς φύσεως τῆς ἀνθρωπίνης προσλήψει, εἰ καὶ ἀπροσώπῳ ἡ αὐτὴ ὑπόστασις τοῦ Λόγου· εἰ μὲν γὰρ καὶ ὑπόστασιν σαρκὸς προσελάβετο ἡ ὑπόστασις τοῦ Λόγου, οὐ γέγονεν ὁ Λόγος σάρξ, ἀλλ' ἐκτήσατο σάρκα ὁ Λόγος· εἰ δὲ καὶ ἡ φύσις αὐτοῦ γέγονε σαρκὸς φύσις, ὡς ἡ ὑπόστασις, οὐκ ἐσκήνωσεν ἐν ἡμῖν τοῖς σαρκικοῖς, ἤγουν εἰς σάρκα, ἀλλ' ἐτράπη εἰς αὐτὴν ὁ Λόγος· δύναται οὖν τὰ φυσικὰ ὀνόματα ἀμφότερα φέρειν ὁ Λόγος ἐν τῷ ἑνὶ διφυεῖ νῦν, πάλαι δὲ μονοφυεῖ προσώπῳ αὐτοῦ· εἰ δὲ λέγοι τις μὴ δύνασθαι φέρειν ἑτέραν φύσιν ἐν ἑαυτῷ, οὐδ' ἄρα τὰ τῆς σαρκικῆς ἡμῶν φύσεως τῆς νῦν πρόσωπα τὴν πνευματικὴν φύσιν, ἐν τῇ μελλούσῃ ἀναβιώσει καταδέξονται αὐτά· ἀλλ' ἢ καὶ ἑτέρας ὑποστάσεις ἕξουσιν, ἢ οὐδὲ τὰς φύσεις ἀμείνους· φύσεως δὲ καὶ ὑποστάσεως εἰ μόνος ὁ Θεὸς αἴτιος, τί τὸ κωλύον αὐτὸν μετατιθέναι φύσιν τινὰ εἰς ἑτέραν ὑπόστασιν; καὶ ὑπόστασιν ἀλλοτρίαν, εἰς ἑτέραν φύσιν; εἴπερ αὐτῷ πάντα δυνατὰ ἀληθῶς· ὅπου γε καὶ τῶν ἐνυποστάτων ζώων καὶ βοτανῶν τὰς φύσεις, εἰς ἑτέρας ὑποστάσεις μετατιθεμένας ὁρῶμεν σαφῶς, ἀφ' ὧν τρέφεται τὰ τρεφόμενα· καὶ τὰς ὑποστάσεις εἰς ἑτέρας φύσεις, οἷον ἐπὶ τῶν ἐκ σκώληκος εἰς πτηνὸν μεταφυομένων.

CAP. XXXV.

Si Verbum est simul quod erat, et quod factum est, et erat Deus, factus est homo in una persona Verbi, utrumque non potest salvari, siquidem totus homo factus est, cum natura et persona hominis. Si natura Deum ferente Deus erat Verbum, nempe natura divina præditum, suam personam habuit, non quod illa persona absolute Deus sit, sed quia talis naturæ erat hæc persona. Secus enim Deus non esset Pater, qui eamdem personam non habet atque Verbum. Et aliunde Verbi persona homo facta est, assumens naturam humanam, et eam impersonalem. Personam enim carnis si accepisset Verbi persona, Verbum caro non factum fuisset, sed carnem acquisivisset; et si, ut persona, ita natura ipsius facta fuisset natura carnis, Verbum non habitasset in nobis carnalibus, id est in carne, sed in ipsam fuisset conversum. Nomina igitur utriusque naturæ potest excipere Verbum, quod in una persona duplicis naturæ hodie subsistit, antea in unius naturæ. Si adhuc diceretur a persona unius naturæ alteram naturam accipi non posse, neque persona nostræ carnalis naturæ spiritualem naturam in futura resurrectione accipere posset; sed vel altera persona daretur, non haberetur melior natura. Cum autem naturæ et personæ solus Deus sit auctor, quid eum prohibet unam naturam in alteram personam transferre? aut alienam personam in alteram naturam? Huic profecto omnia possibilia sunt, quoniam naturas personarum, animalium et plantarum, quibus aluntur nutriendæ aliæ personæ, videmus in eas transformari; vel adhuc personas in novam naturam migrare, vermes in volatilia mutari.

ΚΕΦΑΛ. ΛϚ'.

Τὸ φύσει Υἱὸς τοῦ Θεοῦ, καὶ τὸ φύσει υἱὸς ἀνθρώπου, ὑποστάσεώς ἐστι ὀνόματα, ὧν χωρὶς οὐκ ἐνδέχεται ὀρθῶς ὁμολογεῖν τὸν Χριστιανισμόν, καὶ ἀμφότερα ἐν τῷ ἑνὶ Χριστῷ ὁμολογεῖται, οὐκ ἐν ἑκατέρῳ ἀμφότερα. Ὑποστάσεως μέν, ἀλλὰ τῆς αὐτῆς πρόσθες· εἰ γὰρ ὀρθῶς ἀμφότερα ἐν τῷ ἑνὶ Χριστῷ ὁμολογεῖται, τὰ δύο ὀνόματα ἐπὶ τῆς αὐτῆς ὑποστάσεως τοῦ ἑνὸς Χριστοῦ κεῖται, ὥσπερ ἐπὶ τῶν διωνύμων

CAP. XXXVI.

Personæ nomina sunt ista, Filius Dei natura, natura filius hominis, sine quibus Christianismum recte confiteri est impossibile; ambo de uno Christo, non de alterutro ambo dicuntur. Nomina sunt personæ, sed ejusdem personæ: si enim de uno Christo ambo recte usurpantur, ad eamdem personam unius Christi, accepta ex uno et altero verbo, referuntur, quemadmodum evenit his rebus quæ

duobus nominibus vocantur. Eodem modo idem Timotheus in una persona filius Pauli erat, et filius Græci. Et aliunde ista nomina personam designant, sed habita ratione naturarum et originis.

A ἐξ ἄλλου καὶ ἄλλου εἰλημμένα λόγου· οὕτως γοῦν καὶ Τιμόθεος ὁ αὐτὸς ἐν μιᾷ τῇ ὑποστάσει αὐτοῦ, υἱός τε ἦν Παύλου καὶ πατρὸς Ἕλληνος· ἄλλως δὲ τάδε, εἰ καὶ κατὰ ὑποστάσεως, ἀλλ' ἐκ τῶν φύσεων ὠνόμασται καὶ τῶν γεννήσεων σαφῶς.

CAP. XXXVII.

Vel illud nomen, *Verbum*, duas personas nominat, eam quæ non est facta Domina, et eam quæ facta est; vel duas medietates unius personæ et unius Domini; et nemo fit gratia quod est natura. Si illa vox Dominus personam Verbi non naturam nominat, Pater et Spiritus non sunt Domini, siquidem non sunt ejusdem personæ; si vero naturam, patet naturam humanam illud gratia obtinuisse, quod Divinitas natura habet, nempe vocari Dominum; et ipsi fatemini, propter nimiam charitatem Divinitatis in humanitatem ipsi proprias divitias in sua persona commodantis.

ΚΕΦΑΛ. ΛΖ'.

Ἢ δύο ὑποστάσεών ἐστιν ὄνομα ὁ Λόγος, τῆς ἀποιήτου Κυρίου, καὶ τῆς πεποιημένης Κυρίου, ἢ δύο ἡμίσεων τῆς μιᾶς ὑποστάσεως τοῦ ἑνὸς Κυρίου· οὐδεὶς δὲ γίνεται κατὰ χάριν, ὅ ἐστι κατὰ φύσιν. Εἰ τῆς ὑποστάσεως τοῦ Λόγου ἐστὶν ὄνομα τὸ Κύριος, καὶ οὐ τῆς φύσεως, ὁ Πατὴρ ἄρα καὶ τὸ Πνεῦμα, οὐ Κύριοι, ἐπεὶ οὐ τῆς αὐτῆς εἰσιν ὑποστάσεως· εἰ δὲ φύσεώς ἐστι, δῆλον ὡς ἡ ἀνθρωπίνη φύσις γέγονε κατὰ χάριν τοῦτο ὅ ἐστι κατὰ φύσιν ἡ Θεότης, ἤγουν B Κύριος, ὡς καὶ ὑμεῖς εἰρήκατε, διὰ τῆς ἄκρας τῆς κατὰ μίαν ὑπόστασιν πρὸς αὐτὴν εὐφυΐας, χαρισαμένης αὐτῇ τὰ ἴδια φυσικά.

CAP. XXXVIII.

Si Verbum est Deus divinitate, si homo humanitate, in duabus personis est Filius Dei, et Filius hominis, sicut duabus naturis est Deus et homo. Si duabus naturis, ut inquis, divinitate et humanitate, Deus et homo est idem Dei Filius, reputabitur necessario duas naturas, non duas personas habere.

ΚΕΦΑΛ. ΛΗ'.

Εἰ θεότητι Θεὸς ὁ Λόγος, καὶ ἀνθρωπότητι ἄνθρωπος ὁ Λόγος, ἐν δυσὶν ἄρα ὑποστάσεσίν ἐστιν ὁ Λόγος Υἱὸς τοῦ Θεοῦ καὶ Υἱὸς ἀνθρώπου· ὥσπερ καὶ ἐν δυσὶ φύσεσι Θεὸς καὶ ἄνθρωπος. Εἰ ἐν φύσεσι δυσὶ Θεὸς καὶ ἄνθρωπος, ὡς ἔφης, ἐστὶν, ἐν θεότητι ἄρα καὶ ἀνθρωπότητι, δύο φύσεις ἀναγκαίως καὶ οὐ δύο ὑποστάσεις ὁ αὐτὸς νοηθήσεται εἶναι Υἱὸς Θεοῦ.

CAP. XXXIX.

Si unius personæ non factæ, et factæ alterius est Verbum, qui aufert numerum personarum, Verbi personam aufert, sive non factam, sive factam. Sed nemo religiosus duas esse Verbi personas confitetur; at unicam ejus personam credit totam prius esse conspicuam ex proprietatibus increatis, nunc vero verbis et actibus suæ personæ novos characteres manifestare.

ΚΕΦΑΛ. ΛΘ'.

Εἰ μίαν ἔχει ὁ Λόγος ὑπόστασιν ἀποίητον καὶ μίαν C πεποιημένην, ὁ ἀναιρῶν τῶν ὑποστάσεων τὸν ἀριθμὸν ἀναιρεῖ τοῦ Λόγου τὴν ὑπόστασιν, ἢ τὴν ἀποίητον, ἢ τὴν πεποιημένην. Ἀλλ' οὐδεὶς εὐσεβῶν δύο ὑποστάσεις ἔχειν αὐτόν φησι ὄντως τὸν Λόγον· ἀλλὰ τὴν μίαν αὐτοῦ ὑπόστασιν, πάλαι μὲν ἐξ ἀποιήτων τὸ ὅλον γνωρίζεσθαι ἰδιωμάτων ἐντελῶς, νῦν δὲ καὶ ἐκ ποιητῶν ἔχειν λόγων καὶ πραγμάτων ἐκ περιουσίας τὰς ὑποστατικὰς ἑαυτῆς ὑπογραφάς.

CAP. XL.

Si non solum ad Verbum Dei, sed etiam ad carnem pertinet non esse generatum ex altera substantia et persona, quam Patris, erit caro ex sola substantia Patris, æque ac Verbum. Hoc vere proprium est ipsius Verbi, carne nondum assumpta in incarnatione, et character est proprius personæ illius simplicis et unius personæ; cum autem novam acceptionem habuit nomen naturale illius, tunc fuit proprius rerum in persona congenitarum; unam partem designat proprie, non totam personam quæ hodie gaudet hoc nomine. Eodem modo solius animæ est indicium intellectus et scientiæ, non ideo autem illam trans humanitatem collocat; solius gustus est succos apprehendere, sed ex eo non habet personam propriam.

ΚΕΦΑΛ. Μ'.

Εἰ οὐκ ἔστιν ἰδικῶς τοῦ Θεοῦ Λόγου τὸ μὴ εἶναι γεννηθέντα ἐξ ἑτέρας οὐσίας ἢ ὑποστάσεως πλὴν τῆς τοῦ Πατρὸς, ἀλλὰ καὶ τῆς σαρκὸς, ἔσται ἄρα καὶ ἡ σὰρξ ἐκ τῆς οὐσίας μόνης τοῦ Πατρὸς, καθάπερ καὶ ὁ Θεὸς Λόγος. Ἔστι μὲν οὖν αὐτοῦ ἰδικῶς τόδε τοῦ Λόγου ἴδιον, ἀλλ' οὔπω μὲν σάρκα προσλαβομένου D καθ' ἕνωσιν, ὡς ὑποστάσεως αὐτοῦ χαρακτηριστικὸν ἴδιον τῆς ἁπλῆς καὶ μονοφυοῦς ὁρᾶται· συνθέτου δὲ γενομένου τοῦ φυσικοῦ αὐτῆς λόγου, οὐχ ὡς τῆς ὅλως ὑποστάσεως κατὰ τὸν φυσικὸν αὐτῆς λόγον ἴδιον νῦν, ἀλλ' ὡς μέρους ἑνὸς ὄν, ἴδιον τῶν ἐν τῇ ὑποστάσει συμπεφυκότων πραγμάτων νοηθήσεται· οὕτω γοῦν καὶ ψυχῆς μόνον ἐστὶ, τὸ νοῦ καὶ ἐπιστήμης δεικτικόν· καὶ οὐ παρὰ τόδε ἰδίᾳ παρὰ τὸν ὅρον τοῦ ἀνθρώπου εἶναι αὐτὴν παρίστησιν· ἀλλὰ καὶ γεύσεως ἴδιον μόνης, τὸ τῶν χυμῶν ἀντιληπτικόν· καὶ οὐκ ἐκ τοῦδε, ἰδικὴ ταύτης ἐστὶν ὑπόστασις.

CAP. XLI.

Quando divinæ Scripturæ Christum vocant unum hominem, si illum cum Deo intelligunt hoc nomine, videtur quod Deus sit media pars hominis. Et

ΚΕΦΑΛ. ΜΑ'.

Εἰ ὅταν ἡ θεία Γραφὴ τὸν Χριστὸν ἕνα καλῇ ἄνθρωπον, μετὰ τοῦ Θεοῦ καλεῖ αὐτὸν ἕνα ἄνθρωπον, δῆλον ὅτι ἥμισυ τοῦ ἑνὸς ἀνθρώπου ἐστὶν ὁ Θεός. Καὶ

ὅτε οὖν λέγει σάρκα τὸν ἄνθρωπον, ὡς ἐν τῷ, « Πρὸς σὲ πᾶσα σὰρξ ἥξει, » μετὰ τῆς ψυχῆς καλεῖ αὐτὸν μίαν σάρκα, δῆλον ὅτι ἥμισυ τῆς μιᾶς σαρκός ἐστιν ἡ ψυχή.

A quando homo caro dicitur, sicut hoc loco : « Ad te omnis caro veniet », ille cum anima caro dicitur, nec tamen habetur anima pars media carnis.

ΚΕΦΑΛ. ΜΒ'.

Ὁ ὁμολογῶν τὸν Χριστὸν ὁμοῦ Θεὸν καὶ ἄνθρωπον, καὶ μὴ λέγων τὸν Χριστὸν ὁμοῦ ἕτερον, τὴν ἰδίαν ἀναιρεῖ ὁμολογίαν. Καὶ πῶς δυνατὸν τὸ αὐτὸ ὅλον Χριστοῦ, ἕτερον καὶ ἕτερον ὅλον ἑνὸς Χριστοῦ νοεῖν; ἄρα οὖν ἐκ μέρους καὶ πρὸς μέρος αὐτοῦ ἐστιν ἕτερος καὶ ἕτερος ὁ εἷς Χριστός.

CAP. XLII.

Qui confitetur Christum simul Deum et hominem, nec dicit simul Christum et alterum, non sibi consentit. Sed nunquid possibile est in toto Christo duos reperiri Christos completos? Cum loquimur de uno Christo altero et altero, a parte in partem transimus.

ΚΕΦΑΛ. ΜΓ'.

Φασὶν ἔτι ὅτι εἰ γέγονεν ἄνθρωπος ὁ Λόγος, δῆλον ὅτι τις ἄνθρωπος· οὐκ ἔστι γὰρ ἄνθρωπος, μὴ ὤν τις ἄνθρωπος· ὁ δέ τις ἄνθρωπος, ἀνθρώπου ὑπόστασις· ἢ οὖν δύο ὑποστάσεις Χριστοῦ, ἢ ἡ τοῦ Λόγου ἐξέλιπεν. Ἀλλ' ἔνθεος ἐκ πρώτης ὑπάρξεως οὗτος ὁ τὶς ἄνθρωπος Χριστὸς τὴν ὑπόστασίν ἐστιν· ὅπερ ἴσον τῷ Θεὸς εἰπεῖν ἐνανθρωπήσας τὴν ὑπόστασιν, διὰ τῆς πρὸς τὴν θείαν οὐσίαν ἑνώσεως τῆς ἀνθρωπίνης οὐσίας.

CAP. XLIII.

Si Verbum homo factum est, profecto aliquis B homo est (homo enim non est, qui non est aliquis homo); aliquis homo est persona; igitur vel duæ sunt Christi personæ, vel deficit Verbi persona. Iste aliquis homo, Christus, divinus est persona, a primo instanti exsistentiæ, quod idem est ac si dicas: Deus personaliter homo factus est, juncta divinæ substantiæ humana substantia.

ΚΕΦΑΛ. ΜΔ'.

Φασὶ πάλιν ὅτι εἰ ἔμεινεν ὁ Θεὸς Λόγος ὃ ἦν, καὶ γέγονεν ὃ οὐκ ἦν, δῆλον ὅτι ἔμεινεν ἄσαρκος τὴν οὐσίαν ὃ καὶ ἦν. Καὶ γάρ ἐστιν ὄντως ἄσαρκος τὴν οὐσίαν· ἀλλ' οὐχὶ τοῦτο καὶ τῆς ὑποστάσεως αὐτοῦ νῦν οἰκεῖον κατηγόρημα, ὥσπερ καὶ ἡ ψυχή, ζῶντος ἐπὶ γῆς ἔτι Βασιλείου, ἄσαρκος μὲν τὴν οὐσίαν, σεσαρκωμένη δέ ἐστι τὴν ὑπόστασιν.

CAP. XLIV.

Dicunt etiam, quod si Verbum Dei manet quod erat, et quod non erat factum est, ideo incorporeæ substantiæ remansit quod erat antea. Etiam, est incorporeæ substantiæ, nunc autem illud prædicatum non est proprium personæ ejus; sicut, vivente C in terris Basilio, anima incorporea quidem est substantia, sed corporea ob personam.

ΚΕΦΑΛ. ΜΕ'.

Ἡ σὰρξ εἰ μή ἐστι τινὸς ἀνθρώπου, φύσει παρὰ τὸν Θεὸν Λόγον ἑτέρου ὄντος, ἀλλὰ τοῦ Θεοῦ, δῆλον ὅτι ὁ τῆς σαρκὸς Δημιουργὸς καὶ Θεὸς, τοῦ Θεοῦ Λόγου ἐστὶ δημιουργὸς καὶ Θεός. Ἀλλ' ἔστιν ἑτέρας μὲν φύσεως, προσώπου δὲ οὐχί· ἀλλ' αὐτοῦ ἰδιοποιησαμένου αὐτὴν τοῦ Λόγου προσλήψει τῇ εἰς τὴν ἰδίαν αὐτοῦ ὑπόστασιν.

CAP. XLV.

Nisi caro sit alicujus hominis qui natura non est Verbum Dei, si sit Dei, certum est carnis Creatorem et Deum esse Verbi Dei creatorem et Deum. Est quidem alterius naturæ, sed non personæ, quam naturam sibi propriam fecit Verbum, cum illam assumpsit in propria persona.

ΚΕΦΑΛ. ΜϚ'.

Ὁ σάρκα μὲν ἔχων καὶ ψυχὴν λογικὴν, ἄνθρωπον δὲ μὴ ἔχων, ἀνθρωπός ἐστιν μόνος· ὁ δὲ ἔχων σάρκα καὶ ψυχὴν, ἔχων δὲ καὶ τὸν ἄνθρωπον, ἕτερός ἐστι παρὰ τὸν ἄνθρωπον· καὶ ὁ Θεὸς οὖν Λόγος, εἰ σάρκα ἔχει ἐψυχωμένην ψυχῇ λογικῇ, ἐξ ἀνάγκης ἔχει καὶ τὸν ἄνθρωπον. Εἰ οὖν ὁ σάρκα τε ἀλλὰ καὶ ψυχὴν ἔχων, ἄνθρωπον δὲ μὴ ἔχων, ἄνθρωπός ἐστιν, ὡς φῄς, τῇ ὑποστάσει τῇ μιᾷ εἷς· καὶ ὁ Θεὸς Λόγος ἄρα τὸν ἄνθρωπον ἔχων, σάρκα τε καὶ ψυχὴν ἔχει· ἐξ ἀνάγκης οὖν πρὸς τῇ θεότητι ὁ ἄνθρωπος εἷς ἐστι τῇ ὑποστάσει καὶ κατὰ σὲ, εἴπερ καὶ ψυχὴ πρὸς τῷ σώματι, ὡς εἶπας.

CAP. XLVI.

Qui carnem habet et animam rationabilem, hominem autem non habet, homo est solus; qui autem habet carnem et animam, habet quoque hominem, alius est juxta hominem. Et Deus igitur Verbum, D si carnem habet animatam rationabili anima, ex necessitate habet etiam hominem : si igitur qui carnem et animam habet, hominem vero non habet, homo est, ut dicis, in subsistentia una unus; et Deus Verbum hominem habens carnem et animam habet, ex necessitate ergo præter divinitatem homo unus est in subsistentia, et secundum te, siquidem et anima est præter corpus, ut dixisti.

ΚΕΦΑΛ. ΜΖ'.

Εἰ ἓν ἄτομον, φησὶ, ἔστιν ὁ Χριστὸς μόνον, ἢ μονοειδές τι, ἢ τῶν ὑπὸ εἶδος πάντως (ἄλλως γὰρ οὐκ ἔνι), ἢ οὖν τί ἐστι αὐτοῦ τὸ εἶδος, ἢ ὑπὸ ποῖον εἶδός ἐστι, λέγετε. Ἐπεὶ οὖν οὕτως ἐπωρώθη τὰ νοήματα τῶν ἀπίστων, ὡς ἀγχόθεν σφαδάζοντας μὴ διαυγά-

CAP. XLVII.

Si vero indivisibile quiddam, ait, Christus est tantum, aut unius speciei, aut ex his quæ sub specie sunt generaliter, aliter enim esse non potest; vel igitur quæ sit ejus species, vel sub qua specie sit, dicite. Cum ergo sic obdurentur incredulorum

mentes, ut prope versati non perspiciant Evangelii verba, dicendum nobis ad illos, quod omne indivisibile, quod aut unius speciei est aut sub specie unum quid ordinatur tantum, nullam habet extraneam magis circa omnia entia naturarum unionem in seipso. Si igitur istud indivisibile, Christi scilicet personam, reipsa commune aliquid et unum, plurium nostis unionem naturarum in illa extraneam non intelligentes, bene collegistis. Si vero circa omnia entia factam esse in Dei et hominum mediatore unionem naturarum et vos fatemini, statim illud quod concessistis, rursus ipsi tollitis, cum secundum quoddam illorum, quæ in universo sunt indivisibilium, et illud esse agnoscitis. Aliter nos vobis illegitimam conclusionem in Christo statuemus, dicentes, omni cogitato inaccessum et ratiocinationibus indemonstrabile Verbum esse. Communibus enim intellectibus impervium prodigium, et supra naturalia positum, inintelligibile est. Ex necessitate ergo vel ejusdem formæ atque omnes et illud indivisibile esse concedetis, et quæ in omnibus viget et in illo rationem quæretis, vel absimilium rationi demum et illud quoque non subjicietis; et hæc ita quidem. Cæterum autem nihilominus, indivisibilia a vobis ostendenda sunt quæ neque unius simpliciter sint speciei, neque sub una tantum specie, sed sub diversas species inducantur. Etenim phasianarum avium et talium indivisibile singulare, neque unius speciei dici potest, neque sub una specie; neque mundis neque immundis speciebus annumeratum est usquam. Et alio modo : Omnis species in se neque in aliis speciebus subsistit; ideo si secundum subsistentiam aufertur phasianæ avis species, simul et aufertur compositum; patet igitur, indivisibilia esse magis extranea, unum et plura similia, cum species naturalis extranea magis in illis non subsistat. In his autem virgæ Mosaicæ in serpentem conversæ, quid indivisibile fuisse dixeritis, audiemus. Siquidem enim unius speciei, qualis fuit illa unius virgæ species, quæ neque virga, neque serpens statui potest? Si vero sub una tantum specie, qualis est illa? Quam enim solam dixeritis, alteram disperdidisse convincimini. Ergo, non mosaicæ virgæ par vobis Verbi incarnationis prodigium videtur, sed hæc extraneam magis fuisse statuendum est, illam vero minime. O impietatem!

CAP. XLVIII.

Si ipse, inquiunt, seipsum suscitans est Christus e mortuis, et suscitatus, oportet illum dicere : « Solvite templum istud, et in tribus diebus reædificabo[20]? » Quid ergo non contrarium cernentes, unoculi pietatem perfectam prætenditis? si enim alius solutum reædificat, quod ex parte erat, corpore scilicet suo, qui istos alloquebatur, oportebat dicere, Solvite templum istud (id est corpus ejus evidenter), et in tribus diebus restaurabit illud,

A ξειν τοὺς λόγους τοῦ Εὐαγγελίου, λεκτέον καὶ ἡμῖν πρὸς αὐτούς, ὡς πᾶν ἄτομον, ὅπερ ἢ μονοειδές ἐστιν ἢ ὑπὸ εἶδος ἕν τι τέτακται μόνον, οὐδεμίαν ἔχει καινοτέραν παρὰ πάντα τὰ ὄντα φύσεων ἕνωσιν ἐν ἑαυτῷ· εἰ οὖν καὶ τόδε τὸ ἄτομον, Χριστοῦ ἤγουν πρόσωπον, ὄντως κοινόν τι καὶ ἓν τῶν πολλῶν ἴστε ἕνωσιν φύσεων ἐν αὐτῷ καινοτέραν οὐκ εἰδότες, καλῶς συνελογίσασθε· εἰ δὲ παρὰ πάντα τὰ ὄντα γενέσθαι ἐν τῷ Μεσίτῃ Θεοῦ καὶ ἀνθρώπων ἕνωσιν φύσεων καὶ ὑμεῖς ὡμολογήσατε, αὐτόθεν τοῦτο ὅπερ δεδώκατε, πάλιν ἑαυτοὺς ἀναιρεῖτε, κατά τι τῶν ἐν τῷ παντὶ ἀτόμων, καὶ τοῦτο γινώσκοντες εἶναι. Ἄλλως γοῦν ἡμεῖς ὑμῖν τὸ ἀσυλλόγιστον μᾶλλον ἐπὶ Χριστοῦ συλλογισόμεθα λέγοντες, ὡς παντὸς παραδόξου ἀπρόσιτός τε καὶ συλλογισμοῖς ἀναπόδεικτος ὁ Λόγος.
B Κοινῶν γὰρ ἐννοιῶν ἄπορον τὸ σπάνιον καὶ φυσικοῖς τὸ ὑπερφυὲς, ἀπερίληπτον. Ἐξ ἀνάγκης οὖν ἢ ὁμοιότροπον πᾶσι καὶ τόδε ἄτομον δώσετε, καὶ τὸν ἐν πᾶσι λόγον καὶ ἐπ' αὐτῷ ἐκζητήσετε, ἢ παρὰ πάντα τὰ ὄντα ἄτομα τοῦτο συγκεχροτῆσθαι φυσικῶς ἐπινεύσαντες, τῷ τῶν ἀνομοίων λόγῳ λοιπὸν καὶ τόδε οὐχ ὑποβαλεῖτε. Καὶ οὕτως μὲν τάδε. Ἐκ περιουσίας δὲ ὅμως, καὶ ἄτομα ἔστιν ὑμῖν δεῖξαι ἃ οὔτε μονοειδῆ ἐστιν ἁπλῶς οὔτε ὑπὸ ἓν μόνον εἶδος, ἀλλ' ὑπὸ διάφορα εἴδη ἀνάγεται. Τῶν γὰρ ὀρνιθοφασιανῶν καὶ τοιῶνδε τὸ καθέκαστα ἄτομον, οὔτε μονοειδές τι ἔστιν εἰπεῖν, οὔτε ὑπὸ ἕν τι εἶδος· οὔτε γὰρ τοῖς καθαροῖς, οὔτε τοῖς ἀκαθάρτοις εἴδεσιν ἐντέτακταί πη· καὶ ἄλλως· Πᾶν εἶδος ἐν ἑαυτῷ καὶ οὐκ
C ἐν ἑτέροις εἴδεσιν ὑφέστηκεν· τούτῳ δὲ καθ' ὑπόστασιν ἀναιρεθέντος τοῦ φασιανικοῦ ὀρνιθίου εἴδους, συναναιρεῖται καὶ ἡ σύστασις· ἔστιν ἄρα σαφῶς, ἄτομα μὲν εἶναι καινότερα, ἕν τε καὶ πλείονα ὅμοια, εἴδους φυσικοῦ καινοτέρου ἐν αὐτοῖς μὴ συνισταμένου· ἐπὶ τούτοις δὲ καὶ τῆς δρακοντουμένης ῥάβδου Μωσαϊκῆς, τί φατε τὸ ἄτομον, ἀκουσόμεθα· εἰ μὲν γὰρ μονοειδές τε, καὶ ποῖον τόδε τὸ κατ' αὐτὴν μόνην εἶδος, ὃ μήτε ῥάβδος, μήτε δράκων ὁρίζοιτο; εἰ δὲ ὑπὸ εἶδος ἓν μόνον, ποῖον τοῦτο; ὃ γὰρ ἂν εἴποιτε μόνον, τὸ ἕτερον ἐλέγχεσθε παραβλάψαντες· ἄρα οὖν οὐδὲ τῆς Μωσαϊκῆς ῥάβδου ἴσον ὑμῖν τὸ τῆς τοῦ Λόγου σαρκώσεως θαῦμα δοκεῖ, ἀλλ' ἔστι ταύτην μὲν ὡς καινοτέραν συλλογίζεσθαι, ἐκείνην δὲ οὐχί· φεῦ τῆς ἀσεβείας!

D

ΚΕΦΑΛ. ΜΗ'.

Εἰ αὐτὸς, φασὶν, ὁ ἑαυτὸν ἐγείρας Χριστὸς ἐκ νεκρῶν, καὶ ἐγερθεὶς, ἔδει αὐτὸν εἰπεῖν· « Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν ἡμέραις τρισὶν ἐγερθήσομαι; » Τί δὲ οὖν μὴ καὶ τοὐναντίον σκοποῦντες ἡμίγληνοι τὴν εὐσέβειαν ἐντελῶς καταυγάζεσθε; εἰ γὰρ ἕτερος ἀνιστᾷ τὸν λυόμενον, ὃς ἦν ἀπὸ μέρους, ἤγουν τοῦ σώματος αὐτοῦ, ὁ προσδιαλεγόμενος αὐτοῖς, ἔδει εἰπεῖν, Λύσατε τὸν ναὸν τοῦτον, ἤγουν τὸ σῶμα αὐτοῦ δεικτικῶς, καὶ ἐν τρισὶν ἡμέραις ἐγερεῖ αὐτὸν, ἢ ὁ

[20] Joan. II, 19.

Θεὸς, ἢ ἕτερος ἁπλῶς, οὐ μὴν ἐγὼ ὁ διαλεγόμενος ὑμῖν, ὃς ἦν σαφῶς καὶ ψυχὴ καὶ σῶμα· δῆλον ἄρα ὡς τὸ αὐτὸ πρόσωπον τὸ διὰ τῆς ἀντωνυμίας σημαινόμενον τῆς ἐγὼ, τό τε λυόμενον σῶμα, καὶ τὴν διαλεγομένην ψυχὴν διὰ σώματος, καὶ τὸν ἐγείραντα Θεὸν τὸ λυθὲν, περιέχει.

A vel Deus, vel alius quivis, non ego certe qui vos alloquor, quem patet esse corpus et animam. Evidens igitur est quod eadem persona per hanc appellationem *ego* significata, solutum corpus, animamque per corpus loquentem, et suscitantem Deum quod solutum erat, complectitur.

ΚΕΦΑΛ. ΜΘ'.

« Ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς Θεότητος σωματικῶς, » δηλονότι ἐν τῷ προονομασθέντι Χριστῷ, εἴρηται τῷ Ἀποστόλῳ. Πῶς οὖν οὐχ ἕτερον φύσει τὸ πλήρωμα τῆς Θεότητος, παρὰ Χριστὸν, εἴπερ ἕτερον τὸ ἔν τινι τοῦ ἐν ᾧ ἐστι, καὶ τὸ κατοικοῦν πρὸς τὸ κατοικούμενον; Τοιοῦτον γοῦν ἐστι καὶ τὸ, Θεὸς ἦν ἐν Χριστῷ. Ἆρα οὖν ἐπεὶ εἴρηται, Πρὸς φθόνον ἐπιποθεῖ τὸ πνεῦμα, ὃ κατῴκησεν ἐν ἡμῖν, ἕτερον ἡμεῖς καὶ ἕτερον τὸ κατοικοῦν ἐν ἡμῖν πνεῦμα, εἴτουν ἡ ψυχὴ ἡμῶν· καὶ ὅταν λέγῃ· Ἔα δὲ τοὺς κατοικοῦντας οἰκίαις πηλίναις, ἐξ ὧν καὶ αὐτοὶ ἐκ τοῦ αὐτοῦ πηλοῦ ἐσμεν· ἡμεῖς οὖν ἕτερος πηλὸς, καὶ ἄλλη ἡ οἰκία ἡ πηλίνη, ἢ δῆλον, ὡς τὰ τοιάδε, ἔν τινι ὡς μέρος ἐν τῷ ἰδίῳ ὅλῳ λέγεται; Ἐν Χριστῷ οὖν τῷ ἑνὶ συντετελεσμένῳ προσώπῳ, ὡς μέρος ἐστὶν αὐτοῦ τῆς ὑποστάσεως ἡ Θεότης, ἐν αὐτῷ νοουμένη μετὰ τὴν σάρκωσιν ἑαυτῆς· ὡς δὲ κατοικοῦν ἐν κατοικουμένῳ· διότι γε τελεία καὶ ὁλόκληρός ἐστι φύσις τοῦτο τὸ ὡς μέρος πρόσωπον θεωρούμενον ἐν αὐτῷ καὶ ἑτεροούσιον πρὸς τὸ κατοικούμενον αὐτοῦ μέρος ὑπ' αὐτῆς· τοιόσδε γὰρ ὁ τῶν οἴκων καὶ οἰκούντων λόγος. Τὸ δὲ σωματικῶς εἶναι τὴν κατοίκησιν τῆς Θεότητος ἐν Χριστῷ, ἤγουν ἐν τῇ σαρκὶ αὐτοῦ, μέρους αὐτοῦ οὔσης, καὶ τῇ τοῦ ὅλου προσηγορίᾳ κατονομασθείσης νῦν· οὐ τὸ μὴ κατὰ περιγραφὴν τοπικήν· ὡς ἑτέρας περιεχομένης εἶναι τὴν κατοίκησιν δυνάμεων τῆς κατοικούσης φύσεως εἰς τὴν κατοικουμένην· οὕτω γὰρ καὶ μόνον πέφυκε κατοικεῖν εἰς σώματα τὰ ἀσώματα· καὶ αὕτη ἐστὶν ἡ σωματικὴ κατοικία τῶν ἀσωμάτων· οὐ κατὰ περίληψιν συγκλειομένων τῶν ἀσχηματίστων εἰς τὰ ἐσχηματισμένα, ἀλλ' εἰσδύσει τῶν οἰκείων δυνάμεων τὸ φύσει ἀδύναμον πρὸς ἐνέργειαν δυναμούντων· καὶ οὕτω μίαν ὑπόστασιν τῇ τῶν φύσεων κοινωνίᾳ ἀποτελούντων.

CAP. XLIX.

« Quia in ipso inhabitat omnis plenitudo Divinitatis corporaliter [21], » evidenter in præappellato Christo, dictum est ab Apostolo. Quomodo igitur non alia natura est plenitudo Divinitatis, apud Christum, si aliud in aliquo est ac quod in isto est, et inhabitans ad inhabitatum? Tale nempe est et, Deus erat in Christo. Igitur, quando dictum est, ad B invidiam incitat Spiritus qui inhabitavit in nobis, aliud nos et aliud inhabitans in nobis spiritus est, id est anima nostra : et cum dicitur : « Linque autem inhabitantes domibus luteis, e quibus et ipsi ex eodem luto sumus ; » nos igitur aliud lutum, et aliud domus lutea, aut patet hæc talia in aliquo ut partem in particulari toto dici? In Christo ergo, una completa persona, ut pars est illius subsistentiæ Divinitas, in illo intellecta post suam incarnationem, ut inhabitans in inhabitato. Quamobrem perfecta et completa est natura illa, ut pars est, persona in ipso visibilis et alterius substantiæ ac pars illius inhabitata ab illa; talis enim est habitationum et habitantium ratio. Corporaliter autem C inhabitare Divinitatem in Christo, puta in illius carne, quæ illius pars est, et totius appellatione nunc nominata est, non per localem fit circumscriptionem, ita ut alia circumdata sit inhabitatio facultatum inhabitantis naturæ, in inhabitata : sic enim contingit in corporibus inhabitare incorporalia; et illa est corporalis inhabitatio incorporalium; non per inclusionem insidentibus his quæ formam non habent in illis quæ habent, sed per insinuationem propriarum facultatum quod natura debile est robore instaurantium, et ita unam subsistentiam in naturarum communitate perficientium.

[21] Coloss. II 9.

ΛΟΓΟΣ Γ'.

Τρίτης ἀσεβείας αὐτῶν ἔλεγχος δύο υἱοὺς εἰδέναι κατὰ τὴν οἰκονομίαν βουλομένων.

—

LIBER III.

Tertiæ impietatis argumentum eorum qui duos esse apud incarnationem filios videre volunt.

—

CAPUT PRIMUM.

Si Deum Verbum semifilium, inquiunt, et incompletum ut sit Filius non existimetis, et adhuc carnem quam ex nobis vivam assumpsit inexpletam ut sit ipsa Filius non putetis, quomodo dicitis tantum unum Filium per compositionem ex istis duobus perfici? Illud enim quasi deficit, quippe utrumque ad hoc conferat ut sit Filius; et ita Verbum carne compleatur ut sit Filius, et Verbum ea re carne compleat; ideo Verbo carne, et carni Verbo ad id opus esse, similiter exponitis: pars enim a parte, ut pars, nihil differt: igitur quæ sibi æqualiter mutuum manifeste ipsa eademque re præstant opus, vobis pari honore sunt habenda.

Sed Verbum esse incompletum ut sit Filius Dei solum non existimamus: absit! neque carnem ut sit filius hominis solum: sed ut quod est divinum, juxta propriam apparentiam, hominis filius æstimetur, et quod est humanum Filius Dei videatur, asserimus, utrumque essevere incompletum et utrique necessariam esse inenarrabilem in naturis unionem, ne quis in unam eamdemque personam duabus convenientibus naturis, cujus sunt filiationes, alteram filiationem perfectam videre, quin et alteram conspiciat naturam, et tanquam duos filios subjacentes, sed unum in duabus naturis et filiationibus Christum contemplari valeat. Illud enim unionis inenarrabile munus realiter exsistit: siquidem non nomine tantum ipsam divinæ et humanæ naturæ unionem esse dicimus. Si enim vere quædam conjuncta sint immutabiliter et integre, omnia quæ de unoquoque affirmata, et de utriusque composito affirmantur. Cum igitur Filius Dei et filius hominis, licet non per eos subsistat unio, sint conjuncti, et totum ex unione profluens est Filius Dei et filius hominis: et cum Verbum et caro in unum conveniant, idem est unus Deus perfectus et perfectus homo: non enim aliquid ideo est perfectum, ex eo quod non recipiat ullam secundum aliquid aliud perfectionem. Certe perfectus erat sub ratione physica hominis legisperitus (de quo narrat Evangelium), et pariter discebat adhuc spiritualem doctrinæ Christi perfectionem quæ docet: « Si vis perfectus fieri, vende quæ habes et da pauperibus, et tolle crucem tuam,

A

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

Εἰ μὴ τὸν Θεὸν Λόγον ἡμιυιὸν ἴστε, φασὶ, καὶ ἀτελῆ πρὸς τὸ εἶναι Υἱὸν, ἔτι δὲ καὶ τὴν ἐξ ἡμῶν ἔμψυχον σάρκα εἰ μὴ πρὸς τὸ εἶναι Υἱὸν ἀπλήρωτον νομίζετε, πῶς κατὰ σύνθεσιν ἐξ ἀμφοῖν τῶνδε ἕνα Υἱὸν ἀποτελεῖσθαί φατε μόνον; τοῦτο γὰρ ὡς ἐλλιπὲς, ὄντος ἑκατέρου πρὸς τὸ εἶναι Υἱὸν, ὁρᾶται· καὶ ὡς τελειωθέντος τοῦ τε Λόγου ὑπὸ τῆς σαρκὸς εἰς τὸ εἶναι Υἱὸν, καὶ τελειώσαντος καὶ αὐτοῦ ταύτην εἰς τόδε· διὸ καὶ δεόμενον αὐτῆς πρὸς τόδε, καὶ δεομένην αὐτοῦ εἰς τοῦτο, ὁμοίως παριστάνετε· μέρος γὰρ μέρους, καθὸ μέρος, οὐδὲν διαφέρει· οὐκοῦν καὶ ὁμότιμά ἐστιν ὑμῖν τάδε, τὰ ἐπίσης ἀλλήλων πρὸς τὸ αὐτὸ δεόμενα σαφῶς.

Ἀλλ' οὐκ ἀτελῆ πρὸς τὸ εἶναι Υἱὸν Θεοῦ μόνον B ἴσμεν τὸν Λόγον· μὴ γένοιτο! Ἀλλ' οὐδὲ τὴν σάρκα ὦ οὗτοι, πρὸς τὸ εἶναι υἱὸν ἀνθρώπου μόνον· εἰς μέντοι τὸ καὶ τὸ θεῖον κατὰ τὴν οἰκείαν εὐδοκίαν ἀνθρώπου υἱὸν δοξασθῆναι, καὶ τὸ ἀνθρώπινον Υἱὸν Θεοῦ φανῆναι, ἄμφω ὄντω; φαμὲν ἐλλιπῆ εἶναι, καὶ δεῖσθαι τῆς ἀφράστου ἀλλήλων κατὰ τὰς φύσεις ἑνώσεως· ἵνα ἐν ἑνὶ καὶ τῷ αὐτῷ προσώπῳ ἀμφοῖν τῶν φύσεων συνελθουσῶν, ὧν εἰσιν αἱ υἱότητες, μὴ ἔχοι τις θατέραν τελείαν υἱότητα, ἄνευ τῆς συνθεωρίας τῆς ἑτέρας φύσεως εἰδέναι· ὡς καὶ δύο υἱοὺς ἐκ τοῦδε ὁρᾷν ὑποκειμένους, ἀλλ' ἕνα τὸν ἐν δύο φύσεσι καὶ υἱότησι Χριστόν· τοῦτο γὰρ τὸ τῆς ἑνώσεως ἄφραστον δώρημα πραγματωδῶς ἐστιν· εἴπερ μὴ ὀνόματι μόνον αὐτὴν λέγομεν εἶναι θείας τε καὶ ἀνθρωπίνης φύσεως. C Εἰ γὰρ ὄντως ἡνώθη τινὰ ἀτρέπτως καὶ ἀμειώτως, πάντα τὰ τούτων ἑκατέρῳ καταφασκόμενα, καὶ τοῦ συνθέτου ἑνὸς ἀποτελέσματος αὐτῶν καταφάσκεται· ἐπεὶ οὖν Υἱὸς Θεοῦ, καὶ υἱὸς ἀνθρώπου, εἰ καὶ μὴ προϋποστὰς τῆς ἑνώσεώς ἐστι τὰ ἑνωθέντα, καὶ τὸ ἐκ τῆς ἑνώσεως ὅλον, Υἱὸς Θεοῦ καὶ υἱὸς ἀνθρώπου· καὶ ἐπεὶ Λόγος καὶ σὰρξ τὰ συνελθόντα εἰς ἕν, ὁ αὐτὸς εἷς Θεὸς τέλειος, καὶ ἄνθρωπος τέλειος· οὐχ ὅτι γάρ ἐστί τι τέλειον, κατὰ τόδε τὴν μὴ ἐπιδέχεσθαι αὐτὸ καὶ τὴν κατ' ἄλλο τι τελειότητα, ἀνάγκη· καὶ γὰρ τέλειος ἦν τῷ φυσικῷ τοῦ ἀνθρώπου λόγῳ ὁ νομικὸς, καὶ ὅμως ἔτι ἐδιδάσκετο, τὴν τῆς Χριστοῦ διδασκαλίας τελειότητα πνευματικὴν λέγοντος, ὅτι « Εἰ θέλεις τέλειος γενέσθαι, πώλησόν σου πάντα τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ ἆρον τὸν σταυρόν σου, καὶ δεῦρο ἀκολούθει μοι. » Ἐπ

A μὴν Νικόδημος τέλειός τε ἦν υἱὸς κατὰ σάρκα καὶ ἐκ πολλοῦ γεγεννημένος ἄνθρωπος· πρὸς δὲ τὸ εἶναι οὐχ ἁπλῶς ἀλλὰ πνευματικὸς ἄνθρωπος, τῆς διὰ τοῦ Πνεύματος ἐδεῖτο ἀναγεννήσεως καὶ τελειότητος· Οὕτω γοῦν καὶ ὁ Λόγος, εἰς τὸ εἶναι Υἱὸς Θεοῦ καὶ Θεὸς, τελείως εἶχεν ἀεί· πρὸς δὲ τὸ ἐκπληρῶσαι τὴν ἰδίαν εὐδοκίαν ἐν οἰκείοις τοῖς ὑστέροις καιροῖς, καθ' ἣν οὐχ ἁρπαγμὸν ἡγούμενος τὸ εἶναι ἴσα Θεῷ, μορφὴν δούλου λαβεῖν πρὸ αἰώνων ὤδινε καὶ προώρισεν ἑαυτῷ· καὶ πρὶν ποιῆσαι τὰ πάντα, τὴν ἐν Χριστῷ πάντων ἀνακεφαλαίωσιν καὶ θέωσιν ἐν ἑαυτῷ τῶν οὐ θείων φύσεων, ᾗ φησιν ὁ Ἀπόστολος, ἐλλιπῶς εἶχεν ἔτι πρὸς φανέρωσιν τοῦ προορισθέντος αὐτῷ κεκρυμμένου μυστηρίου τῆς ἰδίας ἐνανθρωπήσεως. Οὐδεμία οὖν ἐντεῦθεν κατηγορία ἐστὶν ἀτελείας, B κατ' ἰδίαν νοουμένης υἱότητος ἑκατέρας φύσεως· ἀλλὰ χρεία μόνον πρὸς συμπλήρωσιν τῆς κατ' εὐδοκίαν Θεοῦ πρὸς ἀνθρώπους ἑνώσεως ἑκατέρᾳ φύσει τῆς ἑτέρας εἰς ἀποτέλεσμα τοῦ εἶναι ἐκ τῶν πεφυκότων διακεκριμένως ἐν διαφόροις ὑποστάσεσιν ὁρᾶσθαι φύσεων καὶ υἱοτήτων τελείων, καθ' ἓν τὸ αὐτοῦ πρόσωπον γενέσθαι συνέλευσιν· καὶ τάδε μὲν οὕτως. Εἰ οὖν διότι ἄμφω μέρη λέγεται ὡς πρὸς τὸ ὅλον τέλος, τουτέστι Χριστὸν, διὰ τόδε ἀτελῆ τε ἁπλῶς καὶ ἰσότιμα μέρη τάδε φατὲ, ἄρα γε ἐπεὶ καὶ πρὸς τὸ ὅλον τέλος τοῦ ὁπλίτην ἑαυτὸν ἐμφανίσαι τῷ στρατῷ τὸν στρατηγὸν, μέρος τε αὐτός ἐστι, καὶ τὸ ὅπλον αὐτοῦ, ὁμοίως ἀτελῆ ἄμφω ἐστίν· καὶ ὁ μὲν οὐδ' εἰς ἀνθρώπους, τὸ δὲ εἰς τὸ ὅπλον εἶναι οὐ λογισθήσεται· οὐ διοίσουσί τε ἀλλήλων, ἐπεὶ μέρος C μέρους οὐδὲν διαφέρει ἀληθῶς καθὸ μέρος· καὶ ἁπλῶς ἰσότιμα ἔσται καθ' ὑμᾶς καὶ τάδε, ἀγχινούστατοι. Ἀλλ' ὑπὸ συνειδότος βαλλόμενοι μὴ ἀποχρώντως ἔχειν εἰς ἀπολογίαν τῆς ἑαυτῶν δεισιδαιμονίας τὰς εἰρημένας αὐτοῖς αἰτιολογίας, ἑτέρας πάλιν ἀφορμὰς μεταποιοῦνται, ὡς ἀναγκαίως ἀσεβοῦσι πείθειν ἀποπειρώμενοι· φασὶ γοῦν καὶ τάδε·

ΚΕΦΑΛ. Β'.

Ὁ κυρίως υἱὸς, ὅλος ἐστὶ τοῦ γεννήσαντος υἱός· οὐδὲν γὰρ ἐκ μέρους ὂν ἔκ τινος, λέγεται τοῦδε υἱός· ἀλλ' οὐδὲ πατήρ ἐστιν ὁ μέρους αἴτιος, καὶ οὐ τοῦ ὅλου· ἀμέλει ὅλου τοῦ ἐκ ψυχῆς λογικῆς καὶ σώματος ζώου λεγομένου υἱοῦ ἀνθρώπου· εἰ συμβῇ τούτου τὸ ἓν μέρος χωρὶς θατέρου τῆς μήτρας ἐξελ- D θεῖν, ἐξάμβλωμα καὶ οὐχ υἱὸν ἔθος ἡμῖν ὀνομάζειν, ἔκτρωσίν τε καὶ οὐ γέννησιν ἐπὶ τοῦ τοιούτου. Εἰ οὖν ἐκ μέρους υἱὸν ἀνθρώπου φατὲ τὸν Χριστὸν, δῆλον ὡς οὐδὲ πατρὸς κυρίως οὐδὲ τῆς μητρός· τίνος οὖν ἐστι φύσει υἱὸς, λέγετε ἡμῖν. Τί οὖν, ὦ οὗτοι, ψεύδεται πᾶσα ἡ ἁγία Γραφὴ, πῇ μὲν Υἱὸν Θεοῦ, πῇ δὲ υἱὸν ἀνθρώπου τὸν αὐτὸν ὀνομάζουσα Χριστόν; καὶ τίς τὰ ὑμέτερα ληρῳδήματα τῶν θείων προαποδέξεται ῥημάτων; τί δὲ λέγοιμεν ἐπὶ Χριστοῦ, καὶ ἐπὶ Υἱοῦ; εἰ γὰρ, καθὰ καὶ ὑμεῖς ἐν τοῖς ἰδίοις εἰρήκατε πολλάκις, ἐκ μέρους καὶ τὸν ἄνθρωπον αὐτὸν ὅλον καλεῖ τὰ ἱερὰ Λόγια, ὡς τὸ, Πρὸς σὲ σὰρξ ἥξει· καὶ τὸ, « Ἰακὼβ δὲ εἰσῆλθεν εἰς

et sequere me[1]. Adhuc insuper Nicodemus perfectus erat filius secundum carnem et ex multo tempore factus homo : ut vero esset non simpliciter sed spiritualis homo, necesse erat illum a Spiritu regenerari et perfici. Sic et Verbo, ut esset Filius Dei et Deus, nihil unquam defuit : sed ad explendam propriam apparentiam in proximis temporibus, juxta quam non rapinam arbitratus se esse æqualem Deo formam servi accipere ante sæcula desideravit et se prædestinavit : et antequam faceret omnia, in Christo omnium assumptionem et deificationem in seipso naturarum non divinarum, illi aliquid deerat, ut ait Apostolus [1*], ad manifestationem mysterii absconditi ipsi prædestinati propriæ humanitatis. Nulla inde igitur est ratio imperfectionis, licet filiatio uniuscujusque naturæ seorsum consideretur : sed ut compleretur unio ita ut coram hominibus Deus appareret, unicuique naturæ altera natura opus erat, ut naturæ et filiationes perfectæ, aptæ distincte in diversis hypostasibus videri, componerentur ut in ejusdem personam convenirent : quæ quidem ita. Si igitur duas partes, propterea quod ad finem totum, id est, Christum, vergant, imperfectas simpliciter et pari honore dicitis habendas, idem profecto de duce qui ad finem totum militis in exercitu vergit, dicendum erit : ipse est pars, pars sunt illius arma, æque ambo sunt imperfecta : dux ideo nihil inter homines, arma nihil inter arma computabuntur : dux non differet ab armis, quippe pars a parte quatenus est pars, non vere differat : et simpliciter apud vos pari honore erunt, et hæc sagacissimi asseritis. Sed cum manifeste probatum fuerit vana esse argumenta quæ ad suam superstitionem tuendam allegant, alias sibi vindicant occasiones ut necessitatem suæ impietatis persuasam efficiant. Hæc igitur dicunt.

CAP. II.

Qui est proprie filius, totus est ejus qui eum genuit filius : nulla enim est pars quæ dicatur ejus filius : sed pater nequit esse partis, quin sit totius auctor; sit exemplum totum quod constat ex anima rationali et corpore viventi constat et quod dicitur filius hominis : si acciderit quod una pars istius totius sine altera ex matre exeat, abortivum et non filium nominare solemus, addimusque abortum fuisse, non nativitatem. Si igitur ex parte filium hominis dicitis Christum, manifestum est quod nec patris proprie, nec matris est filius : cujus igitur natura sit filius, nobis ostendite. Quid ergo, o vos, mentitur omnis Scriptura sacra, quæ modo Filium Dei, modo filium hominis eumdem nominat Christum? Et quis vestras nugas divinis anteponet sermonibus? Quid vero dicamus de Christo, et de Filio? Si enim, quemadmodum et vos hunc loquendi modum occasione data usurpastis, ex parte hominem ipsum totum vocant

[1] Matth. xix, 1. [1*] Ephes. i, 9.

sacra Eloquia, sicut in hoc loco, ad te caro veniet; et in isto, Jacob venit in Ægyptum cum domus suæ animabus : ex toto etiam partem solam vocant, ut in hoc loco, hic sepelierant Abraham et Saram conjugem ejus : solum enim corpus Abrahæ hic sepultum est : quomodo ex parte filium alterutrius generantis vocare nunc non sustinetis? Certe quidem, si, ut et ipsi dicebatis, solius corporis sunt auctores nobis carnis patres, et confessum sit manifeste alterum esse ex patre spirituum, secundum Apostolum, quomodo fit ut omnes homines evidenter ex parte filii, ex parte patres non nominentur? Præterea, si ipsius corporis causa e masculo non tota sit, sed femineum etiam aliquid conferat, unum, scilicet, ut aiunt aliqui, solidiora, alterum molliora genito præbeat, quomodo et ipsius partis ex parte venientis auctores, unusquisque speciatim, non viderentur parentes? Quos si vere ex parte patres dicere non liceat, juxta leges a vobis dialecticis sancitas, nec ergo pater aliquis est vere alicujus hominum qui vitam ingressi sunt : non enim carnis solius convenienter aliquis diceretur pater, nec mater, nec filius; igitur omnes fortuito casu sumus, nos qui nascimur : anne vobis manifestius exhiberi potest argumentum?

Quoad exemplum abortivi, quomodo dicitis? Anne, quia est pars simpliciter et imperfectum, non dicitur filius, aut quia nondum vixit? Si quia est imperfectum, et pars simpliciter, quomodo dicuntur filii qui truncati et monstruosi sine manibus et pedibus sæpe et aliis membris nascuntur, cum in tali imperfectione sint? Quid et adhuc de Abraham qui multos ante annos discedens vocatur pater israelitici populi, et de David qui post mortem pater Domini dicitur? Manifeste enim pars ipsius servata nominatur in futurum pater, scilicet anima. Si igitur sola pars vivens filius et pater nominari debeat, quid impedit quin filius ex parte vivens nominetur? Manifestum est igitur quod filius non dicitur, quia vita caret, non autem quia est pars. Insuper archisynagogi neptis, et filius viduæ, et qui mortui sunt ante parentes vivos, si recte vobis videntur in Evangelio filia et filius adhuc vocari propter ipsorum animas viventes : ecce a vobis confessum est partem esse filium et filiam : est igitur apertum quod, quia non vivit primum, neque quia est pars simpliciter, filius non dicitur abortivus. Si enim multa et informia abortivorum corpora anima donarentur, filii fierent et dicerentur : cæterum non illud dicimus, nempe omne partem et filium esse, sed vobis immerito visum fuisse unum filium ex parte nunquam proprie nominari, aut ex parte nunquam esse patrem.

Sed præterea addemus nos affirmare Christum esse non ex parte simpliciter, sed ex toto uniuscujusque Filium, licet sint diversæ partium quæ in ipso sunt filiationes : corporis Christi causa est sancta Virgo quæ aliquid unum istius corporis a

A Αἴγυπτον ἐν οε' ψυχαῖς· » ἀλλὰ καὶ ἐκ τοῦ ὅλου τὸ μέρος μόνον καλεῖ· ὡς τὸ, Ἐκεῖ ἔθαψαν Ἀβραὰμ, καὶ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ· μόνον γὰρ τὸ σῶμα Ἀβραὰμ ἐκεῖ ἐτάφη· πῶς ἐκ μέρους μὴ τολμᾶν καλεῖν υἱὸν θατέρου τῶν φύντων νομοθετεῖτε νῦν; Καίτοι γε, εἰ, ὡς καὶ αὐτοὶ ἔφητε, μόνου τοῦ σώματός εἰσιν αἴτιοι ἡμῖν οἱ τῆς σαρκὸς πατέρες, ἑτέρου σαφῶς ὁμολογουμένου εἶναι τοῦ Πατρὸς τῶν πνευμάτων, κατὰ τὸν Ἀπόστολον, πῶς οὐ πάντες ἄνθρωποι προδήλως ἐκ μέρους τε υἱοὶ, καὶ ἐκ μέρους πατέρες ὀνομάζονται; ἔτι μὴν καὶ αὐτοῦ τοῦ σώματος εἰ μὴ ἐκ τοῦ ἄῤῥενος ἡ πᾶσα αἰτία, ἀλλὰ συνεισάγει τι καὶ τὸ θῆλυ· καὶ ὁ μὲν, ὥς φασί τινες, τὰ στεῤῥότερα, ἡ δὲ τὰ ὑγρότερα ἐνδίδωσι τῷ γινομένῳ, πῶς οὐχὶ καὶ αὐτοῦ τοῦ μέρους ἐκ μέρους ὄντος

B αἴτιοι ἑκάτερος μερικώτατοί γε φανεῖεν τοκέες; οὐ; εἴπερ μὴ ἔστιν ἀληθῶς ἐκ μέρους εἰπεῖν γεννήτορας, διὰ τὰ ὑφ' ὑμῶν τῶν διαλεκτικῶν νομοθετούμενα, οὐδ' ἄρα πατήρ τίς ἐστί τινος τῶν ἐν βίῳ γεννηθέντων ἀνθρώπων ἀληθῶς· οὐδὲ γὰρ τῆς σαρκὸς μόνης δεόντως λέγοιτο ἄν τις πατὴρ, οὐδὲ μήτηρ, οὐδὲ υἱὸς, ἀλλὰ πάντες ἀπ' αὐτομάτου ἐσμὲν οἱ γεννώμενοι· καὶ τίς τούτων εἴη ὑμῖν προφανέστερος ἔλεγχος;

Τὸ δὲ παράδειγμα τοῦ ἐξαμβλώματος, πῶς φατε; ἆρα γὰρ ὡς μέρος ἁπλῶς καὶ ἀτελὲς οὐ λέγεται υἱὸς, ἢ ὡς μὴ ζῆσαν οὔπω; εἰ μὲν οὖν ὡς ἐλλιπὲς, καὶ ὡς μέρος ἁπλῶς, πῶς τὰ κολοβὰ καὶ τὰ τεράστια χειρῶν τε ἄνευ καὶ ποδῶν πολλάκις καὶ ἑτέρων

C μορίων γεννώμενα, υἱοὶ λέγονται ἐν τοσῇ ἀτελείᾳ ὄντα μερικῇ; ἔτι δὲ τί ἂν φαίητε, Ἀβραὰμ τοῦ πρὸ πλείστων ἐτῶν ἀποιχομένου καλουμένου πατρὸς τοῦ Ἰσραηλίτου λαοῦ, καὶ Δαβὶδ μετὰ θάνατον πατρὸς λεγομένου τοῦ Κυρίου; σαφῶς γὰρ τὸ σωζόμενον μέρος αὐτοῦ ὀνομάζεται λοιπὸν πατὴρ, ἤγουν ἡ ψυχή. Εἰ οὖν ἔστι μέρος μόνον ζῶν ὀνομάζεσθαι υἱὸν καὶ πατέρα, τί κωλύει καὶ υἱὸν ὀνομάζεσθαι ἐκ τοῦ μέρους τὸ ζῶν; δῆλον ἄρα, ὅτι οὐχ ὡς μέρος, ἀλλ' ὡς ἄζωον οὐ λέγεται τὸ μὴ λεγόμενον υἱός· ἔτι μὴν τοῦ ἀρχισυναγώγου τὸ θυγάτριον, καὶ ὁ υἱὸς τῆς χήρας, καὶ προτελευτήσαντες τῶν ζώντων γονέων, εἰ ὀρθῶς ὑμῖν δοκοῦσιν ἐν τῷ Εὐαγγελίῳ θυγάτηρ τε καὶ υἱὸς ἔτι λέγεσθαι ἐπὶ ταῖς ζώσαις αὐτῶν ψυχαῖς· ἰδοὺ τὸ

D μέρος καὶ ὑμῖν ὁμολογεῖται εἶναι υἱὸς καὶ θυγάτηρ· ἆρα οὖν σαφές ἐστιν ὅτι ὡς μὴ ζῶν πρώτως, καὶ οὐχ ὡς μέρος ἁπλῶς, οὐ λέγεται υἱὸς τὸ ἐξάμβλωμα· πολλὰ γὰρ καὶ ἀτελέστερα τῶν ἐξαμβλωμάτων ὅλως εἰ ψυχωθεῖεν σώματα, υἱοὶ γεννῶνται καὶ λέγονται· ὅπου γε πρὸς πᾶσιν, οὐδὲ τοῦτο ἡμεῖς φαμεν, ὅτι πᾶν μέρος, καὶ υἱός· ἀλλ' ὅτι κακῶς ὑμῖν ἔδοξε, μηδὲ εἷς υἱὸς ἐκ μέρους πώποτε κυρίως ὀνομάζεσθαι, ἢ ἐκ μέρους πατὴρ εἶναι.

Ἀλλὰ πρὸς τούτοις ἐροῦμεν ἐκ περιουσίας καὶ ὡς ἡμεῖς οὐδὲ ἐκ μέρους ἁπλῶς, ἀλλὰ καὶ ἐκ τοῦ ὅλου Υἱὸν ἑκατέρου φαμὲν τὸν Χριστὸν εἶναι, υἱότησι δὲ διαφόροις τῶν ἐν αὐτῷ μερῶν· τοῦ τε γὰρ σώματος Χριστοῦ τὸ μέν τι κατὰ φύσιν ἀπὸ Θεοῦ διὰ τῶν πρώ-

γόνων λαβοῦσα αἰτία τοῦ εἶναι ἡ ἁγία Παρθένος A ἐστι, τὸ δὲ καὶ ἰδίως ἐκ τοῦ ἁγίου Πνεύματος δυναμωθεῖσα, τῆς τε ψυχῆς αὐτοῦ μήτηρ ἐστὶν, ἐξ αὐτῆς πρὸς τὴν φυσικὴν τοῦ ἰδίου ἐνδύματος συζυγίαν νυμφοστολουμένης, καὶ ὡς ἐκ βαλβίδος τινὸς παστοῦ ἁγίου τῇ ἀπ' αὐτῆς γεννήσει εἰς τὸ εἶναι προελθεῖν ὑπὸ Θεοῦ τεταγμένης· καὶ τῆς θεότητος δὲ αὐτοῦ, ἀληθὴς γεννήτειρά ἐστι τοῦ Λόγου τοῦ ἀπ' αἰώνων ἀσάρκου καὶ ἀσυνθέτου ἐξ αὐτῆς ἀρξαμένου τῆς μετὰ σαρκὸς ἐμψύχου συνυπάρξεως, δι' ὑποστατικῆς ἑνώσεως εἰς πλήρωσιν τῆς οἰκείας εὐδοκίας. Οὐκοῦν εἰ καὶ μὴ ὡσαύτως, ἀλλ' ὅμως πάντων τῶν Χριστοῦ μερῶν μήτηρ καὶ τοῦ ὅλου ἄρα ἡ ἁγία Παρθένος· ἀρχῆς γάρ τινος τῷ γεννωμένῳ πάντως αἴτιος ὁ ὁπωσοῦν λεγόμενός τινα γεννῆσαι ἀληθῶς, οὐ μέντοι πάντως τῆς τοῦ εἶναι ἐκ μὴ ὄντων· ἢ γὰρ B ἂν οὕτω, οὐδὲ καθ' αὐτὸν ὁ Λόγος, φύσει Υἱὸς ἦν τοῦ Πατρός· οὐ γὰρ εἰς τὸ εἶναι ἐκ μὴ ὄντων γεγένηται ὑπ' αὐτοῦ ὁ συναΐδιος.

Deo per parentes accepit, et aliquid alterum proprie e sancto Spiritu efformavit; est etiam mater, ejus animæ quæ quidem ad naturale proprii indumenti conjugium sponsa ornata ducta fuit, et ita a Deo disposita est ut exiret ad exsistendum quasi e repagulo alicujus lecti nuptialis sancti, generatione ab ipsa accepta: et divinitatis ejus, vera genitrix est Verbi quod erat a sæculis sine carne et incompositum, quodque per ipsam incepit animati cum carne coexsistentiam, per hypostaticam unionem, ad complendam propriam apparentiam. Igitur etiamsi non eodem modo, sed æque omnium Christi partium mater et totius certe est sancta Virgo: alicujus enim originis genito auctor est omnino qui dicitur quocunque modo aliquem vere genuisse, non tamen omnino originis quam ex non exsistentibus extrahit: certe enim ita, non apud ipsum, Verbum Filius erat Patris: non enim ut esset ex non exsistentibus genitum est ab ipso coæternum.

ΚΕΦΑΛ. Γ'.

Ἔτι φασὶν, εἰ ἐκ μέρους ὁ Χριστὸς ὑμῶν Υἱὸς Θεοῦ, καὶ ἐκ μέρους ἄρα Θεὸς δηλονότι, καὶ οὐχ ὅλος, ἡμίθεος ἄρα. Ἀλλ' ἡμῖν ὅλος Θεὸς προσκυνητὸς εἷς ὁ Χριστός· τοῦ μὲν τῶν ἐν αὐτῷ τῷ ἑνὶ ὅλῳ μερῶν, κατ' οὐσίαν ὄντος τελείου θείου· τοῦ δὲ κατὰ μετουσίαν τοῦ ἡνωμένου αὐτῷ κατ' οὐσίαν θείου μέρους· εἰ δὲ ἡμῖν τὸν Χριστὸν διότι τὸ ἓν μέρος αὐτοῦ μόνον ἔχει τὸ φύσει θεῖον, ἡμίθεον συνάγετε εἶναι, αὐτοὶ μηδὲ τὸ ὅλον μηδὲ μέρος φύσει θεῖον C παντελῶς ἐν αὐτῷ εἰδότες, δῆλον ὡς οὐδὲ ὅλως Θεὸν, ἀλλὰ ψιλὸν ἄνθρωπον πάντῃ καθ' ἡμᾶς εἶναι γινώσκετε αὐτόν.

CAP. III.

Adhuc inquiunt, si ex parte Christus vester est Dei Filius, et ex parte certe Deus, manifestum est quod non totus, sed semi-Deus est. Attamen nobis totus Deus adorabilis unus Christus: hinc enim sunt in ipso uno toto partes quæ sint secundum substantiam perfectus Deus, illincque pars divina per participationem ipsi secundum substantiam unitur. Si vero contra nos Christum, quia unam ipsius partem solam habet natura divinam, semi-deum esse arguitis, ipsi nec totum nec partem natura divina, absolute in ipso videntes, manifeste non omnino Deum, sed nudum hominem omnimode, juxta nos illum asserere debetis.

ΚΕΦΑΛ. Δ'.

Ἀλλ' εἰς ἑτέρας παρακειμένας αἰτιολογίας τῆς ἀσεβείας αὐτῶν μετακυλισθέντες, φασὶ διὰ τόδε μὴ λέγειν ἓν καὶ τὸ αὐτὸ ζῶον, καὶ μίαν ὁλότητα υἱοῦ μόνην ἐκ θείας τε καὶ ἀνθρωπίνης εἶναι φύσεως ἅμα, διότι πάντα υἱὸν ὁμοούσιον ὁρᾶσθαι ἀνάγκη τοῖς τίκτουσιν· ἀνελλιπῆ τε καὶ ἀπέριττον ἔχειν, τὴν πρὸς τοὺς φύντας αὐτὸν τῆς οὐσίας ὁμοιότητα· ὁ Χριστὸς δὲ ὑμῶν ὁ Θεοῦ τε καὶ ἀνθρώπου Υἱὸς, καὶ Θεοῦ πλεῖον, καὶ ἀνθρώπου περισσόν τι ἔχει· D πῶς οὖν ὄντως καὶ Υἱὸς τούτων ἔσται, ὁ μὴ πάντῃ ὅμοιος αὐτοῖς τὴν φύσιν; Ἀλλ', ὦ οὗτοι, πρῶτον μὲν καὶ τὸ ὁμοούσιον ἔχει, πρὸς ἄμφω μέντοι ἅμα συγκρινόμενος τοὺς τεκόντας αὐτὸν ὁ Χριστός· καὶ ἡμῶν γὰρ ἕκαστος ἀμφοῖν τοῖς γονεῦσι παραβαλλόμενος ἅμα, δεόντως κρίνοιτο ἂν εἶναι ὁμοφυὴς τοῖς οἰκείοις αἰτίοις, ἐπείπερ καὶ μητρῷά τινα ἔχει, ἃ οὐκ ἔστιν ὁρᾷν ἐν τῷ πατρί· καὶ πατρῷά τινα ἃ οὐκ ἔστιν ἐν τῇ μητρὶ πολλάκις· εἰ δὲ καὶ ἀνὰ μέρος κρινόμενος ἑκατέρῳ δείκνυται ὅμοιος ἄνθρωπος, ἐπεὶ συμβέβηκεν ἐξ ὁμοειδῶν ἀμφοτέρων τεχθῆναι αὐτὸν, τοῦτο θεωρεῖται· οὐ γὰρ δὴ καὶ ἐπὶ τῶν ἀνομοιοειδῶν αἰτίων τοῦ γεννωμένου τόδε ὁμοίως ὁρᾶται· πῶς γὰρ ἂν ὁμοφυὲς ἰδίᾳ κριθείη ἀλέκτορι καὶ φασιανῷ τὸ ἐκ τῶνδε

CAP. IV.

Sed in alia subjecta argumenta impietatis transvoluti, aiunt: quia non dicitur unum et idem vivum et unam totalitatem filii solam ex divina et humana constare natura simul, ideo omnem filium consubstantialem esse parentibus necesse est, et imo completam et adæquatam habere cum auctoribus suis substantiæ similitudinem: sed Christus vester Dei et hominis Filius, Deo aliquid amplius, homine aliquid superius habet: quomodo igitur vere illorum Filius erit, qui non est illis omnimode natura similis? Sed primum similem substantiam habet Christus, si conferatur simul cum duobus qui eum genuerunt: nostrum enim unusquisque ambobus parentibus una comparatus convenienter judicaretur esse æqualis naturæ ac proprii auctores, quippe et materna quædam habet, quæ in patre non reperiuntur, et paterna quædam quæ in matre sæpe desunt: si vero per partem judicatus unicuique ostenditur similis homo, illum fuisse ex ambobus ejusdem speciei formatum, facile apparet: non enim de illo qui ex diversæ speciei auctoribus ortus est, pariter constat. Quomodo enim, exempli causa, ejusdem naturæ judicaretur

quod e gallo et phasiano ortum esset? Pariter autem dicite nobis, physiologi: Anne filium istorum vocatis illud minimum, et habetisne illud unam animalis totalitatem, nec-ne? Si enim id negare non detur vobis, quomodo de his quæ sunt tanquam de his quæ non sunt loquimini? Sed talium, inquit, est mistio et confusio speciei juxta generationem: ita ut non judicetur illud esse in ipsis partem equi, et istud partem asini, sed omnia esse ipsorum alia membra et indistincta: si talem igitur et in Christo mistionem substantiarum asseritis, vos dicite nobis quid sentiatis. Sed non ad demonstrationem similis unionis hæc accepimus, ad confutationem vero in præsens tantum vestrorum oraculorum, generatum oportere esse perfecte substantia unicuique generanti similem prænuntiantium, aut ipsum non vocari Filium: illud igitur mistum et indistinctum speciei, his de rebus magis confutabit vestram propositionem: si enim et de his quorum juxta membrum solum similitudo cum alterutro generantium non servatur, filii dicuntur equorum semi-asini, et filii asinorum semi-equi, quomodo propter aliquam ex parte dissimilitudinem, non posse filium vocare illum qui non est omnimode similis genitoribus asseruistis? Illud bene dicendum haberetis forte illis qui Christum similem substantia sua utrique parenti esse cogitant, non vero nobis qui ipsius personam ex diversis naturis constitisse profitemur.

Quæ quidem sunt adhuc ea de re accuratius inquirenda: vel enim totius similitudo vobis videtur filiationem repræsentare omnino, vel non: si non, frustra quæritis a nobis an sit causa filiationis ad ipsius demonstrationem: quoad enim demonstrationes, per causas istam constitui filiationem persuasum habetis tantum: igitur Abel similis Cain juxta totam ipsius substantiam et filius illius erat, et ideo filii, non fratris interfector? Sed quippe similium æque est relatio, et Cain scilicet filius Abel similiter erit: igitur ergo et patris potius interfector est: idcirco et in eodem filius et pater, et frater erat Cain qui illum occidit, Abel ab ipso interfectus: et Cain filii et patris et fratris interfector: quis vere non irridedit vestras inanes cogitationes? Dijudicandum est igitur manifeste ut Lucas evangelista, qui istam ex parte causam et ex parte similitudinem solum conspexit in Adam respectu patris spirituum Dei: secundum enim animam solum immediata causa illi erat Deus, quippe indidit ipsi spiramen vitæ in animam viventem, cum corpus e limo illi formavit: et secundum animam tantum homini esse ad imaginem Dei et similitudinem remansit: sciens illum, vi causæ et similitudinis ex parte esse evidenter Filium Patris spirituum Dei, fuit Adam, genealogiam ita ordinans et dicens: « Qui fuit Adam qui fuit Dei [1], » sicut dixit: « Qui fuit Seth qui fuit Adam [2], » scilicet ex

A τεχθέν; ὅμως δὲ λέγετε ἡμῖν, φυσιολόγοι· υἱὸν τῶνδε καλεῖτε τὸ μικρὸν τόδε, καὶ μίαν ἴστε ζώου ὁλότητα τοῦτο, ἢ οὐχί; εἰ γὰρ τόδε ἀρνεῖσθαι οὐ δυνατὸν ὑμῖν, πῶς τὰ ὄντα ὡς μὴ ὄντα λαλεῖτε; Ἀλλὰ τῶν τοιούτων, φησὶ, κρᾶσίς ἐστι καὶ σύγχυσις τοῦ εἴδους κατὰ τὴν γέννησιν· ὡς μηδὲ κρίνεσθαι τόδε μὲν εἶναι τὸ ἐν αὐτοῖς μέρος ἵππου, καὶ τόδε ὄνου, ἀλλὰ πάντα εἶναι αὐτῶν ἀλλοῖα τὰ μέλη καὶ ἀδιάγνωστα· εἰ τοιάνδε οὖν καὶ τὴν ἐν Χριστῷ φύρσιν τῶν οὐσιῶν φατε, ὑμεῖς εἴπατε ἡμῖν, φασίν· ἀλλ' οὐ πρὸς δεῖξιν τῆς ὁμοίας ἑνώσεως τάδε παρειλήφαμεν, ὦ οὗτοι, ἀλλ' εἰς ἀνατροπὴν μόνων τῶν πρὸς τὸ παρὸν ὑμετέρων θεσπισμάτων, ὁμοούσιον ἀνελλιπῶς εἶναι δεῖν ἑκατέρων τῶν φύντων, τὸ γεννώμενον κηρυττόντων, ἢ μὴ καλεῖσθαι αὐτὸν Υἱόν· τόδε οὖν αὐτὸ τὸ πεφυρμένον

B καὶ ἀδιάγνωστον τοῦ εἴδους, ἐπὶ τούτων μᾶλλον ἀνατρέψει τὴν ὑμετέραν ἀπόφανσιν· εἰ γὰρ καὶ ἐφ' ὧν μηδὲ κατὰ μέλος οἱαοῦν ὁμοιότης σώζεται πρὸς θάτερον τῶν τικτόντων, υἱοί τε λέγονται ἵππων οἱ ἡμίονοι, καὶ τέκνα ὄνων οἱ ἡμίιπποι, πῶς διὰ τὸ ἐκ μέρους ἀνόμοιον, οὐ δύνασθαι υἱὸν καλεῖν τὸν μὴ πάντη ὅμοιον τοῖς τεκοῦσιν αὐτὸν εἰρήκατε; τοῦτο δὲ ἂν καλῶς εἶχεν ὑμῖν λέγειν ἴσως, πρὸς τοὺς κατὰ μίαν αὐτοῦ τὴν οὐσίαν ὅμοιον εἶναι τὸν Χριστὸν ἑκατέρων τῶν γονέων δοξάζοντας, οὐ μὴν καὶ πρὸς ἡμᾶς τοὺς κατὰ διαφόρους φύσεις ὁμολογοῦντας αὐτοῦ συνεστηκέναι τὴν ὑπόστασιν.

C Ἔτι δὲ βασανιστέον καὶ ἀκριβέστερον τὰ περὶ τοῦδε· ἢ γὰρ ἡ τοῦ ὅλου ὁμοιότης ὑμῖν δοκεῖ εἶναι τῆς υἱότητος παραστατικὴ πάντως, ἢ οὐχί· εἰ μὲν οὖν οὐχὶ, μάτην ζητεῖτε παρ' ἡμῶν τὸ μὴ αἴτιον υἱότητος εἰς ἀπόδειξιν αὐτῆς· αἱ γὰρ ἀποδείξεις, διὰ τῶν αἰτίων ταύτην ὑφίστασθαι τὴν υἱότητα πείθεσθε μόνον· ἆρά γε Ἄβελ Κάϊν ὅμοιος ὢν κατὰ τὸ ὅλον τῆς οὐσίας αὐτοῦ, καὶ υἱὸς αὐτοῦ ἦν, υἱοκτόνος οὖν, οὐκ ἀδελφοκτόνος ἦν; ἀλλ' ἐπειδὴ τῶν ὁμοίων ἐπίσης ἐστὶ ἡ σχέσις, καὶ Κάϊν ἄρα υἱὸς Ἄβελ ὁμοίως ἔσται· ἄρα οὖν καὶ πατροκτόνος μᾶλλόν ἐστιν· οὐκοῦν καὶ ἐν ταυτῷ, υἱός τε καὶ πατὴρ καὶ ἀδελφὸς ἦν Κάϊν τοῦ κτείναντος αὐτὸν, Ἄβελ ὁ ἀνῃρημένος ὑπ' αὐτοῦ· καὶ Κάϊν υἱοκτόνος τε καὶ πατροκτόνος καὶ ἀδελφοκτόνος· καὶ τίς οὐ γελάσει τάδε ὑμῶν τὰ γλαφυρὰ

D δόγματα; Διορατέον οὖν σαφῶς ὡς καὶ ταύτην τὴν μερικὴν αἰτίαν καὶ μερικὴν ὁμοιότητα μόνον θεωρήσας Λουκᾶς ὁ εὐαγγελιστὴς ἑνοῦσαν καὶ τῷ Ἀδὰμ πρὸς τὸν πατέρα τῶν πνευμάτων Θεόν· κατὰ γὰρ ψυχὴν μόνον προσεχὴς αἴτιος αὐτῷ ἦν ὁ Θεὸς, ἐμφυσῶν αὐτῷ πνεῦμα ζωῆς εἰς ψυχὴν ζῶσαν, ἐπεὶ τὸ σῶμα ἀπὸ γῆς αὐτῷ προδιέπλασε· καὶ κατὰ ταύτην σωζόμενον μόνον τὸ κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν τῷ ἀνθρώπῳ· εἰδὼς ἐκ μερικῆς αἰτίας καὶ ὁμοιώσεως Υἱὸν σαφῶς τοῦ Πατρὸς τῶν πνευμάτων Θεοῦ, καὶ τὸν Ἀδὰμ ἐγενεαλόγησεν οὕτως ἀνατάξας καὶ εἰπὼν, εἶναι τοῦ Ἀδὰμ τοῦ Θεοῦ, ὥσπερ ἔφη, « Τοῦ Σὴθ τοῦ Ἀδὰμ, » ἤγουν τὸν ἐκ τοῦ

[1] Luc. III, 38. [2] ibid.

Ἀδάμ· καὶ ὥσπερ εἶπε, «Τοῦ Ἰσαὰκ,» ὅπερ ὁ A Ματθαῖος ἔλεγεν· «Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαὰκ,» οὕτως ἔφη, «Τοῦ Ἀδὰμ τοῦ Θεοῦ.» Οὕτω μὲν οὖν ἐχέτω τάδε· ἀκουστέον δὲ καὶ τῶν λοιπῶν.

ΚΕΦΑΛ. Ε'.

Εἰ οὖν φύσει ἐστὶν Υἱὸς Θεοῦ ὁ Χριστὸς, καὶ οὐ κατὰ χάριν υἱοθεσίας ἠξίωται, φασὶ, πῶς εἴρηται ἔτι πολλῷ μᾶλλον ἡ χάρις καὶ ἡ δωρεὰ τοῦ Θεοῦ, ἐν χάριτι τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ, εἰς τοὺς πολλοὺς περιέσσευσε; καὶ ὅτι, «Ἐχαρίσατο αὐτῷ ὁ Θεὸς ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα;» καὶ, «Ὁ μὴ ἑαυτῷ δὲ λαβὼν τὴν τιμὴν, ἀλλὰ κληθεὶς ὑπὸ τοῦ Θεοῦ καθάπερ καὶ Ἀαρὼν,» τί ἐστιν οὗτος ὁ Χριστὸς, εἴπατε. Πάλιν παρεκδοχαὶ, πάλιν μεταγωγαὶ, πάλιν αἱ συνήθεις μετωνυμίαι· καὶ θαῦμά γε οὕτως εὐ- B επιλήσμονές ἐστε καὶ ὧν ὑμεῖς πολλάκις εἰρήκατε, εἰ μὴ ἄρα τὸ τοῦ ληθάργου πάθος νοσεῖτε· ὅτι γὰρ καὶ τὰ τοῦ ἑνὸς τῶν μερῶν αὐτοῦ τοῦ μέρους κατηγορεῖται, οὐκ ἀγνοεῖτε· ὡς τὸ, «Ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου, βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς.» Ἀλλὰ καὶ ὅτι τὰ τοῦ ὅλου μέρους κατὰ τοῦ ὅλου λέγεται, ἴστε· ὡς τὸ, «Ἐκεῖ ἔθαψαν Ἀβραὰμ, καὶ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ.» Καὶ ἀνάπαλιν τὰ τοῦ ὅλου, κατὰ τοῦ μέρους· ὡς τὸ, «Καὶ εἰσῆλθεν Ἰακὼβ ἐν οε' ψυχαῖς εἰς Αἴγυπτον·» ἔτι μὴν ὅτι καὶ τὰ τοῦ ὅλου κατὰ τοῦ μέρους αὐτοῦ λέγεταί ποτε μόνου, ὁμολογεῖτε· ὡς ἐν τῷ, «Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας.» Οὔτε γὰρ σῶμα, οὔτε ψυχὴ καθ' αὑτὴν νυστάζει· καὶ ἐν τῷ, «Ἐκχεῶ ἀπὸ τοῦ πνεύμα- C τός μου ἐπὶ πᾶσαν σάρκα·» οὐ γὰρ δὴ τὴν ἄψυχόν φησι· καὶ ὅτι δὲ τὰ τοῦ ὅλου κατὰ τοῦ ὅλου λέγεται, ἀναμφίβολον πᾶσιν· ὡς τὸ, Ἰσαὰκ δὲ ἐπορεύετο διὰ τῆς ἐρήμου κατὰ τὸ φρέαρ τῆς ὁράσεως· τὸ δὲ παράδοξον ἐροῦμεν ἔτι· ὅτι ἐπὶ τῶν φυσικῶν οἰκειώσεων ἔστιν ἰδεῖν διὰ τὴν ἐκ τῆς ἑνώσεως συμπάθειαν ἐπὶ τῶν ὁπωσοῦν παθημάτων ἡνωμένων μερῶν, ὅτι καὶ τὰ θατέρου τῶν μερῶν τοῦ ὅλου, κατὰ τοῦ ἑτέρου μέρους αὐτοῦ κατηγορεῖται· ὡς τὸ, ψυχὴν τοῦ φονέως, ἀντὶ τῆς ψυχῆς τοῦ φονευθέντος, ἀποκτείνεσθαι· καίτοι οἱ ἀποκτένοντες, τὸ σῶμα ἀποκτένουσι, μετὰ δὲ τοῦτο οὐκ ἔχουσι τί περισσότερον ποιῆσαι· τοιόνδε δή ἐστι καὶ τὸ, «Ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου·» καὶ γὰρ τὸ σῶμα πρώτως τε καὶ D ὄντως ἐστὶ τὸ ταπεινούμενον ἐπὶ νηστείᾳ, ἡ δὲ ψυχὴ καὶ μᾶλλον νήφει καὶ ὑψοῦται ἐφόσον ὁ ἔξω ἄνθρωπος ταπεινοῦται· καὶ, «Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με·» καὶ γὰρ καὶ, κατὰ τὸν Ἀπόστολον, ἀποθανὼν ἔτι λαλεῖ ὡς ζῶν ὁ Ἄβελ, οὐκ αὐτῷ αἵματι, ἀλλὰ τῇ ψυχῇ.

Σαφὲς οὖν ὅτι ἃ εἰρήκατε πάντα, περὶ μέρους λέγεται τοῦ ἀνθρωπίνου Χριστοῦ· ἡ μὲν γὰρ τῶν ἐν αὐτῷ φύσεων, Θεός τε καὶ Υἱὸς Θεοῦ ἔστι τε καὶ ὀνομάζεται, οὐσιώδει λόγῳ· ἡ δὲ χάριτι ἀληθῶς καὶ δωρεᾷ θείας τιμῆς καὶ ὀνομασίας ἠξίωται, ἀλλ' οὐχ ἁπλῶς ὄνομα οὐσης ψιλὸν, πρᾶγμα ὑποκείμενον ὀνο-

Adam: et quemadmodum ait: «Qui fuit Isaac» quod Matthæus vertebat: «Abraham genuit Isaac[4],» ita dixit: «Qui fuit Adam qui fuit Dei.» Ita igitur hæc sint: sed reliqua audienda sunt.

CAP. V.

Si ergo natura est Filius Dei Christus, et non secundum gratiam filiorum adoptionis dignus habitus est, aiunt, quomodo dictum est; multo magis gratia et donum Dei, in gratia unius hominis Jesu Christi in plures abundavit[5]? et istud: «Donavit illi Deus nomen quod est super omne nomen[6]?» et: «Qui non accepit sibi honorem, sed vocatus est a Deo tanquam Aaron[7]?» quid est iste Christus, dicite. Usus modo synecdoches, modo metaphoræ, modo metonymiæ usurpatur: et mirum quod ita quæ et vos sæpe dixistis, fueritis obliti, nisi lethargiæ morbo laboretis: non enim ignoratis quæ sunt unius ex partibus de ipsa parte affirmari: sicut in hoc loco: «Posuerunt cadavera servorum tuorum in escam volatilibus cœli, carnes sanctorum tuorum bestiis terræ[8];» sed etiam scitis quæ sunt totius partis, de toto dici: ut in hoc alio loco: «Hic sepelierunt Abraham et Sara uxorem ejus[9],» et iterum, quæ sunt totius, de parte: ut in isto, «Ingressus est Jacob cum suis animabus in Ægyptum,» adhuc confitemini quæ sunt totius de parte ipsa dici aliquando sola, sicut in eo loco: «Dormitavit anima mea præ tædio[10];» non enim corpus, neque anima secundum seipsam pernoctat, et in alio, «Effundo de spiritu meo super omnem carnem;» non enim illam sine anima dicit; et quæ sunt totius de toto dici, apertum est omnibus; sicut in altero, Isaac ibat per desertum juxta fossam visionis; aliquid vero inauditum superaddemus, nempe quod spectat ad naturales conjunctiones, datur videre propter sympathiam quæ ex unione oritur quoad affectus partium unitarum, quæ sunt alterius ex partibus totius, de altera parte ipsius affirmari; sic dicitur, animam homicidæ, pro anima interfecti, occidi; porro interfectores corpus interficiunt, post hoc vero non habent amplius quid faciant, simile est hoc: «Humiliabam in jejunio animam meam[11];» corpus enim primum et realiter illud est quod humiliatur in jejunio, anima vero eo magis vigilat et exaltatur, quod humiliatur externus homo, et illud: «Vox sanguinis fratris tui clamat ad me[12];» etenim et secundum Apostolum, defunctus adhuc loquitur tanquam vivens Abel, non ipso sanguine, sed anima.

Manifestum est igitur omnia quæ dixistis de parte dici Christi humani: una enim naturarum quæ sunt in ipso, Deus et Filius Dei est et nominatur essentiali verbo: altera vero gratia vere et dono, divinum honorem et denominationem accipit, quæ non sunt simpliciter nomen nudum, qui-

[4] Matth. I, 2. [5] Rom. v, 20. [6] Philipp. II 9. [7] Hebr. v, 4. [8] Ps. LXXVIII, 2. [9] Gen. XXV, 10. [10] Psal. CXVIII, 28. [11] Psal. XXXIV, 13. [12] Gen. IV, 10.

bus desit res isti nomini subjacens quæ proprie nominari possit, sicut dicunt τὸ κριέλαφος et similia; sed honorem nominis Filii Dei et Dei, ipsi traditum propter unionem hypostaticam ipsius cum Dei natura; ita enim realiter dona et honor et denominatio magna deificati ab illo qui vere illum deificavit vero Deo in donatione sui ipsius demonstrantur, nisi fictitium sit nomen gratificantis quod illi proprie datum est. Non sibi igitur accepit, nempe a seipso honorem: neque semetipsum glorificavit Christus, quod nunc significat hominem secundum se spectatum, sed loquens ad eum Deus realiter et dicens actu ipso quo efficitur ipse Filius, non autem verbo nudo: « Filius meus es tu, ego hodie genui te [14], » gratia scilicet, ex quo te Filio meo natura juxta unam hypostasim univi: etenim quæ ipse dixit facta fuisse, et impossibile mentiri Deum, accepimus ab ipso. Hæc igitur ostendunt, quod non a seipso electus filius hominis gloriatur Deum habere Patrem, sed a Deo vocatus est in participationem illius divinæ filiationis, et æterni ipsius sacerdotii, quod non nomine tantum, sed et re intelligitur: « Qui enim juravit ei Dominus, nec pœnituit, Tu es sacerdos in æternum secundum ordinem Melchisedech [14]; » ipse erat de quo dictum est: « Dominus dixit ad me, Filius meus es tu; » igitur hæ voces, sicut Aaron similem modum donationis a Deo factæ donorum et vocationis in Aaron et in Christo, non tamen dona similia significant: certe enim et Aaron dictum fuisset: « Filius meus es tu, » et reliqua.

Quod enim nulla sit ratio pro æquali dignitate sacerdotii Aaron Christo comparandi, evidens est: quippe pro Moyse qui fuit ipse major amplioris gloriæ dignus est habitus, quanto ampliorem honorem habet domus qui fabricavit illam: adhuc apostolica dicamus: « Si consummatio per simile sacerdotium erat, quid necessarium fuit, alium consurgere sacerdotem ac secundum ordinem Aaron dici [15]? » Aliter si non translatum fuit sacerdotium, neque necesse fuit ut legis translatio fleret, ut dicit ipse Paulus apostolus [16], sed tantum successio; ita ergo et hæc verba: « Vocabitur Filius Dei; » et ista: « Filius Altissimi vocabitur [17], » et reliqua intellige: quod enim natum est sanctum erat, et non solummodo sanctificatum per ingenitum Spiritum sanctum qui cum ipso erat, quod est et Verbum partum ex Virgine: quod enim in ea conceptum, dicit angelus, ex Spiritu sancto, Spiritus sanctus est: sicut et quod ex carne, caro dictum est esse: Spiritus vero Deus, et Deus erat Christus: quod conceptum idem est ac quod partum fuit: non vani igitur nominis sunt dona de Christo, scilicet, Deus et Filius Dei et Unigenitus et Dominus gloriæ, et reliqua, sed realia: si enim hæc non ita essent, falsum nomen donum nomina-

μαστὸν ἰδίως τῷδε τῷ ὀνόματι οὐκ ἐχούσης, οἷόν φασι τὸ κριέλαφος, καὶ τὰ ὅμοια· ἀλλὰ διὰ τῆς πρὸς τὸν φύσει Θεὸν ἑνώσεως αὐτῆς ὑποστατικῆς μεταδιδομένης αὐτῇ τῆς τοῦ ὀνόματος τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ Θεοῦ τιμῆς· οὕτω γὰρ πραγματιωδῶς χαρίσματα καὶ τιμὴ καὶ ὀνομασία μεγάλη τοῦ θεωθέντος παρὰ τοῦ ἀληθῶς θεώσαντος αὐτὸ Θεοῦ ἀληθοῦς ἐν δόσει ἑαυτοῦ δείκνυται, εἴπερ μὴ ψευδωνύμως χαριζόμενος αὐτῷ τὸ ἴδιον ὄνομα λέλεκται· οὐχ ἑαυτῷ οὖν ἔλαβεν, ἤγουν ἀφ' ἑαυτοῦ, τὴν τιμήν· οὐδὲ ἑαυτὸν ἐδόξασεν ὁ Χριστὸς, ὅπερ σημαίνει νῦν τὸν κατ' αὐτὸν ἄνθρωπον, ἀλλ' ὁ λαλήσας πρὸς αὐτὸν Θεὸς πραγματιωδῶς, καὶ εἰπὼν τῷ ἔργῳ τῆς πρὸς αὐτὸν υἱοποιίας αὐτοῦ καὶ οὐ λόγῳ ψιλῷ, « Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε, » χάριτι ἤγουν, ἀφ' οὗ τῷ φύσει μου Υἱῷ σε προσήνωσα κατὰ μίαν ὑπόστασιν· ὅτι γὰρ ἃ ἂν αὐτὸς εἶπε καὶ ἐγενήθησαν, καὶ ὅτι ἀδύνατον ψεύδεσθαι Θεὸν, μεμαθήκαμεν παρ' αὐτοῦ. Δηλοῖ οὖν τάδε, ὅτι οὐχ ἀφ' ἑαυτοῦ, αἱρούμενος ὁ υἱὸς τοῦ ἀνθρώπου, ἀλαζονεύεται Πατέρα Θεὸν, ἀλλ' ὑπὸ τοῦ Θεοῦ κέκληται εἰς τὴν ἀξίαν τῆς θείας υἱότητος ταύτης, καὶ τῆς διηνεκοῦς αὐτοῦ ἱερωσύνης, οὐδ' αὐτῆς μόνον ὀνόματι, ἀλλὰ καὶ πράγματι νοουμένης· « Ὁ γὰρ ὀμόσας αὐτῷ Κύριος, καὶ οὐ μεταμελούμενος, ὅτι « Σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ, » αὐτὸς ἦν καὶ περὶ οὗ εἴρηται· « Κύριος εἶπε πρός με, Υἱός μου εἶ σύ· » οὐκοῦν τὸ καθάπερ καὶ Ἀαρὼν ὅμοιον μὲν τρόπον τῆς ἐκ Θεοῦ δόσεως τῶν χαρισμάτων σημαίνει, καὶ κλήσεως ἔν τε Ἀαρὼν, καὶ ἐν Χριστῷ, οὐ μέντοι καὶ χαρίσματα ὅμοια· ἦ γὰρ ἂν καὶ τῷ Ἀαρὼν ἐῤῥέθη τὸ, « Υἱός μου εἶ σύ· » καὶ τὰ λοιπά.

Ὅτι γὰρ οὐκ ἔχει λόγον κατὰ τὴν ἰσοτιμίαν τῆς ἱερωσύνης Ἀαρὼν συγκρίνεσθαι τῷ Χριστῷ, πρόδηλον· εἴπερ καὶ Μωϋσέως τοῦ μείζονος αὐτοῦ τοσοῦτο πλείονος δόξης ἠξίωται Χριστὸς, καθόσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν· ἔτι μὴν ἀποστολικῶς εἰπεῖν· « Εἰ ἡ τελείωσις δι' ὁμοίας ἱερωσύνης ἦν, τίς χρεία ἕτερον ἀνίστασθαι ἱερέα κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι; » ἄλλως τε εἰ μὴ μετετέθη ἡ ἱερωσύνη, οὐδὲ ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γέγονεν, ᾗ φησιν ὁ αὐτὸς Παῦλος ὁ ἀπόστολος, ἀλλὰ μόνον διαδοχή· οὕτως οὖν καὶ τὸ, « Κληθήσεται Υἱὸς Θεοῦ· » καὶ τὸ, « Υἱὸς Ὑψίστου κληθήσεται, » καὶ τὰ λοιπὰ νοείσθω· καὶ τὸ γεννώμενον γὰρ ἅγιον ἦν· καὶ οὐ μόνον ἡγιασμένον διὰ τὸ συγγενόμενον αὐτῷ ἀγέννητον Πνεῦμα ἅγιον, ὅ ἐστι καὶ ὁ Λόγος τεχθεὶς ἐκ τῆς Παρθένου· τὸ γὰρ ἐν αὐτῇ συλληφθὲν, φησὶν ὁ ἄγγελος, ἐκ Πνεύματος ἁγίου, Πνεῦμα ἅγιόν ἐστιν· ὥσπερ καὶ τὸ ἐκ τῆς σαρκὸς, σάρξ εἴρηται εἶναι· Πνεῦμα δὲ ὁ Θεός· καὶ Θεὸς δὲ ἦν ὁ Χριστός· τὸ συλληφθὲν τοῦτό ἐστι καὶ τὸ συντεχθέν. Οὐ κενῶν οὖν ὀνομάτων χαρίσματα ἐπὶ Χριστοῦ, τό τε Θεὸς καὶ Υἱὸς Θεοῦ καὶ Μονογενὴς καὶ Κύριος τῆς δόξης, καὶ τὰ λοιπὰ, ἀλλὰ πράγματι ὄντων· εἰ γὰρ μὴ τάδε οὕτως ἔχοι, ψευδωνυμία τὸ δῶρον τῆς ὀνομασίας τοῦ Θεοῦ ἔσται ἐν Χρι

[14] Psal. II, 7; Hebr. V, 5. [14] Psal. CIX, 4. [15] Hebr. VII, 11. [16] ibid. 12. [17] Luc. I, 32.

στῷ· ταύτης δὲ καὶ εἴδωλα καὶ ἥρωες καὶ δαίμονες πάλαι ἔτυχον, ἧς ἐπὶ καθαιρέσει ὄντως ὁ ἀληθὴς Υἱὸς τοῦ Θεοῦ ἐπεδήμησέ τε καὶ πλεῖστα ᾠκονόμησεν ἐπιδημήσας· καὶ οὐκ ἂν κακῷ τὸ κακόν τις ἰᾶσθαι αὐτὸν εἴποι· ἀλλὰ καὶ ἄγγελοι καὶ ἄνθρωποι, υἱοὶ Θεοῦ, καὶ υἱοὶ Ὑψίστου εἴρηνται πολλάκις. Τί οὖν περισσότερον, ἐν τῷδε Χριστῷ τῷ μονογενεῖ Υἱῷ τοῦ Θεοῦ; πῶς δὲ καὶ Μονογενής, εἰ κατ' αὐτοὺς ἡ χάρις ἡ εἰς αὐτὸν τῆς θεώσεως ἢ υἱότητος; Χάριτι οὖν τῇ δι' ἑνώσεως ὑποστατικῆς πρὸς τὸν φύσει Υἱὸν, εἴρηται σαφῶς Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος ὁ Μονογενής.

ΚΕΦΑΛ. Ϛ'.

Ἀλλὰ, φασὶν, εἰ μὴ οἰκονομικῶς εἴρηται, ὡς ἂν εἴποι, ὑμεῖς φεύγοντες τὴν ἀκριβῆ τῶν σημαινομένων ἐξέτασιν· καὶ εἰ μὴ οὐκ ἔχει κυρίαν τὴν ἔκβασιν ἢ παραβολῇ ἢ ἀλληγορίᾳ ἢ φαντασίᾳ ἢ δοκήσει, καὶ κατὰ κενῆς κεῖται ὡς πρὸς ὑπόνοιαν μόνον τοῖς ἀκροαταῖς τὰ λεγόμενα, τίς ἐστιν ὁ υἱὸς ὃς ἔμαθε καὶ ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν; « Ὁ καὶ δεήσεις καὶ ἱκετηρίας μετὰ κραυγῆς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, » καὶ τελειωθεὶς, καὶ σταυρωθεὶς, καὶ ταφείς· καὶ ὃν ἤγειρεν ὁ Θεὸς ἐκ νεκρῶν, καὶ ὁ ὑψωθεὶς καὶ δοξασθεὶς, καὶ τὰ λοιπά· οὔτε γὰρ ἴδια τοῦ Λόγου τάδε τις τολμήσει μὴ δαιμονῶν καταφάσκειν, οὔτε σὺν ἑτέρῳ ὄντος. Ἀλλ' ἤδη πολλάκις ὑμῖν ἐῤῥέθη, ὡς ἀπὸ μέρους τὸ ὅλον πολλάκις κατηγορεῖται, νόμῳ τε διαλεκτικῷ κοινῷ, καὶ ἰδίῳ ἔθει τῆς ἁγίας Γραφῆς. Οὐκ ἄρα οὖν δοκήσει ἢ παραβολῇ ἤ τινι τοιῷδε τρόπῳ, ταῦτά ἐστι· σὺν ἀληθείᾳ δὲ, μετὰ τῶν μέντοι πρεπόντων διανοητικῶν προσδιορισμῶν ἐκληπτέον αὐτά· ἁπλῶς δὲ καὶ ὑμεῖς, εἰ μὴ ἐν τῷδε αὐτῷ τῷ τοιῷδε καταφασκομένῳ τῷ Χριστῷ, καὶ ὁ φύσει Υἱὸς τοῦ Θεοῦ Λόγος νοεῖται ὑμῖν ἐνυπάρχειν ἀπαθῶς μὲν, καὶ αὐτὸς δὲ τοῖσδε τὴν φύσιν ὑποβεβλημένος διὰ μέσου τοῦ Λόγου τῆς ὑποστάσεως αὐτοῦ· ποῦ ζητοῦμεν τὸν ἕτερον Υἱὸν τοῦ Θεοῦ, περὶ οὗ εἴρηται ὅτι « Ἐν μορφῇ Θεοῦ ὑπάρχων, ἑαυτὸν ἐκένωσε, καὶ αἰσχύνης θανάτου σταυροῦ κατεφρόνησε; » καὶ ποῦ ὁ Υἱὸς τοῦ Θεοῦ ὁ μονογενὴς, αὐτὸς ὁ ὑπὲρ ἡμῶν ἐκδοθεὶς ὑπὸ τοῦ Πατρός; « Οὕτως γὰρ, φησὶν, ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκε. »

Τίς τε ὁ πεμφθεὶς μονογενὴς Υἱὸς τοῦ Κυρίου τοῦ ἀμπελῶνος μετὰ τοὺς προλαβόντας δούλους ὄντας πάντας πρὸς τοὺς κακοὺς γεωργοὺς, εἴ πως αὐτὸν ἐντραπήσονται; καὶ τίς ἐστι οὗ ἐθεάσαντο τὴν δόξαν ὡς μονογενοῦς παρὰ Πατρὸς οἱ μαθηταί; ἔτι μὴν τίς ὁ ὁρισθεὶς Υἱὸς Θεοῦ κατὰ πνεῦμα ἁγιωσύνης; τίς τε ὁ καταβὰς καὶ εἰσκριθεὶς ὡς ὑετὸς ἐπὶ πόκον; οὗ πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ καὶ πρὸ τῆς σελήνης ἐστὶν ὁ θρόνος; τίς τε ὁ λέγων, Σῶμα δὲ κατηρτίσω μοι; εἰ μὴ ἄρα καὶ προΰπαρξιν τῆς Ἰησοῦ ψυχῆς ὀνειροπολεῖτε· πῶς δὲ αὐτὸς ἐν ᾧ τὰ πάντα ἔκτισται, καὶ πρωτότοκος ἐκ τῶν

A tionis Dei erit in Christo: hanc enim et idola et heroes et dæmones olim obtinuerunt, ad quam delendam omnino verus Filius Dei venit et multa disposuit post adventum: nullus est enim qui malum malo mederi dicat: sed et angeli et homines filii Dei, et filii Altissimi sæpe dicti sunt: quid igitur amplius in Christo unigenito Filio Dei? quomodo enim dicitur Unigenitus, si apud ipsos eadem sit gratia ac apud ipsum deificationis aut filiationis? Gratia igitur propter unionem hypostaticam cum Filio in natura, dictus est manifeste Filius Dei viventis unigenitus.

CAP. VI.

Sed, inquiunt, si non accommodate dictum est, B perinde ac si voce vos accuratam rerum designatarum inquisitionem vitaretis, et si præfata non habeant principalem digressum aut parabola, aut allegoria, aut imaginatione, aut figura, et in vanum non jactentur tanquam solum ad illudendos auditores, quis est filius qui didicit ex iis quæ passus est obedientiam? « Qui et preces et supplicationes cum clamore valido et lacrymis obtulit, qui exauditus est pro sua reverentia [18], » et consummatus et crucifixus, et sepultus; et quem suscitavit Deus ex mortuis, et fuit exaltatus et glorificatus, et reliqua: nemo enim hæc esse Verbi propria audebit nisi insaniens affirmare, nec etiamsi Verbum cum altero esset. Sed jam sæpe vobis dictum est per partem totum sæpe designari et lege dialectica C communi, et proprio usu sacræ Scripturæ: non profecto igitur hæc constant figura aut allegoria aut parabola aut aliquo simili tropo: sed vere ipsa interpretandum est cum convenientibus et intelligibilibus modificationibus: sed vos simpliciter dicite, si non concipitur vobis in ipso quatenus talis affirmatur Christo natura Filium Dei Verbum impassibile esse et Verbum ipsum secundum naturam hisce subjectum mediante Verbi ipsius persona: ubi quæremus alium Filium Dei, de quo dictum est: « Cum in forma Dei esset, semetipsum exinanivit, et confusionem mortis crucis contempsit [19]? » Et ubi erit Filius Dei unigenitus ipse pro nobis datus a Patre? « Sic enim, ait, di- D lexit Deus mundum, ut Filium suum unigenitum daret [20]. »

Quis est etiam qui missus fuit unigenitus Filius Domini vineæ post omnes qui illum præcesserant servos, ad malos agricolas, ut constaret an illum vererentur [21]? Quis est cujus discipuli mirati sunt gloriam quasi unigeniti a Patre? Quis adhuc definitus est Filius Dei secundum spiritum sanctitatis? Quis est qui descendit et penetravit sicut pluvia in vellus? Cujus cum sole permanet nomen et ante lunam est solium? Quis est qui dicit, corpus restituam mihi? nisi certe præexsistentiam Jesu animæ somnietis: quomodo autem ille ipse in quo omnia creata sunt, et primogenitus ex mortuis

[18] Hebr. v, 7. [19] Philipp. ii, 7, 8. [20] Joan. iii, 16. [21] Matth. xxi, 37 seqq.

dictus est, in omnibus ipse præcellens primogenitus omnis creaturæ? Qualis est qui est de cœlo secundus homo et Dominus? Quis de quo loquitur Joannes: « Qui desursum venit, super omnes est [22]? » Quis est qui dicit gloriam habere a Patre antequam mundus fieret, et confitetur se cum Patre unum esse? Et quis est qui habet potestatem ponendi suam animam et sumendi [23], et qui eversum proprium templum tanquam divinum et non domum particularem dictum, post triduum reædificare potest [24]? Quomodo autem ex fide justitia dicit: « Ne dixeris in corde tuo, quis ascendit in cœlum, id est Christum deducere [25], » si non cœlestem esse illum et non nudum mortalem dicit? Quis est Dominus gloriæ quem nescientes crucifixerunt [26]? Quomodo et vos ipsi Nicænam fidem non abdicantes, confitemini Christum ex Patre genitum ante omnia sæcula, qui ipse descendit de cœlis et incarnatus est ex Spiritu sancto et Maria Virgine, et homo factus est? et quomodo intelligitis omnia alia quæ a nobis ex sacris Eloquiis præfata sunt de Christo, tanquam Filio Dei, et quæ gratia et natura Filium Dei illum præponunt? Si enim hæc non figura aut imaginatione aut ad illusionem aut propter aliquid eorum quæ asseruistis dicta fuerint in sacra Scriptura, neque nomine fictitio dictus fuerit Deus et Filius Dei, et Dominus idem Christus, quomodo non idem erit duo, quippe de eodem utrumque narratur, quomodo unus et Filius Dei natura et Filius Dei gratia, impassibilis et passibilis, exaltans et exaltatus, et reliqua, non æstimabitur?

Non enim rationabiles vere estis vos, o verbosi, qui per acceptionem figuræ et imaginationis passiones et passibilis nomina proprie recipitis, et natura et realiter: impassibilitatem vero et gloriam et honorem, et nomen deificationis et divinæ filiationis, non natura generaliter, nec re nec vere de Christo, sed falsum nomen et figuram et imaginationem et vanam appellationem habetis: si enim et vere dicuntur ab ipso et fiunt humana, sed considerate studio veritatis regi quidem dicere propriis subjectis, unus ex vobis sum, et similis vobis, et facere in acie instructa quæ sunt militis ad procurandam communis propriam reipublicæ salutem, non solum non esse reprehendendum, sed et nimis gloriosum: militem vero, si regie proponat et nominetur, non parvam incurrere accusationem: si igitur qui est Filius hominis et homo solum, unigenitus Dei Filius, et primogenitus omnis creaturæ [27], et super omnes Deus [28], et reliqua, dici consentiat et cum potestate præponat tanquam dominus, in Deum conspirare convincitur: si vero, cum sit Dei Filius et Deus, utatur aliquando humanis vocibus et rebus, evidens est quod præ naturali magnitudine, humiliationem ex dilectione ostendat.

A νεκρῶν εἴρηται, ἐν πᾶσιν αὐτὸς πρωτεύων, πρωτότοκος πάσης κτίσεως; ποῖός τέ ἐστιν ὁ ἐξ οὐρανοῦ δεύτερος ἄνθρωπος καὶ Κύριος; τίς τε ὅν φησι Ἰωάννης, « Ὁ ἄνωθεν ἐρχόμενος, μείζων πάντων ἐστί; » τίς τε ὁ λέγων δόξαν ἔχειν παρὰ τῷ Πατρὶ πρὸ τοῦ τὸν κόσμον γενέσθαι, καὶ ὁμολογῶν ἑαυτὸν σὺν τῷ Πατρὶ ἓν εἶναι; καὶ τίς ὁ ἐξουσίαν ἔχων θεῖναι τὴν οἰκείαν αὐτοῦ ψυχὴν καὶ ἆραι, καὶ λυθέντα τὸν ἴδιον ναόν, ὡς θεῖον καὶ οὐχ οἶκον ἰδιωτικὸν λεγόμενον, ἐν τρισὶν ἡμέραις ἐγεῖραι δυνατός; πῶς δὲ καὶ ἡ ἐκ πίστεως δικαιοσύνη λέγει, « Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι Χριστὸν καταγαγεῖν, » εἰ μὴ καὶ οὐράνιον εἶναι αὐτὸν καὶ οὐ ψιλὸν ἐπίγειόν φησι; τίς τε ὁ Κύριος τῆς δόξης, ὃν ἀγνοοῦντες ἐσταύρωσαν; πῶς δὲ καὶ ὑμεῖς αὐτοὶ τὴν ἐν B Νικαίᾳ πίστιν οὐ παραιτούμενοι τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, τὸν αὐτὸν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα Χριστὸν ὁμολογεῖτε ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου, καὶ ἐνανθρωπήσαντα; καὶ τὰ ἄλλα δὲ, πῶς νοεῖτε, ὅσα προείρηται ἡμῖν ἐκ τῶν ἱερῶν Λογίων περὶ Χριστοῦ, ὡς Υἱοῦ Θεοῦ, πρὸς τῇ χάριτι καὶ φύσει ὄντα Υἱὸν Θεοῦ, παριστῶντα αὐτόν; εἰ γὰρ μὴ δοκήσει ἢ φαντασίᾳ ἢ πρὸς ὑπόνοιαν ἤ τι τῶν λοιπῶν ὧν ἔφητε οὐδὲ ταῦτά ἐστιν εἰρημένα ἐν τῇ θείᾳ Γραφῇ, οὔτε μὴν ψευδωνύμως εἴρηται Θεός τε καὶ Υἱὸς Θεοῦ, καὶ Κύριος ὁ αὐτὸς Χριστὸς, πῶς οὐχὶ ὁ αὐτὸς ἔσται ἄμφω, εἴπερ κατὰ τοῦ αὐτοῦ ἑκάτερα λέγεται: καὶ εἷς ὅ τε φύσει Υἱὸς τοῦ Θεοῦ καὶ ὁ χάριτι, ὁ ἀπαθής τε καὶ παθητὸς, ἀνιστῶν τε καὶ ἀνιστάμενος, C καὶ τὰ λοιπὰ, δοξασθήσεται;

Οὐ γὰρ εὔλογοι ὄντως ὑμεῖς, ὦ εὑρεσιλόγοι, δι' εὐλάβειαν μὲν δοκήσεως καὶ φαντασίας, τὰ πάθη τε καὶ τὰ τοῦ παθητοῦ ὀνόματα κυρίως ἐκδεχόμενοι, καὶ φύσει καὶ πραγματιωδῶς· τὴν δὲ ἀπάθειαν καὶ δόξαν καὶ τιμὴν, καὶ τὸ τῆς θεότητος καὶ θείας υἱότητος ὄνομα, οὐ φύσει τὸ καθόλου, οὐ πράγμασιν οὐδὲ ὄντως ἐπὶ Χριστοῦ, ἀλλὰ ψευδωνυμίαν καὶ δόκησιν καὶ φαντασίαν καὶ διακενῆς προσηγορίαν· εἰ γὰρ καὶ ὄντως λέγεται ὑπ' αὐτοῦ καὶ πράττεται τὰ ἀνθρώπινα, ἀλλὰ σκοπεῖτε φιλαλήθως, ὅτι βασιλεῖ μὲν λέγειν τοῖς ἰδίοις ὑπηκόοις ὅτι Εἷς ἐξ ὑμῶν εἰμι, καὶ ὅμοιος ὑμῖν, καὶ πράττειν ἐν καιρῷ D παρατάξεως τὰ τοῦ στρατιώτου, προθυμίᾳ τῆς τοῦ κοινοῦ τῆς ἰδίας πολιτείας σωτηρίας, οὐ μόνον οὐ ψεκτὸν, ἀλλὰ καὶ ἄγαν ἔνδοξον· στρατιώτην δὲ ὄντα, βασιλικῶς προστάττειν ἢ ὀνομάζεσθαι, οὐ μικρῷ περιβαλεῖ ἐγκλήματι· εἴπερ οὖν Υἱὸς ὢν ἀνθρώπου, καὶ ἄνθρωπος μόνον, ὁ μονογενὴς τοῦ Θεοῦ Υἱὸς, καὶ πρωτότοκος πάσης κτίσεως, καὶ ὁ ἐπὶ πάντων Θεὸς, καὶ τὰ λοιπὰ, λεγόμενός τε ἀποδέχεται, καὶ ἐξουσίᾳ προστάσσει ὡς Κύριος, ἀνταρσίας ἑάλω πρὸς Θεόν· εἰ δὲ καὶ Θεοῦ Υἱὸς καὶ Θεὸς ὄντως ὢν, χρῆται ποτε τοῖς ἀνθρωπείοις ῥήμασι καὶ πράγμασι, δῆλον ὡς πρὸς τῇ φυσικῇ μεγαλειότητι, καὶ συγκατάβασιν ἐξ ἀγαθότητος ἐπιδείκνυται.

[22] Joan. III, 31. [23] Joan. x, 18. [24] Joan. II, 19. [25] Rom. x, 6. [26] I Cor. II, 8. [27] Coloss. I, 15. [28] Ephes. IV, 6.

Εἰ δὲ μὴ κατὰ τοῦ αὐτοῦ Υἱοῦ ἢ προσώπου, ἀλλὰ καθ' ἑτέρου καὶ ἑτέρου υἱοῦ τὰ διάφορα νοεῖτε, πῶς οὐ δύο υἱοὺς σαφῶς δοξάζετε; πῶς δὲ οὐ θάτερον μὲν Θεὸν οὐδὲν εἰς ἀνθρώπους κατ' οὐσίαν κενωθέντα, ἀλλὰ μόνον κατὰ τὴν ἐξ αἰώνων προνοητικὴν αὐτοῦ ἐνέργειαν, δι' ἑτέρου τὴν ἡμετέραν σωτηρίαν οἰκονομοῦντά φατε; ὡς μηδὲ ἀληθεύειν λοιπὸν καθ' ὑμᾶς τὸ, Οὐ πρέσβυς οὐδ' ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς, τὸν δὲ ἕτερον υἱὸν, ἄνθρωπον ψιλὸν, κατ' οὐδὲν Θεῷ κοινωνοῦντα ἢ ἡνωμένον, οὐ φύσει, οὐχ ὑποστάσει δοξάζετε; εἰ μὴ, ὥς φατε, μόνῳ τῷ ὀνόματι κατὰ τὸν τῶν ὁμωνύμων λόγον· ἐφ' ὧν τὸ μὲν ὄνομα κοινὸν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας, ἕτερός ἐστιν ἀεί· οἷον ὅ τε ἐν ἀληθείᾳ ἄνθρωπος, καὶ ὁ ἐν Γραφῇ ἄμφω λεγόμενος ὡσαύτως τισὶν ἀπαρατηρήτως ἄνθρωπος. Οὕτω μὲν οὖν καὶ τάδε παρ' ἡμῶν ἀποδέδεικται· ἵνα δὲ πρὸς ἔλεγχον τῆς λοιπῆς αὐτῶν ἀσεβείας αὐτοὺς κατασύρωμεν, αὐτοὶ λεγέτωσαν ἡμῖν· τὸν κατ' αὐτοὺς θάτερον τῶν υἱῶν Χριστὸν, τὸν ἀσύνθετον τῷ Λόγῳ, τίνι φασὶν ὁμοούσιον; εἰ γὰρ οὐδενὶ, οὐδὲ Υἱὸν ὅλως, τίνος ἄρα εἴποισαν; ἐπεὶ τοῖς τεκοῦσιν ἦν ἀνομοούσιος· οὐδὲ γεννηθέντα οὖν, οὐδὲ ζῶον ἔσται νοεῖν αὐτὸν, καθὰ καὶ αὐτοὶ ἐγ τοῖς πρώην δεδώκασιν· εἰ δὲ τῷ Θεῷ μόνον, ἄρα γε καὶ δύο θεῖοι υἱοί εἰσι, καὶ τετρὰς ἡ ἁγία Τριάς· καὶ τοῦτο δὲ λέγοντες, ἢ οὐ τὸν ἐκ Παρθένου φασὶν εἶναι τόνδε, ἢ καὶ τὴν Παρθένον, Θεὸν ἴσασι φύσει· εἴπερ ὁμοούσιος καὶ αὐτῇ ὁ ὁμοούσιος Θεῷ· διὸ δὴ καὶ ἡμᾶς πάντας τοὺς ὁμοουσίους αὐτῇ, θεοὺς ἂν εἴποιεν εἰκότως· καὶ ἀπειροθεΐαν εἰσάγουσι προφανέστατα· εἰ δὲ ἡμῖν μόνον ὁμοούσιόν φασι τὸν Χριστὸν, Υἱὸν Θεοῦ λεγόμενον, τί διαφέροι ἂν οὗτος τῶν λοιπῶν υἱῶν τοῦ Θεοῦ εἰρημένων, λεγέτωσαν· περὶ ὧν εἴρηται ὑπὸ τοῦ Θεοῦ· « Καὶ ἔσονταί μοι εἰς υἱοὺς καὶ θυγατέρας· » καὶ, « Ἐγὼ εἶπον· Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες, » καὶ τὰ τοιάδε.

Si autem non de eodem Filio aut eadem persona, sed de uno et altero filio diversa concipitis, quomodo non duos esse filios manifeste opinamini? quomodo vero alterum quidem Deum minime inter homines secundum substantiam evacuatum, sed solum juxta operationem ipsius ex sæculis providentem, ope alterius de nostra salute disponentem non dicitis? sic apud vos non esse verum istud, nec nuntius, neque angelus, sed ipse Dominus salvavit nos, alterum vero filium, hominem nudum, minime Deo participantem aut unitum, nec natura nec hypostasi opinamini? Nisi dicatis ita esse solo nomine, secundum quod habetur pro verbis homonymis: quoad ista quorum nomen commune est, Verbum secundum nomen substantiæ, alterum est semper; ut in veritate homo, et in Scriptura ambo dictus quibusdam homo quin animo ad hoc attendatur: ita quidem igitur et hæc a nobis demonstrata sunt: ut autem ad probationem reliquæ eorum impietatis ipsos attrahamus, ipsi dicant nobis: Unum juxta ipsos ex filiis Christum non compositum Verbo, cui dicunt consubstantialem? Si enim nulli, nec filium omnino alicujus profecto dicant! Etenim non illi eadem ac parentibus esset substantia: neque igitur genitum, neque vivum dabitur illum concipere, ut ipsi nuper concesserunt: si autem Deo solum profecto quidem et duo divini filii sunt, et quaternitas aut sancta Trinitas: et illud asserentes aut non ex Virgine illum esse dicunt, aut Virginem Deum natura noverunt: quippe sit consubstantialis et ipsi consubstantialis Deo. Ideo et nos omnes consubstantiales Virgini, deos merito dicerent: et inexperientiam exhibent manifestissime: si vero nobis solum consubstantialem dicunt Christum, Flium Dei dictum, in quo differat iste a cæteris filiis dei nuncupatis, dicant, de quibus prolatum est a Deo: « Et erunt mihi in filios et filias? » Et « Ego dixi: Dii estis et filii excelsi omnes [29], » et similia.

ΚΕΦΑΛ. Ζ'.

Υἱὸν μὲν, φησὶ, τοῦ Θεοῦ, φύσει τὸν Θεὸν Λόγον μόνον, τὸν ὁμοούσιον τῷ Πατρί φαμεν· τὸν δὲ Χριστὸν, Υἱὸν μὲν Θεοῦ προσαγορεύεσθαι χάριτι λέγομεν, ὅμοιον δὲ εἶναι τῇ φύσει· οὐ διὰ τόδε δὲ καὶ ὁμότιμον αὐτὸν ἡμῖν ἤδη παριστάνομεν Υἱόν· ἐπεὶ καὶ ἡμεῖς χάρισμα υἱοθεσίας ἐλάβομεν παρὰ Θεοῦ, καὶ χάριτί ἐσμεν τέκνα Θεοῦ, καὶ κληρονόμοι Θεοῦ, καὶ συγκληρονόμοι αὐτοῦ Χριστοῦ· καὶ τῶν ὁμοίως γὰρ λεγομένων πολλάκις, ἄφατος εὑρίσκεται διαφορά· κυρίως γὰρ καὶ κτίσματα ὅ τε κώνωψ καὶ ὁ ἄγγελος ἄμφω ὁμοίως λέγεται· καὶ οὐ παρὰ τόδε ὅμοιά ἐστι· πολὺ γὰρ τὸ διάφορον αὐτῶν· οὕτως οὖν καὶ ἐπὶ τῶν θέσει διαφόρων υἱῶν Θεοῦ καὶ χάριτι νοητέον· πλείονος γὰρ τιμῆς ἠξίωται ὁ Χριστὸς καὶ παρὰ Μωϋσῆ τὸν μέγαν ἐν προφήταις, καθόσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν.

Εἰ οὖν μὴ καὶ ταῦτα προσποιεῖσθε, ἀλλ' ὄντως κἂν τιμῆς καὶ ἀξίας ἴστε πρόκρισιν ἐπὶ Χριστοῦ

CAP. VII.

Filium quidem, inquit, Dei, natura Deum Verbum solum, consubstantialem Patri dicimus: Christum vero Filium Dei appellari gratia tenemus, similem vero esse natura: non autem ideo ipsum nobis honore parem Filium jam proponimus: nam et ipsi donum deificationis accepimus a Deo, et gratia sumus filii Dei, et hæredes Dei, et cohæredes ipsius Christi [30]. In his tamen quæ sæpe similiter dicuntur, infanda reperitur differentia: proprie enim creaturæ et culex et angelus ambo similiter dicuntur: et non ideo similes sunt: multum enim differunt: ita igitur de diversis filiis Dei adoptione et gratia sentiendum: amplioris enim gloriæ dignus est habitus Christus, et præ Moyse magno inter prophetas, quanto ampliorem honorem habet domus qui fabricavit illam.

Si igitur non et hæc admiseritis, sed vere et honoris et dignitatis noveritis electionem de Christo

[29] Psal. LXXXI, 6. [30] Rom. VIII, 17.

supra cæteros homines, non autem substantiæ, quomodo paulo ante vocationem ipsius et honorem quem accepit a Deo similem vocationi et honori Aaron affirmatis, quia sicut et Aaron, ita et Christus dictum est? Quæ quidem igitur tandem prætermittamus. De exemplo autem vestro dicemus, perinde ac saperetis, o sophistæ, creatio diversa producit et creat secundum substantiam: insuper et facit ut ex non exsistentibus sint, ut dicebatis, et angelus et culex, quæ quidem natura differunt, et ita facta sunt divina creatione: quid ergo dicitis gratiam datam Christo differentiam ab ipso fecisse secundum substantiam in aliqua re, aut non? Si minime quidem, quomodo pariter ac differentia creatorum, differentia in gratia perspicitur? Cum illa quidem exsistentibus faciat differentias, ista minime: multum enim vere illud ipsum a diversis diversum. Si fecerit, evidens est quod meliorem efficit secundum naturam illum quem gratificavit. Quippe igitur exsistenti aliquid secundum substantiam datum est, non enim minime exsistenti gratia datur, nec quod nullo modo est, ex non exsistentibus sit, ipsa facit, aliter esset ipsa creatio et non gratia, quid Christo, cum iste esset antea secundum substantiam, dedit ipsa gratia? Quid fecit amplius in illo natura efformans et secundum substantiam meliorem efficiens? Si enim homini nudo datum est, primum quidem ubi et quando erat ille, dicite: postea gratia ipsa, cum vere gratia meliorem illum efficit secundum naturam quem gratificavit, si esset homo, evidenter angelum aut aliquid simile secundum naturam aut Deum necessario fecit: nihil enim aliud super hæc potius est homine secundum substantiam: si vero illud ipsum hominem ipsum secundum substantiam melius faciens gratia effecit, evidens quod aliquid volatile aut pecus aut reptile ante gratiam erat iste quem gratificavit ipsa. Quæ quidem igitur videtur dicere de Christo: aliter ita et omnes homines ejusdem gratiæ et ante ipsum et cum ipso et post ipsum participes erunt: et quidem amplius ac ipse, cum ex natura prima habeant dignitatem humanitatis qua ipsum gratia dignata est meliorem naturaliter efficiendo.

A παρὰ τοὺς λοιποὺς ἀνθρώπους, εἰ καὶ μὴ οὐσίας, πῶς πρὸ μικροῦ τὴν κλῆσιν αὐτοῦ καὶ τὴν τιμὴν ἣν ἔλαβε παρὰ Θεοῦ, ὁμοίαν εἶναι τῆς Ἀαρὼν διισχυρίζεσθε, διὰ τὸ καθάπερ καὶ Ἀαρὼν, οὕτως καὶ ὁ Χριστὸς εἰρῆσθαι; Καὶ τοῦτο μὲν οὖν τέως ἀφείσθω· περὶ δὲ τοῦ παραδείγματος ὑμῶν ἐροῦμεν, ὡς εἰ κατανοεῖτε, ὦ σοφισταὶ, ἡ κτίσις διάφορα προάγει καὶ κτίζει κατ' οὐσίαν· ἔτι δὲ καὶ ἐκ μὴ ὄντων εἶναι ποιεῖ, ὥσπερ ἔφητε, καὶ τὸν ἄγγελον καὶ τὸν κώνωπα, τάδε τὰ διάφορα ὄντα τῇ φύσει, καὶ οὕτω γενόμενα ὑπὸ τῆς θείας κτίσεως· τί οὖν φατε; καὶ τὴν δοθεῖσαν χάριν Χριστῷ διαφορὰν αὐτοῦ ποιῆσαι κατ' οὐσίαν πρός τι, ἢ οὐχί; εἰ μὲν γὰρ οὐχὶ, πῶς ὁμοίως τῆς διαφορᾶς τῶν κτιστῶν, ἡ ἐν χάριτι διαφορὰ ὁρᾶται; εἴπερ ἐκείνη μὲν ποιεῖ οὐσιώδεις διαB φοράς, αὕτη δὲ οὐχί· πολὺ γὰρ ὡς ἀληθῶς τοῦτο αὐτὸ τὸ τῶν διαφόρων διάφορον· εἰ δὲ πεποίηκε, δηλονότι κρειττοῖ τοῦτον κατὰ τὴν φύσιν αὐτοῦ, ᾧ κεχάρισται· ἐπεὶ οὖν ὄντι τι τὴν οὐσίαν ἐδόθη (οὐ γὰρ τῷ μὴ ὄντι ἡ χάρις, οὐδὲ μὴν τὸ πάντῃ μὴ ὂν, ἐκ μὴ ὄντων εἶναι αὕτη ποιεῖ· ἔσται γὰρ ἂν οὕτω καὶ αὕτη κτίσις καὶ οὐ χάρις), τί ὄντι τούτῳ τῷ Χριστῷ κατ' οὐσίαν πρώην ἐδόθη ἡ χάρις αὕτη; καὶ τί πεποίηκεν αὐτὸν εἶναι τῇ φύσει ἐγγενομένη καὶ κρειττώσασα αὐτὸν κατ' οὐσίαν; εἰ μὲν γὰρ ἀνθρώπῳ ψιλῷ ἐδόθη, πρῶτα μὲν ποῦ τε καὶ πότε ἦν οὗτος, εἴπατε· εἶτα δὲ ἡ χάρις αὕτη, εἴπερ ὄντως χάρις ἐστὶ κρειττοῦσα τοῦτον κατὰ φύσιν ᾧ κεχάρισται, εἰ ἄνθρωπος ἦν, δῆλον ὅτι ἄγγελον ἤ τι τοιοῦτον εἶναι C τὴν φύσιν, ἢ Θεὸν ἐξ ἀνάγκης αὐτὸν εἶναι δείκνυσιν· οὐδὲν γὰρ ἄλλο παρὰ τάδε, κρεῖττον ἀνθρώπου τὴν οὐσίαν ἐστί· εἰ δὲ αὐτὸ τοῦτο ἄνθρωπον αὐτὸν κατ' οὐσίαν κρειττοῦσα ἡ χάρις ἐποίησε, δῆλον ὡς πετεινόν τι ἢ κτῆνος ἢ νηκτὸν ἢ ἑρπετὸν πρὸ τῆς χάριτος ἦν οὗτος ᾧ κεχάρισται αὕτη. Ἆρά γε οὖν ταῦτα μὲν δοκεῖ λέγειν περὶ Χριστοῦ; ἄλλως τε οὕτως καὶ πάντες ἄνθρωποι τῆς αὐτῆς χάριτος καὶ πρὸ αὐτοῦ καὶ σὺν αὐτῷ καὶ μετ' αὐτὸν ἔσονται μέτοχοι· ἀλλὰ καὶ μᾶλλον αὐτοῦ, ἐκ φύσεως πρώτης ἔχοντες τὴν ἀξίαν τῆς ἀνθρωπότητος, ἧς αὐτὸς κατὰ χάριν ἠξιώθη διὰ φυσικῆς κρειττώσεως.

CAP. VIII.

Quid ergo, inquit, in consubstantialibus non est differentia forsan auri metalli a plumbo aut a testa, et Baptistæ Joannis a proditore Juda? Sed ea est istorum differentia, optimi; illa est secundum accidens inseparabile a pulchro colore forsan et a quibusdam aliis quorum habendus est respectus: nec simpliciter nec semper nec secundum omnia superat alteram: non enim et tauro potentius videtur, nec Deo pretiosius aurum: adhuc reperire est quibus et quando et de quibus et ubi, magis necessaria sint et utiliora plumbum et testa: hæcce differentia rursum, secundum virtutem, et ex facto et opinione alterius erga alterum respicitur: quomodo igitur gratiæ differentia erit de Christo, si juxta aliquid unum ex istis solum est

ΚΕΦΑΛ. Η'.

Τί οὖν, φησὶ, ἐν τοῖς ὁμοουσίοις οὐκ ἔστι διαφορὰ χρυσοῦ τυχὸν τοῦ μετάλλου πρὸς μόλιβδον ἢ πρὸς ὄστρακον, καὶ τοῦ Βαπτιστοῦ Ἰωάννου πρὸς τὸν προδότην Ἰούδαν; Ἀλλὰ τούτων ἡ διαφορὰ, D βέλτιστοι, ἡ μὲν κατὰ συμβεβηκὸς ἀχώριστον οὖσα εὐχροίας τυχὸν καὶ ποιῶν ἑτέρων λόγων, πρός τὸ, δοκεῖ· καὶ οὐχ ἁπλῶς οὐδὲ ἀεὶ οὐδὲ κατὰ πάντα ὑπερέχει θατέρας· οὐ γὰρ δὴ καὶ ταύρῳ κρείττων δοκεῖ, ἀλλ' οὐδὲ Θεῷ τιμιώτερος ὁ χρυσός· ἔτι δὲ οἷς τε καὶ ὅτε καὶ ἐφ' ὧν καὶ οἷ, ἀναγκαιότερος καὶ χρησιμώτερος ὅ τε μόλιβδος καὶ τὸ ὄστρακον· ἡ δὲ ἑτέρα διαφορὰ πάλιν, κατὰ ἀρετὴν, καὶ ἐξ ἔργου καὶ γνώμης ἐστὶ θατέρου πρὸς θάτερον ὁρωμένη· πῶς οὖν χάριτος ἔσται διαφορὰ ἐπὶ Χριστοῦ, εἰ κατά τι τῶνδέ ἐστιν ἡ ὑπεροχὴ αὐτοῦ πρὸς ἡμᾶς μόνον;

τῷ γὰρ ἐργαζομένῳ δίδοται μὲν μισθὸς, οὐ κατὰ χάριν δὲ, ἀλλὰ κατ' ὀφείλημα· « Εἰ δὲ κατὰ χάριν, οὐκ ἐξ ἔργων· ἐπεὶ ἡ χάρις οὐκέτι γίνεται χάρις, » ὡς εἴρηται· ἄλλως δὲ εἰ ἡ χάρις αὐτὴ καὶ ἡ τιμὴ ἧς ἠξίωται Χριστὸς διαφορὰν ποιεῖ καὶ πρὸς τὸν ἐν προφήταις ἐξαίρετον Μωϋσῆ, καθόσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτὸν, δῆλον ὅτι κτίστου πρὸς κτίσμα, τοσαύτη ἐστὶν ἡ διαφορὰ ἡ ἀπ' αὐτῆς ἐγγινομένη τοῖς μετόχοις αὐτῆς, πρὸς τοὺς πρώην ὁμοίους αὐτῶν· οὐκ ἄρα ἀρκεῖ οὐδὲ ἡ τοῦ ἀγγέλου πρὸς κώνωπα διένεξις φυσικὴ, ἢ χρυσοῦ πρὸς ὄστρακον, ἄμφω κτιστῶν ὄντων, κἂν ὑπερέχοι τι θάτερον θατέρου, εἰς παράδειγμα τῆς κατὰ Χριστὸν διαφόρου πρὸς ἡμᾶς χάριτος· εἰ γὰρ μὴ ὅμοια εἶναι ποιεῖ καὶ ἡ εἰς ἡμᾶς ὑπὸ Θεοῦ τιμὴ καὶ χάρις, ἀλλ' ἡ ὅσον κτίστου πρὸς κτίσμα διαφορὰ φυλάττεται ἐν ἡμῖν καὶ αὐτῷ ἐπὶ ταῖς θείαις χάρισι, κτίστην ἀληθῶς καὶ οὐ κτίσμα Χριστὸν μόνον παρίστησιν εἶναι ἡ ἐγγινομένη αὐτῷ χάρις· οὔτε καθ' ἡμᾶς οὖν, οὔτε κατὰ Μωϋσῆ τὸν μέγαν ὄντα μόνον δείκνυσιν αὐτὸν, ἀλλὰ καὶ Θεὸν σαφῶς· μόνου γὰρ Θεοῦ τὸ κτίζειν καὶ κατασκευάζειν ἐκ μὴ ὄντων τὰ πάντα· πάντων δὲ τῶν μετὰ Θεὸν, τὸ κτίζεσθαι ἴδιον· τῶν μὲν ὑπὸ Θεοῦ ἀμέσως, τῶν δὲ καὶ διά τινος μέσου τῶν ἐκ Θεοῦ προκτισθέντων· οὐκοῦν σαφῶς ὁ χάριτος καὶ τιμῆς ἀξιωθεὶς τοιᾶσδε, καὶ κτίστης ἐστὶ καὶ Θεὸς, καὶ τῶν ὅλων Χριστὸς, κἂν μὴ βούλεσθε· ἀλλ' ὧν φατε λογίων ὑμεῖς τὴν δύναμιν ἢ τὸν σκοπὸν οὐχ ὁρᾶτε, οἱ δοκοῦντες παρ' ἑαυτοῖς ἀκριβεῖς εἶναι τῶν νοητῶν διαγνώμονες.

Ἀλλὰ νῦν οἱ κομψοὶ ὥσπερ χάριτος διαφορὰς καὶ τιμῆς, οὕτως καὶ υἱοθεσιῶν βούλονται δεῖξαι ἐκ τῆς ἁγίας Γραφῆς· ἵνα εἰ καὶ τὰ αὐτὰ ἡμῖν καὶ ἐπὶ Χριστοῦ λέγουσι, δόξοιέν τι περισσὸν αὐτῷ διδόναι ὑπὲρ ἡμᾶς, καὶ μὴ πάντη πᾶσιν ὅμοιον οἴεσθαι· ἡμεῖς δὲ ὅτι μὲν εἰσὶ διαφοραὶ τῶν ὡσαύτως λεγομένων, οὐκ ἀντεροῦμεν· ἀλλ' ὅτι εἰ μὴ τὴν ὡς κτίστου πρὸς τὸ κτίσμα αὐτοῦ κατὰ τὸ λόγιον, παραστήσει ἡ ἐπὶ Χριστοῦ πρὸς ἡμᾶς λεγομένη διαφορὰ, οὐκ ὄντως αὕτη ἐστὶ καθ' ἣν ὑπὲρ Μωϋσῆν ἠξίωται τιμῆς· τοῦτο γὰρ οἷον γνώμονά τινα καὶ κανόνα τίθεμεν τῆς πρὸς ἡμᾶς ὑπεροχῆς αὐτοῦ δεικτικόν· ἐπειδὴ δὲ δεινότητι σοφιστικῇ τὰς προτάσεις τοῦ παρόντος ἐπιχειρήματος ἐν πλείστῳ ὕφει καταξάναντες ὡς μὴ ἔχοιεν εὔδηλον τὸ ἀσεβὲς τοῖς ἀκροαταῖς, μηδὲ εὔκολον τὴν ἀνατροπὴν τοῖς ἀντιλέγουσι, μεσολαβοῦντες τὰς ὑπὲρ ὧν ἐγκαλοῦνται ἀπολογίας, μεθυπερβατῶς καὶ συγκεχυμένως κατασκευάζουσιν, ἡμεῖς αὐτῶν τὸν σκοπὸν ὅλον τοῦ ἐπιχειρήματος συλλέξαντες, ἐχομένως ἐθήκαμεν, καὶ ἐπικατεσκευάσαμεν ἣν βούλονται διαφορὰν εἶναι τῶν υἱοθεσιῶν ἐν τῇ ἁγίᾳ Γραφῇ καθεξῆς λέγοντες.

Ἐῤῥήθησαν γὰρ, φασὶν, υἱοὶ τοῦ Θεοῦ, πάντες ἄνθρωποι· ἐν τῷ, « Ἐγὼ εἶπον, Θεοί ἐστε καὶ υἱοὶ Ὑψί-

A supra nos ipsius excellentia? Operanti enim datur quidem merces, non vero secundum gratiam, sed secundum debitum: « Si autem ex gratia, jam non ex operibus: alioquin gratia jam non est gratia [31], » dictum est: aliter autem: Si gratia ipsa et honor cujus dignus habitus est Christus differentiam efficit a Moyse inter prophetas conspicuo, et sit amplior quanto ampliorem honorem habet domus qui fabricavit illam, evidens est quod artificis ab opere tanta sit differentia quanta gratiæ participantium ab illis qui antea inter se similes erant: non certe sufficit neque angeli a culice discrepantia naturalis, aut auri a testa, quæ ambo creata sunt, etiamsi alterum altero aliquid superet, in exemplum gratiæ quæ apud Christum differt a nobis: B si enim non similia faciant honor et gratia qui a Deo in nos veniunt, sed quantum artificem inter et opus, differentia servetur nos inter et ipsum quoad divinas gratias, Creatorem vere et non creaturam exhibet gratia ipsi facta: neque igitur secundum nos, neque secundum Moysen solum magnum ostendit ipsum, sed et Deum manifeste: solius enim Dei creare et fabricare ex non exsistentibus omnia; omnium vero quæ sunt post Deum, creari proprium, aliorum quidem a Deo immediate, aliorum vero mediantibus ex Deo procreatis. Igitur manifeste qui gratiæ et honoris hujusce dignus habitus est, et Creator est et Deus, et omnium Christus, licet dissentiatis. Sed eloquiorum de quibus vos loquimini, virtutem aut finem non C videtis, qui tamen vobismetipsis videmini accurati esse intelligibilium cognitores.

Sed nunc versuti quemadmodum gratiam inter et honorem, ita filiorum inter adoptiones esse differentiam volunt ostendere ex sacra Scriptura; ut si eadem esse ac nobis de Christo dicant, videantur aliquid amplius ipsi concedere super nos, et non omnimode omnibus similem æstimare; nos autem esse differentias inter ea quæ pariter nominantur, non negamus. Sed si differentiam tanquam Creatoris ab ipso Creatore secundum eloquium non repræsentet differentia dicta de Christo a nobis, non vere ipsa est secundum quam præ Moyse dignus est habitus honoris: illud enim ut normam D aliquam et regulam proponimus, qua super nos ipsius excellentia ostendatur: quandoquidem vero calliditate sophistica propositionibus præsentis argumenti densissimo velo coopertis, ne evidens esset impietas auditoribus, aut facilis refutatio contradicentibus, interruptis ipsorum de quibus provocantur argumentis per transennam et confuse arguunt, nos propositum totum eorum argumenti colligentes, subito posuimus et probavimus quam velint differentiam esse inter adoptiones in sacra Scriptura deinceps legentes.

Dicti sunt enim, aiunt, filii Dei, omnes homines: nempe: « Ego dixi, dii estis et filii Excelsi omnes [32]. »

[31] Rom. XI, 6. [32] Psal. LXXXI, 6.

scilicet secundum imaginem Dei; vocati sunt et filii Dei iterum et Judæi, nempe: « Filios nutrivi et exaltavi, ipsi autem spreverunt me [32*]. » Propter amicitiam Dei et supra cæteras nationes ad innocentiam formati et pietatem edocti: ideo enim credita sunt eloquia, « et testamentum ipsius, inquit, ut manifestetur illis [33]; » — « lucerna pedibus meis lex tua [34]; » et: « Qui annuntiat verbum suum Jacob, justitias et judicia sua Israel: non fecit taliter omni nationi [35]. » Inde enim etsi timore legis et non beneplacito justitiam colebant, pariter auxilio debito juste viventibus fruebantur: et simpliciter in terra quandiu imitari Deum quærebant, ab eo, propter justam et innocentem vitam, filii Dei vocati sunt: sed pariter isti et peccare cœperunt iterum, versatilem adhuc naturam habentes: quod igitur et sæpe operibus probaverunt, secundum quod dictum est: « Ipsi autem me spreverunt: » et morti scilicet et plagis et suppliciis inde subjecti sunt: « Stimulus enim mortis, peccatum est [36]: » et: « Multa flagella peccatoris [37]. » Ita quidem igitur et isti: Dicti sumus vero etiam nos Christiani filii Dei, nempe, « Omnes enim filii Dei estis, per fidem in Christo Jesu [38]. » Nos igitur, nedum verbis ad innocentiam formemur, et justitiam Dei quæ est super litteram a spiritu Dei docemur: in libertatem et immortalitatem vocati sumus et in immutabilitatem ex resurrectione mortuorum: supplicium jam non timentes, nec mutationem transmissæ beatæ vitæ, qui, doloribus liberi, et dominantibus æternitati tenebrarum esse debemus, et in cœlesti civitate vivere; ut enim nos essemus sancti et immaculati in conspectu ejus [39], in charitate prædestinati sumus in adoptionem filiorum Dei [40], et ut similitudinem haberemus cum Patre nostro qui in cœlis est in acceptione adoptionis filiorum quam exspectamus: simul ac redemptionem corporis nostri, peccare nullo modo amplius habentes: ideo non mori debemus in futurum, sed super mala quibus non affici datur natura extollimur: quantum igitur assimilemur Deo secundum hæc simul ac olim Israel qui filius et ipse vocatus fuit [41], evidens est.

Tantum tamen nostra adoptio filiorum adoptionem eorum superat et in tantis, ut et spiritus servitutis hæcce dicatur in timorem et in vinculum jugi servitutis, illam vero spiritus adoptionis filiorum in quo clamamus, « Abba Pater [42]: » quod hæc dicere nunquam sustinuit: etenim ipsa dicitur proprie libertas qua Christus nos liberavit: ita quidem igitur et ista: Vocatus est autem, inquit, et Dominicus homo, Filius Dei: nempe, et « filius Excelsi vocabitur [43]: » iste vero, præter omnia nostra specialia in quibus similis nobis et dicitur esse, est primogenitus in multis fratribus [44] a com-

στου πάντες· » διὰ τὸ κατ' εἰκόνα Θεοῦ· ἐκλήθησαν δὲ υἱοὶ Θεοῦ πάλιν καὶ οἱ Ἰουδαῖοι κατὰ τὸ, « Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν, » ἐπὶ οἰκειώσει Θεοῦ καὶ παρὰ τὰ λοιπὰ ἔθνη πρὸς ἀναμαρτησίαν παιδαγωγούμενοι, καὶ εὐσεβεῖν διδασκόμενοι· εἰς τοῦτο γὰρ καὶ ἐπιστεύθησαν τὰ λόγια. « Ἡ διαθήκη γὰρ αὐτοῦ, φησὶ, τοῦ δηλῶσαι αὐτοῖς· » καὶ, « Λύχνος τοῖς ποσί μου ὁ νόμος σου· » καὶ, « Ὁ ἀπαγγέλλων, φησὶ, τὸν λόγον αὐτοῦ τῷ Ἰακὼβ, δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ· οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει. » Ἐντεῦθεν γὰρ εἰ καὶ φόβῳ τοῦ νόμου καὶ οὐ προαιρέσει ἐδικαιοπράγουν, ἀλλ' ὅμως τῆς ἀξίας ἐπικουρίας τῶν δικαίως βιούντων ἀπήλαυον· καὶ ἁπλῶς ἐπὶ γῆς ὡς οἷόν τε μιμεῖσθαι Θεὸν μεθοδευόμενοι ὑπ' αὐτοῦ τῷ δικαίῳ καὶ ἀναμαρτήτῳ βίῳ, υἱοὶ Θεοῦ ἐκλήθησαν· ἀλλ' ὅμως οὗτοι καὶ τὸ ἁμαρτεῖν ἐπεδέχοντο πάλιν, τρεπτῆς ἔτι φύσεως ὑπάρχοντες· ὅπερ οὖν καὶ πολλάκις ἔργοις ἠλέγχθησαν, κατὰ τὸ εἰρημένον· « Αὐτοὶ δέ με ἠθέτησαν. » Καὶ θανάτῳ δὲ δηλαδὴ καὶ πληγαῖς καὶ τιμωρίαις ἐντεῦθεν ὑπέκειντο· « Καὶ γὰρ τὸ κέντρον τοῦ θανάτου, ἡ ἁμαρτία· » καὶ, « Μάστιγες πολλαὶ τοῦ ἁμαρτωλοῦ. » Οὕτως μὲν οὖν καὶ οὗτοι· ἐλέγχθημεν δὲ καὶ οἱ Χριστιανοὶ υἱοὶ Θεοῦ, κατὰ τὸ, « Πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε, διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ. » Ἡμεῖς οὖν πρὸς τῷ διὰ τῶν λόγων παιδεύεσθαι τὸ ἀναμάρτητον, καὶ τὴν ὑπὲρ τὸ γράμμα διὰ Πνεύματος δικαιοσύνην διδασκόμεθα Θεοῦ· καὶ ἐπὶ ἐλευθερίᾳ καὶ ἀθανασίᾳ ἐκλήθημεν, καὶ ἀτρεψίᾳ ἐξ ἀναστάσεως νεκρῶν· τιμωρίαν οὐκέτι δεδιότες, οὐ μεταβολὴν τῆς διαδεξαμένης μακαρίας ζωῆς, πόνων ἐλεύθεροι, καὶ τῶν ἀρχόντων τοῦ αἰῶνος τοῦ σκότους ἐσόμενοι, ἐν οὐρανίῳ τε πολιτείᾳ βιώσοντες· εἰς γὰρ τὸ εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ προωρίσθημεν εἰς υἱοθεσίαν Θεοῦ, καὶ τὴν ὁμοίωσιν ἔχειν τὴν πρὸς τὸν οὐράνιον ἡμῶν Πατέρα, ἐν τῇ ἀπολήψει τῆς υἱοθεσίας, ἧς ἀπεκδεχόμεθα· ἤγουν τῆς ἀπολυτρώσεως τοῦ σώματος ἡμῶν, τὸ ἁμαρτάνειν ἔτι οὐδενὶ τρόπῳ ἔχοντες· διὸ οὐδὲ θνήσκειν πεφυκότες λοιπὸν, ἀλλ' ἐν τῷ μηδὲ δυνάμει εἶναι δεκτικοὺς τῶν κακῶν τὴν φύσιν ὑπεραρθέντες· ὅσον οὖν ἐξομοιούμεθα Θεῷ κατὰ τάδε παρὰ τόν ποτε Ἰσραὴλ, υἱὸν καὶ αὐτὸν κληθέντα, δῆλον.

Τοσοῦτον γοῦν ἡ ἡμετέρα υἱοθεσία τῆς ἐκείνων προὔχει καὶ ἐν τοσούτοις, ὡς καὶ πνεῦμα δουλείας ἐκείνην λέγεσθαι εἰς φόβον καὶ ζυγοῦ δουλείας ἐνοχήν· ταύτην δὲ πνεῦμα υἱοθεσίας ἐν ᾧ ἐστι κράζειν· « Ἀββᾶ ὁ Πατήρ· » ὅπερ ἐκείνη λέγειν οὐ τετόλμηκε πώποτε· καὶ γὰρ αὕτη λέγεται ἰδίως ἐλευθερία, ᾗ Χριστὸς ἡμᾶς ἠλευθέρωσεν· οὕτως μὲν οὖν καὶ ἥδε. Ἐκλήθη δὲ, φησὶ, καὶ ὁ Κυριακὸς ἄνθρωπος, Υἱὸς Θεοῦ· κατὰ τὸ, « Καὶ Υἱὸς Ὑψίστου κληθήσεται. » Οὗτος δὲ πρὸς τοῖς ἡμετέροις πᾶσιν ἐξαιρέτοις, ἐν οἷς ὅμοιος ἡμῖν ὢν καὶ λέγεται εἶναι, ὁ πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς τῷ κοινῷ πάντων Πατρὶ Θεῷ· καὶ ἕτερα ἔχει

[32*] Isa. I, 2. [33] Psal. XXIV, 14. [34] Psal. CXVIII, 105. [35] Psal. CXLVII, 19, 20. [36] I Cor. XV, 56. [37] Psal. XXXI, 10. [38] Galat. III, 26. [39] Ephes. I, 4. [40] ibid. 5. [41] Exod. IV, 22. [42] Rom. VIII, 15. [43] Luc. I, 32. [44] Rom. VIII, 29.

ἴδια χαρίσματα, ἐξ ὧν καὶ Μονογενὴς τῷ Πατρὶ ἐῤῥήθη· ἔστι δὲ ταῦτα, πρῶτον μὲν, ὅτι ἐκ πάντων ὁρατῶν καὶ ἀοράτων κτισμάτων ἀφώρισται καὶ ἐξείλεκται ἅμα τῷ εἶναι, καὶ τὴν τοῦ εἶναι Υἱὸς ἀξίαν λαβὼν χάριτι· ὥσπερ εἴ τις υἱὸς βασιλέως ἐπὶ πορφύρᾳ τεχθεὶς, ἢ ἔτι κυούμενος ἐν μήτρᾳ στεφθεὶς, διαζωννυμένης τὸν στέφανον τῆς μητρὸς, ὅπερ γίνεται πολλάκις. Καὶ οὕτως ἡνώθη τῷ Θεῷ Λόγῳ ἀπὸ πρώτης αὐτοῦ κτίσεως, καὶ Υἱὸς ὠνομάσθη οὐ διὰ τὴν καθ' ἡμᾶς υἱοθεσίαν, ἀλλ' ὡς συνημμένος τῷ Λόγῳ πρὸς τὴν ἐκείνου φανέρωσιν· καὶ αὐτοῦ τὸ πρόσωπον ἐπέχων, αὐτοῦ τὴν τιμὴν, αὐτοῦ τὴν ἀξίαν φέρων· καὶ « Ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὑπεράνω πάσης ἐξουσίας καὶ κυριότητος καὶ δυνάμεως, ὄνομα λαβὼν μεῖζον παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· » — « Ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων· » πάντα γὰρ ἁπλῶς ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ· καὶ ἀπ' αὐτοῦ τῷ θείῳ Λόγῳ, οὗ τὸ πρόσωπον ἐπέχει· καὶ ἀπ' ἐκείνου, τῷ Πατρὶ τῷ ἀχωρίστῳ αὐτοῦ, ἅμα τῷ Πνεύματι τῷ ἁγίῳ· καὶ οὕτω μεσιτεύει Θεῷ καὶ ἀνθρώποις· τούτων δὲ οὐδὲν πλέον αὐτῷ ποτε παρέξουσιν οἱ συνθέσει λέγοντες τοῦ Λόγου καὶ τοῦ ἀνθρώπου, τὸν Χριστὸν ὑφεστάναι· εἰ δὲ τούτων ἀσύγκριτος τῶν υἱοθεσιῶν ἡ παράθεσις, πῶς φασιν ὅτι ὁμότιμον ἡμῖν φαμεν τὸν Χριστόν; διότι οὐ φύσει Υἱὸν, οὐδὲ αὐτὸν Θεοῦ, ἀλλὰ χάριτι υἱοθετεῖσθαι δοξάζομεν· οὔτε γὰρ τὸ, υἱοὺς λέγεσθαι, οὐδὲ τὸ χάριτι υἱοθετεῖσθαι, τούς τε ἀνθρώπους πάντας καὶ τοὺς Ἰουδαίους καὶ τοὺς Χριστιανοὺς, καὶ τὸν Χριστὸν ἐν ὀλίγῳ, ἢ παρὰ τὸ μᾶλλον καὶ ἧττον ἔχει τὴν διαφορὰν δέδεικται.

Πρὸς τάδε οὖν πάντα σὺν Θεῷ φαμεν, ὅτι ὄντως διαφορὰ ἔστι τῶνδε τῶν κατὰ χάριν δοθεισῶν υἱοθεσιῶν· τί οὖν φατε; ἡ καθ' ἡμᾶς τοὺς Χριστιανοὺς υἱοθεσία, πνευματικοὺς ἀπὸ σαρκικῆς φύσεως μεταποιοῦσα ἐν τῷ μέλλοντι, καὶ ἀθανάτους ἀντὶ θνητῶν δεικνῦσα, καὶ ἐλευθέρους τὴν φύσιν ἀντὶ δούλων, καὶ ἀφόβους τὴν ζωὴν πᾶσαν τοὺς ἐν θλίψει καὶ ἐν ὀδύναις ἀεί· καὶ ἐν εὐμαρείᾳ τοὺς ἐν περισπασμῷ, καὶ ἀναμαρτήτους τὸν βίον ἀντὶ ἁμαρτωλῶν, καὶ ἀτρέπτους ἀντὶ τρεπτῶν τὴν οὐσίαν, ὡς μηδὲ δυνάμει ἔχειν λοιπὸν τὸ σφαλερὸν δι' οὗ τὸ τιμωρίαις ὑπεύθυνον· ἆρά γε διαφόρους ποιεῖ κατ' οὐσίαν τοὺς μετόχους αὐτῆς, παρὰ τοὺς μετόχους τῆς Ἰουδαϊκῆς υἱοθεσίας, ἥτις θνητοὺς ἔτι καὶ πταιστοὺς καὶ δούλους καὶ ἐμφόβους, καὶ τιμωρουμένους, καὶ ἐν πληγαῖς δείκνυσι τοὺς κατ' αὐτοὺς υἱοθετουμένους, ἢ οὐχί; εἰ δὲ πάντως τὸ ἀθάνατον ζῶον καὶ ἄτρεπτον, καὶ τὰ λοιπὰ ἑτεροούσιον τοῦ θνητοῦ καὶ τρεπτοῦ καὶ τὰ ὅμοια ἐπιδεδειγμένου ἐστὶ, σκοπητέον λοιπὸν καὶ τὴν κατὰ Χριστὸν υἱοθεσίαν· ἆρά γε οὐκ εἴποιτε καὶ αὐτὴν τοσοῦτον ὑπερέχειν τῆς καθ' ἡμᾶς τοὺς λοιποὺς ἀνθρώπους Χριστιανοὺς υἱοθεσίας, κἂν ὅσον γε ἡ ἡμετέρα τῆς Ἰου-

A muni omnium Patre Deo: et alia habet propria dona, ex quibus Unigenitus a Patre dictus est. Hæc vero sunt, primum quidem ex cunctis visibilibus et invisibilibus creaturis separatus et electus est simul ac fuit, et esse Filius gratia dignus habitus est: perinde ac si filius regis in purpura genitus, aut adhuc in ventre matris coronatus, præcinctæ matris coronam acciperet, quod fit sæpe. Ita unitus est Deo Verbo a prima ipsius creatione, et Filius appellatus est non propter secundum nos filiorum adoptionem, sed ut Verbo unitus ad illius manifestationem: et illius personam retinens, ipsius honorem, ipsius gloriam præ se ferens: et « Constituit ad dexteram Dei, in cœlestibus supra omnem principatum et dominationem et potestatem, nomen
B habens majus omni nomine quod nominatur, non solum in hoc sæculo, sed etiam in futuro[45]: » ita « ut in nomine Jesu omne genu flectatur terrestrium, cœlestium et infernorum[46]: » omnia enim simpliciter subjecit sub pedibus ejus[47]: et per ipsum divino Verbo, cujus personam retinet et per istum Patri ab ipso inseparabili simul et cum Spiritu sancto participat: et ita mediator est Dei et hominum[48]: nihil autem amplius ipsi unquam præbebunt qui asserunt compositione Verbi et hominis Christum substitisse: si vero istarum filiorum adoptionum fieri nequit comparatio, quomodo dicunt nos dicere pari honore ac nos esse Christum? Ideo non natura Filium, non ipsum
C Dei, sed gratia Filium adoptari opinamur: non enim inter filios dici et gratia filios adoptari omnes homines et Judæos et Christianos et Christum sub parvo respectu, non exsistit ad plus et minus differentia, ut monstratum est.

Præter hæc igitur omnia cum Deo dicimus vere esse differentiam inter illas secundum gratiam datas filiorum adoptiones: quid igitur dicitis? Filiorum adoptio apud nos Christianos, spirituales a carnali natura efficiens in futuro, et immortales pro mortalibus ostendens, et natura liberos pro servis, et sine timore per totam vitam tribulatione et doloribus semper laborantes, et in tranquillitate qui erant in angustiis, et innocentes pro peccatoribus, et immutabiles pro mutabilibus secundum substantiam,
D ita ut deinceps non possit occurrere quid periculosum propterea quod suppliciis nihil sit obnoxium: anne differentes facit secundum substantiam participes ipsius a participibus Judaicæ filiorum adoptionis, quæ mortales adhuc et deceptos et servos et terrefactos, et afflictos, et in plagis ostendit apud ipsos in adoptionem receptos, an non? Si vero omnino immortale vivens et immutabile et reliqua, alterius est substantiæ ac quod mortale et mutabile et similia, exhibetur, consideranda est deinceps apud Christum filiorum adoptio: Nonne diceretis et ipsam tantum excellere filiorum adoptione apud nos cæteros homines christianos, quantum nostra

[45] Ephes. I, 20, 21. [46] Philipp. II, 10. [47] Ephes. I, 22. [48] I Tim. II, 5.

Judaica, ne dicam quid amplius? Si enim non excellit, ecce apud nos in dignitate solum Christiani Christus est: si vero excellere eam omnino dicitis, sicut et jam concessistis, certe superiorem et ipsum effecit nostra substantia tantum quantum et nos fideles infidelibus superiores efficiet nostra filiorum adoptio.

Superior igitur nobis hominibus, et ipsis spiritualibus Christianis secundum substantiam Christus, quid igitur erit secundum naturam? Aut certe cherubim aut angelus, aut aliquis ex legionibus quæ sunt in medio, aut Deus vere necessario. Cum igitur angelum fieri ipsum secundum substantiam, ab omnibus omnimode improbatum sit, et a vobismetipsis, fallax erit aut humanitas Verbi aut deificatio carnis, et reliqua omnia quæ affirmant eloquia de incarnatione, et necesse est Deum ipsum esse secundum substantiam, gratia hujusce filiorum adoptionis de qua loquimini, Deum factum: omne vero quod facit aliquid majus est eo quod fit ab ipso: profecto igitur gratia ipsa, major est et divina quam ipsa fecit substantia: ergo et divina largiente ipsam gratiam substantia, quippe a Deo gratificata fuit: quod enim uno e duobus similibus et æqualibus superius et majus videtur, est et altero omnimode quasi lineari necessitate: ita vero et nos gratia et non natura filii Dei, majores erimus Deo secundum substantiam, propter majorem substantia gratiam: quare igitur timetis dicere participem esse divinæ substantiæ Christum? Est effector divinæ naturæ quæ est apud vos et naturis superadditur: effectricem ipsius et causam et majorem ista, scilicet gratiam filiorum adoptionis ipsi datis, nec veremini, o amici: sed vere malorum multo pejus et pessimum machinantes visi estis: et vero non videri impii esse, quanquam libenter sitis impii, quæritis tantum: non enim scitis plane in quo præcellat vobis Christus quem re nudum hominem secundum vos esse existimatis: quippe gratiam et honorem et gloriam, nomine tantum, illi aptatis: Verbum frustra glorificantes supra unione divinæ et humanæ naturæ, et ideo super incarnatione Verbi et deificatione carnis ipsius.

Jam enim et illud expendamus: Quomodo dicitis unionem istam quam fingitis admittere Verbi cum Christo qui vobis videtur homo, inter omnia ab initio conceptionis ipsius confestim fieri ipsam asserentes specie pietatis, qui tamen compositionem Verbi cum carne fieri negatis: unio enim, nisi secundum compositionem fiat, omnino vel secundum appositionem localem videtur, sicut lapidis et auri in annulo et finium Judææ regionis ad fines confinis ipsi Samariæ, et talia: vel secundum habitum voluntarie electum, ut se habet auri amator ad aurum, equorum ad equos, et voluptatum ad voluptatem, et Dei amicus ad Deum, et similia: vel secundum habitum naturalem quemdam, sicut parentum erga ejusdem naturæ filios; aut similis substantiæ hominum, aut equorum, aut aquilarum omnium,

A δαϊκῆς, ἵνα μὴ λέγω τι πλεῖον; Εἰ μὲν γὰρ οὐχ ὑπερέχει, ἰδοὺ καθ' ἡμᾶς ἐν ἀξίᾳ μόνον Χριστιανῶν ὁ Χριστός ἐστιν· εἰ δὲ τὸ ὑπερέχειν αὐτὴν πάντως φατὲ, καθὼς καὶ ἤδη δεδώκατε, ἄρα γε κρείττονα καὶ αὐτὸν πεποίηκε τῆς καθ' ἡμᾶς οὐσίας τοσοῦτον ὅσον καὶ ἡμᾶς τοὺς πιστοὺς τῶν ἀπίστων κρείττονας ποιήσει ἡ ἡμετέρα υἱοθεσία.

Κρείττων οὖν ἡμῶν τῶν ἀνθρώπων, καὶ αὐτῶν τῶν πνευματικῶν Χριστιανῶν κατ' οὐσίαν ὢν ὁ Χριστὸς, τί ἄρα ἔσται τὴν φύσιν; ἢ γὰρ Χερουβὶμ, ἢ ἄγγελος, ἤ τι τῶν ἐν μέσῳ ταγμάτων, ἢ Θεὸς ἀληθῶς ἐξ ἀνάγκης· ἐπεὶ οὖν τὸ ἄγγελον γενέσθαι αὐτὸν τὴν οὐσίαν, πᾶσι πάντη ἀπαράδεκτον, καὶ ὑμῖν δὲ αὐτοῖς (ψευδὴς γὰρ ἔσται ἥ τε ἐνανθρώπησις τοῦ Λόγου, καὶ ἡ θέωσις τῆς σαρκὸς, καὶ τὰ λοιπὰ τῶν B Λογίων πάντα τὰ περὶ τῆς οἰκονομίας), ἀνάγκη Θεὸν αὐτὸν εἶναι τὴν οὐσίαν, τῇ χάριτι τῇσδε τῆς υἱοθεσίας ἣν φατε θεοποιηθέντα: πᾶν δὲ τὸ ποιοῦν τι, μεῖζον τοῦ ποιουμένου ὑπ' αὐτοῦ· ἄρα οὖν ἡ χάρις αὕτη, μείζων καὶ τῆς γενομένης ὑπ' αὐτῆς θείας οὐσίας· οὐκοῦν καὶ τῆς χαρισαμένης αὐτὴν τὴν χάριν θείας οὐσίας, εἴπερ ὑπὸ Θεοῦ κεχάρισται· τὸ γὰρ ἑνὸς δύο τῶν ὁμοίων καὶ ἴσων κρεῖττον καὶ μεῖζον φαινόμενον, καὶ τοῦ ἑτέρου πάντως γραμμικαῖς ἀνάγκαις· οὕτω δὲ ἂν καὶ ἡμεῖς, χάριτι καὶ οὐ φύσει ὄντες υἱοὶ Θεοῦ, μείζονες ὦμεν Θεοῦ τὴν οὐσίαν, διὰ τὴν μείζονα τῆς οὐσίας χάριν· τί δὴ οὖν εὐλαβεῖσθε μέτοχον εἶναι λέγειν θείας οὐσίας τὸν Χριστόν; ποιητῆς τε οὔσης καθ' ὑμᾶς καὶ ἐπισυμβαινούσης ταῖς C φύσεσι τῆς θείας φύσεως· τὴν ποιητικὴν αὐτῆς καὶ αἰτίαν καὶ μείζονα ταύτης, ἤγουν τὴν χάριν τῆς υἱοθεσίας αὐτῷ διδόντες, καὶ μὴ ὑποστειλάμενοι, βέλτιστοι· ἀλλ' ὄντως ἐν κακοῖς τὸ μᾶλλον χεῖρον, καὶ τὸ κάκιστον σκαιωροῦντες ἐφωράθητε· καὶ γὰρ μηδὲ δοκεῖν ἀσεβεῖν, καίτοι ἑκουσίως ἀσεβοῦντες, περιποιεῖσθε μόνον· οὐ γὰρ ἴστε ὅλως τι προὔχειν ὑμῶν τὸν Χριστὸν πράγματι, ψιλὸν δὲ ἄνθρωπον καθ' ὑμᾶς εἶναι αὐτὸν λογίζεσθε· εἰ καὶ χάριν καὶ τιμὴν καὶ δόξαν, ὀνόματι μόνον, αὐτῷ περιάπτετε· Λόγον διακενῆς τοὺς περὶ τῆς ἑνώσεως τῆς θείας τε καὶ ἀνθρωπίνης φύσεως δοξάζοντες, ἤγουν τοὺς περὶ τῆς σαρκώσεως τοῦ Λόγου, καὶ τῆς θεώσεως τῆς σαρκὸς αὐτοῦ.

Ἐξεταζέσθω γὰρ ἤδη καὶ τόδε· Πῶς φατε τὴν D ἕνωσιν ταύτην, ἣν προσποιεῖσθε ὁμολογεῖν τοῦ Λόγου, πρὸς τὸν δοκοῦντα ὑμῖν ἄνθρωπον Χριστὸν, παρὰ πάντα τε καὶ ἀπ' ἀρχῆς κυήσεως αὐτοῦ εὐθὺς αὐτὴν λέγοντες γενέσθαι εὐσεβοφανῶς, οἱ σύνθεσιν τοῦ Λόγου πρὸς τὴν σάρκα γενέσθαι μὴ παραδεχόμενοι; ἡ γὰρ ἕνωσις ἡ μὴ κατὰ σύνθεσιν οὖσα, πάντως ἢ κατὰ παράθεσιν ὁρᾶται τοπικὴν, οἷον λίθου καὶ χρυσίου ἐν δακτυλίῳ, καὶ πέρατος τῆς Ἰουδαίας χώρας πρὸς τὸ πέρας τῆς ἀγχιτέρμονος αὐτῇ Σαμαρείας, καὶ τὰ τοιάδε· ἢ κατὰ προαιρετικὴν σχέσιν, ὡς ὁ φιλόχρυσος πρὸς τὸν χρυσὸν, ὁ φίλιππος πρὸς τοὺς ἵππους, καὶ ὁ φιλήδονος πρὸς τὴν ἡδονὴν, καὶ φιλόθεος πρὸς τὸν Θεὸν, καὶ τὰ ὅμοια· ἢ κατὰ σχέσιν φυσικήν τινα, οἷον ἡ τῶν γονέων πρὸς τὰ ὁμοφυῆ αὐτῶν τέκνα· ἢ τῶν ὁμοουσίων ἀνθρώπων,

ἢ ἵππων, ἢ ἀετῶν πάντων, τῷ λόγῳ τοῦ ἀετοῦ εἶδους ἓν ποιοῦσα τὰ κατ' αὐτὸν πάντα ἄτομα, φυσικῇ τῇ ὁμοιότητι· ἢ ὡς εἰκόνος πρὸς τὸ ἀρχέτυπον· ἢ τῇ ὁμοιότητι πάλιν καὶ αὐτὴν συνάπτει τὸ ἐν ἑκατέροις εἶδος· εἰ μὲν οὖν κατὰ παράθεσιν τοπικὴν φατε τὴν ἕνωσιν τοῦ Λόγου πρὸς τὸν Χριστὸν, σῶμά τε ὁ Λόγος ὁ θεῖος, καὶ ὁρατὸς, καὶ ἁπτὸς, καὶ ἐν τόπῳ, καὶ περιγραπτὸς, καὶ τὰ λοιπὰ ἄτοπα· εἰ δὲ κατὰ προαιρετικὴν σχέσιν, οὐ Χριστοῦ μόνου πρὸς τὸν Θεὸν ἡ ἕνωσις, ἀλλὰ καὶ Ἄβελ καὶ Ἐνὼχ καὶ Νῶε καὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, Μωϋσέως, καὶ Σαμουὴλ, καὶ Δαβὶδ, καὶ Ἱερεμίου, καὶ τῶν λοιπῶν Πατέρων καὶ πατριαρχῶν καὶ προφητῶν πάντων τῶν μέχρις Ἰωάννου τοῦ Βαπτιστοῦ, καὶ τῶν ἀπὸ Ἰωάννου, καὶ μέχρι τοῦ νῦν εὐαρεστησάντων Θεῷ· οὐ γὰρ εἴρηται περὶ ἑνὸς μόνου, ἀλλ' ὅτι « Εὐδοκεῖ Κύριος ἐν τοῖς φοβουμένοις αὐτὸν, ἐν πᾶσι τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ. » Καὶ, « Οὐκ ἔστι προσωποληψία παρὰ τῷ Θεῷ, » ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι· σαφὲς οὖν, ὡς οὐδὲ ἐκ τῆσδε τῆς ἑνώσεως, οὐδὲν πλέον ἐκ τῶν ὑπὲρ τοὺς ἀπ' αἰῶνος ἄνδρας θεοφόβους καὶ ἀγγέλους ἔσται Χριστοῦ· οὐ δύνασθε οὖν λέγειν ὅτι ἐξελέξατο αὐτὸν μόνον ἀπὸ πάντων ὁρατῶν καὶ ἀοράτων· καὶ ὅτι ὑπὲρ πάντας ἠξίωται τιμῆς τινος ἢ ἑνώσεως ἢ υἱότητος ἢ χάριτος ἐκ τῆς τοιαύτης ἑνώσεως.

Εἰ δὲ οὐ ταύτην, ἀλλὰ τὴν κατὰ σχέσιν φυσικὴν λέγετε ἕνωσιν τοῦ Λόγου πρὸς τὸν Χριστὸν, ἐπεὶ αὕτη ἐν τοῖς ὁμοουσίοις ὁρᾶται· πᾶν γὰρ ζῶον τὸ ὅμοιον ἀγαπᾷ, οὐ τὸ μὴ ὅμοιον· ἢ κατά τινας συμβεβηκυίας τινῶν ὁμοιότητας, δῆλον ὡς ἢ κατά τι συμβεβηκὸς ὅμοιον τὸν Λόγον Χριστῷ εἶναί φατε, καὶ οὐ Θεὸς ἔσται ὁ Λόγος οὐσίᾳ καὶ συμβεβηκόσιν ὑφεστὼς τὸ ἴδιον πρόσωπον· ἢ κατ' οὐσίαν, καὶ δῆλον ὡς ἢ τὸν Λόγον σάρκα ἴστε ὁμοφυῆ τῇ σαρκὶ ὄντα, καὶ λείπει ὑμῖν ἡ θεία Τριὰς ἑνὶ προσώπῳ· ἢ καὶ τὴν σάρκα, Θεὸν ὁμοούσιον τοῦ Λόγου οἴεσθε, καὶ περιττεύει ὑμῖν ἡ ἁγία Τριὰς μιᾷ ὑποστάσει· ἐξ ἀνάγκης οὖν δυάδα ἢ τετράδα προσκυνεῖτε· τὴν δὲ ἁγίαν Τριάδα, πάντως παραχαράττετε· εἰ δὲ τούτων τῶν ἑνώσεων οὐδεμίαν καταδέχεσθε λέγειν διὰ τὰ ἄτοπα, οὐδὲ τὴν κατὰ σύνθεσιν ἕνωσιν διὰ τὰ ὑμέτερα δόγματα· εἰ δὲ, ὡς ὁμολογεῖτε, πῶς λέγειν δοκεῖτε ἐπὶ τοῦ Λόγου καὶ τῆς σαρκὸς ἕνωσιν, πάσης ἑνώσεως τρόπον ἀπαρνούμενοι ἐν ἑαυτοῖς; οὐκοῦν δῆλον γέγονεν, ὡς μόρφωσιν εὐσεβείας μόνον ὑποκρίνεσθε, τὴν δύναμιν αὐτῆς ἠρνημένοι τὸ σύνολον· καὶ γὰρ δὴ καὶ ἐν τοῖς ἑξῆς, τοιοίδε ἐλέγχεσθε εἰς φανέρωσιν τοῦ Λόγου ταύτην λέγοντες εἶναι τὴν ἕνωσιν, καὶ εἰς πρόσωπον οὐκ οἶδα πῶς ἀποκαλοῦντες αὐτήν. Τῷ γὰρ, φησὶ, τὸ πρόσωπον ἐπέχειν τοῦ Λόγου τὸν Χριστὸν, ταύτην ἴσμεν.

Ἀλλ', ὦ σοφισταὶ καὶ οὐ σοφοὶ, τάχα δὲ καὶ πρὸς τοῦτο ἀδόκιμοι· οὐχ οὕτως ἐστὶν ἡ εἰς πρόσωπον

A quippe qui unum sub ratione speciei aquilæ efficiat apud ipsam omnia indivisibilia, naturali similitudine: aut ut habitus imaginis ad archetypum: qui similitudine iterum et ipsam coaptat in unoquoque speciem. Si igitur quidem secundum appositionem localem dicitis fieri unionem Verbi cum Christo, corpusque est Verbum divinum, et videri et tangi potest, et in loco versatur, et limitatum est, et cætera absurda: si vero secundum habitum voluntarie electum, non Christi solius cum Deo unio erit, sed et Abel et Henoch et Noe et Abraham et Isaac et Jacob, Moysis et Samuel, et David, et Jeremiæ, et cæterorum Patrum et patriarcharum omnium usque ad Joannem Baptistam, et eorum qui a Joanne usque ad id temporis complacuerunt in Deo: non B enim dictum est de uno solo: « Beneplacitum est Domino super timentes eum, et in eis qui sperant super misericordia ejus [49]; » et: « Non est personarum acceptio apud Deum [50], sed in omni natione timens eum et colens justitiam ipsi acceptus est: » manifestum igitur quod neque ex hac unione, nihil amplius ex istis super homines ab omni sæculo timentes Deum et angelos erit Christo: non potestis igitur dicere; elegit ipsum solum ab omnibus visibilibus et invisibilibus: et, supra omnes dignus habitus est honoris alicujus aut unionis aut filiationis aut gratiæ ex tali unione.

Si vero non illam, sed secundum habitum naturalem asseritis unionem Verbi cum Christo, cum C ipsa in consubstantialibus videatur: omne enim animal simile sibi amat [51], non dissimile: aut secundum quasdam accidentes quorumdam similitudines, evidens quod secundum aliquid accidens simile Verbum Christo esse dicitis, et non Deus erit Verbum substantia et accidentibus supposita propria persona: aut secundum substantiam, et evidens quod Verbum carnem putatis esse natura carni simile, et deest vobis divina Trinitas in persona: aut carnem, Deum consubstantialem Verbo existimatis, et superest vobis sancta Trinitas in una hypostasi: necessario igitur Deum in duabus aut quatuor personis adoratis: sanctam vero Trinitatem omnino vitiatis: si autem nullam ex his unionibus esse admittatis propter absurda, nec D secundum compositionem unionem propter vestra dogmata. Si, ut convenitis, aliquo modo dicere videmini de Verbi et carnis unione, omnem unionis speciem rejicientes in vobismetipsis; igitur evidens factum est, quod formam pietatis virtute ipsius prorsus denegata, tantum effingitis: etenim certe et successive probatum est vos dicere istam unionem esse ad manifestationem Verbi, sed quoad personam nescio quomodo eam appelletis: propterea enim quod personam retinet Verbi Christus, istam novimus.

Sed, o sophistæ et non sapientes, mox autem et propter hoc reprobi: non ita est in personam

[49] Psal. CXLVI, 11. [50] Deut. XVI, 17; Rom. II, 11. [51] Eccli. XIII, 19.

unio : sicut enim in commistionem unio, commistionem facit, ut poscæ unio : et sicut in conventum aliquem unio, conventum facit, ut chori unio : et sicut in assimilationem unio, assimilationem facit, ut domus unio : et sicut in naturam aliquam unio naturam facit, ut corporis unio ex variis elementis; ita unio in personam novissimam aut novissime ostendet aliquam personam : non certe loco sui ipsius ostendere aliquam alteram personam, ut dicitis, illud est unio in personam, aut manifestatio alterius personæ incognitæ, sed e contrario occultatio personæ in antipersonam, solum autem nominis declaratio : illud etiam sine persona poterat annuntiari a propheta: qua ratione connectuntur? Aut qua ratione participant? Aut qua ratione uniuntur mutuo ut sit de aliis rebus? Si quidem enim similitudine, iterum Deus caro, caro Verbum erit : quale autem opus erat similitudine cum non in veritate principalis persona, sed similis manifestaretur illi quæ occultari nolebat amplius? Si vero est dissimilitudo, in quo constat unio personarum? Quomodo autem non errorem solum inducet investigatio, cum aliquid aliud ostendetur ut aliud, et non ut ipsum est? Utique, inquit, divino nomine uniuntur ambo: dignum enim habitum est divini nominis quod non erat natura divinum. Nonne igitur manifeste in vanam denominationem vobis magnæ Christi dignitates ex diuturna distinctione occurrerunt? Cum enim nulla sit ipsi alia res secundum quam participet Deo, nisi nomen solum, quomodo non secundum homonymorum unionem habebit Christus participationem cum Deo quæ fit juxta nomen solum, non autem secundum rem nomini subjacentem? Hujusce vere et angeli olim et homines puri a Deo digni habiti sunt, ante ut dictum est : et dæmones et simulacra et volatilia et reptilia et lapides digni habiti sunt ab hominibus diique et domini et filii Dei et deorum dicti sunt : in istis igitur sita est beatificatio Christi supra omnes? Hæc est excelsitudo donum ipsius, falsa Dei appellatio? Proh confusionem dogmatum! o futiles propositiones!

Dicant igitur adhuc nobis : quippe homonyma aut quæ sunt ejusdem substantiæ ex speciali nomine idem nomen habent, ut Judas Iscariotes et Judas frater Domini : vel sunt quædam diversæ substantiæ quæ ex communi nomine idem nomen habeant, ut stella maris et stella cœli, vel sunt quædam diversæ substantiæ quorum alterum quidem, ex communi nomine, et alterum ex speciali idem nomen habet, ut angelus qui est spiritus, et propheta qui dicitur Malachias aut alterum quidem substantia, alterum vero substantia carens, ut λύχος qui est animal et animæ affectus : juxta qualem unionem harum rerum secundum nomen unitarum, habita unio Christi nominis cum nomine Dei et Verbi et Filii Dei, ipsum meliorem, aut excelsiorem aliquo modo faciet aut aliquid ipsi proderit? Nihil

A ἕνωσις· ὥσπερ γὰρ ἡ εἰς φύρσιν ἕνωσις, φύρσιν ποιεῖ, οἷον ἡ τοῦ ὀξυκράτου· καὶ ὥσπερ ἡ εἰς σύστασίν τινα ἕνωσις, σύστασιν ποιεῖ, οἷον ἡ τοῦ χοροῦ· καὶ ὥσπερ ἡ εἰς παράθεσιν ἕνωσις, παράθεσιν ποιεῖ, οἷον ἡ τοῦ οἴκου· καὶ ὥσπερ ἡ εἰς φύσιν τινὰ ἕνωσις, φύσιν ποιεῖ, οἷον ἡ τοῦ σώματος ἀπὸ τῶν στοιχείων· οὕτω καὶ ἡ εἰς πρόσωπον ἕνωσις καινότερόν τι ἢ καινοτέρως δείξει τι πρόσωπον· οὐ μὴν τόγε ἀντὶ ἑαυτοῦ δεικνύναι τινὰ ἕτερον πρόσωπον, ὥς φατε, τοῦτο ἡ ἕνωσίς ἐστι ἡ εἰς πρόσωπον, ἡ φανέρωσις τοῦ ἑτέρου προσώπου τοῦ ἀγνοουμένου, ἀλλὰ τοὐναντίον ἀπόκρυψις προσώπου εἰς ἀντιπρόσωπον, μόνον δὲ ὀνόματος ἔκφανσις· ὃ καὶ ἄνευ προσώπου δυνατὸν ἦν κηρύττεσθαι δι' ὑποφήτου· τίνι γὰρ συνέχεται; ἢ τίνι κοινωνεῖ; ἢ τίνι ἥνωται τὰ
B τοιάδε ἀντάλλα πράγματα ἀλλήλοις; εἰ μὲν γὰρ ὁμοιότητι, πάλιν Θεὸς ἡ σὰρξ, ἡ σὰρξ ὁ Λόγος· τίς δὲ καὶ χρεία ἦν τῆς ὁμοιότητος οὔσης, μὴ ἐν ἀληθείᾳ τὸ κύριον πρόσωπον, ἀλλὰ τὸ ὅμοιον ἐμφανισθῆναι τῷ μὴ σκαιωρεῖν βουλομένῳ μᾶλλον; εἰ δὲ ἀνόμοιά ἐστι, ἐν τίνι ἡ ἕνωσις τῶν προσώπων; πῶς δὲ οὐ πλάνησις μόνον ἐπιτήδευσις ἔσται, τὸ ἄλλο τι δεῖξαι ὡς ἄλλο, καὶ οὐχ ὡς αὐτὸ ὅ ἐστι; Ναὶ, φησὶ, τῷ θείῳ ὀνόματι ἥνωται ἄμφω· ἠξιώθη γὰρ καὶ τὸ μὴ φύσει θεῖον τοῦ θείου ὀνόματος. Ἆρα οὐκ ἰδοὺ σαφῶς εἰς τὴν διακενῆς ὀνομασίαν ὑμῖν τὰ μεγάλα Χριστοῦ ἀξιώματα ἐκ μακρᾶς διαιρέσεως κατηντήκασι; μηδενὸς γὰρ ὄντος αὐτῷ καθ' ὃ κοινωνεῖ Θεῷ ἑτέρου πράγματος, πλὴν τοῦ ὀνόματος μόνον, πῶς
C οὐχὶ κατὰ τὴν τῶν ὁμωνύμων ἕνωσιν, τὴν κατὰ τοὔνομα μόνον ἔσται ἔχων τὴν πρὸς Θεὸν κοινωνίαν ὁ Χριστὸς, οὐχὶ δὲ κατὰ τὸ ὑποκείμενον τῷ ὀνόματι πρᾶγμα; Ταύτης δ' οὖν καὶ ἄγγελοι πάλαι καὶ ἄνθρωποι ὅσιοι ὑπὸ Θεοῦ ἠξίωνται, προείρηται· καὶ δαίμονες δὲ καὶ ξόανα καὶ πετεινὰ καὶ ἑρπετὰ καὶ λίθοι ἠξιώθησαν ὑπὸ τῶν ἀνθρώπων, θεοί τε καὶ κύριοι καὶ υἱοὶ Θεοῦ καὶ θεῶν λεχθέντες. Ἐν τούτοις οὖν ὁ μακαρισμὸς Χριστοῦ παρὰ πάντας; τοῦτό ἐστι τὸ ὑπερύψωμα δῶρον αὐτοῦ, ἡ ψευδώνυμος θεοκλησία; ὢ τῆς αἰσχύνης τῶν δογμάτων! ὢ τοῦ λήρου τῶν προβλημάτων!

Λεγέτωσαν οὖν ἡμῖν ἔτι· ἐπεὶ τὰ ὁμώνυμα, ἢ
D ὁμοούσιά ἐστιν ἐξ ἰδικοῦ ὀνόματος ὁμωνυμοῦντα, ὡς Ἰούδας ὁ Ἰσκαριώτης καὶ Ἰούδας ὁ ἀδελφόθεος· ἢ ἑτεροούσιά ἐστί τινα ἀπὸ κοινοῦ ὀνόματος ὁμωνυμοῦντα, οἷον ἀστὴρ ὅ τε θαλάττιος καὶ οὐράνιος, ἢ ἑτεροούσιά γε· καὶ τούτων θάτερον μὲν, ἀπὸ κοινοῦ ὀνόματος· καὶ ἕτερον, ἐξ ἰδικοῦ ὁμωνυμεῖ, οἷον ἄγγελος τό τε πνεῦμα, καὶ ὁ προφήτης ὁ λεγόμενος Μαλαχίας· ἢ θάτερον μὲν οὐσία, θάτερον δὲ ἀνούσιον, ὡς λύκος τό τε ζῶον καὶ τὸ πάθος· κατὰ ποίαν τῶνδε τῶν κατὰ τοὔνομα ἡνωμένων, ἡ τοῦ ὀνόματος Χριστοῦ πρὸς τὸ ὄνομα τοῦ Θεοῦ καὶ Λόγου καὶ Υἱοῦ τοῦ Θεοῦ ἕνωσις οὖσα, ἢ κατ' οὐσίαν αὐτόν τι κρειττώσει, ἢ ὑπερυψώσει ἢ ὀνήσει τι; Οὐδὲν γὰρ τῶν ὁμωνύμων ἀπολαύσει τινὸς τῶν τοῦ ὁμωνύμου· εἰ μὴ ἄρα αὐτὸ δὴ τοῦτό φασι, τὸ τῇ ψευδωνυμίᾳ τὴν

θείαν δόξαν συναρπάζειν, καὶ ἀποφέρεσθαι πρὸς τοὺς ἀγνοοῦντας τὴν τοῦ φύσει Θεοῦ πρὸς τοὺς ψευδωνύμους διάκρισιν· εἰ δὲ αὕτη ἐστὶν ἡ μεγάλη δόξα Χριστοῦ, ταύτης πολλῷ πρότερον Χριστοῦ διάβολός τε καὶ δαίμονες ἐπιθυμήσαντες, ἀπήλαυσαν· ἀλλὰ καὶ ζῶα καὶ ἑρπετὰ ἠξίωνται, ὡς εἴρηται, τῆσδε· ἐκ πάντων οὖν δέδεικται τρανῶς ὡς ἢ οὐδὲ τιμῆς οὐδὲ δόξης οὐδὲ ἄλλου τινὸς τῶν ὑψηλῶν καὶ θείων ἠξίωται ὄντως καὶ πράγματι Χριστός· ἢ εἴπερ ἀληθῶς ἐν μεθέξει τῶν θείων ἐστὶ προσηγοριῶν, τῷ πρώτως αὐτὸν τὸν ἀληθῶς καὶ φύσει τάδε οἰκειούμενον ἔχειν ἐν ἑαυτῷ Θεοῦ Λόγον· διὰ τοῦδε γὰρ καὶ πάντα τὰ Θεοῦ ἰδικὰ μόνον καὶ αὐτῷ συνεπόμενα ἐξαίρετα πλουτεῖ, καὶ ἐν ἑαυτῷ ἐπιδείκνυται ὄντως ὁ Χριστός.

A enim homonymorum fruetur aliquo ex his quæ sunt homonymi: nisi certe illud ipsum esse dicant divinam gloriam falsa nominatione corripere, et gloriari coram illis qui ignorant distinctionem hujus quod est natura et hujus quod est nomine fictitio Deus. Si vero ipsa est magna gloria Christi, illam multo ante Christum diabolus et dæmones desiderantes perceperunt: sed et animalia et reptilia illius digna habita sunt, ut dictum est: ex omnibus igitur monstratum est clare aut neque honoris, neque gloriæ, neque alicujus alterius horum quæ sunt excelsa et divina dignum habitum fuisse vere et realiter Christum, aut si vere est in participatione divinarum appellationum, illud constare ex eo quod primum habeat in semetipso Verbum Dei, hæc vere natura sibi vindicans: ideo enim et omnibus Dei specialibus tantum et ipsi pertinentibus ditatur, et hæc in semetipso exhibet vere Christus.

B Ἔτι μὴν λέγοντες οὗτοι ἀξίας αὐτὸν μετειληφέναι οἱασοῦν μεγίστης, ἀποκρινέσθωσαν ἡμῖν· Αὕτη ὁποία ἐστὶν ἡ ἀξία; φυσική τις, οἵα ἡ τοῦ ἀνθρώπου πρὸς τὰ κτήνη κατ' οὐσίαν ὑπεροχή, καθὸ εἴρηται, «Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ πρόβατα καὶ βόας ἁπάσας;» ἢ συμβεβηκῶσα, οἵα ἡ τοῦ Σαοὺλ πρὸς τοὺς ὁμοφύλους ὕψωσις; Εἰ μὲν γὰρ συμβεβηκῶσα, αὐτόθεν οὐδὲ θεία οὐδὲ ἀξιόλογος· εἰ δὲ φυσική, δῆλον ὡς οὐκ ἔστι αὐτῆς μετέχειν ἀληθῶς καὶ οὐ ψευδωνύμως, τὸν μὴ πρότερον τῆς κατ' αὐτὴν φύσεως τυχόντα· εἴπερ οὖν φυσικῆς ἀξίας Θεοῦ Χριστὸς μετείληφε, καὶ τὸ *Θεὸς* φύσεως ὄνομα κυρίως ἐστὶ, δῆλον ὡς τὴν φύσιν αὐτὴν τὴν θείαν κτησάμενος πρῶτον, ἧς ἰδία ἐστὶν ἡ ἀξία καὶ ἡ ὀνομασία, καὶ ταῦτα συνεκληρώσατο· οὐκοῦν ὀρθῶς δοξάζομεν σύνθεσιν τῆς θείας καὶ ἀνθρωπίνης φύσεως· C ἢ εἰ μὴ τόδε οὕτως ἔχει, αὐτὸς τραπεὶς εἰς τοιάνδε θείαν φύσιν ὁ ἄνθρωπος, ἠξίωται τῆς φυσικῆς θείας καὶ ὀνομασίας· καὶ ἔσται οὕτως, οὐδὲ σωζόμενος αὐτὸς ἔτι ὁ ἀξιωθεὶς τῆς ἀξίας, οὐδὲ μένων ὁ δεξάμενος τὴν χάριν, οὐδὲ δύο φύσεις ὅλως ὑποκείμεναι, οὐδὲ σωζόμενον αὐτοῖς ὅλως τὸ ἀνθρώπινον ἐν Χριστῷ, καίτοι τοὐναντίον, τὸ θεῖον ἀπ' αὐτοῦ μᾶλλον περιελεῖν μαχομένοις.

Rursus porro dicentes isti dignitatem ipsum quam maximam participasse, respondeant nobis: Qualis est dignitas ista? Num qua naturalis, qualis est hominis super animalia substantialis præstantia, prout dictum est: « Omnia subjecisti sub pedibus ejus, oves et boves universas [41]? » An accidens, qualis supra contribules Saulis celsitudo? Si quidem enim accidens, eo ipso nec divina, nec memoranda; si vero naturalis, manifestum est non vere sineque fictione eam participasse illum qui prior natura ex illa constante non erat. Si ergo naturalem dignitatem Dei Christus participavit, et nomen Deus natura proprium est, patet illum, ipsa prius divina positum natura, cujus propria est dignitas et nomen, et hæc simul sortitum esse. Recte igitur prædicamus divinæ cum humana conjunctionem naturæ. Aut si res ita se non habet, homo ipse in hujusmodi divinam naturam conversus, divinæ naturæ dignitatem cum nomine obtinuit. Et inde erit aut neque servetur adhuc ipse qui dignitatem promeruit, nec permaneat qui recepit gratiam, nec sint omnino duæ naturæ subjectæ, nec ipsis prorsus servetur quod est humanum in Christo, licet e contra quod est divinum ab ipso potius auferre contendant.

Ἡδέως δ' ἂν αὐτῶν ἔτι καὶ τόδε πυθοίμην, Εἰ τὸν Λόγον Χριστὸν ὀνομάζουσί πως; ἢ καὶ τὸν Χριστὸν, εἰ πρὸς τῷ Υἱῷ καὶ Θεῷ, φασὶ καὶ Λόγον, ἢ οὐχί; εἰ μὲν οὖν οὐχὶ, ἰδοὺ πάντα τὰ δοθέντα ὑπ' αὐτῶν εἰς D τιμὴν Χριστοῦ ἀνέτρεψαν, καὶ οὐδὲ τὴν κατὰ τὸ ὄνομα ψιλὴν κοινωνίαν παρέχουσιν ἣν προσποιοῦνται· εἰ γὰρ μὴ λόγος, οὐδὲ Θεοῦ Υἱὸς φυσικὸς, οὐδὲ τῷ ὀνόματι· εἰ δὲ ταῦτα διαβλεψάμενοι ὀνομάζουσι καὶ Λόγον τὸν Χριστὸν, καὶ τὸν Λόγον Χριστὸν, εἰς προσώπου ἀντένδειξιν ἄρα καὶ ἀντωνομασίαν, τῆς κλήσεως τῆς σαρκὸς καὶ τὸν Λόγον αὐτὸν μεταλαβεῖν φασιν· ἐν ὅσῳ οὖν τὸ αὐτὸ ἴδιον πρόσωπον ἐπέχειν τὴν σάρκα βούλεται καὶ τοῦτο ἐμφανίσαι, εὑρεθήσεται αὐτὸς τὸ ἐκείνης ἐπέχων· τοῦτο δὲ ἀντικαταλ-

Libenter adhuc ab eis et hoc sciscitaremur: Si Verbum appellant Christum, quomodo? Vel et Christum, præter Filium et Deum, dicunt et Verbum, vel non. Si quidem non; ecce cuncta ab ipsis concessa in honorem Christi everterunt, nec ipsam hanc simplicem secundum nomen proferunt communionem, quam fingunt. Nisi enim Verbum, nec Dei Filius naturalis, nec nominalis. Si vero, istis perspectis, appellent Christum Verbum et Verbum Christum, tunc ad personæ negationem ac contradictionem, nomen carnis et ipsum Verbum accepisse dicunt. In quocunque sane ipsa propria persona carnem assumere velit idque videri, ipse, quod est carnis, habere reperietur. Sed hæc erit

[41] Psal. VIII, 8.

quædam reciprocatio personarum et nominum, juxta certam dispensationem : etenim si solum certe convenit majori nomine minorem personam exaltare, quid opus est majorem personam minori nomine deprimere? Nulla est enim utilitas glorificato ex ignobilitate glorificantis eum. Sed nec ipsum Verbum, suo proprio nomine carnem glorificans, ex ejus nomine gloriam quærens, illud accepit. Quænam igitur est causa partes advocandi, dicant, nisi totum colligendi ratio? Dum vero frustra dicunt, omnia sane quæcunque Deus Verbum est, hæc et esse hominem ipsi unitum, nihil Verbi tribuentes Christo ab illo separato, quomodo pudore non afficientur? Nam si, præter ipsius substantiam aliquid est Deus Verbum quod Christo communicat, eo ipso aliquid est accidens tantum : quod non ex me dico; sed si quid in ipso prorsus accidens putatur, cæterum non erit Deus. Si autem præter substantiam Verbum est tantum hypostasis Dei, hoc etiam dicant. Eo quod nunc homo Christus est cum Verbo, quomodo non evidenter secundum hypostasin illi unitus est? Vel enim apud Verbum aliam similem hominis esse dicunt hypostasin, huic datam, et erunt duo Verba, et ista duo dii, et duo filii, et quaternaria sancta Trinitas; vel si hæc una humanæ naturæ communicata, id est, eam assumens in semetipsa, communis est Verbi et carnis Christi hypostasis, recte nos veneramur in Christo Verbi et carnis secundum hypostasin unionem. Sed quidem res ita est.

Verum etiamsi non esset ulla confutatio istorum argumentorum ab ipsis allatorum in gratiam ipsorum impietatis, quomodo non sola sufficeret ad repellendam eorum superstitionem illa quæ sequitur ex illorum propositionibus absurditas? Cum enim unus sit proprietate Filius, ut dicunt, totusque natura Filius Dei, ante Christum et post Christum absque carne intellectus, una scilicet hypostasis, cumque alia sit hypostasis Christi, totaque natura Filius hominis et incarnata cognita, sed gratia dignationeque pura ac simplici Filius Dei dicta, quomodo non essent duo filii istæ duæ hypostases, per distinctas filiationes et distinctos patres distinctæ, et subsistendi modo locoque semper discretæ? Quarum si quidem unam natura divinam venerantes, alteram est consubstantialem sibi diffitentur Judæi, Christi adversarii manifesti erunt; dicentes et ipsi : « Propter nullum bonum opus lapidamus te, sed quia tu homo cum sis, facis temetipsum Filium Dei. » Sed et si istam ut Deum adorant, quam solummodo humanam agnoscunt esse naturam, Græci produntur, creaturam loco Creatoris adorantes, reipsaque Anthropolatræ, et quaternionem divinarum hypostaseon ex tribus consubstantialibus et una alienigena, constituentes. Et non dicant : Voluntate Dei hominem Christum adoramus. Ubi enim docuerunt nos divina oracula hominem ut Deum adorare? At vero non est locus quo divina Scriptura non arguat tales

λαγή τις ἔσται προσώπων καὶ ὀνομάτων, διὰ ποίαν ἄρα οἰκονομίαν; Εἰ γὰρ δὴ μόνον ὑψῶσαι ἔδει τῷ μείζονι ὀνόματι τὸ ἧττον πρόσωπον, τίς ἡ χρεία τοῦ ταπεινῶσαι τὸ μεῖζον πρόσωπον τῷ ἥττονι ὀνόματι; οὐ γάρ τις ὄνησις τῷ δοξασθέντι, ἐκ τῆς τοῦ δοξάσαντος αὐτὸν ἀδοξίας· ἀλλ' οὐδὲ αὐτὸς ὁ δοξάσας τῷ ἰδίῳ ὀνόματι τὴν σάρκα Λόγος, δόξης δεόμενος ἐκ τοῦ ὀνόματος αὐτῆς τοῦτο μετείληφε· τίς οὖν ἡ αἰτία τῆς μετακλήσεως τῶν μερῶν, εἴποιεν, εἰ μὴ ὁ λόγος τῆς τοῦ ὅλου συνθέσεως; ἐν δὲ τῷ λέγειν αὐτοὺς εἰκῇ, ὅτι Ναὶ, πάντα ὅσα ἐστὶν ὁ Θεὸς Λόγος, ἐστὶ καὶ ὁ ἑνωθεὶς αὐτῷ ἄνθρωπος, μηδὲν τοῦ Λόγου διδοῦντας Χριστῷ διακεχωρισμένῳ αὐτοῦ, πῶς ἑαυτοὺς οὐκ ἐντραπήσονται; εἰ γὰρ ἔστι τι ὁ Θεὸς Λόγος πρὸς τῇ οὐσίᾳ αὐτοῦ ὃ μεταδίδωσι Χριστῷ, συμβεβηκός τι κατ' ἐκεῖνο μόνον ἐστὶν, οὐ λέγω οὖν αὐτός· ἀλλὰ εἰ ἐν αὐτῷ ὅλως συμβεβηκός τι νοεῖται, οὐ Θεὸς ἔσται λοιπόν· εἰ δὲ ὑπόστασίς ἐστι Θεοῦ πρὸς τῇ οὐσίᾳ μόνον ὁ Λόγος, καὶ τοῦτο εἴποιεν· ὅτι καὶ ὁ ἄνθρωπος Χριστός ἐστι νῦν σὺν τῷ Λόγῳ, πῶς οὐ καθ' ὑπόστασιν ἥνωται αὐτῷ σαφῶς; ἢ γὰρ ἄλλην ὁμοίαν ὑπόστασίν φασι τοῦ ἀνθρώπου κατὰ τὸν Λόγον εἶναι τὴν δοθεῖσαν αὐτῷ, καὶ δύο λόγοι εἶεν, καὶ δύο θεοὶ οὗτοι, καὶ υἱοὶ δύο, καὶ τετρὰς ἡ ἁγία Τριάς· ἢ εἰ αὕτη μία μεταδοθεῖσα τῇ φύσει τῇ ἀνθρωπείᾳ, ἤγουν συμπαραλαβοῦσα ἐν ἑαυτῇ, κοινή ἐστι τοῦ Λόγου καὶ τῆς σαρκὸς Χριστοῦ ὑπόστασις, ὀρθῶς σέβομεν ἐν Χριστῷ τὴν καθ' ὑπόστασιν τοῦ Λόγου καὶ τῆς σαρκὸς ἕνωσιν ἡμεῖς· ἀλλ' οὕτως μὲν τάδε.

Εἰ δὲ καὶ μὴ ἦν τις ἀνατροπὴ τῶνδε τῶν εἰρημένων αὐτοῖς πειθανολογιῶν ὑπὲρ τῆς αὐτῶν ἀσεβείας, πῶς οὐκ ἀρκέσει καὶ μόνη πρὸς ἀποστροφὴν τῆς κατ' αὐτοὺς δεισιδαιμονίας ἡ ἑπομένη τοῖς παρ' αὐτῶν θέμασιν ἀτοπία; ἑνὸς γὰρ Υἱοῦ ὄντος ἰδίᾳ, ὥς φασιν, ὅλου τε φύσει Υἱοῦ τοῦ Θεοῦ, πρὸ Χριστοῦ τε καὶ μετὰ Χριστὸν ἀσάρκως νοουμένου, ἤγουν μιᾶς ὑποστάσεως, καὶ ἑτέρας ὑποστάσεως τῆς τοῦ Χριστοῦ, ὅλης τε φύσει Υἱοῦ ἀνθρώπου καὶ ἐνσάρκου γινωσκομένης, χάριτι δὲ καὶ δόξῃ ψιλῇ μόνῃ λεγομένης Υἱοῦ Θεοῦ, πῶς οὐ δύο υἱοὶ εἶεν αἱ δύο ὑποστάσεις αὗται διάφοροί τε καὶ ἐπὶ διαφόροις υἱότησιν, καὶ ἀπὸ διαφόρων τοκέων, καὶ διωρισμέναι τῇ ὑπάρξει καὶ τόπῳ ἀεί; ὧν εἰ μὲν τὴν φύσει θείαν προσκυνοῦντες, τὴν ἑτέραν ὡς ὁμοούσιον ἑαυτοῖς ἀποπροσποιοῦνται, Ἑβραῖοι σαφεῖς εἶεν ἀντίχριστοι· λέγοντες καὶ αὐτοί· « Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλ' ὅτι σὺ ἄνθρωπος ὢν, ποιεῖς ἑαυτὸν Υἱὸν Θεοῦ· » εἰ δὲ καὶ ταύτην ὡς Θεὸν σέβουσιν, ἣν μόνον ἀνθρωπίνην εἶναι φύσιν γινώσκουσιν, Ἕλληνες πρόδηλοι σεβόμενοι τὴν κτίσιν παρὰ τὸν κτίσαντα, καὶ ὄντως ἀνθρωπολάτραι, καὶ τετράδα συνιστῶντες θείων ὑποστάσεων, ἐκ τριῶν ὁμοουσίων καὶ μιᾶς ἑτεροουσίου· καὶ οὐκ εἴποιεν, ὅτι Ἀλλὰ βουλήσει Θεοῦ τὸν ἄνθρωπον Χριστὸν προσκυνοῦμεν· ποῦ γὰρ εἶπεν ἡμῖν τὰ θεῖα Λόγια, προσκυνεῖν ἀνδρὶ ὡς Θεῷ; ἀλλ' οὐδ' ἔστιν οὗ μὴ ἐγκαλεῖ ἡ ἁγία Γραφὴ τοῖς τοιοῖσδε· καὶ παρεγγυᾷ, ὅτι « Κυρίῳ τῷ Θεῷ σου προσκυνήσεις, καὶ αὐτῷ

μόνῳ λατρεύσεις· » ἀλλ' ἴδωμεν ἑξῆς τί καὶ πρὸς τάδε A ἀπολογοῦνται οἱ βέλτιστοι.

ΚΕΦΑΛ. Θ'-Ι'.

Εἰ τοὺς δύο υἱοὺς, φησὶ, κατὰ φύσιν ἐλέγομεν εἶναι ἐκ τοῦ Θεοῦ, ἢ ἄμφω κατὰ χάριν, ὄντως καλῶς ἂν ἡμῖν δύο λέγειν υἱοὺς Θεοῦ συνήγετε· υἱοὺς γὰρ δύο ἢ πλείους τηνικαῦτα λέγει ἡ ἁγία Γραφὴ, ἡνίκα ἐκ τοῦ αὐτοῦ εἴησαν πάντες οἱ συναριθμούμενοι καὶ κατὰ τὸν αὐτὸν λόγον καὶ τρόπον· εἴτ' οὖν φύσει ἢ θέσει ἄμφω γεγενημένοι αὐτῷ, ὥστε καὶ ἀδελφοὺς αὐτοὺς ἀλλήλων δύνασθαι λέγειν· οὕτως γοῦν καὶ εἴρηται ἡ Μήτηρ τῶν δύο υἱῶν Ζεβεδαίου· καὶ ἐν τῇ Γενέσει· Τῷ δὲ Ἰωσὴφ ἐγένοντο υἱοὶ δύο· καὶ « Εἶπε Ῥουβὶμ τῷ πατρὶ αὐτοῦ· Τοὺς δύο υἱούς μου ἀπό- B κτεινον, ἐὰν μὴ ἀγάγω αὐτὸν πρὸς σὲ, τουτέστι τὸν Βενιαμίν· » καὶ παρὰ τῷ Ἀποστόλῳ πάλιν γέγραπται, « Ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν· » ἔνθα οὖν δύο ἢ πολλοὶ υἱοὶ, καὶ ἀδελφοὶ εἴρηνται, καὶ πρωτοτόκια, καὶ ὑστεροτόκια λέγεται ὡς ἐν Ἡσαῦ καὶ Ἰακώβ· εἰ οὖν φύσει τόν τε Λόγον καὶ τὸν Χριστὸν ἔφημεν ἐκ Θεοῦ, ἢ χάριτι ἄμφω καλῶς ἂν ἐλογίζεσθε ἡμᾶς· ἔδει γὰρ καὶ ἀδελφοὺς λέγεσθαι αὐτοὺς δύο ὄντας, καὶ θάτερον πρωτότοκον καὶ πρεσβύτερον εἶναι, εἴπερ μὴ δίδυμοι· εἰ δὲ ὁ μὲν θέσει, ὁ δὲ φύσει ἐστὶ, καὶ ἑτέρου μὲν φύσει, ἑτέρου δὲ θέσει ὁ Χριστὸς Υἱὸς, δῆλον ὅτι οὐκ ἔχει χώραν ἡ τῶν δύο υἱῶν συναρίθμησις.

Ταῦτα μὲν οὖν οὕτως οἱ ὄντως παραδόξων δογμά- C των πλάσται τε καὶ ἐφευρέται, οἱ τὰς δύο φύσεις, ἤγουν τὴν θείαν καὶ ἀνθρωπίνην, εἰς ἕνα υἱὸν καὶ μίαν ὑπόστασιν συντιθέναι ὡς ἀδύνατον τρόπον μὴ εὐδοκοῦντες· καὶ δύο πρόσωπα, καὶ δύο υἱοὺς τελείους ἰδίᾳ τε κεκριμένους εἰς ἕνα υἱὸν συνάπτειν ἀρτίως νομοθετοῦντες· εἴποιμεν οὖν πρὸς αὐτούς· Μὴ περιφέρεσθε τοῖς νοήμασι κραιπαλούντων δίκην, ὦ βέλτιστοι· ἢ γὰρ ὁ ἀνόμοιος τρόπος τῆς γεννήσεώς ἐστιν ὁ αἴτιος τοῦ συναριθμεῖσθαι τὴν δυάδα τῶν υἱῶν, κἂν τοῦ αὐτοῦ εἶεν πατρὸς, ἢ τὸ ἐκ διαφόρων εἶναι γονέων ἑκάτερον υἱὸν, ἢ ἄμφω εἰσὶ συναίτια τῆς ἀναιρέσεως τῆς δυάδος ἐπὶ τῶν υἱῶν, ἤγουν ἡ διαφορὰ τῆς υἱότητος καὶ τῶν τεκόντων· εἰ μὲν οὖν ὁ διάφορος τρόπος τῆς γεννήσεώς ἐστιν, ὁ κατὰ τοὺς δύο υἱοὺς ἕνα ποιῶν ἀριθμεῖσθαι, πρῶ- D τον μὲν πῶς καὶ τὸν ἕνα Υἱὸν διχάζειν τὴν διάφορον γέννησιν ἐλέγετε, ἐν τῷ δυσωπεῖσθαι παρ' ἡμῶν Θεοτόκον λέγειν τὴν ἁγίαν Παρθένον; Εἰ ἐγεννήθη γὰρ ἑτέρᾳ γεννήσει, μὴ μεῖναι τὸν αὐτὸν ἄχρονον Υἱὸν Θεοῦ Λόγον ἐφάσκετε· τὸ γὰρ ὁπωσοῦν γεννώμενον, ἕτερον εἶναι παρὰ τὸ ἤδη προὸν, παντοίως ἀπεφαίνεσθε· ἄλλως δὲ, εἰ ὁ διάφορος τρόπος ἁπλῶς ἀναιρεῖ τὸν ἀριθμὸν τῶν υἱῶν, καίτοι καὶ υἱότητα καινοτέραν προστιθεὶς Ἰωάννης ὁ εὐαγγελιστὴς, υἱὸς ὢν θέσει τῆς Δεσποίνης, διὰ τὸ εἰρημένον ὑπὸ τοῦ Δεσπότου ἐν τῷ σταυρῷ· « Ἰδοὺ ἡ μήτηρ σου· » καὶ, « Ἰδοὺ ὁ υἱός σου· » ὁ δὲ Κύριος φύσει υἱὸς αὐτῆς ὤν,

A adoratores et clamet : « Dominum Deum tuum adorabis et illi soli servies [53]. » Sed ex ordine videamus quid ad hæc allegent isti reverendissimi.

CAP. IX-X.

Si duos filios, inquiunt, diceremus, ex Deo esse secundum naturam vel ambo secundum gratiam, recte quidem nos duos dicere filios Dei inferretis. Duos enim vel plures filios tunc dicit Scriptura sacra, cum ex eodem sunt omnes isti, uno sermone eodemque modo connumerati, sive natura, sive adoptione sint ambo eidem generati, ita ut fratres unus alius dici queant. Ita quidem dicitur : Mater duorum Zebedæi filiorum; et in Genesi : Joseph autem erant duo filii : Et : « Dixit Ruben B patri suo : Duos filios meos morti trade, si non ad te reducam illum, id est, Benjamin [54]. » Rursusque apud Apostolum scriptum est : « Quod Abraham duos filios habuit [55]. » Ibi ergo sunt duo vel plures filii, fratresque dicuntur, et prior posteriorque ortus, ut in Esau et Jacob, memorantur. Igitur si Verbum et Christum diceremus ex Deo natura, vel gratia ambos, recte nobis id causaremini : oportebat enim illos, utpote duos, fratres dici, unumque esse primogenitum et natu majorem, siquidem non gemini. Si autem hic adoptione, ille vero natura, et Christus unius quidem natura, alius autem adoptione sit Filius, evidens est non habere locum duorum filiorum connumerationem.

C Hæc quidem ita ferunt isti fabricatores inventoresque paradoxorum, qui duas naturas, divinam scilicet et humanam, in unum filium et unam hypostasin convenire, quasi modum impossibilem, non probant; et duas personas et duos filios perfectos proprietateque discretos in unum filium coaptari plane statuunt. Dicamus igitur illis : Nolite, charissimi, ebriorum instar, cogitationibus vacillare. Vel enim varius generationis modus auctor est duos in unum connumerandi filios, licet ejusdem sint patris, vel utriusque filii ex diversis parentibus procreatio, vel ambo, diversa scilicet filiatio et generatorum discretio, simul causæ sunt cur dualis filiorum numerus tollatur. Si quidem igitur diversus generationis modus est qui pro duobus filiis unum nume- D rari faciat, primo quidem quomodo hunc quoque unum Filium duplicem ac diversam generationem habere dicebatis, non sustinentes sacram Virginem a nobis Deiparam vocari? Si enim alia generatione generatus esset, eumdem non mansisse æternum Filium Dei Verbum dicebatis; nam quolibet modo genitum aliud esse ac jam erat plane exponebatis. Aliunde vero, si simplex modi diversitas numerum filiorum tollit, certe et ad novam filiationem ascriptus Joannes evangelista, Dominæ filius adoptione factus hoc in cruce Domini dicto : « Ecce mater tua ; » et : « Ecce filius tuus [56], » et Dominus, illius natura filius, unus filius erant

[53] Deut. vi, 13; Matth. iv, 10. [54] Gen. xlii, 37. [55] Galat. iv, 22. [56] Joan. xix, 26, 27.

ambo, propter varium filiationis modum! Quod si non generationis disparitas sed genitorum, unum et esse plures generatos ostendit, nunquid igitur quia Simon quidem Jonæ, Joannes autem Zebedæo generatur, unus filius erant ambo? Si autem diversus generationis modus generantiumque personarum diversitas simul concurrentia generatos a diversis et diverse diversos unum filium efficiant, ergo Joannes adoptione filius Dominæ et Simon natura filius Jonæ unus filius erant propter diversum modum et genitorum diversitatem? Hæc autem omnia si manifeste falsa sint, evidenter in eis, quibus una tantum suppetit hypostasis, hoc verum est. Etenim Zebedæi natura, Dominæque adoptione idem erat unus filius reipsa solus Joannes, quia duobus filiationibus subjici potest una hypostasis.

Sed Christi et Verbi duas hypostases duasque personas perfectas non ambigue conclamatis: Quomodo ergo Filius per diversam generationem erit Christus et Verbum, o mira loquentes? Sic vobis diversitas unionis esset causa, et similitudo, ratio discretionis in rebus, quæ quidem ante vos ab æterno nemini revelata sunt. Certe si dicant ob genitorum diversitatem, unum esse, ridendæ sunt ineptiæ; si quidem ex similibus, duos esse; ex diversis autem genitoribus, unum esse filium, omnes genitos prætendant, ergo Ophni et Phinees erant duo filii, utpote ex eodem Heli nati; Jonathas autem et David, utpote unus ex Saul et alter ex Jesse, non duo filii, sed unus tantum. Porro si res ita sit, ex Cain et ex Seth diversis orti non duo filii, sed unus filius erunt omnes homines. Si vere simplex speciei genitorum disparitas hujus rei causa sit, equi et pisces erunt omnes unus filius. Quis hæc absurda feret? Hoc enim sic plane resumitur, ut, si genitores diversi sunt, plures sint filius unus, et, si non diversi sunt, plures filii. Erit igitur diversitas unionis et unitatis causa; similitudo autem, discretionis et multitudinis: quæ sunt interversa.

CAP. XI.

Ecce tamen, inquiunt, de duabus istis causis, Balæ, ancillæ Rachel, naturales filii, sunt et adoptione filii Rachel, et non multiplicantur numero, sicut ab ea dictum est Jacob: « Ingredere ad ancillam meam et pariet super genua mea, et ego suscipiam ex ea sobolem [57]. » Et rursus: « Judicavit mihi Deus et exaudivit vocem meam, et dedit mihi filium. Propterea appellavit nomen ejus Dan [58]. » Sed et ipsa peperit natura Joseph et Benjamin; et non ideo, ex duodecim patriarchis, quatuor sunt filii Rachel: non enim numerantur adoptionis filii. Possemus tamen dicere: Si non omnino numerantur, quomodo, Dan et Nephthali non computatis, duodecim patriarchæ sunt? Sed eos cum naturæ filiis non numerari manifestum est. Porro si non ut filii Rachel, at certe sicut filii Balæ, quæ alia est, nume-

[57] Gen. xxx, 3. [58] ibid. 6.

A εἷς υἱὸς ἄμφω ἦσαν, διὰ τὸν διάφορον τρόπον τῆς υἱότητος· εἰ δὲ οὐ τῆς γεννήσεως ἡ διαφορὰ, ἀλλὰ τῶν γεννησάντων, ἕνα εἶναι δείκνυσι καὶ τοὺς πλείους γεννηθέντας· ἆρά γε διότι Σίμων μὲν Ἰωνᾶ, Ἰωάννης δὲ Ζεβεδαίῳ γεννᾶται, εἷς υἱὸς ἦσαν ἄμφω; εἰ δὲ ὅτι διάφορος τρόπος τῆς γεννήσεως, καὶ τὰ διάφορα εἶναι πρόσωπα τὰ γεννήσαντα, ἀλλὰ συνελθόντα ἕνα υἱὸν τοὺς γεννηθέντας διαφόρους καὶ διαφόρως διαφόρους παριστῶσιν, ἆρά γε Ἰωάννης θέσει υἱὸς ὢν τῆς Δεσποίνης, Σίμων δὲ υἱὸς ὢν Ἰωνᾶ φύσει, εἷς υἱὸς ἦσαν διὰ τὸν διάφορον τρόπον, καὶ τοὺς διαφόρους τῶν γονέων; Εἰ δὲ ταῦτα πάντα προφανὲς ψεῦδος, δῆλον ὡς ἐφ' ὧν μία ὑπόστασις ὑπόκειται μόνον, ἀληθὲς τόδε ἐστί· Ζεβεδαίῳ γὰρ φύσει, καὶ τῆς Δεσποίνης θέσει, ὁ αὐτὸς ἦν εἷς
B υἱὸς ὄντως μόνος Ἰωάννης, ὅτι διαφόροις υἱότησιν ἔστιν ὑποβάλλεσθαι μίαν ὑπόστασιν.

Δύο δὲ ὑποστάσεις Χριστοῦ καὶ τοῦ Λόγου, καὶ δύο πρόσωπα τέλεια διαῤῥήδην βοᾶτε· πῶς οὖν Υἱὸς διὰ τὴν διάφορον γέννησιν ἔσται Χριστὸς καὶ ὁ Λόγος, ὦ τερατολόγοι; οὕτως δὲ ἂν καὶ εἴη ἡ μὲν διαφορὰ ἑνώσεως αἰτία καθ' ὑμᾶς· ἡ δὲ ὁμοιότης, διακρίσεως ἐν τοῖς πράγμασιν· ἅπερ ἐξ αἰῶνος οὐδενὶ πρὸ ὑμῶν ἀπεκαλύφθη· εἰ δὴ λέγοιεν διὰ τὴν τῶν γονέων διαφορὰν, ἕνα εἶναι, γελοῖος λῆρος· εἰ τὸ μὲν ἐξ ὁμοίων, δύο εἶναι· τὸ δὲ ἐκ διαφόρων γονέων ἕνα υἱὸν εἶναι, πάντας τοὺς τεχθέντας παρίστησιν· ἆρα οὖν Ὀφνὶ μὲν καὶ Φινεὲς δύο υἱοὶ, ἐπεὶ ἐκ τοῦ αὐτοῦ Ἠλεί· Ἰωνάθαν δὲ καὶ Δαβὶδ, ἐπεὶ ὁ μὲν Σαοὺλ, ὁ δὲ ἐξ Ἰεσσαὶ, οὐ δύο υἱοὶ, εἷς δὲ μόνον;
C ἀλλ' εἰ τόδε οὕτως, οὐδὲ οἱ ἐκ Κάϊν καὶ ἀπὸ Σὴθ τῶν διαφόρων δύο υἱοὶ, ἀλλ' εἷς υἱὸς πάντες οἱ ἄνθρωποι· εἰ δὲ ἁπλῶς ἡ διαφορὰ τοῦ εἴδους τῶν γονέων αἰτία τοῦδε, καὶ ἵπποι καὶ ἰχθύες πάντες, εἷς υἱός. Καὶ τίς ἀνέξεται τῶν ἀτοπημάτων; ἁπλῶς γὰρ τοῦτο συνάγεται, ὅτι εἰ μὲν διάφοροι εἶεν οἱ γονεῖς, εἷς υἱὸς οἱ πλείους· εἰ δὲ ἀδιάφοροί εἰσι, πλείονες· ἔσται οὖν ἡ διαφορὰ, ἑνώσεως καὶ μονάδος αἰτία· ἡ δὲ ὁμοιότης, διακρίσεως καὶ πλήθους, ἅ ἐστιν ἀντικατάλλα.

ΚΕΦΑΛ. ΙΑ'.

Ἀλλ' ἰδοὺ, φησὶν, ἐπὶ ταῖς δύο αἰτίαις οἱ φύσει υἱοὶ Βάλλας τῆς παιδίσκης, Ῥαχὴλ καὶ υἱοὶ Ῥαχὴλ εἰσι θέσει, καὶ οὐκ ἐπλεόνασαν ἀριθμῷ, καθὼς εἴρηται ὑπ'
D αὐτῆς τῷ Ἰακώβ· « Εἴσελθε πρὸς τὴν παιδίσκην μου, καὶ τέξεται ἐπὶ τῶν γονάτων μου καὶ τεκνοποιήσομαι κἀγὼ ἐξ αὐτῆς. » Καὶ πάλιν, ὅτι « Ἔκρινέ μοι ὁ Θεὸς, καὶ ἐπήκουσε τῆς φωνῆς μου, καὶ ἔδωκέ μοι υἱόν· διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Δάν. » Τέτοκε δὲ καὶ αὕτη φύσει τὸν Ἰωσὴφ καὶ Βενιαμίν· καὶ οὐ διὰ τόδε τέσσαρες υἱοὶ τῆς Ῥαχὴλ, ἐκ τῶν ιβ' πατριαρχῶν εἰσιν· οὐ γὰρ ἀριθμοῦνται καὶ οἱ θέσει υἱοί. Καίτοι εἴποιμεν εἰ οὐδὲ ὅλως ἀριθμοῦνται, πῶς οὖν ιβ' οἱ πατριάρχαι εἰσὶ, Δὰν καὶ Νεφθαλεὶμ μὴ συλλογιζομένων; ἀλλ' ὅτι οὐκ ἀριθμοῦνται σὺν τοῖς φύσει οἱ θέσει, δῆλόν ἐστιν· εἰ γὰρ καὶ μὴ ὡς τῆς Ῥαχὴλ, ἀλλά γε ὡς τῆς Βάλλας ἰδοὺ ἀριθμοῦνται ἑτέρας οὔ-

στης· καὶ δύο μὲν Ῥαχὴλ, δύο δὲ ἕτεροι τῆς Βάλλας A εἶναι λέγονται ἐν τοῖς ιβ'· ἐκ διαφόρων τε ὄντες μητέρων υἱοὶ καὶ ἐξ ἀδιαφόρου πατρός· ὥστε καὶ οἱ ἐκ διαφόρων, καὶ οἱ ἐξ ἀδιαφόρων ὅλως, εἰ πλείονές εἰσι ταῖς ὑποστάσεσιν, υἱοὶ ἀριθμοῦνται. Μόνον δὲ τότε οὐκ ἀριθμοῦνται πλείονες υἱοὶ, ὅτε κατὰ τῶν αὐτῶν ὑποστάσεων, πλείους υἱοτήτων τρόποι εἰσί· διὸ υἱοὶ Βάλλας ἐπεὶ καὶ ταύτης φύσει καὶ τῆς Ῥαχὴλ θέσει εἰσὶν υἱοὶ οἱ αὐτοὶ, οὐχ ἕκαστος αὐτῶν διὰ τὰς δύο υἱότητας, δύο υἱοὶ καταλογίζονται· ἢ γὰρ ἂν οὕτως δεκατέσσαρες ἦσαν οἱ πατριάρχαι· ἀλλ' εἷς ἑκάτερος, διαφόροις υἱότησι τὴν διάφορον σχέσιν ποιούμενος πρὸς τοὺς τοκέας, οὐ διαφόροις ἀριθμοῖς καὶ ὑποστάσεσι μετρούμενοι· ὅπου γε τὸ λεγόμενον ὑπ' αὐτῶν, εἰ διὰ τὸ θέσει εἶναι τὸν ἄνθρωπον Υἱὸν Θεοῦ, μὴ συναριθμεῖσθαι εἰς δυάδα Υἱὸν τὸν Χριστὸν B ποιεῖ σὺν τῷ φύσει Υἱῷ τοῦ Θεοῦ τῷ Λόγῳ, ἐπεὶ ὁ ἀριθμὸς ἐπὶ τῶν φύσει ἐστὶ, τοῦτο δείκνυται, ὅτι ἢ ὡς ὑπερέχων, ἢ ὡς οὐδὲν ὢν ὅλως, οὐχ ἥξει εἰς ἀριθμὸν υἱῶν ὁ θέσει· εἰ μὲν οὖν ὡς ὑπερέχων μείζων Ἰωάννης τοῦ Δεσπότου ἐν υἱοῖς τῆς Δεσποίνης. καὶ τοῦ Λόγου ἁπλῶς ὁ ἄνθρωπος παρὰ Θεῷ τῷ Πατρί· εἰ δὲ χείρων, πῶς εἷς υἱὸς ὁ χείρων σὺν τῷ κρείττονι; οὐ γὰρ ἓν τὰ διάφορα ἐροῦσιν.

Εἰ δὲ εἴποιεν ὅτι ὡς οὐδὲν ὢν, ἐλήλεγκται αὐτῶν ἡ δόκησις τῆς περὶ Χριστοῦ υἱότητος· ἵνα δὲ κἂν τούτῳ δειχθεῖεν ψευδόμενοι, ἰδοὺ ἐν τῇ γενεαλογίᾳ τοῦ Κυρίου, Ἰωσὴφ τὸν μνηστῆρα τῆς Δεσποίνης, υἱὸν λέγει τοῦ Ἠλεὶ, καίτοι ἐξ Ἰακὼβ φύσει ὄντα C τοῦ ἀδελφοῦ αὐτοῦ πρωτότοκον, ἀλλὰ κατὰ νόμον, ἐκείνου σπέρμα τοῦ προτελευτήσαντος ἄπαιδος ἀδελφοῦ ἀναγορευόμενον· ἔτι δὲ τὸ τρανότερον αὐτῶν γυμνοῦν τὴν διπλῆν ἀσέβειαν, εἴποιμεν· ὡς Εἰ καὶ μὴ συναριθμεῖται ὁ θέσει Υἱὸς τοῦ Θεοῦ Χριστὸς καθ' ὑμᾶς τῷ φύσει Υἱῷ καὶ Λόγῳ τοῦ Θεοῦ, κἀντεῦθεν δύο υἱοὺς πρεσβεύειν οὐχ ἁλίσκεσθε; Ἀλλ' ἐπεί τινός ἐστι καὶ αὐτὸς φύσει Υἱὸς, πάντως καὶ καθ' ὑμᾶς, ἤγουν τοῦ ἀνθρώπου· οὐ γὰρ ἀπὸ ταὐτομάτου γεγένηται, δῆλον ὡς Υἱός ἐστιν, εἰ καὶ μὴ Θεοῦ, ἀλλ' ὅμως πάντως τινὸς προσώπου φύσει καὶ καθ' ὑμᾶς· τοῦτον οὖν τὸν οὐ Θεὸν, οὐδὲ Θεοῦ φύσει Υἱὸν, ἀνθρώπου δὲ φύσει Υἱὸν καθ' ὑμᾶς, καὶ τὸν φύσει Υἱὸν τοῦ Θεοῦ Λόγον, δύο υἱούς φατε· ἢ οὐδὲ Σὴθ τὸν υἱὸν Ἀδὰμ, καὶ τὸν Λόγον τοῦ Θεοῦ, δύο υἱοὺς ἐρεῖτε, D ἑτέρου καὶ ἑτέρου ὄντας υἱούς. Εἰ δὲ τοῦτο, πάντως δῆλον ὡς δύο μὲν υἱοὺς ἴστε, τόν τε Λόγον καὶ τὸν Χριστόν· ὥσπερ οὖν καὶ δύο πρόσωπα λέγετε· ἀλλ' οὐδὲ Θεὸν, οὐδὲ Θεοῦ Υἱὸν τὸν Χριστὸν, μόνον δὲ ψιλὸν υἱὸν ὄντα καθ' ἡμᾶς τοὺς ἀνθρώπους ἀνθρώπου· ταῦτα δὲ ἦν αὐτὰ ἃ πάλαι ἐγκαλούμενοι παρ' ἡμῶν, ἄλλην ἀλλαχοῦ διεκδύνοντες, λαθεῖν ἐμηχανᾶσθε· καὶ ἰδοὺ θατέρᾳ θατέραν κακοδοξίαν ἑαυτῶν διηλέγξατε· τοῦτο πολλάκις κἀν τοῖς δαιμονιῶσι τῆς θείας δυνάμεως δεικνύσης, καὶ καταναγκαζούσης διὰ τῶν ἁγίων λέγειν αὐτοὺς τοὺς δαίμονας ἄκοντας τὰς ἑαυτῶν ἐφόδους καὶ ἐπιβουλὰς καὶ πονηρίας τὰς

rantur; et quidem duo filii Rachel, duo vero alii Balæ dicuntur esse inter duodecim, ex diversis matribus, sed ex patre non diverso, nati: ita ut et ex diversis nati, et ex non diversis orti, si ratione hypostaseón plures sint, filii numerantur. Tunc solum non numerantur plures filii cum sub iisdem hypostasibus, plures filiationis modi sunt. Propterea, filii Balæ, cum iidem sint hujus natura et Rachel adoptione filii, non singulatim, ratione duarum filiationum, duo filii numerantur: sic enim essent quatuordecim patriarchæ; sed unusquisque, diversis filiationibus diversam habens relationem cum genitoribus, non numeris et hypostasibus definitur. Ubi certe dictum est ab eis, quod, si per adoptionem est homo filius Dei, illud non cogit in duali numero filium computari Christum cum Filio Dei, per naturam Verbo (5), hoc demonstratur, scilicet, filium per adoptionem vel quia præstat, vel quia nihil omnino est, in numerum filiorum non esse venturum: porro, si tanquam præstans, ergo Joannes, in Dominæ filiis, melior est Domino, et apud Deum Patrem homo absolute melior est Verbo: quod si tanquam pejor, quomodo pejor unus filius est cum meliore? Non enim unum diversa rogant.

Sed et si dicant: quia nihil est, arguitur eorum opinio de Christi filiatione. Verum ut in hoc etiam mendaces ostendantur, in Domini genealogia, Joseph, Dominæ sponsus, dicitur filius Heli, quanquam ex Jacob, hujus fratre, natura primogenitus, sed juxta legem, illius antea sine liberis defuncti fratris semen declaratus. Ad apertius autem detegendam eorum duplicem impietatem, dicamus et istud: Si juxta vos Filius Dei per adoptionem Christus non uno numero jungatur Filio per naturam et Verbo Dei, exinde duos filios astruere nonne convincemini? At vero, cum et ipse plane cujusdam sit natura filius, et juxta vos, hominis, non enim spontanee generatus est, evidens est illum, etiam juxta vos, si non Dei, at certe necessario alicujus personæ, natura filium esse. Hunc igitur non Deum nec Dei naturalem Filium, sed juxta vos filium hominis naturalem, et naturalem Filium Dei Verbum, duos filios dicitis, vel neque Seth, filium Adam, et Verbum Dei, utpote unius et alterius filios, duos filios loquimini. Sed si ita est, prorsus patet quod vos duos filios agnoscitis, Verbum et Christum, quemadmodum reipsa duas personas dicitis, verum neque Deum neque Filium Dei Christum, sed merum et simplicem, sicut nos homines, filium hominis. Hæc autem erant ipsa de quibus a nobis criminati, alii alio diffugientes, jamjam latere machinabamini. Et ecce unam alia perversas doctrinas vestras prodidistis. Hoc sæpe videre est in dæmoniacis, divina potentia prodente cogenteque, mediis sacris, ipsos dæmones suos calles et consilia et nequitias erga energumenos, invite di-

(5) Siquidem numerus in filios per naturam cadit.

cere, ut per semetipsos proprias perfidias tanquam triumphantes producant et non aliunde per invidiam illudi videantur. Attamen nec ratiocinatione nec principiorum expositione, quomodo diversas personas non duos filios esse dicant, ostendere valentes, nunc exemplis illud nobis demonstrare volunt et dicunt :

CAP. XII.

Sæpe res natura diversas uno nomine designari unaque haberi æstimatione dignas; sed nihilo prorsus duas reputari. Corpus enim esse credimus et Ecclesiam, et panem sanctum, et crucifixum ; et certe aliud atque aliud unumquodque eorum; et nihilominus ideo tria Christi corpora dicere non compellimur. Verum evidens est quasi Christi corpora non esse duo vel tria : nam propterea quod unumquodque eorum eumdem participat spiritum, illud quidem crucifixum, ungentem, hunc vero panem, sacrantem; Ecclesiam autem, sua totam communicatione sanctificantem, omnia corpus Christi censentur. Tanquam igitur Christi, unum; si autem hæc simpliciter ut corpora judicamus, tria sunt, nempe, corpus Christi proprium, et panis, et Ecclesia. Si ergo sic Verbum et Christus aliud quid commune participant, et ambo hoc eodem filiationem Dei obtineant, quid sit illud dicant, necnon quid esset sua proprietate Verbum absque eo, per quod Filius Dei factum est. Ubi sane unum et idem diversis naturis datum Filium Dei fecerit et Verbum et Christum, id ergo faciet Filium Dei natura vel adoptione, et Verbum esse secundum Christum necessario ostendet.

CAP. XIII.

Attamen, inquiunt, non duo dicimus sigilla, archetypum et locum, sed unum, licet aliud numero videntes. Ast, o vos qui sic loquimini, neque duos homines totam humanitatem, neque duo animalia totum animalium genus, nempe quod similitudine commune est, singulatim nominamus, nec numero plurimos videbimus esse et homines et animalia, et arbores, et sigilla, siquidem eorum omnium speciem in multitudine similem et unam esse dicimus. Verumtamen et duo et tria, et decem millia dicimus animalia et homines. At vero vobis exemplum alia nunc consiliatur ac quæ olim estis opinati : duos enim numero filios esse, filiatione tamen similes et non diversas ostendit, quanquam usque modo dicebatis ambo vel natura vel adoptione filios esse oportere, et similes filiationis specie in duali filiorum numero computari. Igitur si diversa non est eorum filiationis species tanquam sigilli relative ad archetypum, propter similitudinem, juxta vos, duo censeri possunt ; et sic denuo, si taliter ac res similes ad se invicem similitudinem habeant, vel caro natura Filius Dei erit, vel etiam Verbum gratia erit Dei Filius. Sed et Pater erit caro : nam similia sibi secundum substantiam generat naturalis pater. Si ergo naturaliter carnem

A κατὰ τῶν ἐνεργουμένων· ἵνα δι' ἑαυτῶν τὰς ἰδίας θριαμβεύωσι μιαρότητας, καὶ μὴ ὑφ' ἑτέρων δόξωσιν δι' ἀπέχθειαν συκοφαντεῖσθαι. Ἀλλ' οὔτε συλλογιστικῶς, οὔτε αἰτιολογικῶς δεικνύειν ὅπως οὐ δύο υἱούς φασιν εἶναι τὰ διάφορα πρόσωπα δυνηθέντες, νῦν παραδειγματικῶς ἡμῖν τοῦτο βούλονται παριστάνειν, καί φασιν·

ΚΕΦΑΛ. ΙΒ'.

Ὅτι πολλάκις τὰ διάφορα τῇ φύσει, ἑνὶ ὀνόματι προσαγορεύεται, καὶ μιᾶς τιμῆς ἠξίωται· δύο δὲ οὐδὲ ὅλως νοεῖται· σῶμα γὰρ πιστεύομεν εἶναι τήν τε Ἐκκλησίαν, καὶ τὸν ἅγιον ἄρτον, καὶ τὸ σταυρωθέν· καίτοι ἄλλο καὶ ἄλλο ἕκαστον τούτων· καὶ ὅμως οὐ διὰ τόδε, τρία σώματα λέγειν Χριστοῦ εἰσπραττόμεθα. B Ἀλλὰ δῆλόν ἐστι, ὅτι ὡς Χριστοῦ σώματα, οὐκ εἰσὶ δύο ἢ τρία· διὰ γὰρ τὸ τοῦ αὐτοῦ πνεύματος μετασχεῖν τούτων ἕκαστον, τοῦ χρίσαντός τε τὸ σταυρωθὲν ἐκεῖνο, καὶ ἁγιάζοντος τοῦτον τὸν ἄρτον, καὶ τὴν Ἐκκλησίαν πάλιν διὰ τῆς μεταλήψεως αὐτοῦ πᾶσαν ἁγιοποιοῦντος, σῶμα Χριστοῦ νοοῦνται πάντα· ὡς Χριστοῦ οὖν, ἕν· εἰ μέντοι ἁπλῶς τάδε ὡς σώματα κρίνομεν, τρία εἰσί· τό τε Χριστοῦ ἰδικὸν, καὶ ὁ ἄρτος, καὶ ἡ Ἐκκλησία· εἰ οὖν οὕτως καὶ ὁ Λόγος καὶ ὁ Χριστὸς μεταλήψει κοινοῦ τινος ἑτέρου, ἄμφω δὲ τοῦ αὐτοῦ υἱοποιοῦνται Θεῷ, τί τοῦτό ἐστι λεγέτωσαν· καὶ τί ὄντος χωρὶς τοῦδε κατ' ἰδίαν τοῦ Λόγου, Υἱὸς γέγονεν ὁ Λόγος δι' ἐκείνου· ὅπου γε εἰ τὸ αὐτὸ ἓν δοθὲν διαφόροις φύσεσιν, Υἱὸν Θεοῦ καὶ τὸν Λόγον ἐποίησε καὶ τὸν Χριστὸν, ἄρα φύσει Υἱὸν C Θεοῦ ποιήσει, ἢ θέσει; καὶ τὸν Λόγον εἶναι κατὰ Χριστὸν δείξει ἐξ ἀνάγκης.

ΚΕΦΑΛ. ΙΓ'.

Ἀλλ' οὔτε δύο σφραγῖδας, φησὶ, λέγομεν, τὸ ἀρχέτυπον καὶ τὸν τόπον, ἀλλὰ μίαν, καίτοι ἕτερον καὶ ἕτερον εἰδότες τῷ ἀριθμῷ. Ἀλλ', ὦ οὗτοι, τῷ λόγῳ τῷδε, οὔτε δύο ἀνθρώπους ἄρα πᾶσαν τὴν ἀνθρωπότητα, οὐδὲ δύο ζῶα τὸ καθόλου ζῶον, ἤγουν τὸ ἐξ ὁμοιότητος κοινὸν, ἑνικῶς ὀνομάζομεν· οὐδὲ κατ' ἀριθμὸν πλείους εἰσόμεθα εἶναι καὶ τοὺς ἀνθρώπους καὶ τὰ ζῶα καὶ τὰ φυτὰ καὶ τὰς σφραγῖδας· ἐπεὶ ὅμοιον πάντων αὐτῶν φαμεν τὸ εἶδος εἶναι τὸ κατὰ τὸ πλῆθος καὶ ἕν· καὶ μὴν δύο τε καὶ τρία καὶ μυ- D ρία λέγομεν ζῶα καὶ ἀνθρώπους· ὅμως τὸ παράδειγμα ὑμῖν τὰ ἐναντία βούλεται νῦν ὧν πάλαι δοξάζετε· δύο μὲν γὰρ εἶναι τοὺς υἱοὺς ἀριθμῷ, ἀλλὰ ὁμοίους κατὰ τὴν υἱότητα καὶ οὐ διαφόρους δηλοῖ· καίτοι ἐλέγετε ἕως ἄρτι, ὡς ἄμφω ἢ φύσει εἶναι δεῖ ἢ θέσει υἱούς· καὶ ὁμοίους τῷ εἴδει τῆς υἱότητος τοὺς ἀριθμουμένους εἰς δυάδα υἱῶν· εἰ οὖν ἀδιάφορον αὐτῶν τὸ τῆς υἱότητος εἶδος, ὥσπερ τῆς σφραγῖδος πρὸς τὸ ἀρχέτυπον, δύνανται δύο νοεῖσθαι διὰ τὴν ὁμοιότητα καθ' ὑμᾶς· ὥστε οὖν πάλιν καὶ εἰ οὕτως ἔχουσι τὴν ὁμοιότητα πρὸς ἄλληλα ὡς τὰ ὁμοειδῆ, καὶ ἡ σὰρξ φύσει Υἱὸς τοῦ Θεοῦ, ἢ καὶ ὁ Λόγος χάριτι Υἱὸς Θεοῦ· ἔσται δὲ καὶ ὁ Πατὴρ, σάρξ· ὅμοια γὰρ τίκτει ἑαυτῷ κατ' οὐσίαν ὁ φύσει πατήρ· εἰ οὖν σάρκα τέτοκε φύσει, καὶ σὰρξ

ἐστι φύσει· καὶ ὁ Λόγος δὲ Θεὸς ὢν φύσει, οὐ φύσει A Υἱός ἐστι τοῦ Πατρὸς, ἀλλὰ χάριτι σὺν τῇ σαρκί· οὐ Θεὸς ἄρα ὁ πατήρ ἐστιν, εἴτε οὖν ὅμοιοι εἴτε ἀνόμοιοί εἰσιν οἱ υἱοὶ καὶ οὕτως, εἴπερ αἱ σφραγῖδες καὶ τὰ ἀρχέτυπα τὸ κατ' ἀριθμὸν διάφορον ἔχουσιν, εἰ καὶ μὴ τὸ κατὰ τὸ εἶδος διαλλάσσον· καὶ οἶδε τῷ ἀριθμῷ διαφέροντες, δύναιντο ἂν εἶναι, καὶ εἰς δυάδα υἱῶν συναριθμεῖσθαι, ὥσπερ Παῦλος καὶ Πέτρος· ἢ ὁ δακτύλιος καὶ ὁ κηρὸς, ἢ πηλὸς καὶ μόλιβδος ἐντετυπωμένοι· ἀλλὰ πάλιν τὴν διάφορον ὕλην ἀνελεῖν φασι τὸν ἀριθμὸν τῶν σφραγίδων ἠλιθίως, καὶ μίαν ποιεῖν τὰς πολλὰς νοεῖσθαι· οὐκοῦν τὸ διάφορον αὐτῆς εἴποιμεν εἰσάξει αὐτόν· εἰ γὰρ τῷ ἐναντίῳ τὸ ἐναντίον, ἐν κηρῷ οὖν τυχὸν οὖσαι πᾶσαι, πλείους εἶεν σφραγῖδες· ἐν διαφόροις δὲ ὕλαις τυπωθεῖσαι, μία B εἰσὶ καθ' ὑμᾶς· ἀλλὰ ταῦτα δάκρυον ὀφείλεται, καὶ γέλωτα ὅμως ἡμᾶς ἐκβιάζει.

ΚΕΦΑΛ. ΙΔ'.

Τί οὖν, φησί; δύο λόγοι εἰσὶν, ὅ τε λεγόμενος, καὶ ὁ ἀκουόμενος; Ἀλλὰ κἀπὶ τούτων, πρῶτον μὲν ἄλλος ὁ ἐνδιάθετος, καὶ ἄλλος ὁ κατὰ διάνοιαν· καὶ ἕτερος ὁ προφορικὸς, καὶ ὁ ὑπὸ τοῦτον· ὁ γραπτὸς, καὶ μετὰ τούτους ὁ ἀκουόμενός ἐστι· καὶ τούτων δὲ τὸ κοινόν· ὁμοίως ταῖς σφραγῖσιν ἕν τί ἐστι τὸ κατὰ τὸ σημαινόμενον τὸ αὐτό· ὡς εἰ τῶν πολυσήμων τις εἴη λόγος εἴτ' οὖν ὁμωνύμων· κἂν ἑνὶ μόνῳ λέγηται ἢ ἀκούηται, οὐχ εἷς λόγος ἔτι λέγεται· κἂν μιᾷ προφορᾷ ἐξαγγέλληται, ἀλλὰ πλείους λόγοι εἶναι παρὰ C πᾶσι τοῖς διαλεκτικοῖς ὡμολόγηνται· δῆλον οὖν ὡς τῷ σημαινομένῳ τὸ κυρίως ἓν τοῦ λόγου ἐστί· εἰ δὲ ὅτι συμβαίνει τὸν αὐτὸν ἕνα τῷ ἀριθμῷ λόγον, λεκτόν τε εἶναι τῷ εἰπόντι, καὶ ἀκουστὸν τῷ παρεστῶτι, εἴποι τις οὕτως ἕνα αὐτὸν εἶναι, οὐκ ἔχοι ἂν ὁμοιότητα ὑμῖν τὸ παράδειγμα· οὐδὲ γὰρ ὑπόκεινται δύο τινὰ ἀριθμῷ ἐνθάδε, εἴτουν δύο λόγοι ἑνὶ ὀνόματι ὀνομαζόμενα, ὥσπερ τό τε πρόσωπον Χριστοῦ καὶ τοῦ Λόγου δύο οὔσας ἀριθμητὰς ὑποστάσεις, ἐδόκει ὑμῖν ἕνα Υἱὸν λέγειν· ἀλλὰ τοὐναντίον βούλεσθε δεῖξαι, ἓν ἀριθμῷ ὑποκείμενον ἐνταῦθα, δύο ὀνόμασιν ἀπὸ διαφόρου σχέσεως προσαγορευόμενόν ἐστιν· ὁ γὰρ αὐτὸς εἷς ἀριθμῷ λόγος μόνος· ἀπὸ σχέσεως μὲν τοῦ εἰπόντος, λεκτός· ἀπὸ δὲ σχέσεως τοῦ ἀκροατοῦ, ἀκουστὸς ὠνομάσθη· πάλιν οὖν καὶ οὕτως εἰς D πρόσωπον ὑμῶν ἀντικαταῤῥεῖ τὰ ὑμέτερα ἀναπτύσματα.

A gignit, est etiam naturaliter caro. Sed et Verbum quod est naturaliter Deus, non est Patris Filius naturalis, sed simul cum carne Filius per gratiam. Non Deus itaque pater est, sive similes sive absimiles sint taliter filii, siquidem sigilla et archetypa secundum numerum diversitatem habent, licet secundum speciem non differant; et isti numero differentes esse possent et in duali filiorum numero computari, sicut Paulus et Petrus, vel annulus et cera, aut lutum et plumbum impressione signata. Sed rursum inepte dicunt diversam materiam numerum sigillorum tollere efficereque ut multa censeantur unum. Ergo, diceremus, quod diversum est materiæ adducit eum: Cum enim contraria contrariis probantur, si cuncta B sigilla in ceram cecidissent, plura essent sigilla: sed in diversis materiis impressa, juxta vos, unum sunt. Verum talia fieri debent et tamen risum a nobis eliciunt.

CAP. XIV.

Quid igitur, aiunt? Suntne duo Verba et dictum et auditum? Sed præter ista primo quidem aliud est intimum menti, et aliud in cogitatione; aliud quod ore profertur et aliud ab isto pendens scriptum; et post illa venit auditum. Sed illorum quoque, tanquam in sigillis, commune et aliquid unum, in eo consistens quod idem significetur. Velut si quidam esset sermo plura significans aut duplicem sensum ferens, etsi uni tantum dicatur C vel audiatur, non adhuc unus sermo dicitur; et licet una prolatione annuntietur, plures tamen esse sermones a cunctis dialecticis admittitur. Evidens igitur est unum verbi proprium in significatione esse. Si vero, cum accidit eumdem sermonem, numero unum, esse dictum loquenti et auditum assistenti, dicat, quis illum sic unum esse, non haberet similitudinem vobis hoc exemplum. Non enim hic subjacent duo quædam numero, quæ duo verba uno nomine dicantur, quemadmodum personam Christi et Verbi duas numero hypostases, unum Filium dicere vobis placet. Sed contrarium vultis ostendere; unum hic numero subjectum, duobus nominibus a diversa relatione vocatum. Idem enim numero verbum unum est tantum: a D proferentis relatione, dictum; ab audientis autem relatione, auditum nominatur. Rursus igitur in os vestrum relabuntur sputa vestra.

ΛΟΓΟΣ Δ'.

Τετάρτης αὐτῶν ἀσεβείας ἔλεγχος παραιτουμένων λέγειν Θεοτόκον τὴν ἁγίαν Παρθένον.

LIBER IV.

Ipsorum sacram Virginem Deiparam dicere recusantium quartæ impietatis confutatio.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

Θέα γοῦν αὐτὸς καὶ ἐν τοῖς ἑξῆς τὸ αὐτὸ ἐνθύμη-

CAPUT PRIMUM.

Vide igitur ipse in eis quæ sibi succedunt idem

latens cogitatum eorum qui unam dicunt hypostasin Christi ac unionem Dei Verbi cum carne. Quid enim inveniendum est in voce Deipara, illis præsertim adhibentibus quod juxta proprietatem et veritatem est, nisi hoc idem quod in synthesi separatum invenimus, non definito quo sensu nomen Deipara, sicut nomen Deus diverse adhibitum, explicationem pietati conformem habeat. Nunc autem, proprio et veritati conformi sensu huic voci assignato, eam omni impietate apertaque blasphemia repleverunt. Ab eis tamen quærendum est quid ipsis significat talis denominatio quoque cogitatu ipsis est sumpta? An sicut dicimus mariparam aut feminiparam mulierem quæ mares aut feminas parere consuevit, sic deiparam vocant sanctam Mariam, eam ad deos gignendos natam hac dictione significantes? sed tunc quos deos genuerit dicant et rem ignotam doceant. An quod Deum genuit? Si etiam pio una vice volunt istud significare per talem Virginis denominationem, nescimus tamen an possit hoc ostendere talis nominis forma.

« Disperdet Dominus omnia labia dolosa, linguam magniloquam, eos qui dicunt: Linguam nostram magnificabimus; labia nostra a nobis sunt; quis noster Dominus est[l-l]? » Dicitis nobis, o vos auctoritate legem ferentes, non ex uno sed ex pluribus natis nomen accipere parientem. Nunquid igitur, cum unigenitus sit Saræ Isaac, Annæ Samuel, Elisabeth Joannes, et Annæ Maria, si quis istos et omnes, plane quicunque vel quæcunque unum filium aut filiam unam tantum habuisse scribuntur, nominare vellet, ex progenie prolisque natura vocans, non mariparas vel feminiparas auderet dicere. Et quis, talibus auditis, hæc vestra sophismata non conspuit, o miseri? Sed et si res ut fertis sunt, vos qui nescire an possibile sit hoc tali nominis forma demonstrari dicitis, quomodo vos Christiparam et hominiparam eam quæ revera Deipara est vocare intelligitis? Si enim ex uno partu non est possibile parturientem accipere nomen, vel plures Christos, vel puros homines putatis peperisse sacram Virginem, vel nec habetis talia nomina de ea adhibendi causam, o miserrimi. Sed sequitur ex vestra suppositione neque unicum Patrem unius ejus Filii et Verbi Dei genitorem dici; quia unicum et non plures genuit Deos. Et quomodo eum esse proprie Dei genitorem dicitis? sed vere dicentes: « Vos esse sapientes stulti facti estis, et obscuratum est insipiens cor vestrum[m]. » Tunc enim tantummodo pluritas ad denominationem denominati confertur, cum subjecta res, numero quidem plures, singulari autem charactere nominis usurpati tanquam collectivi designantur. Sic videlicet vitis una vineam non constituet; nec vitibus feracem depinget aliquis talem regionem, nec frugiferam, nec piscibus

A μα κεχρυμμένον τῶν μίαν λεγόντων τὴν ὑπόστασιν Χριστοῦ, καὶ σύνθεσιν τοῦ Θεοῦ Λόγου πρὸς τὴν σάρκα. Τί γὰρ ἔστιν εὑρεῖν ἐν τῇ *Θεοτόκος* φωνῇ, προστιθεμένου μάλιστα αὐτοῖς τοῦ κυρίως καὶ κατὰ ἀλήθειαν; ἢ αὐτὸ τοῦτο ὅπερ ἐν τῇ συνθέσει κεχωρισμένον εὑρήκαμεν, ἀπροσδιορίστως τοῦ *Θεοτόκος*, ὡς τοῦ *Θεὸς* ὀνόματος πολλαχῶς λεγομένου, σχέσει πως τὴν ἐπὶ τὸ εὐσεβὲς διασάφησιν ἔχει· νυνὶ δὲ τοῦ κυρίως καὶ κατὰ ἀλήθειαν προσκειμένου τῇ φωνῇ, πάσης ἀσεβείας καὶ ἀπερικαλύπτου βλασφημίας αὐτὴν ἀνεπλήρωσαν. Ὅμως ἐρωτητέον αὐτοὺς, τί βούλεται αὐτοῖς ἡ τοιάδε ὀνομασία, καὶ κατὰ ποίαν αὐτοῖς ἔννοιαν ἐξείληπται; Ἆρα, ὡς φαμεν, ἀῤῥενοτόκον, ἢ θηλυτόκον γυναῖκα, τὴν εἰωθεῖαν ἄῤῥενας ἢ θήλεα τίκτειν, οὕτως αὐτοὶ λέγουσι B Θεοτόκον τὴν ἁγίαν Μαρίαν, θεοὺς αὐτὴν πεφυκυῖαν τίκτειν, διὰ τῆς τοιᾶσδε λέξεως σημαίνοντες; καὶ ποίους θεοὺς ἐγέννησεν, εἰπάτωσαν, καὶ τὸ ἀγνοούμενον διδασκέτωσαν. Ἢ ὅτι Θεὸν ἐγέννησεν; Εἰ καὶ πρὸς ἅπαξ τοῦτο ἐθέλουσι σημᾶναι, διὰ τοῦ οὕτως ὀνομάζειν τὴν Παρθένον· ἀλλ' οὐκ οἴδαμεν εἰ δύναται τοῦτο δηλῶσαι τὸ τοιοῦτο σχῆμα τοῦ ὀνόματος.

« Ἐξολοθρεύσει Κύριος πάντα τὰ χείλη τὰ δόλια, γλῶσσαν μεγαλοῤῥήμονα, τοὺς εἰπόντας· Τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν· τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι· τίς ἡμῶν Κύριός ἐστιν; » Εἴπατε ἡμῖν, οἱ αὐθεντίᾳ νομοθετοῦντες, μὴ ἐξ ἑνὸς, ἀλλ' ἐκ πλειόνων τόκων ὀνομάζειν τὴν τίκτουσαν· ἆρα οὖν ἐπεὶ μονο- C γενὴς τῇ Σάῤῥᾳ ὁ Ἰσαὰκ, τῇ Ἄννῃ ὁ Σαμουὴλ, τῇ Ἐλισάβετ ὁ Ἰωάννης, τῇ Ἄννῃ ἡ Μαριὰμ, καὶ ἁπλῶς πάντες ὅσοι τε καὶ ὅσαι ἕνα υἱὸν ἢ θυγατέρα μίαν μόνον ἐπιγράφονται, ἤδη καθ' ὑμᾶς, τούτους εἴγε τις ὀνομάζειν ἐθέλοι, ἔκ τε τοῦ τοκετοῦ καὶ τῆς φύσεως τοῦ τεχθέντος καλῶν, οὐκ ἀῤῥενοτόκους, ἢ θηλυτόκους τολμήσοι λέγειν; καὶ τίς ἀκούσας, οὐ καταπτύει τῶν τοιούτων ὑμῶν σοφισμάτων, ὦ τάλανες; Εἰ δὲ καὶ οὕτως εἶχεν ὡς φατε οἱ μὴ εἰδέναι εἰ δυνατὸν τοῦτο δηλοῦσθαι διὰ τοιούτου σχήματος λέγοντες, πῶς ὑμεῖς Χριστοτόκον καὶ ἀνθρωποτόκον καλεῖν τὴν ὄντως Θεοτόκον συνείδετε; εἰ γὰρ ἐκ τοῦ ἑνὸς τόκου οὐ δυνατὸν ὀνομάζεσθαι τὴν τίκτουσαν τοιάνδε, ἢ πλείους Χριστοὺς, ἢ ἁπλῶς ἀνθρώπους οἴεσθε τεκεῖν τὴν ἁγίαν Παρθένον, ἢ οὐδὲ ταῦτα τὰ D ὀνόματα ἔχοιτε λέγειν ἐπ' αὐτῆς, ἀθλιώτατοι. Ἀκόλουθον δὲ τῇ ἡμετέρᾳ ὑποθέσει, μηδὲ τὸν μόνον Πατέρα τοῦ μόνου Υἱοῦ αὐτοῦ καὶ Λόγου Θεοῦ γεννήτορα λέγεσθαι· ἐπεὶ ἕνα μόνον καὶ οὐ πλείους ἔτεκε τοὺς θεούς· καὶ πῶς αὐτὸν εἶναι τὸν κυρίως Θεοτόκον λέγετε; « Ἀλλ' ὄντως φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθητε· καὶ ἐσκοτίσθη ἡ ἀσύνετος ὑμῶν καρδία. » Τότε γὰρ μόνον τὸ πλῆθος πρὸς κυρίαν ὀνομασίαν τοῦ ὀνομαζομένου συμβάλλεται, ὅταν πλείονά τινα τῷ ἀριθμῷ ὑποκείμενα, ἑνικῷ χαρακτῆρι τοῦ ὀνόματος τοῦ λεγομένου ὡς περιεκτικοῦ σημαίνεται: κατὰ τοῦτον γὰρ τὸν τρόπον, ἄμπελος μία τὸν ἀμπελῶνα οὐ συστήσεται· οὐδὲ ἀμπελοφόρον εἶναι τὸ

[l-l] Psal. xi, 4,5. [m] Rom. i, 22.

χωρίον διαγράψει τις οὕτως, οὐδὲ καρποφόρον, ἢ ἰχθυογόνον τὸ ὕδωρ. Ἀλλὰ ταῦτα μὲν τὰ τῆς πρώτης ὑμῶν καθ' ἡμῶν μέμψεως· ἐξεταζέσθω δὲ καὶ τὰ ἑξῆς ὑμῖν εἰρημένα βλάσφημα, καὶ μὴ λανθανέτω τινὰς μὴ στηλιτευόμενα.

ΚΕΦΑΛ. Β'.

Τοῦ Θεὸς ὀνόματος, φασὶ, πολλαχῶς λεγομένου παρὰ τῇ θείᾳ Γραφῇ, οἷον ἐπείπερ, « Εἷς Θεὸς ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως· » καὶ πάλιν, « Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ· » καὶ αὖθις· « Ὥσπερ εἰσὶ θεοὶ πολλοὶ καὶ κύριοι πολλοὶ, » κατὰ ποῖον ἐξείληπται σημαινόμενον αὐτοῖς ἐνταῦθα τὸ Θεὸς ὄνομα ἐπὶ τῆς Θεοτόκου; Κατὰ τὸ πρῶτον ὅπερ ἐστὶ φύσει λέγειν Θεὸν, ἢ κατὰ τὸ δεύτερον τουτέστι θέσει, ἢ κατὰ τὸ τρίτον ὅπερ ἐστὶ τὸ ψευδές; ἀλλὰ κατὰ τὸ ὕστερον, οὐκ ἂν εἴποιεν, οὐδὲ εἰ δαίμονες γένοιντο. Ἀλλ' εἰ κατὰ τὸ δεύτερον λέγοιεν, ἴστωσαν ὅτι Θεὸς θέσει οὐκ ἄγγελος, οὐκ ἄλογον ζῶον, οὔ τι τῶν κτισμάτων ἐλέχθη παρὰ τῇ θείᾳ Γραφῇ ποτε. Ἢ ἀνθρωποτόκον οὖν φασι τὴν παρθένον φύσει; ἀλλ' ἐπιλέλησμαι τῆς προσθήκης τοῦ *κυρίως* καὶ *κατὰ ἀλήθειαν*· τὸ γὰρ *κυρίως* παρείληπται αὐτοῖς ἐπὶ δηλώσει τοῦ φύσει Θεὸν γεγεννηκέναι τὴν Παρθένον· ἀλλ' εἰ ἐνδέχεται τοῦτο, καὶ μὴ ἀντίκειται τοῖς κοινοῖς ὁμολογήμασιν, ἴδωμεν. Ὁμολογοῦσι γὰρ ἄτρεπτον εἶναι τὸν Θεὸν Λόγον καὶ ἀναλλοίωτον κατὰ τὴν ἔκθεσιν τῶν κοινῶν Πατέρων τῆς ἐν Νικαίᾳ λέγω συνόδου· ὁ δὲ ἄτρεπτος καὶ ἀναλλοίωτος, οὔτε χείρων ἑαυτοῦ γενήσεται, οὔτε κρείττων, ἀλλ' ἀεὶ κατὰ τὸ αὐτὸ μένει, μὴ ἀλλοιούμενος, ἀΐδιος ὤν· καὶ οὐδέποτε οὐκ ὢν, ἀρχὴν τοῦ εἶναι μὴ δεξάμενος· θεασώμεθα γοῦν εἰ μὴ λύσει γέννησις ἐκ γυναικὸς κατηγορουμένη τοῦ Θεοῦ Λόγου ἢ τὸ ἀΐδιον αὐτοῦ, ἢ τὸ ἀναλλοίωτον, καὶ καθόλου τὰ προσόντα αὐτῷ καὶ ὁμολογούμενα παρ' ἡμῶν κοινῶς ὡς Θεῷ καὶ τῶν ἁπάντων.

Νῦν οὐκ ἐκ τοῦ μὴ πολλοὺς, ἀλλ' ἐκ τοῦ μηδὲ τὸν ἕνα αὐτὸν τὸν τεχθέντα κυρίως εἶναι Θεὸν, ἀνατρέπειν τὴν ἐπὶ τῆς ἁγίας Παρθένου τὴν τῆς Θεοτόκου φωνῆς ἔννοιαν κυρίως οὖσαν καὶ ἀληθῶς λεγομένην, ἐτολμήσατε. Τὸ γὰρ *Θεὸς* ὄνομα, ὁμωνύμως λεγόμενον ἐπὶ διαφόρων τινῶν τῇ οὐσίᾳ παραγαγόντες, βούλεσθε ἐν τούτῳ τε καὶ τῷ ἑπομένῳ ἑξῆς ἐπιχειρήματι ὑμῶν δεικνύναι, ὥσπερ οὖν καὶ δι' ὅλης ὑμῶν τῆσδε τῆς ὑποθέσεως, οὐ τὸν φύσει Θεὸν ἐπὶ Χριστοῦ λεγόμενον σημαίνειν, ἀλλ' οὐδέ τινα ὅμως τῶν ψευδωνύμως λεγομένων θεῶν δηλαδή· τοῦτο γὰρ καὶ δαίμοσι παραιτητέον ὡμολογήσατε· ἀλλὰ τὸν θέσει Θεὸν, διὰ τοῦ τοιοῦδε ὀνόματος ἐπὶ Χριστοῦ σημαίνεσθαι. Θέσει δὲ Θεὸς, ὥς φατε, οὔτε ἄγγελος, οὔτε ἄλλο τι ζῶον, πλὴν ἀνθρώπου, τῇ ἁγίᾳ Γραφῇ εἴρηται· οὐκοῦν ἐξ ἀνάγκης καθ' ὑμᾶς, ἄνθρωπός τε ὁ τεχθεὶς, καὶ ἀνθρωποτόκος ἡ τεκοῦσα λεχθήσεται. Εἰ δὲ ἄνθρωπος ὁ τεχθεὶς, καὶ θέσει Θεός· ὁ δὲ φύσει Θεὸς προστάττει πᾶσιν ἀνθρώποις

A fecundam aquam. Sed hæc sunt primæ vestræ in nos reprehensionis puncta. Nunc autem recenseantur et sequentes vestræ blasphemiæ, et neminem lateat eas esse damnatas.

CAP. II.

Nomen Deus, aiunt, vario modo apud divinam Scripturam usurpatur : verbi gratia, «Unus Deus qui justificabit circumcisionem ex fide et præputium per fidem [n].» Et rursum : «Deus stetit in synagoga deorum, in medio autem deos dijudicat [o]. Et adhuc : « Sicut sunt dii multi et domini multi [p]. » Quonam porro sensu hic indicato nomen Deus cum agitur de Deipara? Num in primo, id est, Deus natura; aut in secundo, id est Deus adoptione; aut
B in tertio qui est falsus? Sed in postremo nunquam dicerent, ne si dæmones quidem essent. Quod si in secundo dicerent, sciant Deum adoptione nunquam neque angelum, neque irrationale animal, neque ullam ex creaturis affirmatum fuisse in divina Scriptura. Num igitur in hominis genitricem dicunt Virginem? Sed obliviscor verbi *proprie* et *veraciter*. Nam verbum *proprie* ab ipsis usurpatur ad demonstrandum virginem genuisse Deum natura. Sed videamus utrum admittatur illud et non adversetur communibus confessis. Fatentur enim Deum Verbum immutabilem esse et omnis conversionis expertem, secundum expositionem communium Patrum Nicenæ synodi. Quod igitur est immutabile et conversionis expers, neque seipso minor neque major
C fiet, sed semper idem manet, non mutatus, cum sit æternus, et nunquam non exsistens, cum exsistendi initium non acceperit. Consideremus igitur num objectus Verbi Dei partus ex muliere solvet sive ejus æternitatem, sive immutabilitatem, et uno verbo, quod ipsi essentiale est, quodque ipsi ut Deo attribuitur tum a nobis, tum simul et ab omnibus.

Nunc non ex eo quod non multi sint dii, sed eo quod nec unus ipse genitus et proprie Deus sit, convertere eam quæ de sancta Virgine dicta est proprie et veraciter vocis Deiparæ notionem ausi estis. Nomen enim Deus pariter una dictum de quibusdam natura differentibus introducentes, vultis
D in hoc et in sequenti vestro tentamine ostendere, sicut et per totam hanc vestram propositionem, non natura Deum de Christo dictum indicare, sed nec quemdam videlicet ex falso dictis diis; nam ab hoc abhorrere etiam dæmoni confessi estis; sed Deum adoptione per hujusmodi nomen de Christo indicari. Deus autem adoptione, ut dicitis ipsi, neque angelus, neque ullum animal præter hominem sacra Scriptura dictus est. Igitur necessario secundum vestram mentem, et genitus dicetur homo et pariens dicetur hominis genitrix : si autem genitus est homo, est Deus adoptione. Porro ille qui est natura Deus jubet omnibus hominibus ne ser-

[n] Rom. III, 30. [o] Psal. LXXXI, 1. [p] I Cor. VIII, 5.

viant iis qui non sunt natura Dii : palam autem clamat : «Dominum Deum tuum adorabis et illi soli servies q.» Unde sequitur vos non adorare Christum neque illi servire, cum sit, juxta vestrum errorem, adoptione non natura Deus ; sed vos evidenter esse quosdam Antichristos, nec videri Christianos. Aut, si hoc quidem timetis, adorantes eum illique servientes, creaturæ cujusdam et anthropolatræ proprie a nobis deprehendimini. Ne igitur ægre feratis de cætero vos ita vocari ; et talem de vobis opinionem excutere conamini ; nec cuncta miscete ad demonstrandum vos tales non videri, sicut jam per plurimas vestras prolixas orationes probare conati estis.

CAP. III.

Omnis generatio nota ex Scriptura divina, sive constituitur causa exsistentiæ illius qui genitus dicitur, ut «Abraham genuit Isaac r ;» sive non constituitur causa ipsius exsistentiæ, quemadmodum Apostolus genuit Corinthios, secundum quod dictum est : «In Christo enim Jesu per Evangelium ego vos genui s.» Generatio autem quæ est causa exsistentiæ, alia quidem exsistere facit genitum simul cum gignente, alia autem posterius exsistere : exsistit nempe Deus Verbum simul cum Patre, genitus ex ipso : exsistit vero post Abraham Isaac, et sic quivis hujusmodi. Generatio autem quæ non est causa exsistentiæ geniti, alia quidem demonstrat genitum seipso meliorem, alia vero pejorem meliorem quidem, ut « Quotquot autem receperunt eum, dedit eis potestatem filios Dei fieri, qui non ex sanguinibus, neque ex voluntate carnis, neque ex voluntate viri, sed ex Deo nati sunt t.» pejorem vero, ut «Genimina viperarum, quis vobis demonstravit fugere a ventura ira u ?» Secundum quamnam igitur generationem genitum fuisse Deum Verbum ex muliere dicunt ? Utrum secundum eam quæ dat exsistentiam genito ? Ergo non æternus est Deus Verbum. Nulla enim talis generatio novit præexsistere genitum gignenti : quod autem non præexsistit cuiquam non æterno, non est æternum. Quod impium est dicere de Deo Verbo. Sed dicunt genitum fuisse secundum illam generationem quæ non dat genito exsistentiam. Igitur variabilis Deus Verbum, et non immutabilis, cum quæcunque talis generatio sive meliorem sive pejorem præbeat genitum. Qui autem fit seipso melior vel pejor, is evidenter per hanc mutationem convincitur esse mutabilis et variabilis. Si autem non mutabilis Deus Verbum, neque non æternus, igitur non proprie et secundum veritatem natus est ex muliere, neque omnino ejus prædicari potest generatio ex muliere, ad Scripturæ sensum.

Multis verborum substitutionibus et sententiarum mutationibus latere conantes, perfacile tamen impietatis rei deprehendimini. Esto enim alios esse hos generationum modos et alias eorum consequentias, ut dixistis. Sed quod nunc a vobis nos quæ-

μὴ δουλεύειν τοῖς μὴ φύσει οὖσι θεοῖς· διαῤῥήδην δὲ βοᾷ, « Κυρίῳ τῷ Θεῷ σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις· » ἀκόλουθον ὑμᾶς μήτε προσκυνεῖν, μήτε λατρεύειν τῷ Χριστῷ θέσει ὄντι καὶ οὐ φύσει Θεῷ, κατὰ τὴν ὑμετέραν πλάνην· ἀλλ' εἶναι ὑμᾶς παῤῥησίᾳ τινὰς Ἀντιχρίστους, καὶ μὴ ὑποκρίσει δοκεῖν τε Χριστιανοὺς εἶναι. Ἢ εἰ τοῦτο εὐλαβεῖσθε, προσκυνοῦντες καὶ λατρεύοντες αὐτῷ, κτιστοῦ τινος προσκυνηταὶ καὶ ἀνθρωπολάτραι κυρίως ἡμῖν φωραθήσεσθε. Μὴ δυσφορεῖτε οὖν λοιπὸν οὕτως ὀνομαζόμενοι, καὶ τὴν τοιαύτην περὶ ὑμῶν δόξαν ἀποσείεσθαι σπουδάζετε· μηδὲ πάντα κυκᾶτε πρὸς ἀπόδειξιν τοῦ μὴ τοιοῦτοι δοκεῖν, καθὼς ἤδη διὰ πλείστων ὑμῶν μακρολογιῶν ἠγωνίσασθε παραστῆσαι.

ΚΕΦΑΛ. Γ'.

Πᾶσα γέννησις ἐγνωσμένη τῇ θείᾳ Γραφῇ, ἢ τῆς ὑπάρξεως αὐτῆς καθέστηκεν αἰτία τοῦ λεγομένου γεγεννῆσθαι, οἷον « Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ· » ἢ οὐ τῆς ὑπάρξεως αὐτῆς καθέστηκεν αἰτία, οἷον ὁ Ἀπόστολος ἐγέννησε τοὺς Κορινθίους, κατὰ τὸ εἰρημένον, « Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. » Τῆς δὲ αἰτίας τοῦ εἶναι γινομένης γενέσεως, ἡ μὲν συνυπάρχειν ποιεῖ τὸ γεννώμενον τῷ γεννῶντι· ἡ δὲ μεθυπάρχειν. Συνυπάρχει μὲν γὰρ ὁ Θεὸς Λόγος τῷ Πατρὶ γεννηθεὶς ἐξ αὐτοῦ· μεθυπάρχει δὲ τοῦ Ἀβραὰμ ὁ Ἰσαὰκ καὶ εἴτις τοιοῦτος· τῆς δὲ μὴ τοῦ εἶναι γινομένης αἰτίας τοῦ γεννωμένου, ἡ μὲν κρείττονα ἑαυτοῦ δείκνυσι τὸν γεννώμενον, ἡ δὲ χείρονα· καὶ κρείττονα μέν, οἷον « Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι· οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν· » χείρονα δὲ, οἷον· « Γεννήματα ἐχιδνῶν, τίς ὑμῖν ὑπέδειξεν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς ; » κατὰ ποίαν οὖν γέννησιν γεγεννῆσθαι τὸν Θεὸν Λόγον ἐκ γυναικός φασι ; κατὰ τὴν τὸ εἶναι διδοῦσαν τῷ γεννωμένῳ ; Οὐκοῦν οὐκ ἀΐδιος ὁ Θεὸς Λόγος· οὐδεμία γὰρ τοιαύτη γέννησις προϋπάρχειν οἶδε τὸν γεννώμενον τοῦ γεννῶντος· τὸ δὲ μὴ προϋπάρχον τοῦ μὴ ἀϊδίου, οὐκ ἀΐδιον· ὅπερ ἀσεβὲς λέγειν ἐπὶ τοῦ Θεοῦ Λόγου. Ἀλλὰ κατὰ τὴν μὴ τὸ εἶναι διδοῦσαν τῷ γεννωμένῳ φασὶ γεγεννῆσθαι· τρεπτὸς οὐκοῦν ὁ Θεὸς Λόγος, καὶ οὐκ ἀναλλοίωτος· ἐπεὶ πᾶσα τοιαύτη γέννησις, ἢ κρείττονα ἢ χείρονα δείκνυσι τὸν γεννώμενον· ὁ δὲ κρείττων ἢ χείρων ἑαυτοῦ γινόμενος, διὰ τῆς τοιᾶσδε μεταβολῆς δηλονότι τρεπτὸς ἐλέγχεται ὢν καὶ ἀλλοιωτός. Εἰ δὲ οὐ τρεπτὸς ὁ Θεὸς Λόγος, οὔτε οὐκ ἀΐδιος, οὐκ ἄρα κυρίως καὶ κατὰ ἀλήθειαν ἐγεννήθη ἐκ γυναικὸς, οὐδὲ ὅλως κατηγορεῖσθαι δύναται γέννησις ἐκ γυναικὸς, κατὰ τὴν Γραφικὴν διάνοιαν.

Πολλαῖς ἀντεμβολαῖς λόγων καὶ ἀλλοιώσεσι νοημάτων λανθάνειν πειρώμενοι, ὅμως ἁλίσκεσθε ῥᾷστα τὴν ἀσέβειαν. Ἔστω γὰρ ἑτέρους εἶναι τούσδε τρόπους τῶν γεννήσεων, καὶ ἕτερα τὰ τούτοις παρεπόμενα, ὡς εἰρήκατε· ἀλλὰ τὸ νῦν ἡμῖν ζητούμενον εἰς

q Deut. vi, 13 ; Matth. iv, 10. r Matth. i, 2. s I Cor. iv, 15. t Joan. i, 12, 13. u Matth. iii, 7.

ἀπόδειξιν παρ' ὑμῶν ἐστι, εἰ ἀληθῶς οὐ δυνατὸν ἕνα τινὰ καὶ τὸν αὐτὸν καθὼς ἡμεῖς φαμὲν δύο τινὰς γεννήσεις τούτων αὐτῶν τῶν διαφόρων γεννήσεων ὑφίστασθαι, ἵνα καὶ τοῖς ἑπομένοις ἑκατέρα τῶν γεννήσεων γνωρίζηται. Σκεπτέον γὰρ ὅτι ἐθνικοὶ πλεῖστοι τῶν ἐν Χριστῷ Ἰησοῦ διὰ Εὐαγγελίου ὑπὸ Παύλου γεννηθέντων, προγεγονότες ἦσαν αὐτοῦ κατὰ τὴν σαρκικὴν γέννησιν ὡμολογημένως· ἆρα οὖν οὐχ ὁ αὐτὸς εἶναι λέγοιτό τις τῶν ἐκείνου μαθητῶν, προεῖναί τε τοῦ ἰδίου πατρὸς καὶ διδασκάλου Παύλου, καὶ μετεῖναι μαρτυρούμενος τοῦδε; πᾶς μὲν οὖν τις ὁμολογήσοι, ὡς οἶμαι· ἀλλὰ κατ' ἄλλο καὶ ἄλλο τὸν αὐτὸν τοῦ αὐτοῦ προϋπάρχειν τε καὶ μεθυπάρχειν ἐρεῖ· καὶ γὰρ ὄντως, ὡς ἔφητε, κατὰ τὴν τοῦ εἶναι γέννησιν, προϋπάρχειν· κατὰ δὲ τὴν εἰς τὸ Εὐαγγέλιον γέννησιν, μεθυπάρχειν· ὁμοίως δὲ καὶ τὰ γεννήματα τῶν ἐχιδνῶν, οἱ ἀπὸ μὲν τοῦ Ἀβραὰμ ἔθνους κατὰ σάρκα, τοῖς ἰδίοις τέκνοις ἤγουν τοῖς ἀποστόλοις μαθητευόμενοι, ἐπιστρέφοντος τοῦ Κυρίου καρδίας πατέρων ἐπὶ τέκνα, πῶς οὐχ οἱ αὐτοὶ λέγοιντο προεῖναι μὲν κατὰ τὴν σαρκικὴν γέννησιν, μεθυπάρχειν δὲ κατὰ τὴν πνευματικὴν ἀναγέννησιν τῶν ἰδίων υἱῶν; Εἰ δὲ ταῦτα οὕτως ἔχει, τί ἄπιστον ὑμῖν δοκεῖ καὶ ἐπὶ τοῦ Λόγου, καθ' ἑτέραν μὲν αὐτοῦ γέννησιν, ἀΐδιόν τε ὑπάρχειν αὐτὸν καὶ ἁπλοῦν ἀληθῶς, καθ' ἑτέραν δὲ ἀρχόμενον τοῦ συνθέτως εἶναι; μετὰ προσλήμματος γάρ τινος πρόσφατος γινώσκεται, καὶ οὐχ ἁπλοῦς Λόγος λοιπόν, ἀλλὰ σύνθετος Χριστὸς ὀνομάζεται. Οὕτως δὲ ἔχειν τούτων δοθέντων, ἡ μὲν τεκοῦσα τὸ σύνθετον, πάντως καὶ τὸ ἁπλοῦν τέτοκεν· ἐν γὰρ τῷ συνθέτῳ ἐστὶ τοῦτο· ὁ δὲ τὸ ἁπλοῦν τεκών, οὐ τέτοκε καὶ τὸ σύνθετον· οὐ γὰρ ἐν τῷ ἁπλῷ τὸ σύνθετον· οὐκοῦν κατὰ μὲν τὴν τὸ εἶναι καὶ ἀϊδίως εἶναι διδοῦσαν γέννησιν τῷ γεννωμένῳ Λόγῳ ἁπλῶς, οὐ μητέρα φαμὲν τὴν Παρθένον· κατὰ δὲ τὴν τοιῶσδε εἶναι ἤγουν σεσαρκωμένην, καὶ ἐν σαρκὶ τῇ ὑπὸ χρόνον εἶναι διδοῦσαν αὐτῷ γέννησιν, ὡς συγχρόνως αὐτῇ τῇ σαρκὶ ἔχοντι τὴν σύνθεσιν ἑαυτοῦ συγγεγεννημένῳ ταύτῃ ἐξ αὐτῆς οὔσης κατὰ τὸ εἶναι ὑποχρόνως, Μητέρα ἀληθῶς καὶ τοῦ ἁπλοῦ· διὰ μέντοι συνθέσεως γενομένην ἴσμεν τὴν ἀμίαντον· ἐκ Λόγου γὰρ ἀϊδίου καὶ σαρκὸς ὑποχρόνου, ὁ Δεσπότης ἡμῶν Χριστὸς ὅλος συνέστηκε· γεννηθέντος μὲν τοῦ Λόγου δίς, ἀσάρκως μὲν ἐκ τοῦ Πατρός, σεσαρκωμένως δὲ ἐκ Μητρός, τῆς δὲ σαρκὸς ἅπαξ καὶ μόνον γεννηθείσης ἐκ Μητρὸς ἀσπόρως. Ἐπεὶ οὖν Θεὸς ἀληθὴς ἄσαρκός τε ὤν, καὶ μετὰ σαρκὸς ὁ Λόγος, θεοτόκοι καθ' ἑκατέραν γέννησιν οἱ τούτου γεννήτορες ἀληθῶς. Ταῦτα μὲν οὖν τὰ περὶ τῆς κατὰ τὰς γεννήσεις διαφόρου προελεύσεως τοῦ Λόγου· αἱ δὲ κατὰ προκοπὴν ἁπλῶς καὶ τὰ τοιαῦτα παραγωγαὶ τῶν γεννήσεων, περιττῶς ὑμῖν ἐπὶ Χριστοῦ παραφέρονται· οὐ γὰρ ἐκ τοιοῦδε τρόπου τὶς λόγος Θεοτόκον ἔφη ποτὲ τὴν ἄχραντον· οὐδὲ τῶν λίαν ἀλογίστων τινὶ τάδε εἰς φαντασίαν γεγένηται.

A rimus in demonstrationem, illud est: Nempe utrum vere non fieri possit unum quemdam et eumdem, ut nos dicimus, duas aliquas generationes, ex his variis generationibus, sortiri, ut et consequentiis utraque generatio dignoscatur. Notandum enim est ethnicos plerosque ex his qui in Christo Jesu per Evangelium a Paulo geniti sunt, ipsi præexstitisse, secundum carnalem generationem, ut in confesso est. An igitur non idem diceretur quis ex ejus discipulis et præexsistere suo patri et magistro Paulo simul et ipso posterior fuisse, ex ejus testimonio? Non est certe, reor, qui non fateretur; sed sub diverso respectu dicet eumdem eidem præexsistere simul et posteriorem esse scilicet secundum, ut dicitis, generationem exsistentiæ præexsistere; secundum vero generationem in Evangelium posteriorem esse. B Similiter autem et genimina viperarum, hi qui de genere sunt Abrahæ secundum carnem a suis filiis, apostolis scilicet, edocti, convertente Domino corda patrum in filios, quomodo non iidem dicerentur præexsistere quidem secundum generationem carnalem suis filiis, posteriores tamen esse secundum spiritalem regenerationem? Si autem hæc ita se habeant, quid incredibile vobis videtur de Verbo, secundum alteram suam generationem, æternum quidem ipsum exsistere et simplex vere; secundum alteram vero initium habere et esse compositum? Cum adjunctione enim quadam novo nomine cognoscitur, et non simplex Verbum tandem, sed compositus Christus vocatur. C His autem sic se habere concessis, quæ quidem genuit compositum, omnino genuit et simplex; in composito enim illud est. Qui autem genuit simplex, non ideo genuit et compositum; non enim in simplici compositum. Igitur secundum eam generationem quæ dat simpliciter genito Verbo exsistentiam, et quidem exsistentiam æternam, non matrem dicimus Virginem. Secundum vero eam generationem quæ dat ei exsistentiam talem, scilicet incarnatam, ut in carne habeat exsistentiam temporalem, ita ut contemporaliter ipsi carni habeat compositionem suam simul cum ipsa genitus ex Matre secundum exsistentiam temporalem, Matrem vere dicimus etiam simplicis. Et quidem per compositionem scimus D eam factam illibatam. Ex Verbo enim æterno et carne temporali Dominus noster Jesus Christus totus constat; Verbo quidem bis genito, scilicet sine carne ex Patre et cum carne ex Matre; carne autem semel tantum genita ex Matre sine semine. Cum igitur Deus verus sine carne et cum carne Verbum, Dei vere sunt genitores secundum utramque generationem qui illud genuerunt. Hæc igitur de diverso quoad generationes adventu Verbi. Productiones autem generationum secundum progressum simpliciter, et alia similia, frustra a vobis de Christo proferuntur. Ex hoc enim modo nullus unquam sermo Deiparam dixit virginem illibatam; nec irrationalium admodum cuiquam hæc in mentem venerunt.

ΚΕΦΑΛ. Δ'.

Εἰ κυρίως καὶ κατ' ἀλήθειαν ἡ ἐκ Πατρὸς τοῦ

CAP. IV.

Si proprie dicta et vera est generatio Dei Verbi

ex Patre, non proprie dicta et vera est ea quæ prædicatur generatio Dei Verbi ex matre, utpote quæ ambæ non similes; sed si prius verum, non posterius. — Sed si propriam et unicam dicitis generationem, eam quæ est Dei Verbi secundum causam tantum, et ante tempora, et coæternam Patri, vel quæ demonstrat genitum coexsistere, gignenti, ergo eam generationem quæ non est huic similis, nec proprie generationem agnoscitis. Superest igitur ut non propriam agnoscatis generationem Isaac ex Abraham, sive cujusvis alius hominis ex quodam homine, sive animalis ex animali, sive plantæ ex planta; non enim hæc sunt sine tempore, nec coæterna nec simpliciter coexsistentia gignentibus. Neque enim omnia hujusmodi gignuntur eo modo quo Deus et Pater Verbum genuit. Si autem vera est et generatio Isaac ex Abraham, ut et vos alibi dixistis, et cæterorum tum animalium tum plantarum, temporalis cum sit et posterius esse demonstret genitum, ita est et de generatione divina quæ pertinet ad infinitas et prope omnes rationes generationum. Non igitur ea tantum erit vera et proprie dicta generatio, secundum vestrum placitum, quæ de Verbo intelligitur ex Deo Patre ex æterno. Si ergo et hæc et illæ veræ sunt et dicuntur generationes, veri igitur et secundum diversam rationem generationum illi qui dicuntur gignentes. Igitur et Paulus per Evangelium, et Spiritus per baptismum, et Abraham ex femore, et Rachel ex ventre, et Pater ex semetipso et in semetipso gignens, omnes vere genitores sunt et dicuntur. Si igitur et plures secundum plures ex his modos essent ejusdem unius cujusdam genitores, vere omnium idem unus erit filius. Quoad causam porro, ex Patre; quoad compositionem vero et conceptionem, ex Matre Verbum genitum est. Quod enim concipit, non totum ex seipso gignit, ut indicat ipsum conceptionis nomen.

CAP. V.

Si ea generatio Verbi Dei quæ vere est ex Patre differt ab ea quæ illi vere attribuitur ex matre, necesse autem est omnino,! in quibus partus differt, his quoque differre substantiam; necesse est igitur omnino Verbum Deum differre a seipso quoad substantiam, ex eo quod differant vere illius generationis modi. Si autem a seipso differt Deus Verbum quoad substantiam, nulli ergo erit quoad substantiam similis, neque Patri scilicet, neque Spiritui sancto: quod tollit consubstantialitatem. — Multis impertinentibus et æquivocis argumentis vestram impietatem sustinetis; et de quibusnam primum vos incusemus ambigimus. Jam enim, cum diversæ sint generationes, omnes tamen vere esse, sive sint unius cujusdam, sive sint plurium similis formæ, antea a nobis demonstratum fuit. Et ecce vos ipsi nobiscum consentitis, dicendo « quibus vere partus differt, » scitis enim et vos jam differentes quidem, sed veros tamen partus quosdam. Error autem vester nunc est quod dicatis, quorum generationes differunt, eorum differre et substantias. Qui

A Θεοῦ Λόγου γέννησίς ἐστιν, οὐ κυρίως καὶ κατ' ἀλήθειαν ἡ ἐκ γυναικὸς ἐπιφημιζομένη τοῦ Θεοῦ Λόγου γέννησις, ἐπειδὴ οὐχ ὅμοιαι· ἀλλ' εἰ μὲν τὸ πρότερον, οὐκ ἄρα τὸ δεύτερον. Ἀλλ' εἰ κυρίως καὶ μόνην εἶναι γέννησίν φατε τὴν κατ' αἰτίαν μόνην, καὶ ἄχρονον καὶ συναΐδιον τῷ Πατρὶ τοῦ Θεοῦ Λόγου, ἢ συνυπάρχειν τῷ γεννῶντι δείκνυσιν τὸ γεννώμενον, τὴν οὐχ ὁμοίαν αὐτῇ γέννησιν, οὐδὲ κυρίως γέννησιν ἴστε. Ἔσεσθε οὖν λοιπὸν μὴ κυρίαν εἰδότες γέννησιν τοῦ Ἰσαὰκ ἐξ Ἀβραάμ, ἢ τινος ἑτέρου ἀνθρώπου ἐξ ἀνθρώπου ὄντος, ἢ ζώου ἐκ ζώου, ἢ φυτοῦ ἐκ φυτοῦ γινομένην· οὔτε γὰρ ἄχρονα ταῦτα οὐδὲ συναΐδια οὐδὲ ἁπλῶς τοῖς τίκτουσι συνυπάρχοντα· οὐδὲ πάντη ὅμοια γίνονται, ὥσπερ ὁ Θεὸς καὶ Πατὴρ τὸν Λόγον ἐγέννησεν. Εἰ δὲ ἀληθής ἐστι καὶ ἡ γέν-
B νησις τοῦ Ἰσαὰκ ἡ ἐξ Ἀβραάμ, ὡς καὶ ὑμεῖς ἐν ἑτέροις εἴπατε, καὶ τῶν λοιπῶν ζώων τε καὶ φυτῶν, ὑπόχρονός τε οὖσα καὶ μεθυπάρχειν δεικνῦσα τὸ γεννώμενον, καὶ ἁπλῶς τῆς θείας φέρουσα ἀπείροις καὶ πᾶσι σχεδὸν τοῖς λόγοις τῶν γεννήσεων, οὐκ ἄρα ἔσται κυρίως καὶ κατὰ ἀλήθειαν μόνη οὖσα γέννησις καθ' ὑμᾶς ἡ ἐκ Θεοῦ Πατρὸς ἀϊδίως νοουμένη τοῦ Λόγου. Εἰ οὖν κἀκείνη καὶ αὗται ἀληθεῖς εἰσί τε καὶ λέγονται γεννήσεις, ἀληθεῖς ἄρα καὶ κατὰ τὸν διάφορον λόγον τῶν γεννήσεων οἱ λεγόμενοι γεννήτορες. Οὐκοῦν καὶ Παῦλος διὰ τοῦ Εὐαγγελίου, καὶ τὸ Πνεῦμα διὰ τοῦ βαπτίσματος, καὶ Ἀβραὰμ ἐκ τῆς ὀσφύος, καὶ Ῥαχὴλ ἐκ τῆς κοιλίας, καὶ ὁ Πατὴρ ἐξ ἑαυτοῦ καὶ ἐν ἑαυτῷ γεννῶν, πάντες ἀληθῶς γεννήτορές εἰσι καὶ λέγονται· εἴπερ οὖν καὶ πλείονες
C κατὰ πλείους τούτων τρόπους εἶεν τοῦ αὐτοῦ ἑνός τινος γεννήτορες, ἀληθῶς πάντων ὁ αὐτὸς εἷς υἱὸς ἔσται. Κατ' αἰτίαν ἄρα ἐκ Πατρὸς, κατὰ δὲ σύνθεσιν καὶ σύλληψιν ἐκ μητρὸς ὁ Λόγος γεγέννηται· τὸ γὰρ συλλαβὸν ἅπαξ, οὐ τὸ ὅλον ἐξ αὐτοῦ τίκτει, ὡς δηλοῖ καὶ τὸ τῆς λήψεως ὄνομα.

ΚΕΦΑΛ. Ε'.

Εἰ ἡ γέννησις τοῦ Θεοῦ Λόγου ἐκ Πατρὸς κατὰ ἀλήθειαν οὖσα παρήλλακται τῆς ἐπιφημιζομένης αὐτοῦ κατὰ ἀλήθειαν ἐκ γυναικὸς, ἀνάγκη δὲ πᾶσα ὧν ὁ τόκος ὁ κατὰ ἀλήθειαν παρήλλακται, τούτων καὶ τὴν οὐσίαν παρηλλάχθαι, ἀνάγκη ἄρα πᾶσα παραλλάττειν τὸν Θεὸν Λόγον αὐτὸν ἑαυτοῦ κατ'
D οὐσίαν, διὰ τὸ παρηλλάχθαι ἐπ' αὐτοῦ τοὺς τοκετοὺς κατὰ ἀλήθειαν. Εἰ δὲ αὐτὸς ἑαυτοῦ παρήλλακται ὁ Θεὸς Λόγος κατ' οὐσίαν, οὐδενὶ ἔσται κατ' οὐσίαν ὅμοιος, οὐδὲ τῷ Πατρὶ ἄρα καὶ τῷ Πνεύματι τῷ ἁγίῳ, ὅπερ ἀναιρεῖ τὸ ὁμοούσιον. Πολλοῖς ἀτόποις καὶ ἰσοῤῥόποις τὴν ἀσέβειαν συνέχεσθε· καὶ ἀποροῦμεν περὶ ποίων ὑμῖν πρωτίστων ἐγκαλέσομεν· ἤδη μὲν γὰρ καὶ διαφόρων οὐσῶν τῶν γεννήσεων, ὅμως ἀληθῶς πάσας εἶναι κἂν ἑνός τινος, κἂν πλειόνων ὁμοειδῶν εἶεν, προαποδέδεικται ἡμῖν. Ἰδοὺ δὲ καὶ ὑμεῖς συνέθεσθε ἡμῖν, «Ὧν ὁ κατὰ ἀλήθειαν τόκος παρήλλακται,» λέγοντες· ἴστε γὰρ ἤδη καὶ ὑμεῖς παραλλάττοντας μὲν, ἀληθεῖς δὲ εἶναι τόκους τινάς. Ψεῦδος δὲ καὶ τὸ νῦν λεγόμενον ὑμῖν ἐστιν, ὅτι ὧν αἱ γεννήσεις διάφοροι, τούτων καὶ αἱ οὐσίαι. Οὔτε

γὰρ Παῦλον πατέρα ἐπιγραφόμενοι διὰ τοῦ Εὐαγγελίου, οἵ τε τοὺς τῆς σαρκὸς πατέρας, οἵ τε τὸν Πατέρα τῶν πνευμάτων, οἵ τε ἐκ τοῦ διαβόλου λεγόμενοι γεγεννῆσθαι, οἵ τε ἐξ ἐχιδνῶν, καθ' ἑτέραν μὲν ἕκαστος γέννησιν γεγέννηται, καὶ ὅμως τῆς αὐτῆς πάντες, ἤγουν ὁμοίας ἀνθρωπίνης, εἰσὶν οὐσίας. Τιμόθεος δὲ ὁ ἱερὸς, Παύλου τε καὶ πατρὸς Ἕλληνος υἱὸς, καὶ εἷς ὢν τῷ ἀριθμῷ, πλείους ἐπεγράφετο τοιούσδε πατέρας. Πῶς οὖν ταῦτα μαρτυρήσει τοῖς παρ' ὑμῶν; Καὶ οὕτως μὲν τάδε· τοῦ δὲ Ἀδὰμ ἑτέρως, καὶ Εὔας ἑτέρως, καὶ Σὴθ ἑτέρως γεγεννημένων, μίαν αὐτοῖς ὅμως εἶναι τὴν φύσιν καὶ τὴν αὐτὴν πᾶσι, τίς ἀντερεῖ; ὥστε οὐδὲ ὧν αἱ γεννήσεις διάφοροι, καὶ αἱ οὐσίαι· ἄλλως τε εἰ ἐπ' ἄλλου καὶ ἄλλου προσώπου λαμβάνοιντο, ἴσως δείξουσι τὸ κατ' οὐσίαν διάφορον· ἐπὶ δὲ τοῦ αὐτοῦ ὑποκειμένου καὶ ταῖς διαφόροις γεννήσεσι κατηγορουμένου, πῶς τὸ αὐτὸ ἀδιάφορον ἔσται; Τί οὖν μὴ δείξαντες πρῶτον, ὅτι κατὰ δύο γεννήσεις διαφόρους, οὐ δυνατὸν ἢ τὸ αὐτὸ ἓν ὑποκείμενον ὑφίστασθαι, ἤ τινα ὁμοούσια νοεῖσθαι, ἁπλῶς ἐκ τῆς διαφορᾶς ἤδη τῶν γεννήσεων, διάφορον εἶναι καὶ τὸ αὐτὸ ἓν γεννώμενον ὑποκείμενον συνάγετε; Ἀντιστρόφως γὰρ ὑμῖν ἡμεῖς ἐροῦμεν, ὅτι εἰ ὧν αἱ γεννήσεις διάφοροι, καὶ ἡ οὐσία διάφορος, ἄρα καὶ ὧν ἀδιάφορος ἡ γέννησις, καὶ αἱ οὐσίαι ἀδιάφοροι· οὐκοῦν ὑπέχρονός τε οὖσα καὶ σπερματικὴ καὶ διὰ μήτρας καὶ ὁμοίως ἔχουσα γέννησις ὄνων τε καὶ κυνῶν καὶ ἀνθρώπων καὶ συῶν καὶ πιθήκων, ὁμοίαν τῶνδε παρίστησι καὶ τὴν οὐσίαν; Τί δέ μοι ἑτέρων ἢ ἑτέρας χρεία γεννήσεως πρὸς ἔνδειξιν τοῦ ἐκ τρόπου γεννήσεως, τὴν διαφορὰν εἶναι, ἢ τὴν ὁμοιότητα τῶν οὐσιῶν; Τοῦ γὰρ αὐτοῦ ἑνὸς ἀνθρώπου, μία κατ' ἀριθμὸν καὶ ἡ αὐτὴ γέννησίς ἐστι δηλαδή· ψυχὴ δὲ καὶ σῶμα αἱ συγγενηθεῖσαι φύσεις κατ' αὐτὴν, διάφοροί εἰσι. Καθ' ὑμᾶς οὖν, ἢ οὐ διάφορον εἶναι τὴν οὐσίαν τούτων, ἐπεὶ μηδὲ τὴν γέννησιν φήσομεν· ἢ διάφορον λέγοντες, δύο καὶ διαφόρους τὰς τοῦ ἑνὸς ἀνθρώπου ἐν ταυτῷ πιστεύσομεν εἶναι γεννήσεις. Καὶ ταῦτα μὲν ὑμῶν τὰ κομψά· ὅμως μέντοι οὔτε εἴρηκέ τις ὑμῖν ὅτι τὸν Λόγον ὡσαύτως ἁπλοῦν, ἀλλὰ μετὰ τῆς σαρκικῆς οὐσίας ἐκ μητρὸς κατὰ τὴν δευτέραν αὐτοῦ γέννησιν ἡ δευτέρα γέννησις προήγαγε, δοκησίσοφοι.

A enim agnoscunt Paulum patrem; qui carnis patres; qui patrem spirituum, qui dicuntur ex diabolo nati; quique ex viperis, hi secundum diversam quisque generationem geniti sunt, et tamen omnes similis, humanæ videlicet, sunt substantiæ. Divus autem Timotheus, Pauli et patris gentilis filius, licet unus numero, plures tamen hos agnoscebat patres. Quomodo igitur ista testificabuntur de his quæ a vobis sunt? Et hæc quidem isto modo : Cum aliter Adam, aliter Evæ, aliter Seth geniti sint, unam tamen eis esse naturam, et quidem eamdem, quis negei? Ita ut quorum generationes diversæ, eorum non ideo sint substantiæ diversæ. Præsertim, si unam et aliam faciem susceperint, forte indicarent differentiam circa substantiam : in eodem B autem subjecto, etiam diversis generationibus donato, quomodo idem diversum erit? Igitur, cum non demonstraveritis illud primum, scilicet secundum duas generationes diversas fieri non posse vel ut unum et idem subjectum subsistat, vel ut intelligatur quædam consubstantialitas, quid simpliciter ex diversitate generationum diversum quoque esse unum idem subjectum generatum inducitis? E contra enim nos vobis dicemus, si quorum generationes differunt, eorum differt quoque substantia, ergo et quorum generatio non est diversa, nec eorum esse substantiam diversam. Igitur temporalis cum sit, et ex semine, et per matrem et simili modo, generatio asinorum, et canum, et hominum, C et porcorum, et simiarum, ideone similem eorum constituit et substantiam? Quid vero mihi aliis aut alia generatione opus est ad demonstrandum ex modo generationis esse differentiam vel similitudinem substantiarum? Unus enim et idem homo cum sit, una numero eademque est ejus generatio, ut patet : anima autem et corpus, naturæ in idipsum congenitæ differunt. Igitur, ad vestram mentem, vel non diversam eorum substantiam, utpote quorum non diversa generatio, dicemus; vel diversam asserentes substantiam, duas easque diversas unius hominis in eodem credemus esse generationes. Et hæc quidem vestra versutia. Attamen nemo unquam vobis dixit se existimare Verbum simplex, sed secundam generationem illud adduxisse cum carnali substantia ex matre secundum ejus secundam generationem, o falso habiti sapientes.

ΚΕΦΑΛ. Ϛ'.

Εἰ τὸ γεγονὸς καθὸ γέγονε, γενέσθαι πάλιν ἀμήχανον· καὶ τὸ ἀϊδίως ὄν, τεχθῆναι πάλιν ἐκ γυναικὸς ἀμήχανον· ἀλλὰ τὸ πρότερον ἀληθὲς, καὶ τὸ δεύτερον ἄρα. Εἰ πᾶσαν τὴν γέννησιν ἁπλῶς ὡς τὸ εἶναι διδοῦσαν τῷ γεννωμένῳ ἀναιρεῖτε τοῦ ἀϊδίως ὄντος Λόγου, ἢ καὶ τὴν πρώτην γέννησιν τὸν ἐκ Πατρὸς ἀπ' αὐτοῦ ἀνελεῖτε ὡς ἀϊδίου. Τὸ γὰρ ἀϊδίως ὄν, τεχθῆναί φατε ἀμήχανον· ὡς λοιπὸν μηδὲ Υἱὸν εἶναι τοῦ Πατρός· οὐ γὰρ ἐστιν Υἱὸς ἄνευ γεννήσεως· οὐδὲ τὸν Πατέρα εἶναι Πατέρα· οὐ γάρ ἐστιν ἄνευ Υἱοῦ Πατὴρ, ἢ τὴν ἐκ Πατρὸς γέννησιν αὐτοῦ ὁμολογοῦντες, οὐκ ἀΐδιον εἶναι λοιπὸν δηλώσετε· εἴπερ τὸ ἀϊδίως ὂν διὰ τὸ εἶναι πάντη οὐ δυνατὸν ᾗ ὁπωσοῦν ἀληθῶς τεχθῆναι· εἰ δὲ

D

CAP. VI.

Si genitum, in quantum est genitum, impossibile est iterum gigni, pariter quod æternum est nasci iterum ex muliere impossibile est : atqui verum prius; ergo et posterius. — Si omnem generationem simpliciter tanquam exsistentiam dantem genito tollitis a Verbo æterno, sane et primam generationem quæ est ex Patre ab eo tolletis, ut æterno. Quod enim est æternum, nasci impossibile affirmatis : unde restat ut nec filius sit Patris; non enim est Filius sine generatione; nec Pater sit pater; non enim est pater sine filio. Vel illius ex Patre generationem confitentes, tunc non æternum esse tandem ostendetis, siquidem quod ab æterno est,

ex eo quod semper exsistat, omnino impossibile est quomodocunque vere nasci. Si autem non ex eo quod semper exsistat, sed ex eo quod simpliciter jam præexsistat et ante genitus fuerit, quorsus semel omnino quomodocunque adhuc vel quocunque alio modo gigni impossibile dicitis? Illud enim indicabat vestrum *iterum*. Et hoc per singula experiamur. Num igitur Timotheus nondum ulla erat generatione genitus, nec ab aliis parentibus ortus, quando Paulus pater dictus illum germanum filium in fide in Christo Jesu per Evangelium genuit? Quis ex vobis manifestam hanc falsitatem non horret? Ita igitur, o vos, et hoc intelligite: ex partibus scilicet Christi, alteram quidem et secundum primam ejus generationem genitam fuisse et secundum secundam dicimus; alteram vero patet non esse præexsistentem, nec altera generatione ante genitam. Una generatione ambarum, simul cum altera progredi in uno hypostasis toto confitemur. In una enim, scilicet ex Virgine, generatione, alterius quidem partium Christi censetur esse secundam generationem alterius primam et solam.

A μὴ διὰ τὸ εἶναι ἀεὶ, ἀλλὰ διὰ τὸ ἁπλῶς ἤδη προεῖναί τι καὶ προγεννηθῆναί ποτε, πῶς ἅπαξ οὐδὲ ὅλως ὁπωσοῦν ἔτι οὐδὲ καθ' ὁντιναοῦν ἕτερον τρόπον γεννηθῆναί τι δυνατὸν λέγετε; τοῦτο γὰρ ᾐνίξατο ὑμῶν τὸ *πάλιν*, καὶ τόδε ἐν τοῖς καθέκαστα βασανίσωμεν. Ἆρα οὖν Τιμόθεος οὔπω ἦν οὐδεμιᾷ γεννήσει γεγεννημένος, καὶ ὑφ' ἑτέρων προελθὼν γονέων, ὅτε Παῦλος ὁ ἐπιγραφόμενος αὐτὸν γνήσιον τέκνον ἐν πίστει, ἐν Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγέννησε; καὶ τίς ὑμῶν τὴν προφανῆ ταύτην ψευδολογίαν οὐ βδελύττεται; Οὕτως οὖν, ὦ οὗτοι, καὶ τόδε νοεῖτε· τῶν γὰρ Χριστοῦ μερῶν τὸ μὲν καὶ κατὰ τὴν πρώτην ἑαυτοῦ γέννησιν γεννηθῆναι καὶ κατὰ τὴν δευτέραν φαμὲν, τὸ δὲ ἕτερον δῆλον, ὡς οὐδὲ προὸν, ἢ ἑτέρᾳ γεννήσει προγεγεννημένον, μιᾷ γεννήσει τῇ ἀμφοῖν συμπρο- B ελθεῖν τῷ ἑτέρῳ ἐν ἑνὶ τῆς ὑποστάσεως ὅλῳ τῆς αὐτῆς ὁμολογοῦμεν· ἐν γὰρ μιᾷ τῇ ἐκ Παρθένου γεννήσει, τοῦ μὲν τῶν μερῶν Χριστοῦ δευτέρα, τοῦ δὲ πρώτη καὶ μόνη νοεῖται οὖσα γέννησις.

CAP. VII.

Si substantia Dei Verbi nata est secundum veritatem ex substantia Virginis, necesse autem est genita ita esse similia secundum substantiam gignentibus, vel Deus Verbum est homo secundum substantiam; vel Virgo est Deus secundum substantiam; porro utrumque pariter est impium et impossibile. Igitur substantia Dei Verbi non veraciter est nata ex substantia Virginis. — Sed primum quidem, aliud est in substantiam gigni, aliud secundum substantiam gigni. Insuper inter genitos ex substantia multæ sunt differentiæ similitudinum et dissimilitudinum adamussim indaganti, ut et vos ipsi nuper dicebatis. Namque tum similia tum dissimilia gignunt pro differentia scilicet diversarum generationum. Si enim et substantia erat Paulus qui operabatur generationem Timothei, cum ipse esset quoque substantia, et secundum substantiam melior fieret et gigneretur ad incorruptionem per fidem (non enim secundum accidens aliquod facta est spiritalis naturæ nostræ regeneratio), item quoque ejus secundum carnem pater erat substantia, et secundum substantiam utique genuit: et insuper omnium substantiarum causa, ipse sine causa pater omnium. Sed unus quidem fidei suæ, alter vero corpori suo genuit eum similem, alius autem imagini suæ. Igitur et si Pater ab æterno ex substantia sua gignit Verbum, et Salomon ex substantia dicitur genuisse Jeroboam, non jam ita se habet uterque filius ad utrumque patrem quoad similitudinem. Cum enim differat modus generationum secundum substantiam, et in diversæ naturæ rebus intelligatur, etsi similis esset secundum hoc ipsum generatio, attamen differentia generationis ex substantia demonstrat differre et similitudinem. Nam de uno eodemque homine dicitur ex ejus substantia gigni et filium, et cogitationem, et dictionem, et pilos, et cicatricem, et operationem et

ΚΕΦΑΛ. Ζ'.

Εἰ ἡ οὐσία τοῦ Θεοῦ Λόγου ἐτέχθη κατὰ ἀλήθειαν ἐκ τῆς οὐσίας Παρθένου, ἀνάγκη δὲ τὰ τικτόμενα οὕτως ὅμοια εἶναι κατ' οὐσίαν τοῖς τίκτουσιν, ἢ ὁ Θεὸς Λόγος, ἄνθρωπος τὴν οὐσίαν, ἢ ἡ Παρθένος, Θεὸς τὴν οὐσίαν· ἀλλ' ἑκάτερον ἐπίσης ἀσεβὲς καὶ ἀδύνατον· οὐκ ἄρα ἡ οὐσία τοῦ Θεοῦ Λόγου ἐτέχθη κατὰ ἀλήθειαν ἐκ τῆς οὐσίας τῆς Παρθένου. Ἀλλὰ C πρῶτον μὲν, ἕτερον τὸ εἰς οὐσίαν τεχθῆναι, καὶ ἄλλο τὸ κατ' οὐσίαν τεχθῆναι. Ἔτι δὲ τῶν ἐκ τῆς οὐσίας τικτομένων, πολλαί εἰσιν αἱ διαφοραὶ τῶν ὁμοιώσεων καὶ ἀνομοιοτήτων τῷ γε ἀκριβῶς ἐξετάζοντι, ὡς καὶ ὑμεῖς ἐν τοῖς πρώην ἐλέγετε· τὰ μὲν γὰρ ὅμοια, τὰ δὲ ἀνόμοια τίκτει, πρὸς τὴν διαφορὰν δηλονότι τῶν ἑτεροφυῶν γεννήσεων. Εἰ γὰρ καὶ οὐσία ἦν ὁ Παῦλος ὁ ἐνεργῶν τὴν γέννησιν Τιμοθέου, οὐσίας καὶ αὐτοῦ ὄντος καὶ κατ' οὐσίαν εἰς ἀφθαρσίαν διὰ τῆς πίστεως κρειττουμένου καὶ γεννωμένου (οὐ γὰρ δὴ κατὰ συμβεβηκός τι ἡ πνευματικὴ τῆς φύσεως ἡμῶν γέγονεν ἀναγέννησις), καὶ ὁ κατὰ σάρκα δὲ αὐτοῦ πατὴρ, οὐσία ἦν, καὶ κατ' οὐσίαν πως ἔτικτε· καὶ πάσης δὲ οὐσίας αἴτιος, ἀναίτιος πάντων καὶ Πατήρ. Ἀλλ' ὁ μὲν D τῇ πίστει, ὁ δὲ τῷ σώματι αὐτοῦ ἐγέννησεν αὐτὸν ὅμοιον, ὁ δὲ τῇ εἰκόνι ἑαυτοῦ. Εἰ καὶ ὁ Πατὴρ οὖν ἀϊδίως ἐκ τῆς οὐσίας ἑαυτοῦ τίκτει τὸν Λόγον, καὶ Σολομῶν ἐκ τῆς οὐσίας αὐτοῦ λέγεται τίκτειν τὸν Ἱεροβοάμ, οὐκ ἤδη οὕτως ἔχει ἑκάτερος υἱὸς πρὸς ἑκάτερον πατέρα τὸ ἀπαράλλακτον· διαφόρου γὰρ τρόπου τῶν κατ' οὐσίαν γεννήσεων ἐν ἑτεροφυέσι τε πράγμασι νοουμένου, εἰ καὶ ὁμοία εἴη κατὰ τοῦτο αὐτὸ ἡ γέννησις, τὸ ἐκ τῆς οὐσίας εἶναι διάφορον ὅμως δείκνυσιν εἰκότως καὶ τὴν ὁμοιότητα. Ἰδοὺ γὰρ ἐπὶ ἑνὸς καὶ τοῦ αὐτοῦ ἀνθρώπου ἐκ τῆς οὐσίας τοῦδε λέγεται γεννᾶσθαι Υἱός τε καὶ θεώρημα καὶ λέξις καὶ τρίχες καὶ οὐλαὶ καὶ ἐνέργεια καὶ ἕτερα πλεῖστα· ἄρα οὖν πάντα ἀνθρώπῳ εἶναι ὅμοια τῇ οὐσίᾳ νομιστέον; ἐπεὶ εἰς οὐσίαν καὶ κατ' οὐσίαν τινὰ τῶνδε

γεγέννηται, καὶ ἐκ τῆς οὐσίας, ἡ τῇ διαφορᾷ τῶν τρόπων καὶ λόγων, καὶ ὑλῶν, διαφέρειν ἀνάγκη πρὸς τὸν τεκόντα; καὶ τάδε οὐκ ἐκ τῆς οὐσίας αὐτοῦ πάσης ἢ μόνης, ἢ μόνα τικτόμενα.

A alia multa. Num igitur hæc omnia homini esse similia quoad substantiam censendum est? Quoniam in substantiam et secundum substantiam, et ex substantia quædam horum gignuntur, nonne differentia modorum et verborum et materiæ, ea differre necesse est relative ad gignentem. Et hæc non sunt ex ejus substantia tota vel sola, nec sunt unica genita.

Οὐκοῦν εἰ καὶ ὁ Θεὸς Λόγος ἐκ τῆς ἁγίας Παρθένου γεγέννηται σὺν τῇ σαρκὶ, οὐ μόνος ψιλὸς τὴν φύσιν οὐδὲ ἐκ τῆσδε ἔχων τὸ ἁπλῶς εἶναι, τίς ἀνάγκη πάσης τῆς οὐσίας ἀπαιτεῖν ὁμοίωσιν τοῦ γεννηθέντος πρὸς τὸ ὁπωσοῦν γεννῆσαν; τῆς γεννήσεως ὁμολογουμένης μὴ εἶναι τῆσδε πατρικῆς, ἣ μόνη τὸ ἀπαράλλακτον τῆς ὁμοιώσεως τῆς οὐσίας τοῦ γεννήματος δείκνυσι πρὸς τὸν γεννήσαντα, ἤγουν τοῦ Πατρὸς πρὸς τὸν ἑαυτοῦ ἄνευ σαρκὸς Λόγον. Ἡ γὰρ σὰρξ καὶ ὁ Λόγος ὁ προὼν γεγέννηται ἐκ τῆς ἁγίας Δεσποίνης· καὶ οὔτε μόνος, οὔτε ἐκ μόνης τῆς οὐσίας τῆς ἁγίας Παρθένου, ὡς ἐκ Πατρός· τοῦτο γὰρ ὑμῖν οὐκ ἐλέγετο παρ' ἡμῶν, ὡς Λόγον μόνον ἐγέννησεν ἡ μόνη· ἢ μὴ προόντος, ἀλλὰ κατὰ τὴν οὐσίαν αὐτῆς σεσαρκωμένου· ὅθεν Χριστὸς κατ' ἄμφω αὐτοῦ τὰ μέρη ὁ γεννηθεὶς, ἅτε χρίσμα καὶ χριόμενος εἴρηται· εἰ δὲ τοῦτον ἐνὶ πάντως καὶ οὐ δύο ἑτεροουσίοις λέγειν ὁμοούσιον ἡμᾶς εἰσπράττετε, ὥρα ὑμᾶς μηδὲ τὸν Ἀδὰμ ἀπὸ γῆς τε καὶ θείου ἐμφυσήματος γενόμενον, κατὰ θάτερον ἐν αὐτῷ μερῶν λόγον, θατέρᾳ λέγειν συστατικῇ αὐτοῦ οὐσίᾳ ὁμοούσιον εἶναι· ἀλλ' ἢ θεῖον αὐτοῦ δοξάσαι καὶ τὸ γήϊνον, ἢ γήϊνον καὶ θεῖον ὑπολαμβάνειν· εἰ δὲ ταῦτα ἐπὶ τούτου πρόδηλον ἔχει τὴν πλάνην, ἀληθῶς καὶ ὁ εἷς ἡμῶν Χριστὸς ἀμφοτέροις τῶν γεννητόρων ἐκ θατέρου τῶν ἐν αὐτῷ ὅμοιος εἶναι δύναταί τε καὶ λέγεται.

Igitur etsi Deus Verbum ex sancta Virgine genitus est cum carne, non solus natura simplex, neque habens ex ipsa simplicem exsistentiam, quid necesse est totius substantiæ postulare similitudinem geniti relative ad eum qui quoquo modo genuit, cum in confesso sit hanc generationem paternam non esse eam quæ sola demonstrat similitudinem substantiæ geniti relative ad gignentem, Patris scilicet relative ad suum sine carne Verbum? Caro
B enim et Verbum præexsistens genita sunt ex sancta Domina, sed neque solum Verbum, neque ex sola substantia sanctæ Virginis, sicut ex Patre. Hoc enim nunquam vobis dictum fuit a nobis, scilicet Verbum solum genitum fuisse ex illa sola, aut Verbo non præexsistente; sed dicimus incarnatum ex ejus substantia. Unde Verbum genitum, secundum utramque suam partem, dictum est Christus, utpote unctio simul et unctus. Si autem hunc uni omnino et non duobus diversæ substantiæ consubstantialem dicere nos cogitis, jam decet vos neque Adamum e terra et divino flatu genitum, secundum alterutram rationem partium quibus constat, alterutri constituenti substantiæ dicere esse consubstan-
C tialem, sed aut divinum æstimare etiam terrenum, aut terrenum supponere et divinum. Si autem hæc manifeste continent errorem, vere etiam unus Christus noster ambobus gignentibus, ex alterutra sui parte, potest esse et dicitur similis.

ΚΕΦΑΛ. Η'.

Εἰ Μήτηρ τοῦ Θεοῦ κατ' ἀλήθειαν ἡ Παρθένος, Υἱὸς κατ' ἀλήθειαν τῆς Παρθένου ὁ Θεός· εἰ Υἱὸς τῆς Παρθένου κατ' ἀλήθειαν ὁ Θεὸς, ἢ ὅμοιος τῇ Μητρὶ, ἢ οὐχ ὅμοιος· καὶ εἰ μὲν ὅμοιος, οὐ Θεός· εἰ δὲ οὐχ ὅμοιος, οὐχ Υἱός. Ἀλλ' ἤδη ἡμῖν εἴρηται καὶ τὸν κατ' ἀλήθειαν υἱὸν μὴ κατὰ πάντα εἶναι τῷ τεκόντι ὅμοιον· καὶ γὰρ καὶ ἐκ πυρὸς φῶς, καὶ οὐχ ὅμοιον πάντη πυρί· καὶ νόημα ἐκ ψυχῆς, καὶ οὐ ψυχή· καὶ ἰχθύες ἐξ ὕδατος, καὶ οὐχ ὕδωρ. Ἐν τούτοις μὲν οὖν καὶ τὸ πάντη ἀνόμοιον πρὸς τὰ τέκοντα τῶν τεχθέντων ἔστιν ἰδεῖν. Εἰ δὲ ἐκ μέρους ἀνόμοιος τῇ Μητρὶ καὶ ὅμοιος ὁ Χριστὸς, τί ἄτοπον; Ἆρα οὖν ἐπεὶ μὴ κατὰ τὸ ὅλον πέρδικι ὅμοιος ὁ ἐκ πέρδικος, καὶ φασιανῶν περδικοφασιανὸς, οὐκ ὄντως ἔσται οὐδὲ υἱὸς τοῦδε, ὦ φυσιολόγοι;

CAP. VIII.

Si Mater Dei vere est Virgo, Filius Virginis vere est Deus. Si Filius Virginis vere est Deus, vel est Matri similis, vel non similis; si similis quidem, ergo non est Deus; si non similis vero, ergo non Filius.—Sed jam a nobis dictum fuit et verum filium non secundum omnia esse gignenti similem. Nam ex igne lumen est; et tamen non in omnibus est igni similis. Cogitatio quoque ex anima, nec tamen est anima; et pisces ex aqua, nec ideo sunt aqua.
D In his igitur animadvertendum est omnino differentiam genitorum relative ad gignentia. Si autem ex parte dissimilis matri Christus simul et similis, quid absurdi? Num igitur ex eo quod non sit perdici per omnia similis pullus perdicis et phasianæ, non ideo erit perdicis pullus, o physiologi?

ΚΕΦΑΛ. Θ'.

Ἡ τοῦ Θεοῦ Λόγου ἐκ Παρθένου κατ' ἀλήθειαν γέννησις, ἢ πάθος αὐτοῦ ἐστιν, ἢ ἐνέργεια· ἢ πάθος, καὶ ἐνέργεια· ἢ οὔτε πάθος, οὔτε ἐνέργεια. Ἀλλ' εἰ μὲν πάθος φαίνεται, πρόδηλος ἡ ἀσέβεια· τοῦ γὰρ γεγεννημένου τὸ πάθος, γεγέννηται δὲ ἡ οὐσία τοῦ Θεοῦ καθ' ὑμᾶς, τῆς οὐσίας ἄρα τοῦ Θεοῦ τὸ πάθος. Εἰ δὲ ἐνέργεια, ἐνεργεῖ δὲ ὁ Θεὸς οὐ τῷ εἶναι αὐτῷ,

CAP. IX.

Dei Verbi generatio ex Virgine secundum veritatem, vel est ejus passio, aut actio, vel passio et actio, vel neque passio neque actio. Sed si passio videtur, patet impietas: passio enim pertinet ad genitum; atqui, secundum vos, genita est substantia Dei; ergo substantiæ Dei attribuitur passio. Si autem actio, agit autem Deus non sua exsistentia,

id est non sua substantia, sed sua voluntate; igitur voluntatis, non substantiæ Dei, facta est generatio. Si autem passio simul et actio, ita scilicet ut genitus sit patiens quidem substantia, agens autem voluntate, genitæ sunt ergo et substantia et voluntas Dei, illa quidem patiens, hæc vero agens. Si autem neque passio neque actio, neque substantia Dei neque voluntas, genita est: dic ergo quid Dei genitum sit, quo scilicet genito, proprie et vere dici possit: genitus est Deus. — Proh insipiens vestra sapientia! Istius modi eloquentiæ ne umbram quidem Deus in mundo relinquat! Quid enim miserabilius hoc studio, quod omnem hanc mutuatur incommodam ætiologiam, ut inani mendacio opinionem substantiæ veri conciliet? Et hoc non propter aliud lucrum, nisi ut fundamentum blasphemiæ sibi astruat. Igitur primum ex vobis audiendum est quis intersit consensus inter ea quæ huc usque de generatione et generatis senseratis, et ea quæ modo dixistis. Generationem enim proprie dictam, id est, eam quæ est de non exsistentibus, sive quæ simpliciter dat exsistentiam genito, discernebatis antea. Hoc enim sine intermissione, qualibet data occasione subjiciebatis. Nunc autem quomodo sive passionem, sine actionem, sive utrumque simul, de generato considerantes, esse generationem dicitis? Si enim generatio juxta vos est actio ejus qui debet fieri, sive hæc generatio fiat per voluntatem sive quocunque modo, habet autem genitus suum esse ab eo cujus est voluntas generationis, igitur, et vult et aget suum esse priusquam exsistat: et dum nondum exsistit, possidebit suum esse et velle. Si autem et hujus generationem passionem esse dicitis, iterum pariter priusquam exsistat patiens deprehendetur. Nescio autem in quo patiens, sicut nec in quo agens, suum esse prætendat qui non est, qualiscunque sit. Si autem dicitis secundum hasce duas simul dispositiones generationem geniti prodire, bis vos sequentur omnia absurda suppositionis; præterquam quod simul coexsistent et in eodem opposita dabunt.

A τουτέστιν οὐ τῇ οὐσίᾳ, ἀλλὰ μόνῳ τῷ θέλειν· τοῦ θέλειν ἄρα τῆς οὐσίας τοῦ Θεοῦ ἡ γέννησις. Εἰ δὲ πάθος καὶ ἐνέργεια, πεπονθὼς μὲν τῇ οὐσίᾳ, ἐνεργήσας δὲ τῷ θέλειν γεγέννηται, γεγέννηται ἄρα καὶ ἡ οὐσία καὶ τὸ θέλειν τοῦ Θεοῦ, ἡ μὲν παθοῦσα, τὸ δὲ δρᾶσαν. Εἰ δὲ οὔτε πάθος οὔτε ἐνέργεια, οὔτε ἡ οὐσία οὔτε τὸ θέλειν τοῦ Θεοῦ ἐγεννήθη, εἰπὲ τί τοῦ Θεοῦ ἐγεννήθη, οὗ γεννηθέντος, κυρίως κατὰ ἀλήθειαν ὁ Θεὸς ἐγεννήθη. Φεῦ τῆς ἀσόφου ὑμῶν σοφίας! τοιαύτης λογιότητος μηδὲ εἴδωλον Θεὸς ἐν κόσμῳ καταλίπαι. Τί γὰρ ἀθλιώτερον τοιᾶσδε σπουδῆς, πᾶσαν ἐρανιζομένης ἀπρόσφορον αἰτιολογίαν, ἵνα τῷ ἀνυποστάτῳ ψεύδει, δόκησιν ὑποστάσεως ἀληθείας περιποιήσηται; καὶ τοῦτο οὐ διὰ κέρδος ἕτερον, ἀλλ' ἢ ἵνα κρηπῖδα βλασφημίας ἑαυτῇ οἰκοδομήσῃ. Πρῶτον οὖν B ὑμῶν ἀκουστέον, τίς κοινωνία διανοίας τῶν τε μέχρι τοῦ νῦν ὑμῖν περὶ γεννήσεως καὶ γεννωμένων δοξάντων, καὶ τῶν ἀρτίως εἰρημένων· τὴν γὰρ κυρίως γέννησιν τὴν ἐξ οὐκ ὄντων, ἢ ἁπλῶς τὸ εἶναι διδοῦσαν τῷ γεννωμένῳ διεγνώκατε πρὸ τούτου· τοῦτο γὰρ καὶ ἐν τοῖς ἑξῆς ἄνω τε καὶ κάτω ὑπεβάλλετε· νῦν δὲ πῶς ἢ πάθος ἢ ἐνέργειαν, ἢ ἄμφω τὰ δύο, ἐπὶ τοῦ γεννωμένου ὁρώμενα, λέγετε εἶναι τὴν γέννησιν; Εἰ μὲν γὰρ ἐνέργειά ἐστι καθ' ὑμᾶς τοῦ μέλλοντος γενέσθαι, εἴτε διὰ τοῦ θέλειν, εἴτε ὁπωσοῦν ἡ γέννησις αὐτοῦ, ἔχει δὲ τὸ εἶναι ὁ γεννώμενος οὗ ἐστιν ἡ θέλησις ἐκ τῆς γεννήσεως, ἄρα πρὸ τοῦ εἶναι, καὶ θέλει καὶ ἐνεργήσει τὸ εἶναι ἑαυτοῦ· καὶ ἔσται ἐν τῷ μὴ εἶναι ἑαυτὸν κεκτημένος τό τε εἶναι καὶ τὸ θέλειν C ἑαυτοῦ. Εἰ δὲ καὶ πάθος λέγετε τούτου εἶναι τὴν γέννησιν, πάλιν ὡσαύτως πρὸ τοῦ εἶναι πεπονθὼς εὑρεθήσεται· οὐκ οἶδα δὲ ἐν τίνι παθὼν, ὥσπερ οὐδὲ ἐν τίνι ἐνεργήσας, τὸ εἶναι ἑαυτοῦ προβάλλεται ὁ μὴ ὢν ὅστις ἂν ᾖ. Εἰ δὲ κατ' ἄμφω λέγετε τάσδε τὰς διαθέσεις τοῦ γεννωμένου τὴν γέννησιν προϊέναι, διπλᾶ ὑμῖν ἕψεται πάντα τὰ ἄτοπα τῆς ὑποθέσεως, πρὸς τῷ καὶ συνυπάρχειν ἅμα τε καὶ ἐν τῷ αὐτῷ τὰ ἐναντία διδόναι.

At fallor: nam in non exsistente hæc supponitis, et non coexsistunt. Non enim exsistunt ea quæ supponuntur in non exsistente. Non scio igitur quomodo exsistentia essent in non exsistente ea quæ etiam in exsistentibus cum sunt, non proprie exsistentia sunt. Non est quoque ad id attendendum, scilicet quod, si actio aut passio geniti est generatio, secundum hos quos descripsistis insanos modos ut necessarios, vel genitus aliquid patietur in seipsum a seipso, vel a gignente, vel ab alio quopiam; et iterum, vel aget ipse in seipsum, vel in gignentem, vel in alium quempiam; et illud fiet hoc modo: vel ipse seipsum in seipsum, vel in gignentem, vel in alium, gignens; vel a seipso in seipsum, vel a patre, vel ab alio genitus. Talia autem audire, et talibus respondere parcite nobis, o infandi! fatemur non ferre sine ira. Obmutescite igitur ut nos loquamur. Dicitur enim alterius exitio confici alterius generationem: et altero agente, et altero patiente, alterum prodire genitum, sicut

Πλὴν ἐπιλέλησμαι· ἐν τῷ γὰρ μὴ ὄντι ταῦτα οἴεσθε· καὶ οὐ συνυπάρχει· οὐδὲ γὰρ ὑπάρχει τὰ ἐν τῷ μὴ ὑπάρχοντι· οὐκ οἶδα οὖν πῶς ὄντα εἴη ἐν τῷ D μὴ ὄντι, ἃ καὶ ἐν τοῖς οὖσι γινόμενα, οὐ κυρίως ὄντα εἰσίν· ἔτι μὴ καὶ τῷδε προσεκτέον, ὡς εἰ ἐνέργεια, ἢ πάθος τοῦ γεννωμένου ἡ γέννησίς ἐστι, καθ' οὓς διεγράψατε ἀλογίστους τρόπους ὡς ἀναγκαίους, ἢ εἰς ἑαυτόν τι πάθοι ὑφ' ἑαυτοῦ γεννώμενος, ἢ ὑπὸ τοῦ τεκόντος, ἢ ὑπό τινος ἑτέρου· καὶ πάλιν, ἢ αὐτὸς ἐνεργήσει εἰς ἑαυτὸν, ἢ εἰς τὸν τεκόντα, ἢ εἴς τινα ἕτερον· ἔσται δὲ οὕτως, ἢ αὐτὸς ἑαυτὸν εἰς ἑαυτὸν ἢ εἰς τὸν τεκόντα, ἢ εἰς ἕτερον γεννήσας, ἢ ὑφ' ἑαυτοῦ εἰς ἑαυτὸν, ἢ ὑφ' ἑαυτοῦ εἰς ἑαυτὸν, ἢ ὑπὸ τοῦ Πατρὸς, ἢ ὑφ' ἑτέρου γεννηθείς. Ταῦτα δὲ ἀκούειν ἢ τοιούτοις ἀποκρίνεσθαι φείσασθε ἡμῶν, ὦ δεινότατοι! ὁμολογοῦμεν οὐ φέρειν ἀνεμεσί· κωφεύσατε δὴ οὖν ἵνα ἡμεῖς λαλήσωμεν. Λέγεται μὲν γὰρ ἡ ἄλλου φθορᾷ συναίρεσθαι εἰς ἄλλου γέννησιν, καὶ ἑτέρου ἐνεργοῦντος· καὶ ἑτέρου πάσχοντος,

ἕτερον προϊέναι γεννώμενον, ὡς ἐπὶ σωμάτων ὁρῶ- A μεν κατὰ τοὺς διαφόρους τρόπους τῶν γεννωμένων· τέκτονος μὲν γὰρ τῇ τε φυσικῇ καὶ ἐπιστημονικῇ ἐνεργείᾳ, πάθει δὲ τοῦ ξύλου, τῆς κλίνης προέρχεται τὸ εἶδος· καὶ πάλιν πυρὸς τῇ φύσει ἐνεργοῦντος καὶ φθείροντος, πάσχοντος δὲ καὶ φθειρομένου τοῦ στέατος, λιγνύος εἶδος ἐν ἀέρι γεννᾶται· οἵ τε γὰρ φύσιν καὶ ὕλην ὅ τί ποτέ εἰσι διαφόρως νοοῦντες καὶ ὑποτιθέμενοι, ὅμως τῆς [μὲν] ἐνεργούσης, τῆς δὲ πασχούσης γεννᾶσθαι τὰ ἐκ τούτων εἴδη ὁμολογοῦσι· κατὰ μέντοι τὰ ὑμέτερα θεσπίσματα, τὸ μὴ ὂν γεννᾷ τι· καὶ μάλιστα τὸ ἑαυτοῦ εἶναι πάθει ἢ ἐνεργείᾳ οὐδεὶς ἔφησε πώποτε· ἀλλ' οὐδὲ ὅλως πάθος ἢ ἐνέργειαν ἐπὶ τοῦ μηδέπω ὄντος ἐγνώρισε· πῶς οὖν τοιαύταις ἡμᾶς ὡς φυσικαῖς διαιρέσεσι συλλογίζεσθε;

B Ἀλλὰ τοιαῦτα ἡμεῖς μέχρι τοῦ νῦν Θεοῦ χάριτι μὴ εἰδέναι μήτε διδαχθῆναι ὁμολογοῦντες, ὀρθοδόξως κηρύττομεν τὴν εὐσέβειαν ὑπὸ τῶν ἁγίων διδαχθέντες Πατέρων, τὸν ἐκ μόνου Πατρὸς μόνον Υἱὸν, τῇ μὲν μιᾷ μεμονωμένῃ αὐτοῦ ἰδίᾳ γεννήσει προόντα τῶν αἰώνων Θεὸν Λόγον· ἐν ὑστέροις δὲ καιροῖς ἰδίᾳ εὐδοκίᾳ φιλανθρώπῳ τὴν δευτέραν ἑαυτοῦ πάλιν ἰδικωτάτην ἐνεργῆσαι γέννησιν ἐν τῇ συμπλοκῇ τοῦ καθ' ἡμᾶς ἀνθρώπου ὁμολογοῦμεν, καὶ προελεύσει σαρκικῇ ἐκ τῆς ἁγίας Παρθένου τεχθῆναι, ὁμοιότητι γεννήσεως· μηδὲ κατὰ τὴν πρώτην αὐτοῦ, μηδὲ κατὰ δευτέραν γέννησίν τινι τῶν πάντων κοινωνοῦντα· οὔτε γάρ τι ἕτερον κατὰ τὸ ἀΐδιον καὶ ἀπαράλλακτον καὶ εὐάρεστον καὶ ἄτρεπτον καὶ ἀμέριστον καὶ ἀνελλιπὲς καὶ ἀνεκφοίτητον τῆς πρώτης C αὐτοῦ ἤγουν γεννήσεως γεγέννηται, οὔτε κατὰ τὴν δευτέραν ἕτερόν τι οὕτως ἀσπόρως καὶ ἀφθόρως καὶ ὑπερφυῶς γεγέννηται, καὶ Πνεύματος ἁγίου συλληφθὲν, καὶ ἀχρόνως τελειωθὲν, καὶ μορφωθὲν, καὶ διοργανωθὲν, καὶ εἰς πάντα τὸν ἑαυτοῦ οὐσιώδη Λόγον ἀπαρτισθὲν ἐν τῇ ἁγνῇ μήτρᾳ τῆς ἀμιάντου, εἰς ναὸν καὶ εἰς σκήνωμα τοῦ Λόγου τῆς ἀνθρωπίνης σαρκὸς ἐξ αὐτῆς μόνης τελειωθείσης καὶ συναφθείσης αὐτῷ ἐν ἀκαρεῖ· ἔτι μὴν καὶ ἀληθῶς κεκλεισμένης τῆς παρθενικῆς πύλης, κατὰ φύσιν ἀληθῶς σῶμα οὔσης τῆς Θεοδόχου σαρκὸς αὐτοῦ διὰ τῶν ἀῤῥαγῶν σωμάτων χωρῆσαι τῆς μήτρας τῆς Παρθένου τῇ ὑπὲρ φύσιν δυνάμει τοῦ ἐνόντος αὐτῇ Πνεύματος τοῦ Λόγου πιστεύομεν. Πῶς οὖν οὐ παντὸς D μᾶλλον ἔτι καὶ ἔτι διὰ ταῦτα Θεοτόκον ἀληθῶς γνωρίσαντες εὐφημήσομεν τὴν Παρθένον ταύτην, ἐν ᾗ καὶ ἐξ ἧς ὁ Λόγος τὴν σάρκα μνηστευσάμενος προῆλθεν ὡς νυμφίος ἐκ παστοῦ ἁγίου αὐτοῦ; ἀφ' ἧς τε ἡ σοφία τὸν ἑαυτῆς λατομήσασα οἶκον ἑαυτῇ περιῳκοδόμησε; καὶ τὸ θαυμαστὸν, ὅτι οὐδὲ τῷ τῆς φύσεως ἰδιώματι τοῦ οἰκήματος ἑαυτὴν συνεξήγαγεν ἐκ τῆς μήτρας τῆς Παρθένου· ἀλλὰ τοὐναντίον τῷ τῆς φύσεως ἰδιώματι ἑαυτῆς, ἤγουν τοῦ ἐνοικήσαντος αὐτῇ Λόγου, τὸ οἴκημα πνευματικῶς συνεξείλκυσεν ἑαυτῆς ἐκ τῆς τεκούσης αὐτό· σὺν αὐτῷ γὰρ πνευματικῶς ἐξιέναι καὶ χωρῆσαι διὰ τῶν ἀῤῥαγῶν σωμάτων τῆς Παρθένου, τὴν σάρκα ἑαυτοῦ ὁ Λόγος ἐδυνάμωσεν· ὥσπερ ὁ ἄσαρκος αὐτὸς εἰσιὼν δι' αὐτῶν οὐκ ἐστενοχωρεῖτο· ἐπεὶ γὰρ ἰδίᾳ εὐδοκίᾳ

A videmus de corporibus, videmus secundum diversos modos generatis. Nam opificis quidem physica et perita actione, passione vero ligni, lecti prodit forma. Pariterque igne sua natura agente et destruente, patiente vero et pereunte sebo, fumi forma in aere gignitur. Qui enim de natura et materia, quodcunque sint, diverso modo tractant et disserunt, altera quidem agente, altera vero patiente, generari omnesque de his sunt formas consentiunt. Sed, secundum vestra oracula, quod non exsistit, gignit aliquid, præsertimque suum esse, passione aut actione: quod nemo unquam dixit; sed nec omnino actionem sive passionem in nondum exsistente agnovit. Quomodo ergo talibus, ut physicis, distinctionibus in nos argumentamini?

B Sed talia nos usque adhuc Dei gratia neque scire neque didicisse confitentes, orthodoxe profitemur, pietatem edocti a sanctis Patribus, unius Patris unicum Filium una quidem unica sua propria generatione præcedentem sæcula, Deum Verbum; in posterioribus vero temporibus, sua in homines benignitate, secundum suam iterum propriam operatum esse generationem, in complexu nostræ humanitatis confitemur, et egressu carnali ex sancta Virgine genitum esse, similitudine generationis, sed, neque secundum primam neque secundum secundam suam generationem, habentem aliquid commune cum cæteris omnibus. Nihil enim aliud quid secundum æternum, et immutabile, et perfectum, et inconversibile; et indivisum, et completum, C et immotum primæ scilicet ejus generationis genitum est; nec secundum secundam aliud quid sic sine semine, et sine corruptione, et supernaturaliter genitum est, et Spiritu sancto conceptum, et sine tempore perfectum, et formatum, et membris instructum, et in omnem suam substantialem rationem aptatum, in casto utero immaculatæ, in templum et in tabernaculum Verbi, perfecta et ipsi coaptata humana carne ex Virgine sola in uno temporis articulo. Insuper et vere clausa virginali porta, secundum naturam vere corpus divinæ carnis ejus per infractam vulvam venisse, uteri Virginis supernaturali virtute inhabitantis in ea Spiritus Verbi credimus. Quomodo ergo non omnino D magis magisque propterea Deiparam vere agnoscentes, laudabimus Virginem istam, in qua et ex qua cum Verbum carnem sibi despondisset, processit tanquam sponsus de thalamo suo? Per quam sapientia ædificavit sibi domum? Et illud mirandum, quod non secundum naturalem proprietatem domus hanc eduxit ex vulva Virginis; sed e contra, naturali sua proprietate, inhabitantis scilicet in ea Verbi, domum spiritaliter elicuit de illa quæ ipsam genuerat. Cum ipsa enim spiritaliter exeundi et prodeundi per infractam Virginis vulvam carni suæ Verbum virtutem contulit; sicut ipse sine carne per eam ingrediens non comprimebatur. Cum enim sua benignitate se in Virginem infudit, ex ipsa qui sine carne erat se carnaliter formavit divino modo,

et ab ipsa carnem sibi copulavit. Sileat ergo profanum os vestrum donec aperiantur oculi vestri, ut, cum videritis lumen mysterii, tunc loqui non inanes phantasias tenebrarum terrenæ sapientiæ, sed magnalia Dei, possitis.

A ἑαυτὸν εἰς τὴν Παρθένον ἐνέδωκε· καὶ ἐξ αὐτῆς ἑαυτὸν ὁ ἄσαρκος σαρκικῶς ἐμόρφωσε, θεϊκῶς καὶ τὴν ἀπ' αὐτῆς σάρκα αὐτοῦ ἑαυτῷ συμπροήγαγε· φιμωθήτω οὖν ὑμῶν τὸ βέβηλον ἄχρις ἀνοιγῶσιν ὑμῶν οἱ ὀφθαλμοὶ, ἵνα ἰδόντες τὸ φῶς τοῦ μυστηρίου, τότε λαλεῖν οὐ τὰς φαντασίας τῶν εἰδώλων τοῦ σκότους τῆς ἐπιγείου σοφίας, ἀλλὰ τὰ μεγαλεῖα τοῦ Θεοῦ ἐξισχύσητε.

CAP. X.

Si proprie et secundum veritatem genitus est Deus Verbum ex Virgine, et proprie et secundum veritatem genita est ex ipsa caro mortalis et corruptibilis et animata anima rationali et intellectuali, vel caro præexsistit Virgini, vel Deus Verbum posterior est Virgine : quod utrumque absurdum est. — Sed non secundum unam eamdemque generationis rationem ambarum unius filii partium generationem ex Virgine esse, sæpe numero a nobis dictum est, o physici. Vere tamen est mater secundum utramque rationem, tum quidem in quantum ille habeat ex ea esse carnaliter, tum vero in quantum habeat esse simpliciter carnem. Ita enim una mater esse unius utriusque jam demonstrata est. Igitur sane si proprie et secundum veritatem carne geniti sunt Zebedæo filii ejus et proprie et secundum veritatem regenerati sunt primi per Evangelium, ipsi præexsistunt simpliciter; vel ipse posterior est illis : nam si alterum quoddam præexsistit, alterum posterius est, o falso habiti sapientes! et non ita est ut dicitis, vel hoc vel illud : omnino enim naturali dispositione simul unaque sunt hæc et sequuntur. Quod enim præexsistit, posteriori. Sed patet eumdem sub diverso respectu, relative ad filios suos et ad patres suos habere priorem simul et posteriorem generationem.

ΚΕΦΑΛ. Ι'.

Εἰ κυρίως καὶ κατὰ ἀλήθειαν ἐτέχθη ὁ Θεὸς Λόγος ἐκ τῆς Παρθένου, καὶ κυρίως καὶ κατὰ ἀλήθειαν ἐτέχθη ἐξ αὐτῆς ἡ σὰρξ ἡ θνητὴ καὶ φθαρτὴ καὶ ἐψυχωμένη ψυχῇ καὶ λογικῇ καὶ νοερᾷ, ἢ σὰρξ προϋπάρχει τῆς Παρθένου, ἢ ὁ Θεὸς Λόγος μεθυπάρχει τῆς Παρθένου· ὅπερ ἄτοπον ἑκάτερον. Ἀλλ' οὐ καθ' ἕνα καὶ τὸν αὐτὸν τῆς γεννήσεως λόγον, B ἀμφοτέρων τῶν τοῦ ἑνὸς Υἱοῦ μερῶν τὴν γέννησιν τὴν ἐκ Παρθένου εἶναι, πολλάκις ἡμῖν εἴρηται, ὦ φυσικοί· ἀληθῶς μέντοι μήτηρ ἐστὶ καθ' ἑκάτερον λόγον· τοῦ μὲν ὡς ἐξ αὐτῆς σαρκικῶς εἶναι ὑπάρξαντος· τοῦ δὲ καὶ ὡς ἁπλῶς σαρκὸς εἶναι ὑπάρξαντος· οὕτως γὰρ μία μήτηρ ἑνὸς τοῦ συναμφοτέρου ἀναδέδεικται· ἆρα δὴ οὖν εἰ κυρίως καὶ κατὰ ἀλήθειαν ἐτέχθησαν σαρκὶ Ζεβεδαίῳ οἱ υἱοὶ αὐτοῦ, καὶ κυρίως καὶ κατὰ ἀλήθειαν ἀνεγεννήθησαν πρῶτοι διὰ τοῦ Εὐαγγελίου προϋπάρχουσιν αὐτοῦ ἁπλῶς· ἢ αὐτὸς μεθυπάρχει αὐτῶν, καίτοι εἰ θάτερον προϋπάρχει, πάντως τὸ ἕτερον μεθυπάρχει, δοκησίσοφοι· καὶ οὐχ ὥς φατε ἢ τόδε ἢ τόδε· πάντως γὰρ τῇ σχέσει ἅμα ἐστὶ τάδε καὶ παρέπεται· τὸ γὰρ προϋπάρχον, C μεθυπάρχοντος προϋπάρχει· ἀλλὰ δῆλον, ὡς κατ' ἄλλο καὶ ἄλλο ὁ αὐτὸς πρὸς τοὺς αὐτοὺς υἱούς τε ὄντας αὐτοῦ καὶ πατέρας, τήν τε προγενεσίαν ἔχει καὶ ὑστερογενεσίαν.

CAP. XI.

Si progenies carnis, progenies est Dei secundum veritatem, et esse est etiam Dei secundum veritatem; si autem esse et tale esse est impium simul et impossibile; non ergo progenies carnis progenies est quoque Dei secundum veritatem. — Sed deest primæ vestræ propositioni Verbum *pariter :* hocque vel de industria vel imprudenter vobis ratiocinantibus prætermissum est. Si enim progenies carnis, progenies *pariter* Dei est, scilicet secundum eamdem progeniei rationem qua est ex Patre, eadem reipsa utrique concedetis. Si autem plurimæ et secundum veritatem dictæ rationes progeniei sunt, non ex omni ratione progeniei sequetur eadem quædam sentire de iis quæ quomodocunque gigni dicuntur, nec illud vobis quisquam concessit, scilicet simpliciter et nudæ carnis partum esse et partum Dei; sed neque, conjuncto cum carne Deo, partum Dei ex Virgine eumdem esse secundum rationem ac partum carnis; sed idem secundum numerum, diversis autem generationis rationibus vere constat secundum ambas naturas genitus. Nomen enim generationis, ut et vos ipsi induxistis, homonymum est : in homonymis autem non est plus vel minus,

ΚΕΦΑΛ. Κ'.

Εἰ τόκος ὁ τῆς σαρκὸς, τόκος τοῦ Θεοῦ κατὰ ἀλήθειαν, καὶ τὸ εἶναί ἐστι κατὰ ἀλήθειαν τοῦ Θεοῦ· εἰ δὲ τὸ εἶναι καὶ τὸ τοιόνδε εἶναι τοῦτο ἀσεβὲς ὁμοῦ καὶ ἀμήχανον, οὐκ ἄρα ὁ τόκος τῆς σαρκὸς, τόκος ἐστὶ κατὰ ἀλήθειαν τοῦ Θεοῦ. Ἀλλὰ λείπει τῇ πρώτῃ ὑμῶν προτάσει τὸ *ὡσαύτως ἐστί*· καὶ τοῦτο ἢ δεινῶς ἢ ἀμαθῶς ὑμῶν διαλεγομένων παρεώραται. Εἰ γὰρ ὁ τόκος τῆς σαρκὸς, τόκος τοῦ Θεοῦ *ὡσαύτως* ἐστὶν, ἤγουν κατὰ τὸν αὐτὸν τοῦ τόκου λόγον D τὸν ἐκ Πατρὸς, τὰ αὐτὰ ὄντως ἀμφοτέροις χαρίσεσθε. Εἰ δὲ πολλοί τε καὶ κατ' ἀλήθειαν λεγόμενοι λόγοι τόκου εἰσὶν, οὐ τὰ αὐτὰ ἐκ παντὸς Λόγου τόκου ἕψεται νοεῖν τινα, ἐπὶ τοῖς ὁπωσοῦν τεχθῆναι λεγομένοις· οὔτε δὲ τοῦτο ὑμῖν τις δέδωκεν ὅτι ἁπλῶς καὶ γυμνῆς σαρκὸς τόκος, οὗτος καὶ τόκος Θεοῦ ἐστι, ἀλλ' οὔτε ὅτι συνημμένου τῇ σαρκὶ τοῦ Θεοῦ, ὅμως ὁ αὐτός ἐστι κατὰ τὸν λόγον ὁ τόκος τοῦ Θεοῦ ὁ ἐκ Παρθένου τῷ τόκῳ τῆς σαρκός· ἀλλ' ὁ αὐτὸς κατὰ ἀριθμὸν, ἐν διαφόροις δὲ λόγοις γεννήσεως ἀληθῶς κατ' ἄμφω συνεστὼς τὰς τεχθείσας φύσεις. Τὸ γὰρ τῆς γεννήσεως ὄνομα, ὡς καὶ ὑμεῖς παρηγάγετε, ὁμώνυμον· ἐν δὲ τοῖς ὁμωνύμοις τὸ μὲν μᾶλλον εἶναι, τὸ δέ τι καὶ ἧττον, οὐκ ἔστιν· οὐδὲ

τὸ πρῶτον καὶ δεύτερον, ὦ λογιώτατοι· οὐκοῦν ἀληθεῖς μὲν πᾶσαι αἱ γεννήσεις, ἀλλ' οὐκ ἐμφερεῖς· ὅτι οὖν τῆς ἐνθέου σαρκὸς ὁ τόκος καὶ Θεοῦ σεσαρκωμένου ἐστὶ τόκος, ὁμολόγηται· ἀλλ' ὡς πρέπει ἑκατέρῳ. Οὔτε γὰρ σὰρξ οὔτε τόκος ἀλλοιῶσαι Θεοῦ φύσιν δύνανται. Τοὐναντίον μὲν οὖν Θεὸς καὶ σαρκὸς φύσιν, καὶ φυσικὸν τόκον, ἀλλοιῶσαι κατὰ τοὺς ὅρους καὶ καιροὺς καὶ τρόπους τῆς αὐτοῦ οἰκονομίας ἡνίκα ἂν ἐθέλοι, δεδύνηται· τόκος ἄρα Θεοῦ μὲν ὡς ἐναρξαμένου σαρκώσεως, σαρκὸς δὲ ὡς ἐναρξαμένης ὑπάρξεως.

neque primum vel secundum, o ratiocinatores. Igitur veræ quidem sunt omnes generationes, sed non consimiles: ita ut divinæ carnis partum esse et partum Dei incarnati admittatur, sed sicut utrumque decet: neque enim caro neque partus mutare possunt Dei naturam. E contra autem Deus et carnis naturam et naturalem partum mutare secundum terminos et tempora et modos dispositionis ejus, cum voluerit, potuit. Igitur partus quidem Dei tanquam inchoantis incarnationem; partus autem carnis inchoantis exsistentiam.

ΚΕΦΑΛ. ΙΒ'.

Εἰ τὰ τίκτοντα πρὸς τὰ τίκτοντα κατ' οὐσίαν παραλλάττει, καὶ τὰ τικτόμενα πρὸς τὰ τικτόμενα ἀνάγκη πᾶσα κατ' οὐσίαν παραλλάττειν· καὶ εἰ τοῦτο, πῶς τοῦ Πατρὸς καὶ τῆς Παρθένου κατ' οὐσίαν παραλλαττόντων, οὐ παραλλάττειν ἀνάγκη τὸν Θεὸν Λόγον αὐτὸν ἑαυτοῦ κατ' οὐσίαν, ἀμφοτέρων ὑπάρχοντα κατὰ ἀλήθειαν Υἱόν; Τὸ δὲ αὐτὸν ἑαυτοῦ κατ' οὐσίαν παραλλάττειν λέγειν τὸν πάσης ἁπλότητος ἐπέκεινα, πάσης ἐκστάσεώς ἐστι ἐπέκεινα. Ἀλλὰ πῶς, ὦ οὗτοι, τῷ φέροντι ἤδη τὸ δοκοῦν ἀποφθέγγεσθε; καὶ γὰρ ἰχθύας τε καὶ ἕτερα ζῶα καὶ πετεινὰ καὶ ἑρπετά τινα ἐκ τῆς ἀλλήλων συνουσίας, ὡσαύτως δὲ καὶ ἐξ ὑδάτων αὐτοφυῶς καὶ ἐκ γῆς καὶ ἐξ ἀέρος τίκτεται· καὶ ὅμως ὅμοιά εἰσι τὴν οὐσίαν διαφερόντων φύσει τῶν τεκόντων· οὐ γὰρ ταυτὸν οὐσία ζώου τε καὶ ὕδατος καὶ γῆς· ἰχθὺς δὲ ὅ τε ἐξ ὕδατος, καὶ ὁ ἐξ ἰχθύος γεννώμενος· ὡσαύτως καὶ ἀδιαφόρως καὶ ὄφεις καὶ ἕτερα πλεῖστα τοιαῦτα. Δευτέρως δὲ ἀντιστροφῇ τὸ ὑμέτερον βασανίσωμεν θέμα· εἰ γὰρ τὰ διάφορα τῇ φύσει, διάφορα τίκτειν ἀνάγκη, καὶ τὰ ἀδιάφορα τῇ φύσει, ἀδιάφορα τίκτειν ἀνάγκη· ἐπεὶ οὖν εἷς καὶ οὐ πλείους, ἢ διάφοροι ἁπλῶς ἥλιοι, οὗτος δὲ ἐν ἀέρι φῶς, ἐν ὕδατι δὲ ζῶα, ἐν δὲ γῇ πόας καὶ ταύτας διαφόρους τίκτει, ἄρα πάντων ἀδιάφορον ἡμῖν νομιστέον τὴν οὐσίαν; Ἀλλ' οὐδεὶς ὑμῖν τάδε συμφθέγξεται.

CAP. XII.

Si gignentia relative ad gignentia secundum substantiam differunt, omnino necesse est quoque genita relative ad genita secundum substantiam differre. Atqui si ita est, quomodo Patre et Virgine secundum substantiam differentibus, non necessario differret a seipso secundum substantiam Deus Verbum, cum sit utriusque verus Filius? Dicere autem illum a seipso differre, qui est ultra omnem simplicitatem, illud est ultra omnem dementiam. — Sed, o vos, quomodo ad utilitatem vestrum placitum profertis? Nam piscesque et alia animalia, volatilia, et reptilia, quædam gignuntur ex mutuo coitu; sed sunt pariter quæ sponte ex aquis, et ex terra, et ex aere gignuntur; et tamen similia sunt quoad substantiam, licet natura differant gignentes. Non enim quid idem est substantia animalis, et substantia aquæ et terræ. Piscis autem alius ex aqua, alius ex pisce generatus. Pariter et sine differentia serpentes et alia multa similia. Secundo autem retorquendo experiamur vestram propositionem. Si enim quæ differunt natura necessario gignunt dissimilia, a pari quæ non differunt natura necesse est nec dissimilia gignere. Igitur cum unus sit sol et non plures sive differentes soles, is autem in aere lumen, in aqua animalia, in terra plantas easque differentes gignat, igitur omnium nobis censendum est non differentem esse substantiam. At nemo vobis de his consentiet.

Πλὴν ἔστω καὶ τάδε ὑμῖν συγκεχωρημένα· τοῦτο δὲ ὅμως δείξατε, ὡς πολλάκις εἴρηται, τί τὸ κωλύον μὴ εἶναι τὸν αὐτὸν ἑκατέρων υἱόν· καὶ εἰ τὰ τίκτοντα κατ' οὐσίαν παραλλάττει, τὸν καθ' ἑκατέραν γέννησιν ἐξ ἑτέρας οὐσίας τικτόμενον, τί ἐμποδίσει ὡς ἐξ ἑτέρας οὐσίας προτεχθέντα, ἐν τῇ δευτέρᾳ γεννήσει διάφορον εἶναι πρὸς τοὺς τεκόντας κατὰ τὴν πρώτην γέννησιν, καὶ ἐκ τοῦ ὅλου ἑαυτοῦ διαφόρους ἔχειν λόγους πρὸς ἑκάτερον τῶν τεκόντων; ἢ ὡς μὴ σωζομένης τῆς πρώτης οὐσίας ἐπὶ τῇ δευτέρᾳ γεννήσει, ἢ ὡς μὴ ἐπιγινομένου τινὸς προγεγεννημένῃ ὑποστάσει· οὕτω γὰρ ἂν οὐδεὶς τῶν κατὰ πνεῦμα γεγεννημένων, ἔμεινε σὰρξ ὁπωσοῦν, ἐπεὶ « Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστι, τὸ δὲ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστιν. » Εἰ δὲ τὴν ἐπίκτησιν τῶν ἐκ τῆς δευτέρας γεννήσεως προσληφθέντων τῷ Λόγῳ τὴν πρώην ἁπλότητα αὐτοῦ οὐ συγχωρεῖν καθορᾶσθαι νομίζετε, σκεπτέον ὡς

Sed esto etiam vobis hæc concedi. Hoc autem tamen ostendite, sicut sæpissime dictum est, nempe quid impediat quin idem sit duorum filius: et, si gignentia differunt quoad substantiam, genitus secundum utramque generationem ex una substantia, quid impediet quin, tanquam ex altera ante genitus, in secunda generatione differat relative ad eos qui genuerant secundum primam generationem, et in toto suo esse differentes habeat rationes relative ad utrumque gignentium, sive tanquam non servata prima substantia in secunda generatione, sive tanquam non superaddita aliqua hypostasi ante genitæ. Ita enim nullum eorum quæ secundum spiritum genita sunt remansit ullo modo caro; quia « Quod natum est ex carne, caro est; quod autem natum est ex spiritu, spiritus est [v]. » Si autem accessionem eorum quæ a Verbo assumpta sunt priorem ejus simplicitatem non sinere videre

[v] Joan. III, 6.

censetis, attendendum est ut hanc differentiam substantiæ non intra physicam ipsam simplicitatem Verbi consideretis, sed extra, nempe in composito personæ: ita ut qui velit considerare servatam primæ generationis similitudinem substantiæ relative ad gignentem, quasi in parte totius ex secunda generatione videat oportet. Et vice versa adjunctio Verbi ex secunda generatione consideranda est in similitudine Virginis matris ejus, differentia duarum substantiarum compositi habente ambas similitudines quoad substantiam. Et sic neque quisquam Verbum suam substantiam mutavisse dixerit, neque compositum Dominum nostrum Jesum Christum aliquid differentiæ genitivarum naturarum reliquisse crediderit. Non enim, sicut vos disponitis, simpliciter et merum Verbum genitum fuisse ab ambobus suis generatoribus dicimus; sed Patrem genuisse simpliciter Verbum, et Matrem idem cum carne in Christo composito genuisse sentimus.

CAP. XIII.

Si proprie et secundum veritatem genita est substantia Dei Verbi ex substantia Patris, et est ipsi consubstantialis, omnino secundum substantiam et proprie et secundum veritatem genita est ex muliere substantia Verbi Dei, et est sibi ipsi dissimilis omnino secundum substantiam. Ex eo quod proprie et secundum veritatem nata sit substantia ex substantia, non ideo fit ut omnino similia sint genita gignentibus quoad substantiam, sed aliud quid quod nec concipi potest. Proprie quidem et secundum veritatem substantia Dei Verbi, tum ex substantia Patris, tum ex substantia sanctæ Virginis genita est, sed non simili generatione, nec idem ex utroque accipiendo et possidendo. Ex prima enim ejus ex Patre generatione habet suum esse, solum ex sola, totum ex tota, illudque sine principio, sine tempore, ab æterno, et cætera quæ Dei sunt. Ex secunda autem habet suum esse carnaliter et incœpisse ratione compositi in tempore, et cætera ad nostram similitudinem. Quomodo igitur cum non in idem nec secundum eumdem generationis modum genitum sit, easdem in eo quæritis notas alterutrius originis ad ostensionem veram primæ ejus et secundæ generationis, et in utraque omnino similitudinem? Licet enim non eadem sequantur generationes non easdem, non ideo non essent veræ et proprie dictæ generationes. Equus enim terrestris, quia non est hippopotamus, non ideo non est equus : uterque enim est equus. Nec animal terrestre, quia non est marinum, ideo non est animal. Igitur proprie et secundum veritatem genitum fuisse non erit satis ad demonstrandum similitudinem substantiæ, quod vos in rationem similitudinis induxistis, nisi etiam secundum hancce ex veris generationibus quæ scilicet demonstrat genita esse similia, aliquid genitum omnino fuerit. Nam et vos primum illud concessistis, nempe quædam pejores, quædam meliores, quædam vero similes constituere gignentes genitis. Verbum qui-

A τὴν παραλλαγὴν τήνδε τῆς οὐσίας οὐκ ἐντὸς τῆς φυσικῆς αὐτῆς ἁπλότητος τοῦ Λόγου, ἀλλ' ἐκτὸς θεωρεῖτε, ἤγουν ἐν τῷ συνθέτῳ τῆς ὑποστάσεως· ὥστε τὸν βουλόμενον, τὸ τῆς πρώτης γεννήσεως ἀδιάφορον τῇ οὐσίᾳ πρὸς τὸν τεκόντα φυλαχθὲν θεωρεῖν, ὡς ἐν μέρει δὲ τοῦ τῆς δευτέρας γεννήσεως ὅλου δεῖ ὁρᾷν· καὶ πάλιν τὸ τῆς δευτέρας γεννήσεως πρόσλημμα τοῦ Λόγου, σαφῶς δεῖ νοεῖν ἐν τῇ ὁμοιώσει τῆς Παρθένου μητρὸς αὐτοῦ τῆς διαφορᾶς τῶν δύο οὐσιῶν τοῦ συνθέτου ἄμφω ἐχούσης τὰς κατ' οὐσίαν ὁμοιότητας· καὶ οὕτως οὐδεὶς οὔτε τὸν Λόγον τῆς ἑαυτοῦ οὐσίας παραλλάττειν φήσειεν ἄν, οὔτε τὸν σύνθετον καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τῆς διαφορᾶς τῶν γονικῶν αὐτοῦ φύσεών τι παραλελοιπέναι νομίσειεν· οὐ γὰρ ὡς κατασκευάζετε ἁπλῶς B καὶ γυμνὸν τὸν Λόγον ἄμφω τεκεῖν φαμεν τοὺς γεννήτορας αὐτοῦ· ἀλλὰ τὸν μὲν Πατέρα, ἁπλῶς καὶ ἁπλοῦν· τὴν δὲ Μητέρα, μετὰ σαρκὸς σύνθετον τὸν αὐτὸν τεκεῖν ἐν Χριστῷ νοοῦμεν.

ΚΕΦΑΛ. ΙΓ'.

Εἰ κυρίως καὶ κατὰ ἀλήθειαν ἐγεννήθη ἡ οὐσία τοῦ Θεοῦ Λόγου ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, καὶ ἔστιν ὁμοούσιος αὐτῷ, πάντη οὐσίαν καὶ κυρίως καὶ κατὰ ἀλήθειαν ἐγεννήθη ἐκ γυναικὸς ἡ οὐσία τοῦ Θεοῦ Λόγου· καὶ ἔστιν ἀνόμοιος αὕτη πάντη κατ' οὐσίαν· οὐ τὸ κυρίως καὶ κατὰ ἀλήθειαν γεννηθῆναι τὴν οὐσίαν ἐκ τῆς οὐσίας ἐστὶ, τὸ ποιοῦν πάντη ὅμοια κατ' οὐσίαν τὰ τικτόμενα τοῖς τίκτουσιν, ἀλλά τι ἕτερον, ὅπερ οὐδὲ ἐπινοῆσαι δυνατόν. Κυρίως μὲν καὶ κατὰ C ἀλήθειαν ἡ οὐσία τοῦ Θεοῦ Λόγου ἔκ τε τῆς οὐσίας τοῦ Πατρὸς καὶ ἐκ τῆς ἁγίας Παρθένου γεγέννηται· ἀλλ' οὐ τῇ ὁμοίᾳ γεννήσει, οὔτε τὸ αὐτὸ ἐξ ἑκατέρου λαβοῦσα ἢ κεκτημένη. Ἐκ μὲν γὰρ τῆς τοῦ Πατρὸς πρώτης αὐτοῦ γεννήσεως μόνος καὶ μόνης καὶ ὅλης καὶ ὅλος τὸ εἶναι ἔχει· ἀνάρχως τε τοῦτο καὶ ἀχρόνως καὶ ἀϊδίως καὶ κατὰ τὰ λοιπὰ θεοπρεπῆ· ἐκ δὲ τῆς δευτέρας, τὸ σαρκικῶς εἶναι ἄρξασθαί τε συνθέσεως ἀπὸ χρόνου, καὶ τὰ λοιπὰ τῆς καθ' ἡμᾶς ὁμοιώσεως· πῶς οὖν οὐκ εἰς τὸ αὐτὸ οὐδὲ κατὰ τὸν αὐτὸν τρόπον τῆς γεννήσεως γεννηθεὶς, τὰ αὐτὰ ὑμῖν εἰσπράττεται γνωριστήρια θατέρου τόκου πρὸς ἔνδειξιν ἀληθῆ τῆς πρώτης αὐτοῦ καὶ δευτέρας γεννήσεως, ἐν ἀμφοτέραις τε πάντως ὁμοίωσιν ἢ ἀνομοιότητα; Οὐ γὰρ εἰ μὴ τὰ αὐτὰ D ἕψεται ταῖς οὐ ταυταῖς γεννήσεσι, διὰ τόδε οὐδὲ γεννήσεις εἶεν κυρίως καὶ ἀληθεῖς· οὐ γὰρ ἐπεὶ μὴ ποτάμιος, διὰ τόδε οὐδὲ ἵππος ἀληθῶς ὁ χερσαῖος· ἄμφω γὰρ ἀληθῶς ἵπποι· οὐδὲ ἐπεὶ μὴ θαλάττιον, διὰ τοῦτο οὐδὲ ζῶον τὸ χερσαῖον· οὐκ ἀρκέσει οὖν τὸ κυρίως καὶ κατὰ ἀλήθειαν γεννηθῆναι, δεῖξαι τὴν ὁμοιότητα τῆς οὐσίας, ὅπερ ὑμεῖς εἰς αἰτίαν ὁμοίου παρηγάγετε, εἰ μὴ καὶ κατὰ τὴν τοιάνδε γέννησιν τῶν ἀληθῶν γεννήσεων, ἤγουν τὴν ὅμοια δεικνῦσαν τὰ τικτόμενα, τὶ γεγέννηται πάντως· καὶ ὑμεῖς γὰρ ἐν ἀρχῇ δεδώκατε ὡς τὰ μὲν χείρονας, τὰ δὲ κρείττονας, τὰ δὲ ὁμοίους παρίστησι τοῖς γεννηθεῖσι τοὺς γεννήσαντας· ἄλλως τε πρὸς μὲν τὸν Πατέρα γεννηθεὶς, ὡς ὅλον τι ἔσχε τὴν ὁμοίωσιν ὁ Λόγος ὡς Θεός· Χριστὸς δὲ γεννη-

θεὶς καὶ οὐ Λόγος ἁπλῶς, καὶ πρὸς τὴν Μητέρα ἐκ μέρους μὲν ἔχει τὴν ὁμοίωσιν τὴν φυσικὴν, ἀλλὰ καὶ ἐκ μέρους τὸ ὅμοιον· διότι εἷς καὶ ὁ αὐτὸς ὑπάρχων, κατὰ θάτερον τῶν ἐν αὐτῷ μερῶν, τήν τε πρὸς τὸν Πατέρα καὶ πρὸς τὴν Μητέρα φυσικὴν ὁμοίωσιν κέκτηται καὶ διαφοράν· ὁμοίως δὲ καὶ ἡμεῖς τοῖς ὑμετέροις ἀντεπάγοντες, δείξωμεν τὰ ἡμέτερα· εἰ γὰρ κυρίως καὶ κατὰ ἀλήθειαν ἐγεννήθη ἐκ Σαοὺλ Ἰωνάθαν, ἔστιν ὅμοιος αὐτῷ κατ' οὐσίαν· καὶ κυρίως καὶ κατὰ ἀλήθειαν ἐγεννήθη ἀπ' αὐτοῦ Λόγος, καὶ ἔστιν ἀνομοιότατος αὐτῷ κατ' οὐσίαν· οὐ τὸ κυρίως γεννηθῆναί ἐστι σαφῶς αἴτιον τῆς ὁμοιότητος, ἀλλ' ὁ τῆς ὁμοιότητος τοῦ ὅλου ἢ μέρους ἴδιος τρόπος τῶν ἐν ταῖς γεννήσεσι νοουμένων.

A dem habet, tanquam Deus integram similitudinem Patri: Christus autem genitus et jam non simpliciter Verbum, habet et Matri ex parte similitudinem physicam, et ex parte esse simile. Unde unus et idem cum sit, secundum alterutram in ipso partium tum Patri tum Matri similitudinem habet et differentiam. Pariter autem, his contra vos dictis, demonstremus et nostram doctrinam. Si enim proprie et secundum veritatem genitus est Jonathas a Saule, similis est ei secundum substantiam. Sed et proprie et secundum veritatem genitum est Verbum, quod est ei dissimillimum secundum substantiam. Evidenter igitur proprie genitum esse non est causa similitudinis; sed genus quoddam speciale similitudinis totius vel partis eorum quæ in generationibus considerantur.

B

ΚΕΦΑΛ. ΙΔ'.

Εἰ ἐγεννήθη ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς κατὰ θεότητα, καὶ σώζει τὴν κατ' οὐσίαν πρὸς αὐτὸν ὁμοιότητα, ἐγεννήθη δὲ καθ' ὑμᾶς ὁμοίως ὁ Υἱὸς καὶ ἐκ τῆς Παρθένου κατὰ θεότητα, σώζειν ἀνάγκη τὴν πρὸς αὐτὴν κατ' οὐσίαν ὁμοιότητα κατὰ τὴν θεότητα· εἰ δὲ τοῦτο, ἕξει πάντως καὶ ἡ Παρθένος τὴν πρὸς τὸν Θεὸν καὶ Πατέρα κατ' οὐσίαν ὁμοιότητα· τὰ γὰρ τῷ αὐτῷ ὅμοια, καὶ ἀλλήλοις ἐστὶν ὅμοια. Ἀλλ' οὔτε πᾶν, οὔτε κατὰ πᾶσαν γέννησιν, οὔτε κατὰ τὸ ὅλον ἑαυτοῦ τὸ ἔκ τινος γεννώμενον, σώζειν ἀνάγκη τὸν τῆς φύσεως τοῦ τεκόντος λόγον ἀπαράλλακτον δέδεικται καὶ εἴρηται πολλάκις. Ἰδοὺ γὰρ καὶ φύσει τέκνα ὀργῆς, καὶ υἱοὶ ἀπειθείας καὶ ἀνομίας, καὶ υἱοὶ σκότους, καὶ τέκνα τοῦ πονηροῦ, καὶ υἱοὶ τοῦ αἰῶνος τούτου, καὶ τέκνα τοῦ διαβόλου, ἀλλὰ καὶ C τέκνα Θεοῦ, καὶ θελήματος θείου γεννήματα, καὶ υἱοὶ φωτὸς, καὶ υἱοὶ ἡμέρας, καὶ υἱοὶ δυνάμεως, καὶ υἱοὶ Ὑψίστου εἴρηνται τῇ ἁγίᾳ Γραφῇ, κατὰ διαφόρους ἀληθεῖς κατὰ τὸν οἰκεῖον λόγον γεννήσεις καὶ τοὺς ἑκάστης γεννήσεως τρόπους· καὶ οὐδὲν ἂν τῶνδε γέννημα εἴποι τις ἐξ ἀνάγκης ὁμοούσιον τῷ τεκόντι· οὐδὲ γὰρ ὀργὴ τὰ τέκνα τῆς ὀργῆς· οὔτε αἰὼν τὰ τέκνα τοῦ αἰῶνος· οὐδὲ θεοὶ τὴν οὐσίαν τὰ τέκνα τοῦ Θεοῦ πάντα· οὐδὲ ὁμοούσιοι τῷ Ὑψίστῳ οἱ υἱοὶ τοῦ Ὑψίστου. Οὐκοῦν πρῶτα μὲν, οὐχ εἴ τι ἔκ τινος, τοῦτο καὶ ὅμοιον πάντως τῷ ὅλῳ τῆς οὐσίας αὐτοῦ λόγῳ εἶναι ἀναγκαῖον· πάλιν δ' οὖν ἐροῦμεν, ὅτι τότε ἂν ὑμῖν εἶχε τὸ εὔλογον ἡ ἀπορία, εἰ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως τὸν αὐτὸν ἐξ ἑκατέρου προεληλυθέναι εἰρήκαμεν Χριστόν. D Εἰ γὰρ ἐπεὶ κατὰ τὴν θεότητα ἐκ Πατρὸς γεγέννηται, καὶ κατὰ τὴν θεότητα ἐκ Μητρὸς ὁ αὐτὸς γεγέννηται, ἑτέρως μέντοι, ἤγουν ὅτι σεσάρκωται, τὸν αὐτὸν ἀπαιτεῖτε λόγον πρὸς ἑκάτερον τῶν γεννητόρων ἔχειν αὐτὸν κατ' οὐσίαν, δέον ὑμᾶς λέγειν καὶ Πέτρον, ἐπεὶ κατὰ τὴν οὐσίαν ὑπὸ Ἰωνᾶ γεγέννηται, καὶ κατὰ τὴν οὐσίαν τῷ ἁγίῳ Πνεύματι ἐμφορούμενος, τοῦτό τε ἐπενδυσάμενος πνευματικὸς γεγέννηται, σώζειν αὐτὸν τήν τε πρὸς τὸν Ἰωνᾶν καὶ τὴν πρὸς τὸ ἅγιον Πνεῦμα κατὰ τὸ ὅλον καὶ οὐκ ἐκ μέρους κατ' οὐσίαν ὁμοιότητα· καὶ εἰ τοῦτο, πάντως καὶ Ἰωνᾶς ὁ τούτου πατὴρ, ἕξει τὴν πρὸς τὸ ἅγιον Πνεῦμα κατ' οὐσίαν ὁμοιότη-

CAP. XIV.

Si genitus est Filius ex Patre, secundum divinitatem, et servat cum eo similitudinem (genitus est autem, juxta vos, similiter Filius ex Virgine secundum divinitatem), necesse est servet cum ea secundum substantiam similitudinem secundum divinitatem; si autem ita est, habebit omnino et Virgo cum Patre secundum substantiam similitudinem; quæ enim eidem sunt similia, ea et inter se sunt similia. — Sed neque omne, neque secundum omnem generationem, neque secundum sui ipsius totum, aliquid aliquo genitum necessario servare rationem non differentem naturæ gignentis dictum sæpe demonstratumque est. Ecce enim et natura filii iræ, et filii incredulitatis et iniquitatis, et filii tenebrarum, et filii mali, et filii hujus sæculi, et filii diaboli; sed et filii Dei, et ex voluntate Dei nati, et filii lucis, et filii diei, et filii fortitudinis, et filii Excelsi, dicuntur in Scriptura sacra, secundum differentes quoad propriam rationem generationes, et secundum cujusque generationis modum. Et nullum ex his generatis diceret quis esse ex necessitate consubstantialem gignenti. Non enim sunt ira filii iræ, neque sæculum filii sæculi, neque dii quoad substantiam filii Dei omnes, neque consubstantiales Excelso filii Excelsi. Igitur primum quidem, non ex eo quod aliquid est ex aliquo, ideo illud et simile omnino esse in tota substantiæ suæ ratione necesse est. Iterum ergo dicemus tum vobis vestram difficultatem habere aliquid verisimile, si sub eodem respectu et omnino eumdem ex utroque provenisse Christum dixerimus. Si enim, quia secundum divinitatem ex Patre genitus est et secundum divinitatem ex matre idem genitus est, alio tamen modo, scilicet incarnatione, eamdem contenditis eum habere rationem relative ad utrumque gignentium quoad substantiam, dicendum vobis erit Petrum, quia quoad substantiam a Jona genitus est, et quoad substantiam Spiritu sancto afflatus et superindutus spiritalis genitus est, servare et ad Jonam et ad Spiritum sanctum, secundum totum, et non ex parte, quoad substantiam similitudinem. Et si ita est, omnino et Jonas, ipsius pater, habebit ad Spiritum sanctum

similitudinem quoad substantiam : quæ enim eidem sunt similia, ea quoque inter se similia, ut vobis placet. Si igitur hoc per hæc non impeditur, sed est ex parte suæ personæ utrique consubstantialis, quomodo non et Christum sic intelligere duceremus?

CAP. XV.

Quidquid proprie et secundum veritatem gignit, causa est geniti. Nihil autem causa est geniti, quod sit genito posterius. Nihil igitur quod non est genito posterius, est opus geniti. Nihil ergo quod proprie et secundum veritatem gignit, opus est geniti. Sed a vobis illud addendum erat primæ hujus epicherematis propositioni, scilicet quod secundum quod quis dicitur genuisse, ita et genuit. Ita enim gignens est causa geniti; quia sic et Paulus, qui per Evangelium genuit, vere quidem est genitor et causa proxima, non vero carnalis essentiæ eorum qui geniti sunt, sed eorum per prædicationem fidei. Multi enim eorum qui secundum hanc generationem nati sunt ei filii, natu majores ipso erant quoad tempus carnis; et junior illis ipse secundum tempus genitus erat, qui fuit causa eorum proxima secundum fidem. Quomodo ergo quod gignit non ipsam exsistentiam simpliciter sed solummodo talem exsistentiam, exsistentiam scilicet Verbi in quantum incarnati, non diceretur recentioris dispositionis, id est talis cujusdam exsistentiæ, causam esse eamque proinde antiquiorem, sed et qualiscunque alterius exsistentiæ ejus qui ex communi sententia genitus erat alia generatione? Quomodo et Nicodemus, discipulus ille nocturnus non necessario concedetur præexstitisse Domino secundum quamdam rationem, cum illum jam senem hortetur Dominus ad renascendum per aquam et Spiritum? Hoc nobis dicite servata illæsa vestra doctrina.

CAP. XVI.

Omne proprie et secundum veritatem genitum, suum esse habet a gignente. Nihil autem habens suum esse a gignente, exsistit prius suo partu. Nihil ergo proprie et secundum veritatem genitum, exsistit prius suo partu. — An igitur tantummodo, juxta vos, si aliquid dicitur habere suum esse simpliciter ab aliquo, illud esset proprie et secundum veritatem ab ipso genitum ejusque diceretur filius? Nonne etiam et si habeat ex aliquo tale esse? Et quomodo Seth et filii ejus divina filiatione donantur et filii Dei vocantur? Quomodo filii Israel, ii qui ex Judæis sunt? Quomodo filii Dei, filii Evangelii Dei? Sed et ii qui renati sunt ex semine incorrupto per verbum Dei viventis et manentis? Quomodo filii Sponsi, apostoli? Quomodo filius Pauli Onesimus quem genuit vinculis suis? Natura autem filios iræ et filios iniquitatis, et, e contra, filios lucis, filios vitæ, et alia similia dici in Scriptura sacra, quæ ratio disposuit? Quomodo evenientem ipsis talem ruinam aut resurrectionem, neque simul cum exsistentia, neque ab eo qui dedit exsistentiam, tamen propriam generationem, se-

A τα· τὰ γὰρ τῷ αὐτῷ ὅμοια, καὶ ἀλλήλοις, ὡς δέδοκται· εἰ οὖν τόδε διὰ τάδε οὐ κεκώλυται, ἀλλ' ἔστιν ἐκ μέρους τῆς ὑποστάσεως αὐτοῦ ἑκατέρῳ ὁμοούσιος, πῶς οὐχὶ καὶ Χριστὸν οὕτως νοεῖν αἱρησόμεθα;

ΚΕΦΑΛ. ΙΕ'.

Πᾶν τὸ κυρίως καὶ κατὰ ἀλήθειαν τίκτον, αἴτιον τοῦ τικτομένου· οὐδὲν δὲ αἴτιον τοῦ τικτομένου, νεώτερον τοῦ τικτομένου· οὐδὲν οὖν οὐ νεώτερον τοῦ τικτομένου, δημιούργημα τοῦ τικτομένου· οὐδὲν ἄρα κυρίως καὶ κατὰ ἀλήθειαν τίκτον, δημιούργημα τοῦ τικτομένου. Ἀλλὰ δέον ὑμᾶς ἦν προσθεῖναι τῇ πρώτῃ τοῦ παρόντος ἐπιχειρήματος προτάσει, ὅτι κατ' ἐκεῖνο ὃ λέγεται τεκεῖν, καὶ ὡς τέτοκεν· οὕτως γὰρ καὶ αἴτιόν B ἐστι τοῦ τικτομένου τὸ τίκτον, ἐπεὶ οὕτω καὶ ὁ διὰ τοῦ Εὐαγγελίου γεννήσας Παῦλος, ἀληθῶς μέν ἐστι τοκεὺς καὶ αἴτιος προσεχῶς, οὐ τῆς σαρκικῆς δὲ ὑπάρξεως τῶν γεννηθέντων, ἀλλὰ τῆς κατὰ διδασκαλίαν πίστεως αὐτῶν· πολλοὶ γὰρ τῶν ὑπ' αὐτοῦ κατὰ ταύτην τὴν γέννησιν αὐτῷ γεγεννημένοι υἱοὶ, καὶ παλαιότεροι κατὰ τὸν τῆς σαρκὸς χρόνον ἦσαν τούτου· καὶ νεώτερος τούτων οὗτος ἐγεγόνει κατὰ χρόνον, ὁ αἴτιος αὐτῶν προσεχῶς κατὰ τὴν πίστιν· πῶς οὖν τὸ μὴ κατ' αὐτὸ τὸ εἶναι ἁπλῶς, ἀλλὰ κατὰ τὸ τοιῶσδε εἶναι τυχὸν μόνον, ἤγουν τὸ σεσαρκωμένον εἶναι τὸν Λόγον, οὐ μόνης τῆς νεωτέρας καταστάσεως, ἤγουν τοῦ τοιῶσδε αὐτοῦ εἶναι, λέγοιτο αἴτιόν τε καὶ παλαιότερον εἶναι, ἀλλὰ καὶ τῆς οἱασοῦν ὑπάρξεως αὐτοῦ ἑτέρας ἤδη ὁμολογουμένως C προγεγεννημένου καὶ ἑτέρᾳ γεννήσει; Πῶς δὲ καὶ Νικόδημος μὴ προϋφεστηκέναι τοῦ Κυρίου καθ' ὀντιναοῦν λόγον ὁ νυκτερινὸς μαθητὴς ἐξ ἀνάγκης δοθήσεται, ἐπεὶ γεννηθῆναι αὐτὸν προετρέπετο γέροντα ἤδη ὄντα δι' ὕδατος καὶ Πνεύματος; εἴπατε ἡμῖν ἄτρωτα φυλάττοντες τὰ ὑμέτερα.

ΚΕΦΑΛ. ΙϚ'.

Πᾶν τὸ κυρίως καὶ κατὰ ἀλήθειαν τικτόμενον, τὸ εἶναι ἔχει ἐκ τοῦ τίκτοντος· οὐδὲν τὸ εἶναι ἔχον ἐκ τοῦ τίκτοντος, πρὸ τοῦ οἰκείου τόκου ἐστίν· οὐδὲν ἄρα κυρίως καὶ κατὰ ἀλήθειαν τικτόμενον, πρὸ τοῦ οἰκείου τόκου ἐστίν. Ἆρα οὖν καθ' ὑμᾶς εἴ τι τὸ εἶναι ἔχειν ἁπλῶς λέγεται ἔκ τινος, τοῦτο κυρίως μόνον καὶ κατὰ ἀλήθειαν ἐξ αὐτοῦ γεγεννημένον D εἴη, καὶ υἱὸς λέγοιτο; οὐ μὴν καὶ εἴ τι τὸ τοιῶσδε εἶναι ἔκ τινος ἔχει; καὶ πῶς Σὴθ καὶ οἱ ἀπ' αὐτοῦ, θείας υἱότητος ἀξιοῦνται καὶ υἱοὶ Θεοῦ λέγονται; πῶς δὲ υἱοὶ Ἰσραὴλ οἱ ἐξ Ἰουδαίων; πῶς δὲ τέκνα Θεοῦ τὰ τέκνα τῆς ἐπαγγελίας τοῦ Θεοῦ; ἀλλὰ καὶ οἱ ἀναγεγεννημένοι ἐκ σπορᾶς ἀφθάρτου διὰ λόγου ζῶντος Θεοῦ καὶ μένοντος; πῶς δὲ υἱοὶ τοῦ νυμφῶνος οἱ ἀπόστολοι; πῶς δὲ Ὀνήσιμος υἱὸς Παύλου ὃν ἐγέννησε τοῖς δεσμοῖς αὐτοῦ; φύσει δὲ τέκνα ὀργῆς καὶ υἱοὺς ἀνομίας, ἢ πάλιν υἱοὺς φωτὸς καὶ ζωῆς καὶ τὰ τοιαῦτα προσαγορεύεσθαι ἐν τῇ ἁγίᾳ Γραφῇ, τίς λόγος παρεσκεύασεν; ἢ πῶς τὴν συμβεβηκυῖαν αὐτοῖς τοιάνδε κατάπτωσιν ἢ ἀνάστασιν οὔτε σὺν τῷ εἶναι, οὔτε ἐκ τοῦ τὸ εἶναι δόντος, ὅμως κυρίως γέννησιν καὶ

A λέγεται ἴσμεν; Εἰ γὰρ μόνον ἐκ τῆς τοῦ εἶναι αἰτίας τὴν υἱότητα τούτων γνωρίζετε εἶναι, ἔσται ὑμᾶς ἐξ ἀνάγκης δοξάζειν, ὡς Ἰούδας τε καὶ ὁ διάβολος ἐπεὶ υἱοὶ λέγονται ἀπωλείας, παρ' αὐτῆς καὶ τὸ εἶναι ἔλαβον· εἰ δὲ καὶ ὑμεῖς φατε, ὅτι τὸ μὲν εἶναι ὁ Ἰούδας καὶ οἱ λοιποὶ οἱ κατ' αὐτὸν ἐκ Θεοῦ ἔσχον· τὸ δὲ τοιῶσδε εἶναι, οὐκ ἔσχον ἐκ Θεοῦ· καθὸ λέγονταί τινες υἱοὶ σκότους καὶ κατάρας τῇ ὁμωνύμῳ υἱότητι, καθ' ἑκάτερα διεγνώκατε λεγομένους υἱούς· ἐν δὲ τοῖς ὁμωνύμοις, οὐδὲν μᾶλλον τοῦ ἑτέρου κυρίως ὠνόμασται· οἵ τε γὰρ πάλιν ἐκ μετανοίας πρὸς ἀρετὴν καὶ διὰ πίστεως τῷ Πνεύματι ἀναγεννηθέντες, υἱοὶ Νυμφῶνος καὶ τέκνα βασιλείας καὶ τὰ τοιαῦτα καὶ ὑμῖν ὡμολόγηνται.

B Καὶ πῶς οὐ δεδώκατε τὸ ζητούμενον ἡμῖν; ἰδοὺ γὰρ τὸ τοιῶσδε εἶναι, καὶ τοιουδέ τινος μετειληφέναι τινὰ, πολλάκις μὲν ἐνουσίου, πολλάκις δὲ καὶ ἀνυποστάτου τινὸς, υἱὸν τοῦδε ἀληθῶς εἶναι καὶ λέγεσθαι αὐτὸν ποιεῖ· ἐν γὰρ τοῖς ὁμωνύμοις, ὡς εἴρηται, οὐκ ἔστιν ἕτερον ἑτέρου μᾶλλον ἢ κυριώτερον λεγόμενον· εἰ γὰρ καὶ τὸ ζῶον τοῦ γεγραμμένου μᾶλλον δοκεῖ, καὶ κυριωτέρως τόδε τι λέγεσθαι, ἀλλ' οὐχ ὡς ὁμώνυμον τότε, ἀλλ' ὡς οὐ κυρίως ὠνομασμένου τὸ κυρίως ὀνομασθέν· δύο γοῦν κυρίως ὠνομασμένων ἡ ὁμωνυμία οὐχ ἕξει ποτὲ τὸ μᾶλλον καὶ ἧττον· οὐ γὰρ μᾶλλον κύων ὁ χερσαῖος ἢ ὁ θαλάττιος, ἧττον ζῶον ἢ κύων. Τὸ γεγραμμένον οὖν, ὡς αἴτιον ἢ παράδειγμα ἤ τι τοιοῦτον τὸ μᾶλλον ἔχει· ἄλλως τε εἰ τοῦ εἶναι αὐτοῦ αἴτιον εἶναι δεῖ τὸν ἀληθῶς C λεγόμενον τεκεῖν πάντα, οὐδεὶς ἄνθρωπος ἀνθρώπου πατήρ· οὐδὲ ἕτερον ζῶον ζῶον ἕτερον τέτοκε· ψυχὴν γὰρ νοητικὴν ἢ αἰσθητικὴν, οὐκ ἔχει τὰ σπέρματα· ἀλλὰ μετὰ τὴν μόρφωσιν καὶ τελείαν διοργάνωσιν τοῦ ἀψύχου ἐμβρύου, ψυχοῦται τὸ ζῶον (6) καὶ μάλιστα ἄνθρωπος ὑπὸ τοῦ πλάττοντος πνεῦμα ἀνθρώπου ἐν αὐτῷ Θεοῦ· διὸ καὶ φονέα ζώου, τὴν μετὰ τὴν διαμόρφωσιν αἴτιον τῆς ἐξαμβλώσεως, κρίνει ὁ θεῖος νόμος· ἄρα οὖν σαρκοτόκοι μόνον καὶ μάλιστα οἱ πατέρες· οὐδεὶς δὲ ἀνθρωποτόκος καθ' ὑμᾶς ἐστιν· οὕτω δὲ ἐπεὶ ῥεῖ καθημέραν καὶ ἀμείβεται τὸ σῶμα, καὶ οὐδὲ ἐν τῷ σώματι ἔσται τις μοῖρα τῷ χρόνῳ τῶν γονέων, οὐδὲ τῆς σαρκὸς εἶεν πατέρες· ἀλλὰ καὶ γέρων ὁ Ἰσαὰκ πάντη D ἐξέστη τοῦ εἶναι υἱὸς Ἀβραὰμ καὶ οἱ λοιποί· καὶ πῶς εἴρηται ὑπὸ τοῦ Θεοῦ· «Σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου, τραφεὶς ἐν γήρει καλῷ;» Ἀλλὰ ταῦτα πρόδηλα ἄτοπα· καὶ γὰρ αὐτὸς ὁ Ἀπόστολος λέγων τοὺς μὲν εἶναι τῆς σαρκὸς πατέρας, οὓς καὶ ἔσχομεν παιδευτάς· καὶ τὸν Θεὸν λέγων Πατέρα τῶν πνευμάτων εἶναι μόνον, αὐτός φησι μητέρα Τιμοθέου Εὐνίκην, καὶ οὐ τῆς σαρκὸς Τιμοθέου μόνον· δῆλον οὖν ὡς ἀληθῶς, εἰ καὶ μὴ τὸ εἶναι αὐτὸ ἁπλῶς, ἀλλὰ τὸ σαρκωθῆναι καὶ σεσαρκωμένος εἶναι ὁ Λόγος ἔσχεν ἐκ τῆς ἁγίας Παρθένου, Υἱός τε ἀληθῶς αὐτῆς ἐστι· καὶ νεώτερος ταύτης ἐν τῷ τοιῶσδε εἶναι, ἤγουν σύνθετος ἐξ ἁπλοῦ, καὶ σεσωματωμένος ἐξ ἀσωμάτου φανήσεται.

x Gen. xv, 15.

cundum quod dicitur, scimus? Si enim tantummodo ex causa suæ exsistentiæ habere istos suam filiationem ducitis, necessario vobis sentiendum erit et Judam et diabolum, quia dicuntur filii perditionis, ab ipsa quoque exsistentiam accepisse; dum e contra et vos dicitis esse quidem suum Judam et alios secundum eum, a Deo habere; esse autem tales hoc ex Deo non habere. In quantum dicuntur quidam filii tenebrarum et maledictionis homonyma filiatione, hos secundum utrumque dici filios agnovistis. In homonymis autem neutrum altero specialius denominatur. Qui enim iterum per pœnitentiam ad virtutem, et per fidem in Spiritum sanctum regenerati sunt, filii Sponsi, et filii regni, et alia similia, et a vobis ipsis agniti sunt.

Et quomodo non concessistis quod nos postulamus? Ecce enim quemdam esse tali modo, et participare ex aliquo tali sæpe quidem substantiali, sæpe vero non substantiali, facit ut vere filius hujus sit et dicatur. Nam in homonymis, ut jam dictum est, neutrum est altero magis vel specialius denominatum. Si enim animal videtur aliquid dici magis aut specialius quam est inscriptum, jam non est tanquam homonymum, sed tanquam proprie denominatum, altero non proprie denominato. Duorum igitur proprie nominatorum homonymia nunquam habebit plus aut minus. Non enim canis terrestris magis est canis quam canis marinus, neque minus animal quam canis. Igitur denominatum tanquam causa aut exemplar aut aliquid simile. Præsertim si ejus causam exsistentiæ oportet esse eum qui dicitur genuisse omnia, nullus homo est hominis pater, neque ullum animal alterum animal genuit: animam enim sive intellectualem sive sensitivam semina non habent. Sed post formationem et perfectam membrorum dispositionem inanimati fetus, animatur animal et præsertim homo a factore suo, Deo inspirante in eo spiritum hominis. Ideo et tanquam animalis interfectorem condemnat lex divina eum qui post formationem procurat abortum. Igitur carnis genitores et præsertim sunt patres: nullus autem, juxta vos, hominis genitor est. Ita vero quia fluit in dies et mutatur corpus, et nulla aliqua sors parentum in tempore, non essent etiam carnis parentes: sed et senex Isaac factus est exsors filiationis Abrahæ: et ita alii. Quomodo ergo dictum est a Deo: «Tu autem ibis ad patres tuos, sepultus in senectute bona [x]?» Sed patet hæc esse absurda. Ipse enim Apostolus dicens eos quidem esse carnis patres, quos habuimus magistros et Deum esse spirituum unum patrem, ipse vocat Eunicem matrem Timothei, et non tantum matrem carnis Timothei. Patet ergo Verbum, licet acceperit a sancta Virgine non quidem esse simpliciter, sed esse incarnatum, esse tamen vere ejus filium; et apparebit ipsa junior in quantum est tale, compositum scilicet ex simplici, et corporatum ex incorporeo.

CAP. XVII.

A Quod proprie et secundum veritatem gignitur, si in tempore gignitur, potentialiter tantum est in gignente ante suam conceptionem, sicut Levi in renibus Abraham. Quod autem est potentialiter tantum in gignente, principium exsistendi accipit in gignente. Igitur quod proprie et secundum veritatem gignitur, si in tempore gignitur, principium exsistendi accipit in gignente. — Ne sæpius in iisdem rebus elucidandis nugemur, omni vestro proposito hujus epicherematis consentiamus, quidquid sit de eo; cum dicere possimus proprie et in tempore genitum esse a Paulo Timotheum, nec tamen illum fuisse in eo potentialiter, dum Stephanus lapidabatur. Non enim necessarium est præexsistere secundum
B omnem generationem in gignentibus ea quæ quomodocunque gignuntur. Illud autem vobis dicemus, ex naturis scilicet Domini nostri Jesu Christi, alteram, id est naturam Verbi, principium non quidem exsistentiæ sed coexsistentiæ accepisse in sancta Virgine; alteram vero, nempe naturam carnis, principium tum exsistentiæ tum coexsistentiæ in ea accepisse. Secundum alterutram igitur rationem utriusque exsistentiæ geniti compositi Christi, vera Genitrix probatur secundum tempus ea quæ genuit utriusque connexionem. Ex eo enim quod, tum ad esse, tum ad esse taliter præcedant, vere genitores vocantur parentes. Ibi autem cum non sit naturalis partus, non utendum verbo *potentialiter* dixerit quispiam cum agitur de hoc partu, o phy-
C sici. Jam non enim illud esset operatio mirificæ et stupendæ virtutis. Si autem non probatur miraculum ultra vires naturales, neque Deus censebitur is qui secundum vires naturales genitus fuerit.

CAP. XVIII.

Si proprie et secundum veritatem genitus est Deus Verbum ex muliere, vel genitus temporalis est, vel mulier est sine tempore. Porro neque Deus est temporalis, neque mulier est sine tempore; non igitur proprie et secundum veritatem genitus est Deus ex muliere. — At non in esse, sed in esse taliter jam dictum est eum esse natum ex muliere et sub tempore, o nugacissimi.

CAP. XIX.

D Si secundum veritatem Filius est Virginis Deus Verbum, erit secundum substantiam id quod est ipsa gignens. Porro ipsa est animal rationale mortale; ergo et Deus, secundum vos, est animal rationale mortale. — At filius verus intelligitur in ratione generationis qua fit filius, et omnis qui gignitur secundum quamcunque talem generationem. Non omnis autem generatio, etsi veros demonstrat filios, eos qui geniti sunt, similes quoque eos secundum omnia pariter demonstrat gignentibus, ut et vos dixistis etiam ab exordio. Si autem hoc ipsum, nempe similitudo, facit veram filiationem, cum cujusdam vultus in imagine magis ipsi similis sit quam vultus proprii filii ipsi comparatus, imago

ΚΕΦΑΛ. ΙΖ'.

Τὸ κυρίως καὶ κατὰ ἀλήθειαν τικτόμενον, εἰ ἐν χρόνῳ τίκτεται, δυνάμει μόνον ἐστὶν ἐν τῷ τίκτοντι πρὸ τῆς ἰδίας συλλήψεως, ὡς ἐν τῇ τοῦ Ἀβραὰμ ὀσφύϊ ὁ Λευΐ· τὸ δὲ δυνάμει μόνον ἐν τῷ τίκτοντι ὂν, ἀρχὴν λαμβάνει τοῦ εἶναι ἐν τῷ τίκτοντι· τὸ κυρίως ἄρα καὶ κατὰ ἀλήθειαν τικτόμενον, εἰ ἐν χρόνῳ τίκτεται, ἀρχὴν τοῦ εἶναι λαμβάνει ἐν τῷ τίκτοντι. Ἵνα μὴ πολλάκις περὶ τῶν αὐτῶν ὑμῖν διασαφοῦντες συλληρωδῶμεν, παντὶ ὑμῶν τῷ σκοπῷ τοῦ νῦν ἐπιχειρήματος συγχωρήσωμεν, ὡς ἂν ἔχοι· δυνάμενοι λέγειν, ὡς καὶ κυρίως καὶ ἐν χρόνῳ ἐγεννήθη Τιμόθεος Παύλῳ· καὶ ὅμως οὐκ ἦν δυνάμει ἐν αὐτῷ, ὅτε Στέφανος ἐλιθάζετο· οὐ γὰρ ἀνάγκη προεῖναι κατὰ πᾶσαν γέννησιν ἐν τοῖς τίκτουσι τὰ ὁπωσοῦν τικτόμενα· τοῦτο δὲ ὑμῖν ἐροῦμεν, ὅτι τοῦ Δεσπότου ὑμῶν Χριστοῦ, τὴν μὲν τῶν αὐτοῦ φύσεων ἀρχὴν οὐ τῆς οὐσιώσεως ἀλλὰ τῆς συνουσιώσεως μόνον ἐν τῇ ἁγίᾳ Παρθένῳ λαβεῖν, τουτέστι τὴν τοῦ Λόγου· τὴν δὲ ἑτέραν τῶν ἐν αὐτῷ φύσεων, ἤγουν τὴν τῆς σαρκὸς, ἀρχὴν τῆς τε οὐσιώσεως καὶ συνουσιώσεως ἐν αὐτῇ λαβεῖν. Κατὰ θάτερον οὖν λόγον ἑκατέρας οὐσίας τοῦ τεχθέντος συνθέτου Χριστοῦ, ἀληθὴς γενέτειρα ἡ τεκοῦσα τὸ συναμφότερον δείκνυται κατὰ χρόνον· ἔκ τε γὰρ τοῦ εἰς τὸ εἶναι καὶ τοῦ εἰς τὸ τοιῶσδε εἶναι ἐγχρόνως προάγειν, γεννήτορες ἀληθῶς οἱ τεκόντες ὀνομάζονται· ὅπουγε ἐνθάδε οὐ φυσικοῦ ὄντος τοῦ τόκου, οὐδὲ προαποκεῖσθαι τὸ *δυνάμει* φῇ τις ἐπὶ τοῦδε τοῦ τόκου, φυσικώτατοι· οὐ γὰρ ἂν θαυματουργίας εἴη παραδόξου ἔτι ἐνέργεια· εἰ δὲ μὴ θαῦμα ὑπὲρ φυσικὴν δύναμιν τῷδε μαρτυρεῖ, οὐδὲ Θεὸς ὁ τεχθεὶς κατὰ τὰς φυσικὰς δυνάμεις νοηθήσεται.

ΚΕΦΑΛ. ΙΗ'.

Εἰ κυρίως καὶ κατὰ ἀλήθειαν ἐτέχθη ὁ Θεὸς Λόγος ἐκ γυναικὸς, ἢ ὁ τεχθεὶς ὑπὸ χρόνον· ἢ ἡ γυνὴ ὑπὲρ χρόνον· ἀλλὰ μὴν οὔτε Θεὸς ὑπὸ χρόνον οὔτε γυνὴ ὑπὲρ χρόνον· οὐκ ἄρα κυρίως καὶ κατὰ ἀλήθειαν ἐτέχθη ὁ Θεὸς ἐκ γυναικός. Ἀλλ' οὐκ εἰς τὸ εἶναι, ἀλλ' εἰς τὸ τοιῶσδε εἶναι ἐκ γυναικός τε καὶ ὑπὸ χρόνον τεχθῆναι εἴρηται, ληρωδέστατοι.

ΚΕΦΑΛ. ΙΘ'.

Εἰ κατὰ ἀλήθειαν Υἱὸς τῆς Παρθένου ὁ Θεὸς Λόγος, τοῦτο ἔσται κατ' οὐσίαν, ὅπερ ἐστὶν ἡ τεκοῦσα· αὕτη δέ ἐστι ζῶον λογικὸν θνητόν· καὶ ὁ Θεὸς ἄρα καθ' ὑμᾶς, ζῶον λογικὸν θνητὸν ἔσται. Ἀλλ' Υἱὸς ἀληθινὸς ἐν τῷ Λόγῳ ἑκάστης νοεῖται γεννήσεως υἱοποιοῦ· καὶ πᾶς ὁ κατὰ τὴν οἱανοῦν γέννησιν τοιάνδε γεννώμενος· οὐ πᾶσα δὲ γέννησις, εἰ καὶ ἀληθεῖς δείκνυσι τοὺς γεννηθέντας υἱοὺς, ἤδη καὶ ὁμοίους κατὰ πάντα ὡσαύτως δείκνυσι τοῖς γεννῶσιν, ὡς καὶ ὑμεῖς εἰρήκατε ἐκ προοιμίων· εἰ δὲ τοῦτο αὐτὸ, ἤγουν ἡ ὁμοίωσις ποιεῖ τὴν ἀληθῆ υἱότητα, ἐπεὶ μᾶλλον ἔοικε τὸ ἐν εἰκόνι πρόσωπον τοῦδε, ἤπερ τοῦ ἰδίου τέκνου ἡ ὄψις πρὸς αὐτὸν κρινομένη, μᾶλλον εἴη Υἱὸς τοῦδε ἡ εἰκὼν, ἤπερ τὸ ἐκ τῆς οὐσίας

αὐτοῦ τέκνον· καὶ πῶς πρὸ μικροῦ τὴν οὐσίαν καὶ A οὐ τὴν ὁμοίωσιν αἰτίαν ἐλέγετε; Ὄντως οὖν εἰ μὲν κατὰ πᾶν τὸ εἶναι καὶ ἐκ παντὸς τοῦ εἶναι ἡ ἀληθής ἐστι γέννησίς τινος, ἀναγκαίως καὶ ἡ ὁμοίωσις ὅλου τοῦ γεννήσαντος πρὸς ὅλον τὸ γέννημα ἔσται· εἰ δὲ κατὰ τὸ τοιῶσδε εἶναι μόνον ἔν τινι μέρει, ἐκ μέρους δὲ καὶ τοῦ εἶναι τοῦδέ τινος συνθέτου ἡ γέννησίς ἐστιν, οὐχὶ κατὰ πᾶν τὸ εἶναι ἔσται ἡ ὁμοίωσις πρὸς τὸ γεννῆσαν τοῦ γεννηθέντος· ὅμως δὲ ἐκ μέρους τε τοῦ κατὰ τὸ εἶναι, καὶ ἐκ μέρους τοῦ κατὰ τὸ τοιῶσδε εἶναι τοῦ ἑνὸς αὐτοῦ προσώπου γεννήτωρ εἴη ὄντως ὁ γεννήσας· ὥσπερ καὶ ἐπὶ ἀνθρώπου ὁρῶμεν, τοῦ μὲν σώματος τὴν γέννησιν εἰς τὸ εἶναι ἐκ τῶν γονέων ἔχοντος, τῆς δὲ ψυχῆς οὐκ εἰς τὸ εἶναι ἁπλῶς (τοῦτο γὰρ ἐκ Θεοῦ ἔχει ὡς καὶ ὁ πρωτόπλαστος Ἀδάμ), ἀλλ' εἰς τὸ σὺν τῷ διαπλασθέντι B αὐτῇ εἶναι σώματι, οὗ καὶ χωρὶς δύναται εἶναι· λαμβάνει γὰρ τοῦτο παρὰ τῶν, ὡς εἰπεῖν, τοῦ μὲν σώματος αἰτίων, αὐτῆς δὲ τῆς ψυχῆς νυμφοστόλων μόνον· καὶ ὅμως ἄμφω τῶν φύσεων ὡς ἑνὸς ἀνθρώπου κυρίως τε καὶ κατὰ ἀλήθειαν οἱ αὐτοὶ λέγονται τοκέες. Τί οὖν ὑμᾶς τὰ ἐξ ἀπιστίας φιμοῖ βομβήματα, Θεὸν μὴ λέγειν ὀρθῶς τὸν τεχθέντα σεσαρκωμένον Λόγον; ἡνίκα καὶ ψυχὴν τὴν σαρκωθεῖσαν ἀνενδοιάστως ὁμολογεῖτε γεγεννῆσθαι ἐκ τῶν τοῦ εἶναι τῆς σαρκὸς αἰτίων καὶ σὺν τῷ σώματι τοὺς αὐτοὺς καὶ αὐτῆς τοκέας ὀνομάζετε;

cujusdam magis illius esset filius quam proprius ex ejus substantia natus. Et quomodo paulo ante substantiam et non similitudinem causam dicebatis? Reipsa igitur, si secundum totum esse, et ex toto esse, illa est vera generatio cujusdam, necessario erit et similitudo totius gignentis ad totum genitum. Si autem secundum tali modo esse tantum in quadam parte, et ex parte quoque est generatio cujusdam compositi, ut talis, non secundum totum esse erit similitudo geniti ad gignentem; et parte quidem secundum esse, parte autem secundum tali modo esse, erit ejusdem unius personæ genitor reipsa qui illam genuit: sicut in homine videmus; qui nempe habet a parentibus generationem corporis, quantum ad esse, generationem autem animæ non quantum ad esse simpliciter (hoc enim habet a Deo, ut protoplastus Adam), sed quantum ad esse conjunctam cum corpore simul cum ipsa ficto, sine quo ipsa esse potest: hoc enim accipit ab iis, ut ita dicam, corporis quidem causæ, animæ vero paranymphi tantum. Et tamen ambarum naturarum, ut unius hominis, proprie et secundum veritatem iidem dicuntur parentes. Quid igitur vestrum ex incredulitate bombum compescet, qui non vultis dicere vere Deum Verbum quod in carne genitum est, cum ipsam animam incarnatam libenter confiteamini generari ab his qui sunt exsistentiæ carnis causæ, et qui corporis eosdem et animæ parentes vocatis?

ΚΕΦΑΛ. Κ'.

C Ἀλλά, φησίν, οὐ ψυχοτόκον, ἀλλ' ἀνθρωποτόκον φαμὲν τὴν γεννῶσαν ἄνθρωπον. Τί οὖν μὴ καὶ ὑμεῖς Χριστοτόκον μᾶλλον λέγετε; Ἀλλ', ὦ οὗτοι, τὸ μὲν *ἄνθρωπος*, φύσεως ὄνομα· τὸ δὲ *Χριστός*, οὐ φύσεως, ἀλλὰ προσώπου· πῶς οὖν τὸ τῆς φύσεως ὄνομα τοῦ τεχθέντος, ἐκ τοῦ προσωπικοῦ σημάνωμεν;

CAP. XX.

At, inquit, non animæ parentem, sed hominis parentem dicimus eam quæ genuit hominem. Quid igitur non et vos Christi parentem potius dicitis? — At, o vos, homo est nomen naturæ, dum Christus non naturæ sed personæ. Quomodo igitur nomen naturæ geniti ex nomine personæ indicaremus?

ΚΕΦΑΛ. ΚΑ'.

Ἀλλὰ διὰ τί οὖν, φησί, μὴ ἀνθρωποτόκος ὑμῖν, ἥπερ Θεοτόκος δοκεῖ; Ῥητέον οὖν ὡς εἰ μὲν τῶν δύο Χριστοῦ φύσεων ἡ ἀνθρωπίνη τῆς θείας ἐπεκράτησε πρὸ θανάτου τε καὶ μετὰ θάνατον, ἀνάγκης οὔσης ἐκ μιᾶς μόνον τῶν φύσεων αὐτοῦ ὀνομάζεσθαι τὸν τόκον, καλῶς ἀνθρωποτόκον φατέ. Εἰ δὲ D ἀεὶ τὸ τῆς θείας φύσεως ἄτρεπτον κατεκράτησε τοῦ τῆς ἀνθρωπίνης φύσεως τρεπτοῦ, καὶ πρὸς τὰ κρείττονα μεταβαλὸν συνεξεθέωσεν αὐτὴν ἑαυτῷ, ὥσπερ καὶ ὁ σίδηρος πυροῦσθαι λέγεται, καὶ οὐχὶ τὸ πῦρ σιδηροῦσθαι, πῶς οὐκ ἐκ τῆς μενούσης ὡσαύτως ἐν τοῖς ἰδίοις λόγοις ἀεὶ φύσεως, καὶ τὴν ἑτέραν εἰς ἑαυτὴν μεταποιούσης, ἀλλ' ἐκ τῆς μεταποιουμένης ὀνομαστέον τὸ τεχθὲν, ἢ τὸν τόκον, ἢ τὴν τεκοῦσαν, ὦ οὗτοι;

CAP. XXI.

Sed ut quid ergo, inquit, non hominis parens ea quæ vobis Deipara videtur? — Dicendum igitur quod si ex duabus Christi naturis humana divinæ præcelluit, tum ante mortem tum post mortem, cum necesse sit ex una tantum naturarum ejus denominari ipsum partum, recte hominis parentem dicitis. Si autem semper divinæ naturæ immutabilitas præcelluit humanæ naturæ mutabilitati, et ad meliora transferens in seipsa eam deificavit, sicut ferrum igneum et non ignem ferreum fieri dicitur, quomodo non ex permanente in propriis rationibus Dei natura, et alteram in seipsam transferente, sed ex natura translata, denominandum erit sive genitum, sive partus, sive gignens, o vos?

ΚΕΦΑΛ. ΚΒ'.

Εἰ ὁ Θεὸς Λόγος ἐτέχθη ἐκ τῆς Παρθένου, ἐν χρόνῳ ἐτέχθη· πᾶν δὲ τὸ ἐν χρόνῳ τικτόμενον χρόνου πρὸς τελείωσιν δεῖται· εἰ ὁ Θεὸς ἄρα ἐκ τῆς Παρθένου ἐτέχθη, χρόνου πρὸς τελείωσιν ἐδεήθη.

CAP. XXII.

Si Deus Verbum genitus est ex Virgine, in tempore genitus est; porro quidquid genitum est in tempore, et tempore indiget ad perfectionem. Ergo si Deus ex Virgine genitus est, tempore indiget ad

perfectionem. — At, o sapientes, neque anima simpliciter tempore indiget ad perfectionem, sed ejus tantum naturale instrumentum et habitatio substantialis. Unde et post juventutem animalis, et excedente tempore, postquam instrumentum minus aptum ipsi factum fuerit ad operationem (quæ enim tempore floruerunt, tempore quoque marcescunt), contra id quod dicitis, tempore remittitur ejus virtus et perfectio; nec ipsa videt aut audit centenaria perinde ac tricenaria. Et ita evidenter demonstrat non a seipsa sed ab instrumento pendere quod sit apta aut inutilis ad perfectionem; aut si ab ipsa, eo tamen mediante. Quomodo igitur vos omne quidquid in tempore gignitur, tempore quoque indigere ad propriam perfectionem tam inconsiderate affirmatis, nec animadvertitis, sæpe quidem indigere, non autem primario, sed aliqua ex rebus sibi utpote in tempore genitæ, accommodatis et secundum naturam coexsistentibus? Si enim nec ipsa anima hoc vestrum admittit ratiocinium, quanto magis certe Deus, qui non incepit exsistere, sed tantum tali modo in tempore exsistere admittit! Hæc enim vestra loquacitate nobis effutientes nihil agetis; nec sana mente ducimini.

CAP. XXIII.

Si ubi Deus Verbum, ibi Pater et Spiritus sanctus, propter substantiæ individuitatem (erat autem in ventre Virginis, juxta vos, Deus Verbum secundum substantiam), ergo erat Trinitas in utero Virginis. — O omnis impietatis semina accommodantes, ut vestram blasphemiam nutriatis, quid dicitis? Oportet enim vos, cum perversi sitis, pervertere, secundum Psalmistam y. Quia Filius est in sinu Patris, hinc habet Patris in quo est, inde est ipsemet, secundum vos. Sed et aliter, quia ubi Pater, ibi Filius et Spiritus sanctus est, in sinu autem Patris est Filius, igitur et in proprio sinu est Filius, simul cum Patre et Spiritu sancto. Et cum Spiritus sanctus tanquam columba devolavit in Dominum baptizatum in Jordane, igitur et Pater devolavit. Si autem hoc transferre ab una persona in alias consubstantiales hypostases non patitur pietatis sermo, vel idem sentire de sancto Verbi partu cogemini, vel sorte præsentis vestri erroris, rationem exhibete, cum inter hæc agnoscenda sit similitudo: et ita satis erit ut vobis os de hoc compescatur. Oportet enim vos perverse agentes, et aliarum hæresum inventa prætendentes, exque vobis propria facientes (aspis a vipera venenum mutuatur), quasi non sufficerent vobis vestra sophismata ad completam malam doctrinam, errore errorem confirmare, secundum Domini methodum ad Pharisæorum malignam interrogationem respondentis per reciprocam interrogationem ad ipsos de baptismo Joannis.

A 'Αλλ', ὦ σοφοὶ, οὐδὲ ψυχὴ ἁπλῶς χρόνου δεῖται πρὸς τελείωσιν, ἀλλὰ τὸ ταύτης φυσικὸν ὄργανον καὶ οἰκητήριον οὐσιῶδες. Ὅθεν καὶ μετὰ τὴν νεότητα τοῦ ζώου, καὶ πλεονάσαντος τοῦ χρόνου· ἐπεὶ τὸ ὄργανον ἀνεπιτηδειότερον πάλιν αὐτῇ καθίσταται πρὸς τὴν ὑπουργίαν (τὰ γὰρ χρόνῳ ἀκμάσαντα καὶ χρόνῳ παρακμάζει)· τοὐναντίον ἢ φατε ἐν χρόνῳ ὑφίησι πάλιν τῶν ἑαυτῆς ἐνεργειῶν καὶ τελειώσεων· μηδὲ ὁρῶσα ὡσαύτως ἢ ἀκούουσα, ἐν ἑκατονταετίᾳ τυχὸν, ὡς ἐν τῇ τριακονταετίᾳ· καὶ δείκνυσι σαφῶς, ὡς οὐχ ἑαυτῆς, ἀλλὰ τοῦ ὀργάνου ἦν τὸ ἀπὸ τοῦ χρόνου χρήσιμον καὶ ἀχρήσιμον πρὸς τελείωσιν· λοιπὸν δὲ καὶ αὐτῆς, διὰ μέσου μέντοι τούτου. Πῶς οὖν ὑμεῖς πᾶν τὸ ἐν χρόνῳ τικτόμενον, χρόνου δεῖσθαι πρὸς τελείωσιν οἰκείαν, οὕτως ἀπερισκέπτως B φατέ; καὶ οὐχ ὅτι πολλάκις οὐκ αὐτὸ πρώτως, ἀλλά τι τῶν οἰκειωθέντων αὐτῷ τῷ ἐγχρόνως τικτομένῳ, καὶ κατὰ φύσιν συνουσιωμένων τοῦδε δεῖται, καθορᾶτε; Εἰ γὰρ μηδὲ ψυχὴ τοῦτον ὑμῶν καταδέχεται τὸν λόγον, πόσῳ γε μᾶλλον Θεὸς, ὃς μηδὲ ἤρξατο τοῦ εἶναι, ἀλλὰ μόνον τὸ τοιῶσδε εἶναι χρονικῶς κατεδέξατο! Ταῦτα οὖν ἐξ ἀθυροστομίας ἡμῖν βαττολογοῦντες, ἐπιτριβήσεσθε, καὶ οὐκ ἀπὸ νηφούσης διανοίας ὑποτίθεσθε.

ΚΕΦΑΛ. ΚΓ'.

Εἰ ἔνθα ὁ Θεὸς Λόγος, ἐκεῖ ὁ Πατὴρ, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, διὰ τὸ τῆς οὐσίας ἀδιαίρετον, ἦν δὲ ἐν τῇ γαστρὶ τῆς Παρθένου καθ' ὑμᾶς ὁ Θεὸς Λόγος C κατ' οὐσίαν, ἦν ἄρα ἡ Τριὰς ἐν τῇ γαστρὶ τῆς Παρθένου. Οἱ πάσης ἀσεβείας ἐρανιζόμενοι σπέρματα, ἵνα τὴν οἰκείαν βλασφημίαν ὑποτρέφοιτε, τί φατε; Δέον γὰρ ὑμᾶς στρεβλουμένους ἡμῖν διαστρέψαι κατὰ τὸν Ψαλμῳδόν. Ἐπεὶ ὁ Υἱὸς ἐν τῷ κόλπῳ τοῦ Πατρός ἐστι, καὶ τὸ μὲν τοῦ Πατρός ἐστιν ἐν ᾧ ἐστι· τὸ δὲ αὐτός ἐστι καθ' ὑμᾶς, ἀλλὰ καὶ ἑτέρως, ἐπεὶ ὅπου ὁ Πατὴρ, ἐκεῖ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμά ἐστιν, ἐν δὲ τῷ τοῦ Πατρὸς κόλπῳ ὁ Υἱὸς, οὐκοῦν καὶ ἐν τῷ ἰδίῳ κόλπῳ ὁ Υἱὸς ἅμα τῷ Πατρὶ καὶ τῷ Πνεύματι τῷ ἁγίῳ· καὶ ἐπειδὴ τὸ ἅγιον Πνεῦμα ὡς περιστερὰ ἐπέπτη ἐν Ἰορδάνῃ βαπτιζομένου τοῦ Κυρίου, ἄρα καὶ ὁ Πατὴρ ἐφίπτατο. Εἰ δὲ ταῦτα μετάγειν ἐκ τοῦ ἑνὸς προσώπου καὶ ἐπὶ τὰς ἑτέρας ὁμοουσίους ὑποστάσεις, ὁ τῆς εὐσεβείας οὐ βιάζεται D λόγος, ἢ τὸ αὐτὸ νοεῖν ἐπὶ τῆς ἁγίας τοῦ Λόγου κυήσεως εἰσπραχθήσεσθε, ἢ ἀποκληρώσει τὸν τῆς παρούσης ὑμῶν ἀπορίας λόγον προάγετε, τῆς ὁμοιοτροπίας συνωμολογημένης καὶ ἐπὶ τῶνδε· καὶ ἀρκέσει ὑμῖν οὕτως καὶ περὶ τοῦδε ἐπιστομίζεσθαι. Δέον γὰρ ὑμᾶς κακουργοῦντας, καὶ τὰ τῶν ἄλλων αἱρέσεων προβαλλομένους εὑρέματα, καὶ τοῦτο δὴ τὸ τοῦ λόγου ποιοῦντας, Ἀσπὶς παρ' ἐχίδνης φάρμακον δανείζεται· ὡς τῶν ὑμετέρων οὐκ ἀρκούντων ὑμῖν εἰς παντελῆ κακοδοξίαν σοφισμάτων, ἀπόρῳ τὴν ἀπορίαν ἐλέγχεσθαι· κατὰ τὴν γενομένην Κυριακὴν μέθοδον πρὸς τὴν τῶν Φαρισαίων πανοῦργον ἐρώτησιν, διὰ τῆς περὶ τοῦ βαπτίσματος Ἰωάννου πρὸς αὐτοὺς ἀντεπερωτήσεως.

y Psal. xvii, 27.

ΚΕΦΑΛ. ΚΔ'.

Εἰ ἐν τῇ γαστρὶ τῆς Παρθένου ἡ Τριὰς κατ' οὐσίαν, ἐγεννήθη δὲ ὁ Θεὸς Λόγος κατ' οὐσίαν ἐκ τῆς Παρθένου, ἡ Τριὰς ἄρα ἐγεννήθη ἐκ τῆς Παρθένου. Ἐπεὶ οὖν ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς γεγέννηται· ἀδιαίρετος δὲ τῆς ἁγίας Τριάδος ἡ οὐσία, ἄρα καὶ ὁ Πατὴρ αὐτὸς καὶ τὸ ἅγιον Πνεῦμα, γεγέννηνται καθ' ὑμᾶς· ἔτι ἐπεὶ ὁ Πατὴρ οὐ γεγέννηται ἔκ τινος, οὐδὲ ἐκπεπόρευται, οὐδὲ ὁ Υἱὸς οὐδὲ τὸ Πνεῦμα ἄρα καθ' ὑμᾶς ἐκ τοῦ Πατρός εἰσιν· ἀδιαίρετος γὰρ αὐτοῖς ἡ οὐσία· ἐπὶ πλεῖον μὲν οὖν ταῖς ὑμετέραις συμπεριάγεσθαι δυσφημίαις παραιτούμεθα, ἵνα μὴ πρὸς ἔλεγχον ὑμῶν ἀσχολούμενοι, πρὸς ἀθεσμολογίαν ἑαυτοὺς καὶ ἡμεῖς συνεθίζωμεν. Ἀλλ' οὑτωσὶ μὲν πρὸς τὸ παρὸν ἐφεκτέον σχολιευομένους ὑμᾶς· τὸν δὲ περὶ τῶνδε λόγον ὅπως τε λέγεται καὶ ὅπως νοεῖται, τοῖς ἰδίοις ὑποφήταις ἡ ἀλήθεια ἔδειξεν· ἐν οἷς τοῖς κακῶς διαιροῦσι καὶ φαύλως συγχέουσι τὸν τῆς ἁγίας ὑπερουσίου Τριάδος λόγον ἀπελέγχει.

ΚΕΦΑΛ. ΚΕ'.

Πᾶς τόκος ἐγνωσμένος τῇ θείᾳ Γραφῇ ἐκ τῶν πάντῃ ἀνομοίων ἀνόμοια τίκτων, ἐπαίνου τὸ τίκτον ἢ ψόγου δείκνυσιν ἄξιον· ἐπαίνου μὲν, ὡς, « Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν καὶ ἐτέκομεν· » ψόγου δὲ, ὡς τὸ, « Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν. » Πᾶν δὲ τὸ ἐπαινούμενον ἢ ψεγόμενον ἐν τῷ τίκτειν, ἐκ τῆς προαιρέσεως καὶ οὐχ ἐκ τῆς οὐσίας τὸ τικτόμενον τίκτει· πᾶς ἄρα τόκος γινωσκόμενος τῇ θείᾳ Γραφῇ ἐκ τῶν πάντῃ ἀνομοίων ἀνόμοια τίκτων, ἐκ τῆς προαιρέσεως καὶ οὐχ ἐκ τῆς οὐσίας τίκτει τὸ τικτόμενον. Ποίαν ἡμῖν ἄρα ἀνομοιότητα ὑποτίθεσθε τὴν κατ' οὐσίαν, ἢ κατά τι συμβεβηκὸς, καὶ πῶς ἔσται ἀληθὲς τὸ εἰρημένον ὑμῖν, ἐξεταστέον. Εἰ μὲν γὰρ κατὰ τὴν οὐσιώδη διαφορὰν ὡς ἐν ποιότητι φυσικῇ φατε, ἰδοὺ ἔκ τε λίθων καὶ σιδήρων καὶ ξύλων πυρεκβόλων πῦρ γεννᾶται, ἐξ ἀνομοίων ὂν ἀνόμοιον κατ' οὐσίαν· καὶ οὔτε ἐπαίνου οὔτε ψόγου δείκνυσιν ἄξιον τὸ τίκτον· ἔκ τε λαχάνων, κάμπαι· καὶ ἐκ μυῶν, εὐλαί· ἀνομοίων ὄντων τῶν τεκόντων κατὰ τὴν οὐσίαν αὐτοῖς· καὶ οὔτε ψεκτὸν οὔτε ἐπαινετόν· ἀλλ' ὅμως τοῖς παραδείγμασιν ὑμῶν ἐπιστήσαντες, μᾶλλον τὴν κατὰ τὴν ὕπαρξιν ἀνομοιότητα λέγεσθαι ὑμῖν νοήσομεν· καὶ τὸ ἀνόμοιον τὸ ἐπαινούμενον ἢ ψεγόμενον, ὡς ἐξ ἀνθρώπου τὴν ἀνομοίαν, ἢ τὸ Πνεῦμα τῆς σωτηρίας τικτόμενον. Ἐπεὶ οὖν τὸ τίκτον ἐπὶ τῶν ἀνομοίων πάντως ἐπαίνου ἢ ψόγου ἀξιοῦτε, κἀντεῦθεν ἐκ προαιρέσεως εἶναι τὸν τόκον συλλογίζεσθε· ἵνα καὶ ἐκ τῆς κατὰ τὸν Δεσπότην ἀνομοιότητος ἐκ προαιρέσεως λέγεσθαι τὴν κατ' αὐτὸν γέννησιν ἐκ τῆς Δεσποίνης συνάγετε τάχα, ματαιολόγοι· πρῶτον μὲν μνήσθητε, ὡς τοὐναντίον καὶ ὁμοίωσιν τῷ Χριστῷ, εἰ καὶ μὴ κατὰ τὸ ὅλον, πρὸς τὴν μητέρα μεμαρτυρήκαμεν· ἀνομία δὲ, οὐδεμίαν ἔχει οὐσιώδη ὁμοίωσιν πρὸς τὸν ἄνομον καθ' ὕπαρξιν· δεύτερον δὲ ὅτι καὶ τὸ ἐκ μέρους ἀνόμοιον πρὸς αὐτὴν, οὐ τοιαύτης ὁρᾶται ἀνομοιότητος οἵαν νῦν ὑμεῖς ἐν παραδείγμασιν ὑπέθε-

CAP. XXIV.

A Si in utero Virginis Trinitas est secundum substantiam, genitus est autem Deus Verbum ex Virgine secundum substantiam; ergo Trinitas genita est ex Virgine.—Igitur, cum Filius ex Patre genitus sit, indivisa est autem sanctæ Trinitatis substantia; ergo, juxta vos, et ipse Pater et Spiritus sanctus geniti sunt; et aliunde, cum Pater a nullo genitus sit nec procedat, juxta vos ergo neque Filius neque Spiritus sanctus a Patre sunt: indivisa est enim illis substantia. Amplius autem vestris vobiscum circumagi blasphemiis renuimus, ne, in vestram confutationem intenti, ad illegitimas voces ipsi nos assuescamus. Sed ad præsens sinamus vos perperam sentire. Quid autem de his di-
B cendum vel sentiendum sit, suis prophetis veritas demonstravit, in quibus male dividentes aut perverse confundentes sanctæ supersubstantialis Trinitatis rationem confutat.

CAP. XXV.

Omnis partus divina Scriptura cognitus, ex omnino dissimilibus dissimilia gignens, laude vel reprehensione dignum gignentem ostendit; laude quidem, ut: « Propter timorem tuum, Domine, in utero habuimus et parturivimus [z]; » reprehensione vero, ut: « Parturiit injustitiam, concepit dolorem et peperit iniquitatem [a]. » Quidquid autem in gignendo laudatur vel reprehenditur, ex voluntate et non ex substantia gignit quod gignit. Omnis
C ergo partus divina Scriptura cognitus, ex omnino dissimilibus dissimilia gignens, ex voluntate et non ex substantia gignit quod gignit. — Quærendum nobis est qualem dissimilitudinem supponatis secundum substantiam aut secundum aliquod accidens, et quomodo verum sit quod dicitis. Si enim secundum substantialem differentiam, quasi in qualitate physica, dicitis, Ecce ex lapidibus et ferro et lignis igniferis ignis generatur, ex dissimilibus sane dissimilis secundum substantiam, et neque laude neque reprehensione dignum ostendit gignentem. Et ex leguminibus campæ, et ex muribus vermes, dissimilibus certe gignentibus secundum substantiam: nec est laudi vel reprehensioni locus. Sed tamen prætermissis vestris
D exemplis, potius dissimilitudinem secundum exsistentiam a vobis dici putabimus, et dissimile laudatum vel vituperatum tanquam ex homine dissimilitudinem, et spiritum salutis genitum. Quia igitur quod gignit de dissimilibus omnino laudis vel reprehensionis dignum judicatis, exinde quoque ex voluntate esse partum infertis; et ex dissimilitudine Domini statim concluditis ex voluntate dici ejus ex Domina generationem, vaniloqui. Primo quidem mementote nos e contra similitudinem, etsi non secundum totum, Christi ad matrem statuisse; dissimilia nullam habent substantialem similitudinem ad dissimile, secundum substantiam:

[z] Isa. XXVI, 18. [a] Psal. VII, 15.

secundo, dissimilitudinem qua ex parte differt a matre non esse talem dissimilitudinem qualem vos nunc in exemplis supponitis, subsistentis scilicet relative ad non subsistentem, sed potius talis substantiæ ad talem substantiam. Ut autem abripiamur vestra ridenda calliditate, si omnia quæ apud divinam Scripturam ex dissimilibus secundum exsistentiam genita sunt laudem aut reprehensionem gignenti conciliare arbitramini. quid dicitis, cum filius doloris Benjamin, filius consolationis Barnabas, et Heli senex annorum dictus sit? Necesse est ergo annos esse genitores Heli, et illos esse laude aut reprehensione dignos; et dolorem quoque et consolationem ita se habere. Si autem quis vana hæc etiam concedat, quomodo sequentia non lacrymans a vobis audiret, cum disceret annos ex voluntate parturire, et dolorem et consolationem secundum voluntatem gignere; et cum a vobis sciret ex re non exsistente prodire exsistentiam Heli, et Barnabæ, et Benjamin, et ex gignentibus secundum voluntatem?

CAP. XXVI.

Si Deus Verbum genitus est ex Virgine, omne autem genitum gignitur vel ex substantia gignentis vel ex voluntate; et quod ex substantia gignitur omnino esse habet a gignente, quod autem ex voluntate, habet a gignente tum esse, tum tali modo esse, dicite unde velitis genitum fuisse Deum, an ex substantia Virginis, an ex voluntate? Utrumcunque enim horum dixeritis, conclusio patet. — Sero tandem et inviti nobiscum agnoscitis partum esse et eum qui producit aliquid ad esse, et eum pariter qui ad taliter esse tantum. Si autem qui est ex substantia, eum solum dicitis esse causam exsistentiæ et non talis exsistentiæ, physicæ nempe differentiæ geniti, cum ex cono pinus generetur, vel ex voluntate et non ex substantia coni ad hanc talem exsistentiam generatur, vel ex ipsa substantia coni generatur, et est simpliciter exsistens, non autem pinus aut aliud quid speciale: nisi et alii genitori secundum voluntatem gignenti subjiciatur in quamdam generationem. Quibus quid stolidius?

CAP. XXVII.

Si genitus est Deus Verbum proprie et secundum veritatem ex Patre illique est similis secundum substantiam; et si idem genitus est ex matre proprie et secundum veritatem, ipsaque est dissimilis secundum substantiam, nihil interest a similibus aut a dissimilibus gigni. Si autem ita est, nec dissimilia a se invicem different secundum substantiam; et admittendum erat Deum Verbum, a Patre genitum secundum veritatem, esse ipsi dissimilem secundum substantiam. Sed hæc omnia impossibilia et eorum suppositione digna. — Turbati sunt, commoti sunt sicut ebrius, et omnis sapientia eorum absorpta est. Jure enim contra vos hæc a nobis canuntur, divina demonstrante virtute et in vos vim

A σθε ὑφεστῶτος πρὸς ἀνυπόστατον, ἀλλὰ μᾶλλον οὐσίας τοιᾶσδε πρὸς τοιάνδε οὐσίαν· ἵνα δὲ καὶ συναπενεχθῶμεν τῷ καταγελάστῳ τῆς ὑμετέρας δεινότητος, εἰ πάντα τὰ ἐν τῇ θείᾳ Γραφῇ ἐξ ἀνομοίων καθ' ὕπαρξιν γεγεννημένα ἔπαινον ἢ ψόγον τῷ τίκτοντι ἐπιφέρειν οἴεσθε, τί φατε, ἐπεὶ υἱὸς ὀδύνης Βενιαμὶν, καὶ υἱὸς παρακλήσεως Βαρνάβας, καὶ Ἠλεὶ πρεσβύτερος ἐτῶν εἴρηται; Ἀνάγκη ἄρα τὰ ἔτη αὐτὰ τὰ τεκόντα εἶναι τὸν Ἠλεὶ, καὶ ταῦτα ἐπαίνου ἢ ψόγου ἀξιωθῆναι· καὶ τὴν ὀδύνην δὲ καὶ τὴν παράκλησιν οὕτως ἔχειν. Εἰ δὲ καὶ ταῦτά τις συγχωρήσοι τὰ μάταια, πῶς τό γε ἑξῆς ἀδακρυτὶ παρ' ὑμῶν ἀκούσεται, ἐκ προαιρέσεως τίκτειν τὰ ἔτη, ἢ τὴν ὀδύνην, ἢ τὴν παράκλησιν κατὰ προαίρεσιν γεννᾶν διδασκόμενος; καὶ ἐξ ἀνυπάρκτου πράγματος προϊοῦ-
B σαν μανθάνων παρ' ὑμῶν τὴν ὕπαρξιν Ἠλεὶ καὶ Βαρνάβα καὶ Βενιαμὶν, καὶ κατὰ προαίρεσιν τικτόντων;

ΚΕΦΑΛ. ΚϚʹ.

Εἰ ὁ Θεὸς Λόγος ἐτέχθη ἐκ τῆς Παρθένου, πᾶν δὲ τὸ τικτόμενον ἢ ἐκ τῆς οὐσίας τίκτεται τοῦ τίκτοντος, ἢ ἐκ τῆς προαιρέσεως· καὶ τὸ ἐκ τῆς οὐσίας τικτόμενον, τὸ εἶναι πάντως ἔχει ἐκ τοῦ τίκτοντος· τὸ δὲ ἐκ τῆς προαιρέσεως, πῇ μὲν τὸ εἶναι ἔχει ἐκ τοῦ τίκτοντος, πῇ δὲ τὸ τοιόνδε εἶναι, εἴπατε πόθεν βούλεσθε τετέχθαι τὸν Θεὸν, ἐκ τῆς οὐσίας τῆς Παρθένου, ἢ ἐκ τῆς προαιρέσεως; ὁπότερον γὰρ
C αὐτῶν εἴπητε, τὸ συναγόμενον δῆλον. Ὀψέ ποτε καὶ ἄκοντες ἡμῖν συνομολογεῖτε τόκον εἶναι, τόν τε εἰς τὸ εἶναι, καὶ ὁμοίως πάλιν τὸν εἰς τὸ τοιῶσδε εἶναι μόνον προαγαγόντα τι· εἰ δὲ τὸν ἐκ τῆς οὐσίας τόκον μόνον τοῦ εἶναι αἴτιον, καὶ οὐχὶ καὶ τοῦ τοιῶσδε εἶναι, ἤγουν καὶ τῆς φυσικῆς διαφορᾶς τοῦ γεννωμένου φατὲ, ἐπεὶ ἀπὸ κώνου πίτυς γεννᾶται, ἢ ἐκ τῆς προαιρέσεως, καὶ οὐκ ἀπὸ τῆς οὐσίας τοῦ κώνου, εἰς τὸ εἶναι τοῦτο αὐτὸ πίτυς γεγέννηται, ἢ ἐκ τῆς οὐσίας μὲν αὐτῆς γεγέννηται τοῦδε· καὶ ἔστι ἁπλῶς ὂν, οὔτε δὲ πίτυς, οὔτε ἕτερόν τι εἶδος· πλὴν εἰ μὴ καὶ ἄλλῳ γεννήτορι κατὰ προαίρεσιν τίκτοντι ὑποβληθῇ εἰς γέννησίν τινα· ὧν τί μᾶλλον ἠλιθιώτερον;

D

ΚΕΦΑΛ. ΚΖʹ.

Εἰ ἐγεννήθη ὁ Θεὸς Λόγος κυρίως καὶ κατὰ ἀλήθειαν ἐκ τοῦ Πατρὸς, καὶ ἔστιν ὅμοιος αὐτῷ κατ' οὐσίαν· καὶ εἰ ἐγεννήθη ὁ αὐτὸς ἐκ μητρὸς κυρίως καὶ κατὰ ἀλήθειαν, καὶ ἔστι αὕτη ἀνόμοιος κατ' οὐσίαν, οὐδὲν διαφέρει ὑπὸ ὁμοίων [κατ' οὐ] ἢ ἀνομοίων γεννᾶσθαι. Εἰ δὲ τοῦτο, οὐδὲ τὰ ἀνόμοια διενεχθήσεται πρὸς ἄλληλα κατ' οὐσίαν· ἐνδεχόμενον δὲ ἦν, καὶ τὸν Θεὸν Λόγον ἐκ τοῦ Πατρὸς κατὰ ἀλήθειαν γεννηθέντα, εἶναι αὐτῷ κατ' οὐσίαν ἀνόμοιον· ἀλλὰ πάντα ἀδύνατα καὶ τῆς ὑποθέσεως αὐτῶν ἄξια. Ἐταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ μεθύων, καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη· ταῦτα εὐκαίρως ὑμῖν ἐπᾴδεται παρ' ἡμῶν, τῆς θείας δυνάμεως ἐπιδεικνύσης καὶ εἰς ὑμᾶς τὸ δραστήριον τῆς πάλαι ἐπιτιμίας τῶν

καθ' ὑμᾶς τὴν θεομάχον πρόθεσιν ἀραμένων καὶ τὴν ἐν Βαβυλῶνι πυργοποιΐαν συστησαμένων· «Δεῦτε γὰρ, φησὶ καὶ τότε περὶ ἐκείνων, καταβάντες συγχέωμεν αὐτῶν τὰς γλώσσας.» Ἐντεῦθεν οὖν ὄντως καὶ ὑμῖν οἱ νυνὶ πεφυρμένοι τε καὶ σκινδαλμοὶ καὶ ἐπάλληλοι ῥαψολογίαι εἰσὶ τῆς ἀσεβείας τὴν αἰσχύνην ἐπικρύπτειν μηχανώμεναι. Πρώτιστα μὲν οὖν γνῶμεν, ἡ ἐξ ὁμοίων ἢ ἀνομοίων γέννησις, πῶς λέγεται ὑμῖν; τῆς ὁμοιότητος, ἢ ἀνομοιότητος; πρὸς τὰ τίκτοντα τῶν τικτομένων, πῶς νοουμένης; οὐ γὰρ δὴ τὸ μὴ ὑποστὰν καὶ εἶναι λεγόμενον, ἐξ ὁμοίων ἢ ἀνομοίων γέννησιν ἔχειν λεχθήσεται· μεταγενεστέρα γὰρ τῆς γεννήσεως αὐτοῖς ἡ ὁμοιότης ἢ ἀνομοιότης πρὸς αὐτοὺς κατὰ τὸν οἰκεῖον λόγον. Ἀφείσθω δὴ ὅμως ὑμῖν τοῦτο· ἴσως γὰρ ἐκ τοῦ τέλους ταῦτα διεγνωκότες εἰρήκατε. Τί δὲ οὖν; ἀδύνατον τὸν κατὰ διαφόρους γεννήσεις γεννηθέντα, καὶ ἐκ διαφόρων τὴν φύσιν γεννητόρων, διάφορον ὄντα ταῖς φύσεσι, καὶ ἀληθῶς, καθ' ἑκατέραν τεχθῆναι γέννησιν; καὶ τοῦ μὲν τῶν τεκόντων ὅμοιον κατά τι τῶν αὐτοῦ, τοῦ δὲ ἀνόμοιον δείκνυσθαι, διὰ τὸ διάφορον τῶν τούτου γεννήσεων καὶ τῶν γεγεννημένων τοῦδε οὐσιῶν; Ἐδείχθη γὰρ ἐν τοῖς πρώτοις ἡμῖν, ὅτι καὶ ἐκ τῆς αὐτῆς καὶ κατὰ πᾶν γένος καὶ εἶδος καὶ πάντα ἀριθμὸν ἀδιαφόρου οὐσίας παρὰ τὸν διάφορον τρόπον τῆς γεννήσεως, ὅμοιά τε καὶ ἀνόμοια πολλάκις γίνεται τὰ τικτόμενα πρὸς τὰ τίκτοντα· οὐκοῦν ὀρθοτομοῦσι τὴν ἀλήθειαν οἳ φασιν ὅτι ἐγεννήθη μὲν ὁ Λόγος ἐκ τοῦ Πατρὸς ἀληθῶς, κατὰ τὴν ἰδίαν δὲ μόνου τοῦ Πατρὸς γέννησιν καὶ οὐσίαν, καὶ ἔστι ὅμοιος αὐτῷ κατ' οὐσίαν τὴν ὡς Λόγου Θεοῦ· ἐγεννήθη δὲ καὶ ἐκ Μητρὸς ἀληθῶς, κατὰ τὴν ἰδίαν αὐτῆς καὶ μόνης γενομένην τοῦδε γέννησιν, καὶ ἔστι καὶ αὐτῇ τῇ Μητρὶ ἑαυτοῦ κατ' οὐσίαν αὐτοῦ τὴν ὡς ἀνθρώπου ὅμοιος, κατὰ δὲ τὴν ὡς Λόγου, ἀνόμοιος αὐτῇ· πλὴν Υἱὸς ἀληθῶς ὁ Λόγος τοῦ τε ὁμοίου Πατρὸς, καὶ τῆς ἀνομοίου αὐτῷ Μητρός· ἀληθὴς γὰρ ἑκάτερος τρόπος τῶν ἐπ' αὐτοῦ γεννήσεων ἐδείχθη, ὅ τε τοῦ εἶναι, καὶ ὁ τοῦ τοιῶσδε. Οὐ γὰρ δὴ ὁμοιότης συνίστησιν ἁπλῶς τὴν υἱότητα, ὡς πολλάκις εἴρηται· ἦ γὰρ ἂν πάντες ἄνθρωποι ὅμοιοι ὄντες κατ' οὐσίαν ἀλλήλοις, υἱοὶ ἅμα καὶ πατέρες, καὶ τέκνα τῶν τέκνων οἱ γεννήτορες ἦσαν, καὶ οἱ ἀδελφοὶ δὲ τῶν ἑαυτῶν ἀδελφῶν εἶναι υἱοὶ, διὰ τὴν κατ' οὐσίαν ὁμοιότητα πρὸς αὐτοὺς νομισθείησαν.

A antiquæ condemnationis eorum qui secundum vos in Deum pugnandi propositum susceperant et in Babylone turris ædificationem constituerant. Dixit enim etiam tum de ipsis: « Venite, descendentes confundamus linguas eorum. » Inde igitur reipsa et vobis nunc sunt et confusæ subtilitates, et verborum implicitæ suturæ ad impietatis infamiam tegendam structæ. Ante omnia ergo sciamus generatio ex similibus aut dissimilibus quomodo a vobis dicatur; similitudinem aut dissimilitudinem genitorum relative ad gignentes quomodo intelligatis. Non enim quod non est subsistens et esse dicitur, ex similibus aut dissimilibus generationem habere dicetur. Posterior est enim generatione eorum similitudo vel dissimilitudo, juxta proprium lo- B quendi modum. Concedatur tamen hoc vobis. Forte enim a fine hæc scientes dixistis. Quid ergo impossibile est eum qui secundum differentes generationes genitus est, et ex genitoribus natura differentibus, differentem ipsum naturis, vere quoque secundum utramque generationem genitum fuisse; et hinc genitoribus suis similem secundum quid, inde autem dissimilem demonstrari, propter differentiam suarum generationum et substantiarum suorum genitorum? Monstratum enim a nobis fuit etiam a principio e ex eadem substantia non differente secundum totum genus et formam et numerum, propter differentem generationis modum, similiaque et dissimilia fieri sæpe genita relative ad C gignentia. Igitur recte et secundum veritatem sentiunt qui dicunt genitum fuisse Verbum vere ex Patre secundum propriam unius Patris generationem et substantiam, et esse illi simile quoad substantiam, substantiam nempe Dei Verbi; genitum autem fuisse vere quoque ex Matre secundum ipsius generationem propriam ex ipsa sola, et esse ipsi suæ matri simile secundum suam, hominis scilicet, substantiam, illi autem dissimile secundum substantiam quam habet ut Verbum. Ita sane Verbum vere est Filius similis Patris, Filius quoque Matris dissimilis Patri. Verus enim uterque modus generationum ejus demonstratur, hic nempe quo est, ille quo est taliter. Similitudo enim non constituit filiationem, ut persæpe dictum est. Omnes D enim homines, utpote qui inter se invicem similes secundum substantiam, filii simul et patres essent, et genitores essent filii suorum filiorum, et fratres suorum fratrum esse filios, propter similitudinem substantiæ relative ad ipsos, censerentur.

ΚΕΦΑΛ. ΚΗ'.

Εἰ τὸ ἀϊδίως ὂν ὕστερον γεννᾶται κατὰ ἀλήθειαν, καὶ τὸ μηδὲ ὅλως ὂν, ἐνεργείᾳ μὴ ὂν, γίνεται κατὰ ἀλήθειαν· εἰ δὲ τὸ δεύτερον ἀδύνατον, καὶ τὸ πρῶτον ἄρα. Ἀλλ' εἰ καὶ ὂν τὸ ὂν οὐ γίνεται, ἀλλὰ τὸ τοιῶσδε ὂν, εἰς τὸ ἑτέρως τοιῶσδε εἶναι, εἰ καὶ οὐ κατὰ τροπὴν ἀλλὰ πρόσληψιν καινοτέραν, γεννᾶσθαι δυνατόν· οὐδὲ γὰρ κατὰ τὸ αὐτό τις ὑμῖν ἀϊδίως τε εἶναί τι καὶ ἀπὸ χρόνου ἄρχεσθαι εἴρηκεν. Οὐκοῦν τί κωλύει τὸν κατὰ τὸ εἶναι ἄναρχον νοούμενον, κατὰ τὸ ἀλλοίως εἶναι, ἤγουν σεσαρκωμένον, ἀρξάμενον εἶναι; ἀλλοίως γὰρ εἶναι αὐτὸν, οὐ κατὰ τρο-

CAP. XXVIII.

Si quod est ab æterno posterius gignitur secundum veritatem, quod omnino non est, vi sua non exsistens, fit aliquid pariter secundum veritatem. Si autem secundum impossibile, ergo et primum. At quod exsistit non sit exsistens; sed quod tali modo exsistit, potest gigni in alium talem modum exsistendi, non quidem per mutationem sed per novam acceptionem. Nunquam enim quisquam vobis dixit idem æternumque exsistere et in tempore incipere. Ergo quid impedit quin qui concipitur sine principio secundum suum esse, ille principium

habuerit secundum alio modo esse, id est in quantum incarnatus. Alio enim modo esse non per mutationem aut effluvium proprii esse, sed per acceptionem et unionem substantialem alterius rei semper seorsim ab eo exsistentis, dicimus.

CAP. XXIX.

Si cœlum et terra et omnia quæ in eis sunt, utpote jam exsistentia nunc fieri impossibile, horum auctorem ante sæcula ex Patre natum, in novissimis temporibus genitum fuisse, quam maxime impossibile.— Non enim qui exsistunt simpliciter fieri quisquam affirmat, neque cœlum generari in ordine ad exsistentiam simpliciter, o vos. Novum tamen fieri ex vetere, transformari, incorruptibilitatem vestiri cum reliqua alia creatione, liberari a servitute corruptionis, sicut nostra corpora vita induta super mortale, et incorrupta resurgentia, omnes in pietate enutriti confitentur. Igitur juxta vos, cum mundus jam sit aliquo modo, nempe corruptibilis, non dicemus eum secundum incorruptibilitatem fieri, sive regenerari : quod enim est, inquitis, non fit; non abjicientes illud non fieri id quod est, sed nec concedentes illud quod qualicunque modo est fieri id quod non est. Secundum autem hæc vestra oracula, nec corruptibile quid incorruptibile secundum nostram salutarem spem dicere cuiquam concessum est : scilicet, cum corruptibile inductus natus sit homo, corruptibile induti renascimur.

CAP. XXX.

Si admittitur heri fieri cras, admittatur et exsistentem ab æterno in novissimis gigni : sed primum impossibile; ergo et secundum, per extensionem. —Si dixissemus quidem per mutationem æterni eumdem fieri temporalem, pulchre revera diceretis. Si autem, hoc ipsi servato quod erat, supervenit ipsi per acceptionem aliquid quod non erat, patet hoc utrumque, consideratum in composito, factum fuisse idem unum subjectum, postquam per alicujus novi accessionem factum est, non olim sit intellectum ut nunc est. Quomodo ergo recte objicitis nobis? Etenim hæc dies hesterna quam dicitis nunquam per mutationem fit cras, id est crastina dies, desinendo hesternam esse ut hodierna fiat, præterquam quod, superveniente ipsi cum hodie tum cras, fieri nudius tertius illi obtigerit, quamvis permaneat esse heri, scilicet relative ad proxime sequentem diem, ut nudius tertius est dies relative ad tertiam ab ipsa diem.

CAP. XXXI.

Si admittitur quod non erat antea, illud esse postea, non genitum nec factum, admittatur quod est ab æterno, id posterius secundum veritatem genitum fuisse. Sed primum impossibile; ergo et secundum.— En quod nos : quod erat Verbum, nempe carnis expers, hoc fieri non dicimus. Quod autem non erat, nempe caro et incarnatum, hoc fieri credimus. Usque huc enim vestris tautologiis

A πὴν ἢ ῥεῦσιν τοῦ οἰκείου εἶναι, ἀλλὰ κατὰ πρόσληψιν καὶ ἕνωσιν οὐσιώδη ἑτέρου πράγματος τοῦ πρόσω κεχωρισμένου ἀπ' αὐτοῦ, φαμέν.

ΚΕΦΑΛ. ΚΘ'.

Εἰ τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς ἤδη ὄντα γενέσθαι νῦν ἀδύνατον, τὸν τούτων Δημιουργὸν πρὸ τῶν αἰώνων ἐκ Πατρὸς γεγεννημένον ἐπ' ἐσχάτων γεννηθῆναι, ἀδυνατώτατον. Οὐ γὰρ ὄντα ἁπλῶς, γίνεσθαι λέγει τις, ἢ καὶ εἰς τὸ εἶναι γεννᾶσθαι ἁπλῶς τὸν οὐρανὸν, ὦ οὗτοι· καινὸν μέντοι γίνεσθαι ἐκ παλαιοῦ, καὶ μετασχηματίζεσθαι, καὶ ἀφθαρσίαν ἀμφιέννυσθαι μετὰ τῆς λοιπῆς ἑτέρας κτίσεως, καὶ ἐλευθεροῦσθαι ἐκ τῆς δουλείας τῆς φθορᾶς, B ὡς καὶ τὰ ἡμέτερα σώματα ἐπενδυόμενα τῷ θνητῷ τὴν ζωὴν, καὶ ἀνιστάμενα ἄφθαρτα, πάντες οἱ τῆς εὐσεβείας τρόφιμοι συνομολογοῦσιν. Ἄρα δ' οὖν καθ' ὑμᾶς, ἐπεὶ ἤδη πώς ἐστιν ἤγουν φθαρτὸς ὁ κόσμος, οὐκέτι ἐροῦμεν αὐτὸν κατὰ τὸ ἄφθαρτον γίνεσθαι, εἴτουν ἀναγεννᾶσθαι. Τὸ γὰρ ὂν, φατὲ, οὐ γίνεται· μὴ προσθέντες, ὅτι ὃ ἔστιν οὐ γίνεται, ἀλλ' οὐδὲ ὃ μὴ ἔστι γίνεσθαι συγχωροῦντες τῷ ὁπωσοῦν ὄντι· κατὰ δὲ ταῦτα ὑμῶν τὰ θεσπίσματα, οὐδέ τι φθαρτὸν ἄφθαρτον κατὰ τὴν ἐλπίδα ἡμῶν τὴν σωτήριον λέγειν τινὶ τοῦ λοιποῦ συγκεχώρηται. Ἐπειδὴ γὰρ τὸ φθαρτὸν ἐνδὺς ἐγεννήθη ἄνθρωπος, τὸ ἄφθαρτον ἐνδυόμενοι ἀναγεννώμεθα.

C

ΚΕΦΑΛ. Λ'.

Εἰ ἐνδέχεται τὴν χθὲς γενέσθαι αὔριον, ἐνδεχέσθω καὶ τὸν ὄντα ἀϊδίως, τεχθῆναι ἐπ' ἐσχάτων· ἀλλὰ τὸ πρῶτον ἀμήχανον, καὶ τὸ δεύτερον κατ' ἐπίτασιν. Εἰ μὲν ἐλέγομεν κατὰ τροπὴν τοῦ ἀϊδίου γενέσθαι τὸν αὐτὸν ὑπὸ χρόνον, καλῶς ὄντως εἰρήκατε ἄν. Εἰ δὲ φυλαχθέντος τούτῳ τούτου ὃ ἦν, ἐπιγέγονεν αὐτῷ τῇ προσλήψει τοῦ παρ' αὐτὸν ὃ οὐκ ἦν, δῆλον ὡς τὸ νῦν συναμφότερον θεωρούμενον, ἐπεὶ τῇ τοῦ νέου πρὸς τὸ ἀεὶ ὂν συνθέσει γέγονε πάλαι μὴ οὕτως νοούμενον ὡς νῦν γέγονε τὸ αὐτὸ ὑποκείμενον ἕν. Πῶς οὖν ἀντιφέρεσθε ἡμῖν εὐλόγως; Καὶ γὰρ καὶ ἡ χθὲς ἡμέρα ἣν φατε, κατὰ μὲν τροπὴν αὔριον, ἤγουν αὐρινὴ ἡμέρα οὐ γίνεταί ποτε, ἀπολιποῦσα τὸ χθεσινὴ εἶναι, πρὸς τὴν σήμερον· πλὴν ἐπιγινομένης D αὐτῇ πρὸς τῇ σήμερον καὶ τῆς αὔριον, καὶ τὸ γενέσθαι προχθὲς, ἐπικτήσεται· μείνασα καὶ ἐν τῷ εἶναι χθὲς· ἤγουν ἑξῆς πρὸς τὴν μετ' αὐτὴν ἡμέραν· ὥσπερ καὶ προχθές ἐστι πρὸς τὴν τρίτην ἀπ' αὐτῆς ἡμέραν.

ΚΕΦΑΛ. ΛΑ'.

Εἰ ἐνδέχεται τὸ πρότερον μὴ ὂν, ὕστερον εἶναι μὴ γεννηθὲν ἢ ποιηθὲν, ἐνδεχέσθω καὶ τὸ ἀϊδίως ὂν, ὕστερον κατὰ ἀλήθειαν γεννηθῆναι· ἀλλὰ τὸ πρότερον ἀμήχανον, καὶ τὸ ὕστερον ἄρα. Ἰδοὺ δὴ οὖν ἡμεῖς, ὃ μὲν ἦν ὁ Λόγος, ἤγουν ἄσαρκος, τοῦτο οὐ γίνεσθαί φαμεν· ὃ δὲ οὐκ ἦν, ἤγουν σὰρξ καὶ σεσαρκωμένος, τοῦτο γενέσθαι πιστεύομεν· ἕως τοῦδε γὰρ ταῖς ὑμετέραις ταυτολογίαις συναναλίττεσθαι

καταδεξόμεθα· καὶ τί ἡμῖν ἐκ τοῦδε τὸ ἔγκλημα;

ΚΕΦΑΛ. ΛΒ'.

Τὸ ἄνωθεν γεννώμενον, τουτέστι δευτέρᾳ γεννήσει, ἐξ ὕδατος καὶ Πνεύματος, ἢ καὶ διὰ διδασκαλίας γεννᾶται· τὸ δὲ οὕτως γεννώμενον, εἰς υἱοθεσίαν γεννᾶται· τὸ δὲ εἰς υἱοθεσίαν γεννώμενον, ἐκ τῆς οὐσίας οὐ γεννᾶται τοῦ γεννῶντος· τὸ ἄνωθεν ἄρα γεννώμενον, οὐκ ἐκ τῆς οὐσίας γεννᾶται τοῦ γεννῶντος. Τὴν οὖν ἄνωθεν γέννησιν, πῶς ὀνομάζετε ἡμῖν; εἰ μὲν τὴν κατὰ τόπον, ὡς ὑπὲρ γῆς καὶ τοὺς ἐκ γῆς οὖσαν, καὶ ἁπλῶς ὡς οὐράνιόν τινα ταύτην ἴστε, ἵνα τὰ πλεῖστα σιγήσωμεν τῶν πρὸς ὑμᾶς λέγεσθαι δυναμένων, ἀνάγκη διότι πάσης ἑτέρας γεννήσεως μᾶλλον ἡ τοῦ Λόγου ἐκ Πατρὸς ὑπερουράνιός ἐστι γέννησις, ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, ταύτην μάλιστα ὑμᾶς εἰδέναι ἄνωθεν οὖσαν γέννησιν· οὐκοῦν εἰς υἱοθεσίαν καὶ τὸν κατὰ ταύτην γεννώμενον ἤγουν τὸν Λόγον γυμνὸν ἀνάγκη ἐστὶ δοξάζεσθαι· καὶ ἔσται οὗτος, οὐ φύσει Υἱὸς καθ' ὑμᾶς, ὁμοιογενὴς Υἱὸς καὶ Λόγος τοῦ Πατρός· τὸ δὲ ἑπόμενον τῆς ὑμετέρας προτάσεως, σαφέστερόν πώς ἐστιν ἀσεβέστερον. Τὸ γὰρ οὕτως γεγεννημένον, οὐδὲ ἐκ τῆς οὐσίας τεχθῆναι συνάγεται· οὐκοῦν οὐδὲ ἐκ τῆς τοῦ Πατρὸς ὁ Υἱὸς καθ' ὑμᾶς· ἀλλὰ τὴν Ἀρείου πρὸς τῇ ὑμετέρᾳ κακοδοξίᾳ παράνοιαν ἐκυρώσατε· εἰ δὲ ταῦτα μὲν οὕτως οὐκ ἐκδέχεσθε, ἄνωθεν δὲ γέννησιν τὴν οἱονεὶ ἐπανάληψιν τῆς γεννήσεως τῆς πρώτης οἴεσθε, καὶ τοῦ αὐτοῦ ὑποκειμένου δὶς τὴν αὐτὴν γέννησιν τῇ ὡς ἐξ ὑπαρχῆς σημασίᾳ διὰ τοῦ ἄνωθέν φατε· καὶ ἁπλῶς ἀναγέννησιν, ἢ καὶ δευτέραν γέννησιν, ἴστε τήνδε· καὶ ἐν τῷδε πάλιν πόῤῥω τῆς ὀρθοδοξίας ἀπεπλανήθητε, ἀναγέννησιν ἐπὶ Χριστοῦ παραφέροντες καὶ διανοούμενοι· ἐκείνων γὰρ λέγεται ἀναγέννησις, ὧν παλαίωσίς τις καὶ ῥύπος καὶ νόσος ἐπιγενομένη, τὸ ἐκ τῆς πρώτης γεννήσεως ὑποκείμενον πάλαι τε ὂν ἀμόλυντον ἐκιβδήλωσέ πως ἢ διέφθειρεν ἢ κατεμάρανεν· ὥσπερ ἡμῖν τὸ κατ' εἰκόνα Θεοῦ, τὸ ἐκ πρώτης ὂν γεννήσεως ἥ παράβασίς τε ἡ πρώτη καὶ αἱ μεταγενέστεραι τῶν ἐπὶ τὰ φαυλότερα προσηλώσεις· τὸν δὲ Θεὸν Λόγον οὐδείς, οὐδὲ τῶν λίαν ἀθέσμων, ἐδόξασε πώποτε κατὰ τὴν πρώτην αὐτοῦ γέννησιν, ἔκ τινος ἀπροσεξίας ἢ ἐπιβουλῆς, παλαιωθέντα τῇ ἁμαρτίᾳ, νῦν δεῖσθαι τῆς ἀνακαινιζούσης αὐτὸν ἀναγεννήσεως, καὶ διὰ τοῦτο τὴν δευτέραν ὑποστῆναι γέννησιν. Πῶς οὖν μηδενὸς ἀναγέννησιν, εἴτουν ἄνωθεν γέννησιν, ἐπὶ τοῦτον λέγοντος ἢ νοοῦντος, ἀλλὰ τὴν γέννησιν αὐτοῦ τὴν δευτέραν μετὰ τῆς πρώτης, πάντων ὁσίων ὁμολογούντων, τὴν ἀναγέννησιν ἀντὶ γεννήσεως ἀληθοῦς, δευτέρας τε τὴν τάξιν, ἐπὶ τὸν Θεὸν Λόγον μετηγάγετε, ἵνα ἐντεῦθεν ἡμῖν τὸ δοκοῦν ὑμῖν συλλογίσησθε; Ἔτι μέντοι, οὐδὲ ἐκεῖνο πῶς ὑμῖν ἔδοξε νενοήκαμεν τὸ ἐκ τοῦ Πνεύματος γεννώμενον, μὴ ἐκ τῆς οὐσίας οἴεσθαι· ἢ γὰρ ὡς ἐνέργεια εἰς ξύλον ἐκ τῆς φύσεως τοῦ τέκτονός ἐστιν, ἢ ὡς πῦρ ἐκ πυρὸς ἐν ξύλῳ ἐκ τῆς οὐσίας ὑπάρχει. Ἀλλ' εἰ μὲν κατὰ τὸ πρῶτον, δῆλον ὅτι ἐνεργεῖν τι τὸ γεννηθὲν ὥσπερ οὐδὲ ἡ ἐνέργεια

A vobiscum volvi sustinebimus. Et quid nobis ex hoc criminis?

CAP. XXXII.

Quod desursum gignitur, id est secunda generatione, ex aqua scilicet et spiritu, per disciplinam gignitur. Quod autem ita gignitur, in adoptionem gignitur; quod autem in adoptionem gignitur, non gignitur ex substantia gignentis. Quod ergo desursum gignitur, non ex substantia gignitur gignentis. — Hanc desursum generationem quomodo nobis dicitis? Si localiter quidem, id est tanquam super terram et ea quæ de terra sunt, et quasi cœlestem quamdam intelligitis, ut alia bene multa sileamus quæ adversum vos dici possent, necesse est vos, quia plus quam quævis alia generatio, su-

B percœlestis est generatio Verbi ex Patre, cum assumatur de terra vita ejus, scire hanc ante alias esse desursum generationem. Igitur in adoptionem eum qui secundum hanc genitus est, nempe merum Verbum, necesse est existimari; et erit, juxta vos non natura Filius, hic unigenitus Filius et Verbum Patris. Consequentia autem vestræ propositionis evidentius impia magis est. Quod enim ita genitum est, concluditur non ex substantia genitum esse; igitur non ex substantia Patris Filius, juxta vos. Sed Arii errorem confirmatis, addita insuper vestra prava doctrina. Si autem hæc ita esse non admittitis, desursum autem generationem quasi receptationem primæ generationis

C censetis, et dicitis esse quidem subjecti bis eamdem generationem quasi de novo acceptam desursum, et hanc simpliciter regenerationem sive secundam generationem intelligitis, in hoc quoque pariter longe a recta doctrina erravistis, regenerationem Christo falsa attribuentes et fingentes. Ea enim dicuntur regenerari, quorum subjectum primæ generationis, quod fuerat olim incoinquinatum, vetustate quadam aut macula aut morbo corruptum fuit, aut deperiit, aut emarcuit; sicut nos ad imaginem Dei factos ex prima origine, tum transgressio prima, tum posteriores ad malum accessiones vitiaverunt. Deum Verbum autem nullus, etiam ex maxime impiis, existimavit unquam secundum primam ejus generationem, imprudenter

D aut ex industria, peccato veteratum, nunc indigere renovante illum regeneratione, et propter hoc subiisse secundam generationem. Quomodo igitur, cum nemo regenerationem seu desursum generationem ipsi attribuat nec intelligat, omnes vero sancti generationem ejus secundam post primam confiteantur, vos regenerationem pro vera generatione, ordine secunda, in Deum Verbum induxistis, ut inde nobis vestra placita inferatis? Adhuc tamen, non, ut vobis placuit, intelleximus illud, quod ex spiritu gignitur, non censeri ex substantia genitum; nempe sive quomodo vis est ex artificis natura in lignum, sive quomodo ignis ex igne in ligno ex substantia adest. Sed si prius, patet vim artificis non posse agere in generatum sicut nec ipsa vis

quæ est in ligno. Si posterius, liquet vim ignis et ignem in ligno generatum posse agere. Si autem ita est, genito facta est participatio substantiæ quæ illud genuit; hoc enim testificatur ejus naturalis vis quæ sequitur genitum. Si autem facta est participatio substantiæ, si generatio non est ex substantia sed ex vi alicujus non subsistentis, quædam non subsistentia dominabuntur substantiam, et erunt causa substantiarum, quod est impossibile.

CAP. XXXIII.

Si proprie et vere genitus est Deus Verbum e Virgine, et est illa absimilis, et proprie et vere genitus est idem e Patre, quid prohibet illum esse etiam Patri absimilem, neque generationibus secundum speciem differentibus, neque genito simul? Etenim si reipsa generationes secundum speciem non differunt, et totalitas geniti eodem modo se habet in utraque generatione, vim habet vestrum argumentum: cum talis sit generationum differentia, ut una æterna intelligatur, altera vero principium habens; una incorporalis, altera autem in corpore; una sine extensione, altera vero extensionem habens; uno verbo hæc meri et simplicis Verbi, illa autem Christi compositi esse; et hæc quidem sine gestatione, illa autem ex gestatione, aliisque mille dissimilitudinibus differentes, quomodo, dicite, quæso, concluditis in utraque generationum ejusdem unius filii a parentibus absimilitudinem secuturam fore, quasi ejusdem sint speciei illius generationes? sed in quo ne offendatis non cavistis, illud discite, o viri, siquidem non semper contradicere vultis. Loquendo enim proprie et vere de utraque generatione, putatis eamdem esse unam ac alteram, et similes ambas generationes accipitis; non cernentes utramque proprie et vere secundum suam ipsius rationem esse, neque secundum alterius rationem. Si enim omnia similia cogitanda sint de quibus proprie et vere prædicatur, oportet vos, cum lapis proprie et vere corpus esse dicitur, et sol proprie et vere corpus esse dicitur, et Deus incorporalis proprie et vere dicitur, similes habere lapidem, solem et Deum. Pariter quoque hominem et ranam, animalia proprie et vere cum sint et dicantur ambo, et aquam, inanimata vere cum dicatur, similia tamen censenda esse; cœlum quoque et granum, et reliqua omnia entia eodem modo, exsulante per vos omni absimilitudine. Proprie loquendo proprie et vere est, illud quod est, licet eodem nomine aut alio, atque est, nominetur.

CAP. XXXIV.

Si Deus Verbum vere genitus est e Virgine, omnisque generatio non auferatur, sive genito esse dederit, sive non dederit, æqualis secundum substantiam genitori genitus habetur, vel illo inferior: æqualis quidem, utpote genuit genitor in sua forma; et in Christo enim Jesu per Evange-

A αὕτη ἡ ἐν τῷ ξύλῳ, τὰ τοῦ τέκτονος οὐ δυνήσεται· εἰ δὲ κατὰ τὸ δεύτερον, σαφὲς ὅτι ἐνεργεῖν τὰ τοῦ πυρὸς καὶ τὸ γεννηθὲν ἐν τῷ ξύλῳ πῦρ, δυνήσεται· εἰ δὲ τοῦτο, μετάληψις γέγονε τῆς τεκούσης αὐτὸ οὐσίας τῷ γεννηθέντι· τοῦτο γὰρ μαρτυρεῖ δηλαδὴ, ἑπομένη καὶ τῷδε, ταύτης ἡ φυσικὴ ἐνέργεια. Εἰ δὲ μετάληψις γέγονεν οὐσίας, εἰ μὴ ἐκ τῆς οὐσίας ἡ γέννησις, ἀλλ' ἐξ ἐνεργείας ἀνουσίου, ἔσται ἀνούσια καταχρατοῦντα τῆς οὐσίας, καὶ οὐσιῶν αἴτια, ὅπερ ἀδύνατον.

ΚΕΦΑΛ. ΛΓ'.

Εἰ κυρίως καὶ κατὰ ἀλήθειαν ἐγεννήθη ὁ Θεὸς Λόγος ἐκ τῆς Παρθένου, καὶ ἔστιν αὕτη ἀνόμοιος, καὶ κυρίως καὶ κατὰ ἀλήθειαν ἐγεννήθη ὁ αὐτὸς ἐκ
B Πατρὸς, τί κωλύει εἶναι αὐτὸν καὶ τῷ Πατρὶ ἀνόμοιον, μήτε τῶν γεννήσεων κατ' εἶδος παραλλαττουσῶν, μήτε τοῦ γεννωμένου καθάπαξ; Καὶ γὰρ εἰ μὲν ὄντως αἱ γεννήσεις κατ' εἶδος οὐ παρήλλαττον, καὶ τὸ ὅλον τοῦ γεννήματος ὡσαύτως εἶχεν ἐν ἑκατέρᾳ γεννήσει, ἰσχὺν εἶχεν ἂν ὑμῖν τὸ ἐπιχείρημα. Ἐπειδὴ δὲ τοσαύτη τῶν γεννήσεων ἡ διαφορὰ, ὡς τὴν μὲν ἀΐδιον νοεῖσθαι, τὴν δὲ ἀρχομένην· καὶ τὴν μὲν ἀσωμάτως, τὴν δὲ ἐν σώματι· καὶ τὴν μὲν ἀδιαστάτως, τὴν δὲ διαστατῶς· καὶ ἁπλῶς τὴν μὲν τοῦ Λόγου γυμνοῦ καὶ ἁπλοῦ, τὴν δὲ Χριστοῦ τοῦ συνθέτου οὖσαν· καὶ τὴν μὲν ἀκυήτως, τὴν δὲ διὰ κυήσεως εἶναι, ἄλλοις τε μυρίοις ἀπαραβλήτοις διενηνοχότων, πῶς, λέγετε, συνάγετε ἐπὶ ἑκατέρας τῶν γεννήσεων τοῦ αὐτοῦ ἑνὸς Υἱοῦ τὸ πρὸς τοὺς τεκόντας ἀνόμοιον ὀφείλειν
C ἕπεσθαι, ὡς ὁμοειδῶν οὐσῶν τῶν τούτου γεννήσεων; ἀλλ' ἐν ᾧ προσπταίοντες οὐκ ἐπισκέπτετε, μάθετε, ὦ οὗτοι, εἴγε μὴ ἀεὶ γνωσιμαχεῖν βούλεσθε. Τῷ γὰρ κυρίως καὶ κατὰ ἀλήθειαν ἑκατέραν λέγεσθαι γέννησιν, οἴεσθε τὴν αὐτὴν εἶναι θατέραν θατέρᾳ, καὶ ὁμοειδεῖς ἄμφω τὰς γεννήσεις ὑπολαμβάνετε· οὐ σκοποῦντες ὅτι εἰς τὸν ἑαυτῆς λόγον ἑκατέρα κυρίως ἐστὶ καὶ κατὰ ἀλήθειαν, καὶ οὐκ εἰς τὸν τῆς ἑτέρας. Εἰ γὰρ πάντα ὁμοειδῆ νομιστέον οἷς τὸ κυρίως καὶ κατὰ ἀλήθειαν ἐπιμαρτυρεῖται, δέον ὑμᾶς ἐπεὶ ὁ λίθος κυρίως καὶ κατὰ ἀλήθειαν σῶμα εἶναι λέγεται, καὶ ὁ ἥλιος δὲ κυρίως καὶ κατὰ ἀλήθειαν σῶμα εἶναι λέγεται, καὶ ὁ Θεὸς ἀσώματος κυρίως τε καὶ κατὰ ἀλήθειαν λέγεται, ὁμοειδῆ νομίζειν τόν τε λίθον καὶ
D τὸν ἥλιον καὶ τὸν Θεόν· ὁμοίως δὲ ἄνθρωπόν τε καὶ βάτραχον· ζῶά τε ὄντα καὶ κυρίως καὶ κατὰ ἀλήθειαν ἑκάτερον λεγόμενα· καὶ τὸ ὕδωρ ἄζωον ἀληθῶς λεγόμενον, ὁμοειδῆ νομιστέον· οὐρανόν τε καὶ κέγχρον καὶ τὰ λοιπὰ πάντα τῶν ὄντων ὡσαύτως, ἐξορισθείσης ὑμῖν πάσης ἀνομοιότητος· τῷ ἰδίῳ λόγῳ κυρίως ἐστὶ καὶ κατὰ ἀλήθειαν, τοῦτο ὅπερ ἐστὶ, κἂν ὁμωνύμως ποτὲ καὶ ἐπὶ ἑτέρου τὸ τοῦδε ὄνομα, ὡς ὄντος, λέγοιτο.

ΚΕΦΑΛ. ΛϚ'.

Εἰ ὁ Θεὸς Λόγος ἐγεννήθη κατὰ ἀλήθειαν ἐκ τῆς Παρθένου, πᾶσα δὲ γέννησις μὴ ψεγομένη, ἥ τε τὸ εἶναι διδοῦσα τῷ τικτομένῳ, καὶ ἡ μὴ διδοῦσα, ἴσον κατ' οὐσίαν τοῦ γεννῶντος ἔχει τὸ γεννώμενον, ἢ ἔλαττον· ἴσον μὲν, ὡς τὸ, ἐγέννησε κατὰ τὴν ἰδέαν αὐτοῦ· καὶ γὰρ, Ἐν Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγε-

λίου ἐγὼ ὑμᾶς ἐγέννησα· ἔλαττον δὲ, ὡς ἡ τῶν πιστῶν ἐκ Θεοῦ γέννησις· κρεῖττον δὲ οὐδεμία· ἢ ἴσος ἄρα κατ' οὐσίαν ὁ Θεὸς τῆς Παρθένου, ἢ ἐλάττων· ἀλλ' ἑκάτερα δυσσεβῆ· οὐκ ἄρα ὁ Θεὸς κατὰ ἀλήθειαν ἐγεννήθη ἐκ τῆς Παρθένου. Ἀληθῶς μὲν πᾶσα γέννησις μὴ ψεγομένη, τὸ ἴσον ἢ ἧττον δείκνυσι τοῦ γεννηθέντος πρὸς τὸν γεννήσαντα. Ἀλλ', ὦ τοῦ μεγαλείου τῆς θείας οἰκονομίας ἀναίσθητοι, σκοπεῖτε ὡς τοῦτο ἔχει πᾶσα γέννησις, οὐ μόνον ἡ μὴ ψεγομένη, ἀλλὰ μηδὲ θαυμαζομένη ὡς παράδοξος· ἐπὶ δὲ τοῦ τῆς οἰκονομίας θεοπρεποῦς Λόγου (τοῦτο γὰρ δὴ, τοῦτό ἐστι τὸ ὑπερφυὲς τῆς ἀγαθότητος μυστήριον, καὶ τὸ τῆς θείας φιλανθρωπίας τεκμήριον), ὅτι ὁ πάσης κτίσεως Ποιητὴς καὶ παντοίας γεννήσεως αἴτιος καὶ πάσης φύσεως Δεσπότης καὶ τὸ ὑπερκόσμιον τοῦ παντὸς κόσμου κράτος, γέννησιν κατεδέξατο· καὶ ταύτην ἐκ B φύσεως ἐπικήρου καὶ φθαρτῆς καὶ εὐεπηρεάστου· δι' ἡμᾶς τε ἐπτώχευσε πλούσιος ὤν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν. Εἰ οὖν ὄντως καὶ τῶν μὴ θαυμαζομένων ἦν γεννήσεων, οὕτως ἔχειν ἔδει καὶ τήνδε τὴν γέννησιν μὴ ψεγομένην· εἰ δὲ καὶ θαυμάζεσθαι ἔδει, ἀνάγκη παρὰ τὴν συνήθη γέννησιν πάντων ἔχειν αὐτήν τι, ἐπεὶ οὐδὲ θεία τότε ἂν ὑμῖν ἀμογητὶ δειχθήσεται· εἰ δὲ δεῖ, ἐκ τῶν καθόλου συλλογιστέον ὑμῖν καὶ τῶν πάντη ὁμοίων ἄρα, ὦ σοφοί! πᾶσα οὖν γέννησις ὁμοίως τῇδε θαυμαζομένη· καὶ τῇδε ἐοικυῖα, ὅτι χεῖρον ἢ ἴσον ἔχει τὸ τεχθὲν τῷ τεκόντι, τοῦτο δείξατε. Τίς δὲ ὑμῶν οὐ δακρύσει τὴν τύφλωσιν; ὅτι δι' ὧν ἐχρῆν πιστοῦσθαι περὶ τοῦ θείου Τόκου, ἤγουν ἐκ τῶν παραδόξων καὶ ὑπερφυῶν καὶ C παρὰ τὴν συνήθειαν λόγων, διὰ τούτων κατασκευάζειν σπεύδετε, ὅτι οὐ Θεοῦ ἐστιν ἡ γέννησις, ἐπεὶ μὴ ὁμοίως ἔχει ταῖς φθαρταῖς ἡμῶν καὶ φυσικαῖς γεννήσεσιν, ὡς καθ' ὑμᾶς εἰ γεννήσει τῇ καθ' ὑμᾶς ἐγεννήθη, τότε ἂν εἶναι ἀξιόπιστον τὸ ὑπὲρ ἡμᾶς αὐτὸν εἶναι τὸν τεχθέντα· εἰ δὲ μηδὲ τότε, πόθεν ἔδει πιστῶσαι ἡμᾶς τὸν Θεὸν περὶ τῆς ἑαυτοῦ γεννήσεως τῆσδε, εἴπατε· εἴπερ μηδὲ ἐκ τῶν καθ' ἡμᾶς, μηδὲ ἐκ τῶν ὑπὲρ ἡμᾶς, ὦ οὗτοι!

A lium dictum est, ego vos genui : minor vero, ut se habet ex Deo fidelium generatio : melior nulla est, æqualis ergo secundum substantiam Deus est Virgini, aut inferior; sed utrumque impium est, non igitur Deus vere genitus est e Virgine. Vere quidem omnis generatio non ablata æqualitatem aut inferioritatem ostendit geniti ad genitorem, sed, o magnitudinis incarnationis divinæ ignari! cernitis quomodo hoc habeat omnis generatio, non solum quæ non aufertur, sed quæ non ut prodigium admiranda sit : sed in divina incarnationis ratione, illud est enim hoc supernaturale bonitatis mysterium, et divinæ charitatis indicium, quod omnis creaturæ auctor, et universæ generationis principium, et omnis naturæ dominus, eo major B mundo mundi totius dominator, generationem acceperit; et istam e caduca, corrupta et perdita natura; propter nos egenus factus est qui dives est, ut nos indigentia ejus ditemur : si igitur reipsa non foret ex admirandis generationibus, ita haberi oportebat hæcce generatio non ablata : si vero admiranda sit, necesse est illam ex solita omnium generatione aliquid habere, siquidem divina generatio tunc nobis non expedite ostenderetur. Si autem nec sse est, ex assuetis generationibus vobis argumentandum est et omnino similibus, o sapientes. Omnis igitur generatio hujus ad instar, admiranda, et huic æquanda, quod inferius aut æqualiter se habet genitus ad genitorem, hoc ostendite. Quis C vero vestram non deploraret cæcitatem? quod quæ oportebat credi de divino ortu ob stupendas puta et supernaturales et præter assuetum modum rationes, per hæc instituere conamini, quod non Dei sit generatio, cum non eodem modo se habet ac nostræ corruptæ et naturales generationes, ut, secundum vos, si generatione vestræ simili genitus sit, tunc dignum fide sit supra nos illum genitum esse qui natus est : si vero non illud tunc evadit, unde oporteat nos Deum credere de sua hac generatione loquentem, dicite : siquidem a generationibus neque secundum nos, neque supra nos illa sit, o insensati!

ΚΕΦΑΛ. ΛΕ'.

Εἰ ὁ τόκος ἐκ τῶν πάντη ὁμοίων ἀληθινὸς, ὃς κατ' οὐσίαν τίκτων ὅμοια τῶν τικτόντων κατὰ ἀλήθειάν D ἐστιν, ὁ πάντη ἀνόμοια τίκτων κατ' οὐσίαν, ἐκ τῶν ὁμοίων, οὐκ ἔστι κατὰ ἀλήθειαν τόκος. Τὰ γὰρ ἐναντία, οὐ συναληθεύουσί ποτε· ἀλλὰ τὸ πρῶτον· οὐκ ἄρα τὸ ὕστερον. Ὅτι μὲν ὅ τε ἐκ τῶν ὁμοίων, καὶ ὁ ἐξ ἀνομοίων· ὅ τε εἰς τὸ εἶναι, καὶ εἰς τὸ τοιῶσδε εἶναι· καὶ εἴ τις ἕτερος τόκου τρόπος, τόκος ἐστί τε καὶ λέγεται ἀληθῶς τῇ θείᾳ Γραφῇ κατὰ τὸν ἑαυτοῦ λόγον, καὶ ὑμεῖς εἰρήκατε πολλάκις μέχρι τοῦ νῦν. Εἰ δὲ τὸ μὲν εἶναι τόκον διδοῦντες, οὐ κυρίως ὅμως καὶ κατὰ ἀλήθειαν τοῦτο εἶναί φατε τὸν οὐκ ἐξ ὁμοίων κατ' οὐσίαν γινόμενον, ἀνάγκη τῇ ὁμοιώσει τῶν τικτόντων, καὶ οὐ τῷ λόγῳ τοῦ τόκου, εἰδέναι ὑμᾶς τὴν ἀληθινὴν γέννησιν. Ἤδη μὲν οὖν ἐλέλεκτο τοῦτο ὑμῖν μικρὸν ἀνωτέρω δεόντως. Πῶς γὰρ ἀνόμοιος ὢν ἑτέρου βάτραχος ἐκ τοῦ ὁμοίου γεννηθείη

CAP. XXXV.

Si vere partus ex omnino similibus fuerit, in quo secundum substantiam pariens similis parien- D tibus vere sit, hic partus, in quo prorsus absimilis pariens secundum substantiam fuerit, e similibus vere non est. Contraria enim nunquam simul vera sunt; sed verum prius; non verum ergo posterius. Quod ille e similibus, et hic ex absimilibus; ille quod sit, et tali modo sit, et si quis alius est partus modus, partus sit et dicatur vere divina Scriptura secundum suam rationem, et vos sæpius hactenus dixistis. Sin autem partum esse concedentes, non proprie et vere esse dicitis hunc qui e similibus secundum substantiam factus est, necesse est ob similitudinem parientium, et non ob partus rationem, intelligere vos veram generationem. Jam quidem igitur dictum est istud a vobis opportune paulo superius. Quomodo enim

absimilis cum sit ranæ alius rana, e simili rana genita foret? certe non omnino paritur talis rana e rana unquam. Sed quando in iisdem ob difficultates rursus volvimini; præter illa quæ supra diximus, hæc nunc audite. Si ex ignis substantia tæda, et e cocci substantia coccus, et ex hominis substantia homo, et ex Dei substantia Deus sit, omnia e substantia convenire dicuntur, non autem eamdem meram similitudinem in omnibus cum genitoribus habeant geniti, sed solus Deus habeat in omnibus similitudinem, quomodo potest hoc modo proprie et vere cujusque eorum dici generatio, etsi e substantia sit? Necesse est enim, cum secundum vos, differens sit similitudo ab ea quam in partu proprie et vere prædicatis, differentem vos quoque intelligere partus proprietatem; quod patet ridiculum esse. Quod enim proprium est, differens non est; et quod differens est, proprium nunquam est circa idem. Supponite autem, o physici, aut potius physices conversores, lapides et ferrum et lignum ignem generare, et ignis cum non sint, non secundum similem ignis modum generare; et pariter nemo dicere potest vobis non similis, non veri ignis esse generationem quæ ex absimilibus ignis naturis procedit; ergo ad nihilum vobis omnis illa confusio talis vestræ jocationis contendit.

CAP. XXXVI.

Adhuc autem ex his id quoque audiendum est: si Verbum incorporale et immutabile est, secundum suam rationem, inquiunt, quomodo erit incarnatum idem immutabile manens? sic enim mutatum diceretur immutabile adhuc manere. Sive igitur non Deus caro factus est, non mater Dei est quæ carnem peperit; sive caro factus est, jam non Deus qui non immutabilis est, ergo minime Dei mater est quæ mutabilem genuit. Quid igitur, vobis nimium obsurdescentibus, non resonuit omnino auribus filius tonitrui dicens: « Et Verbum caro factum est? » sed, o insensati, si incarnatum Verbum secundum naturæ mutationem intelligitis, ut dicimus lapidem factam corallii plantam, et mortuum quod antea vivebat, reipsa immutabile dissolvi merito cogitate. Sin autem, ut inauratum lignum et armatum virum dicimus, secundum unionem ligni cum auro, et armorum sumptionem et induitionem, carnis assumptionem in Verbo reputamus, quomodo mutationem naturæ introducimus? Siquidem enim lignum adhuc sine auro secundum naturam, manet, cum inauratum fuerit secundum suam subsistentialem naturam; et vir adhuc sine ferro, aut melius loquendo cum nudus est coma tantummodo secundum naturam manet instructus, si secundum naturalem suam subsistentiam ferro armatus miles fit, aut in flore juventutis pilosus; Verbum quoque sine carne secundum naturam manet, id est secundum substantialem rationem, cum adjunctam subsistentiæ suæ naturæ carnem induit. Substantiali enim ratione, cernitur

A βατράχου; Καίτοι οὐδὲ τίκτεται ὅλως βάτραχος ἐκ βατράχου ποτέ. Ἀλλ' ἐπεὶ τοῖς αὐτοῖς ἐξ ἀπορίας πάλιν κατακυλίεσθε· πρὸς τοῖς εἰρημένοις ἡμῖν ἐν τοῖς φθάσασι, καὶ τάδε νῦν ἀκούσεσθε· Εἰ ὁ ἐκ τῆς οὐσίας τοῦ πυρὸς πυρσὸς, καὶ ὁ ἐκ τῆς οὐσίας τοῦ κόκκου κόκκος, καὶ ὁ ἐκ τῆς οὐσίας τοῦ ἀνθρώπου ἄνθρωπος, καὶ ὁ ἐκ τῆς οὐσίας τοῦ Θεοῦ Θεὸς, πάντα μὲν ἐκ τῆς οὐσίας συνωμολόγηνται, οὐχὶ δὲ τὴν αὐτὴν ἀκραιφνῆ ὁμοιότητα ἐπὶ πάντων πρὸς τὰ γεννῶντα ἔχουσι τὰ γεννώμενα, ἀλλὰ μόνος Θεὸς ἔχει τὸ πάντη ἀπαράλλακτον, πῶς δυνατὸν ὡσαύτως κυρίως καὶ κατὰ ἀλήθειαν ἑκάστου τούτων λέγεσθαι τὴν γέννησιν, εἰ καὶ ἐκ τῆς οὐσίας ἐστίν; Ἀνάγκη γὰρ καθ' ὑμᾶς διαφόρου οὔσης τῆς ὁμοιώσεως ἐξ ἧς τὸ κυρίως καὶ κατὰ ἀλήθειαν τῷ τόκῳ προσμαρτυρεῖτε, διάφορον εἰδέναι B ὑμᾶς καὶ τὴν τοῦ τόκου κυριότητα· ὅπερ προφανὲς καταγέλαστον. Ὃ γὰρ κύριόν ἐστι, οὐ διάφορον ἐστι· καὶ ὃ διάφορον, οὐχὶ κύριόν ποτε κατὰ τὸ αὐτό. Σύνετε δὲ, ὦ φυσικοὶ, μᾶλλον πεφυσιωμένοι, ὅτι καὶ λίθοι καὶ σίδηρος καὶ ξύλα πῦρ γεννᾷ, καὶ οὔτε πῦρ ὄντα, οὔτε κατὰ τὸν αὐτὸν τρόπον τοῦ πυρὸς γεννᾷ· καὶ ὅμως οὐκ ἄν τις εἴποι οὐδὲ ὑμῖν ὅμοιος, ὡς οὔτε ἀληθινοῦ πυρὸς γέννησίς ἐστιν ἡ ἐξ ἀνομοίων αὐτῷ προελθοῦσα φύσεων. Οὐκοῦν εἰς οὐδὲν ὑμῖν ἅπας ὁ κυκεὼν τῆς τοιᾶσδε ὑμῶν λέσχης κατέστρεψεν.

ΚΕΦΑΛ. ΛϚʹ.

Ἔτι δὲ ἀκουστέον αὐτῶν καὶ τοῦδε. Εἰ ἄσαρκός τε καὶ ἄτρεπτος ὁ Λόγος, κατὰ φυσικὸν αὐτοῦ λόγον, C φησὶ, πῶς ἔσται σεσαρκωμένος ὁ αὐτὸς μένων ἄτρεπτος; οὕτως γὰρ ἂν καὶ τρεπόμενος λέγοιτο ἂν ἔτι ἄτρεπτος μεῖναι. Εἴτε οὖν οὐχ ὁ Θεὸς σὰρξ γέγονεν, οὐ Θεοτόκος ἡ τεκοῦσα τὴν σάρκα· εἴτε αὐτὸς γέγονεν, οὐ Θεὸς λοιπὸν ὁ μὴ ἄτρεπτος, οὐδ' ἄρα Θεοτόκος οὐδαμῶς ἡ τοῦ τρεπτοῦ μήτηρ. Τί οὖν οὕτως ὑμῶν ἄγαν κωφωθέντων οὐκ ἐνηχεῖ τοῖς ὠσὶ παντελῶς οὐδ' ὁ τῆς βροντῆς Υἱὸς λέγων, « Καὶ ὁ Λόγος σὰρξ ἐγένετο; » Ἀλλ', ὦ οὗτοι, εἰ μὲν σεσαρκωμένον τὸν Λόγον κατὰ τροπὴν ἀκούετε τῆς φύσεως, ὡς φαμεν λελιθωμένον τὸ φυτὸν τοῦ κοραλίου, καὶ νενεκρωμένον τὸ πρὶν ζῶον, ὄντως ἂν τὸ ἄτρεπτον καταλύεσθαι εἰκότως δόξητε. Εἰ δὲ ὥσπερ κεχρυσωμένον τὸ ξύλον, καὶ ὡπλισμένον τὸν ἄνδρα λέγομεν, κατὰ D τὴν πρὸς τὸν χρυσὸν ἕνωσιν, καὶ τῶν ὅπλων τὴν ἀνάληψιν καὶ ἐπένδυσιν, τὴν πρόσληψιν τῆς σαρκὸς ἐν τῷ Λόγῳ δοξάζοντες, πῶς τροπὴν αὐτῷ φύσεως εἰσάγομεν; Εἴπερ γὰρ ξύλον ἔτι ἄχρυσον τὴν φύσιν, τὸ τὴν ἐνυπόστατον φύσιν αὐτοῦ κεχρυσωμένον· καὶ ἀνὴρ ἔτι ἀσίδηρος, ἢ μᾶλλον εἰπεῖν ἐκ ψιλοῦ τετριχωμένος τὴν φύσιν, ὁ τὴν φυσικὴν ὑπόστασιν αὐτοῦ σεσιδηρωμένος ὁπλίτης, ἢ ἐν ἀκμῇ λασιούμενος, καὶ ὁ Λόγος ἄσαρκος μένει τὴν φύσιν, ἤγουν τὸν οὐσιώδη Λόγον, ἐπιγενομένην τῇ φυσικῇ αὐτοῦ ὑποστάσει, περικείμενος σάρκα· ἐν τοῖς μὲν γὰρ οὐσιώδεσι λόγοις ὁρᾶται τὸ ἄτρεπτον τὴν φύσιν, οὐκ ἐν τοῖς ἐπιγενομένοις τῇ οὐσίᾳ· μενούσης δὲ ἐν αὐτοῖς ὡσαύτως τῆς φύσεως, ἡ περὶ τὴν ὑπόστασιν ἐπιθεωρία γίνεται.

secundum naturam immutabile, non in substantiæ adjunctis; manente autem in illis eodem modo natura quæ circa subsistentiam.

ΚΕΦΑΛ. ΛΖ'.

Ἀλλά φασι καὶ τόδε οἱ πάντα λέγειν εἰδότες, ἵνα μὴ τῇ ἀληθείᾳ συμφθέγξωνται, ἵνα καὶ τοῖς ἐξ ἀγράφου αὐτῶν ῥήμασιν ἐπεξέλθωμεν· ὅτι ἰδοὺ καὶ κατὰ τὰς ὑμετέρας ὑποθέσεις καὶ κατασκευάς, καὶ ἐκ μέρους καὶ κατά τι ἔξεστιν ὀνομάζειν τινός τινα μητέρα. Πῶς οὖν εἰ μὴ ἄσαρκον γεννηθῆναι Θεὸν ἐξ αὐτῆς δοξάζετε, λέγουσιν ἡμῖν ἀνθρωποτόκον καὶ ἐκ μέρους ταύτην Παρθένον ἀντιφέρεσθε, τὸ Θεοτόκος ὄνομα μόνον αὐτῇ κατ' ἐξαίρετον ἀποκληρώσαντες, ἀλλ' οὐδὲ Χριστοτόκον ἐκ τοῦ ὅλου φάσκοντας αὐτὴν οἰκειότερον, καταδέχεσθε; Καὶ πρὸς τοῦτο δέ φαμεν αὐτοῖς πρῶτον μὲν, Πῶς δύνασθε ἄθλιοι ἀνθρωποτόκον ὀνομάζειν τὴν ἁγίαν Παρθένον, ἐκ μέρους, οἱ δὲ ἐκ μέρους αὐτὴν Θεοτόκον ὀνομάζειν μὴ καταδεξάμενοι; Οὐ γὰρ δι' ὧν τις λόγων τὰς ὀνομασίας ἀποσκευάζεται τῶν ἐναντίων, διὰ τούτων καὶ προβάλλεσθαι δύναται τὰς ἰδίας, πλὴν εἰ μὴ κατ' ἐξουσίας τρόπον τοῦτο ποιῇ. Δεύτερον δὲ ἀκούσεσθε παρ' ἡμῶν, ὡς ἐξ ἐκείνων ὀνομάζειν τῶν μερῶν τὸ ὅλον, ἔθος τῇ θείᾳ Γραφῇ σαφέστατα, τῶν κατ' ἐπικράτειαν εἶναι ἐν τῷ συνθέτῳ φαινομένων· καὶ γὰρ ὡμολογημένως, ἔκ τε ψυχῆς καὶ σώματος τῶν ἀνθρώπων συνεστώτων πάντων, ὅμως ἡνίκα ὁ κατὰ θάτερον μέρος τῆς συνθέσεως ἐπεκράτησε τοῦ βίου, καὶ τῆς ζωῆς τῶν ἀνθρώπων λόγος, εἴρηται ὡς οὐ μὴ μείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας· καί τοι ὡμολογημένως, οὐκ ἀψύχων ὄντων τῶν σαρκικῶς βιούντων τότε, ἀλλ' ἐπικρατηθέντος τῇ φύσει τῆς σαρκός· Ἰακὼβ δὲ πάλιν ἐν ο' ψυχαῖς εἰσιέναι εἰς τὴν Αἴγυπτον ἀναγέγραπται, οὐκ ἀσωμάτως δηλονότι τὴν παρουσίαν ἐκεῖσε ποιησάντων, ἀλλὰ τῶν ἐξ Ἰακὼβ τῇ κατὰ τὸ κρεῖττον τῶν ἐν τῷ ἀνθρώπῳ πολιτείᾳ μαρτυρουμένων· ἕως πληθυνθέντες οἱ υἱοὶ Ἰσραὴλ, χυδαῖοι ἐγένοντο· οὐκοῦν δεόντως τῇ τοῦ θείου μέρους ἐπικρατείᾳ ὁσίως τε καὶ τοῖς ἱεροῖς λόγοις ἀκολούθως, Θεὸν τὸν ὅλον Χριστὸν ὀνομάζομεν· μάλιστα δὲ ὅτι καὶ τὸ ἰδικώτατον Θεοῦ γνωριστήριον ἐν τῷ κατ' αὐτὸν ὅλῳ, καὶ οὐκ ἐν τῷ ἑνὶ μόνον μέρει θεωροῦμεν, ὅπερ ἐστὶ τὸ ἀναμάρτητον· ἔτι μὴν καὶ πᾶσαν θεοπρεπῆ πρᾶξιν ἐν αὐτῷ ὅλῳ γινώσκομεν.

Τρίτον δὲ ὑμῖν φαμεν· Πῶς πάντων τῶν κυρίων ὀνομάτων, μάλιστα τῶν φερωνύμως κειμένων, ἰδικῷ τινι γνωρίσματι παρὰ τοὺς λοιποὺς τῶν ὁμοειδῶν καὶ ὑπεξῃρημένῳ σημαινομένων, ἵνα οὕτως νοοῖτο κατ' αὐτὸ τὸ πρόσωπον ἰδικῶς οὗ ἐστιν ἡ κλῆσις τοῦ ὀνόματος, ἀνθρωποτόκον λέγειν τὴν Παρθένον τὴν τοῦ Θεοῦ Λόγου γενομένην Μητέρα βούλεσθε; Πᾶσα γὰρ καὶ ἑτέρα τεκοῦσα ἐν ἀνθρώποις γυνὴ, τῷ ὀνόματι τούτῳ προσαγορεύεταί τε καὶ σημαίνεται. Οὐ γὰρ τοῦτο ἰδικῆς τινος, ἀλλὰ πάσης γυναικὸς ὀνομασία. Πῶς οὖν ἔσται κύριον τῆς Παρθένου; Ἰδιάζειν γὰρ δεῖ τὰ τῶν ὑποστάσεων· καὶ πῶς τι αὐτὴν ἐκ τοῦ κοινοῦ προσαγορεύων ὀνόματος, ἰδικῶς σημαίνει, ὥσπερ εἴωθε τὰ καθέκαστον ὀνόματα δηλοῦν τὸν δεῖνα; Εἰ γὰρ καὶ ὡς ἐπίθετον ληφθείη, ἀλλ' ὡς ἰδικὸν

A CAP. XXXVII.

Sed dicunt hoc quoque, isti cuncta dicere scientes, ne veritati consonantia loquantur, et ut eorum non scripta verba impugnemus: nempe, secundum vestras suppositiones et argumentationes, et ex parte et secundum quid licet nominare alicujus aliquam matrem; quomodo igitur, si non incorporalem genitum fuisse Deum ex illa censetis, nobis inquiunt, hominis matrem etiam ex parte illam Virginem accusatis, Dei Matris appellationem illi specialiter attribuentes, sed Christi matrem in totum nos proprie magis illam appellantes non accipitis? — Et ad hæc primum istis dicimus: Quomodo potestis, o miseri, hominis matrem nominare sanctam Virginem ex parte, qui ex parte hanc Dei Matrem nominare non consentitis? non enim per quam rationem

B aliquis denominationes contrariorum rejicit, per eamdem potest proprias admittere, nisi hoc per licentiam faciat. Secundo autem audite e nobis, quemadmodum ex his partibus totum appellare assueverit profecto Scriptura divina, quæ in composito dominari videntur. Etenim, ut ipsi fatemini, ex anima et corpore cum omnes constant homines, attamen quando in alteram compositi partem dominabatur vitæ et animalitatis hominum ratio, dictum est quod non maneat spiritus meus in hominibus istis eo quod caro sint; verum sine dubio non absque anima erant isti qui carnaliter tum vivebant, sed dominabatur naturæ caro. Jacob quoque cum septuaginta animabus ingressus esse in Ægyptum scribitur non incorporali præsentia ibi significata, sed filiorum Jacob parte e duabus hominis

C partibus meliore indicata, usquedum aucti filii Israel, numerosi facti sunt. Igitur convenienter ex divinæ partis præstantia religioso modo et sacris verbis consentaneo, Deum Christum totum appellamus; præsertim quia proprium maxime Dei attributum in toto Christo, et non in una tantum parte cernimus, quod est impeccabilitas; adhuc etiam omnem divinæ convenientem naturæ actionem in hoc toto agnoscimus.

Tertio autem vobis dicimus: Quomodo cum omnia propria sint nomina, præsertim quæ significative versantur, particulare et præscindens inter re-

D liquas similes personas indicium exhibentia; ita ut sic intelligatur in illam ipsam personam cujus proprium est, nominis appellatio, hominis parentem dicere Virginem Dei Verbi Matrem factam contenditis? Omnis enim et alia pariens inter homines mulier, hoc eodem nomine dicitur et significatur; nam alicujus particularis non est, sed omnis mulieris appellatio: cur non erit propria Virginis? Distinguere enim oportet quæ pertinent ad subsistentias, et quomodo aliquid, hanc communi nomine appellans, particulariter significat, sicut assuetum est singula nomina talem quemdam indicare? Si

enim ut epithetum sumitur, sed ut epithetum proprium averti debet a solito nominum usu. Sic enim agitur in his quæ duo nomina habent, duobus nominibus ad unam personam proprie ordinatis; ut sol et hyperion, plenilunium et luna : non enim in aliis hæc epitheta ut communia sumenda sunt. Ut autem clarius loquamur, hominis mater et Dei Mater, nomina sunt epitheta personarum; epitheta autem, aut communia sunt, ut Philopator Ptolemæus, et Philadelphus, alter; etenim alii similes illis facti sunt et fuerant philopatores et Philadelphi, et forte omnes; aut propria sunt, ut sine matre natus solus Adam, et coma validus solus Samson, præter omnes ejusdem naturæ. Epithetum autem nomen hominis matris, ut proprium non diceretur in immaculata Virgine, multa aliarum millia cum sint mulierum hominis matrum; ut commune autem si quis illud dixerit et in illa sicut in cæteris, siquidem vere commune sit, eodem modo in omnibus in quibus adhibetur, oportet illud appellari, et eamdem rem pari modo omnino et semper significare. Non enim synonyma sunt quædam, cum non communia sint nomini et rei nominis causæ. Vel igitur cæteras mulieres omnes, hominis matres cum illa dictas, et ipsas necesse est deos homines aliquos parere Christo similes, ut illam ex parte ipsas etiam, et non ex toto ita appellari; vel illam Deum hominem parere, non autem ex parte sed ex toto ita appellari, puta hominis parentem; si non autem illa ex toto neque istæ ex parte dicerentur hominis parentes. Sed neque illa merum peperit hominem, neque istæ Deum hominem, unquam pepererunt, quomodo erit in illis communiter hominis parentis nomen adhibitum? Siquidem agitur neque huic reginæ proprie, neque communiter appellari convenit hoc nomine, fatendum est quod nulla ratione hominis parens vere dici possit sancta Dei Parens. Illius cum solum particulare nomen sit quod ex parte est, non vetatur quin aut cur in nominis similitudinem cum alia inter mulieres non incurrens, ob id in hominis parentis nomine ostendatur.

Sed et id igitur observandum est adhuc, quod si personarum nomina propriam subsistentiam aliquam alicujus significantia, non e rebus quæ huic et aliis communes sunt, sed ex his quæ propriæ solius sunt personæ nominatæ, volunt intelligi; siquidem mulieres dicuntur innumeræ, et hominis matres numerosæ, et virgines multæ et plurimæ Mariæ sunt, et solum particulare, proprium et significativum maxime est in immaculata et semper gloriosa Virgine nomen Dei parentis. Quod et ex seipsis discerent adversarii, ni disputationem solam exquirerent. Si enim simpliciter mulieris Virginis sanctæ vocabulum intelligerent isti, nunquam contenderent vanum de hac quavis persona commentum. Si vero Dei parentis vocabulum edocti forent, cum alia talis non sit, statim illam ut Dei Matrem venerarentur indubitan-

A ἐπίθετον ἀντιστρέφειν δεῖ πρὸς τὸ ὑποκείμενον τῶν ὀνομάτων· οὕτω γὰρ ἔχει καὶ ἐπὶ τῶν διωνύμων, δύο ὀνομάτων καθ' ἓν προσώπου κυρίως τεταγμένων, ὡς ἥλιος ὁ καὶ ὑπερίων, καὶ διχομηνὶς ἡ σελήνη· οὐ γάρ ἐστι καὶ ἐπὶ ἑτέρων τάδε τὰ ἐπίθετα ὡς κοινὰ λαβεῖν. Σαφέστερον δὲ εἰπεῖν, τὸ ἀνθρωποτόκος καὶ Θεοτόκος, ὀνόματά εἰσιν ἐπίθετα προσώποις· τὰ δὲ ἐπίθετα, ἢ κοινά ἐστιν, ὡς φιλοπάτωρ ὁ Πτολεμαῖος, καὶ φιλάδελφος ἕτερος· καὶ γὰρ καὶ ἄλλοι τῶν ὁμοειδῶν αὐτοῖς γεγόνασι καὶ εἶεν φιλοπάτορες καὶ φιλάδελφοι, καὶ σχεδὸν πάντες· ἢ ἰδικά ἐστιν, ὡς ἀμητρογενὴς μόνος ὁ Ἀδάμ· καὶ τριχοσθενὴς ὁ Σαμψὼν μόνος, παρὰ τοὺς ὁμοφυεῖς πάντας· τὸ δὲ ἀνθρωποτόκος ἐπίθετον ὄνομα, ὡς μὲν ἰδικὸν οὐκ ἂν λέγοιτο κατὰ τῆς ἀχράντου Παρθένου, μυρίων καὶ B ἑτέρων οὐσῶν ἀνθρωποτόκων γυναικῶν δηλαδή· ὡς δὲ κοινὸν εἰ φῇ τις αὐτὸ καὶ κατ' αὐτῆς ὡς καὶ καθ' ἑτέρων, εἴπερ ἀληθῶς ἔσται κοινὸν, κατὰ τὸν αὐτὸν τρόπον ἐν πᾶσιν οἷς ἐπίκειται, δεῖ αὐτὸ ὀνομάζεσθαι, καὶ τὸ αὐτὸ πρᾶγμα ὡσαύτως πάντῃ κατὰ πάντα σημαίνειν· οὐ γὰρ συνώνυμα ἔσται τινὰ, μὴ κοινωνοῦντα τῷ τε ὀνόματι καὶ τῷ πράγματι τῷ αἰτίῳ τοῦ ὀνόματος. Ἢ οὖν καὶ τὰς λοιπὰς γυναῖκας πάσας, ἀνθρωποτόκους σὺν αὐτῇ λεγομένας, καὶ αὐτὰς ἀνάγκη θεανθρώπους τινὰς τεκεῖν κατὰ Χριστὸν, ὥσπερ αὕτη ἀπὸ μέρους τε καὶ αὐτὰς, καὶ οὐκ ἐκ τοῦ ὅλου οὕτως ὀνομάζεσθαι, ἢ μηδὲ τήνδε σύνθεόν τινα τεκεῖν ἄνθρωπον, μηδὲ ἀπὸ μέρους· ἀλλ' ἐκ τοῦ ὅλου οὕτως ὀνομάζεσθαι, ἤγουν ἀνθρωποτόκον· εἰ δὲ μηδὲ αὕτη ἐξ ὅλου, μηδὲ ἐκεῖναι ἐκ μέρους C εἴρηνται ἀνθρωποτόκοι· ἀλλ' οὔτε αὕτη ψιλὸν τέτοκεν ἄνθρωπον, οὔτε ἐκεῖναι σύνθεον πώποτε γεγεννήκασι, πῶς ἔσται ἐν αὐταῖς κοινῶς τὸ ἀνθρωποτόκος ὄνομα κείμενον; οὐκοῦν ἐπείπερ, μήτε ἰδικῶς τῇ Δεσποίνῃ, μηδὲ κοινῶς ὀνομάζεσθαι ἥρμοσε τόδε τὸ ὄνομα, ὡμολόγηται ὡς κατ' οὐδένα λόγον ἀνθρωποτόκος ἀληθῶς ἂν λέγοιτο ἡ ἁγία Θεοτόκος· αὐτῆς δὲ μόνον ἰδικῶς τὸ ὄνομα τὸ ἐκ μέρους οὐ κεκώλυται, πῶς ἢ πόθεν εἰς ὁμωνυμίαν τινὰ πρὸς ἑτέραν τῶν γυναικῶν οὐκ ἐκπιπτούσης, κατὰ τόδε ὡς ἐπὶ τοῦ ἀνθρωποτόκος ἐδείχθη.

Ἀλλὰ καὶ τόδε γοῦν σκοπητέον ἔτι, ὡς εἰ τὰ τῶν προσώπων ὀνόματα ἰδικήν ὑπόστασίν τινα τοῦδέ τινος D σημαίνοντα, οὐκ ἐκ κοινῶν τινων ἅ ἐστι καὶ ἑτέροις, ἀλλ' ἐξ ἰδικῶν καὶ αὐτοῦ μόνου ὄντων, τοῦ ὀνομαστοῦ προσώπου θέλει λαμβάνεσθαι· εἴπερ καὶ γυναῖκες λέγονται ἄπειροι, καὶ ἀνθρωποτόκοι ἀμέτρητοι, καὶ παρθένοι μυρίαι, πλεῖσται καὶ Μαρίαι εἰσί· καὶ μόνον ἰδικώτατον καὶ κυριώτατον καὶ σημαντικώτατόν ἐστι τῇ ἁγίᾳ ἀχράντῳ καὶ ἀειδόξῳ Παρθένῳ ὄνομα τὸ Θεοτόκος· ὅπερ καὶ ἀφ' ἑαυτῶν μάθοιεν οἱ ἀντιλέγοντες μὴ πρὸς ἔριν μόνην ἀπεσχληκότες· εἰ γὰρ ἁπλῶς τὸ γυνὴ ἡ Παρθένος ἡ ἁγία ἀκούσειαν καὶ αὐτοὶ, οὔπω στηρίζονται ἐφ' ἕν τὸ δέ τι πρόσωπον τὴν φαντασίαν· εἰ δὲ τὸ Θεοτόκος ἐνηχηθεῖεν, ἄλλης οὐκ οὔσης τοιᾶσδε, εὐθὺς ἐπὶ τὴν Θεομήτορα ταύτην ἀποβλέπουσιν ἀναμφιβόλως, περὶ αὐτῆς πεπεισμένοι εἶναι τὸ λεγόμενον· καὶ οὕτω

μὲν τάδε· πῶς δὲ καὶ αὐτοὶ ἀνθρωποτόκον ἐκ μέρους αὐτὴν λέγειν βούλονται, εἰπάτωσαν. Εἰ μηδὲ Θεοτόκος ἐκ μέρους ὄντως, ὅπουγε τὰ λόγια καὶ ψυχὴν μόνον τὸν ἄνθρωπον, καὶ σάρκα μόνως ἐκάλεσαν· καὶ ἡ κοινὴ δὲ πάντων χρῆσις, ἕως τοῦ νῦν μήτε ἀνθρωποτόκος, μήτε Θεοτόκος ἐκ μέρους λέγοιτο, ἄτοκος ἢ ἀνώνυμος ἔσται κατά γε τὸ ὄνομα τὸ φυσικὸν τοῦ τεχθέντος ἐξ αὐτῆς· τὸ γὰρ Χριστὸς, προσωπικὸν, καὶ οὐ φυσικὸν, οὐδὲ τοῦ εἴδους ὄνομά ἐστιν, ἵνα λέγοιτο Χριστοτόκος, ἀλλὰ τοῦ προσώπου, ὡς εἰ καὶ Ἰαννοτόκος ἡ Ἐλισάβετ λέγοιτο, ὅπερ οὐ νῦν ἐστι τὸ ζητούμενον ἡμῖν, ἀλλ' ὅπως ἂν ἐκ τῆς φύσεως τοῦ τεχθέντος λέγοιτο.

Εἰ δὲ καὶ πρὸς τάδε τις εἴποι ὅτι καὶ Θεοτόκος κοινόν τι ὄνομα ἀπὸ φύσεως τοῦ τεχθέντος ἐπικείμενον καὶ τῷ Πατρὶ καὶ τῇ Μητρὶ τοῦ Κυρίου ἐστὶ, καὶ δέον ἢ ἐν ἀμφοῖν ὁμοίαν θεωρεῖσθαι γέννησιν αὐτοῦ, ἢ τῇ κυριωτέρᾳ προσκυρωθῆναι τὸ ὄνομα· ἐπεὶ οὖν μόνον τε Θεὸν καὶ εἰς τὸ εἶναι, εἰ καὶ ἀχρόνως, καὶ ἀεὶ προάγει ὁ Πατὴρ τὸν Υἱὸν, πῶς οὐ μᾶλλον αὐτὸς ἰδικῶς ἂν λέγοιτο Θεοτόκος μόνος, κοινῶς δὲ οὐδεὶς σὺν αὐτῷ; ἀλλ' εὔδηλον ὡς οὐ δύναται ἐκ τῆς οὐσίας ὁ Πατὴρ λέγεσθαι τοκεύς· οὐ γὰρ οὐσίαν ἑτέραν ἀριθμῷ ἑτέρα ἔτεκε θεία· τριθεΐας γὰρ τόδε· ἀλλὰ τῶν τῆς αὐτῆς ὄντων οὐσίας μιᾶς διαφόρων ἰδιωμάτων θάτερον θατέρου αἴτιον ἐν αὐτῇ· τὸ γὰρ νοῦ καὶ ἐπιστήμης δεκτικὸν τῆς οὐσίας Δαβὶδ, τοῦτο αἴτιον τοῦ μουσικοῦ αὐτοῦ ἰδιώματος, οὐ μὴν ἑτέρας οὐσίας μουσικῆς ἢ ὡς οὐσία· καὶ γὰρ καὶ τῶν ἀμούσων οὐσία ἐστίν. Εἴ ποτε οὖν ἢ ἀνθρωποτόκον ἢ καὶ Χριστοτόκον εἴπητε, ὅσον οὔπω τῆς ἀσεβείας ὑφήσαντες, οὐδὲ οὕτως ἐροῦμεν ὡς ἰδιωτάτην ὀνόματι σημαίνετε· τῶν γὰρ κατὰ τὸν Ἰσραὴλ διὰ τοῦ αἰσθητοῦ μύρου χριομένων βασιλέων τε καὶ ἱερέων λεγομένων πλείστων χριστῶν, καὶ τῶν διὰ τῆς θείας ἐνεργείας χριομένων προφητῶν καὶ τῆς θείας προχειρίσεως, οἷον Κῦρος ὁ Περσῶν βασιλεὺς, οἷς πλείους εἰσὶ μητέρες, οὐ διακριθήσεται οὐδ' οὕτως· πάσαις γὰρ τῷ αὐτῷ ἐπιθέτῳ ὀνόματι, μία τε καὶ κοινὴ ἔσται κλῆσις σὺν αὐτῇ. Συνθέτου γὰρ πράγματος ἔκ τε χρίσεως καὶ χριομένου ἐστὶ δηλωτικὸν ὄνομα τὸ Χριστός· οὐ μὴν οἵας ἐστὶ φύσεως ἢ τὸ χρίσμα ἢ τὸ χρισθέν· οὐκοῦν οὐδὲ οὕτως αὐτὴν ἐξονομάζειν ἔστιν εἴ τῳ κυρίῳ καὶ ἰδίῳ αὐτῆς ὀνόματι, τῶν τε συνωνύμων καὶ ὁμωνύμων αὐτὴν διακρίνειν βουληθείημεν. Ἀναγκαίως οὖν ἐκ τοῦ προσόντος αὐτῇ ἀληθῶς καὶ μόνως παρὰ τὰς λοιπὰς πάσας γυναῖκας ὀνομαστέον τὴν ἄχραντον Παρθένον· τοῦτο δέ ἐστι τὸ, Θεὸν φύσει ὄντα τεκεῖν ἀψευδῶς γεννήσει οὐ φυσικῇ οὔσῃ Θεοῦ ἀλλ' ἐπιτηδευτῇ.

Διὸ δὴ καὶ Θεοτόκος ἡ Παρθένος ἀληθῶς ἧδε ἐπὶ τούτοις φαμὲν, ὅτι εἷς ὁ τόκος οὐκ ἐκ σπορᾶς, οὐ κατὰ φύσιν, οὐχ ὅμοιός τινι τῶν ἀνθρώπων, ἀλλὰ θεῖος διὰ τῆς ἀρραγοῦς μήτρας παρθενικῶς ἐδείχθη· πῶς οὐ κυρίως Θεοτόκος καὶ ἐξ αὐτοῦ τοῦ τρόπου τῆς ἀποτέξεως λέγοιτο; Ἐπὶ τούτοις δὲ λεγέσθω ἡμῖν καὶ

A ter, in illa persuasum habentes impleri hoc vocabulum. Et hæc quidem satis. Quomodo autem et isti hominis Matrem ex parte illam dicere velint, loquantur; nisi vero Dei Mater ex parte sit revera, quandoquidem Scripturæ animam solum hominem, et carnem solum vocarunt. Et communi omnium usu; quandiu neque hominis Mater neque Dei Mater ex parte vocatur, sine partu et sine nomine erit, si nomen naturale observetur ejus qui ex illa genitus est. Christi enim nomen, personæ, non naturæ; neque speciei nomen est, ut dicatur Christi parens, sed personæ, ut si Joannis parens Elisabeth diceretur, quod non est a nobis quæsitum, sed quomodo ex natura geniti diceretur.

Si vero ad hæc aliquis dicat, Deiparentis nomen B e geniti natura impositum commune Patri et Matri Domini esse, et oportere aut in ambobus similem agnoscere illius generationem, aut magis propriæ generationi nomen assignari, cum igitur solum Deum et exsistentiam, etsi æterne et semper, producit Pater Filium, quomodo non ille potius et proprie magis solus diceretur Deiparens, simulque nullus cum illo? Verum patet non posse e substantia patrem dici parentem. Non enim substantiam aliam numero alia genuit divina substantia; quippe trideitas illud foret; sed ex ejusdem unius substantiæ diversis particularitatibus una alterius causa est in eadem substantia. Quod enim mentis et scientiæ substantiam in Davide comple- C ctebatur, hoc poeticæ istius particularitatis causa fuit, non equidem alterius substantiæ poeticæ ut substantia. Etenim et non poetarum substantia est. Si forte igitur hominis aut Christi parentem dixeritis, parum abest quin ab impietate desistatis, non ita nos dicemus illam a vobis nomine maxime proprio significari. Non enim a matribus regum Israel sensibili unguento unctorum, et sacerdotum plurimorum qui christi aut uncti dicti sunt, et prophetarum Dei inspiratione unctorum, aut illorum quos Deus manu perduxit, qualis fuit Cyrus Persarum rex, quibus plurimæ fuerunt matres, sic ipsa discernetur. Omnibus enim per idem epithetum nomen una et communis erit appellatio cum illa. Compositæ enim res ex unctione et uncto manifeste D Christi nomen est; non certe unius est naturæ vel unguentum vel unctum. Igitur non illam nominare licet si proprio et particulari illius nomine ab iis quæ synonymum et simile nomen obtinuerunt discernere illam voluerimus. Necessario igitur ex eo quod illi vere et unice pertinet inter reliquas omnes mulieres nominanda est immaculata Virgo: hoc autem est, quod Deum natura pepererit vere generatione non naturali quæ Dei est, sed benevolenti.

Idcirco et Dei-parens hæc Virgo vere est, ad hæc adjicimus, quia unus genitus non ex semine, non secundum naturam, non similis alicui hominum, sed divinus ex integro utero virginaliter emicuit. Quomodo non proprie Dei-parens vel ex isto partus modo diceretur? Ad hæc a nobis dicatur et sæpius

multis matribus, ex fine quem consecuti erant filii, epithetorum appellationem contigisse; sic enim inclytam-filio, regis-matrem, et pulchri-genitricem dicimus istam; nempe non per virtutem e principio aut inclytam laudem puero præsuppositam, sed postea manifestatam, et parentibus appellationem adjicientem; quando ergo et nos, si cognovimus secundum carnem Christum, sed nunc minime cognoscimus. Cum quidem Verbum Deus secundum naturam in ipso sit, et caro secundum naturam post resurrectionem ipsa divina facta sit in perfectum, cum non habeamus neque ex parte neque secundum aliquam rationem, quidpiam in eo aut circa eum vacuum divinitate cogitare, et benedictum, non quidem per hanc quæ in illo secundum naturam habitabat divinitatem, ejus nomen fuerit super omne nomen, et Dominus et Deus factus sit Jesus ille quem Judæi crucifixerunt; necessario minime hominis-parentem, sed Dei-parentem matrem ejus solam nominamus et veneramur omnino-colendam. Ejus enim qui ex illa prodiit, et in substantia et in unione Divinitatem agnoscentes, totum illum Deum glorificamus et adoramus; etsi cognoscimus servari illam ex humanitate partem divinam factam in Christo ex illa nato, et hanc ineffabiliter carne indutam. Illa enim præstantiori assumptione, non destructione divina facta est, et benevolentia non mutatione altera caro facta est.

Si vero, inquiunt, quasi ex parte quædam dicantur nomina, sed nos Deum, non quasi ex parte, Christum nominamus. Si enim pars Christi dicitur Divinitas ad clariorem significationem illius compositi, sed omni parte et toto isto intelligitur perfectius Verbum esse. Non enim Verbum inferius Christo dicimus, sed simplicius; quod enim pars dicitur partis cum illa cunjunctæ, ipsius ad eamdem unionis istius et compositionis modi ipsius principium et coadunans et propriam efficiens cernitur. Et quod proprium totum agit magis est quam quod actum est, ut pars proprii totius, ut natura in aliis compositis; quomodo non proprie et vere magis alius partis et ejus, quod secundum ipsam intelligitur, totius appellatio personæ, et subsistentis in illa omnis compositionis ex se efficeretur? Ultimo autem a vobis id dicendum est, quod si Christum nominantes illum Dominum et Deum significari scitis, et nihil inferioris in Divinitate per utrumvis nomen de illo existimatis, quid molesti vobis affert Dei-parentis vocabulum, pro Christi-parentis vocabulo? Et cur ex toto potius Christi-parentem appellare vultis? Si enim idem est Christus ac Deus, et idem Christi-parentis ac Dei-parentis appellatio. Si vero aliud quid Deum scitis esse apud Christum, priorem vestram eamdem blasphemiam fatemini; et non per posteriorem demum incredulis semel et impiis Judæis omnino conformia Christiane disseritis. Sed quando illa cum Deo bene vos confessi estis et ostendistis, sanctam et justam et veram Dei-parentem revera sanctam Virginem Mariam e

A ὅτι πολλάκις πολλοῖς τῶν γεννητόρων, ἐκ τοῦ τέλους τοῦ κατὰ τοὺς παῖδας, ἡ τῶν ἐπιθέτων ὀνομασία προσγέγονεν· οὕτως γὰρ κλυτόπαιδα, καὶ ἀνακτόκον, καὶ καλλίγονόν φαμεν τήνδε· καί τοι οὐκ ἐξ ἀρχῆς τῷ βρέφει τῆς ἀρετῆς ἢ τῆς ἀξίας ἐνεργείας συμπροελθούσης, ἀλλ' ὕστερον ἐμφανισθείσης, καὶ τοῖς γονεῦσι τὴν ὀνομασίαν προσαγαγούσης· ἐπεὶ οὖν καὶ ἡμεῖς, εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν· τοῦ μὲν ἐν αὐτῷ Λόγου Θεοῦ κατὰ φύσιν ὄντος, τῆς δὲ κατὰ φύσιν σαρκὸς μετὰ τὴν ἀνάστασιν αὐτῆς θεωθείσης εἰς τὸ παντελές· οὐκ ἔχοντες οὐδὲ ἐκ μέρους, οὐδὲ κατὰ λόγον τινὰ, τί τῶν αὐτοῦ ἢ περὶ αὐτῶν γυμνὸν κατανοῆσαι θεότητος· χαρισθέντος καὶ τῷ μὴ κατὰ φύσιν ἐν αὐτῷ θείῳ τοῦ ὀνόματος τοῦ ὑπὲρ πᾶν ὄνομα· Κυρίου B τε καὶ Θεοῦ γενομένου Ἰησοῦ τούτου ὃν Ἰουδαῖοι ἐσταύρωσαν· ἐξ ἀνάγκης οὐκέτι καὶ ἀνθρωποτόκον μητέρα, ἀλλὰ Θεοτόκον Μητέρα μόνον ὀνομάζομέν τε καὶ προσκυνοῦμεν τὴν πάνσεπτον· τοῦ γὰρ ἐξ αὐτῆς προελθόντος, τὸ μέν τοι κατ' οὐσίαν, τὸ δὲ κατὰ μετουσίαν θεῖον εἰδότες, ὅλον αὐτὸν Θεὸν τέλειον δοξάζομεν καὶ προσκυνοῦμεν· εἰ καὶ γινώσκομεν σεσῶσθαι τὸ ἐξ ἀνθρωπότητος θεωθὲν ἐν τῷ τεχθέντι ὑπ' αὐτῆς Χριστῷ, καὶ τὸ ἀφράστως σαρκωθέν· κρειττώσει γὰρ καὶ οὐκ ἀναιρέσει τόδε τεθέωται· καὶ εὐδοκίᾳ οὐ τροπῇ τὸ ἕτερον σεσάρκωται.

Εἰ δὲ, φασὶν, ὡσεὶ καὶ ἐκ μέρους τινὰ λέγοιντο ὀνόC ματα; ἀλλ' ἡμεῖς Θεὸν οὐχ ὡς ἐκ μέρους τὸν Χριστὸν ὀνομάζομεν· εἰ γὰρ καὶ μέρος λέγεται Χριστοῦ ἡ θεότης πρὸς σαφήνειαν τῆς συνθέσεως αὐτοῦ, ἀλλὰ παντὸς μέρους καὶ ὅλου νοεῖται αὐτῆς τελειότερος ὁ Λόγος· οὐ γὰρ τὸν Λόγον ἥττονα Χριστοῦ φαμεν, ἀλλ' ἁπλούστερον· ὃ γάρ τι μέρος λεγόμενον τοῦ τε σὺν αὐτῷ συγκειμένου μέρους, αὐτῆς πρὸς ἑαυτὸ ἑνώσεως τοῦδε καὶ τοῦ τῆς συνθέσεως αὐτοῦ τρόπου, αἴτιόν τε καὶ συνεκτικὸν καὶ κυριεῦον θεωρεῖται· καὶ ἄγον τὸ οἰκεῖον ὅλον μᾶλλον ἢ ἀγόμενον, ὡς μέρος ὑπὸ τοῦ οἰκείου ὅλου, ὡς φύσις τοῖς ἄλλοις συνθέτοις· πῶς οὐ κυρίως καὶ κατὰ ἀλήθειαν μᾶλλον τοῦ τε ἑτέρου μέρους καὶ τοῦ κατ' αὐτὸ ὡς ὅλου νοουμένου, τὴν ὀνομασίαν τοῦ προσώπου, καὶ τοῦ ὑφεστῶτος περὶ αὐτὸ παντὸς συγκρίματος ἐξ ἑαυτοῦ D ποιήσοιτο; ἔσχατον δὲ ὑμῖν καὶ τόδε λεκτέον, ὡς εἰ Χριστὸν ὀνομάζοντες αὐτὸν τὸν Κύριον καὶ Θεὸν ἴστε σημαίνεσθαι, καὶ οὐδὲν ἧττον εἰς θεότητα διὰ θατέρου τῶν ὀνομάτων περὶ αὐτοῦ λογίζεσθε, τί δυσχεραίνετε ἐπὶ τῇ Θεοτόκος φωνῇ, ἀντὶ τῆς Χριστοτόκου; καὶ ὡς ἐκ τοῦ ὅλου μᾶλλον Χριστοτόκον ἀποκαλεῖν βούλεσθε; Εἰ γὰρ ταυτὸν Χριστὸς τῷ Θεῷ, καὶ ἡ Χριστοτόκος τῇ Θεοτόκῳ ὀνομασίᾳ· εἰ δὲ ἕτερόν τι ἴστε Θεὸν παρὰ τὸ Χριστὸν, πρώτην ὑμῶν ταύτην τὴν βλασφημίαν ὁμολογεῖτε· καὶ οὐ περὶ τῆς δευτέρας λοιπὸν ὡς πάντη ἀπίστοις ἅπαξ καὶ ἀσεβέσιν Ἰουδαίοις, Χριστιανικῶς προσδιαλεγόμεθα· ἀλλ' ἐπεὶ ταῦτα σὺν Θεῷ καλῶς ὑμῖν ὡμολόγηται καὶ ἀποδέδεικται, ὅσιον καὶ δίκαιον καὶ ἀληθινὸν Θεοτόκον ὄντως τὴν ἁγίαν Παρθένον Μαρίαν ἐν οὐρα

νοῖς ὑμνεῖσθαι, καὶ ἐπὶ γῆς προσκυνεῖσθαι, σώφρονι λογισμῷ καὶ ἀμωλύντῳ διανοίᾳ χείλεσί τε ἁγνοῖς καὶ ὑπὸ πάντων μακαριζομένην, νῦν δὲ καὶ εἰς πάσας τὰς γενεὰς τῶν αἰώνων. Ἀμήν. Ταῦτα μὲν οὖν παρ' ἡμῶν πρὸς ὑμᾶς τὴν ἀληθῆ τε καὶ πρέπουσαν ἰδικωτάτην ὀνομασίαν τῆς ἁγίας Παρθένου Θεοτόκου παραιτουμένους.

A cœlis celebrari, et in terra adorari, sapienti reflexione et invicta cogitatione purisque labiis et ab omnibus beatam prædicari, nunc autem et in omnes generationes sæculorum. Amen. Hæc quidem igitur a nobis ad vos dicta sunt veram et convenientem propriam maxime appellationem sanctæ Virginis Dei-parentis rogantes.

ΚΕΦΑΛ. ΛΗ'.

Ὅτι οὐδὲ Θεὸς ὁ Χριστὸς εἰκότως ὀνομάζεται, τολμῶσι κατασκευάζειν.

Θεὸς ἦν ὁ Λόγος· γέγονεν ἄνθρωπος· εἰ Θεοτόκος ἡ Παρθένος, δῆλον ὅτι οὗ ἦν ὁ Λόγος, ἔστι Μήτηρ ἡ Παρθένος, οὐχὶ οὗ γέγονεν· εἰ δὲ διὰ τὸν ἄνθρωπον ἔχει μητέρα, τοῦ ἀνθρώπου Μητέρα μὴ ἔχοντος, οὐδὲ ἄρα ὁ Λόγος δύναται ἔχειν μητέρα. Ἀλλὰ καὶ οὗ ἦν καὶ γέγονεν ὁ Λόγος, ἔστι μήτηρ ἡ Παρθένος· καὶ ἅμα μὲν, ἀλλ' οὐχ ὁμοίως· τοῦ μὲν γὰρ Λόγου, ὡς ἐξ αὐτῆς ἐναρξαμένου σαρκώσεως· τῆς δὲ σαρκὸς, ὡς ἐξ αὐτῆς ἐναρξαμένης ὑπάρξεως.

CAP. XXXVIII.

Quod Christus non vere dicitur Deus asserere audentibus.

Deus erat Verbum, factum est homo; an Virgo sit Mater Dei, sane Virgo ejus est Mater cujus erat Verbum, non cujus factum est : an secundum hominem matrem habeat, homine matrem non habente, sane Verbum matrem habere non potest. B Sed et ejus erat Verbum et cujus sanctum est, ejus est Mater Virgo, et simul quidem, sed non simili modo, Verbi quidem, ut ex illa incarnati, carnis vero ut ex illa substantiam accipientis.

ΚΕΦΑΛ. ΛΘ'.

Κατὰ μὲν τὸν προφήτην, τὸ Ἐμμανουὴλ ὄνομα, σημείου ἐστὶν ὄνομα τοῦ ἐκ τῆς Παρθένου τῷ οἴκῳ Δαβὶδ τικτομένου τε καὶ διδομένου· κατὰ δὲ τὸν Αἰγύπτιον, τοῦ δοτῆρος τοῦ σημείου Θεοῦ ἐστι τὸ ὄνομα τὸ Ἐμμανουήλ. Ἀλλ' οὐ σημεῖόν ἐστιν ὁ Ἐμμανουὴλ· ὄνομα γάρ ἐστι ὑποστάσεώς τινος σημαντικὸν, καθ' ἣν μεθ' ἡμῶν τῶν ἀνθρώπων Θεὸς γέγονε· πῶς δὲ γέγονεν μεθ' ἡμῶν, ἢ δῆλον ὡς καὶ πρώην διειστήκει ἡμῶν; διέστηκε δὲ ἡμῶν Θεὸς, οὐκ ἐνεργείᾳ, οὐ σχέσει, οὐ τόπῳ πώποτε· φύσει ἄρα, ὥστε καὶ φύσει τῇ ἡμετέρᾳ νῦν ἥνωται τὴν φύσιν, καὶ ἔστιν ὄντως μεθ' ἡμῶν· σημεῖον δὲ οὐ γέγονεν μεθ' ἡμῶν· ἀλλ' εἴγε καὶ ἄρα ἐν ἡμῖν τις εἴποι, οὐ μεθ' ἡμῶν τὸ σημεῖον· τοῦ δὲ *Ἐμμανοὺ*, τὸ *μεθ' ἡμῶν* ὡμολογημένως σημαίνοντος κατὰ Ἑβραίους, τὸ ἦλ, ποῦ ποτε ἀκήκοαν σημεῖον σημαίνειν, καὶ οὐ τὸν Θεὸν σαφῶς λέγειν;

CAP. XXXIX.

Secundum prophetam, nomen Emmanuel, est nomen signi ex Virgine editi et domui David dati, secundum Egyptium vero Emmanuel nomen est Dei signum dantis. Sed Emmanuel signum non est, siquidem nomen est significans quamdam hypostasin, secundum quam nobiscum hominibus Deus advenit; quomodo vero advenit nobiscum, annon evidens quod antea aberat a nobis? Deus aberat a nobis, non virtute, non habitudine, nunquam loco; C natura vero, siquidem nostræ naturæ suam naturam univit, et vere est nobiscum. Signum vero non advenit nobiscum, sed si quando forte loqueretur quis in nobis, non esset signum nobiscum. Quoad *Emmanu* significans secundum Hebræos communiter quod est *nobiscum*. Ubi unquam auditum est signum significare, nec Deum sapienter loqui?

ΚΕΦΑΛ. Μ'.

Τῶν τικτομένων ἡ φύσις, θετοῖς ὀνόμασιν οὐδαμοῦ παραδηλοῦται· τὰ γὰρ θετὰ ὀνόματα, τῶν τῇ φύσει συμβαινόντων ἔστι σημαντικά· τοιοῦτον δὲ καὶ τὸ Ἐμμανουὴλ ὄνομα, ἅτε θετὸν ὄνομα. Οὐ τὴν φύσιν οὖν δηλοῖ τοῦ λαβόντος, τοῦ Ἐμμανουὴλ ἡ κλῆσις κατὰ τὸν Αἰγύπτιον· ἀλλὰ Θεοῦ τὴν συμμαχίαν εἶναι, μετὰ τῶν εἰληφότων τὸ Ἐμμανουὴλ εἰς σημεῖον ἐκείνης. Ἀλλ' οὐδὲν ἕτερον ὄνομα ἰδικὸν ὅ φασί τινες καὶ Κύριον ἤγουν τὸ καθ' ὑποστάσεως ἑνὸς προσώπου κείμενον, φύσεώς ἐστι δηλωτικὸν ἁπλῶς· οὔτε γὰρ ὁριστικῶς, ἀλλ' οὐδὲ σημαντικῶς, ὡς τὰ κοινὰ καὶ προσηγορικὰ τισὶ λεγόμενα ὀνόματα, ἐπὶ τὴν οὐσίαν ἀναπέμπει τὴν ἔννοιαν· ἀλλ' οὐδὲ τὸ ὁπωσοῦν κατὰ πλειόνων· ξάνθον γὰρ ἵππον τινὰ καὶ ποταμὸν καὶ ἄνθρωπον, ἔστι φαντασθῆναι ἀκούσαντας· τῶν οὖν προσωπικῶν ὀνομάτων ἀεὶ θετοῖς τισι καὶ συμβεβηκόσι ταῖς οὐσίαις δηλούντων τὰς ὑποστάσεις, ἄρα γε καὶ τὸ Ἐμμανουὴλ, κατὰ προσώπου κείμενόν ἐστι, καθ' ὃ πρόσωπον συμβέβηκεν ἡμῖν κοινωνίαν ἔχειν πρὸς Θεόν· εἴπερ μεσίτης Θεοῦ καὶ

CAP. XL.

Natorum natura nusquam designatur nominibus impositis, nam nomina imposita sunt significativa accidentium naturæ : hujusmodi est nomen Emmanuel, utpote nomen impositum; appellatio Emmanuel ergo secundum Ægyptium naturam accipientis D non designat, sed esse unionem Dei cum accidentibus Emmanuel in signum istius. Sed nullum aliud nomen speciale; quod quidam igitur Dominum dicunt, positum sub imagine unius hypostasis, simpliciter designat naturam. Sed nec definitive, nec significative, ut nomina communia et appellativa aliquibus dicta remittunt cogitationem in naturam plerumque nihil omnino indicant. Per vocem enim *ξάνθον* (flavum) audientes sibi possunt effingere equum quemdam, vel fluvium et hominem. Cum igitur nomina personalia additis quibusdam et accidentibus substantiarum semper hypostases designant; ergo et nomen Emmanuel personæ tribuitur per quam accidit nobis societatem habere cum Deo : siquidem Dei et hominum ipse media-

tor est. Si autem nomen in auxilio jaceat, quod nominatur auxilium, Emmanuel etiam subjacet: ergo, si quod pariet Virgo, hoc Emmanuel vocabunt secundum prophetam, auxilium paruit et non naturam, nec hypostasim utero concepit puella. Hoc autem si absurdum videatur propter eam quæ in prophetia nominative designatur, aliquam substantiam per se subsistentem intelligemus.

CAP. XLI.

Si propterea Dei Genitrix, quia genuit Deum verum, ita etiam verus Deus, propter hoc Deus verus postquam natus ex Virgine. Sed si aliquid nominatum derivative vel significative non habet necessario vere participationem vel accommodationem prænuntiatam cum causa nominativa, propterea etiam, si propter se, vel relate ad aliud, res habeat impositum nomen a quo participatio vel derivatio ad participantem vel derivatum ipsum, necessarium est hoc nomen aliunde mutuatum revertere ad nomen impositum propter se vel relate ad aliud; nam quamvis amator justitiæ, vere nominetur amator justitiæ, non propterea item justitia, ex hoc justitia dicitur quia amatur ab homine, siquidem injustitia subinde amatur ab homine. Alio verbo igitur exprimendum, justum justitiam, in se et in particulari, et alio amator justitiæ qui ad aliquid aliquo modo se habet, vel ad injustum. Dei genitrix ergo derivative dicitur utpote genuit Deum, sed Deus non derivative, nec ab alio nomen habet, sed ex propria natura.

CAP. XLII.

Si secundum hunc tropum in carnem, Verbum caro factum est, evidenter Verbum habet creatorem et matrem, si vero sine tropo Verbum caro factum est, quomodo Verbum non esset tropicum ut agens et genitus tropice? Genitum est aliqua generatione, non transformatum, sed nec manens prorsus nudum, nec in esse, nec manens ad se similiter prorsus describendum, sed cum carne; et similiter de cætero est hypostasis certo modo diverse posita, ut audeo dicere, propriorum idiomatum Verbi, ita nec idiomatum ut Dei, sed gratia et acceptatione aliorum idiomatum Jesus et ut hominis, secundum illam unicam hypostasin Verbi, auctam et perabundantem, idiomatibus physicis et hypostaticis, super omnia supposita ex utraque parte illi similia, et infertur, nullo modo ut Verbum, sed ut Christus Verbum, et hoc secundum partis partem, itaque secundum solam carnem.

CAP. XLIII.

Quæ non sunt dicenda de divinitate Verbi, nec etiam de Verbo ipso; quomodo ergo Ægyptius secundam causam generationis divinitati Verbi non tribuit, et tribuit Deo Verbo? nam ejus hypostasis secundum quam Verbum ut Deus naturam agnoscit, secundum principium habet, non adhuc simplex et unius naturæ cognita inter divinas

ἀνθρώπων οὗτός ἐστιν· εἰ δὲ τὸ ὄνομα κατὰ τῆς συμμαχίας ἐστὶ κείμενον, καὶ τὸ ὀνομαστὸν ἡ συμμαχία ἐστὶ τὸ καὶ ὑποκείμενον τοῦ Ἐμμανουήλ· ἄρα οὖν, εἰ ὃ τέξεται ἡ Παρθένος, τοῦτο καλέσουσι τὸ ὄνομα Ἐμμανουὴλ κατὰ τὸν προφήτην, συμμαχίαν ἔτεκε καὶ οὐ φύσιν, οὐχ ὑπόστασιν ἡ ἐν γαστρὶ συλλαβοῦσα κόρη· εἰ δὲ τόδε ἄτοπον διὰ τῆς σημασίας ὀνομαστικῶς σημαινομένην, τινὰ αὐθυπόστατον ὕπαρξιν νοήσομεν.

ΚΕΦΑΛ. ΜΑʹ.

Εἰ διὰ τοῦτο Θεοτόκος ἡ Παρθένος, ὅτι τὸν ἀληθινὸν Θεὸν ἐγέννησε, καὶ ὁ ἀληθινὸς ἄρα Θεὸς, διὰ τοῦτο ἀληθινὸς Θεὸς, ἐπειδὴ παρθενογέννητος. Ἀλλ' οὐχ εἴ τι παρωνύμως ἢ φερωνύμως ὠνομασμένον ἀναγκαίως ἔχει ἀληθῆ προωμολογημένην τὴν μέθεξιν ἢ σύμβασιν τοῦ ὀνοματιστικοῦ αἰτίου, διὰ τοῦτο καὶ εἰ καθ' αὑτὸ ἢ πρὸς ἕτερόν τι ἔχοι κείμενον ὄνομα τὸ ἀφ' οὗ ἡ μέθεξις, ἢ ἡ παρωνυμία πρὸς αὐτὸ τὸ μετέχον ἢ παρωνομασθὲν, ἀναγκαῖον τῷ καθ' αὑτὸ ὀνόματι, ἢ τῷ πρὸς ἕτερον κειμένῳ, πρὸς τὸ ἀλλαχόθεν εἰλημμένον ὄνομα ἀντιστρέφειν· οὐ γὰρ ἐπεὶ ὁ φιλῶν τὴν δικαιοσύνην, ὄντως φιλοδίκαιος ὀνομάζεται, διὰ τοῦτο ὡσαύτως καὶ ἡ δικαιοσύνη, ἐκ τοῦδε δικαιοσύνη λέγοιτο, διότι φιλεῖται ὑπὸ τοῦ ἀνθρώπου· καὶ γὰρ καὶ ἡ ἀδικία ὑπὸ ἀνθρώπου φιλεῖται· ἄλλῳ οὖν λόγῳ δίκαιον τὸ δίκαιον, καὶ καθ' αὑτὸ καὶ ἰδιαζόντως· καὶ ἄλλῳ ὁ φιλοδίκαιος, ὁ πρός τί πως ἔχων, ἤγουν πρὸς τὸ δίκαιον· Θεοτόκος οὖν ὡς Θεὸν τεκοῦσα φερωνύμως· Θεὸς δὲ οὔτε φερωνύμως, οὔτε ἀφ' ἑτέρου· ἐκ γὰρ τῆς ἰδίας ἐστὶ φύσεως αὐτῷ ὄνομα.

ΚΕΦΑΛ. ΜΒʹ.

Εἰ κατὰ τὴν εἰς σάρκα τροπὴν γέγονε σὰρξ ὁ Λόγος, δῆλον ὅτι ὁ Λόγος ἔχει Δημιουργὸν καὶ Μητέρα· εἰ δὲ χωρὶς τροπῆς γέγονε σὰρξ ὁ Λόγος, πῶς μὴ τρεπόμενος ὁ Λόγος, ὡς τρεπόμενος πράττεται καὶ τίκτεται; Τίκτεται μέν τινι γεννήσει, οὐ μεταπλαττόμενος δὲ, ἀλλ' οὐδὲ ἁπλῶς μένων γυμνὸς, οὐδὲ εἰς τὸ εἶναι· οὐδὲ μένων εἰς τὸ ὡσαύτως πάντη ὑπογράφεσθαι, ἀλλὰ μετὰ σαρκός· καὶ εἰς τὸ τοιῶσδε εἶναι τὸ λοιπὸν ἀλλοιωθέντα πως τὴν ὑπόστασιν, ὡς τολμήσας ἐρῶ, οὐ τροπῇ τῶν ἰδιωμάτων τοῦ Λόγου. ὥσπερ οὐδὲ τῶν ὡς Θεοῦ· ἀλλ' ὑποδοχῇ καὶ συμπαραλήψει ἑτέρων τῶν Ἰησοῦ ἰδιωμάτων, καὶ τῶν ὡς ἀνθρώπου, κατὰ μίαν τὴν αὐτὴν ὑπόστασιν τοῦ Λόγου αὐτοῦ ἐπαυξηθεῖσαν καὶ πλεονάσασαν φυσικοῖς τε καὶ ὑποστατικοῖς ἰδιώμασιν, ὑπὲρ πάντα τὰ ἑκατέρωθεν αὐτῇ ὁμοούσια πρόσωπα· καὶ πλάττεται οὖν, οὐδαμῶς δὲ ὡς Λόγος, ἀλλ' ὡς καὶ Χριστὸς ὁ Λόγος· καὶ τοῦτο κατά τι μέρος αὐτοῦ, ἤγουν κατὰ τὴν σάρκα μόνον.

ΚΕΦΑΛ. ΜΓʹ.

Τὰ μὴ τῆς θεότητος τοῦ Λόγου, ταῦτα οὐδὲ τοῦ Λόγου· πῶς τοίνυν ὁ Αἰγύπτιος, δευτέραν ἀρχὴν γεννήσεως τῇ μὲν τοῦ Λόγου θεότητι οὐ δίδωσι, τῷ δὲ Θεῷ Λόγῳ δίδωσιν; Ἡ γὰρ ὑπόστασις αὐτοῦ καθ' ἣν καὶ Λόγος Θεὸς ὢν τὴν φύσιν νοεῖται, δευτέραν ἔχει ἀρχὴν, οὐκ ἔτι ἁπλῆ καὶ μονοφυὴς ἐν τοῖς θείοις προσώποις νοουμένη, ἀλλὰ σύνθετος καὶ διφυὴς καὶ

προσκυνουμένη ὡς Χριστοῦ τοῦ σεσαρκωμένου, ἀνθρωπίνως θείου Λόγου.

ΚΕΦΑΛ. ΜΔ'.

Τὸ Θεὸν Λόγον χωρίσας ὁ Αἰγύπτιος τῆς θεότητος, αὐτὸν μὲν ἐκ τῆς Παρθένου δογματίζει σαρκικῶς τικτόμενον· τὴν δὲ αὐτοῦ θεότητα ὑποβάλλειν τῇ αὐτῇ σαρκικῇ γεννήσει, ᾗ ὑπέβαλε τὸν Θεὸν Λόγον, ἐσχάτης εἶναι μανίας λέγει. Οὐχ ἁπλῶς γὰρ γεννήσει ἀλλὰ σαρκικῇ, τουτέστι ῥευστῶς καὶ εἰς τὸ εἶναι ὅλως προαγούσῃ τι οὐχ ὑποβλητέον Θεόν.

ΚΕΦΑΛ. ΜΕ'.

Εἰ τῇ θεότητι Θεὸς ὁ Λόγος, καὶ τῇ ἀνθρωπότητι ἄνθρωπος ὁ Λόγος, πῶς ὅ ἐστι τῇ σαρκὶ οὐ τίκτεται ὁ Λόγος, ἀλλ' ὅ ἐστι τῇ θεότητι; δογματίζει γὰρ τὸ Θεοτόκος ὁ Αἰγύπτιος, καὶ τοὺς λέγοντας τὸ ἀνθρωποτόκος ἀναθεματίζει. Καὶ ὅ ἐστι σαρκὶ τίκτεται ὁ Λόγος· ἀλλ' ἡ τεκοῦσα οὐ δύναται θατέρῳ τῶνδε, ἤγουν τῷ χείρονι τῶν ὀνομάτων, ἰδικῶς ὀνομάζεσθαι· ἔστι γὰρ κοινὸν ὄνομα τόδε πάσαις ἀνῆκον γυναιξὶ, καὶ κατὰ τόδε πάσαις συνεμπίπτουσα.

ΚΕΦΑΛ. ΜϚ'.

Τὴν τοῦ νόμου διάταξιν περὶ τοῦ καθαρισμοῦ τῶν τικτομένων ἣν ἐπλήρωσεν ἡ Παρθένος ἀνάγνωθι, καὶ μάθε. Θεὸν ἐκαθάρισεν ὁ νόμος κελεύων ἃ ἔφη, καὶ ἡ Παρθένος πληροῦσα αὐτά; ἢ ἄνθρωπον; ἐὰν γὰρ σπερματισθῇ γυνὴ, φησὶν ὁ νόμος, καὶ τέκῃ ἄρσεν, ἔστω ἀκάθαρτος ἑπτὰ ἡμέρας τῆς ἀφέδρου τοῦ αἵματος αὐτῆς, καὶ τριάκοντα καὶ τρεῖς ἡμέρας καθιεῖται ἐν τῷ αἵματι αὐτῆς τῷ καθαρῷ· αὕτη παντὸς ἁγίου οὐχ ἅπτεται· καὶ εἰς τὸ ἁγιαστήριον οὐκ εἰσελεύσεται, ἕως ἂν πληρωθῶσιν αἱ ἡμέραι τῆς καθάρσεως αὐτῆς· καὶ ὅταν πληρωθῶσιν αἱ ἡμέραι τῆς καθάρσεως αὐτῆς, οἴσει ἀμνὸν ἄμωμον ἢ δύο νεοσσοὺς περιστερᾶς εἰς τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ ποιήσει ὁ ἱερεὺς τὸ μὲν περὶ ἁμαρτίας, τὸ δὲ εἰς ὁλοκαύτωσιν· καὶ καθαρίσει αὐτὴν ἀπὸ τῆς πηγῆς τοῦ αἵματος αὐτῆς· καὶ μετὰ ταῦτα εἰσελεύσεται εἰς τὸ ἅγιον· ὅτι δὲ ἐπλήρωσεν ἡ Παρθένος ταύτην τὴν διάταξιν, μαρτυρεῖ Λουκᾶς ὁ εὐαγγελιστὴς λέγων· Καὶ πληρώσαντες, φησὶ, τὰς ἡμέρας τοῦ καθαρισμοῦ αὐτῶν, ἀνήνεγκαν αὐτὸν εἰς τὸ ἱερὸν παραστῆσαι αὐτὸν τῷ Κυρίῳ, καὶ τοῦ δοῦναι δύο νεοσσοὺς περιστερῶν. Πολλὰ ἀσεβῆ τῇ ἀπορίᾳ τῇδε ἕπεται· εἰ γὰρ μὴ τύποι τινῶν πνευματικῶν οἱ νομικοὶ τῆς σαρκὸς καθαρισμοὶ καὶ ἑτέροις ἐπικείμενοι, οὐ γὰρ Χριστῷ, ἄχρι τῆς παρουσίας αὐτοῦ τοῦ ἀληθινοῦ καθαρτηρίου τῶν ὅλων Χριστοῦ· ἄρα γε καὶ αὐτὸν καθάραντες τὸν ποιησάμενον τὸν καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν Χριστὸν καὶ ἰσχυρότερον καὶ ἁγιώτερον παριστῶσι Χριστοῦ τὸν νόμον, τοῦ τὸν νόμον τῶν ἐντολῶν καταργήσαντος· τί οὖν ἔδει καταργῆσαι ἐλθόντα αὐτὸν τὸν νόμον; καί τοι διὰ τὸ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν ἔπεμψεν ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας· καὶ οὐ μόνον καθήρησεν, ἀλλὰ καὶ κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ αὐτοῦ· ἔχων οὖν τὴν ἰσχὺν τοῦ παντὸς καθαρισμοῦ ἐν τῇ σαρκὶ αὐτοῦ τῇ θεοπλόκῳ Χριστὸς, πληροῖ

A personas, sed composita et duplicis naturæ et adorans ut Christi incarnati, Verbi divini hominis facti.

CAP. XLIV.

Ægyptius cum sejunxisset Deum Verbum Divinitate, docet eum genitum ex Virgine secundum carnem, ejus Divinitatem subjicit ipsæ generationi carnali, qua subjecit Verbum Deum, dicit maximæ insaniæ. Non enim simpliciter generationi tamen carnali, hoc est transitorie, sed Deum non subjectum omnino dirigi.

CAP. XLV.

Si Divinitati Deus Verbum, et humanitati homo Verbum, quomodo non genitum ex carne quod est Verbum, sed ex Divinitate quod est? Nam docet B maternitatem divinam, et humanam generationem docentes anathematizat. Et quod est carne genitum est Verbum, sed genitrix non potest sane pejore duorum istorum nominum designari, nam nomen istum est commune et congruum cunctis mulieribus, et in hoc concurrit cum omnibus.

CAP. XLVI.

Mandatum legis circa purificationem puerperorum quod implevit Virgo agnosce et disce. Deum hominem purificavit lex jubens quæ dicta sunt, et Virgo implens ea? Cum mulier, suscepto semine, ait lex, genuit masculum, sit impura septem diebus fluxu sanguinis, et triginta tribus diebus demittet in sanguinis purificationem, omne sanctum non C tanget, et in sanctuarium non intrabit usquedum impleantur dies purificationis suæ, et cum completi erunt dies purificationis suæ, feret agnum sine macula, vel duos pullos columbæ ad ostium tabernaculi testimonii, et sacerdos offeret unum pro peccato et alterum in holocaustum, et purificabit eam a profluvio sanguinis sui, et post hæc intrabit in sanctum. Virginem vero implevisse hoc mandatum testatur Lucas evangelista dicens. : « Et completi sunt, inquit, dies purgationis eorum, tulerunt eum in templum ut sisterent eum Domino et darent duos pullos columbarum. » Multa impia inveniuntur in hac circumstantia, nam si non esset typi quorumdam spiritualium legales purificationes carnis et aliunde adhibitæ, sine præ- D sentia hujus veri omnium purificatoris Christi; igitur postquam purificaverunt eum qui operatus erat purificationem peccatorum nostrorum Christum, exhibentes legem Christi et fortiorem et sanctiorem abolentis legem præceptorum. Quid enim impedivit eum venientem abolere legem? Sed propter impossibilitatem legis, in qua inveniebatur per carnem, Deus misit Filium suum in similitudinem carnis peccati, et non solum purificavit, sed etiam condemnavit peccatum in carne ejus. Cum haberet Christus vim omnis purificationis in carne sua, Deo texta, adimplevit in carne omnes justificationes legis, ut redimeret naturam carnis, damnationis et purificationis legalis, et exhiberet illam dignam vita spirituali quam adjecit

condonare ei. Si vero Filius hominis esset expers et circumcisionis quidem et baptismatis pœnitentiæ Joannis et cæterorum, si igitur egeret vero baptismo pœnitentiæ, ut prorsus impeccabilis, nam pœnitentia non est justorum laudantium, sed si vero Christus quin egeret, aliquam legem adimplet, evidenter hoc facit ut adimpleat secundum carnem omnem œconomiam ad omnem justitiam, et exhibeat implendo legem suam divinitatem, et omnem naturam carnalem infirmam compleri in eo sola substantia divina perficiente.

A πάντα τὰ τοῦ νόμου δικαιώματα σαρκικῶς, ἵνα τὴ φύσιν τῆς σαρκὸς, τῆς νομικῆς κατακρίσεως καὶ κατάρας ἐλευθερώσῃ, καὶ ἀξίαν αὐτὴν ἀποδείξῃ τῆς πνευματικῆς διαβιώσεως ἣν αὐτῇ χαρίσασθαι προσέθετο· εἰ δὲ ἐπιδεὴς ὡς ἀνθρώπου τόκος τούτων ἦν, καὶ περιτομῆς ἄρα, καὶ βαπτίσματος μετανοίας τοῦ Ἰωάννου, καὶ τῶν λοιπῶν· εἰ οὖν ἐδεῖτο τοῦ τῆς μετανοίας ὄντως βαπτισμοῦ, πάντως ὡς ἁμαρτωλός· οὐ γὰρ δικαίων ἐπαινετῶν ἐστιν ἡ μετάνοια· εἰ δὲ καὶ μὴ χρήζων τελεῖ τινα Χριστὸς, δῆλον ὡς πρὸς τὸ πᾶσαν δικαιοσύνην πληρῶσαι τὴν κατὰ σάρκα αὐτοῦ οἰκονομίαν, ποιεῖ τάδε· καὶ δεῖξαι ἐκ τῆς τοῦ νόμου πληρώσεως αὐτῆς τὴν ἑαυτοῦ θεότητα, ἀσθενούσης αὐτὸν ἐκπληρῶσαι, πάσης σαρκικῆς φύσεως, μόνης δὲ θείας οὐσίας αὐτὸν καταπραξαμένης.

CAP. XLVII.

Ubique conceptio et partus ducunt eum qui non adhuc exsistit ad generationem, sed si secundum Ægyptium, non hominem genuit Virgo, sed verum Deum, evidenter genuit qui non adhuc erat, et si neocreatus, et neogenitus et neovocatus iste Deus, necessario etiam novus Deus, sed divina Scriptura clamat: « Non sit tibi Deus novus. » Ægyptius vero clamat: Sit, et omnes negantes esse novum Deum anathematizat. Igitur qui celebrat antiquos dolores, usquedum formetur Christus in nobis, et per vos Evangelium ego vos genui, et testamentum ex monte Sina generans in servitutem, quæ non sunt equidem indicant aliquos generari, vel aliter esse, generari ut essent aliquo modo aliter, et non substantia, sed accidente spiritus monstrat, si vero hoc, evidens est quod non omnis generatio simpliciter, deducit eum qui non est ad exsistentiam, sed ad aliquam exsistentiam aliquos generare valentem.

B ΚΕΦΑΛ. ΜΖ'.

Πανταχοῦ ἡ σύλληψις καὶ ὁ τόκος τὸν οὐκ ὄντα ἄγει εἰς γέννησιν· ἀλλ' εἰ κατὰ τὸν Αἰγύπτιον, οὐ τὸν ἄνθρωπον ἐγέννησεν ἡ Παρθένος, ἀλλὰ τὸν ἀληθινὸν Θεὸν, δῆλον ὅτι τὸν οὐκ ὄντα ἐγέννησε· καὶ εἰ ὁ νεόπλαστος καὶ νεοτόκος καὶ νεόκλητος ὁ αὐτὸς οὗτος καὶ Θεὸς, ἐξ ἀνάγκης καὶ νέος Θεός· καὶ ἡ μὲν θεία Γραφὴ βοᾷ· « Μὴ ἔστω σοι Θεὸς πρόσφατος· » ὁ δὲ Αἰγύπτιος ἀντιβοᾷ, Ἔστω· καὶ τοὺς μὴ λέγοντας εἶναι Θεὸν πρόσφατον, ἀναθεματίζει. Ἄρα οὖν ὁ λέγων οὓς πάλιν ὠδίνω ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ἡμῖν, καὶ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα, καὶ ἡ διαθήκη ἡ ἐξ ὄρους Σινᾶ εἰς δουλείαν γεννῶσα, οὐκ ὄντας ὅλως σημαίνει γεννηθῆναί τινας, ἢ ἑτέρως ὄντας, πρὸς τὸ ἑτέρως πως εἶναι γεννᾶσθαι· καὶ οὐ τῇ C οὐσίᾳ, ἀλλὰ τῇ ἐπουσιώσει τοῦ πνεύματος δηλοῖ· εἰ δὲ τοῦτο, δῆλον οὐ πᾶσα γέννησις ἁπλῶς, τὸν οὐκ ὄντα ἄγει εἰς τὸ εἶναι, ἀλλὰ καὶ εἰς τὸ πῶς εἶναι, γεννηθῆναί τινας δυνατόν.

CAP. XLVIII.

Qui non fatetur Virginem esse Matrem Christi, non fatetur Christum sicuti est, nam initium de Christo sermonum est ejus generatio ex Virgine. Sed non specialiter significatum est nomen Virginis sanctæ, Mater Christi, nam matres David et Samuel et sacerdotum recte dicerentur matres Christi, sicut matres omnium prophetarum, præsertim Jeremiæ; nam dictum est ei: « Priusquam exires de matre, sanctificavi te, » et Joannes in utero Elisabeth exsultavit ipse gaudio Domini, et sane in unctione et participatione sanctificantis Spiritus erant, et cum essent adhuc in utero illi Christi Domini prophetæ ex quo concepti et in lucem editi erant. Sed Dei Genitrix sola specialiter est quam Spiritus ipse adumbravit et habitavit, et in carne ab illa assumpta genuit personam hujus unici Filii. Nam non solum sanctificatum genuit, sed quod natum est ex ea sanctum est sanctificans, ideo etiam non illius solius, sed etiam Dei Filius vocatur.

ΚΕΦΑΛ. ΜΗ'.

Ὁ μὴ ὁμολογῶν τὴν Παρθένον Χριστοτόκον, οὐδὲ τὸν Χριστὸν ὁμολογεῖ ὅπερ ἐστί· προοίμιον γὰρ τῶν περὶ Χριστοῦ λόγων, ἡ γέννησις ἡ ἐκ τῆς Παρθένου. Ἀλλ' οὐκ ἰδίως σημαντικὴ προσηγορία τῆς Παρθένου ἁγίας, τὸ Χριστοτόκος· καὶ αἱ μητέρες γὰρ Δαβὶδ καὶ Σαμουὴλ καὶ τῶν ἱερέων, χριστοτόκοι ὀρθῶς λέγοιντο ἂν, καὶ αἱ τῶν προφητῶν πάντων, μάλιστα δὲ Ἱερεμίου· εἴρηται γὰρ αὐτῷ ὅτι « Πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε· » Ἰωάννης τε ἐν D κοιλίᾳ τῆς Ἐλισάβετ ἐσκίρτησεν ἀγαλλιώμενος τῷ Κυρίῳ· καὶ δῆλον ὅτι ἐν χρίσει καὶ μετοχῇ τοῦ ἁγιαστικοῦ Πνεύματος ἦσαν, καὶ ἐν γαστρὶ ὄντες ἔτι οἵδε· χριστοὶ οὖν Κυρίου οἱ προφῆται ἀφ' οὗ ἐγίνοντο καὶ ἐτίκτοντο· Θεοτόκος δὲ μόνη ἰδίως ἐστὶν ἣ αὐτὸ τὸ Πνεῦμα ἐν αὐτῇ σκιασθὲν καὶ κατοικῆσαν, καὶ τῇ ἀπ' αὐτῆς σαρκὶ συλληφθὲν εἰς ἑνὸς Υἱοῦ τοιοῦδε ὑπόστασιν ἔτεκε· τέτοκε γὰρ οὐχ ἡγιασμένον μόνον, ἀλλὰ καὶ ἁγιοποιοῦντα τὸ γεννηθὲν ἐξ αὐτῆς ἅγιον· διὸ καὶ οὐχ αὐτῆς μόνης, ἀλλὰ καὶ Θεοῦ Υἱὸς ἐκλήθη.

CAP. XLIX.

Dei Genitricem Matrem Jesu dicere nos non audebimus, Scriptura sacra nullibi eam sic proclamante,

ΚΕΦΑΛ. ΜΘ'.

Θεοτόκον τὴν Μητέρα τοῦ Ἰησοῦ λέγειν ἡμεῖς οὐκ αὐθεντήσομεν, τῆς ἁγίας Γραφῆς οὐδαμοῦ αὐτὴν

οὕτω προσαγορευούσης, ἀλλ' οὐδὲ τῶν τις Πατέρων· A ἀλλὰ κατὰ τὴν φωνὴν τοῦ ἀγγέλου λέγοντος τοῖς ποιμέσιν· « Ἐτέχθη ὑμῖν σήμερον Χριστὸς Κύριος· » καὶ κατὰ τὸ εἰρημένον, « Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ· » καὶ τὸ, « Νῦν δέ με θέλετε ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα· » ἀνθρωποτόκον φύσει, καὶ ἀξίᾳ Χριστοτόκον αὐτήν φαμεν· ὃ μὴ παρελάβομεν οὐ νομοθετοῦντες προπετῶς καθ' ὑμᾶς. Ἐὰν οὖν ὅτε μὲν διαῤῥήδην Θεὸν τὸν Χριστὸν κυριολεκτεῖ τὰ λόγια, ἐπεξηγεῖσθε καὶ μετεκλαμβάνετε αὐτολεξεὶ εἰρημένον, ὅτε δὲ ἀπὸ διανοήματος συνάγει συμπέρασμα, οὐκ αὐτολεξεὶ κείμενον, οἷον ἐπὶ τῆς Θεοτόκου, τότε κυριολεξίαν ἀπαιτεῖτε, δῆλον ὡς παντὶ τρόπῳ μόνην τὴν ὀρθοδοξίαν δραπετεύετε· εἰ γὰρ οὖν ὄντως ὃ μὴ κεῖται τοῖς λογίοις ῥητῶς οὐδὲ ὑμῖν ἐστι λεκτὸν, οὐδ' ὅτι ἀῤῥεύστως B ἐγέννησε τὸν Λόγον ὁ Πατὴρ, οὐδ' ὅτι ὁμοφυὲς Πατρὶ καὶ Υἱῷ τὸ ἅγιον Πνεῦμα, οὐδ' ὅτι τὸ πῦρ ὁ Θεὸς ἔκτισεν, ἢ τὸν ἀέρα· οὐδ' ὅτι σκότος οὐκ ἔκτισεν, οὐδ' ὅτι θνηταὶ τῶν ἀναίμων μυρμήκων καὶ καρκίνων καὶ σφηκῶν καὶ λοιπῶν αἱ ψυχαὶ, καὶ τὰ ἄλλα μυρία, ὦ οὗτοι· πλὴν ἵνα πάντα ὑμῖν ἀφῶμεν, καὶ αὐτοὶ ἀνθρωποτόκον ἢ Χριστοτόκον αὐτὴν θεσπιστικῶς ἀποκαλοῦντες, ποῦ ἡμῖν δείξετε τοῦτο κείμενον ἐν τῇ ἁγίᾳ Γραφῇ περὶ τῆς ἁγίας Παρθένου; Εἰ δὲ οὐδαμοῦ, σαφῶς ὃ φεύγειν προσποιεῖσθε, διώκοντες κατελήφθητε· εἰ δὲ μηδὲ τούτῳ μηδὲ ἄλλῳ ὀνόματι αὐτὴν προσαγορεύειν ἐπιτηδεύοιτε ἀπὸ τοῦ τόκου παρωνομασμένῳ, ἢ οὐδὲ νοοῦντές τι περὶ τοῦ τεχθέντος, καὶ πῶς περὶ ὧν οὐκ ἴστε δογματίζετε; C Ἢ νοοῦντες μὲν, αἰδούμενοι δὲ τὰ οἰκεῖα φρονήματα διὰ τοῦ προφορικοῦ λόγου θριαμβεῦσαι ἡμῖν, τοῦτο πάσχετε; Ἡμεῖς δὲ κατὰ τὸν Ἀπόστολον, εὐχόμεθα σὺν Θεῷ παῤῥησιάζεσθαι ἐν τῷ Εὐαγγελίῳ, καθὼς δεῖ λαλῆσαι· οὐ γὰρ ἐπαισχυνόμεθα τῷ Εὐαγγελίῳ Χριστοῦ· δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι.

sed nec aliquibus Patribus, sed secundum vocem angeli dicentis pastoribus, « Natus est vobis hodie Christus Dominus, » et secundum dictum, « Liber generationis Jesu Christi, » et « Nunc vultis me occidere hominem qui veritatem locutus sum vobis: » hominis matrem natura, sed dignitate Dei Genitricem eam dicimus, quod non accepimus, non imponimus alacriter vobis. Si vero clare Deum Christum proprie dicunt prophetæ, narrate et accipite quæ dicta sunt propriis verbis, cum per reflexionem deducitur consequentia, non propriis verbis subjecta qualis circa Matrem Dei, tunc propriam significationem requiritis, evidens est quod fugitis solam orthodoxiam omni tropo; si vero, realiter quod non jacet in prophetis exprimis verbis, non vobis est dictum, nec quod non transitorie genuit Verbum Pater, nec quod consubstantialis Patri et Filio Spiritus sanctus, nec quod ignem Deus creavit, vel aerem, nec quod tenebras non creavit, nec quod mortales sunt formicarum et cancerum et insectarum aliarum animæ, et alia millia, o vos, ut omnia alia omittamus vobis, et illi qui hominis matrem vel Christi Matrem eam prophetice vocabant, ubi vobis ostendemus hoc dictum in sacra Scriptura de sancta Virgine? Si nullibi sapienter fugam capietis, ulterius prosequentes caderetis; sed si nec isto, nec alio nomine illam designari intenditis a partu derivato, vel si nullam habentes opinionem circa maternitatem, quomodo de iis quæ ignoratis dogmatisatis? Vel si cogitantes quidem, erubescitis proprias sententias circa Verbum enuntiatum triumphaliter nobis dicere, an hæc sentitis? Nos vero secundum Apostolum, oramus Deum ut libere dicamus in Evangelio, sicut loqui oportet, nam non erubescimus Evangelium Christi, virtus enim Dei in salutem omni credenti.

ΛΟΓΟΣ Ε'.

Πέμπτης αὐτῶν ἀσεβείας ἔκφανσις, ἀναιδῆν τὴν φυσικὴν θεότητα ἀρνουμένων Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

—

LIBER V.

Quintæ impietatis demonstratio negantium impudenter naturam divinam Christi veri Dei nostri.

—

ΚΕΦΑΛΑΙΟΝ Α'.

D Πότε οὖν, φασὶ, τὸ ὅλον ἴστε Χριστοῦ Θεόν; Εὐθὺς ἀπὸ τοῦ τόκου; ἢ μετὰ τὴν ἀνάστασιν; εἰ γὰρ ἀπὸ γεννήσεως εὐθὺς, καὶ ἀπαθῆ ἄρα καὶ ἀθάνατον ἀεὶ ἴστε τὸν Χριστόν· τίς οὖν ἔπαθε καὶ ἀπέθανε καὶ ἐτάφη καὶ τὰ λοιπὰ ἀνθρώπινα ὑπέστη; Εἰ μὴ φαντασία ἦν τὰ λεγόμενα περὶ Χριστοῦ· εἰ δὲ οὐκ ἀπὸ τόκου ἦν τὸ ὅλον Χριστοῦ Θεὸς ἐξ ἀρχῆς, ἦν καθ' ὑμᾶς ὅτε οὐκ ἦν ὅλος Θεὸς ὁ Λόγος. Ἀλλὰ τὸ ὅλον

CAPUT PRIMUM.

Quando igitur, inquiunt, nostis denique divinitatem Christi? Statim a nativitate? an post resurrectionem? Si igitur statim a nativitate, et impassibilem quidem et immortalem semper nostis Christum; quis enim passus est, et mortuus est et sepultus est et cætera humana subivit, si non sunt imaginaria quæ dicuntur de Christo? Si vero non in nativitate erat omnino Christi divinitas a princi-

pio, fuit pro nobis tempus quo verbum non erat vere Deus, sed Christi, divinitatem completam semper, et humanitatem per Verbum de seipso novimus et simpliciter Verbi solum, semper Deum completum ut Verbi. Quando autem apprehendit Christum, quam vocant naturam humanam æstimant gloriam et gratiam, adoptionem dignam honore divino, et nomen quod est super omne nomen ? Hæc fatentur ex principio statim a conceptione ejus, et quæ est utilitas istorum magnorum donorum nec passionis nec dedecoris, nec mortis eum eximentium ? Et sit adhuc passibilis, si nihil amplius nunc adjecit, vel aliqua re, et ab aliquo tunc patiens, factus est liber a doloribus. Quis igitur supra Christum et nos patiens, diceret, si post resurrectionem hæc locum habuerunt, erat ergo quando non erat, nec in adoptionem secundum gratiam, nec in honorem, nec indignitatem quam dicunt, et tunc equidem tunc ostendunt eum inter nos ut hominem omnibus modis. Simplicissimum igitur non secundum rationalem appropriationem vel ampliorem quæ in ipso gesta sunt olim referuntur ad Verbum, et quomodo Verbum dicitur : « Exinanivit seipsum formam servi accipiens, » contempsit mortem pudendam ? et quomodo hoc verbum : « Si cognovissent, nunquam Dominum gloriæ crucifixissent ? » et quomodo tunc hæc responsum Petri : « Tu es Christus Filius Dei vivi ? » Et, « Tu es Filius meus dilectus in quo complacui, » a Patre testimonium accepit ? Igitur non erant illi liberi propria anxietate, nos vero dicimus ex quo cepit principium unionis hypostaticæ Verbi et carnis in utero sancto Virginis. Similiter voluntas erat Verbi egere per totam vitam carnalem, physicam ejus magnitudinem, ut Verbum omnia uno verbo faciens, et nec rapina, vel injustitia in judicio, et ipse per totam vitam puram exaltavit ipsi superadditam humanitatem, post mortem carnis, spiritualis immortalitatis et perpetui honoris et beatitudinis initium. Sic enim Christus gloriam petens a Patre per formam humanitatis suæ, et secundum personam divinam totam dicit se habere gloriam qualem habuit ante constitutionem mundi, et gloriosus se proclamans simul inglorium, audivit : « Jam glorificavi, » id est per inauditam generationem ex Virgine et alia divina signa, « et iterum glorificabo, » scilicet per resurrectionem post mortem, immortalitatem, judicium mundi, et per elevationem et super eminentiam in omnibus, et simpliciter per similem divinationem et gloriam antemundanam verbi in eo habitantis.

CAP. II.

Sed dicunt rursum : Et quomodo, si in Christo vivens Verbum Dei est, dicit Apostolus de Christo quod mortuus et sepultus est, et quod surrexit tertia die, secundum Scripturas ? nobis vero quomodo exhibet rursus in eo : « Si mortui non resurgunt, nec Christus resurrexit ? » Evidens ergo quod ipse mortuus inventus est inter nos, et reliqua te-

A Χριστοῦ ἀεί τε Θεὸν, διὰ τὸν ἐν αὐτῷ Λόγον καὶ ἄνθρωπον ἴσμεν· τοῦ δὲ ἁπλῶς Λόγου μόνον, Θεὸν ἀεὶ τὸ ὅλον ὡς Λόγου· πότε δ' οὖν καὶ αὐτοὶ λαβεῖν τὸν Χριστὸν, ὃν φασιν ἄνθρωπον τὴν φύσιν, οἴονται δόξαν καὶ χάριν, υἱοθεσίαν τε καὶ ἀξίαν τῆς θείας τιμῆς καὶ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα ; Ταῦτα γὰρ ὁμολογοῦσιν ἐξ ἀρχῆς εὐθὺς ἀπὸ συλλήψεως αὐτῷ· καὶ τίς ἡ ὄνησις τῶνδε τῶν μεγάλων δωρεῶν, οὐδὲ πάθους οὐδὲ ἀτιμίας οὐδὲ θανάτου αὐτὸν ἐξαιρουμένων ; Καὶ εἰσέτι γὰρ εἴη παθητὸς, εἰ μηδὲν πλέον ἐπεκτήσατο νῦν, ἢ ἑτέρῳ τινὶ καὶ δι' ἑτέρου παθῶν τότε, ἐλεύθερος γέγονε παθῶν. Τίς οὖν ὁ ὑπὲρ Χριστοῦ καὶ ἡμῶν παθὼν, λεγέτωσαν· εἰ δὲ μετὰ τὴν ἀνάστασιν ταῦτα ἔσχεν, ἦ ἄρα ὅτε οὐκ ἦν, οὐδὲ ἐν τῇ κατὰ χάριν υἱοθεσίᾳ καὶ τιμῇ B καὶ ἀξίᾳ ἣν φασι· καὶ τότε δὴ τότε παντοίως ψιλώτατον αὐτὸν ἀποφαίνουσιν ἄνθρωπον καθ' ἡμᾶς· ἄρα οὖν οὐδὲ κατὰ τὴν οἱανοῦν οἰκείωσιν ἢ ἀναφορὰν τὰ εἰς αὐτὸν γινόμενα τότε, εἰς τὸν Λόγον ἀνατρέχουσι· καὶ πῶς τὸ, Ἑαυτὸν ἐταπείνωσε μορφὴν δούλου λαβὼν, ὁ Λόγος εἴρηται, καὶ αἰσχύνης θάνατον καταφρονήσας ; Πῶς δὲ καὶ τὸ, « Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν ; » Καὶ πῶς τότε, τὸ, « Σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὑπὸ Πέτρου ὡμολογεῖτο ; » Καὶ, « Σὺ εἶ ὁ Υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα, » ὑπὸ τοῦ Πατρὸς ἐμαρτυρεῖτο ; Ἄρα οὖν οὐδὲ αὐτοὶ ἐλεύθεροι τῆς ἰδίας ἀπορίας· ἡμεῖς δ' οὖν φαμεν ὡς καὶ γενομένης ἐξ ἀρχῆς τῆς ἐν τῇ ἁγίᾳ τῆς Παρθένου μήτρᾳ, τοῦ C Λόγου καὶ τῆς σαρκὸς ὑποστατικῆς ἑνώσεως, ὅμως εὐδοκία ἦν αὐτοῦ τοῦ Λόγου συμπτωχεῦσαι ἐν πάσῃ τῇ διαβιώσει τῆς σαρκὸς, τὴν φυσικὴν αὐτοῦ μεγαλειότητα· ἵνα ὁ πάντα Λόγῳ ποιῶν Λόγος, καὶ οὐχ ἁρπαγμῷ ἢ ἀδικίᾳ ἐν δίκῃ γε καὶ αὐτὸς διὰ πάσης τῆς ἀχράντου αὐτοῦ διαβιώσεως συνυψώσῃ τὴν ἑνωθεῖσαν αὐτῷ ἀνθρωπότητα, μετὰ τὸν τῆς σαρκὸς θάνατον, τῆς πνευματικῆς ἀθανασίας καὶ ἀϊδίου τιμῆς καὶ μακαριότητος ἀπαρχομένην· τούτῳ τοι Χριστὸς δόξαν αἰτῶν παρὰ τοῦ Πατρὸς ἐκ προσώπου τῆς ἀνθρωπότητος αὐτοῦ, καὶ ἐκ προσώπου τοῦ Λόγου τοιαύτην εἶναι εἰπὼν οἵαν καὶ πρὸ καταβολῆς κόσμου εἶχε, καὶ ἑαυτὸν ὁ ἔνδοξος ἅμα καὶ ἄδοξον ἀνακηρύττων, ἤκουεν ὅτι ἐδόξασα ἤδη, τουτέστι διὰ τῆς ἐκ Παρθένου παραδόξου γεννήσεως καὶ D τῶν λοιπῶν θεοσημειῶν, καὶ πάλιν δοξάσω ἤγουν διὰ τῆς μετὰ τὸν θάνατον ἀναστάσεως, καὶ ἀφθαρσίας, καὶ κόσμου καταχρατήσεως, καὶ τῆς κατὰ πάντων ἐξουσίας καὶ ὑπερυψώσεως, καὶ ἁπλῶς δι' ὁμοίας θεώσεως, καὶ τῆς προκοσμίου δόξης τοῦ Λόγου τοῦ ἐν αὐτῷ.

ΚΕΦΑΛ. Β'.

Ἀλλά φασι πάλιν· Καὶ πῶς εἰ ἐν Χριστῷ ὁ ζῶν Λόγος τοῦ Θεοῦ ἐστιν, εἴρηται τῷ Ἀποστόλῳ περὶ Χριστοῦ ὅτι καὶ ἀπέθανε καὶ ἐτάφη, καὶ ὅτι ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς Γραφάς ; Ἡμῖν τε πῶς παραβάλλεται πάλιν ἐν τῷ, Εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται ; δῆλον γὰρ ὡς καὶ αὐτὸς νεκρὸς καθ' ἡμᾶς γενόμενος· καὶ τὰ λοιπὰ

μαρτυρεῖται τάδε. Ἀλλ ἴσασι καὶ αὐτοὶ νῦν ἑκουσίως ἐπιλελησμένοι τῶν σφῶν διορισμῶν ὡς πολλάκις ἐκ τοῦ ὅλου τὸ μέρος καλεῖ ἡ ἁγία Γραφή· ὡς τὸ, Ἐκεῖ ἔθαψαν Ἀβραάμ· οὐ γὰρ δὴ καὶ ψυχὴν Ἀβραὰμ, ἀλλὰ μόνον τὸ σῶμα· τάδε οὖν σαφῶς περὶ τοῦ ἀνθρωπίνου Χριστοῦ εἴρηται· ἐπεὶ πῶς ἔχει χώραν περὶ τοῦ αὐτοῦ λέγεσθαι καὶ τὸ Ἐν νεκροῖς ἐλεύθερος; πῶς τε εἰ καθ' ὑμᾶς νεκρὸς γέγονεν ἀπαραλλάκτως, αὐτὸς ἤγειρε τὸν ἑαυτοῦ ναὸν ἐν τρισὶν ἡμέραις; ὁ καὶ σώματι καὶ ψυχῇ ὥς φασι πάντη ἄπρακτος γενόμενος, ὡς πᾶς ἄνθρωπος μετὰ θάνατον· καὶ γὰρ οὐδὲ τὴν οἱανοῦν ψυχῆς ἐνέργειαν ἐδίδοσαν μετὰ θάνατον ἀνθρώποις, ἄχρι τῆς ἀναστάσεως, ἐν τοῖς ἔμπροσθεν αὐτῶν ἐπιχειρήμασι, πόσῳ γε μᾶλλον θείαν πρᾶξιν; πῶς δὲ εἰ αὐτὸς ἔχει τὴν ἐξουσίαν τοῦ τὴν ἰδίαν ψυχὴν θεῖναι καὶ ἀπολαβεῖν αὐτὴν, καθ' ἡμᾶς γέγονε νεκρός; τίς γὰρ ὁ τοιαύτης οὐκ ἀξίας ἁπλῶς, ἀλλ' ἐξουσίας, πώποτε ἐν ἀνθρώποις γέγονεν; ἔτι μὴν εἰ μὴ Θεὸς ἐν Χριστῷ, καὶ κατὰ τὸν θάνατον καὶ τὸ πάθος καὶ κατὰ λοιπὰ, κόσμον ἑαυτῷ καταλλάσσων, ὡς γέγραπται, πῶς ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων, αὐτὸς καὶ οὐκ ἄλλος, ἢ δι' ἄλλου ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου; καὶ πῶς τὸν Κύριον τῆς δόξης ἀληθῶς ἐσταύρωσαν; καὶ πῶς εἴρηται τὸ, Ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἐξήγειρε, καὶ ἡμᾶς ἐγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ τοῦ ἐγερθέντος ὡμολογημένως; δῆλον γὰρ ὡς ἐξεγερτικὴ οὖσα νεκρῶν καὶ ἑτέρων σωμάτων ἡ δύναμις τοῦ Κυρίου, πολλῷ μᾶλλον τὸ ἴδιον ἤγειρε σῶμα ᾧ ἥνωτο καθ' ὑπόστασιν· προσεχεστέρως γὰρ ἐνεργοῦσα αὐτὴ, καὶ οὐκ ἄλλη ζωοποιὸς ἀναστήσει αὐτό· πῶς δὲ αὐτοῦ τοῦ ἰδίου Υἱοῦ οὐ φείσασθαι, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παραδοῦναι αὐτὸν εἴρηται ὁ Πατήρ; εἰ γὰρ ἀντιπρόσωπον δέδωκεν, οὐκ ὄντως εἴρηται τάδε περὶ τῆς ἀγάπης αὐτοῦ τῆς εἰς ἡμᾶς· σαφὲς οὖν ὡς ἀπὸ μέρους, ἥ τε ζωοποιΐα καὶ ἡ νέκρωσις, ἑκατέρα λέγεται περὶ Χριστοῦ· οὐ γὰρ κατὰ τοῦ ὅλου ὡσαύτως ἄμφω, ἐπεὶ μὴ συναληθεύει τὰ ἐναντία πώποτε περὶ τοῦ αὐτοῦ· εἴπερ οὖν ὄντως τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν οἱ Χριστὸν ἐπὶ ξύλου κρεμάσαντες, δῆλον ὡς ὁ αὐτὸς ἐκ μὲν τοῦ θείου Λόγου, τὸ εἶναι Κύριος τῆς δόξης εἶχε· τὸ δὲ ἀληθῶς σταυροῦσθαι, ἐκ τῆς ἀνθρωπείας σαρκός· φύσει τε γὰρ ὡς Θεὸς ἐποφείλεταί τε τὴν παρὰ πάντων δόξαν· ἐξουσιάζει τε αὐτῆς δοξάζων οὓς βούλεται, μόνος καὶ φύσει ὡς ἄνθρωπος πάθος ὑπέμεινεν.

ΚΕΦΑΛ. Γ'.

Τί οὖν, φησίν; οὐ προφανέστατα εἴρηται περὶ Χριστοῦ, ὡς ὑπὸ τοῦ Θεοῦ ἀνέστη, καὶ οὐχ ἀφ' ἑαυτοῦ; καὶ ὅτι διὰ τὴν ὑπὸ τοῦ ἁγίου Πνεύματος γενομένην αὐτοῦ ἀνάστασιν ἐκ νεκρῶν, ὡρίσθη Υἱὸς Θεοῦ; πῶς οὖν λέλεκται, ὃν δὲ ὁ Θεὸς ἤγειρεν, οὐκ εἶδε διαφθοράν; καὶ τοῦ ὁρισθέντος Υἱοῦ Θεοῦ, κατὰ Πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν. Ἀλλ' εἰπάτωσαν οἱ ἐρευνητικοὶ τῶν Γραφῶν, ὡς οἴονται, εἰ τὸ ἀναστῆναι ἐκ νεκρῶν διὰ τοῦ θείου Πνεύματος, ἁπλῶς τοῦτο δόξαν Υἱοῦ Θεοῦ περιποιεῖται τῷ ἀνισταμένῳ, πῶς ὁ υἱὸς τῆς χήρας ἐπὶ Ἠλίου, καὶ ὁ τῆς Σωμανίτιδος ἐπὶ Ἐλισσαιὲ, καὶ Ταβηθὰ ἐπὶ Πέτρου, καὶ οἱ λοιποὶ οἱ ἀναστάντες ἐκ νεκρῶν, οὐχ υἱοὶ

A stantur. Sed norunt et ipsi nunc voluntarie abscondita eorum definitionum, quod sæpe pro toto partem vocat Scriptura sacra ut hoc : *Hi sepelierunt Abraham*, et certe non animam Abrahæ, sed solum corpus. Idem igitur sapienter de Christo homine dicitur. Deinde quomodo locus esset dicendi de illo: «*Inter mortuos liber?*» et quomodo si mortuus inter nos inventus est sine ulla differentia, ipse suscitavit templum suum in tribus diebus, et corpore et mente, ut dicunt, omnino impassibilis factus, ut omnis homo post mortem; nam vero nec talem animæ potestatem dederunt post mortem hominibus, sine resurrectione, in suis præcedentibus argumentis quanto magis divinam actionem? Quomodo, si ipse habet potestatem propriam animam B ponendi, et sumendi eam, inter nos mortuus est? Quis enim talis non dignitatis, si impliciter sed potestatis unquam exstitit inter homines? Imo, si non Deus in Christo, et per mortem et passionem et cætera, mundum sibi reconcilians, sicut scriptum est, quomodo in forma Dei exsistens ipse et non alius aut per alium, humiliavit semetipsum usque ad mortem? et quomodo Dominum gloriæ vere crucifixerunt? et quomodo dicitur hoc : *Deus Dominum suscitavit, et nos suscitabit per virtutem ipsius* resuscitati communi voce. Evidens est igitur quod virtus Domini sit resurrectiva mortuorum et aliorum corporum, quanto magis proprium resurrexit corpus, cui uniebatur hypostatice intimius ipsa virtus resurrectiva, et non alia vivificans virtus re- C surget illud, quomodo proprio filio suo non pepercisse, sed pro nobis omnibus illum tradidisse dicitur Pater? si vero tradidit in faciem, non vere dicitur id fecisse propter charitatem suam in nos, manifestum est ergo quod ex parte, vivificatio et mortificatio de Christo dicuntur; non enim integre similiter utrumque dicitur, cum nunquam sint æque vera contraria de illo, cum igitur vere Dominum gloriæ crucifixerunt, qui Christum in ligno suspenderunt, evidens est quod idem ex divino verbo factum est Dominus gloriæ. Atqui vera crucifixio est carnis humanæ, nam divinæ naturæ debetur super omnia gloria ex illa potestatem habens glorificandi quos vult, solus vero ut homo per naturam D sustinuit passionem.

CAP. III.

Quid ergo, dicunt, non clarissima sunt quæ de Christo dicuntur, quod a Deo surrectus fuisset non a seipso? et quod per operationem Spiritus sancti surrexisse a mortuis et constitutus Filius Dei? Quomodo ergo dictum est: *Quem Deus suscitavit, non vidit corruptionem*? et constituti Filii Dei, secundum Spiritum sanctificationis ex resurrectione mortuorum? Sed dicunt exploratores Scripturarum, ut opinantur : Si resurrectio ex mortuis per Spiritum Dei, simpliciter gloriam Filii Dei tribuit suscitanti, quomodo filius viduæ ab Elia, et filius Sunamitidis ab Eliseo et Thabita a Petro, et cæteri resuscitantes a mortuis non sunt constituti filii

Dei. Evidens est quod isti per potestatem Dei, et Spiritus sanctificationis in resuscitantibus se operantis surrexerunt. Cum non sit qui vitæ et mortis potestatem habeat præter Dominum qui est solus natura spiritus vivificans, ergo in illo solo Deo vita erat, ipse mortificat et vivificat, occidit et videre facit, deducit ad inferum et reducit; evidens seipsum ergo quod per propriam resurrectionem, constituit Dominum Filium Dei, non moriens cum parte ipsius humana, ideo Deus immortalis erat, sed operans ex parte propria in actione divina, et vivificans partem ipsius mortuam. Et hoc maxima pars virtutis Dei, in nos credentes secundum energiam auctoritatis fortis quam adhibuit in Christo, suscitans eum a mortuis. Infusa autem in nos per susceptionem sancti corporis ejus, vivificat etiam nostra corpora mortua post mortem, per inhabitantem spiritum Dei in nobis. Igitur manifestum est quod non ideo simpliciter surrexit, glorificatus est Dominus Filius Dei, sed quia propria virtute surrexit, cum mortuos jam multos, et alios ante et post Christum suscitabit spiritus sanctificationis in quibus non supereminentem magnitudinem ejus apparuisse ut per virtutem istam. Non igitur sine ratione nec per accidentalem gloriam, nec ex quodam verbo circumstantium, constitutus est Filius Dei: Christus, sed propriam virtutem in resurrectione corporis sui ostendens virtutem suam divinam esse, et per virtutem substantiam, nam fines fiunt definitiones rerum subjacentium, ex substantialibus verbis excipiunt sapientes et hoc omne non debet latere vestram rusticam scientiam. Hoc idem sapientissime clamat Christum Filium David esse Filium Dei, idcirco ex illa virtute ejus in resurrectione, demonstratur similius Dei in substantia, in hoc signum habemus de illo ut verissimi Filii natura Dei et Patris. Sic agnitus est Filius Dei, secundum spiritum sanctificationis, ex resurrectione mortuorum.

CAP. IV.

Sed qui apostolum et archipontificem, inquit, fidei nostræ non intelligentes, sicut Paulus mandat nobis, dicite. Qualem unquam nostis sacerdotem ejusdem naturæ ac victimam? vel qualem apostolum non inferiorem mittenti eum? Vel igitur qui est Verbum de quo hæc dicuntur, an erit inferior naturæ et ordine Deo, ut videtur Ario? Si ille non est Verbum, oportebit aliquem alium super Verbum ipsum, presbyterum et diaconum Dei cognitum virtute Verbi. Sed quid majorum rejicientes divinitatis verborum, et humiliorum humanitatis, hæc solum nobis producitis? Nos vero dicimus creaturam esse Christum Dei, quem novimus esse creatorem omnium. Sed non ex eis quæ sunt in eo glorificamus certe quæ sunt vere inæqualia. Deo vero scimus et Deum et sacerdotem et victimam esse ipsum Christum, non vero quia sa-

A Θεοῦ ὡρίσθησαν; δῆλον γὰρ ὡς καὶ οὗτοι δυνάμει Θεοῦ καὶ διὰ τοῦ Πνεύματος τῆς ἁγιωσύνης τοῦ ἐν τοῖς ἀναστήσασιν αὐτοὺς ἐνεργοῦντος ἀνέστησαν· εἴπερ μὴ ἔστι ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν ἔχειν, πάρεξ τοῦ Κυρίου, ὅς ἐστι Πνεῦμα τὸ ζωοποιὸν φύσει μόνον ὄν· καὶ γὰρ ἐν αὐτῷ μόνῳ τῷ Θεῷ ζωὴ ἦν, καὶ αὐτὸς θανατοῖ καὶ ζωογονεῖ, ἀποκτείνει καὶ ζῆν ποιεῖ, κατάγει εἰς ᾅδου καὶ ἀνάγει· δῆλον οὖν ὡς τῷ ἑαυτὸν ἀναστῆσαι, παρέστησεν ἑαυτὸν Υἱὸν Θεοῦ ὁ Κύριος· μὴ συνθανὼν τῷ ἀνθρωπίνῳ αὐτοῦ μέρει, διότι ἀθάνατος Θεὸς ἦν, ἀλλ' ἐνεργῶν ἀπὸ μέρους τὴν ἰδίως θείαν ἐνέργειαν, καὶ ζωοποιῶν τὸ θανὸν αὐτοῦ μέρος· καὶ τοῦτό ἐστι τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως τοῦ Θεοῦ, εἰς ἡμᾶς τοὺς πιστεύοντας κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν B ἐνήργησεν ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν· ἐνδιδομένη γὰρ καὶ εἰς ἡμᾶς διὰ τῆς μεταλήψεως τοῦ ἁγίου αὐτοῦ σώματος, ζωοποιεῖ καὶ τὰ θνητὰ σώματα ἡμῶν μετὰ θάνατον, διὰ τοῦ ἐνοικοῦντος θείου αὐτοῦ Πνεύματος ἐν ἡμῖν· οὐκοῦν σαφὲς ὅτι οὐ διότι ἀνέστη ἁπλῶς, ἐδοξάσθη Υἱὸς Θεοῦ ὁ Κύριος, ἀλλ' ὅτι ἰδίᾳ δυνάμει· ἐπεὶ νεκροὺς ἤδη πλείστους καὶ ἄλλους πρότερον καὶ μετὰ Χριστὸν ἀνέστησε τὸ Πνεῦμα τῆς ἁγιωσύνης, ἐν οἷς οὐ λέγεται τὸ ὑπερβάλλον μέγεθος αὐτοῦ, ὥσπερ κατὰ τὴν ἰσχὺν ταύτην, ἐμφανίσαι· οὐκ ἀλόγως οὖν, οὐδὲ ἀπὸ τῆς τυχούσης δόξης, οὐδὲ μὴν ἐκ λόγου τινὸς τῶν συμβεβηκότων, ὡρίσθη Υἱὸς Θεοῦ Χριστὸς, ἀλλ' ἐκ τῆς κατὰ τὴν ἀνάστασιν τοῦ σώματος αὐτοῦ ἐνεργείας, παρα- C στήσας ὄντως θείαν αὐτοῦ εἶναι τὴν δύναμιν, ἐκ δὲ τῆς δυνάμεως, τὴν οὐσίαν· οἱ γὰρ ὅροι εἴτουν ὁρισμοὶ τῶν ὑποκειμένων πραγμάτων, ἐκ τῶν οὐσιωδῶν λαμβάνονται λόγιων, ὦ σοφοὶ παρ' ἑαυτοῖς· καὶ τοῦτο ὅλον οὐκ ὤφειλε λαθεῖν τὴν ὑμετέραν ἀμαθῆ πολυμάθειαν· τόδε οὖν αὐτὸ σαφέστατα βοᾷ τὸν Υἱὸν Δαβὶδ Χριστὸν καὶ Υἱὸν Θεοῦ εἶναι· διότι ἐξ αὐτῆς τῆς κατὰ τὴν ἀνάστασιν αὐτοῦ ἐνεργείας, ὅμοιος Θεῷ τὴν οὐσίαν δέδεικται· καὶ τοῦτο τεκμήριον ἔχομεν περὶ αὐτοῦ, ὡς γνησιωτάτου Υἱοῦ φύσει τοῦ Θεοῦ καὶ Πατρός; · οὕτως οὖν ὡρίσθη Υἱὸς Θεοῦ, κατὰ Πνεῦμα ἁγιωσύνης, ἐξ ἀναστάσεως νεκρῶν.

ΚΕΦΑΛ. Δ'.

Ἀλλ' οἱ τὸν ἀπόστολον καὶ ἀρχιερέα, φησὶ, τῆς πίστεως ἡμῶν μὴ κατανοοῦντες, καθὼς Παῦλος ἐν- D τέλλεται ὑμῖν, εἴπατε, Ποῖον ἴστε ἱερέα ταυτοφυῆ τῷ ἱερατευομένῳ ποτέ; ἢ τίνα ἀπόστολον οὐχ ὑποτεταγμένον τῷ ἀποστείλαντι αὐτόν; ἢ οὖν ὁ Λόγος ὤν, περὶ οὗ τάδε εἴρηται, αὐτὸς ἥττων ἐστὶ φύσει καὶ τάξει τοῦ Θεοῦ, ὡς Ἀρείῳ δοκεῖ; εἰ ἐκεῖνος μή ἐστιν, ἕτερόν τινα παρὰ τὸν Λόγον αὐτὸν εἶναι δεήσει, τὸν λειτουργόν τε καὶ διάκονον Θεοῦ νοούμενον ἐνεργείᾳ τοῦ Λόγου. Ἀλλὰ τί δὴ τῶν μειζόνων ἀφέμενοι τῆς θεότητος Λόγων, καὶ τῶν πτωχοτέρων τῆς ἀνθρωπότητος, ταῦτα ἡμῖν μόνον παράγετε; ἡμεῖς γὰρ καὶ κτίσμα φαμὲν εἶναι Θεοῦ τὸν αὐτὸν Χριστὸν, ὃν καὶ Κτίστην ἁπάντων οἴδαμεν· ἀλλ' οὐκ ἐκ τοῦ αὐτοῦ τῶν ἐν αὐτῷ τὰ ὄντως ἄνισα δοξάζοντες δηλαδή· τῷ τοι ἄρα, καὶ Θεὸν καὶ ἱερέα καὶ θῦμα, τὸν αὐτὸν εἶναι ἴσμεν Χριστόν· μὴ γὰρ ὅτι ἱερεὺς λέγεται,

λάτρης καὶ λειτουργὸς μόνον ὑμῖν ἐντεῦθεν νοείσθω Θεοῦ, κατὰ τὸν ἐπὶ παντὸς ἱερέως λαμβανόμενον λόγον· ἀλλ' ὅτι τοῦ αὐτοῦ Ἀποστόλου περὶ τοῦ αὐτοῦ καὶ πάλιν λέγοντος ἱερέως ἀκούετε· Τοιοῦτον ἔχοντες ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης, ἐν τοῖς ἐπουρανίοις. Αὐτὸ τοῦτο ὃ ὑπορήσατε ἡμῖν ἐν ἑαυτοῖς σκοπεῖτε, ὅτι οὐκ ἔστιν ἱερέως τὸ σύνθρονον εἶναι τῷ ἱερατευομένῳ καὶ σύντιμον καὶ ὁμόδοξον, ἀλλά τινος ἰσοφυοῦς καὶ ἰσοσθενοῦς τῷ ἐνδόξῳ Θεῷ· οὐκοῦν ἄρα ὡς ἱερεὺς συγκαθέζεται Θεῷ ἐν οὐρανοῖς ὁ ἱερεὺς τοῦ Θεοῦ γενόμενος ἐπὶ γῆς, καὶ τὴν ἰδίαν σάρκα ἱερουργήσας Θεῷ, καὶ ἀναγαγὼν αὐτὴν πρὸς Θεὸν, ἀλλ' ὡς καὶ Θεὸς ὢν ἀληθῶς ὁ αὐτός.

ΚΕΦΑΛ. Ε'.

Βασανιστέον δὲ καὶ τὸ ἀτρανῶς μὲν καὶ ἀθάρσως ὅμως ἐν πλείοσιν αὐτῶν ἐπιχειρούμενον· δεδόσθω γάρ, φασί, κατὰ συνδρομὴν εἶναι καθ' ὑμᾶς καὶ Θεὸς ὁ αὐτὸς Χριστός· ὁ δὲ Ἰησοῦς, τί ὑμῖν εἶναι δοκεῖ; οὐ γὰρ δὴ καὶ αὐτὸν Λόγον καὶ σάρκα ἐρεῖτε· εἰ γὰρ καὶ αὐτὸς ὁμοίως Θεὸς, δῆλον ὡς οὐκ ἀεὶ ὁ Χριστὸς, Θεός· τὸν γὰρ Ἰησοῦν ὃν φατε Θεὸν, τοῦτον καὶ Κύριον καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε, σαφῶς εἴρηται· οὐχ ὃ ἦν οὖν ὁ Ἰησοῦς εἴτουν Κύριος, τοῦτο γέγονε ποιηθεὶς Χριστὸς καὶ Κύριος· οὐδεὶς γὰρ γίνεται ὅ ἐστιν· οὐδ' ἄρα οὖν Θεὸς ἀεί ἐστιν ὁ Ἰησοῦς, ἐπεὶ μηδὲ Κύριός ἐστιν· εἰ δὲ ὁ μὲν Ἰησοῦς ἄνθρωπος, ὁ δὲ Χριστὸς Θεὸς ὑμῖν νοεῖται, ἢ μόνον Θεὸς ἔσται ὥσπερ ὁ Λόγος, καὶ ὁ Λόγος Χριστὸς, καὶ πρὸ τῆς σαρκώσεως· ἢ Θεὸς καὶ ἄνθρωπός τις ἕτερος παρὰ τὸν Ἰησοῦν καὶ ἔσονται δύο ἄνθρωποι, μετὰ τὴν ποίησιν τοῦ Ἰησοῦ εἰς Χριστὸν ἐν αὐτῷ φαινόμενοι· ὧν ὁ μὲν σύνθετος τὴν ὑπόστασιν, ὥς φατε· ὁ δὲ Ἰησοῦς, ποιητὸς Χριστός· εἰ δὲ Χριστὸς, Θεὸς καὶ ἄνθρωπος ὄντως νοεῖται· καὶ οὕτως ὁ Ἰησοῦς ἐπίκτητον ἀνθρωπότητα λαβὼν, καὶ θεότητα τὴν Χριστοῦ, τρεῖς μὲν ἀνθρώπους, δύο δὲ θεοὺς εἶναι ἑαυτὸν ἐπιδείξηται Χριστὸς γενόμενος· ἢ εἰς Θεὸν καὶ ἄνθρωπον μερισθῆναι ὁ Ἰησοῦς λογισθήσεται, ποιηθεὶς Χριστός.

Φαμὲν οὖν σὺν τῷ θεολόγῳ πρὸς τάδε καὶ ἡμεῖς, ὅτι πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ Ἰησοῦν ἐν σαρκὶ ἐληλυθότα, οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ· εἰ δὲ οὐχ ἕτερον κηρύσσει, τόν τε Λόγον σάρκα γενόμενον, καὶ τὸν Ἰησοῦν ἐν σαρκὶ ἐληλυθότα, δῆλον ὡς τὸν αὐτὸν οἶδεν Ἰησοῦν τῷ Χριστῷ, καὶ Χριστὸν τὸν αὐτὸν τῷ Λόγῳ· Χριστός τε γὰρ οὐκ ἄλλοθεν λέγεται, ἢ διὰ τὸ κεχρίσθαι, καὶ πιαίνεσθαι τῇ θεότητι τοῦ Λόγου ἡ σάρξ· καὶ Ἰησοῦς, ὅ ἐστι Σωτὴρ, οὐχ ἑτέρωθεν κέκληται, ἢ διὰ τὸ σωτήριον ἔχειν φυσικὴν δύναμιν· οὕτως γὰρ αὐτοῦ καὶ ὁ ἄγγελος τὴν φερώνυμον κλῆσιν ἐξηγήσατο λέγων· « Καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. » Ὁ οὖν ἔχων δύναμιν, οὐ μόνον τοῦ μὴ ἁμαρτάνειν, ἀλλὰ καὶ λυτροῦσθαι τῶν ἁμαρτιῶν, τίς ἂν εἴη τὴν φύσιν, εἰ μὴ Θεός; Τοῦτο γὰρ οὐδ' Ἰουδαῖοι ἠγνόησαν, εἰπόντες ὅτι « Οὐδεὶς δύναται

[m] Luc. v, 21.

A cerdos dicitur, adorator et sacrificator solum Dei vobis ideo appareat, nam intelligendum verbum supra omnem sacerdotem, sed apostoli ipsi de eodem et rursus loquente sacerdote audite. Talem habentes pontificem qui sedet a dextris throni magnitudinis in cœlis. Hoc ipsum quod effugitis, in vobismetipsis videte, quod non est sacerdotis esse in throno cum Deo suo, nec in eodem honore et eadem gloria, sed est ejusdem naturæ et potentiæ cum glorioso Deo; igitur ut sacerdos sedet cum Deo in cœlis qui sacerdos Dei factus est in terra, et propriam carnem quam sacrificavit Deo postquam introduxit apud Deum, sed cum sit Deus verus ipse.

CAP. V.

B Stricte etiam examinandum est argumentum eorum quod plerique obscure simul et dubitative tenent. Concedatur, aiunt; secundum vos per concursum et Deum ipsum Christum. Jesus autem quid vobis esse videtur? Non enim certe et ipsum Verbum et carnem dicetis. Si etenim et ipse pariter, Deus manifestum quod non semper fuit Christus, Deus. Nam eumdem Jesum quem dicitis Deum, Deus fecit et Deum et Christum; hoc clare dictum est. Non ergo quod erat Jesus sive Dominus, hoc effectus est Christus ac Dominus factus. Nemo enim fit quod est. Non semper igitur Deus fuit Jesus, cum non sit Dominus. Si veroque Jesus homo idem Christus Deus vobis notus est, vel solum Deus erit utpote Verbum, et Verbum Christus et ante incarnationem, C vel Deus, et homo quis alius prope Jesum, et erunt duo homines, apparentes in illo post mutationem, Jesus in Christum quorum componitur hypostasis, ut dicitis, Jesus factus Christus si vero Christus Deus et homo vero noscitur. Et si Jesus assumens humanitatem alienam, et divinitatem Christi, tres homines essent. Christus factus ostendet seipsum esse duos deos, vel Jesus argumentatione in Deum et hominem partietur, factus Christus.

Dicimus vero cum theologo de istis, quod omnis spiritus qui non confitetur in carnem Jesum venisse, non est a Deo, sed si nihil aliud nuntiat nisi verbum carnem factum et Jesum in carne venisse, evidens est D quod novit ipsum Jesum in Christo et Christum ipsum in Verbo. Nam Christus non aliunde dicitur, nisi quia caro Verbi uncta fuit ut aucta divinitate, et Jesus qui est Salvator, non aliunde nominatur, nisi quia propter salutem habet virtutem physicam. Sic angelus ejus docuit hanc denominationem significativam esse, dicens, « Et vocabis nomen ejus Jesum, ipse enim salvum faciet populum suum a peccatis eorum. » Qui ergo habet virtutem non solum non peccandi, sed liberandi a peccatis, qualis erit natura nisi Deus? Hoc enim Judæi cognoverunt, dicentes, quod « Nemo potest remittere peccata nisi solus Deus [m] » et Jesus vocatur, ut ipse Deus esse dicens;

«Non est præter me justus et Salvator, quia solus a Domino [n]; » et : « Nec senex, nec angelus, sed ipse Deus salvavit nos [o]. » Si vero aliquis alius dicitur Jesus, sicut filius Noe et qui cognominatus est Justus, evidenter quod sit vel ex parte spiritualis metalepsis, vel propter virtutem, vel typus vel omonymia. Sicut de Verbo Christi quo nominantur prophetæ, sacerdotes et reges quod non semper fuisse Christum Jesum, secundum verba Petri, et Dominum et Christum fecisse Jesum Deum admodum ingenue; si vero quod fecit, dignum est quod præexsistebat ante omnem mutationem et progressum. Igitur qui dicit non seipsum sed Patrem suum servasse, fecisse et formasse ante primam creaturam Dei deinde opus ejus fieri signum populi ejus, et dicens : «Tibi soli peccavi et malum coram te feci [p]. » Si non malum fecerit, simul erat et peccans, sed peccavit primo, deinde malum fecit, et quis hæc dedisset, non per totam sacram Scripturam sophistice nugis convictus erit, et qui dicit Deum fecisse hominem ad imaginem Dei, an primo hominem, deinde imaginem Dei factum esse intelligemus.

A ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός· » καὶ Ἰησοῦς οὖν ὠνόμασται, ὡς αὐτὸς ὢν ὁ Θεὸς ὁ λέγων · « Οὐκ ἔστι πάρεξ ἐμοῦ δίκαιος καὶ σώζων · ὅτι τοῦ Κυρίου ἡ σωτηρία » · καὶ « Οὐ πρέσβυς, οὐδ' ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς · » εἰ δὲ καὶ ἕτερός τις λέγεται Ἰησοῦς, ὥσπερ οὖν ὁ τοῦ Ναυῆ, καὶ ὁ ἐπιλεγόμενος Ἰοῦστος, δῆλον ὡς ἢ ἀπὸ μέρους πνευματικῆς μεταλήψεως, ἢ κατὰ τύχην, ἢ τύπον ἐστὶν ἢ ὁμωνυμία · ὥσπερ καὶ ἐπὶ τῶν χριστῶν λεγομένων προφητῶν καὶ ἱερέων καὶ βασιλέων · τὸ δὲ μὴ εἶναι ἀεὶ Χριστὸν τὸν Ἰησοῦν διὰ τὸ εἰρηκέναι τὸν Πέτρον, καὶ Κύριον καὶ Χριστὸν πεποιηκέναι τὸν Ἰησοῦν τὸν Θεὸν, εὐήθες λίαν · εἰ γὰρ πάντως μεταβολὴν ἢ προκοπὴν προϋποκειμένου σημαίνει τὸ ἐποίησεν, ἄρα καὶ ὁ λέγων οὐχ αὐτὸς οὗτός σου Πατὴρ ἐκτήσατό σε
B καὶ ἐποίησέ σε καὶ ἔπλασέ σε πρῶτον κτῆμα εἶναι Θεοῦ, εἶτα ποίημα αὐτοῦ γενέσθαι σημαίνει τὸν λαὸν αὐτοῦ καὶ ὁ εἰπὼν, « Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, » οὐ τὸ πονηρὸν ποιήσας ἅμα ἦν καὶ ἁμαρτὼν, ἀλλ' ἥμαρτε πρῶτον, εἶτα τὸ πονηρὸν ἐποίησε · καὶ τίς ταῦτα δοὺς, οὐ διὰ πάσης τῆς ἱερᾶς Γραφῆς σοφιστικῶς λήρων ἐλεγχθήσεται; καὶ ἐν τῷ λέγεσθαι δὲ ποιῆσαι τὸν Θεὸν τὸν ἄνθρωπον κατ' εἰκόνα Θεοῦ, πρῶτον ἄνθρωπον, εἶτα εἰκόνα Θεοῦ γενέσθαι αὐτὸν νοήσομεν.

CAP. VI.

Divinæ Scripturæ Christum vocant, et unum Deum et unum hominem, et unum Christum, sed ille qui unus Deus secundum naturam est similiter et unus homo, qui et unus Christo per substantiam Dei unitam homini est unus Christus, differt ergo unus Deus ab uno Christo sed non differt in eo quod non sit Deus, sed in eo quod sit homo, Christus differt ab eo qui est solum Deus et secundum syllogismum an differt ab homine natura Christus, quid dicitis esse per naturam, si vero per hæc non natura omnino oportet differre ab homine Christum dicitis, nec etiam necesse ut iisdem differat a Deo.

ΚΕΦΑΛ. Ζ'.

Αἱ θεῖαι Γραφαὶ τὸν Χριστὸν καλοῦσι, καὶ ἕνα Θεὸν, καὶ ἕνα ἄνθρωπον, καὶ ἕνα Χριστόν· ἀλλ' ὁ
C μὲν εἷς Θεὸς, κατὰ φύσιν ἐστὶν εἷς · ὡσαύτως καὶ ὁ εἷς ἄνθρωπος· ὁ δὲ εἷς Χριστὸς, κατὰ τὴν ἐκούσιον ἕνωσιν Θεοῦ πρὸς ἄνθρωπόν ἐστιν εἷς Χριστός· διαφέρει ἄρα ὁ εἷς Θεὸς, τοῦ ἑνὸς Χριστοῦ. Ἀλλὰ τῷ μὴ εἶναι Θεὸς, τῷ δὲ εἶναι καὶ ἄνθρωπος, διαφέρει τοῦ εἶναι μόνον Θεὸς, Χριστός· κατὰ δὲ τόνδε τὸν συλλογισμὸν, καὶ ἀνθρώπου ἄρα διαφέρει ἐν τὴν φύσιν, Χριστός· εἰ δὲ καὶ Θεοῦ καὶ ἀνθρώπου διαφέρει τῇ φύσει Χριστὸς, τί ἂν εἴη εἴπατε τὴν φύσιν· εἰ δὲ διὰ τάδε μὴ τῇ φύσει πάντως δεῖν διαφέρειν τοῦ ἀνθρώπου Χριστόν φατε, οὐδ' ἄρα τοῦ Θεοῦ ἀναγκαίως, ἐκ τῶνδε διαφέρει.

CAP. VII.

Dominum et Christum fecit Deus Jesum, ubi ponis Deum Verbum, o Ægypte, an Dominum facientem an Dominum factum, non faciens speciales distributiones, respondendum ad quæstionem parientem vere, sed cessione propriæ naturæ ad naturam hominis et unione in unam specialem olim hypostasin.

ΚΕΦΑΛ. Ζ'.

Κύριον καὶ Χριστὸν ἐποίησεν ὁ Θεὸς τὸν Ἰησοῦν· ποῦ τάσσεις τὸν Θεὸν Λόγον, ὦ Αἰγύπτιε; ποιοῦντα
D Κύριον; ἢ ποιούμενον Κύριον; μὴ ποιῶν ἰδικὰς διανομάς· ἀπόκριναι πρὸς τὴν ἐρώτησιν. Ποιοῦντα μὲν ὄντως, ἀλλὰ τῇ τῆς ἰδίας φύσεως ἐνδόσει εἰς τὴν τοῦ ἀνθρώπου φύσιν, καὶ ἐμπλοκῇ κατὰ μίαν τὴν ἰδικὴν αὐτοῦ πάλαι ὑπόστασιν

CAP. VIII.

Similiter si nobiscum particeps factus est carnis et sanguinis Christus, evidenter natura quam habet inter nos est homo Christus. Siquid horum seu etiam æqualiter participat, omnino est eadem natura integre, et solius naturæ aliorum cum eo comparticipantium. Igitur post quatuor elementorum, formica, et perdix, et squilla, et panthera participant, an sunt omnia ejusdem naturæ? aspice ergo, o tu, quod eorumdem pueris et simili

ΚΕΦΑΛ. Η'.

Εἰ παραπλησίως ἡμῖν κεκοινώνηκε σαρκὸς καὶ αἵματος ὁ Χριστὸς, δῆλον ὅτι φύσει τῇ καθ' ἡμᾶς ἐστιν ἄνθρωπος ὁ Χριστός. Εἴ τι οὖν τῶν αὐτῶν καὶ ὡσαύτως κοινωνεῖ, πάντως καὶ τῆς αὐτῆς ἐστι πάντῃ φύσεως, καὶ μόνης τῶν ἑτέρων τῶν τοῦ αὐτοῦ συμμετασχόντων· ἄρα οὖν ἐπεὶ τῶν τεσσάρων στοιχείων, μύρμηξ τε καὶ πέρδιξ καὶ καρὶς καὶ πάρδαλις μετέχει, τῆς αὐτῆς εἰσι τάδε φύσεως πάντῃ; Σκόπει δὲ, ὦ οὗτος, ὅτι τῶν μὲν αὐτῶν τοῖς παιδίοις

[n] Isa. 43, 11, 12. [o] Isa. LXIII, 9. [p] Psal. L, 6.

καὶ ὁμοίᾳ κοινωνίᾳ φησὶ τὸ λόγιον κεκοινωνηκέναι τὸν Υἱὸν, ἤγουν αἵματος καὶ σαρκός· οὐ μὴν καὶ τὸν κοινωνήσαντα τοῖσδε καθ' ἡμᾶς, ὅμοιον ἡμῖν φησιν ἁπλῶς· ὥστε ἐξ ὁμοίου καὶ ἀνομοίου ἡμῖν ἐκεῖνος σύγκειται· πῶς οὖν μόνον καθ' ἡμᾶς ἔσται ἄνθρωπος;

A communione dicit Scriptura participem esse filium, scilicet carnis et sanguinis, non vero qui communicant de his inter nos dicit simpliciter similem nobis, ita ut ille consistat ex simili et dissimili nobis: quomodo ergo solummodo inter nos erit homo?

ΚΕΦΑΛ. Θ'.

Εἰ ὁ Πατὴρ ποτὲ μὲν τοῦ Θεοῦ Λόγου μόνου Πατὴρ, ποτὲ δὲ καὶ Πατὴρ καὶ Θεὸς, ἢ ἄρα εἰς τὸ μεῖζον προέκοψεν ὁ Πατὴρ, ἢ εἰς τὸ ἔλαττον κατεβιβάσθη ὁ Υἱός. Ἀλλὰ Πατὴρ μὲν τοῦ ἀοράτου Λόγου ἀεὶ, Θεὸς δὲ μόνης τῆς ὁρωμένης σαρκὸς τοῦ Λόγου ἐστίν.

CAP. IX.

Si Pater aliquando fuit Pater Dei Verbi solius, aliquando autem et Pater et Deus, sane in melius processit Pater, et in pejus descendit filius. Sed Pater est semper invisibilis Verbi; Deus vero solius visibilis carnis Verbi.

ΚΕΦΑΛ. Ι'.

Εἰ ὁμοῦ Θεὸς καὶ ἄνθρωπος ὁ Χριστὸς, καὶ οὐκ ἔστιν ὁ Θεὸς Θεὸς τοῦ ἀνθρώπου, δῆλον ὅτι οὐκ εἰσὶν ἀλλήλοις ὅπερ λέγονται· τουτέστι οὔτε Θεὸς τῷ ἀνθρώπῳ ὁ Θεὸς, οὔτε ἄνθρωπος τῷ Θεῷ ὁ ἄνθρωπος. Ἀλλ' αἱ μὲν ἐν Κυρίῳ φύσεις, οὕτως ἔχουσι πρὸς ἀλλήλας ἀντεξεταζόμεναι· τούτων γὰρ ἡ μὲν ἐθέωσε δηλονότι ὡς θεία, ἡ δὲ ἐθεώθη ὡμολογημένως ὡς μὴ φύσει θείᾳ πάλαι· Χριστὸς δὲ αὐτὸς, ἤγουν ἡ ξυνωρὶς τῆς θεότητος καὶ ἀνθρωπότητος, οὔτε ἁπλῶς Θεὸς ἀνθρώπου καὶ ὅλου ἑαυτοῦ, οὔτε ἄνθρωπος Θεοῦ καὶ ἑαυτοῦ κατὰ τὴν ὑπόστασιν· ἀλλ' ἅμα Θεός τε καὶ ἄνθρωπος ὁ αὐτός· πρός τε Θεὸν διαφέρων τῇ ἐπενδύσει τοῦ ἀνθρωπίνου, καὶ πρὸς ἀνθρώπους διοίσων τῇ ἐνοικήσει τοῦ Θείου.

CAP. X.

B Si simul Deus et homo Christus, et non est Deus hominis Deus, evidens est quod non sint inter se ut dicuntur. Id est Deus non est Deus homini, nec homo Deo homo naturæ quæ sunt in Domino, sic inter se pugnarent, inter quæ Deum facit, sane ut divina, quæ divina facta est sine dubio quasi non naturaliter divina ex antiquo. Christus ipse, id est unio divinitatis et humanitatis, nec simpliciter Deus hominis et sui totius, nec homo Dei et sui secundum hypostasin, sed simul Deus et homo ipse a Deo differens induendo humanitatem, et homines superans participando divinitati.

ΚΕΦΑΛ. ΙΑ'.

Λειτουργὸν τῶν ἁγίων τὸν Χριστὸν ὀνομάζει ἡ ἁγία Γραφή· καὶ πᾶς λειτουργὸς, τοῦ Θεοῦ δηλονότι, τῷ Θεῷ αὐτοῦ λειτουργεῖ· καὶ εἰ τὰ τοῦ νόμου σκιὰ ἦν τῶν ἐν τῇ χάριτι, ἐν δὲ τῇ σκιᾷ εἶχεν ὁ νόμος λειτουργὸν, δῆλον ὅτι καὶ ἐν τῇ χάριτι ἔχει λειτουργόν. Ἐπεὶ οὖν καὶ θῦμα εἶχεν ἡ σκιά, καὶ λειτουργοῦ ὄντος τοῦ Χριστοῦ ὡς ἀνθρώπου καθ' ὑμᾶς, ποῦ ζητοῦμεν καὶ τὸ θῦμα τῆς σκιᾶς; εἰ νοήσομεν οὖν τὸ ἀποστολικὸν ὅτι διὰ Πνεύματος ἁγίου ἑαυτὸν ἄμωμον προσήνεγκε τῷ Θεῷ, γνωσόμεθα ὡς ὁ αὐτός τε καὶ ἐφάπαξ· οὐ γὰρ καὶ πολλάκις, καὶ εἷς καὶ οὐ πλείους ἱερατεύων ἐστὶ, λειτουργός τε Θεοῦ, καὶ θῦμα Θεῷ ὁμοίως τε καὶ Θεὸς λειτουργούμενος· εἰ γὰρ διὰ Πνεύματος ἁγίου προσφερόμενος ἑαυτὸν προσενεγκεῖν λέγεται, καὶ οὐδ' ἑτέρου προσενεχθῆναι, δῆλον ὡς τῆς αὐτοῦ φύσεώς ἐστι τὸ Πνεῦμα τὸ ἅγιον, ὅ ἐστι καὶ Θεός.

CAP. XI.

C Sacerdotem sanctorum Christum vocat Scriptura sacra, et omnis sacerdos, Dei est evidenter, sacrificat Deo suo, et si institutiones legis umbra erant institutionum legis gratiæ, in umbra lex habuit sacerdotem, evidenter in lege gratiæ sacerdos esse debet. Cum vero sacrificium habuit umbram, cum Christus ut homo sit sacerdos inter nos, ubi quæreremus sacrificium umbræ, si cooptamus Apostoli dictum quia per Spiritum sanctum seipsum exhibuit irreprehensibilem Deo, sciemus quod ipse semel, non autem pluries, et unus est sacerdos et non plures ministrans Deo, et victimæ similis Deo, et Deus cui offertur; nam si per Spiritum sanctum legitur seipsum sibi in cibum fuisse, et non alio dirigi, evidens est quod eadem est natura Spiritus sancti qui est etiam Deus. D

ΚΕΦΑΛ. ΙΒ'.

Εἰ τῆς κεφαλῆς οὐ δεσπόζει ὁ Θεὸς Λόγος, οὐδ' ἄρα ὅλου τοῦ σώματος δεσπόζει· εἰ δὲ τῆς Ἐκκλησίας Κύριος ὁ Θεὸς Λόγος, ἐξ ἀνάγκης καὶ τῆς κεφαλῆς τῆς Ἐκκλησίας ἐστὶ Κύριος. Εἰ κατὰ φύσιν πάντη ἰσότιμος τὴν τάξιν καὶ ὁμοταγὴς ἡ κεφαλὴ πρὸς τὸ ὅλον σῶμα, οὐδ' ἄρα κεφαλὴ ὄντως ἐστὶν ἥτις ὡς ἀρχὴ καὶ ἐπικείμενον μέρος τῷ ὑποκειμένῳ αὐτῆς ὅλῳ σώματι νοεῖται· εἰ δὲ ὄντως ὑπέρκειταί τε αὐτοῦ φυσικῇ θέσει, καὶ ἐξ αὐτῆς πᾶν τὸ σῶμα συναρμολογεῖται καὶ συμβιβάζεται καὶ ἐπιχορηγεῖται τὰς δυνάμεις, δῆλον ὡς μεθέξει τινὸς ἡγεμονικῆς τοῦ σώματος φύσεως παρὰ τὴν ἡγεμονευομένην ὑπ' αὐ-

CAP. XII.

Si capiti non imperat Deus Verbum, nec sane toti corpori imperat. Si ecclesiæ Dominus est Deus Verbum, necessario etiam capitis Ecclesiæ est Dominus. Si secundum naturam omne caput est ejusdem valoris, secundum ordinem caput in eodem ordine est ad totum corpus, non vero caput vere est quod ut principium et principalis pars prospicit toto corpori ipsi subjecto. Si autem vere superest physico principio ejus, ex capite omne corpus adoptat et, appropinquat et addit virtutes, evidenter ergo particeps est alicujus naturæ corporis directivæ prope subjectam ab illa similem

ipsi naturam totius corporis, cujus si non sit particeps, nec est caput cum non dirigat reliqua circa illam; si vero particeps est ejus qui movet et agit corpus non vero reliquum dirigitur, sed principium. Igitur ut membri nostri et carnis suæ Dominus est verbum, quamvis hoc caput nostrum intelligatur, adhuc et illud a verbo dicitur directa. Non caput Christi dicitur Deus, non vero totius Christi, nam totius illius proprium caput, id est Verbum, et ipse non sibi imperat. Si vero sicut dicis quod imperat reliquo, imperat capiti, cum Christi caput Deus esse dicatur, igitur Deo imperat Deus, nam corpori subjecto Deo, id est Christo toti, ut dicitis, et caput ipsius, id est Deum, oportet subjicere Deo ipso.

CAP. XIII.

Si Deus Verbum non est Deus et Dominus Christi, evidens est quod non est templum Dei Verbi Christus. Si vero templum Dei verbi est Jesus, necessario Deus ejus et Dominus est Deus Verbum. Caro sola habitaculum Verbi, nam Christus templum est simul et Deus habitans in templo; nam non sola unctio, nec unctus vere Christus, sed unctio et ungens, erat vero ungens humanitas Domini, unctio vero non sane est aliquid sensibile proprie, sed divinitatis ejus. Deus igitur et homo idem Christus.

CAP. XIV.

Si omnia per Verbum non solum facta sunt, sed fiunt, evidens est quod Jesus et Dominus et Christus per Deum Verbum effectus est, et omnium quæ per seipsum facit Deus et Dominus est Verbum. Si igitur Dominus et Christus, sicut dicitur, factus est a Deo, Jesus, quomodo adhuc a Deo dominatur? Non enim catholice potiri omni substantia ad naturam suam spectante, videtur significare aliud sicut intelligimus proprie de Domino Domini, ad quem dicitur, quod omnia illi sint subjecta; si vero quia quibusdam potitur, non igitur omnibus circa ipsum ut Deus, hoc dicitur ipsum factum esse et Pilatus et Herodes certe ut ex parte tales erant Domini, et facti sunt a Deo; adhuc igitur si non secundum hos ipse quadam dignitate et globulis accepit dominationem factus Dominus evidenter secundum actionem ejus, naturam ipsam a Deo ut domino ut dixerat factus in institutione Dominus est omnium, evidenter sine illo qui ei omnia subjicit. Si vero non licet invincibili dominationi creari quemque in Dominum, evidens est quod judicando naturam dominantem factus est in naturam supervenientem, Dominus est vero iste Jesus. Quæ ergo substantia est physica dominans omnia? Divina, evidentissime. Quid ergo de illo? In Jesum concilians creatur ejus Verbum. Seipso igitur acquirens illum et connaturalis ei ex creatione fecit illum Dominum vere per seipsum; participatione igitur Verbi ipsius

A τῆς ὁμοούσιον αὐτῇ φύσιν αὐτοῦ τοῦ ὅλου σώματός ἐστιν· ἧς εἰ μὴ μετέχει, οὐδ' ἄρα κεφαλή ἐστιν, ὡς μηδὲ ἡγεμονοῦσα λοιπὸν καθ' αὐτήν· εἰ δὲ μετέχει τοῦ κινοῦντος καὶ ἄγοντος τὸ σῶμα, οὐδ' ἄρα λοιπὸν ἡγεμονευόμενον, ἀλλὰ ἄρχον ἐστίν· οὐκοῦν ὡς μέλους μὲν ἡμῶν οὔσης καὶ τῆς σαρκὸς ἑαυτοῦ Κύριος ὁ Λόγος, εἰ καὶ ταύτης τῆς κεφαλῆς ἡμῶν νοουμένης, ἐπὶ καὶ αὐτὴ ὑπ' αὐτοῦ λέγεται· κεφαλὴ γὰρ καὶ Χριστοῦ ὁ Θεὸς εἴρηται· οὐ μὴν καὶ ὅλου Χριστοῦ· τοῦ γὰρ ὅλου καὶ ἡ κεφαλὴ αὐτῆ, ἤγουν ὁ Λόγος· καὶ αὐτὸς ἑαυτοῦ οὐ δεσπόζει· εἰ δὲ καθὰ φῂς τὸ δεσπόζον τοῦ λοιποῦ, καὶ τῆς κεφαλῆς δεσπόζει, ἐπεὶ Χριστοῦ κεφαλὴ ὁ Θεὸς εἶναι ἐῤῥέθη, ἄρα καὶ τοῦ Θεοῦ δεσπόζει ὁ Θεός· τοῦ γὰρ σώματος ὑποτεταγμένου τῷ Θεῷ ἤγουν Χριστοῦ ὅλου, ὥς
B φατε, καὶ τὴν κεφαλὴν αὐτοῦ, ἤγουν τὸν Θεὸν, δεῖ ὑποκεῖσθαι τῷ αὐτῷ Θεῷ.

ΚΕΦΑΛ. ΙΓ'.

Εἰ μὴ Θεὸς καὶ δεσπότης τοῦ Χριστοῦ ὁ Θεὸς Λόγος, δῆλον ὅτι οὐδὲ ναὸς τοῦ Θεοῦ Λόγου ὁ Χριστός· εἰ δὲ ναὸς τοῦ Θεοῦ Λόγου ἦ ὁ Ἰησοῦς, ἐξ ἀνάγκης καὶ Θεὸς αὐτοῦ καὶ δεσπότης ὁ Θεὸς Λόγος. Ἡ σὰρξ μόνη ναὸς τοῦ Λόγου· ὁ γὰρ Χριστὸς ναὸς ἅμα καὶ Θεὸς ἐνοικῶν τῷ ναῷ ἐστιν· οὔτε γὰρ χρίσμα μόνον, οὔτε χρισθησόμενον ὁ Χριστὸς ἀληθῶς, ἀλλὰ χρίσμα καὶ ὁ χρισθείς· ἦν δὲ τὸ μὲν χρισθὲν τὸ ἀνθρώπινον τοῦ Κυρίου· τὸ δὲ χρίσμα, οὐκ αἰσθητὸν δηλαδή τι ὅλως, ἀλλὰ τὸ θεῖον αὐτοῦ· Θεὸς ἄρα καὶ ἄνθρωπος ὁ αὐτὸς Χριστός.

ΚΕΦΑΛ. ΙΔ'.

C Εἰ πάντα διὰ τοῦ Λόγου οὐ μόνον γέγονεν, ἀλλὰ καὶ γίνεται, δῆλον ὅτι καὶ ὁ Ἰησοῦς καὶ Κύριος καὶ Χριστὸς διὰ τοῦ Θεοῦ Λόγου ἐγένετο· πάντων δὲ τῶν δι' αὐτοῦ, Θεὸς καὶ Δεσπότης ὁ Λόγος. Εἰ οὖν δὴ Κύριος καὶ Χριστὸς, καθὼς εἴρηται, ἐποιήθη ὑπὸ τοῦ Θεοῦ, ὁ Ἰησοῦς, πῶς ἔτι ὑπὸ τοῦ Θεοῦ δεσπόζεται; Οὐ γὰρ καθολικῶς τὸ κυριεύειν πάσης τῆς παρὰ τὴν φύσιν αὐτοῦ οὐσίας ἔχων ὁρᾶται λοιπὸν, ὥσπερ νοοῦμεν ἐπὶ τοῦ κυρίως Κυρίου πρὸς ὃν εἴρηται, Ὅτι τὰ σύμπαντα δοῦλα σά· εἰ δὲ ὅτι τινῶν κυριεύει, οὐ μὴν καὶ πάντων τῶν παρ' αὐτὸν ὥσπερ ὁ Θεὸς, τοῦτο εἴρηται καὶ αὐτὸς γενέσθαι, καὶ Πιλάτος καὶ Ἡρώδης ἄρα, ὡς ἐκ μέρους τοιοίδε κύριοί εἰσι, καὶ γέγοναν ὑπὸ Θεοῦ· ἔτι μὴν εἰ μὴ κατὰ τούσδε
Si sanctissima Trinitas sit impassibilis, Christus vero passibilis, unus autem sit Christus de sanctissima Trinitate; vel sanctissima Trinitas est passibilis, vel Christus non est *unus de sanctissima Trinitate.* Quod si addideritis : Passus est carne; tali vel tali modo pati non tollit rationem passionis: sicut si quis dicat aliquem taliter suffocatum esse, non ideo immunis est passionis vel suffocationis B ille de quo loquitur. At Christus non solum unus est de sanctissima Trinitate, sed et unus de humanitate, in una et eadem persona. Etenim Verbum divinum aliquid naturæ suæ superfluum, scilicet a se creatum in suam ipsius personam assumpsit; quod autem assumptum est, non assumptum est ut persona, sed ut natura, naturæ Verbi in propria ipsius persona hypostatice conjuncta : demonstratum enim est sufficienter pro loco, quam sæpissime fieri potuit, plures naturas in unica subsistere natura. Exemplo dilucidemus quod spectat ad Dominum nostrum Jesum Christum. Si Abraham, Isaac et Jacob, postquam egressi sunt ex hac vita, jam deinceps ratione immortalitatis definiuntur C (cum unusquisque eorum hoc magis sit animal rationale immortale quam cæteri); Joseph autem unam et eamdem habens cum illis naturam eisque vere consubstantialis, adhuc vero præses Ægypti et vivens in carne, si mortalis definiretur, et haberetur ut vivens adhuc vitam hanc nostram : num igitur, juxta vos, necesse est, vel illos adhuc definiri mortales et bis mori, ne falsa sit Josephi definitio, vel Josephum esse immortalem et ante egressum ex hac vita sic definiri, ne illi falso dicantur immortales? Quod si hoc est absurdum, Josephus, ut patet, personis illis quæ secundum omnia sua attributa reputantur immortales, vere est consubstantialis respective ad hanc sui ipsius partem qua nunquam morietur, id est, respective ad suam ani- D mam; mortalis vero est et mortalibus annumerandus respective ad illud quo superfluit cæteros sibi ratione immortalitatis consubstantiales, id est, respective ad corpus ipsi additum. Sic igitur et nos carne, non divinitate impassibilem esse dicimus coalescentem ex divinitate et carne Christum. Dicitis adhuc vocem *carne* nihil aliud significare quam principalem causam et modum attributi de subjecto *Christus* prædicati, scilicet passionis, non autem exprimere aliquam diversarum ejus naturarum participantem uni et eidem ipsius personæ hæc passuræ, quemadmodum nos sentimus : necesse igitur esse ut nos, juxta nostram loquendi rationem, si quis dicat unum hominem sectum esse carne, simul et anima hunc totum esse discissum

semper arbitremur; ex verbis autem prædictis id unum patet, nempe non per gladium forte, nec per lapidem, sed per carnem totum sectum esse illum hominem, animaque et corpore discerptum per illud quasi dissecans instrumentum. Proinde, hunc hominem tonderi, discerpi et lacerari audientes, putabitis istud illi homini in utraque ipsius parte, id est, tum in corpore, tum in anima accidisse, et quidem *per carnem* quasi vim tonsoriam habentem. Præterea de iis qui, licet a cruciatu liberi respectu carnis, aliquid tamen patiuntur, si diceremus hunc vel illum impassibilem remansisse carne (hoc significante *per carnem*), similiter dici juxta vos poterit impassibilis respectu animæ *per carnem* : illi enim post carnem nihil aliud quam anima superest. Ista quidem ecquis stultus non intelligeret? Ergo evidenter patet vocem *carne* non pro instrumento dolorifico dici, nec pro parte Dei Verbi in seipso considerati, quando dicitur : Verbum divinum passum est carne; sicut dicimus : Hic vel ille impegit *pede*, vel suspensus est *manu*. Dicentes enim Deum Verbum, Christum semper consideramus in unione naturarum, et tanquam partem Christi habemus carnem qua passum esse Deum Verbum quatenus Christum dicimus : sicut et hominem quasi dividimus, dicendo Paulum infirmum quidem esse carne, spiritu autem sanum, et carne a quibusdam absentem, spiritu vero in iis præsentem. In eo igitur sensu Judæos esse deicidas intelligendum est, et alia similia, quod Christus sit Deus et Verbum. Itaque cum Christus pro nobis passus sit carne, juxta apostolum Petrum [u], patet Verbum divinum, non quatenus partem Christi, sed quatenus Christum, dicatur esse passum. Totus enim Job dicitur passus esse, licet sola ejus caro passa sit, quia ejus animam ne diabolus tangeret vetuerat Dominus.

A θως δὲ τοῦτον ψιλοῦσθαί τε καὶ ἑλκοῦσθαι, καὶ δάκνεσθαι σαρκὶ ἀκούσαντες, ἄνθρωπον κατ' ἄμφω νομίσετε, ἤγουν κατὰ ψυχήν τε καὶ σῶμα ταῦτα συμβεβηκέναι τῷ ἀνθρώπῳ, ἀλλὰ *διὰ σαρκὸς* φθόρου δύναμιν ἐχούσης· ἔτι μὴν ἐπὶ τῶν ἐλευθερουμένων ἐκ βασάνου τὴν σάρκα καὶ παθόντων τι, εἰ λέγοιμεν ὅτι ὁ δεῖνα ἀπαθὴς ἔμεινε σαρκὶ διὰ *σαρκὸς*, καὶ τοῦδε δοθέντος, ὁμοίως λέγεσθαι καθ' ὑμᾶς ἔσται τὴν ψυχὴν διὰ τῆς *σαρκὸς* ἀπαθής· οὐδὲν γὰρ αὐτῷ μετὰ τὴν σάρκα ἕτερον ὑπολείπεται· τούτων δὲ ποῖος ἄφρων ἀνεπαίσθητος; Οὐκοῦν δῆλον ὡς τὸ *σαρκὶ*, οὔτε ὡς δι' ὀργάνου παθοποιοῦ εἴρηται οὔτε μὴν ὡς μέρος οὔσης τοῦ Θεοῦ Λόγου καθ' αὐτὴν νοουμένου ἐν τῷ λέγεσθαι, Ὁ Θεὸς Λόγος ἔπαθε σαρκί· ὥσπερ φαμὲν ὅτι ὁ δεῖνα προσέπταισε τῷ *ποδὶ*, ἢ B ἐκρεμάσθη τῇ *χειρί*. Καὶ λέγοντες γὰρ τὸν Θεὸν Λόγον, Χριστὸν νοοῦμεν μετὰ τὴν ἕνωσιν τῶν φύσεων ἀεί· καὶ ὡς Χριστοῦ μέρος φαμὲν τὴν σάρκα καθ' ἣν παθεῖν καὶ τὸν Θεὸν Λόγον ὡς Χριστὸν λέγομεν· ὥσπερ καὶ ἐπὶ ἀνθρώπου, ὡς ἐκ μέρους φαμὲν ἀσθενεῖν μὲν σαρκὶ, ὑγιαίνειν δὲ Παῦλον τῷ πνεύματι· καὶ τῇ σαρκὶ μὲν ἀπεῖναί τινων, τῷ δὲ πνεύματι σὺν αὐτοῖς εἶναι· οὕτω γοῦν καὶ θεοκτόνους νοητέον Ἰουδαίους, καὶ τὰ ὅμοια, ὡς Χριστοῦ ὄντος τοῦ Θεοῦ καὶ Λόγου. Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκὶ, κατὰ τὸν ἀπόστολον Πέτρον, δῆλον ὡς καὶ Θεὸς ὁ Λόγος· οὐχ ὡς τὸ μέρος, ἀλλ' ὡς ὁ Χριστὸς λέγοιτο παθεῖν· καὶ γὰρ ὅλος Ἰὼβ λέγεται παθεῖν, τῆς σαρκὸς αὐτοῦ μόνης παθούσης· « Τῆς γὰρ ψυχῆς αὐτοῦ, » φησὶ τῷ διαβόλῳ, « μὴ ἅψῃ, » ὁ Κύριος.

CAP. III.

Qui dicerent : *Passus est carne*, pro his verbis : *Non in propria natura*, sibi contradicerent. Si enim naturam illam in qua passus est Deus Verbum juxta eos, propriam ipsius esse negant (ne illum respectu naturæ passibilem esse confiteantur); quod autem non est proprium, est alienum; quod autem alienum, alterius est quam illius cujus non est proprium : ergo illi non solum duas admittunt naturas, sed et duas personas, nempe unam Dei Verbi, et alteram illius cujus est natura in qua passus est Deus Verbum. Cujus autem nisi evidenter hominis! Ille vero aliquis homo est persona. At propria est animæ intelligentia, tanquam facultas; propriæ cogitationes, tanquam operationes; proprium corpus, tanquam instrumentum; proprius autem hominis est filius, tanquam ex eo ortus; proprius ejusdem ager, tanquam possessio : ex iis autem omnibus quæ vere propria ejus sunt, nullum eodem gradu quam aliud proprium ejusdem est, etiamsi omnia circa unum dicerentur. Patet vero id contingere, quia *proprius* in multiplici sensu accipitur. Quoniam igitur ager vere proprius hujus est juxta naturalem suum sensum, relative autem

C

ΚΕΦΑΛ. Γ'.

Εἰ φάσκοιεν τὸ *ἔπαθε σαρκὶ*, ἀντὶ τοῦ οὐκ *εἰς τὴν οἰκείαν οὐσίαν*, ἐναντίως ἑαυτοῖς τοῦτο λέγουσιν· εἰ γὰρ τὴν οὐσίαν ἐκείνην καθ' ἣν ἔπαθεν ὁ Θεὸς Λόγος κατ' αὐτοὺς, οὐκ ἰδίαν αὐτοῦ λέγουσιν, ἵνα μὴ παθητὸν κατ' οὐσίαν ὁμολογήσωσι· τὸ δὲ μὴ ἴδιον, ἀλλότριον· τὸ δὲ ἀλλότριον ἄλλου τινὸς παρ' ἐκεῖνο οὗ μή ἐστιν ἴδιον, οὐ μόνον δύο οὐσίας λέγουσιν, ἀλλὰ καὶ δύο πρόσωπα, τοῦ τε Θεοῦ Λόγου ἓν, καὶ ἓν ἐκείνου οὗτινός ἐστι ἡ οὐσία καθ' ἣν πέπονθεν ὁ Θεὸς Λόγος· τίνος γὰρ ἢ δῆλον ὅτι ἀνθρώπου; ὁ δέ τις ἄνθρωπος, πρόσωπον. Ἀλλ' ἴδιος μὲν τῆς ψυχῆς ὁ νοῦς, ὡς δύναμις· ἴδια δὲ τὰ νοήματα ὡς ἐνέργειαι· ἴδιον δὲ τὸ σῶμα ὡς ὄργανον· ἴδιος δὲ τοῦ ἀνθρώπου τις υἱὸς ὡς ἐξ αὐτοῦ· ἴδιος δὲ τοῦ αὐτοῦ ἀγρὸς ὡς D κτῆμα· καὶ πάντων ἀληθῶς ὄντων αὐτοῦ ἰδίων, οὐδὲν τούτων ὅμως, κατὰ τὸν τοῦ ἑτέρου λόγον, ἴδιον τοῦ αὐτοῦ ἐστι, εἰ καὶ ἐπὶ τοῦ ἑνὸς πάντα λέγεται· δῆλον δὲ ὅτι τοῦτο συμβαίνει, διὰ τὸ τοῦ *ἰδίου* πολύσημον. Ἐπεὶ οὖν ὁ ἀγρὸς ἴδιος τοῦδε κατὰ τὸν οἰκεῖον λόγον ἀληθῶς, κατὰ δὲ τὸν αὐτὸν τοῦ ἀγροῦ λόγον οὐχ ὁμοίως ἴδια τὰ λοιπὰ τῷ αὐτῷ ἐστι, πᾶν δὲ καθ' ὑμᾶς τὸ μὴ ἴδιόν πως, εὐθὺς ἀλλότριον ἁπλῶς ἐστιν· ἄρα ὁ μὲν ἀγρὸς ἴδιος τοῦδε, ὁ δὲ νοῦς καὶ τὸ σῶ

[u] I Petr. IV, 1.

τοῦδε, καὶ τὰ λοιπὰ οὐκ ἴδια ἔσται αὐτοῦ· ταῦτα δὲ οὕτω φρονεῖν, πῶς οὐκ ἂν σαφῶς παραφρονεῖν; Πλὴν ὅ τε προσκυνητὸς ἡμῖν Θεὸς Χριστὸς δοξαζόμενος, ὅ τε καθ' ὑμᾶς ἄνθρωπος ἁπλῶς νοούμενος· ἢ καὶ εἴ τι ἕτερον αὐτῷ, πλὴν Θεοῦ, περισσότερον ὅμως ἀνθρώπου φιλοτιμεῖσθε, ἰδοὺ ἰδίαν ἑαυτοῦ ἀληθῶς σάρκα καὶ σῶμα παρίστησι, τὴν τοὺς ἥλους καὶ τὴν λόγχην ὑποστᾶσαν· ταύτης γὰρ ἦσαν μέλη. Περὶ ὧν φησι· «Ὤρυξαν χεῖράς μου καὶ πόδας μου·» καὶ πάλιν τὴν μυστικὴν τοῦ τῆς εὐχαριστίας ἄρτου μετάληψιν, ἰδίας σαρκὸς διάδοσιν εἶναι δείκνυσιν εἰπών· «Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα·» ἑτέρωθι δὲ, «Τοῦτό μου ἐστὶ τὸ σῶμα·» ἔτι δὲ καὶ τὴν Ἐκκλησίαν, σάρκα αὐτοῦ ἰδίαν οἴεται· τοῦτο γὰρ διδάσκει φάσκων ὁ Ἀπόστολος· «Οὐδεὶς γὰρ πώποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτὴν, καθὼς καὶ ὁ Χριστὸς τὴν Ἐκκλησίαν·» ἐν ἑτέρῳ δέ· «Ὑμεῖς ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέλους·» σαρκὸς οὖν καὶ σώματος αὐτοῦ ἰδίου τῆς Ἐκκλησίας τυγχανούσης, ἄρα τὸ οὐκ ὂν ἡ Ἐκκλησία αὐτοῦ, οὐκ ἴδιον αὐτοῦ καθ' ὑμᾶς λογισθήσεται; Καὶ ἐπεὶ μὴ κατὰ ταύτην τὴν σάρκα ἐσταυρώθη, ἀλλ' ὑπὲρ ταύτης, ἀναγκαίως ἔσται ἐν ἀλλοτρίᾳ σαρκὶ πεπονθώς; εἰ γὰρ τὸ οὐκ ἴδιόν πως, ἀλλότριον εὐθὺς καθ' ὑμᾶς· ἡ δὲ Ἐκκλησία, ἰδία· τὸ μὴ κατὰ τὴν Ἐκκλησίαν ἴδιον αὐτῷ, πάντως ἀλλότριον αὐτοῦ ἔσται· ὡσαύτως καὶ εἰ τὴν σάρκα εἴποιτε ἰδίαν αὐτοῦ κυρίως εἶναι τὴν καθηλωθεῖσαν, ἡ Ἐκκλησία ἔσται οὐκ ἰδία αὐτοῦ, ἐπεὶ μὴ καθηλώθη· τὸ γὰρ οὐκ ἴδιόν πως λεγόμενον, εὐθὺς ὑμῖν ἔδοξεν εἶναι καὶ ἀλλότριον. Ἀλλ', ὦ οὗτοι, οὐκ ἰδία μὲν τῆς φύσεως τοῦ Λόγου ἡ σάρξ, τῆς δὲ ὑποστάσεως αὐτοῦ γέγονεν ἐπ' ἐσχάτων ἀληθῶς τῶν χρόνων ἰδία· λέγομεν δὲ καὶ ἀνθρώπου εἶναι τὸ σχῆμα τὸ ὄρθιον, ἴδιον ὂν τῆς φύσεως τῆς ψυχῆς, τῇ δὲ ἐν σώματι αὐτῆς ὑποστάσει ἐνθεωρούμενον. Ὅπως οὖν τοῦτο περὶ ταύτης λέγεται εἰ ἐνοήσατε, οὐκ ἂν ἡμῖν τοὺς ὑπὸ σκιᾶς καὶ ὀνείρων συλλογισμοὺς ἀνεπλέξατε· ἀλλὰ ταῦτα μὲν περὶ τούτων. Ἐν δὲ τῷ τέλει τοῦ ἐπιχειρήματος ὑμῶν, τὸ τοῦ ληθάργου πάθος ὑποστῆναι δόξαντες δι' ἀπροσεξίαν, πρὸς γέλωτα ἂν ἡμᾶς οὐ μέτριον συνεκινήσατε, εἰ μὴ τῷ φρικτῷ τῶν ζητουμένων προκατεστελλόμεθα πρὸς εὐλάβειαν. Εἰ γὰρ καὶ τὰ μάλιστα ψευδῶς ἅπαντα ὑμῖν εἴρηται, ἀλλ' ὅμως ταυτὸν μὲν συνάγειν ὑμᾶς βουλομένους ὁρῶμεν νῦν, ὡς δύο τε οὐσίας καὶ δύο πρόσωπα ἤγουν ὑποστάσεις λέγομεν ἐπὶ τοῦ Λόγου καὶ τῆς σαρκός· καὶ τοῦτο ὡς ἄτοπόν τι συμπέρασμα καὶ ἀθέμιτον δόξαν διανοουμένους ἡμᾶς ἐλέγχειν σπουδάζετε, ὅπερ χθὲς καὶ τρίτην, εἴη δὲ μὴ εἰς αὔριον, τῆς ὑμετέρας μόνης ἐστὶ θρησκείας τὸ κεφαλαιωδέστατον· καὶ πάντων μᾶλλον τὸ τῆς τοιᾶσδε δόξης ἄτοπον, ὑμέτερόν ἐστι γνωριστήριον· ἡμῖν ὄντως καὶ λίαν ἀπεχθές τε καὶ πολέμιον· διά τοι γὰρ τοῦτο αὐτὸ καὶ τοσαῦτα σὺν Θεῷ ὑμῖν ἀνταγωνιζόμεθα.

ad agrum cætera non ita propria ejusdem sunt; cum, juxta vos, quod non est tali modo proprium, statim fit simpliciter alienum : ergo præfati hominis ager quidem vere proprius erit, mens autem ejus et corpus et reliqua ipsi non erunt propria? Ita opinari nonne est manifeste desipere? Præterea, ille quem nos ut Deum adorandum veneramur, quem vos autem ut simplicem habetis hominem (nisi forte aliquid ei aliud, si non divinum, humano tamen superius largiamini), en Christus propria sui ipsius vere esse demonstrat corpus et carnem suam clavis et lanceæ suffixam : hujus enim erant membra de quibus dicit : « Foderunt manus meas et pedes meos [v]. » Et iterum mysticam panis eucharistici communionem propriæ suæ carnis esse traditionem ostendit dicens : « Qui comedit carnem meam et bibit meum sanguinem [x]. » Et aliunde : Hoc est corpus meum [y]. » Ipsam quoque Ecclesiam pro sua propria carne habet; hoc enim docet Apostolus dicens : « Nemo enim suam carnem odit, sed nutrit et fovet eam, sicut et Christus Ecclesiam [z]. » Et alibi : « Vos estis corpus Christi, et membra ex membro [a]. « Cum autem caro et corpus Christi proprium sit Ecclesia, ergo quidquid non est Ecclesia ejus, ut non proprium ejus juxta vos habebitur? Et quia non in hac carne crucifixus est, sed pro ea, ergo necessario sequetur illum in aliena carne passum esse? Si enim quod non est tali modo proprium, statim fit simpliciter alienum, ut vos contenditis; Ecclesia vero est Christi propria, quod igitur non est eodem modo ac Ecclesia, proprium ipsius, illi est omnino alienum. Item, si dixerit carnem Christi propriam illam esse quæ clavis transfixa est, jam Ecclesia non erit ipsius propria, quippe quæ clavis non est perforata : quidquid enim non tali modo proprium dicitur, jam ut alienum ducitis. Verum, heus vos! non propria quidem naturæ Verbi est caro, personæ vero ejus in novissimis temporibus vere propria facta est. Sic dicimus hominis esse habitum sectum, qui non est proprius naturæ animæ, sed personæ respectu corporis spectatæ appropriatur. Quomodo illud circa hanc dicatur si intellexissetis, non istos nebulosos somnurnosque implicuissetis syllogismos. Hæc quidem circa ista. In fine autem vestri epicherematis, lethargia ob inertiam torpere visi, risum nobis immodicum elicuissetis, si reverentia rerum de quibus agitur nos ad religiosam non revocasset moderationem. Etenim, quamvis nonnisi mendacia plerumque dixeritis, nihilominus vos nunc videmus id inferre volentes, videlicet nos, sicut duas naturas, ita duo supposita seu duas personas admittere circa Verbum et carnem; et hoc quasi absurdam conclusionem et hæreticam opinionem in nos refundere conamini, quod heri, et nudius tertius (ac utinam nec usque cras!) summarium est totius vestræ religionis fundamentum : imo absurda ista doctrina est præcipuus character quo vos dignoscimini; nobis vero est vere

[v] Psal. xxi, 17. [x] Joan. vi, 55. [y] Matth. xxvi, 26. [z] Ephes. v, 29. [a] I Cor. xii, 27.

et prorsus odiosa et contraria : quippe circa hoc ipsum tam acriter adversum vos cum Deo pugnamus.

CAP. IV.

Si quod dicitur *unus de SS. Trinitate*, est commune divinitatis et humanitatis Christi, vel sub eodem respectu est commune Patri et Spiritui sancto, vel sub uno et altero respectu, pro duobus quibus constat unum Verbum. Porro, si sub eodem respectu est commune, ergo primo caro est Verbo consubstantialis? Ergo secundo in divinis est quaternio, non Trinitas? Si autem uno modo Verbum et altero modo caro communicat cum Patre et Spiritu sancto, quomodo hinc non infertis duas esse naturas in sanctissima Trinitate? Quod si dicendo *unus de Trinitate* intelligitis aliquid unum ex partibus coalescens, Verbum divinum in seipso consideratum, erit dimidium *unius de Sanctissima Trinitate;* ac si forte dicendum sit consubstantiale ex duobus, tunc Patrem et Spiritum sanctum cum eo numerantes, e sex monadibus Sanctissimam Trinitatem constare inferetis. Respondeo vobis, o intelligentia imbecilles, accuratæ vero supputationis, ut putatis, peritissimi : primo, non in quantum aliquid unum esse ex pluribus, in tantum commune cum his pluribus necessario est, sed in quantum dicitur unum cum pluribus esse. Si ergo unus de Trinitate Verbum dicitur respective ad personam (respective enim ad naturam, non unum ex tribus, sed unum cum duobus æstimatur Verbum), et nullam habet sub respectu propriæ suæ personæ, sive ante sive post incarnationem, cum Patre et Spiritu communitatem, quia neuterque Verbum est; neque unquam, ut simpliciter personæ, ulli personæ communicabit : quomodo vultis Christum, qui, tum quatenus simpliciter Verbum, tum quatenus incarnatus, unus est de sanctissima Trinitate, communicare cum duabus aliis personis in hoc præcise quo est unum ex tribus distinctis (nam personæ divinæ non sunt unum respectu seu ratione hypostaseos, sed unum vere sunt ratione seu respectu naturæ, relative ad quam non sunt tria, ita ut unum ex tribus dicamus esse Christum)? In hoc quidem sensu Christum relative ad alias personas habere tantummodo similitudinem arbitramur. Evidenter enim personæ, non respective ad suam hypostasim, sed respective ad illam quæ ipsis subest essentiam, unica gaudent indivisibili natura : ex eo quod autem unica eis insit substantia, hoc nuncupamus identitatem. Relatio Filii ad Patrem est similitudo : ac Patris imago Filius toties dicitur, quoties cum natura simul proprium ipsius spectatur attributum, quod est *esse* a principio. Quoad ideam imaginis, præter communem similitudinis rationem, hoc habet speciale, nempe quod non sit prototypus, sed exemplaris imitatio : quod est imaginis proprietas. Cum vero ambas illas personas sub respectu earum naturæ consideramus, jam non est locus dicendi similitudinem, quia non est altera alteri collata : nulla enim videbitur distinctio, sed

A

ΚΕΦΑΛ. Δ'.

Εἰ τὸ *εἷς τῆς Τριάδος* λεγόμενον, κοινὸν τῆς θεό-
τητος καὶ τῆς ἀνθρωπότητος Χριστοῦ ἐστιν, ἢ κατὰ
τὸν αὐτὸν λόγον ἐστὶ κοινὸν τῷ Πατρὶ καὶ τῷ Πνεύ-
ματι, ἢ καθ' ἕτερον καὶ ἕτερόν πως ἐξ ἀμφοῖν ἀποτε-
λουμένου Λόγου ἑνός· ἀλλ' εἰ μὲν κατὰ τὸν αὐτὸν ἡ
κοινωνία, πρῶτον μὲν πῶς οὐχ ὁμοούσιος ἡ σὰρξ τῷ
Λόγῳ; εἶτα δὲ καὶ τετρὰς οὐ Τριὰς τὸ Θεῖον; εἰ δὲ
καθ' ἕτερον κοινωνεῖ ὁ Λόγος καὶ καθ' ἕτερον ἡ σὰρξ
τῷ Πατρὶ καὶ Πνεύματι, πῶς οὐ δύο τὰς φύσεις τῆς
ἁγίας Τριάδος εἰσάγετε; εἰ δὲ ὡς ὅλον ἐκ μερῶν τὸ *εἷς*
τῆς Τριάδος λέγετε, ὁ Θεὸς Λόγος καθ' ἑαυτὸν, ἥμισυ
ἑνὸς τῆς ἁγίας Τριάδος ἔσται· εἰ δὲ ἄρα καὶ ὁμοού-
σιον δεῖ λέγειν ἐκ δύο, καὶ τὸν Πατέρα καὶ τὸ Πνεῦ-
μα λέγοντες, ἐξ μονάδων εἶναι τῆς ἁγίας Τριάδος τὸν
B Λόγον δεδώκατε. Ἀλλ' ὦ τὴν διάνοιαν ἰσχνοὶ καὶ
περὶ τὴν τῶν τιοῶνδε ἀκριβολογίαν δεινοὶ, ὡς οἴεσθε,
πρῶτον μὲν οὐ καθ' ὃ ἕν τι εἶναι καὶ ἐκ τῶν πολλῶν
λέγεταί τι, κατὰ τοῦτο πάντως καὶ κοινὸν εἶναι τοῖς
πολλοῖς ἀνάγκη· ἀλλὰ καθὸ ἓν εἶναι λέγεται, καὶ σὺν
πολλοῖς εἶναι· εἰ οὖν εἷς τῆς ἁγίας Τριάδος κατὰ
τὴν ὑπόστασιν ὁ Λόγος εἴρηται, κατὰ γὰρ τὴν οὐ-
σίαν οὐχ ἓν ἐκ τριῶν, ἀλλ' εἷς ἅμα σὺν τοῖς δύο
δοξάζεται ὁ Λόγος· καὶ οὐκ ἔχει τινὰ κοινωνίαν κατὰ
τὴν οἰκείαν ὑπόστασιν, οὔτε πρὸ σαρκὸς πρὸς τὸν Πα-
τέρα ἢ τὸ Πνεῦμα, οὐδὲ μετὰ τὴν σάρκα· ἐπεὶ μὴ ταῦ-
τα ὁ Λόγος ἐστίν· οὐδὲ μὴν ἁπλῶς ὡς ὑπόστασις ὑπο-
στάσει κοινωνήσει πώποτε· πῶς κοινωνίαν εἴτε καὶ
ὡς ἁπλῶς Λόγου, εἴτε καὶ ὡς σεσαρκωμένου ἤγουν
Χριστοῦ ἐρωτᾶτε, τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος, πρὸς
C τὰ ἕτερα δύο πρόσωπα, κατ' αὐτὸ τοῦτο καθὸ ἓν ἐκ
τῶν τριῶν ἀνομοίων ἐστίν· οὐδὲ γὰρ ἓν τῷ λόγῳ, ἢ
τῷ ἀριθμῷ τῆς ὑποστάσεώς εἰσι· τὸ γὰρ ἓν αὐτοῖς, τῇ
οὐσίᾳ ἐστὶν ἀληθῶς, καὶ τῷ τῆς οὐσίας ἀριθμῷ· καθ'
ἣν οὐδέποτε οὐδὲ τρία εἰσὶν, ἵνα ἕνα τῶν τριῶν λέγοιμεν
τὸν Χριστόν· καὶ πρὸς τὰ ἕτερα οὕτως ἔχειν αὐτὸν
σκοποῦμεν τὴν ὁμοίωσιν· δῆλον γὰρ ὡς αἱ ὑποστάσεις
οὐ κατὰ τὴν ὑπόστασιν, ἀλλὰ κατὰ τὴν ἐν αὐταῖς
οὐσίαν, μίαν ἔχουσι τὴν ἀπαράλλακτον φύσιν· ἐκ τοῦ
γὰρ πάντῃ ταύταις εἶναι μίαν ὕπαρξιν, καὶ τὴν ταυ-
τότητά φαμεν· ὁμοίωσις μὲν γὰρ τοῦ Υἱοῦ πρὸς τὸν
Πατέρα· καὶ εἰκὼν εἶναι τοῦ Πατρὸς ὁ Υἱὸς τότε
λέγεται, ὅτε σὺν τῇ φύσει, καὶ τὸ ἰδίωμα τοῦδε νοεῖ-
ται, ἤγουν τὸ ἐξ αἰτίου· οὕτως γὰρ καὶ τῆς εἰκόνος
D ὁ λόγος μετὰ τοῦ κοινοῦ τῆς ὁμοιώσεως ἔχει καὶ τὸ
μὴ πρωτότυπον εἶναι ἀλλ' ἐκ παραδείγματος, ἴδιον
αὐτῆς ὄντα λόγον· ὅτε δὲ καθ' αὐτὴν τὴν οὐσίαν ἄμφω
τῶν ὑποστάσεων αὐτοὺς νοοῦμεν, οὔτε ὁμοίωσιν λοιπὸν
ἔστι λέγειν· ἐπεὶ μὴ ἔστιν ἑτέρα πρὸς ἑτέραν συγκρι-
νομένη· οὐδεμία γὰρ ὀφθήσεται ἑτερότης, ἀλλὰ μό-
νον ταυτότητα αὐτῆς ἐνιαίως ἴσμεν· εἰ οὖν καὶ μὴ
κατὰ λόγον τὴν ἐρώτησιν προσαγαγεῖν δεδύνησθε,
ὅμως μέντοι κατὰ τὴν ἰδίαν κοινωνίαν τοῦ Δεσπότου
ἡμῶν Ἰησοῦ Χριστοῦ φανταζόμενοι τάδε πυνθάνεσθε,
ταύτην λήψεσθε παρ' ἡμῶν τὴν ἀπόκρισιν, ὡς ὁ Λό-
γος ἓν πρόσωπον ὅλον ὑπάρχων, μία τε ὑπόστασις
τῆς ἁγίας Τριάδος· ἐξ ὑποστάσεων γὰρ οὐ φύσεων

τὸ τριαδικὸν συνείλεκται· ἐσαρκώθη ὁ πρώην ἄσαρκος καὶ ἔστι Χριστὸς, ὃς ἐκ μέρους αὐτοῦ ἤγουν τῆς μιᾶς τῶν ἐν αὐτῷ φύσεων κοινῶς τέ ἐστι καὶ ὁμοούσιος καὶ εἷς τῇ φύσει, σὺν τῷ Πατρὶ τῷ ἀγαθῷ, καὶ τῷ ἁγίῳ αὐτοῦ Πνεύματι κατ' οὐσίαν αὐτοῖς ἡνωμένος· καὶ οὔτε πλεονασμὸν ἢ λεῖψιν ὑποστάσεων τῇ ἁγίᾳ Τριάδι παρίστησιν· εἴπερ ὁ Λόγος μία τε ἦν ὑπόστασις πρὸ σαρκὸς καὶ μετὰ σάρκα· ἀλλ' οὔτε ἐλάττων αὐτὸς μιᾶς ὑποστάσεως εἶναι πρὸ τῆς σαρκὸς δείκνυται ἐν τῇ ἁγίᾳ Τριάδι δηλονότι· οὐδὲ γὰρ πρόσθεσιν ὑποστάσεως ἐπιδεξάμενος τὴν νῦν ἔχει τελειότητα τῆς ὑποστάσεως· ἀλλ' ἣν εἶχε μόνον κέκτηται, καὶ μετὰ τὴν προσθήκην ἧς οὐκ εἶχε φύσεως· καὶ οὕτως ἔσται ὑμῖν εἰς οὐδὲν ἀναλυομένη πᾶσα τῶν διπλώσεων ἐπὶ τὰς τριπλώσεις ἡ ψηφολογία, καὶ πᾶσα ἡ ὁμὰς τοῦ ἀλογίστου ὑμῶν καταλόγου εὐλόγως ἡμῖν παραλογισθεῖσα· εἷς γὰρ ὅλως ἐκ τριῶν, ὦ δοκήσει σοφοὶ, οὐ κατὰ κοινωνίαν ὁ Χριστός· εἷς δὴ σὺν τοῖς λοιποῖς δύο προσώποις κατὰ τὴν κοινωνίαν τῆς μιᾶς τῶν ἐν αὐτῷ φύσεως, οὐ μὴν τῶν ἐν αὐτῷ δύο φύσεων· οὐκ εἴ τι δὲ μὴ ἐκ πάντων τῶν ἑαυτοῦ κοινωνεῖ τινι, οὐδὲ κοινὸν ἔσται πρὸς αὐτά.

A meram ubique scimus adesse identitatem. Quamvis igitur hanc movere quæstionem rationaliter haud potueritis, quia tamen quæ sit communicatio Domini nostri Jesu Christi in vestra imaginatione quæritis, hoc accipietis a nobis responsum. Verbum, quod est unum suppositum completum et una persona sanctissimæ Trinitatis (ex personis enim, non ex naturis ternus colligitur numerus), caro factum est, cum antea sine carne esset, et nunc est Christus, qui ex parte sui ipsius, videlicet secundum unam e suis naturis, communis est consubstantialisque et unus natura cum Patre optimo et sancto ejus Spiritu, ratione essentiæ ipsis unitus. Neque augmentum vel imminutionem affert numero personarum sanctissimæ Trinitatis : siquidem Verbum B unica ante incarnationem, unica post incarnationem fuit persona, et ipsum non caruisse hypostasi ante incarnationem evidenter demonstratur in sanctissima Trinitate : si enim perfectam nunc habet hypostasim, non quod hypostaseos augmentum susceperit, sed quam prius habebat, hac sola gaudet, etiam post additionis illius quam non habebat, naturæ. Et sic vobis in nihilum redacta ruit omnis duplicationum supra triplicationes congestarum supputatio, et tota illa innumerabilium calculorum summa, erroris merito a nobis convicta. Etenim, o vos in vestra opinione sapientes, Christus unus est ex tribus, sine communicatione, unus autem est cum duabus aliis personis per communicationem unius, non vero utriusque suarum naturarum; quamvis autem aliquid alteri non communicet ex omnibus suis, non ideo commune cum illo non erit.

ΚΕΦΑΛ. Ε'.

Εἰ τὸ *εἷς τῆς Τριάδος* ἐκ θεότητος καὶ σαρκὸς σημαίνεται, πῶς οὐκ ἔσται τῆς Τριάδος καὶ ἡ σάρξ; εἰ δὲ ἡ ἁγία Τριὰς κατά τι μονάς ἐστι, οὐκ ἔσται καὶ τῆς μονάδος ἡ σάρξ· εἰ δὲ τῆς μονάδος ἡ σάρξ, κτιστὴ δὲ αὕτη, πῶς ἄκτιστος ἡ μονάς; Ἀλλὰ τίς ἂν εἴη λόγος ὑμῖν ὁ παριστῶν τὸ κατά τι κοινωνοῦν, πάντως καὶ κατὰ πάντα κοινωνεῖν ἀναγκαίως; εἰ οὖν ἡ σὰρξ κεκοινώνηκε τῇ θεότητι κατὰ τὴν ὑπόστασιν τοῦ Λόγου, ὡς διὰ τοῦτο καὶ ἀληθῶς σὺν αὐτῷ εἶναι μιᾶς τῶν μονάδων τῆς ἁγίας Τριάδος, ἤγουν τῆς ὑποστατικῆς ἀριθμήσεως, τίς ὁ βιαζόμενος λόγος κοινωνῆσαι αὐτὴν καὶ τῷ οὐσιώδει Λόγῳ τῆς θεότητος, ἤγουν τῷ τῆς φύσεως λόγῳ κατὰ τὸ μοναδικὸν τῆς ὑπάρξεως τῆς θείας συμπεριλαμβανομένην σὺν αὐτῇ; δι' αὐτὸ γὰρ δὴ τοῦτο τοὐναντίον φαμὲν ἡμεῖς τοῖς ὑμετέροις· ὅτι ἐπεὶ ἐκείνῳ τῷ Λόγῳ ἔφθη κατὰ τὴν εὐδοκίαν τῆς οἰκονομίας ἑνωθῆναι τῇ σαρκὶ ἡ θεότης, καθ' ὃ καὶ πρὸς ἑαυτὴν πως διαφέρεται ἤγουν κατὰ τὴν ὑπόστασιν, ὡμολογημένως οὐκ ἔσται πρὸς αὐτὴν κατὰ λόγον οὐσίας κοινωνοῦσα καθ' ὃν πρὸς ἑαυτὴν μὴ διαφέρεται· εἰ γὰρ οὐδὲ καθ' ἑαυτὴν θεωρουμένη ἡ θεότης ἐν ἀμφοτέροις τοῖς λόγοις αὐτῆς, ἤγουν τοῖς τῆς οὐσίας καὶ ὑποστάσεως δείκνυται κοινωνοῦσα (ἓν γὰρ κατ' ἄλλο ἐστὶ, καὶ τρία καθ' ἕτερόν ἐστι)· πῶς τῷ παρ' αὐτὴν ὄντι σὺν τῇ σαρκὶ κατ' ἀμφότερα κοινωνήσει; εἰ γὰρ τοῦτο εἴη, ὄντως ἂν τῇ σαρκὶ μόνῃ τά τε ὑπὲρ Θεόν πως καὶ ἀσυγκρίτως ἁπλώτερον, καὶ ἑαυτῆς ὑπερκείμενον ἐμαρτύρησεν ἂν ἡ θεότης· καὶ τάδε μὲν οὕτως· εἰ δὲ τῷ λεπτῷ τοῦ θεωρήματος ἴσως οὐκ εὔγνωστον ὑμῖν τὸ λεγό-

CAP. V.

Si hæc verba, *unus de Trinitate*, significant, ex divinitate et carne, ergone Trinitatis erit caro? Si vero Trinitas sub aliquo respectu sit monas, ergo monadis caro erit? Si autem monadis sit caro, cum caro sit creata, quomodo increata erit monas? At quo argumento probabitis quod sub aliquo respectu commune est, illud sub omni prorsus respectu commune necessario esse? Si ergo caro communicavit Deitati in persona Verbi, ita ut vere cum eo sit una ex monadibus sanctissimæ Trinitatis, id est, ex personarum numero : num ideo necesse est dicatur eadem caro communicasse divinitati ratione essentiæ, id est, ratione naturæ, in unitate substantiæ divinæ simul cum illa comprehensa? Hanc D enim ipsam ob causam nos contra vos dicimus; cum per obviam Providentiæ voluntatem unita sit carni divinitas sub illo respectu quo aliquam in seipsa distinctionem admittit, scilicet respective ad hypostasim : fatebuntur omnes eam cum carne non communicasse respective ad suam naturam, cujus ratione nullam admittit in seipsa distinctionem. Quod si divinitatem in seipsa consideratam non demonstratur communicare sub duobus suis respectibus, id est, sub respectu tum naturæ, tum hypostaseos (*unum* enim est sub priori, *tria* vero sub posteriori) : quomodo illi qui in ea cum carne inest, sub duplici respectu communicabit? Hoc si esset, sola carne aliquid quodammodo se ipsa divinius, et simplicius, et excellentius ostendisset divinitas. Et ita quidem se res habent. Quoniam

vero, ob argumentorum subtilitatem, vobis fortasse non sunt bene nota quæ dixi, res vobis elucidanda est exemplo sub sensus magis cadente. Ignis parti pars ferri conglutinata quodammodo unam cum illa efficit hypostasim, quæ in suo esse simul ex igne et ferro completur : et, cum ignis totus in ea insit ratione suæ naturæ, ergone juxta vos dici poterit igni ferrum esse consubstantiale ? Si autem illud evidentibus demonstratum est rationibus, proinde, ex omnium confesso, aliud est communicatio qua varia ferri igniti corpora secum invicem unum efficiunt in hypostasi, et aliud unio qua unum censentur cum eis quibus unumquodque est consubstantialis in communi natura. Ergo recte dixistis Trinitatis esse carnem, hæc enim una est trium personarum. Sed (pace vestra dicam) caro non est monadis primario seu in proprio sensu. — At, forsan inquitis : Trinitas sub quodam respectu est monas. — Verum sub illo respectu monas non est caro eodem modo ac Trinitas, heus vos meditari vobiscum nescientes.

A μενον, παχυμερεστέρῳ ὑμᾶς ἐλεγκτέον τῷ παραδείγματι· ἐπεὶ γὰρ μέρει πυρὸς μέρος σιδήρου κατά τινα ὑπόστασιν τοῦδέ τινος τοῦ μύδρου συνῆπται· τὸ δὲ εἶναι ταύτῃ ἐκ πυρός τε τοῦ κοινοῦ καὶ σιδήρου πληροῦται· ἐπεὶ τὸ πῦρ ὅλον ἔνεστι κατὰ τὴν φύσιν, πῶς οὐκ ἔσται λέγειν καὶ τῷ πυρὶ τὸν σίδηρον ὁμοούσιον καθ' ὑμᾶς; Εἰ δὲ τοῦτο πρόδηλον ἔχει τὸν ἔλεγχον, ὡμολογημένως καθ' ἑτέραν κοινωνίαν τά τε ἐν τῷ μύδρῳ σώματα διάφορα τὸ ἓν εἶναι ἔχουσι σὺν ἀλλήλοις ἐν τῇ ὑποστάσει· καὶ καθ' ἑτέραν ἕνωσιν πάλιν ἓν νοεῖται τάδε σὺν τοῖς ἑαυτῶν ἑκάτερον ὁμοουσίοις ἐν κοινῇ τῇ φύσει· τῆς οὖν Τριάδος ἀληθῶς ἔφητε ὅτι ἔστι καὶ ἡ σάρξ· μιᾶς γὰρ τῶν τριῶν ὑποστάσεων· ἀλλ' οὐχὶ καὶ τῆς μονάδος, ὦ οὗτοι, πρώτως ἤγουν οἰκείῳ λόγῳ. Ἀλλ' ἡ Τριὰς κατά τι B καὶ μονάς ἐστιν, ἴσως φατέ. Ἀλλὰ κατ' ἐκεῖνο οὐκ ἔστιν ὁμοίως τῇ Τριάδι καὶ μονὰς ἡ σὰρξ σὺν αὐτοῖς, ἀπερίσκεπτοι.

CAP. VI.

Si ille *unus de Trinitate* ex divinitate et carne compleatur, impassibilis vero Trinitas agnoscatur, quomodo non erit impassibilis, cum divinitas, tum caro ? Si autem impassibilis utraque sit, quis passus est pro nobis ? quid dicebatur passibile ante resurrectionem ? Nemo vobis asseruit unum de Trinitate ex divinitate et carne compleri juxta vestram interpretationem. Neque enim divinitate carebat Verbum in Filio, ratione, tum naturæ, tum hypostaseos, neque respective ad Trinitatem personarum vel ad unitatem naturæ incompletum erat Verbum in seipso sine carne consideratum, antequam caro ab ipso assumeretur, ipsique passibilis impassibili hypostatice uniretur. Non enim ad perfectionem vel complementum assumptione passionis et passibilis Deo opus erat. Ac, sive in impassibilitate qua gaudebat et ante et post incarnationem, sive in carnis passionibus consideretur Verbum, idem vere ostenditur. At minime nos ex his quæ tum ante incarnationem Verbi, tum post carnis ejus resurrectionem admisimus, revocatis dicendo simpliciter impassibilem esse Trinitatem : clare enim profitemur et nos, ex quo Verbum caro factum habitavit in terris, sicut non sine carne fuit universa personarum Trinitas, ita nec impassibilem fuisse omnem hujus personam, quia passibilis est Christi, juxta illud sancti apostoli dicentis : « Et primus ex resurrectione mortuorum [b]. » Hic enim est ipsum Verbum quod erat in principio. Impassibilis vero est divina, tum ejus, tum Patris, tum Spiritus sancti natura, quæ sive ante sive post incarnationem, in eadem persona Verbi veritatis usque manet.

ΚΕΦΑΛ. Ϛʹ.

Εἰ τὸ *εἷς τῆς Τριάδος* ἐκ θεότητος καὶ σαρκὸς ἀναπληροῦται· ἀπαθὴς δὲ ἡ Τριὰς ὡμολόγηται, πῶς οὐκ ἔσται ἀπαθὴς ἡ θεότης καὶ ἡ σάρξ; εἰ δὲ ἀπαθής, τίς ὁ παθὼν ὑπὲρ ἡμῶν; καὶ τί τὸ λεγόμενον παθητὸν πρὸ τῆς ἀναστάσεως; Ἀλλ' οὐδεὶς ὑμῖν ἀναπληροῦσθαι ἐκ θεότητος καὶ σαρκὸς κατὰ τὴν ὑμετέραν ἔκληψιν δέδωκε τὸν ἕνα τῆς Τριάδος· οὐδὲ γὰρ C ὡς ἐλλιποῦς ὄντος τοῦ Λόγου τῆς θεότητος ἐν τῷ Υἱῷ κατὰ φύσιν ἢ ὑπόστασιν, καὶ εἰς τὸν τῆς προσωπικῆς Τριάδος ἀριθμὸν, ἢ τῆς φυσικῆς μονάδος, μὴ συντελοῦντος τοῦ Λόγου μόνον καθ' αὑτὸν ἀσάρκως, ἡ πρόσθεσις τῆς σαρκὸς αὐτῷ προσείληπται, ἐνυποστᾶσα τῷ ἀπαθεῖ αὐτῷ ἡ παθητή· οὐ γὰρ εἰς τελείωσιν καὶ πλήρωσιν Θεῷ πάθους καὶ παθητοῦ ἐπίκτησις χρεία· καὶ τὰ γοῦν τῆς πρὸ σαρκὸς καὶ μετὰ σάρκα ἀπαθείας αὐτοῦ ὁ Λόγος, καὶ τὰ τῆς σαρκὸς δὲ αὐτοῦ πάθη, ὁ αὐτὸς ἀληθῶς ἐπιδείκνυται· ἀλλὰ μηδαμῶς ἡμᾶς ἐκ τῶν πρὸ τῆς σαρκώσεως τοῦ Λόγου, ἢ τῶν μετὰ τὴν ἀνάστασιν τῆς σαρκὸς αὐτοῦ ὡμολογημένων συναρπάζετε λέγοντες ἁπλῶς ὅτι ἀπαθὴς ἡ ἁγία Τριάς· φανερῶς γὰρ ὑμῖν τόδε ὁμολογοῦμεν, ὅτι κατὰ τὸν καιρὸν τῆς ἐνσάρκου ἐπιδημίας τοῦ Λόγου ἐπὶ D γῆς ὥσπερ οὐκ ἄσαρκος ἦν πᾶσα ἡ ἁγία Τριὰς τῶν ὑποστάσεων, οὕτως οὐδὲ ἀπαθὴς ἦν πᾶσα αὐτῆς ὑπόστασις, εἰ παθητὸς ὁ Χριστὸς κατὰ τὸν φήσαντα ἅγιον, « καὶ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν· » οὗτος γάρ ἐστι καὶ ὁ Λόγος αὐτὸς ὁ ἐν ἀρχῇ· ἀπαθὴς δὲ ἂν ἡ θεία φύσις ἐστὶ αὐτοῦ τε καὶ τοῦ ἀγαθοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος αὐτοῦ, ἥτις ἐν ἀσάρκῳ τε καὶ σεσαρκωμένῃ τῇ αὐτῇ ὑποστάσει τοῦ Λόγου τῆς ἀληθείας ἔστιν ἀεί.

CAP. VII.

Si ille *unus de Trinitate* ex deitate et carne compleatur, quomodo non erit ille unus de Trinitate, sicut Deus, ita et homo ? et si hoc est, quomodo

ΚΕΦΑΛ. Ζʹ.

Εἰ τὸ *εἷς τῆς Τριάδος* ἐκ θεότητος καὶ σαρκὸς ἀναπληροῦται, πῶς οὐκ ἔσται ὁ εἷς τῆς Τριάδος, ὥσπερ Θεὸς οὕτως καὶ ἄνθρωπος, καὶ ὁμοούσιος καὶ

b Coloss. I, 18.

τῇ Μητρί; καὶ εἰ τοῦτο, πῶς οὐκ ἔσται ὁ εἷς τῆς Τριάδος ὥσπερ εἷς τῆς Τριάδος, οὕτως καὶ εἷς τῆς ἀνθρωπείας φύσεως, ἔτι δὲ τῆς Τριάδος, καὶ κατὰ θεότητα, καὶ κατὰ τὴν σάρκα; πῶς οὖν οὐκ ἔσται καὶ τῆς ἀνθρωπείας φύσεως, καὶ κατὰ θεότητα καὶ κατὰ σάρκα; Ἀλλ' ἤδη εἴρηται μὲν ὡς οὐχ εἰς τὸ τέλειον ἐλλιποῦς· ἢ εἰς τὸ εἶναι ὃ ἦν ὁ Λόγος ἐκ τῆς σαρκὸς ἀναπληροῦται· ἦν γὰρ καὶ πρὸ σαρκὸς τέλειος, εἷς τῆς ἁγίας Τριάδος· ἀλλὰ τοὐναντίον· εἰς τὸ καὶ τὴν ὡς πρὸς Θεὸν ἀτέλειον σάρκα ποιῆσαι τοῦ ἑνὸς εἶναι τῶν τελείων τῆς ἁγίας Τριάδος ἤγουν ἑαυτοῦ, καὶ τῆς οἰκείας μεταλαβεῖν τελειότητος· καὶ μετὰ οὖν τὴν τῆς σαρκὸς ἀνάληψιν ὁμοίως πάλιν σὺν αὐτῇ ὁ Λόγος, εἷς ἐστι τῆς ἁγίας Τριάδος, εἰ καὶ ὥσπερ Θεὸς εἷς ἐστιν ἀληθῶς, καὶ ὡς ὁμοούσιος τῷ Πατρί, ὁμοούσιος τῇ μητρί, κατὰ τὸ ἑκατέροις ἀναλογοῦν ὁμοούσιον· καὶ τοῦτο, οὐ κατὰ τὴν αὐτὴν τῶν ἐν αὐτῷ φύσεων· καὶ ταῦτα μὲν οὕτως· τὰ δὲ ἀπεντεῦθεν, σκαιῶς ὑμῖν ἀντὶ ὑποστάσεως τὴν φύσιν παρεισάγει ἡμῖν· δέον γὰρ ὑμᾶς ἀκολούθως ἐπαγαγεῖν, ἵνα μηδὲν ἄτοπον φανήσεται οὕτως· καὶ εἰ ὥσπερ εἷς ἤγουν μία ὑπόστασις τῶν τριῶν ὑποστάσεων τῆς θείας φύσεώς ἐστι, οὕτως καὶ εἷς ἤγουν μία ὑπόστασις τῶν πολλῶν τῆς ἀνθρωπίνης φύσεώς ἐστι· ἔστι δὲ μία τῆς Τριάδος τῶν ὑποστάσεων καθ' ὑπόστασιν τὴν κατὰ τὴν θεότητά τε καὶ ἀνθρωπότητα, ἔσται ἄρα καὶ μία τῶν ὑποστάσεων τῆς ἀνθρωπότητος καθ' ὑπόστασιν τὴν κατὰ θεότητά τε καὶ ἀνθρωπότητα· ἐν μὲν ταῖς θείαις, διὰ τῶν ἀνθρωπίνων ἰδιωμάτων κατὰ φύσιν πλεονάζουσα, καὶ ἐν ταῖς ἀνθρωπίναις, τῷ θείῳ ἰδιώματι ὑπερέχουσα· ἀλλ' ὑμεῖς τὸ μὲν τῆς ὑποστάσεως ἐσιγήσατε· . . . ὄνομα. . . ἵνα τροπὴν καὶ καταστροφὴν φυσικὴν καὶ τοῖς λέγουσιν ἡμῖν ὑποστατικὴν εἶναι τὴν ἀσύγχυτον ἕνωσιν τῶν φύσεων ἐγκαλέσητε, ὥσπερ τοῖς κατὰ μίαν φύσιν γενέσθαι τὴν ἕνωσιν φάσκουσι.

A non erit ille unus de Trinitate, sicut unus de Trinitate, ita et unus de natura humana? Iterum, si sit de Trinitate et ratione divinitatis et ratione carnis, quomodo non erit de natura humana et ratione divinitatis et ratione carnis? Ut supra dictum est, non eo sensu Verbum ex carne completum est, quod perfectionem qua carebat acquisierit, vel factum sit quod non erat (erat enim etiam ante incarnationem perfectus ille unus de sanctissima Trinitate); verum e contra, ut carnem, relative ad Deum imperfectam, consortem faceret unius completorum SS. Trinitatis suppositorum, scilicet sui ipsius, et suæ propriæ participem perfectionis. Itaque, etiam post carnis assumptionem, adhuc cum ea Verbum unus est de sanctissima Trinitate, quia, B tanquam Deus, vere unus est; ac, sicut consubstantialis est Patri, ita consubstantialis et matri, consubstantialitate utrique congrua, non tamen respective ad unam et eamdem suarum naturarum. Et quidem ita se res habent. Ex iis autem male inducimini ad substituendam ubique hypostasi naturam. Oportet enim vos (ne quid absurdum videatur) hanc inferre conclusionem: cum sicut unus, id est, una persona trium personarum divinæ naturæ est, ita unus, id est, una persona multarum naturæ humanæ personarum sit; sit autem una personarum ratione hypostaseos ex deitate et carne coalescentis, erit igitur pariter una personarum naturæ humanæ ratione hypostaseos ex deitate C carneque constantis: in divinis quidem personis per attributa humana ratione naturæ redundans, in humanis vero per attributa divina superexcellens. Vos autem quod ad hypostasim spectat, tacuistis...... Nomen...... Ut conversationem et destructionem naturæ nobis dicentibus hypostaticam esse inconfusam naturarum unionem eodem modo criminemini quam illis qui unionem in unica factam esse natura contendunt.

ΚΕΦΑΛ. Η'.

Κατὰ ταύτην τὴν ἀκολουθίαν καὶ τό, Θεὸς πέπονθε σαρκί, καὶ ὁ Λόγος, καὶ ὁ Χριστός, καὶ ὁ Υἱὸς ἐξεταστέον· ἢ γὰρ περιλαμβάνει τὰ ὀνόματα ταῦτα τῇ σημασίᾳ τὰ δύο, ἢ οὔ· εἰ μὲν οὖν οὐ περιλαμβάνει, ἢ ἀνούσιον δώσουσι τὴν σάρκα, ἢ τὸν Λόγον, ἢ ὄργανον, ἢ ἐργάτην θάτερον· εἰ δὲ περιλαμβάνει τὰ δύο ἕκαστον τῶν ὀνομάτων, τὰ εἰρημένα ἄτοπα αὐτοῖς ἐπαχθήσονται. Ἀλλ', ὦ οὗτοι, περιλαμβάνει μὲν καθ' ὑπόστασιν μίαν τὰ δύο, ἕκαστον τῶν εἰρημένων ὀνομάτων· οὐ περιλαμβάνει δὲ κατὰ μίαν φύσιν, ἀλλὰ κατὰ δύο, τό τε *Χριστὸς* καὶ *Θεός*, καὶ *Υἱὸς* ὄνομα· τὸ μέντοι *Λόγος* καὶ *Θεός*, ἐπεὶ καὶ κατὰ τὴν μίαν μόνον φύσιν δύναται λέγεσθαι τὴν πρὸ σαρκός, ἔχει προσειρημένον τὸ σαρκί, ἤγουν τῇ ἑτέρᾳ φύσει τῇ ἐν τῷ συνθέτῳ Χριστῷ· καὶ διὰ τοῦτο ἡνίκα τὸ πάθος τοῦ Λόγου ἢ Θεοῦ κατηγοροῦμεν, ὡς τοῦ ὅλου προσώπου Χριστοῦ, ἀπὸ μέρους τῶν ἐν αὐτῷ ἐπάγομεν, καὶ διὰ ποίας τῶν ἐν αὐτῷ φύσεων.

CAP. VIII.

Circa hanc conclusionem et hæc verba: « Passus est Deus, Verbum, Christus, Filius, » examinandus est locus. Vel enim hæc nomina significant duo, vel non. Si non significant, vel sine substantia D est sive caro sive Verbum, vel alterutrum est sive instrumentum sive operans? Si vero unumquodque præfatorum nominum duo exprimit, quod ipsis adjicitur absurde est additum. Sed, heus vos! significat quidem duo in unica hypostasi unumquodque præfatorum nominum; non alludunt vero ad unicam naturam, sed ad duas naturas voces Christus, Deus, et Verbum. Nomina tamen Deus et *Verbum*, cum dici possint de unica natura ante incarnationem spectata, additam habent vocem *carne*, id est, altera natura in composito Christo exsistente. Et hanc ob causam quando passionem Deo aut Verbo attribuimus Christo pro completa persona habito, ex parte eorum quibus constat, adjicimus quanam ex naturis suis passus sit.

CAP. IX.

Dicunt etiam : Si secundum substantiam non passum est Verbum, manifestum est illud non substantialiter esse passum; si vero non substantialiter, minime passum est : substantiæ enim proprie sunt passiones. At persona etiam Verbum dicitur esse passum : assumpsit enim passibilem naturam in suam ipsius hypostasim cum propria sua natura impassibili : et naturæ attributa de persona recte dici solent.

A

ΚΕΦΑΛ. Θ'.

Φασὶν ἔτι· εἰ κατ' οὐσίαν οὐκ ἔπασχεν ὁ Λόγος τῇ σαρκὶ, δῆλον ὅτι ἀνουσίως ἔπασχεν· εἰ δὲ ἀνουσίως, οὐδὲ ἔπαθεν· οὐσίας γὰρ τὰ πάθη κυρίως. Ἀλλ' ὑποστάσει καὶ ὁ Λόγος λέγεται παθεῖν· προσελάβετο γὰρ παθητὴν οὐσίαν εἰς τὴν ἑαυτοῦ ὑπόστασιν σὺν τῇ οἰκείᾳ τῇ ἀπαθεῖ· καὶ τὰ τῆς οὐσίας κατηγορήματα εἰώθει τῆς ὑποστάσεως κατηγορεῖσθαι ὀρθῶς.

CAP. X.

Ecce, inquiunt, Pater vester Cyrillus, Deum Verbum passum esse dicens, et quomodo illud dicat esse possibile interrogatus, se defendit passim respondendo Verbum carnem natura passam sibi appropriasse. Si ergo per appropriationem illius qui a Judæis passus est, passibilis est Deus in eo vere immanens, ergo et per solam appropriationem illius qui ex muliere natus est, natus est ex muliere manens in ipso Deus. Non igitur recte ut deicidæ habentur Judæi, quamvis dicantur; neque est Deipara Virgo, quamvis dicatur : nam sibi appropriare passum et generatum, non est pati vel generari. At nos realiter, non mera carnis appropriatione passum esse vel natum dicimus Verbum. Cum plura in unicam integram hypostasim uniuntur, attributa uniuscujusque de tota hac hypostasi prædicari possunt, quemadmodum de hominibus dicitur : « Videbit omnis caro salutare Domini [c]; » et Lot dicitur : « Salvans salva animam tuam [d]. » Aliquando autem attributa totius prædicantur de partibus : sicut dicimus fractum fuisse hunc virum, quamvis de membro corporis hujus tantum modo agatur; et superbum esse hunc vel illum hominem, quamvis id solius sit animæ. Interdum vero quod est proprium uni totius parti, alteri etiam parti attribuimus; sicut dicimus : Quot animæ occisæ sunt in expugnatione Jerusalem! Quamvis id corporibus tantum competat. Item : Non fert injuriam corpus liberum; licet sola anima pudoris sit capax. Ex his omnibus patet dici posse, carne Christi passa, ipsum Verbum esse passum, per unionem, non per meram appropriationem; generatum vero esse eodem sensu, ac insuper quatenus propriam suam generationem hypostatice cum carne copulavit, non ut carni similis fieret, sed ut fieret in carne; et formam accepisse invisibilem ipsius hypostasim, quando caro suum esse in ea sumpsit.

ΚΕΦΑΛ. Ι'.

Ἰδοὺ, φασὶν, ὁ ὑμέτερος πατὴρ Κύριλλος τὸν Θεὸν Λόγον πεπονθέναι σαρκὶ λέγων, καὶ τοῦτο πῶς φησι δυνατὸν εἶναι ἀπαιτηθεὶς, κατ' οἰκείωσιν τῆς πεπονθυίας φύσει σαρκὸς αὐτοῦ ἄνω καὶ κάτω ἀπο- B λογεῖται· εἰ οὖν τῇ οἰκειώσει τοῦ παθόντος ὑπὸ Ἰουδαίων παθητὸς ὁ Θεὸς ὁ ἐν αὐτῷ μένων ἀληθῶς, ἄρα γε καὶ τῇ οἰκειώσει τοῦ γεννηθέντος ἐκ γυναικὸς, γεννητὸς ἐξ αὐτῆς ὁ ἐν αὐτῷ Θεὸς μόνον· οὐκ ἄρα οὖν ἀληθῶς νοοῦνται θεοκτόνοι Ἰουδαῖοι, εἰ καὶ λέγονται· οὐδὲ Θεοτόκος ἡ Παρθένος, εἰ καὶ λέγεται· οὐ γὰρ τὸ οἰκειοῦσθαι τὸ πάσχον ἢ τὸ γεννώμενον, ἤδη παθεῖν ἢ γεννηθῆναί ἐστι. Ἀλλ' ἡμεῖς ὄντως, οὐχ ἁπλῶς οἰκειώσει τῆς σαρκὸς παθεῖν ἢ γεννηθῆναι τὸν Λόγον φαμέν· ἀλλ' ἐπειδὴ ἐπὶ τῇ ἑνώσει τινῶν τῇ εἰς μίαν ὑποστατικὴν ὁλότητα τὰ ὀνόματα ἑκάστου τῶν ἐν αὐτῇ δύναται κατὰ τοῦ ὅλου φέρεσθαι, ὥσπερ τὸ περὶ ἀνθρώπων λεγόμενον· καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον Κυρίου· καὶ τὸ C εἰρημένον τῷ Λώτ· « Σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν· » ποτὲ δὲ καὶ τὰ τοῦ ὅλου κατὰ τῶν μερῶν· ὥσπερ φαμὲν ὅτι ἐκλάσθη ὁ ἄνθρωπος, καίτοι μόνον τὸ σωματικὸν μέλος τοῦδε· καὶ ὅτι ὑψηλόφρων ἄνθρωπος ὁ δεῖνα, καίτοι μόνῃ τῇ ψυχῇ· ποτὲ δὲ καὶ τὰ τοῦ ἑτέρου τῶν ἐν τῷ ἑνὶ ὅλῳ κατὰ τοῦ σὺν αὐτῷ ἑτέρου, ὥσπερ λέγομεν· Πόσαι ψυχαὶ κατεκόπησαν ἐν τῇ ἁλώσει Ἱεροσολύμων! καίτοι τὰ σώματα μόνον· καὶ ὅτι οὐ φέρει τὴν ὕβριν τὸ σῶμα τὸ ἐλεύθερον, καίτοι ἡ ψυχὴ ἐπαισχύνεται μόνον· δῆλον ὡς ἔστι, καὶ τῆς σαρκὸς Χριστοῦ παθούσης, λέγειν τὸν ἀπαθῆ αὐτὸν Λόγον παθεῖν διὰ τὴν ἕνωσιν· οὐ δι' οἰκείωσιν μόνον· γεννηθῆναι δὲ καὶ διὰ τόδε, καὶ ὡς ἰδίαν καὶ αὐτὸν ὑποστάντα γέννησιν σὺν αὐτῇ· οὐκ εἰς τὸ εἶναι ὥσπερ αὕτη, ἀλλ' εἰς τὸ D ἐνσάρκως εἶναι· καὶ μορφωθῆναι τὴν ἰδίαν ἀόρατον ὑπόστασιν ὅτε ἡ σὰρξ τὸ εἶναι ἐν αὐτῇ ἐλάμβανε.

CAP. XI.

Per aliud patiens pati nihil ex iis etiam quæ natura sunt passibilia, potest : passio enim in eo tantum videtur in quo supervenit; non autem ullo modo illi inest per quem accidit. Quanto magis impassibile Verbum carne esse passum sine impietate dici nequit. Sciant adversarii magis esse pium et Deo dignius dici Verbum passum esse

ΚΕΦΑΛ. ΙΑ'.

Δι' ἑτέρου πάσχειν, φησὶ, πεπονθότος οὐδέ τι τῶν φύσει παθητῶν δυνατόν· αὐτὸ γὰρ δὴ τὸ πάθος, ἐν ᾧ γέγονεν, ὁρᾶται μόνον, οὔτε δὲ δι' οὗ γέγονεν αὐτῷ οὔτε ὡς ἔνεστιν· πόσῳ οὖν μᾶλλον ὁ ἀπαθὴς Λόγος, οὐκ ὀρθῶς σαρκὶ λέγοιτο παθεῖν τοῖς εὐσεβοῦσιν; Ἴστωσαν οὖν ὡς μᾶλλον τοῖς γε θεοπρεπεστέρως εὐσεβοῦσι τὸν Λόγον παθεῖν λέγοιτο σαρκὶ ἐν Χριστῷ

[c] Luc. III, 6. [d] Gen. XIX, 17.

ἤπερ ἀπαθεῖν· οὐ γὰρ ἁπλῶς ἀπαθὲς τὸ Θεῖον ἴσμεν, ἀλλὰ καὶ ἀπαθηστικὸν τῶν οἷς προσγίνεται· οὐ μόνον ἀθάνατον εἶναι δοξάζομεν, ἀλλὰ καὶ ἀπαθανατίζον τὰ ἐγγινόμενα αὐτῷ· ἡνωμένης οὖν τῆς σαρκὸς τῷ Λόγῳ ἑνώσει τοιᾷδε ἧς πλεῖον σύγκρασιν ἀσύγχυτον ἐπινοηθῆναι τοῖς ἑτεροφυέσιν ἀδύνατον ἦν, καὶ κατὰ τοὺς ἀντιλέγοντας ἐπινοηθῆναι τοῖς ἑτεροφυέσιν ἀδύνατον ἦν, καὶ κατὰ τοὺς ἀντιλέγοντας, οὐχ ὅπερ μὲν ἔπαθεν ἡ σάρξ, τοῦτο ἁπλῶς καὶ ὁ Λόγος παθεῖν λέγοιτο, καὶ παθητὸς εἶναι τὴν φύσιν, πλὴν εἰ μὴ ὡς Χριστὸς, ἀλλ' ὅτι ἡνωμένου αὐτῇ τοῦ ἀπαθοποιοῦ, πέπονθεν αὕτη κατ' οἰκονομίαν αὐτοῦ, ἐγκοπὴν τῆς φυσικῆς ἐνεργείας τοῦ Λόγου ποιεῖ θεωρεῖσθαι, ὅ ἐστιν ὅρος τινὸς πάθους· λίαν δὲ τοῦτο δυνατῶς καὶ σοφῶς ὑπεράγαν ἀμετρήτῳ τε ἀγαθότητι Θεοῦ τελεῖται, διὰ τῆς ἐν τῷ μερικῷ τῆς ἀνθρωπότητος παθήσεως αὐτοῦ τοῦ ἀπαθηστικοῦ, τῆς ὅλης ἀνθρωπίνης φύσεως τὴν ἀπάθειαν εἰς αἰῶνας ἐνεργοῦντος· οὗτος γὰρ ἦν αὐτῷ ὁ προκείμενος σκοπός· πάθος δὲ τὸ κατὰ σκοπὸν τῆς εὐδοκίας τοῦ πεπονθότος προϊὸν, φυσικῆς μᾶλλον ἐνεργείας ἔχοι ἂν τὸν λόγον· τοῖς γὰρ φύσιν οὐ τοῖς παρὰ φύσιν αὐτῷ ἐνευδοκεῖ τι· οὐδὲν δὲ τῶν κατὰ φύσιν, διαβλητὸν ἐφ' ὁτῳοῦν ἢ πάθος.

Οἶμαι ὅτι λείπει τῆς ὀγδόης αὐτῶν ἀσεβείας ὁ ἔλεγχος· καὶ ζήτει τοῦτον. Ἡ βίβλος αὕτη μετεγράφη ὑπ' ἐμοῦ Κορνηλίου τοῦ Ναυπλιέως τῶν Μουρμουρέων, υἱοῦ Ἀνδρέου, ἐν Ἐνετίῃσι διάγοντος, ἔτει τῷ ἀπὸ τῆς Θεογονίας ͵αφνβ'.

A carne, quam non esse passum. Etenim, non solum impassibile Verbum esse scimus, sed et impassibilitatem infundere iis quibuscum jungitur; non solum immortale illud confitemur, sed et immortalitatem communicare quibus copulatur. Unito igitur cum carne Verbo ea unione qua magis inconfusa conjunctio excogitari pro entibus natura diversis haud poterat, juxta ipsos adversarios dici nequit quod passum est caro, hoc simpliciter et Verbum esse passum, et esse natura passibile, nisi quatenus est Christus. Quia vero carni, licet cum ipso impassibilitatis auctore unitæ, adempta tamen est, secundum hujus œconomiam, virtus naturæ Verbi, hoc demonstrat quis sit Christi passionum finis: qui quidem valde efficaciter, et sapienter immensa B Dei bonitate impletus est, cum per consortium humanitatis ipsum impassibile Verbum patiendo impassibilitatem toti naturæ humanæ communicavit : hunc enim finem sibi proponebat. Passio autem consulto et per meram patientis voluntatem tempestive suscepta, potius naturalis operationis habet rationem : sic enim velle est naturæ proprium, non vero extra naturam ; ex iis autem quæ sunt naturæ, nihil in aliud rejiciendum est nisi passio.

Puto deesse octavæ hæreticorum impietatis refutationem quæ quidem desideratur. Hic liber transcriptus est a me Cornelio navarcho Murmurensium, Andreæ filio, Venetiis degente, anno a nativitate Dominica MDLII.

ORDO RERUM

QUÆ IN HOC TOMO CONTINENTUR.

THEODORUS LECTOR.

PROCOPIUS, PRESBYTER TYRORUM.

THEODORUS, SCYTHOPOLITANUS EPISCOPUS

TIMOTHEUS, HIEROSOLYMITANUS PRESBYTER.

THEODOSIUS ALEXANDRINUS.

EUSEBIUS ALEXANDRINUS ET EUSEBIUS EMESENUS.

EXPLICIT PARS PRIMA TOMI OCTOGESIMI SEXTI.

Parisiis. — Ex Typis L. MIGNE.


UNIVERSITY OF MICHIGAN
3 9015 02880 3867

